STAATS-GYMNASIUM RIED
1603
LEHRER-BIBLIOTHEK

# DIODORI

# BIBLIOTHECA HISTORICA

EX RECENSIONE

LVDOVICI DINDORFII.

VOL. II. PARS I.

L. XV. — XX.

LIPSIAE

SVMPTIBVS C. H. F. HARTMANNI.

MDCCCXXXI.

# PRAEFATIO.

**De libris scriptis et editis huius partis quum praefatione ad voluminis primi partem alteram dictum sit, hoc loco placuit ea quae superiori volumini aut addenda aut in eo corrigenda viderentur exponere.**

## P. I.

Praefat. p. III. C Vaticanum dixi bombycinum, quum vellem membranaceum. Vide praefationem Wesselingii p. XXXIX. ed. Lips.

P. IV. In Haenelii catalogis librorum manuscriptorum p. 844. memoratur librorum quinque primorum codex olim Meermannianus, nunc Thomae Philippi Britanni, scriptus saeculo sexto decimo, quo typographi usi sint in imprimendo. Itaque hoc est apographum quod operis tradidit Stephanus.

P. ed. Wess. 3. inscript. *Διόδωρος ἐν τῷ τετάρτῳ Βιβλιοθηκῶν* dixit etiam Theodoretus vol. IV. p. 767. ed. Schulz., ubi Vrsinus *Βιβλιοθήκης*, et Ioannes Laurentius de magistratibus Romanis p. 82. *Διόδωρος ἐν δευτέρᾳ Βιβλιοθηκῶν.*

P. 4. 49. *αἰωνίαις*] Scribendum esse *αἰωνίοις*, monitum ad vol. II. p. 215. 42.

P. 9. 16. Haec spectavit Tzetzes Posthom. v. 766.

P. 17. 24. *ἔνιοι δὲ τῶν ἱερέων φασὶ πρῶτον Ἥφαιστον βασιλεῦσαι*] Huc respexit Ioannes Laurentius l. c. p. 202. *Ἡφαίστου τοῦ πρώτου βασιλεύσαντος Αἰγύπτου κατὰ τὸν Σικελιώτην.*

P. 24. 96. Malim receptum *τοιῷδέ.*

P. 36. 6. In annotatione dele: quod — verum.

P. 56. 4. In annotatione scribe: quae forma est etiam in inscriptione Tzetzae Hist. CXII. et uno eius in libro v. 892.

P. 57. 45. ὧν] Receptum velim οὗ.

P. 81. 69. ἁμαρτήμασι] Scribendum esse ἁμαρτήσασι probabile reddit tum proximum εὐεργετήσασι, uno in libro εὐεργετήμασι scriptum, et quod vol. II. p. 322. 73. ἐπιθεῖναι τοῖς ἀδικήσασι τὴν δίκην item est varietas ἀδικήμασι.

P. 97. 2. ὧν] Recte libri qui ἃ.

P. 103. 81. πρὸς τὸν ἀσφαλέστατον τῶν τοίχων ὀρθὴν ἱστᾶσι τὴν λάρνακα] Pro ἐπιφανέστατον vel καταφανέστατον, quae Reiskii coniecturae sunt, scribi potest etiam ἐμφανέστατον, quod cum illo permutatur apud Xenoph. Comment. III. 8. 10. collato Stobaeo vol. III. p. 193. ed. Gaisf. Caeterum similis fuit consuetudo Romanorum in imaginibus maiorum exponendis apud Polybium VI. 52. 4. τιθέασι τὴν εἰκόνα τοῦ μεταλλάξαντος εἰς τὸν ἐπιφανέστατον τόπον τῆς οἰκίας, ξύλινα ναΐδια περιτιθέντες.

P. 105. 33. Ζάμολξιν] Scribe Ζάλμοξιν. 35. Ἰαῶ] Recte D Ἰαώ.

P. 113. 1. οὖν omisit etiam Florentinus a. 1427. scriptus apud Bandinium vol. II. p. 690.

P. 116. 46. Verior accentus est ἰχθῦν.

P. 130. 16. ναῦς] Scribe νῆες.

P. 140. 61. ἐξεύρηντο] Recipiendum εὕρηντο.

P. 141. 93. τοῦ θεοῦ] καὶ τοῦ ποταμοῦ, quae addunt tres libri, non spernenda videntur.

P. 164. 42. Articulum eundem continuo bis positum qui supparibus Diodoro scriptoribus vindicatum volet, utatur loco Strabonis p. 82. 21. ed. Falc. τὸ ἀκόλουθον τὸ τὸ αὐτὸ ὕψος ἔχειν. Quem tamen ταὐτὸ puto scripsisse.

P. 169. 57. διφυῆ βοτάνην] Legendum est ἰδιοφυῆ. Nam quod apud Appuleium Herb. 47. *herba diphyes* memoratur, nihil pertinet ad fictam Iambuli.

P. 171. 4. In annotatione scribe: ἀνέδην] ἀναίδην.

P. 187. 79. Σιμμίαν] Scribendum esse Σιμίαν dixi ad Xenoph. Comment. I. 2. 48.

P. 191. 72. φύσις] Addendus videtur articulus.

P. 210. 6. ἐξῆγον] Ita ἐξαγωγὴ dixit Aretaeus p. 301. ed. Lips. 16. μηδικὴν] Accentum μηδίκην praecipit Arcadius p. 107. 10.

P. 212. 1. In annotatione scribe: libri κατειλημμένος.

P. 219. 97. τῆς πάλιν ῥύμης] Iunctim scribendum cum A παλιῤῥύμης. Vide Plutarchi Flamin. c. 10. Polybii XV. 7. 1.



P. 228. 98. Scribe Πεσινοῦντι.

P. 229. 29. Στεροπήν] Scribendum Στερόπην. Ἀλκυόνη leni spiritu pronunciari ait Eustathius ad Il. ι v. 558. p. 776. 41.

P. 231. 26. διὰ τὸ — νομίζειν aut delenda censet Reiskius aut v. 24. post ἀποθλιβόμενον οἶνον transferenda.

P. 232. 71. παράθεσιν ante me proposuerat Schaeferus ad Thes. Steph. c. 3331. C.

P. 236. 40. Κάδμου κομίσαντος ἐκ Φοινίκης τὰ καλούμενα γράμματα] „Lege τὰ Κάδμου καλούμενα." Dobraeus Advers. vol. I. p. 1. p. 139. Quem fugerat compar locus V. 40. τὴν σάλπιγγα λεγομένην ἐξεῦρον. Vbi vicissim huius loci immemor Wesselingius delebat λεγομένην. Addendus his, si mendo caret, Agatharchides ab nobis citatus ad p. 191. 89.

P. 252. 79. οἱ δεδοκιμασμένοι] Articulus delendus videtur.

P. 261. 47. ἑλομένων τὸν πρὸς τοὺς ἀθανάτους πόλεμον] Sozomenus Hist. Eccles. III. 20. ἐμφύλιον αἱρεῖσθαι μάχην. Chron. Pasch. p. 408. 7. ed. nostrae, πόλεμον αἱρεῖται Ἀρέτας πρὸς τὸν Ἡρώδην.

P. 262. 95. καιρίᾳ] Scribe καιρίῳ.

P. 276. 36. Κλεόλαος] Praeferenda scriptura Κλεόδαιος.

P. 283. 21. In annotatione dele verba: quod malim.

P. 297. 55. 298. 10. 372. 75. Θετταλόν] Scribe Θέτταλον. 70. τοὺς θεοὺς] Recte libri tres θεούς. Conf. vol. II. p. 120. 25.

P. 302. 47. Dele annotationem.

P. 306. 22. Ἱππόλυτον ἔπεμψεν εἰς Τροιζῆνα τρέφεσθαι παρὰ τοῖς Αἴθρας ἀδελφοῖς] Deteriorum librorum scripturam τῆς Αἴθρας ἀδελφῆς tueri conatus est Valckenarius ad Hippolyti v. 11., ignorare se fassus fratres Aethrae: qui si ulli fuissent, nec Pausaniam dicere potuisse I. 22. 2. Θησεὺς ὡς ἔμελλεν ἄξεσθαι Φαίδραν — Ἱππόλυτον πέμπει παρὰ Πιτθέα τραφησόμενον καὶ βασιλεύσοντα Τροιζῆνος, neque Asclepiadem apud scholiastam Odyss. λ v. 321. πέμπει ἐξ Ἀθηνῶν τὸν υἱὸν Ἱππόλυτον Τροιζηνίων ἄρχειν· ἦν γὰρ αὐτῷ διὰ τὴν Πιτθέως Αἴθραν μητρῴα τις ἀρχὴ δεῦρο. Cui responderi potest ne sororis quidem Aethrae alibi mentionem fieri: fratres autem eius perdere regnum Troezenis potuisse caede, morte, migratione in alias terras, sicut filios Troezenis, Pitthei et fratris et regni socii, in Atticam concessisse auctor est Pausanias II. 30. 9., si modo opus est diversos fabularum scriptores secum consentire. Sed firmius argumentum contra Valckenarium linguae usus suppeditat. Aliud enim est τρέφεσθαι παρά τινι, aliud παρά τινος: nec minus huic loco genitivus alienus est quam XII. 38. p. 502. 54.

P. 311. 52. Βοιωτός] Scribendum Βοίωτος.

P. 315. 13. *κατασκευάζοντας*] Praefero scripturam *κατασκευάσαντας*, ut *ἐργασαμένους* est in eadem fabula apud Eudociam p. 315. 319.

P. 329. 9. *Πιτυούσης*] Scribendum hic et postea *Πιτυούσσης*.

P. 340. 45. *ποιοῦσι σιδήρου πλάσματα παντοδαπά. τούτων δὲ τὰ μὲν εἰς ὀρνέων τύπους χαλκεύουσι*] *Ὀρνέων* si cui mirum videatur, disci earum usus potest ex p. 353. 6.: *κράνη δὲ χαλκᾶ περιτίθενται μεγάλας ἐξοχὰς ἐξ ἑαυτῶν ἔχοντα καὶ παμμεγέθη φαντασίαν ἐπιφέροντα τοῖς χρωμένοις· τοῖς μὲν γὰρ πρόςκειται συμφυῆ κέρατα, τοῖς δὲ ὀρνέων ἢ τετραπόδων ζώων ἐκτετυπωμέναι προτομαί.* Quanquam non dubitandum clarius loquutum esse cui sua debet Diodorus.

P. 348. 15. *πρότερον*] Confer annotationes ad p. 516. 73. vol. II. p. 44. 45. 202. 56. 469. 60.

P. 352. 77. *θράσος*] Scribe *θάῤῥος*.

P. 355. 68. *νότον*] Dicendum fuisse *ἄρκτον* animadverterunt Wurmius ad interpretationem Germanicam et Niebuhrius Hist. Rom. vol. II. p. 587. Errorem vero quem Diodorus pervertendis Celtarum et Galatarum nominibus commisisse putatur, interpretando ab eo defendit Niebuhrius.

P. 358. 100. Dele annotationem. 4. *ταῖς περὶ Ἡρακλέους πράξεσι*] Xenophon Hist. gr. VI. 1. 19. *τὰς περὶ Ἰάσονος πράξεις*.

P. 359. 72. *ταῖς ἐλπίσι*] *ἀκολούθως ταῖς ἐλπίσι* suspicatur Wurmius.

P. 372. 40. *Φιλίᾳ*] Quum liber unus praebeat *Φυλίᾳ*, fortasse scribendum *Φυλλίδι*. Sic proximum *Κορωνίδι* in *Κορωνείᾳ* abiit in nonnullis.

P. 373. 77. In annotatione dele *καί*.

P. 379. 11. *Μελισσέως*] *Μέλισσος* est etiam Isocratis Encomii Helenae initio. Et possunt fortasse talia quidem ferri etiam apud eos qui alieni ab his formis sunt.

P. 387. 52. Scribe *Ἡλίῳ — Οὐρανῷ — Γῇ*.

P. 398. 68. In annotatione scribe *μακάρων*.

In Addendis ad p. 129. 59. pro 925. legendum 924.

## P. II.

Praefat. p. XII. Quinque consulatuum iterationem ex eo repetit Niebuhrius Hist. R. vol. II. p. 629., quod Diodorus, ut urbem a Gallis captam cum Polybio (VI. 1. 1.) in Ol. 98. 2. conferret, libri XIII. initio ante Ol. 91. 2. consulatus quinque temere omiserit, cum libri XV. vero initio reversus ad chronologiam quam libris XI. et XII. sequutus esset, id est Fabianam, quae Gallorum invasionem Ol. 99. anno 3. ascri-



bebat, qui iam deficiebant quinque consulatus, repetitis proximis eadem temeritate supplerit.

P. 420. 1. Cum *ἀνοικοδομεῖν* conferendum *ἀναφραγῆναι* de obstruendo dictum apud Malalam p. 328. 18. vel Chron. Pasch. p. 550. 18. ed. nostrarum, ne memorem ipsum *ἀνοικοδομεῖν* eiusdem Chronici p. 602. 7.

P. 487. 9. *γάφοντος*] Scribe *γράφοντος*.

P. 494. 75. s. De hoc loco conf. Niebuhr. Hist. R. vol. II. p. 213. 436. Librariorum hic ne minima quidem culpa est.

P. 495. In annotatione ante *μία* addendus numerus 25.

P. 502. 39. In annotatione post *Ἰούλιον* adde: positum.

P. 504. 11. *ἀπολογησάμενος*] „Lege *ἀπολογισάμενος*.“ Dobraeus. 16. *κοινῶν δ' ὄντων τῶν*] *ἐκείνων δ' ὄντων* recte emendat Dobraeus.

P. 505. 49. Scriptura librorum Diodori et Aristophanis *αὐτῆς ἦρξε* fortasse corrigenda est sic ut *αὐτῆς* in *εὐθὺς* mutetur: quo fere modo *αὐτὸς* pro *εὐθὺς* legebatur ante librum Ravennatem Avium v. 377. 59. *πειθώ*] Scribe *Πειθώ*, ut recte ceperunt Cicero Bruto c. 15., Quinctilianus Instit. X. 1. 82.

P. 510. 10. *Σπαρτωλὸν*] Scribendum *Σπάρτωλον*. Vide Arcadium p. 57. 16., Stephanum sub *Αἰτωλία*.

P. 521. 23. *τὴν ἰδίαν χώραν ἔχοντες*] „Lege ex Thucydide *τὴν ἰδίαν χώραν πολεμίαν ἔχοντες*.“ Dobraeus. Thucydides IV. 12. sic: *ἐς τοῦτό τε περιέστη ἡ τύχη ὥςτε Ἀθηναίους μὲν ἐκ γῆς τε καὶ ταύτης Λακωνικῆς ἀμύνεσθαι ἐκείνους ἐπιπλέοντας, Λακεδαιμονίους δὲ ἐκ νεῶν τε καὶ ἐς τὴν ἑαυτῶν πολεμίαν οὖσαν ἐπ' Ἀθηναίους ἀποβαίνειν.*

P. 532. 6. *πλείους*] „Lege *τοὺς πλείους*.“ Dobraeus.

P. 544. 8. *Ἀκραγαντῖνοι μὲν οὖν καὶ Νάξιοι συμμαχήσειν ἔφησαν Ἀθηναίοις*] „Immo neutris tulerunt opem Agrigentini, ut liquet e Thucydide [VII. 32. 33. 58.] An legendum *Ἐγεσταῖοι*, vel est error Diodori?“ Dobraeus. De Egestanis non cogitandum est, qui Athenienses in Siciliam ipsi arcessiverant risissentque percontantes hos an Syracusanos sequuturi essent. Nobilissimam autem Agrigentinorum civitatem Diodorum silentio praetermissise mihi minus credibile est quam in hunc errorem incidisse ut qui ab Syracusanis non stetissent Atheniensium socios faceret.

P. 567. 36. *Σάμιοι — ἀπέστησαν*] „Hoc falsissimum. Semper ii Atheniensibus adhaeserant. Vide Thucydidem VIII. 16. et passim.“ Dobraeus.

P. 571. 14. 579. 37. *Ἐλεοῦς*] Scribendum *Ἐλαιοῦς*. Nam Quinti Posthom. VII. 108. dicentis *φαίνετο δ' αὖτ' Ἐλεοῦντος ἕδος* auctoritas nulla est.

P. 577. 23. *κατεσκεύαζε*] *ἐπεσκεύαζε* recte Wesselingius. Vide annot. ad p. 543. 29. vol. II. p. 476. 4.

P. 581. 13. *μετὰ*] Immo *οἱ μετὰ*.

P. 584. 51. Omissa est annotatio: *ὡς δὲ* Stephanus: libri *ὁ δὲ*. Quod qui ferendum putet, utatur loco Plutarchi Alcib. c. 11. *τέταρτον, ὡς Θουκυδίδης φησίν, ὁ δ' Εὐριπίδης τρίτον*, nisi is eodem modo corrigendus est. Caeterum proxime praegressa respexit Eustathius ad Dionys. v. 467.

P. 595. 81. *Εὔβατος*] Scribendum *Εὐβώτας*. *Eurotas* Eusebius Maii p. 150. 9. *στρατείαν*] „Lege *στρατηγίαν*.“ Dobraeus.

P. 596. 29. Similiter ut nos post Reiskium Dobraeus: „Malim *τὰς στήλας κατεπόντισαν ἐν αἷς ἦν ἡ καταδίκη. εἶναι ἐν inscriptum esse* Aristoph. Eq. 794. et alibi.“

P. 607. 42. *τὸ δὲ πλάτος ἑξήκοντα*] Numerum hunc vitio affectum esse non sinit dubitare exigua aedis pro longitudine latitudo. *Ἑκατὸν* addebat Kiddius ad Dawesii Misc. p. 392. ed. sec. Pedes 358 et 172 ponit Leakius in *the topography of Athens* p. * 44.: quos numeros unde petiverit non dixit. 73. *ἐν οἴκῳ τρεφομένοις ὀρνιθαρίοις*] *Οἶκος* hic de cavea dicto exemplum non appositissimum comparavit Wesselingius, nec persuasit Valckenario ad Herod. VII. 119. *οἰκίσκῳ* rescribenti. Satius vero erat hinc discere etiam *οἶκος* sic dici, cui conferri poterat Herculis sigillum *ἐν οἴκῳ μικρῷ δεδημιουργημένον* apud Zosimum IV. 8. 4., quod in *ὄγκῳ* mutatum voluit Lobeckius Aglaoph. p. 1241. Sed *οἶκος* de cistula recte interpretatus videtur Koehlerus *dans les Mémoires de l'Acad. de St. Pètersb.* vol. X. p. 797.

P. 622. 75. *ἀκίδα*] „Lege *Ἀκίδα*. Vide XIV. 72. fin.“ Dobraeus.

P. 631. 92. 94. *ἀριστερᾷ — δεξιᾷ*] *ἐν*, quod abesse posse putavit Wesselingius, addendum esse assentior Reiskio et Dobraeo Advers. vol. I. p. 1. p. 119.

P. 637. 83. *Βάκαιναν*] Similis formae vestigia sunt in libris vol. II. p. 369. 99. p. 402. 16. Et convenit ei hodiernum oppidi *Bigenis* nomen.

P. 639. 24. *ὅμως ὅ γε προγεγενημένος βίος γίνεται πολὺ χείρων τὸν ἅπαντα βίον ἐπὶ κακῷ μνημονευόμενος*] „Lege *τὸν ἅπαντα αἰῶνα*, ut c. 2. 44.“ Dobraeus. Forte dum haec scribo, in ed. Bipontinae indice s. v. *βίος* annotatum video *βίον* hoc loco pro *αἰῶνα* dici: qui mirificus foret vocabuli usus. Caeterum malim *τὸν ἅπαντα χρόνον:* sicut vicissim *πάντα τὸν χρόνον* libri duo pro *βίον* praebent p. 241. 90.

P. 643. 81. *ἑξήκοντα*] „An *τριάκοντα?* Vid. Xenoph.



Hellenic. II. 3. 21.“ Dobraeus. Dicit Xenophon singulos tyrannos singulos sibi quos trucidarent legisse.

P. 652. 5. *πρώτοις* adverbialiter dictum, quod frequentatum ab scriptoribus aevi Byzantini notavimus Indice ad Ioannem Malalam p. 792. et ad Chron. Pasch. p. 303. 10., an in Diodori aetatem cadat videndum est.

P. 667. 43. *τὸ διαλῦσαι*] Deleo *τό*.

P. 669. 38. In annotatione scribe: annotationem

P. 671. 91. Dele annotationem.

P. 672. 42. Scribendum *Ἁμαξιτόν*.

P. 680. 31. *πρῶτον*] De duorum librorum scriptura *πρῶτοι* vide quae diximus ad Chron. Pasch. p. 476. 6.

P. 681. 55. In annotatione pro *Αἰγεσταίων* scribendum *τῶν Αἰγεσταίων*.

P. 685. 86. *εἰς τὴν Λιβύην*] „Malim *εἰς* (vel *ἐπὶ*) *τὸ Λιλύβαιον*.“ Dobraeus. Hoc qui probet, possit etiam sic: *εἰς τὴν Λιλύβαιον ἄκραν*, ut est p. 682. 92. Sed quod cuivis in mentem veniat, non admittit situs locorum. Nam quum Lilybaeo Panormum tendenti proxima occurrat Motya, ab Dionysio modo expugnata et per aggerem terrae continenti iuncta, ut dictum cap. 48. — 53., qui littus legisset, mediis hostibus se intulisset. Quare nomen desidero loci ultra Motyam Panormum versus siti.

P. 707. 47. *Λακισθένους* est nomen barbarum. Scribendum autem *Ἀλκισθένους:* cui cognominis archon Atticus memoratur XV. 50.

P. 708. 37. *περὶ*] Scribe *ὑπὲρ*. *ἤθελον*] „Lege *ἦλθον*.“ Dobraeus.

P. 717. 38. *Αἰκίκλους*] Librorum scripturam *Αἰτωλούς* neque in *Αἰκοὺς* neque in *Αἰκίκλους*, sed pro more Diodori in *Αἴκλους* mutandam fuisse monet Niebuhrius Hist. R. vol. II. p. 550. Sed ab forma *Αἰκίκλους* Diodorum abhorruisse non probant quae ipse dicit p. 731. 95. *ὑπὸ Αἴκλων τῶν νῦν Αἰκίκλων καλουμένων, Αἰκοὶ* autem est omnibus in libris p. 720. 80. 723. 4. Quanquam hoc loco apertum est formam quae *λ* habeat praeferendam esse. 48. In annotatione scribe *Θίμβρωνα* secundo loco.

P. 720. 80. *Λίφλον*] De *Lavicis* coniecturam suam non repetiit Niebuhrius vol. II. p. 552. ed. sec.

P. 722. 61. *τὴν πολιορκίαν* pro *τῇ πολιορκίᾳ* restituit Wesselingius.

P. 723. 24. In annotatione scribe *συγχωρῆσαι*.

P. 725. 8. Scripturae *Οὐολσανίτας* simile *Volsanos* sive *Volsanios* in libris Propertii IV. 2. 4.

P. 727. 18. *ἐπάρχων*] *ἱππάρχων* Niebuhrius Hist. Rom. vol. II. p. 600.

P. 731. 4. ὃ εἰλήφεισαν εἰς Ῥώμην] Sermonis barbaries, quam Diodoro indignam recte censuit Rhodomannus, omnem de auro captivo locum suspectum fecit Niebuhrio p. 619. Mihi non mirum accidit si omnes in eo vitio libri conveniant quod duobus illatum est vol. II. p. 416. τοιαύτης εἰς Λιβύην γεγενημένης μεταβολῆς, ubi caeteri recte ἐν τῇ Λιβύῃ. Vicissim ἐν pro εἰς in uno temere scriptum vol. I. p. 513. 39. 546. 17. Qui autem conferi cum εἰς Ῥώμην posse videantur loci p. 551. 22. καθημένους εἰς Σικελίαν et vol. II. p. 435. 79. ὑπῆρχεν ἀποδεδεγμένος εἰς τὴν πόλιν, eorum alter quomodo corrigendus videretur ad ipsum dixi: prior vero, si liber est vitio, rationem habet praepositionis εἰς pro ἐν positae, qua cum altero caret is in quo versamur.

P. 924. Ol. 76. 1. Archelaus] Scribe: Archidamus.

---

Vol. II. p. 1.

## ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΗΙ ΠΕΝΤΕΚΑΙΔΕΚΑΤΗΙ ΤΩΝ ΔΙΟΔΩΡΟΥ ΒΙΒΛΩΝ.


αʹ. Ὡς Πέρσαι Εὐαγόραν ἐν τῇ Κύπρῳ διεπολέμησαν.

βʹ. Ὡς Λακεδαιμόνιοι παρὰ τὰς κοινὰς ὁμολογίας Μαντινεῖς μετῴκισαν ἐκ τῆς πατρίδος.

γʹ. Περὶ τῶν Διονυσίου τοῦ τυράννου ποιημάτων.

δʹ. Περὶ τῆς Τιριβάζου συλλήψεως καὶ τῆς ἀπολύσεως αὐτοῦ καὶ τῆς Ὀρόντου καταγνώσεως.

εʹ. Περὶ τοῦ Γαὼ θανάτου.

ςʹ. Κτίσις Φάρου νήσου κατὰ τὸν Ἀδρίαν.

ζʹ. Διονυσίου στρατεία εἰς τὴν Τυῤῥηνίαν καὶ σύλησις τοῦ ἱεροῦ.

ηʹ. Στρατεία Διονυσίου ἐπὶ Καρχηδονίους, καὶ νίκη καὶ ἧττα.

θʹ. Ὡς Ἀμύντας καὶ Λακεδαιμόνιοι πρὸς Ὀλυνθίους ἐπολέμησαν.

ιʹ. Ὡς Λακεδαιμόνιοι τὴν Καδμείαν κατελάβοντο.

ιαʹ. Ὡς τὰς Ἑλληνίδας πόλεις παρὰ τὰς συνθήκας κατεδουλώσαντο.

2 ιβʹ. Ὡς Καρχηδόνιοι λοιμικῇ νόσῳ περιπεσόντες ἐκινδύνευσαν.

ιγʹ. Ὡς Θηβαῖοι τὴν Καδμείαν ἀνεκτήσαντο.


Vol. II. p. 1. inscr. Διοδώρου] τοῦ Σικελιώτου addit A  αʹ. ἐν τῇ Κύπρῳ] ἐν Κύπρῳ A  δʹ. Τιριβάζου] Τειρεβάζου A, caeteri Τηριβάζου  εʹ. post θανάτου quae ponebantur καὶ τῆς Ὀ. καταγνώσεως, post δʹ. posui monente etiam Wesselingio: similes turbas v. in argumento libri II.  θʹ. Γαὼ] vide annotationem  ςʹ. κτίσις — ηʹ. ἧττα ponebantur post ιαʹ. κατεδουλώσαντο  θʹ. Ὀλυνθίους Wesselingius: libri Ἀθηναίους  ιαʹ. κατεδουλώσαντο] ἐδουλώσαντο IK  ιγʹ. ἀνεκτήσαντο Wesselingius: libri ἀπεκτήσαντο: ponebatur hic versus ante ιβʹ, quod corrigi iusserat Wesselingius

25 ιδ'. Περὶ τοῦ Βοιωτικοῦ πολέμου καὶ τῶν πραχθέντων ἐν αὐτῷ.
ιε'. Τριβαλλῶν στρατεία ἐπὶ Ἄβδηρα.
ις'. Στρατεία Περσῶν ἐπ' Αἴγυπτον.
ιζ'. Περὶ τῆς Ἰφικράτους ἀγωγῆς καὶ τῶν εὑρημένων ὑπ' αὐτοῦ κατὰ τὰς στρατείας.
35 ιη'. Στρατεία Λακεδαιμονίων ἐπὶ Κέρκυραν.
ιθ'. Περὶ τοῦ γενομένου σεισμοῦ καὶ κατακλυσμοῦ περὶ τὴν Πελοπόννησον καὶ τῇ φανείσῃς ἐν οὐρανῷ λαμπάδος.
κ'. Ὡς Θηβαῖοι Λακεδαιμονίους ἐπιφανεστάτῃ μάχῃ νικήσαν-
30 τες ἐν Λεύκτροις ἀντεποιήσαντο τῆς τῶν Ἑλλήνων ἡγεμονίας.
40 κα'. Ὡς παρὰ τοῖς Ἀργείοις ἐγένετο πολὺς φόνος ὁ κληθεὶς σκυταλισμός.
κβ'. Περὶ Ἰάσονος τοῦ Φερῶν τυράννου καὶ τῶν διαδόχων αὐτοῦ.
κγ'. Τὰ πραχθέντα Θηβαίοις κατὰ τὰς εἰς Πελοπόννησον εἰςβολάς.
κδ'. Μεσσήνης συνοικισμὸς ὑπὸ Θηβαίων.
κε'. Στρατεία Βοιωτῶν εἰς Θετταλίαν.

**ιζ'. περὶ τῆς — ιθ'. λαμπάδος ponebantur inter κγ'. τὰ — εἰςβολὰς et κα'. ὡς — σκυταλισμός: corrigendum viderat Wesselingius    ιζ'. στρατείας] στρατιᾶς L    ιη'. στρατεία — Κέρκυραν om. L    κβ'. Ἰάσονος] Ἰάσωνος omnes    κγ'. huc transtuli τὰ — εἰςβολάς, quae ponebantur post κ'. Ἑλλήνων ἡγεμονίας**

---

3 *ΔΙΟΔΩΡΟΥ ΤΟΥ ΣΙΚΕΛΙΩΤΟΥ*

# *ΒΙΒΛΙΟΘΗΚΗΣ ΙΣΤΟΡΙΚΗΣ*

## *ΒΙΒΛΟΣ ΠΕΝΤΕΚΑΙΔΕΚΑΤΗ.*

Παρ' ὅλην τὴν πραγματείαν εἰωθότες χρῆσθαι τῇ συνήθει τῆς ἱστορίας παῤῥησίᾳ, καὶ τοῖς μὲν ἀγαθοῖς ἀνδράσιν ἐπὶ τῶν καλῶν ἔργων τὸν δίκαιον ἐπιλέγειν ἔπαινον, τοὺς δὲ φαύλους, ὅταν ἐξαμαρτάνωσιν, ἀξιοῦν δικαίας ἐπιτιμήσεως, διὰ τοῦ τοιούτου τρόπου νομίζομεν τοὺς μὲν εὖ πεφυκότας πρὸς ἀρετὴν τῷ διὰ τῆς δόξης ἀθανατισμῷ προτρέψεσθαι ταῖς καλλίσταις ἐγχειρεῖν πράξεσι, τοὺς δὲ τὴν ἐναντίαν ἔχοντας διάθεσιν ταῖς ἁρμοττούσαις βλασφημίαις ἀποτρέψειν τῆς ἐπὶ τὴν κακίαν ὁρμῆς. διὸ καὶ τῇ γραφῇ παρόντες ἐπ' ἐκείνους τοὺς χρόνους ἐν οἷς Λακεδαιμόνιοι περὶ Λεῦκτρα παραδόξως ἡττηθέντες μεγάλῃ περιέπεσον συμφορᾷ, καὶ πάλιν περὶ Μαντίνειαν πταίσαντες ἀνελπίστως ἀπέβαλον τὴν τῶν Ἑλλήνων ἡγεμονίαν, ἡγούμεθα δεῖν τὴν ὑπόστασιν τῆς γραφῆς διαφυλάττειν, καὶ τὴν ἁρμόττουσαν ἐπιτίμησιν τοῖς Λακεδαιμονίοις ποιήσασθαι. τίς γὰρ ἂν
οὐχ ἡγήσαιτο κατηγορίας ἀξίους αὐτοὺς ὑπάρχειν, οἵτι-
4 νες παρὰ τῶν προγόνων παραλαβόντες ἡγεμονίαν κάλ-
λιστα τεθεμελιωμένην, καὶ ταύτην διὰ τὴν ἀρετὴν τῶν προγόνων διαφυλαχθεῖσαν ἔτη πλείω τῶν πεντακοσίων, οἱ τότε Λακεδαιμόνιοι διὰ τὴν ἑαυτῶν ἀβουλίαν καταλυθεῖσαν ἐπεῖδον, οὐκ ἀλόγως. οἱ μὲν γὰρ πρὸ αὐτῶν βεβιωκότες πολλοῖς φόνοις καὶ μεγάλοις κινδύνοις τὴν τηλικαύτην κατεκτήσαντο δόξαν, ἐπιεικῶς καὶ φιλανθρώπως προςφερόμενοι τοῖς ὑποτεταγμένοις· οἱ δὲ με-

**3. Inscr. om. I, ἀρχὴ τῆς ιε' βίβλου L    2. χρῆσθαι AIK, caeteri χρήσασθαι    7. ἐπιτιμήσεως] εἰκότως addit F    9. προτρέψεσθαι] προτρέψασθαι FIL    20. ἀξίους αὐτοὺς AFL, caeteri αὐτοὺς ἀξίους    21. παραλαβόντες] λαβόντες I**

ταγενέστεροι βιαίως καὶ χαλεπῶς χρώμενοι τοῖς συμμάχοις, ἔτι δὲ πολέμους ἀδίκους καὶ ὑπερηφάνους ἐνιστάμενοι πρὸς τοὺς Ἕλληνας, οὐκ ἀλόγως ἀπέβαλον τὴν ἀρχὴν διὰ τὰς ἰδίας ἀβουλίας. ἐν γὰρ ταῖς συμφοραῖς αὐτῶν τὸ μῖσος τῶν ἀδικουμένων ἔλαβε καιρὸν ἀμύνασθαι τοὺς προηδικηκότας, καὶ τοῖς ἐκ προγόνων ἀνικήτοις γεγονόσι τοσαύτη καταφρόνησις ἐπηκολούθησεν ὅσην εἰκός ἐστι γενέσθαι κατὰ τῶν ἀναιρούντων τὰς τῶν προγόνων ἀρετάς. τοιγαροῦν Θηβαῖοι μὲν οἱ πρότερον ἐπὶ πολλὰς γενεὰς τοῖς κρείττοσιν ὑποτεταγμένοι τότε τοὺς Λακεδαιμονίους ἀνελπίστως νικήσαντες ἡγεμόνες κατέστησαν τῶν Ἑλλήνων, Λακεδαιμόνιοι δὲ μετὰ τὴν ἀφαίρεσιν τῆς ἡγεμονίας οὐδέποτ' ἠδυνήθησαν ἀναλαβεῖν τὸ τῶν προγόνων ἀξίωμα. ἡμεῖς δὲ τούτοις ἀρκούντως ἐπιτετιμηκότες ἐπὶ τοὺς συνεχεῖς τῆς ἱστορίας μεταβησόμεθα πρὸς τῇ γραφῇ χρόνους. ἡ μὲν οὖν πρὸ ταύτης βίβλος, οὖσα τῆς ὅλης συντάξεως τετταρεςκαιδεκάτη, τὸ τέλος ἔσχε τῶν πράξεων εἰς τὸν Ῥηγίνων ἀνδραποδισμὸν ὑπὸ Διονυσίου καὶ τὴν ἅλωσιν τῆς Ῥώμης ὑπὸ Γαλατῶν, ἥτις ἐγένετο κατὰ τὸν προηγούμενον ἐνιαυτὸν τῆς Περσῶν στρατείας εἰς Κύπρον ἐπ' Εὐαγόραν τὸν βασιλέα· ἐν ταύτῃ δὲ τὴν ἀρχὴν ἀπὸ τούτου τοῦ πολέμου ποιησάμενοι καταλήξομεν ἐπὶ τὸν προηγούμενον ἐνιαυτὸν τῆς Φιλίππου τοῦ Ἀμύντου βασιλείας.

2 Ἐπ' ἄρχοντος γὰρ Ἀθήνησι Μυστιχίδου Ῥωμαῖοι μὲν ἀντὶ τῶν ὑπάτων χιλιάρχους τρεῖς κατέστησαν, Μάρκον Φούριον, ἔτι δὲ Γάϊον καὶ Αἰμίλιον. ἐπὶ δὲ τούτων Ἀρταξέρξης ὁ τῶν Περσῶν βασιλεὺς ἐστράτευσεν ἐπ' Εὐαγόραν τὸν Κύπρου βασιλέα. πολὺν δὲ χρόνον ἀσχοληθεὶς περὶ τὰς εἰς τὸν πόλεμον παρασκευὰς συνεστήσατο δύναμιν ναυτικήν τε καὶ πεζικὴν μεγάλην. τὸ μὲν γὰρ πεζὸν στράτευμα μυριάδων ἦν τριάκοντα σὺν ἱππεῦσι, τριήρεις δὲ κατεσκεύασε πλείους τῶν τριακοσίων· στρατηγοὺς δ' ἀπέδειξε τῆς πεζῆς δυνάμεως Ὀρόντην κηδεστήν, τῆς δὲ ναυτικῆς Τιρίβαζον, ἄνδρα μεγάλης ἀποδοχῆς τυγχάνοντα παρὰ τοῖς Πέρσαις. οὗτοι δὲ παραλαβόντες τὰς δυνάμεις ἐν Φωκαίᾳ καὶ Κύμῃ κατήντησαν εἰς Κιλικίαν, καὶ περαιωθέντες εἰς Κύπρον ἐνεργῶς διῴκουν τὸν πόλεμον. ὁ δ' Εὐαγόρας πρὸς μὲν τὸν Ἄκοριν τὸν Αἰγυπτίων βασιλέα, πολέμιον ὄντα Περσῶν, συμμαχίαν ἐποιήσατο καὶ δύναμιν ἀξιόλογον παρ' αὐτοῦ προςελάβετο· παρ' Ἑκατόμνου δὲ τοῦ Καρίας δυνάστου, λάθρᾳ συμπράττοντος αὐτῷ, χρημάτων ἔλαβε πλῆθος εἰς διατροφὴν ξενικῶν δυνάμεων· ὁμοίως δὲ καὶ τοὺς ἄλλους τοὺς ἀλλοτρίως ἔχοντας πρὸς Πέρσας τοὺς μὲν λαθραίως τοὺς δὲ καὶ φανερῶς ἐπεσπάσατο, κοινωνήσοντας τοῦ Περσικοῦ πολέμου. ἐκυρίευε δὲ κατὰ μὲν τὴν Κύπρον τῶν πόλεων σχεδόν τι τὸ πλέον, κατὰ δὲ τὴν Φοινίκην Τύρου καί τινων ἑτέρων. εἶχε δὲ τριήρεις μὲν ἐνενήκοντα, καὶ τούτων ὑπῆρχον Τύριαι μὲν εἴκοσι, Κύπριαι δ' ἑβδομήκοντα, στρατιώτας δ' ἰδίους μὲν ἑξακιςχιλίους, παρὰ δὲ τῶν συμμάχων πολλῷ τούτων πλείους. πρὸς δὲ τούτοις μισθοφόρους πολλοὺς ἐξενολόγει, ἔχων χρημάτων δαψίλειαν. ἔπεμψε δ' αὐτῷ καὶ ὁ τῶν Ἀράβων βασιλεὺς στρατιώτας οὐκ ὀλίγους καὶ ἄλλοι τινὲς οἱ ἐν ὑποψίαις ὄντες τῷ τῶν Περσῶν βασιλεῖ.

3 Οὗτος μὲν οὖν τοσαύτας ἀφορμὰς ἔχων τεθαῤῥηκότως συγκατέβαινεν εἰς τὸν πόλεμον. καὶ πρῶτον μὲν λῃστρικὰς ἔχων ναῦς οὐκ ὀλίγας ἐφήδρευσε ταῖς κομιζομέναις τῶν πολεμίων ἀγοραῖς, καὶ τὰς μὲν αὐτῶν διέφθειρεν ἐν θαλάττῃ, τὰς δὲ διεκώλυσεν, ἐνίας δὲ ἀφείλετο. διὸ καὶ τῶν ἐμπόρων μὴ τολμώντων εἰς τὴν Κύπρον παρακομίζειν σῖτον, μεγάλων δὲ δυνάμεων ἠθροισμένων εἰς τὴν νῆσον, ταχὺ σιτοδεία κατέσχε τὸ τῶν Περσῶν στρατόπεδον. τῆς δ' ἀπορίας γενομένης εἰς στάσιν, οἱ μισθοφόροι τῶν Περσῶν ἐπὶ τοὺς ἡγεμόνας ὁρμήσαντες, καί τινας ἀνελόντες, ταραχῆς καὶ στάσεως ἐνέπλησαν τὸ στρατόπεδον. μόγις δ' οἱ στρατηγοὶ τῶν Περσῶν καὶ ὁ τῆς ναυτικῆς δυνάμεως ἡγούμενος, ὀνομαζόμενος δὲ Γαώ, κατέπαυσαν τὴν στάσιν. πλεύσαντες δὲ τῷ παντὶ στόλῳ, καὶ σίτου πλῆθος ἐκ τῆς Κιλικίας παρακομίσαντες, πολλὴν παρέσχον τῆς τρο-

4. 46: τοὺς συνεχεῖς] τὸ συνεχὲς Wesselingius μεταβησόμεθα] μεταβησώμεθα L πρὸς τῇ γραφῇ χρόνους] προδιορίσαντες τοὺς οἰκείους τῇ γραφῇ χρόνους Wesselingius: possis etiam τοὺς τῆς γραφῆς χρόνους 48. τετταρεςκ.] τεσσαρεςκ. libri 59. Φούριον F, caeteri Φρούριον 64. ναυτικήν τε καὶ] ναυτικὴν καὶ A

5. 67. πεζῆς] πεζικῆς L Ὀρόντην FI, caeteri Ὀρόνταν 68. Τιρίβαζον A semper, caeteri semper Τηρίβαζον

79. τοὺς ἄλλους] ἄλλους K: quod ante τοὺς erat πρὸς delendum viderat Wesselingius 80. τοὺς δὲ καὶ] καὶ asterisco notavit Stephanus 83. τὸ πλέον] πλέον A 84. ἐνενήκοντα] ἐννενήκοντα omnes 90. Ἀράβων Rhodomannus: libri βαρβάρων 7. Γαὼ] vide annotationem 8. τῆς Κιλικίας] Κιλικίας A 9. παρέσχον] παρεῖχον FIL

φῆς τὴν δαψίλειαν. τῷ δ' Εὐαγόρᾳ πλῆθος σίτου ἱκα-
νὸν ὁ βασιλεὺς Ἄκορις ἐκ τῆς Αἰγύπτου παρεκόμισε, καὶ 6
χρήματα καὶ τὴν ἄλλην παρασκευὴν ἱκανὴν ἐξέπεμψεν. ὁ δ' Εὐαγόρας ὁρῶν ἑαυτὸν πολὺ λειπόμενον τῇ ναυτικῇ δυνάμει, ἑξήκοντα μὲν ναῦς ἄλλας προσεπλήρωσε, πεντήκοντα δὲ παρὰ Ἀκόριδος ἐξ Αἰγύπτου μετεπέμψατο, ὥςτε τὰς πάσας τριήρεις ἔχειν διακοσίας. ταύτας δὲ κοσμήσας πρὸς ναυμαχίαν καταπληκτικῶς, καὶ συνεχεῖς διαπείρας καὶ γυμνασίας ποιούμενος, ἡτοιμάζετο πρὸς ναυμαχίαν. διὸ καὶ τοῦ βασιλικοῦ στόλου παραπλέοντος εἰς Κίτιον ἀπροςδοκήτως ἐπιπλεύσας ταῖς ναυσὶ συντεταγμέναις πολλὰ τῶν Περσῶν ἐπλεονέκτει. ἐπέβαλε γὰρ συντεταγμέναις ναυσὶν ἐπὶ ἀσυντάκτους, καὶ προβεβουλευμένοις ἀνδράσι πρὸς ἀπροςδοκήτους ἀγωνιζόμενος εὐθὺς ἐν τῇ πρώτῃ συστάσει τὴν νίκην προκατεσκεύασεν· ἀθρόαις γὰρ ταῖς τριήρεσιν ἐπιπλεύσας ἐπὶ διεσπαρμένας καὶ τεταραγμένας ἃς μὲν διέφθειρεν, ἃς δ' ἐχειροῦτο. ὅμως δὲ τοῦ τε ναυάρχου τῶν Περσῶν Γαὼ καὶ τῶν ἄλλων ἡγεμόνων γενναίως ὑποστάντων, ἐγένετο ναυμαχία καρτερά, καθ' ἣν ὁ Εὐαγόρας τὸ μὲν πρῶτον ὑπερεῖχεν, ὕστερον δὲ τοῦ Γαὼ μετὰ τοῦ βάρους ἐπενεχθέντος καὶ γενναίως ἀγωνισαμένου, συνέβη φυγεῖν τοὺς περὶ τὸν Εὐαγόραν καὶ πολλὰς τῶν τριήρων ἀποβαλεῖν.

4 Οἱ δὲ Πέρσαι τῇ ναυμαχίᾳ νικήσαντες εἰς Κίτιον πόλιν ἀμφοτέρας τὰς δυνάμεις ἤθροισαν. ἐκ ταύτης δ' ὁρμώμενοι πολιορκίαν συνεστήσαντο πρὸς τῇ Σαλαμῖνι, καὶ τὴν πόλιν ἐπόρθουν κατὰ γῆν ἅμα καὶ κατὰ θάλατταν. καὶ Τιρίβαζος μὲν μετὰ τὴν ναυμαχίαν διαβὰς εἰς Κιλικίαν, κἀκεῖθεν πορευθεὶς πρὸς τὸν βασιλέα, τήν τε νίκην ἀπήγγειλε καὶ διςχίλια τάλαντα πρὸς τὸν πόλεμον ἀπεκόμισεν. Εὐαγόρας δὲ πρὸ μὲν τῆς ναυμαχίας παρὰ θάλατταν πεζῇ συμβαλὼν μέρει τῆς πεζικῆς δυνάμεως ἐπροτέρησε, καὶ πρὸς τὸ μέλλον εὐθαρσὴς καθειστήκει· τῇ δὲ ναυμαχίᾳ πταίσας, καὶ συγκλεισθεὶς εἰς πολιορκίαν, ἀθύμως εἶχεν. ὅμως δὲ κρίνας ἔχεσθαι τοῦ πολέμου, Πνυταγόραν μὲν τὸν υἱὸν ἀπέλιπεν, ἡγεμόνα

τὴν om. F 10. πλῆθος σίτου] σίτου πλῆθος FI

6. 12. τὴν ἄλλην] ἄλλην L 29. 32. Γαὼ] Γαῶ I 31. ὁ om. F 37. Κίτιον] Κύτιον F 40. μετὰ] κατὰ, supra scripto μετὰ, F 42. πρὸς τὸν βασιλέα] εἰς βασιλέα L 46. ἐπροτέρησε Wesselingius: libri προετέρησε 49. Πνυταγόραν] libri Πυθαγόραν



τῶν ὅλων ποιήσας ἐν τῇ Κύπρῳ, αὐτὸς δ' ἀναλαβὼν δέκα τριήρεις νυκτὸς ἔλαθε τοὺς πολεμίους ἐκπλεύσας ἐκ τῆς Σαλαμῖνος. κομισθεὶς δ' εἰς τὴν Αἴγυπτον, καὶ συντυχὼν τῷ βασιλεῖ, παρεκάλεσεν αὐτὸν ἐῤῥωμένως ἀντέχεσθαι τοῦ πολέμου καὶ κοινὸν ἡγεῖσθαι τὸν πρὸς τοὺς Πέρσας πόλεμον.

Ἅμα δὲ τούτοις πραττομένοις Λακεδαιμόνιοι μὲν 5
ἔγνωσαν στρατεύειν ἐπὶ τὴν Μαντίνειαν, οὐδὲν φροντίσαντες τῶν γεγενημένων σπονδῶν, διὰ τοιαύτας αἰτίας. προϋπαρχούσης τοῖς Ἕλλησι κοινῆς εἰρήνης τῆς
7 ἐπὶ Ἀνταλκίδου, καθ' ἣν αἱ πόλεις ἅπασαι τὰς μὲν φρουρὰς ἀπετρίψαντο, τὴν δ' αὐτονομίαν καθ' ὁμολογίαν παρέλαβον, Λακεδαιμόνιοι φύσει φιλαρχοῦντες καὶ πολεμικοὶ ταῖς αἱρέσεσιν ὄντες, τὴν εἰρήνην ὥςπερ βαρὺ φορτίον οὐχ ὑπέμενον, τὴν δὲ προγεγενημένην τῆς Ἑλλάδος δυναστείαν ἐπιποθοῦντες μετέωροι ταῖς ὁρμαῖς ὑπῆρχον πρὸς καινοτομίαν. εὐθὺς οὖν τὰς μὲν πόλεις συνετάραττον καὶ διὰ τῶν ἰδίων φίλων στάσεις ἐγκατεσκεύαζον ἐν αὐταῖς, ὧν ἔνιαι πιθανὰς ἀφορμὰς αὐτοῖς παρέσχοντο τῆς ταραχῆς. ἀπολαβοῦσαι γὰρ τὰς αὐτονομίας λόγον ἀπῄτουν παρὰ τῶν ἐπεστατηκότων ἐπὶ τῆς Λακεδαιμονίων ἡγεμονίας· πικρῶν δὲ τῶν ἐλέγχων γινομένων διὰ τὸ μνησικακεῖν τοὺς δήμους, καὶ πολλῶν φυγαδευομένων, ἀπέδειξαν ἑαυτοὺς βοηθοὺς τοῖς καταστασιαζομένοις. ὑποδεχόμενοι δὲ τούτους, καὶ μετὰ δυνάμεως ἐκπέμποντες ἐπὶ τὰς καθόδους, κατεδουλοῦντο τὸ μὲν πρῶτον τὰς ἀσθενεστέρας πόλεις· μετὰ δὲ ταῦτα καὶ τὰς ἀξιολογωτέρας καταπολεμοῦντες ὑπηκόους ἐποίουν, οὐδὲ δύο ἔτη φυλάξαντες τὰς κοινὰς σπονδάς. πλησιόχωρον δ' οὖσαν τὴν τῶν Μαντινέων πόλιν καὶ πληθοῦσαν ἀνδρῶν ἀλκίμων, ὑπώπτευσαν αὐτῆς τὴν αὔξησιν τὴν γινομένην ἐκ τῆς εἰρήνης, καὶ τὰ φρονήματα τῶν ἀνδρῶν ἔσπευδον ταπεινῶσαι. διὸ καὶ τὸ μὲν πρῶτον πρέσβεις ἀποστείλαντες πρὸς τὴν Μαντίνειαν προςέταττον τὰ μὲν τείχη καθελεῖν, αὐτοὺς δὲ μετοικῆσαι πάντας εἰς τὰς ἀρχαίας πέντε κώμας, ἐξ ὧν

60. τοῖς Ἕλλησι] τοῖς [ἧς] Ἑλληνικοῖς AL, τοῖς [ἧς] ἑλληνικοῖς F, caeteri τῆς Ἑλληνικῆς

7. 62. ἀπετρίψαντο] ἀπεῤῥίψαντο L 66. ἐπιποθοῦντες] ἐπιθυμοῦντες F 72. ἐπεστατηκότων] ἐπιστατηκότων AFL 73. πικρῶν AFHIKL, caeteri πικρῶς 78. τὸ om. A 82. πλήθουσαν K, πλήθους A, caeteri πλῆθος 83. ἀλκίμων AK, caeteri ἀλκίμων ἔχουσαν 88. πάντας] πάντως A

εἰς τὴν Μαντίνειαν τὸ παλαιὸν συνῴκησαν. οὐδενὸς δὲ αὐτοῖς προςέχοντος, δύναμιν ἐκπέμψαντες ἐπολιόρκουν τὴν πόλιν. οἱ δὲ Μαντινεῖς εἰς τὰς Ἀθήνας πρέσβεις ἀποστείλαντες ἠξίουν ἑαυτοῖς βοηθῆσαι. οὐ προαιρουμένων δὲ τῶν Ἀθηναίων παραβαίνειν τὰς κοινὰς συνθήκας, ὅμως καθ' αὑτοὺς ὑποστάντες τὴν πολιορκίαν εὐρώστως ἠμύνοντο τοὺς πολεμίους. καὶ τὰ μὲν κατὰ τὴν Ἑλλάδα τοῦτον τὸν τρόπον καινῶν πολέμων ἀρχὴν ἐλάμβανε.

6 Κατὰ δὲ τὴν Σικελίαν Διονύσιος ὁ τῶν Συρακοσίων τύραννος ἀπολελυμένος τῶν πρὸς Καρχηδονίους πολέμων πολλὴν εἰρήνην καὶ σχολὴν εἶχε. διὸ καὶ ποιήματα γράφειν ὑπεστήσατο μετὰ πολλῆς σπουδῆς, καὶ τοὺς ἐν τούτοις δόξαν ἔχοντας μετεπέμπετο καὶ προτιμῶν αὐτοὺς συνδιέτριβε καὶ τῶν ποιημάτων ἐπιστάτας καὶ διορθωτὰς εἶχεν. ὑπὸ δὲ τούτων διὰ τὰς εὐεργεσίας τοῖς πρὸς χάριν λόγοις μετεωριζόμενος ἐκαυχᾶτο πολὺ μᾶλλον ἐπὶ τοῖς ποιήμασιν ἢ τοῖς ἐν πολέμῳ κατωρθωμένοις. τῶν δὲ συνόντων αὐτῷ ποιητῶν Φιλόξενος ὁ διθυραμβοποιός, μέγιστον ἔχων ἀξίωμα κατὰ τὴν κατασκευὴν τοῦ ἰδίου ποιήματος, κατὰ τὸ συμπόσιον ἀναγνωσθέντων τῶν τοῦ τυράννου ποιημάτων μοχθηρῶν ὄντων ἐπηρωτήθη περὶ τῶν ποιημάτων τίνα κρίσιν 8 ἔχοι. ἀποκριναμένου δ' αὐτοῦ παῤῥησιωδέστερον, ὁ μὲν τύραννος προςκόψας τοῖς ῥηθεῖσι, καὶ καταμεμψάμενος ὅτι διὰ φθόνον ἐβλασφήμησε, προςέταξε τοῖς ὑπηρέταις παραχρῆμα ἀπάγειν εἰς τὰς λατομίας. τῇ δ' ὑστεραίᾳ τῶν φίλων παρακαλούντων συγγνώμην δοῦναι τῷ Φιλοξένῳ, διαλλαγεὶς αὐτῷ πάλιν τοὺς αὐτοὺς παρέλαβεν ἐπὶ τὸ συμπόσιον. προβαίνοντος δὲ τοῦ πότου, καὶ πάλιν τοῦ Διονυσίου καυχωμένου περὶ τῶν ἰδίων ποιημάτων, καί τινας στίχους τῶν δοκούντων ἐπιτετεῦχθαι προενεγκαμένου, καὶ ἐπερωτῶντος Ποῖά τινά σοι φαίνεται τὰ ποιήματα ὑπάρχειν; ἄλλο μὲν οὐδὲν εἶπε, τοὺς δ' ὑπηρέτας τοῦ Διονυσίου προςκαλεσάμενος ἐκέλευσεν αὐτὸν ἀπαγαγεῖν εἰς τὰς λατομίας. τότε μὲν

90. δὲ αὐτοῖς] αὐτοῖς FK    7. ἐκαυχᾶτο] ἐχαυνοῦτο Q    8. κατωρθωμένοις F, κατορθωμένοις AHKL, caeteri κατωρθώμασι

8. 13. ἐπηρωτήθη] ἐπερωτήθη omnes    14. ἔχοι] ἔχει FI    21. πάλιν] πάλαι AHK    22. καυχωμένου] καυνωμένου AK, χαυνωμένου H, χαυνομένου IL    23. ἐπιτετεῦχθαι] τετεῦχθαι F    24. προενεγκαμένου] προςενεγκαμένου AFIK    27. αὐτὸν] αὑτὸν IL    ἀπαγαγεῖν] ἀπάγειν F



οὖν διὰ τὴν εὐτραπελίαν τῶν λόγων μειδιάσας ὁ Διονύσιος ἤνεγκε τὴν παῤῥησίαν, τοῦ γέλωτος τὴν μέμψιν ἀμβλύνοντος· μετ' ὀλίγον δὲ τῶν γνωρίμων ἅμα καὶ τοῦ Διονυσίου παραιτουμένων τὴν ἄκαιρον παῤῥησίαν, ὁ Φιλόξενος ἐπηγγείλατο παράδοξόν τινα ἐπαγγελίαν. ἔφη γὰρ διὰ τῆς ἀποκρίσεως τηρήσειν ἅμα καὶ τὴν ἀλήθειαν καὶ τὴν εὐδόκησιν τοῦ Διονυσίου· καὶ οὐ διεψεύσθη. τοῦ γὰρ τυράννου προενεγκαμένου τινὰς στίχους ἔχοντας ἐλεεινὰ πάθη, καὶ ἐρωτήσαντος Ποῖά τινα φαίνεται τὰ ποιήματα; εἶπεν Οἰκτρά, διὰ τῆς ἀμφιβολίας ἀμφότερα τηρήσας. ὁ μὲν γὰρ Διονύσιος ἐδέξατο τὰ οἰκτρὰ εἶναι ἐλεεινὰ καὶ συμπαθείας πλήρη, τὰ δὲ τοιαῦτα εἶναι ποιητῶν ἀγαθῶν ἐπιτεύγματα· ὅθεν ὡς ἐπῃνεκότα αὐτὸν ἀπεδέχετο· οἱ δ' ἄλλοι τὴν ἀληθινὴν διάνοιαν ἐκδεξάμενοι πᾶν τὸ οἰκτρὸν ἀποτεύγματος φύσιν εἰρῆσθαι διελάμβανον. παραπλήσιον δὲ συνέβη καὶ περὶ Πλάτωνα τὸν φιλόσοφον γενέσθαι. 7 μεταπεμψάμενος γὰρ τὸν ἄνδρα τοῦτον τὸ μὲν πρῶτον ἀποδοχῆς ἠξίου τῆς μεγίστης, ὁρῶν αὐτὸν παῤῥησίαν ἔχοντα ἀξίαν τῆς φιλοσοφίας· ὕστερον δ' ἔκ τινων λόγων προςκόψας αὐτῷ παντελῶς ἀπηλλοτριώθη, καὶ προαγαγὼν εἰς τὸ πρατήριον ὡς ἀνδράποδον ἀπέδοτο μνῶν εἴκοσιν. ἀλλὰ τοῦτον μὲν οἱ φιλόσοφοι συνελθόντες ἐξηγόρασαν καὶ ἐξαπέστειλαν εἰς τὴν Ἑλλάδα, φιλικὴν νουθεσίαν ἐπιφθεγξάμενοι διότι δεῖ τὸν σοφὸν τοῖς τυράννοις ἢ ὡς ἥκιστα ἢ ὡς ἥδιστα ὁμιλεῖν. ὁ δὲ Διονύσιος τῆς εἰς τὰ ποιήματα σπουδῆς οὐκ ἀφιστάμενος εἰς μὲν τὴν 9 Ὀλυμπιακὴν πανήγυριν ἐξαπέστειλε τοὺς εὐφωνοτάτους τῶν ὑποκριτῶν διαθησομένους ἐν τοῖς ὄχλοις μετ' ᾠδῆς τὰ ποιήματα. οὗτοι δὲ τὸ μὲν πρῶτον διὰ τὴν εὐφωνίαν ἐξέπληττον τοὺς ἀκούοντας· μετὰ δὲ ταῦτα ἀναθεωρήσεως γενομένης κατεφρονήθησαν καὶ πολὺν ἀπηνέγκαντο γέλωτα. ὁ δὲ Διονύσιος ἀκούσας τὴν τῶν ποιημάτων καταφρόνησιν, ἐνέπεσεν εἰς ὑπερβολὴν λύπης· ἀεὶ δὲ μᾶλλον τοῦ πάθους ἐπίτασιν λαμβάνοντος, μανιώδης διάθεσις κατέσχε τὴν ψυχὴν αὐτοῦ, καὶ φθονεῖν αὐτῷ φάσκων ἅπαντας τοὺς φίλους

28. εὐτραπελίαν] εὐτραπελείαν A    30. τοῦ γέλωτος τὴν μέμψιν] τὴν μέμψιν τοῦ γέλωτος F    ἀμβλύνοντος] ἀμύνοντος A    31. ὀλίγον] ὀλίγων AFK    τῶν om. F    36. προενεγκ.] προςενεγκ. AFIK    55. νουθεσίαν] νομοθεσίαν H    σοφὸν AHLQ, caeteri φιλόσοφον    56. ἢ prius om. F

9. 63. κατεφρονήθησαν] κατεφρόνησαν AFKL

ὑπώπτευεν ὡς ἐπιβουλεύοντας· καὶ πέρας ἐπὶ τοσοῦτο προῆλθε λύπης καὶ παρακοπῆς ὥςτε τῶν φίλων πολλοὺς μὲν ἐπὶ ψευδέσιν αἰτίαις ἀνελεῖν, οὐκ ὀλίγους δὲ καὶ ἐφυγάδευσεν· ἐν οἷς ἦν Φίλιστος καὶ Λεπτίνης ὁ ἀδελφός, ἄνδρες διαφέροντες ἀνδρείᾳ καὶ πολλὰς καὶ μεγάλας χρείας ἐν τοῖς πολέμοις αὐτῷ παρεσχημένοι. οὗτοι μὲν οὖν φυγόντες εἰς Θουρίους τῆς Ἰταλίας, καὶ παρὰ τοῖς Ἰταλιώταις μεγάλης ἀποδοχῆς τυγχάνοντες, ὕστερον δεηθέντος τοῦ Διονυσίου διηλλάγησαν, καὶ κατελθόντες εἰς τὰς Συρακούσας εἰς τὴν προϋπάρξασαν εὔνοιαν ἀποκατεστάθησαν· ὁ δὲ Λεπτίνης ἔγημε τὴν Διονυσίου θυγατέρα. ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

8 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Δεξιθέου Ῥωμαῖοι κατέστησαν ὑπάτους Λεύκιον Λουκρήτιον καὶ Σερούιον Σουλπίκιον. ἐπὶ δὲ τούτων Εὐαγόρας μὲν ὁ τῶν Σαλαμινίων βασιλεὺς ἧκεν εἰς Κύπρον ἐξ Αἰγύπτου, κομίζων χρήματα παρὰ Ἀκόριδος τοῦ βασιλέως Αἰγύπτου ἐλάττονα τῶν προςδοκηθέντων. καταλαβὼν δὲ τὴν Σαλαμῖνα πολιορκουμένην ἐνεργῶς, καὶ ὑπὸ τῶν συμμάχων καταλειπόμενος, ἠναγκάσθη πρεσβεῦσαι περὶ συλλύσεως. ὁ δὲ Τιρίβαζος τῶν ὅλων ἔχων τὴν ἡγεμονίαν ἔφησε συγχωρῆσαι τὴν σύλλυσιν, ἐὰν Εὐαγόρας ἐκχωρήσῃ πασῶν τῶν κατὰ τὴν Κύπρον πόλεων, αὐτῆς δὲ μόνης τῆς Σαλαμῖνος βασιλεύων τελῇ τῷ Περσῶν βασιλεῖ κατ' ἐνιαυτὸν φόρον ὡρισμένον καὶ ποιῇ τὸ προςταττόμενον ὡς δοῦλος δεσπότῃ. ὁ δ' Εὐαγόρας, καίπερ βαρείας οὔσης τῆς αἱρέσεως, τὰ μὲν ἄλλα πάντα συνεχώρει, τὸ δ' ὡς δοῦλον δεσπότῃ ποιεῖν τὸ προςταττόμενον ἀντέλεγεν, ἔφη δὲ δεῖν αὐτὸν ὡς βασιλέα βασιλεῖ ὑποτετάχθαι. οὐ συγχωροῦντος δὲ τοῦ Τιριβάζου, Ὀρόντης ὁ ἕτερος στρατηγός, φθονῶν τῇ δόξῃ τοῦ Τιριβάζου, γράμματα λάθρᾳ πρὸς τὸν Ἀρταξέρξην ἔπεμψε κατὰ τοῦ Τιριβάζου. κατηγόρει δ' αὐτοῦ πρῶτον μὲν ὅτι δυνάμενος ἑλεῖν τὴν Σαλαμῖνα τοῦτο μὲν οὐ συντελεῖ, πρε-

70. τοσοῦτο] τοσοῦτον FKL λύπης] λύττης Schaeferus Meletemat. p. 128. καὶ παρακοπῆς om. F 72. δὲ καὶ] δὲ F 73. διαφέροντες] διαφερόντως K 84. Λουκρήτιον] Λυκρίτιον F Σερούιον KL, caeteri Σερουίλιον 94. αὐτῆς] αὐτὸς omnes μόνης IQ, caeteri μόνος 95. τελῇ] τελεῖ AK 100. δεῖν post βασιλεῖ ponunt AK, utrubique F 1. αὐτὸν libri

10. 6. συντελεῖ] συνετέλει AIK



σβείας δὲ προςδέχεται παρ' αὐτοῦ καὶ συλλαλεῖ περὶ κοινοπραγίας, ὁμοίως δὲ καὶ πρὸς Λακεδαιμονίους συντίθεται συμμαχίαν ἰδίαν, φίλος ὢν αὐτῶν· ὃς καὶ Πυθώδε τινας ἔπεμψεν ἐρησομένους τὸν θεὸν περὶ τῆς ἐπαναστάσεως, τὸ δὲ μέγιστον, ὅτι τοὺς ἡγεμόνας τῶν δυνάμεων ἰδίους ταῖς εὐνοίαις κατασκευάζεται, τιμαῖς καὶ δωρεαῖς ἔτι δ' ἐπαγγελίαις προςαγόμενος. ὁ δὲ βασιλεὺς ἀναγνοὺς τὴν ἐπιστολήν, καὶ πιστεύσας ταῖς διαβολαῖς, ἔγραψε τῷ Ὀρόντῃ συλλαβεῖν τὸν Τιρίβαζον καὶ πρὸς ἑαυτὸν ἀποστεῖλαι. οὗ πράξαντος τὸ προςταχθέν, ὁ μὲν Τιρίβαζος ἀναχθεὶς ὡς τὸν βασιλέα, καὶ κρίσεως τυχεῖν ἀξιώσας, κατὰ μὲν τὸ παρὸν παρεδόθη εἰς φυλακήν, μετὰ δὲ ταῦτα τοῦ βασιλέως ἔχοντος πόλεμον πρὸς Καδουσίους, καὶ τὴν κρίσιν ἀναβαλλομένου,
διείλκετο τὰ περὶ τοῦ δικαστηρίου. ὁ δ' Ὀρόντης δια- 9
δεξάμενος τὴν ἡγεμονίαν τῶν ἐν τῇ Κύπρῳ δυνάμεων, καὶ τὸν Εὐαγόραν πάλιν τεθαῤῥηκότως ὁρῶν ὑπομένοντα τὴν πολιορκίαν, πρὸς δὲ τούτοις τῶν στρατιωτῶν χαλεπῶς ὑπομενόντων τὴν σύλληψιν τοῦ Τιριβάζου, καὶ διὰ τοῦτο ἀπειθούντων καὶ τὴν πολιορκίαν ἐγκαταλειπόντων, δείσας ὁ Ὀρόντης τὸ τῆς περιστάσεως παράλογον, ἐξέπεμψε πρὸς τὸν Εὐαγόραν τοὺς διαλεξομένους περὶ τῆς συλλύσεως καὶ κελεύσοντας συντίθεσθαι τὴν εἰρήνην ἐφ' οἷς ἐκεῖνος ἠξίου συντίθεσθαι πρὸς Τιρίβαζον. ὁ μὲν οὖν Εὐαγόρας παραδόξως ἐξοσιοῦται τὴν ἅλωσιν, καὶ συνέθετο τὴν εἰρήνην ὥςτε βασιλεύειν τῆς Σαλαμῖνος καὶ τὸν ὡρισμένον διδόναι φόρον κατ' ἐνιαυτὸν καὶ ὑπακούειν ὡς βασιλεὺς βασιλεῖ προςτάττοντι. ὁ μὲν οὖν Κυπριακὸς πόλεμος, δεκαέτης σχεδὸν γεγενημένος, καὶ τὸ πλέον τοῦ χρόνου περὶ παρασκευὰς ἀσχοληθείς, διέτη χρόνον τὸν ἐπὶ πᾶσι συνεχῶς πολεμηθείς, τοῦτον τὸν τρόπον κατελύθη. ὁ δὲ τοῦ στόλου τὴν ναυαρχίαν ἔχων Γαώς, γεγαμηκὼς τοῦ Τιριβάζου τὴν θυγατέρα, περίφοβος ἦν μήποτε συνεργεῖν δόξας τῷ Τιριβάζῳ περὶ τῆς ὑποθέσεως τύχῃ τιμωρίας ὑπὸ τοῦ βα-

8. συλλαλεῖ] συνελάλει AFIK κοινοπραγίας IL, caeteri καινοπραγίας 10. ὃς] ὡς L 12. ταῖς εὐνοίαις] libri εὐνοίαις 13. κατασκευάζεται] κατασκευάζει I 22. διείλκετο] διείλεκτο IK et qui ἀναβαλλόμενος F 30. τῆς περιστάσεως] περὶ τῆς στάσεως A 34. ἐξοσιοῦται] δ' ἐξοσιοῦται IK, ἐξωθεῖται Q 38. δεκαετὴς libri et mox διετῆ 44. ἦν] ὢν Schaeferus: copulam ad ἔγνω v. 46. addebat Stephanus 45. ὑπὸ] παρὰ L

σιλέως, ἔγνω καινῇ πραγμάτων ἐπιβολῇ τὰ καθ' αὑτὸν
ἀσφαλίζεσθαι. εὐπορῶν δὲ χρημάτων καὶ στρατιωτῶν,
ἔτι δὲ τοὺς τριηράρχους ταῖς εὐνοίαις ἰδίους πεποιημέ-
νος, διέγνω τοῦ βασιλέως ἀφίστασθαι. εὐθὺς οὖν πρὸς
μὲν Ἄκοριν τὸν βασιλέα τῶν Αἰγυπτίων διαπρεσβευσά-
μενος συμμαχίαν συνέθετο κατὰ τοῦ βασιλέως· πρὸς δὲ
τοὺς Λακεδαιμονίους γράφων ἐπῆρε κατὰ τοῦ βασιλέως,
καὶ χρημάτων πλῆθος ἐπηγγέλλετο δώσειν καὶ τὰς ἄλ- 11
λας ἐπαγγελίας μεγάλας ἐποιεῖτο, ὑπισχνούμενος συμ-
πράξειν αὐτοῖς τὰ κατὰ τὴν Ἑλλάδα καὶ τὴν ἡγεμονίαν
αὐτοῖς τὴν πάτριον συγκατασκευάσειν. οἱ δὲ Σπαρτιᾶ-
ται καὶ πάλαι μὲν διεγνώκεισαν ἀνακτᾶσθαι τὴν ἡγεμο-
νίαν, τότε δὲ συνετάραττον ἤδη τὰς πόλεις, καὶ πᾶσιν
ὑπῆρχον φανεροὶ τὰς πόλεις καταδουλούμενοι. πρὸς δὲ
τούτοις ἀδοξοῦντες ἐπὶ τῷ δοκεῖν ἐν τῇ πρὸς τὸν βασι-
λέα συνθέσει τοὺς κατὰ τὴν Ἀσίαν Ἕλληνας ἐκδότους
πεποιηκέναι, μετεμέλοντο τοῖς πεπραγμένοις καὶ πρόφα-
σιν εὔλογον ἐζήτουν τοῦ πρὸς τὸν Ἀρταξέρξην πολέμου.
διόπερ ἄσμενοι συνέθεντο πρὸς τὸν Γαὼ τὴν συμ-
μαχίαν.

10 Ἀρταξέρξης δὲ καταλύσας τὸν πρὸς Καδουσίους πό-
λεμον, προέθηκε κρίσιν Τιριβάζῳ, καὶ δικαστὰς τρεῖς
ἀπέδωκε τῶν μάλιστα εὐδοκουμένων παρὰ τοῖς Πέρσαις.
κατὰ τούτους δὲ τοὺς χρόνους ἕτεροι δικασταὶ δόξαντες
κακῶς κρίνειν ζῶντες ἐξεδάρησαν, καὶ ὑπὲρ τῶν δικα-
στικῶν δίφρων περιτεθέντων τῶν δερμάτων ἐπὶ τού-
των ἐδίκαζον οἱ δικασταί, παρ' ὀφθαλμοὺς ἔχοντες πα-
ράδειγμα τῆς ἐν τῷ κακῶς κρίνειν τιμωρίας. οἱ μὲν
οὖν κατηγοροῦντες τὴν ἐπιστολὴν ἀναγνόντες τὴν πεμ-
φθεῖσαν ὑπὸ τοῦ Ὀρόντου, ταύτην ἱκανὴν ἔφασαν ἔχειν
πρὸς κατηγορίαν. ὁ δὲ Τιρίβαζος πρὸς μὲν τὴν κατὰ
τὸν Εὐαγόραν διαβολὴν [ἀνεγίνωσκε] τὴν ὑπ' Ὀρόντου
γεγενημένην * ὑπακούειν ὡς βασιλέα βασιλεῖ προσήνε-
γκεν· ἑαυτὸν δὲ τὴν εἰρήνην συντεθεῖσθαι, ὥστε ὑπα-
κούειν Εὐαγόραν τῷ βασιλεῖ ὡς δοῦλον δεσπότῃ· περὶ
δὲ τῶν χρησμῶν ἔφησε μὴ χρηματίζειν τὸν θεὸν καθόλου
περὶ θανάτου· καὶ τούτου μάρτυρας παρείχετο πάντας

46. ἐπιβολῇ] μεταβολῇ L 47. αὑτὸν AFIK, caeteri ἑαυτὸν 48. ἔτι δὲ] ἐπὶ AFK, caeteri ἐπεὶ

11. 68. προέθηκε] προσέθηκε A 72. περιτεθέντων] περιταθέντων Reiskius 79. ἀνεγίνωσκε delendum videtur 80. ὑπακούειν] libri ὑπάκουσιν, unde ὑπακούσειν Rhodomannus: lacuna, quam Stephanus animadvertit, hoc fere modo explenda est, σύλλυσιν ὥστε αὐτὸν ὑπακούειν 81. συντεθεῖσθαι Reiskius: libri συντίθεσθαι



τοὺς παρόντας Ἕλληνας. περὶ δὲ τῆς φιλίας τῆς πρὸς
Λακεδαιμονίους ἀπελογεῖτο, λέγων οὐκ ἐπὶ τῷ ἰδίῳ συμ-
φέροντι ἀλλ' ἐπὶ τῷ τοῦ βασιλέως λυσιτελεῖ πεποιῆσθαι
τὴν φιλίαν· καὶ διὰ ταύτης παρεδείκνυε τῶν μὲν Λακε-
δαιμονίων παρῃρῆσθαι τοὺς κατὰ τὴν Ἀσίαν Ἕλληνας,
τῷ δὲ βασιλεῖ παραδεδόσθαι ἐκδότους. ἐπὶ τελευτῆς δὲ
τῆς ἀπολογίας ὑπέμνησε τοὺς δικαστὰς ὧν τὸν βασιλέα
πρότερον ἦν εὐεργετηκώς. λέγεται δὲ καὶ ἄλλας μὲν
πολλὰς χρείας ἐνδεδεῖχθαι τῷ βασιλεῖ, μίαν δὲ μεγίστην,
ἐξ ἧς αὐτὸν θαυμασθῆναι συνέβη καὶ μέγιστον γενέσθαι
φίλον. κατὰ γάρ τινα κυνηγίαν ἐφ' ἅρματος ὀχουμέ-
νου τοῦ βασιλέως δύο λέοντας ἐπ' αὐτὸν ὁρμῆσαι, καὶ
τῶν μὲν ἵππων τῶν ἐν τῷ τεθρίππῳ δύο διασπάσαι,
τὴν δ' ὁρμὴν ἐπ' αὐτὸν ποιεῖσθαι τὸν βασιλέα· καθ'
ὃν δὴ καιρὸν ἐπιφανέντα τὸν Τιρίβαζον τοὺς μὲν λέον-
12 τας ἀποκτεῖναι, τὸν δὲ βασιλέα ἐκ τῶν κινδύνων ἐξελέ-
σθαι. ἔν τε τοῖς πολέμοις ἀνδρείᾳ διενέγκαι φασὶν αὐ-
τόν, καὶ κατὰ τὰς συμβουλὰς οὕτως εὐστοχεῖν ὥστε τὸν
βασιλέα χρώμενον ταῖς ἐκείνου παραγγελίαις μηδέποτε δια-
μαρτεῖν. τοιαύτῃ δ' ἀπολογίᾳ χρησάμενος ὁ Τιρίβαζος
ἀπελύθη τῶν ἐγκλημάτων ὡμολογημένως ὑπὸ πάντων
τῶν δικαστῶν. ὁ δὲ βασιλεὺς καθ' ἕνα τῶν δικαστῶν 11
προσκαλούμενος ἐπηρώτησε τίσι δικαίοις προσχὼν ἕκα-
στος ἀπέλυσε τὸν κατηγορούμενον. ὁ μὲν οὖν πρῶτος
ἔφησε, θεωρῶν τὰ μὲν ἐγκλήματα ἀμφισβητούμενα, τὰς
δ' εὐεργεσίας ὁμολογουμένας οὔσας· ὁ δὲ δεύτερος ἔφη-
σε, καὶ τιθεμένων ἀληθινῶν τῶν ἐγκλημάτων, ὅμως τὰς
εὐεργεσίας μείζους εἶναι τῆς ἁμαρτίας· ὁ δὲ τρίτος εἶ-
πεν ὅτι τὰς μὲν εὐεργεσίας οὐ τίθεται πρὸς λόγον διὰ
τὸ τὰς περὶ αὐτῶν χάριτας καὶ τιμὰς πολλαπλασίας
ἀπειληφέναι παρὰ τοῦ βασιλέως τὸν Τιρίβαζον, αὐτῶν
δὲ τῶν ἐγκλημάτων κατ' ἰδίαν θεωρουμένων μὴ φαί-
νεσθαι τούτοις ἔνοχον εἶναι τὸν κατηγορούμενον. ὁ δὲ
βασιλεὺς τοὺς μὲν δικαστὰς ἐπῄνεσεν, ὡς δικαίως κε-
κρικότας, τὸν δὲ Τιρίβαζον ταῖς νομιζομέναις μεγίσταις
τιμαῖς ἐκόσμησε. τοῦ δὲ Ὀρόντου καταγνοὺς ὡς ψευ-
δῆ κατηγορίαν πεπλακότος ἔκ τε τῶν φίλων ἐξέκρινε
καὶ ταῖς ἐσχάταις ἀτιμίαις περιέβαλε. καὶ τὰ μὲν κατὰ
τὴν Ἀσίαν ἐν τούτοις ἦν.

12. 2. πολέμοις Rhodomannus: libri πολεμίοις 3. διενέγκαι AFIKL, caeteri διενεγκεῖν 4. τὰς συμβουλὰς] libri συμβουλὰς 9. καθ' ἕνα] καθ' ἓν K προσκαλούμενος] προσκαλεσάμενος A 17. περὶ αὐτῶν L, caeteri περὶ αὐτὸν 24. καταγνοὺς] καταγνόντος FIK

12 Κατὰ δὲ τὴν Ἑλλάδα Λακεδαιμονίων πορθούντων Μαντίνειαν, τὸ μὲν θέρος διετέλεσαν οἱ Μαντινεῖς γενναίως ἀγωνιζόμενοι πρὸς τοὺς πολεμίους· ἐδόκουν γὰρ ἀνδρείᾳ διαφέρειν τῶν Ἀρκάδων, καὶ διὰ τοῦθ' οἱ Λακεδαιμόνιοι πρότερον εἰώθεισαν ἐν ταῖς μάχαις τούτους παραστάτας ἔχειν καὶ πιστοτάτους τῶν συμμάχων· τοῦ δὲ χειμῶνος ἐνστάντος, καὶ τοῦ παρὰ τὴν Μαντίνειαν ποταμοῦ μεγάλην αὔξησιν ἐκ τῶν ὄμβρων λαβόντος, οἱ Λακεδαιμόνιοι τὸ ῥεῦμα τοῦ ποταμοῦ διαλαβόντες μεγάλοις χώμασιν ἀπέστρεψαν τὸν ποταμὸν εἰς τὴν πόλιν, καὶ πάντα τὸν σύνεγγυς τόπον ἐποίησαν λιμνάζειν. διὸ καὶ τῶν οἰκιῶν πιπτουσῶν καταπλαγέντες οἱ Μαντινεῖς ἠναγκάσθησαν τὴν πόλιν παραδοῦναι τοῖς Λακεδαιμονίοις. οἱ δὲ παραλαβόντες ἄλλο μὲν οὐδὲν κακὸν εἰργάσαντο τοὺς Μαντινεῖς, προσέταξαν δὲ εἰς τὰς ἀρχαίας κώμας μετοικισθῆναι. διόπερ ἠναγκάσθησαν τὴν μὲν ἰδίαν πατρίδα κατασκάπτειν, εἰς δὲ τὰς κώμας μετοικῆσαι.

13 Ἅμα δὲ τούτοις πραττομένοις κατὰ τὴν Σικελίαν Διονύσιος ὁ τῶν Συρακοσίων τύραννος ἔγνω κατὰ τὸν 13
Ἀδρίαν πόλεις οἰκίζειν. τοῦτο δὲ ἔπραττε διανοούμενος τὸν Ἰόνιον καλούμενον πόρον ἰδιοποιεῖσθαι, ἵνα τὸν ἐπὶ τὴν Ἤπειρον πλοῦν ἀσφαλῆ κατασκευάσῃ, καὶ πόλεις ἔχῃ ἰδίας εἰς τὸ δύνασθαι ναυσὶ καθορμισθῆναι. ἔσπευδε γὰρ ἄφνω μεγάλαις δυνάμεσιν ἐπιπλεῦσαι τοῖς κατὰ τὴν Ἤπειρον τόποις καὶ συλήσειν τὸ ἐν Δελφοῖς τέμενος, γέμον πολλῶν χρημάτων. διὸ καὶ πρὸς Ἰλλυριοὺς ἐποιήσατο συμμαχίαν δι' Ἀλκέτου τοῦ Μολοττοῦ, ὃς ἐτύγχανε φυγὰς ὢν καὶ διατρίβων ἐν ταῖς Συρακούσαις. τῶν δ' Ἰλλυριῶν ἐχόντων πόλεμον, ἐξαπέστειλεν αὐτοῖς συμμάχους στρατιώτας δισχιλίους καὶ πανοπλίας Ἑλληνικὰς πεντακοσίας. οἱ δ' Ἰλλυριοὶ τὰς μὲν πανοπλίας ἀνέδωκαν τοῖς ἀρίστοις τῶν στρατιωτῶν, τοὺς δὲ στρατιώτας κατέμιξαν τοῖς ἰδίοις στρατιώταις. πολλὴν δὲ δύναμιν ἀθροίσαντες ἐνέβαλον εἰς τὴν Ἤπειρον, καὶ κατήγαγον τὸν Ἀλκέταν ἐπὶ τὴν τῶν Μολοττῶν βασιλείαν. οὐδενὸς δ' αὐτοῖς προσέχοντος, τὸ μὲν πρῶτον

33. εἰώθεισαν] εἰώθεσαν FIK 43. οὐδὲν κακὸν] οὐθὲν κακὸν AFL, caeteri κακὸν οὐθὲν 45. διόπερ — 47. μετοικῆσαι om. A

13. 53. ἔχῃ] ἔχειν A 56. συλήσειν] συλῆσαι Stephanus Δελφοῖς] Δωδώνῃ vertit Amyotus 59. ταῖς Συρ.] Συρ. FIK 63. ἀνέδωκαν] ἐνέδωκαν L 66. κατήγαγον] praestare videtur κατῆγον



ἐπόρθησαν τὴν χώραν, μετὰ δὲ ταῦτα τῶν Μολοττῶν ἀντιταττομένων, ἐγένετο μάχη καρτερά, καθ' ἣν νικήσαντες οἱ Ἰλλυριοὶ κατέκοψαν τῶν Μολοττῶν πλείους τῶν μυρίων πεντακισχιλίων. τοιαύτῃ δὲ συμφορᾷ τῶν Ἠπειρωτῶν περιπεσόντων, Λακεδαιμόνιοι πυθόμενοι τὰ συμβεβηκότα συμμαχίαν ἐξέπεμψαν τοῖς Μολοττοῖς, δι' ἧς τοῦ πολλοῦ θράσους ἔπαυσαν τοὺς βαρβάρους. ἅμα δὲ τούτοις πραττομένοις Πάριοι κατά τινα χρησμὸν ἀποικίαν ἐκπέμψαντες εἰς τὸν Ἀδρίαν ἔκτισαν ἐν αὐτῷ νῆσον τὴν ὀνομαζομένην Φάρον, συμπράξαντος αὐτοῖς Διονυσίου τοῦ τυράννου. οὗτος γὰρ ἀποικίαν ἀπεσταλκὼς εἰς τὸν Ἀδρίαν οὐ πολλοῖς πρότερον ἔτεσιν ἐκτικὼς ἦν τὴν πόλιν τὴν ὀνομαζομένην Λίσσον. ἐκ ταύτης οὖν ὁρμώμενος Διονύσιος σχολὴν ἄγων κατεσκεύασε νεώρια διακοσίαις τριήρεσι, καὶ τεῖχος περιέβαλε τῇ πόλει τηλικοῦτο τὸ μέγεθος ὥςτε τῇ πόλει γενέσθαι τὸν περίβολον μέγιστον τῶν Ἑλληνίδων πόλεων. κατεσκεύασε δὲ καὶ γυμνάσια μεγάλα παρὰ τὸν Ἄναπον ποταμόν· θεῶν τε ναοὺς κατεσκεύασε καὶ τἄλλα τὰ συντείνοντα πρὸς αὔξησιν πόλεως καὶ δόξαν.

Τοῦ δ' ἐνιαυσιαίου χρόνου διεληλυθότος Ἀθήνησι 14
μὲν ἦρχε Διοτρέφης, ἐν Ῥώμῃ δ' ὕπατοι κατεστάθησαν Λεύκιος Οὐαλέριος καὶ Αὖλος Μάλλιος, παρὰ δ' Ἠλείοις Ὀλυμπιὰς ἤχθη ἐνενηκοστὴ ἐνάτη, καθ' ἣν ἐνίκα
14 στάδιον Δίκων Συρακόσιος. ἐπὶ δὲ τούτων Πάριοι μὲν τὴν Φάρον οἰκίσαντες τούς τε προενοικοῦντας βαρβάρους ἔν τινι χωρίῳ καθ' ὑπερβολὴν ὀχυρῷ ὄντι εἴασαν κατοικεῖν ἀσινεῖς, αὐτοὶ δὲ παρὰ θάλατταν κτίσαντες πόλιν ἐτείχισαν. μετὰ δὲ ταῦτα τῶν προοικούντων ἐν τῇ νήσῳ βαρβάρων δυσχεραινόντων ἐπὶ τῇ παρουσίᾳ τῶν Ἑλλήνων, καὶ μεταπεμπομένων τοὺς πέραν κατοικοῦντας Ἰλλυριούς, μικροῖς πλοίοις πολλοῖς διέβησαν εἰς τὴν Φάρον, ὄντες ὑπὲρ τοὺς μυρίους, καὶ τοὺς Ἕλ-

70. νικήσαντες οἱ Ἰλλυριοὶ] ἐνίκησαν οἱ Ἰλλυριοὶ καὶ L 71. κατέκοψαν τῶν Μ.] τῶν Μ. κατέκοψαν L μυρίων] μυρίων καὶ FI 78. ἐν αὐτῷ] μὲν αὐτῶν F 81. πρότερον ἔτεσιν] ἔτεσιν πρότερον F ἦν om. AF 82. Λίσσον] scribebatur Λισσὸν Διονύσιος] hic vereror ne quid desit 85. τηλικοῦτο] τηλικοῦτον I 91. ἐνιαυσιαίου] ἐνιαυσίου IL 92. scribebatur Διοτρεφής 93. Μάλλιος] Μάλιος FK 94. ἐνενηκοστὴ ἐνάτη] ἐννεν. ἐννάτη omnes

14. 97. τούς τε] τοὺς μὲν Schaeferus 98. εἴασαν om. A, post ἀσινεῖς ponunt FIK

ληνας πορθοῦντες πολλοὺς ἀνῄρουν. ὁ δ' ἐν τῇ Λίσσῳ καθεσταμένος ἔπαρχος ὑπὸ Διονυσίου τριήρεις πλείους ἔχων ἐπέπλευσε τοῖς τῶν Ἰλλυριῶν πλοιαρίοις· καὶ τὰ μὲν βυθίσας, τὰ δὲ χειρωσάμενος, ἀπέκτεινε τῶν βαρβάρων πλείους τῶν πεντακισχιλίων, ἐζώγρησε δὲ περὶ δισχιλίους. Διονύσιος δὲ χρημάτων ἀπορούμενος ἐστράτευσεν ἐπὶ Τυῤῥηνίαν, ἔχων τριήρεις ἑξήκοντα, πρόφασιν μὲν φέρων τὴν τῶν λῃστῶν κατάλυσιν, τῇ δ' ἀληθείᾳ συλήσων ἱερὸν ἅγιον, γέμον μὲν ἀναθημάτων πολλῶν, καθιδρυμένον δ' ἐν ἐπινείῳ πόλεως Ἀγύλλης Τυῤῥηνίδος· τὸ δ' ἐπίνειον ὠνομάζετο Πύργοι. καταπλεύσας δὲ νυκτὸς καὶ τὴν δύναμιν ἐκβιβάσας, ἅμ' ἡμέρᾳ προσπεσὼν ἐκράτησε τῆς ἐπιβολῆς. ὀλίγων γὰρ ὄντων ἐν τῷ χωρίῳ φυλάκων βιασάμενος αὐτοὺς ἐσύλησε τὸ ἱερὸν καὶ συνήθροισεν οὐκ ἔλαττον ταλάντων χιλίων· τῶν δὲ Ἀγυλλαίων ἐκβοηθησάντων, μάχῃ τε ἐκράτησεν αὐτῶν καὶ πολλοὺς αἰχμαλώτους λαβὼν καὶ τὴν χώραν πορθήσας ἐπανῆλθεν εἰς τὰς Συρακούσας. ἀποδόμενος δὲ τὰ λάφυρα συνήγαγεν οὐκ ἐλάττω ταλάντων πεντακοσίων. εὐπορήσας δὲ χρημάτων, ἐμισθοῦτο στρατιωτῶν παντοδαπῶν πλῆθος, καὶ δύναμιν ἀξιόλογον συστησάμενος φανερὸς ἦν πολεμήσων Καρχηδονίοις. ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

**15** Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Φανοστράτου Ῥωμαῖοι κατέστησαν ἀντὶ τῶν ὑπάτων χιλιάρχους τέτταρας, Λεύκιον Λουκρήτιον, Σέντιον Σουλπίκιον, Λεύκιον Αἰμίλιον, Λεύκιον Φούριον. ἐπὶ δὲ τούτων Διονύσιος ὁ τῶν Συρακοσίων τύραννος παρασκευασάμενος πολεμεῖν Καρχηδονίοις, ἐζήτει λαβεῖν πρόφασιν εὔλογον τοῦ πολέμου. ὁρῶν οὖν τὰς ὑπὸ Καρχηδονίους τεταγμένας πόλεις οἰκείως ἐχούσας πρὸς ἀπόστασιν, προσεδέχετο τὰς βουλομένας ἀφίστασθαι, καὶ συμμαχίαν πρὸς αὐτὰς συντιθέμενος ἐπιεικῶς προσεφέρετο ταύταις. οἱ δὲ Καρχηδόνιοι τὸ μὲν πρῶτον πρέσβεις ἀποστέλλοντες πρὸς τὸν δυνάστην ἀπῄτουν τὰς πόλεις· μὴ προσέχοντος δὲ αὐτοῦ συνέβη ταύτην ἀρχὴν γενέσθαι τοῦ πολέμου. Καρχηδόνιοι μὲν πρὸς τοὺς παρόντας συμμαχίαν ποιησάμε-

6. Λίσσῳ] Λίσσῃ A 13. συλήσων] συλλήσων K 15. Ἀγύλλης] Ἀγύλης F 26. δὲ χρημάτων] οὖν χρημάτων L 32. τέσσαρας F 33. Λουκρήτιον] Λουκρίτιον FK, Λοκρήτιον A: ad proximum Λεύκιον annotat Wesselingius, „non legit omnia haec nomina A" 34. ἐπὶ δὲ] ἐπὶ FK 45. μὲν] scribe μὲν οὖν παρόντας] παρόντας Ἰταλιώτας Wesselingius: sed puto ipsum Ἰταλιώτας latere in παρόντας



νοι, κοινῇ τὸν πόλεμον ἐπανείλοντο πρὸς τὸν τύραννον·
15 προορώμενοι δ' ἐμφρόνως τὸ μέγεθος τοῦ πολέμου, τῶν τε πολιτῶν τοὺς εὐθέτους κατέλεγον στρατιώτας καὶ χρημάτων προχειρισάμενοι πλῆθος ξενικὰς δυνάμεις μεγάλας ἐμισθοῦντο. καταστήσαντες δὲ στρατηγὸν Μάγωνα τὸν βασιλέα πολλὰς μυριάδας στρατιωτῶν ἐπεραίωσαν εἰς τὴν Σικελίαν καὶ τὴν Ἰταλίαν, διαπολεμεῖν ἐξ ἀμφοτέρας βουλόμενοι. ὁ δὲ Διονύσιος καὶ αὐτὸς τὰς δυνάμεις διελόμενος τῷ μὲν ἑνὶ μέρει πρὸς τοὺς Ἰταλιώτας διηγωνίζετο, τῷ δὲ ἑτέρῳ πρὸς τοὺς Φοίνικας. πολλαὶ μὲν οὖν κατὰ μέρος ἐγίνοντο μάχαι τοῖς στρατοπέδοις καὶ συμπλοκαὶ μικραὶ καὶ συνεχεῖς, ἐν αἷς οὐδὲν ἀξιόλογον ἔργον συνετελέσθη, δύο δὲ παρατάξεις ἐγένοντο μεγάλαι καὶ περιβόητοι. καὶ τῇ μὲν πρώτῃ Διονύσιος θαυμαστῶς ἀγωνισάμενος περὶ τὰ καλούμενα Κάβαλα ἐπροτέρησε, καὶ πλείους μὲν τῶν μυρίων ἀνεῖλε τῶν βαρβάρων, οὐκ ἐλάττους δὲ τῶν πεντακισχιλίων ἐζώγρησε· τὸ δ' ἄλλο πλῆθος ἠνάγκασε καταφυγεῖν ἐπί τινα λόφον ἐρυμνὸν καὶ ἄνυδρον παντελῶς. ἔπεσε δὲ καὶ Μάγων ὁ βασιλεὺς αὐτῶν ἀγωνισάμενος λαμπρῶς. οἱ δὲ Φοίνικες καταπλαγέντες τὸ μέγεθος τῆς συμφορᾶς εὐθὺς διεπρεσβεύσαντο περὶ διαλύσεων. ὁ δὲ Διονύσιος ἀπεφήνατο μίαν αὐτοῖς εἶναι σύλλυσιν, ἐὰν ἐκχωρήσωσι τῶν κατὰ τὴν Σικελίαν πόλεων καὶ τὰ δαπανηθέντα χρήματα κατὰ τὸν πόλεμον ἐκτίσωσι.

**16** βαρείας δὲ καὶ ὑπερηφάνου τῆς ἀποκρίσεως δοκούσης ὑπάρχειν, οἱ Καρχηδόνιοι τῇ συνήθει πανουργίᾳ κατεστρατήγησαν τὸν Διονύσιον. προσποιηθέντες οὖν εὐδοκεῖσθαι ταῖς ὁμολογίαις ἔφησαν αὐτοὺς μὲν μὴ ὑπάρχειν κυρίους τῆς τῶν πόλεων παραδόσεως, ἵνα δὲ τοῖς ἄρχουσι διαλεχθῶσι περὶ τούτων, ἠξίωσαν τὸν Διονύσιον ὀλίγας ἡμέρας ἀνοχὰς ποιήσασθαι. συγχωρήσαντος δὲ τοῦ δυνάστου, καὶ τῶν ἀνοχῶν γενομένων, ὁ μὲν Διονύσιος περιχαρὴς ἦν, ὡς αὐτίκα μάλα τὴν Σικελίαν πᾶσαν παραληψόμενος, οἱ δὲ Καρχηδόνιοι Μάγωνα μὲν τὸν βασιλέα μεγαλοπρεπῶς ἔθαψαν, ἀντὶ

15. 47. δ' ἐμφρ.] δὲ ἐμφρ. K 49. προχειρισάμενος πλῆθος] invertit F 53. ἐξ ἀμφοτέρας Wesselingius: libri ἀμφοτέρας 58. μικραὶ καὶ] μικραί τε καὶ L 61. θαυμαστῶς] λαμπρῶς L 62. ἐπροτέρησε Wesselingius: libri προετέρησε 70. ἀπεφήνατο] τῷ super το ponit F σύλλυσιν AFIKL, caeteri praeponunt articulum, quem asterisco notavit Stephanus 71. τὴν om. F 74. τῆς ἀποκρίσεως post ὑπάρχειν ponit L 77. αὐτοὺς libri

δὲ ἐκείνου στρατηγὸν κατέστησαν τὸν υἱὸν αὐτοῦ, νέον μὲν παντελῶς ὄντα, φρονήματος δ' εὐγενοῦς ὄντα καὶ διάφορον ἀνδρείᾳ. οὗτος δὲ πάντα τὸν τῶν ἀνοχῶν χρόνον διετέλεσε διατάττων καὶ γυμνάζων τὴν δύναμιν. διὰ δὲ τῆς τῶν ἔργων ἀθλήσεως καὶ τῆς τῶν λόγων παρακλήσεως καὶ γυμνασίας ἐν τοῖς ὅπλοις εὐπειθῆ καὶ δυνατὴν ἐποίησε τὴν στρατιάν. ὡς δ' ὁ τῆς ὁμολογίας διῆλθε χρόνος, ἀμφότεροι τὰς δυνάμεις ἐκτάξαντες συγκατέβησαν προθύμως ἐπὶ τὴν μάχην. γενομένης δὲ παρατάξεως ἰσχυρᾶς περὶ τὸ καλούμενον Κρόνιον, τὸ δαιμόνιον ἐναλλὰξ τῇ νίκῃ τὴν ἧτταν τῶν Καρχηδονίων διωρθώσατο. οἱ μὲν γὰρ προνενικηκότες διὰ τὴν προγεγενημένην εὐημερίαν μεγαλαυχοῦντες παραδόξως ἐσφάλησαν, οἱ δὲ διὰ τὴν ἧτταν πεπτωκότες ταῖς ἐλπίσιν 16

17 ἀπροςδόκητον καὶ μεγάλην εὐημερίαν ἀπηνέγκαντο. Λεπτίνης μὲν γὰρ ἐπὶ θατέρου κέρως τεταγμένος, καὶ διαφέρων ἀνδρείᾳ, μαχόμενος ἡρωικῶς καὶ πολλοὺς ἀνελὼν τῶν Καρχηδονίων ἐπιφανῶς κατέστρεψε τὸν βίον· τούτου δὲ πεσόντος οἱ Φοίνικες θαῤῥήσαντες καὶ βιασάμενοι τοὺς ἀντιτεταγμένους ἐτρέψαντο. Διονύσιος δὲ τὸ μὲν πρῶτον ἔχων ἐπιλέκτους τοὺς συντεταγμένους ἐπροτέρει τῶν ἀντιτεταγμένων· ὡς δ' ὁ τοῦ Λεπτίνου θάνατος ἐγνώσθη καὶ τὸ ἕτερον κέρας συνετέτριπτο, κατεπλάγησαν οἱ τοῦ Διονυσίου καὶ πρὸς φυγὴν ὥρμησαν. τροπῆς δὲ παντελοῦς γενομένης, οἱ μὲν Καρχηδόνιοι φιλοτιμότερον καταδιώξαντες παρήγγελλον ἀλλήλοις μηδένα ζωγρεῖν· διὸ καὶ πάντων τῶν περικαταλαμβανομένων ἀναιρουμένων πᾶς ὁ πλησίον τόπος νεκρῶν ἐπληρώθη. τοσοῦτος δ' ἐγένετο φόνος, μνησικακούντων τῶν Φοινίκων, ὥστε τοὺς ἀναιρεθέντας εὑρεθῆναι τῶν Σικελιωτῶν πλείους τῶν μυρίων καὶ τετρακισχιλίων· οἱ δὲ περιλειφθέντες καταφυγόντες εἰς τὴν παρεμβολὴν τῆς νυκτὸς ἐπιγενομένης διεσώθησαν. οἱ δὲ Καρχηδόνιοι μεγάλῃ παρατάξει νικήσαντες, ἀνεχώρησαν εἰς Πάνορμον. ἀνθρωπίνως δὲ τὴν εὐημερίαν ἐνεγκόντες ἀπέστειλαν πρεσβευτάς, δόντες ἐξουσίαν τῷ Διονυσίῳ

88. διατάττων] διατάσσων omnes 89. τὴν δύναμιν] τὸ στρατόπεδον L

16. 100. ταῖς] ταῖς δ' F 8. ἐπροτέρει Wesselingius: libri προετέρει 10. συνετέτραπτο] ἀνετέτραπτο vel συνετέτριπτο Reiskius 12. παντελοῦς AFIKL, caeteri παντελῶς 17. ἀναιρεθέντας εὑρεθῆναι Wesselingius: libri εὑρεθέντας ἀναιρεθῆναι



καταλύσασθαι τὸν πόλεμον. ἀσμένως δὲ τοῦ τυράννου προσδεξαμένου τοὺς λόγους ἐγένοντο διαλύσεις, ὥςτε ἔχειν ἀμφοτέρους ὧν πρότερον ὑπῆρχον κύριοι· ἐξαίρετον δ' ἔλαβον οἱ Καρχηδόνιοι τὴν τῶν Σελινουντίων πόλιν τε καὶ χώραν καὶ τῆς Ἀκραγαντίνης μέχρι τοῦ Ἁλύκου καλουμένου ποταμοῦ· ἔτισε δὲ Διονύσιος τοῖς Καρχηδονίοις τάλαντα χίλια. καὶ τὰ μὲν κατὰ τὴν Σικελίαν ἐν τούτοις ἦν.

Κατὰ δὲ τὴν Ἀσίαν Γαὼς ὁ ναυαρχήσας τῶν Περ- 18 σῶν ἐν τῷ Κυπριακῷ πολέμῳ, ἀποστάτης ὢν τοῦ βασιλέως καὶ τούς τε Λακεδαιμονίους καὶ τὸν Αἰγυπτίων βασιλέα παρακεκληκὼς εἰς τὸν πρὸς Πέρσας πόλεμον, δολοφονηθεὶς ὑπό τινων οὐ συνετέλεσε τὴν προαίρεσιν. μετὰ δὲ τὴν τούτου τελευτὴν Ταχὼς διαδεξάμενος τὰς τούτου πράξεις συνεστήσατο περὶ αὐτὸν δύναμιν, καὶ πόλιν ἔκτισε πλησίον τῆς θαλάττης ἐπί τινος κρημνοῦ τὴν ὀνομαζομένην Λεύκην, ἔχουσαν ἱερὸν ἅγιον Ἀπόλλωνος. μετ' ὀλίγον δὲ χρόνον αὐτοῦ τελευτήσαντος ἠμφισβήτησαν τῆς πόλεως ταύτης Κλαζομένιοι καὶ Κυμαῖοι. τὸ μὲν οὖν πρῶτον ἐπεχείρησαν αἱ πόλεις πολέμῳ διακρίνεσθαι, μετὰ δὲ ταῦτα εἰπόντος τινὸς ἐρωτῆσαι τὸν θεὸν ποτέραν τῶν πόλεων κρίνει κυρίαν εἶναι δεῖν τῆς Λεύκης, ἔκρινεν ἡ Πυθία ταύτην ὑπάρ-
17 χειν ἥτις ἂν πρώτη θύσῃ ἐν τῇ Λεύκῃ· ὁρμηθῆναι δὲ ἐκ τῆς ἰδίας πόλεως ἅμ' ἡλίῳ ἀνιόντι κατὰ τὴν ἡμέραν ἣν ἀμφότεροι συμφώνως ὑποστήσονται. ταχθείσης δὲ τῆς ἡμέρας, οἱ μὲν Κυμαῖοι ὑπελάμβανον ἑαυτοὺς προλέγειν διὰ τὸ τὴν αὐτῶν πόλιν ἐγγυτέρω κεῖσθαι· οἱ δὲ Κλαζομένιοι, διάστημα πλέον ἀπέχοντες, τεχνάζονταί τι τοιοῦτο πρὸς τὴν νίκην· κληρώσαντες ἐξ ἑαυτῶν ἀποίκους ἔκτισαν πλησίον τῆς Λεύκης πόλιν, ἐξ ἧς ὁρμηθέντες ἅμ' ἡλίῳ ἀνατέλλοντι ἔφθασαν τοὺς Κυμαίους τὴν θυσίαν ἐπιτελέσαντες. τούτῳ δὲ τῷ φιλοτεχνήματι γενόμενοι κύριοι τῆς Λεύκης, ἐπώνυμον ἑορτὴν ἄγειν κατ' ἐνιαυτὸν ἐπεστήσαντο, τὴν πανήγυριν ὀνομάσαν-

29. Ἁλύκου] Ἀλίκου IK 31. τὴν Σικελίαν] Σικελίαν A 33. κατὰ δὲ τὴν Ἀσίαν om. FK Γαὼς] Γαὼς δὲ F 35. τούς τε Λακ.] τοὺς Λακ. A 41. θαλάττης] θαλάσσης omnes 46. διακρίνεσθαι] διακρίνασθαι K 47. κρίνει] κρίνειν F 49. θύσῃ ἐν] θύσειεν AK, θύσεις F

17. 55. τοιοῦτο] τοιοῦτον IK 61. ἐπεστήσαντο] ἐνεστήσαντο Reiskius

τες προφθασίαν. τούτων δὲ πραχθέντων αἱ μὲν κατὰ τὴν Ἀσίαν ἐπαναστάσεις αὐτομάτως κατελύθησαν.

19 Λακεδαιμόνιοι δὲ μετὰ τὸν τοῦ Γαὼ καὶ τοῦ Ταχὼ θάνατον τὰς μὲν κατὰ τὴν Ἀσίαν πράξεις ἀπέγνωσαν, τὰ δὲ κατὰ τὴν Ἑλλάδα συσκευασάμενοι, καὶ τῶν πόλεων ἃς μὲν πειθοῖ προςαγόμενοι, ἃς δὲ διὰ τῆς τῶν φυγάδων καθόδου βίᾳ χειρούμενοι, φανερῶς ἤδη τὴν ἡγεμονίαν τῆς Ἑλλάδος εἰς ἑαυτοὺς μεθίστασαν παρὰ τὰς κοινὰς συνθήκας τὰς ἐπ' Ἀνταλκίδου γενομένας συνεπιλαβομένου τοῦ Περσῶν βασιλέως. κατὰ δὲ τὴν Μακεδονίαν Ἀμύντου τοῦ βασιλέως ἡττηθέντος ὑπὸ Ἰλλυριῶν καὶ τὰ κατὰ τὴν ἀρχὴν ἀπογνόντος, πρὸς δὲ τούτοις τῷ δήμῳ τῶν Ὀλυνθίων δωρησαμένου πολλὴν τῆς ὁμόρου χώρας διὰ τὴν ἀπόγνωσιν τῆς ἑαυτοῦ δυναστείας, τὸ μὲν πρῶτον ὁ δῆμος ὁ τῶν Ὀλυνθίων τὰς προσόδους ἐλάμβανε τὰς ἐκ τῆς δοθείσης χώρας, μετὰ δὲ ταῦτ' ἀνελπίστως τοῦ βασιλέως ἀναλαβόντος ἑαυτὸν καὶ τὴν ὅλην ἀρχὴν ἀνακτησαμένου, οἱ μὲν Ὀλύνθιοι τὴν χώραν ἀπαιτηθέντες οὐχ οἷοι ἦσαν ἀποδιδόναι. διόπερ Ἀμύντας ἰδίαν τε δύναμιν συνεστήσατο καὶ τοὺς Λακεδαιμονίους ποιησάμενος συμμάχους ἔπεισεν ἐξαποστεῖλαι στρατηγὸν καὶ δύναμιν ἀξιόλογον ἐπὶ τοὺς Ὀλυνθίους. οἱ δὲ Λακεδαιμόνιοι κρίναντες ἀντέχεσθαι τῶν ἐπὶ Θρᾴκης τόπων, κατέλεξαν στρατιώτας ἔκ τε τῶν πολιτῶν καὶ παρὰ τῶν συμμάχων τοὺς ἅπαντας ὑπὲρ μυρίους. παραδόντες δὲ τὴν δύναμιν Φοιβίδᾳ τῷ Σπαρτιάτῃ προςέταξαν συμμαχεῖν τῷ Ἀμύντᾳ καὶ μετ' ἐκείνου πολεμῆσαι τοὺς Ὀλυνθίους· ἑτέραν δὲ δύναμιν ἐπὶ Φλιουντίους ἐκπέμψαντες καὶ μάχῃ νικήσαντες, ἠνάγκασαν ὑποταγῆναι τοὺς Φλιουντίους τοῖς Λακεδαιμονίοις. κατὰ δὲ τοῦτον τὸν χρόνον οἱ βασιλεῖς τῶν Λακεδαιμονίων διεφέροντο πρὸς ἀλλήλους ταῖς αἱρέσεσιν· Ἀγησίπολις μὲν γάρ, εἰρηνικὸς ὢν καὶ δίκαιος, ἔτι δὲ καὶ συνέσει διαφέρων, ἔφη δεῖν ἐμμένειν τοῖς ὅρκοις καὶ παρὰ τὰς κοινὰς συνθήκας μὴ καταδουλοῦσθαι τοὺς Ἕλληνας· ἀδοξεῖν γὰρ ἀπεφήνατο τὴν Σπάρτην τοῖς μὲν Πέρσαις ἐκδότους πεποιημένην τοὺς κατὰ τὴν Ἀσίαν Ἕλληνας, 18

62. προφθασίαν] προφθάσια Reiskius τούτων δὲ] τούτων A 67. συσκευασάμενοι Wesselingius: libri σκευασάμενοι 69. τῆς τῶν φυγάδων] τῶν φυγάδων FK 70. μεθίστασαν] libri μεθιστᾶσι 80. ταῦτ'] ταῦτα KL ἀνελπίστως τοῦ βασιλέως] τοῦ βασιλέως ἀνελπίστως L 93. 94. Φλιουντίους Palmerius, Φλυουντίους priori loco L ab manu rec., caeteri Φαιουντίους 95. τοῦτον] αὐτῶν K, τὸν αὐτὸν I



αὐτὴν δὲ συσκευαζομένην τὰς κατὰ τὴν Ἑλλάδα πόλεις, ἃς ἐν ταῖς κοιναῖς συνθήκαις ὤμοσαν τηρήσειν αὐτονόμους. ὁ δ' Ἀγησίλαος, ὢν φύσει δραστικός, φιλοπόλεμος ἦν καὶ τῆς τῶν Ἑλλήνων δυνάμεως ἀντείχετο.

Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Εὐάνδρου Ῥωμαῖοι κατέστησαν ἀντὶ τῶν ὑπάτων χιλιάρχους ἕξ, Κόϊντον Σουλπίκιον, Γάϊον Φάβιον, Σερουίλιον Κορνήλιον, Πόπλιον Οὔγωνα, Σέξτον Ἄνιον καὶ Γάϊον Μάρκον. ἐπὶ δὲ τούτων Λακεδαιμόνιοι κατελάβοντο τὴν Καδμείαν ἐν ταῖς Θήβαις διά τινας τοιαύτας αἰτίας. ὁρῶντες τὴν Βοιωτίαν ἔχουσαν πόλεών τε πλῆθος καὶ τοὺς κατοικοῦντας αὐτὴν ἄνδρας ὑπάρχοντας ἀνδρείᾳ διαφόρους, ἔτι δὲ τὰς Θήβας ἐχούσας παλαιὸν ἀξίωμα, καὶ τὸ σύνολον ὥςπερ ἀκρόπολίν τινα τῆς Βοιωτίας οὖσαν, εὐλαβοῦντο μήποτε καιροῦ παραφανέντος οἰκείου τῆς ἡγεμονίας ἀντιποιήσηται. διόπερ τοῖς ἡγεμόσιν οἱ Σπαρτιᾶται παρήγγελλον ἐν ἀποῤῥήτοις ἵν' ἐάν ποτε καιρὸν λάβωσι, καταλάβωνται τὴν Καδμείαν. τοιαύτης δὲ γενομένης παραγγελίας, Φοιβίδας ὁ Σπαρτιάτης, τεταγμένος ἐπί τινος ἡγεμονίας καὶ δύναμιν ἄγων ἐπὶ Ὀλυνθίους, κατελάβετο τὴν Καδμείαν. ἀγανακτούντων δὲ τῶν Θηβαίων καὶ μεθ' ὅπλων συνδραμόντων, συνάψας μάχην αὐτοῖς καὶ νικήσας, τριακοσίους μὲν τοὺς ἐπιφανεστάτους τῶν Θηβαίων ἐφυγάδευσε, τοὺς δὲ λοιποὺς καταπληξάμενος καὶ φρουρὰν ἰσχυρὰν ἐγκαταστησάμενος, ἐπὶ τὰς ἰδίας πράξεις ἀπηλλάγη. οἱ δὲ Λακεδαιμόνιοι διὰ τὴν πρᾶξιν ταύτην ἀδοξοῦντες παρὰ τοῖς Ἕλλησι, τὸν μὲν Φοιβίδαν ἐζημίωσαν χρήμασι, τὴν δὲ φρουρὰν οὐκ ἐξῆγον ἐκ τῶν Θηβῶν. οἱ μὲν οὖν Θηβαῖοι τοῦτον τὸν τρόπον τὴν αὐτονομίαν ἀποβαλόντες ἠναγκάσθησαν ὑποταγῆναι τοῖς Λακεδαιμονίοις. τῶν δ' Ὀλυνθίων διαπολεμούντων πρὸς Ἀμύνταν τὸν τῶν Μακεδόνων βασιλέα, Λακεδαιμόνιοι τὸν μὲν Φοιβίδαν ἀπέστησαν τῆς ἡγεμονίας, Εὐδαμίδαν δὲ τὸν ἀδελφὸν τοῦ Φοιβίδα κατέστησαν στρατηγόν. δόντες δ'

20

18. 4. ἃς addidit Rhodomannus μὴ καταδουλοῦσθαι post συνθήκαις delenda vidit Wesselingius 7. δυνάμεως] δυναστείας Reiskius 8. Ἀθήνησι Μενάνδρου] verum est Ἀθήνησιν Εὐάνδρου 10. Σερουίλιον Κορνήλιον AFK, caeteri Κορνήλιον Σερουίλιον: quae sequuntur nomina om. A 11. Σέξτον] σέξτιον F: scribebatur Σέξστον ἄνιον F, caeteri Ἄνινον 13. Θήβαις] στήλαις AK 25. κατελάβετο] κατέλαβε IK 26. συνδραμόντων] συμπαρόντων IK

αὐτῷ τρισχιλίους ὁπλίτας ἐξαπέστειλαν διαπολεμήσοντα
21 τὸν πρὸς τοὺς Ὀλυνθίους πόλεμον. οὗτος δ' ἐμβαλὼν εἰς τὴν χώραν τῶν Ὀλυνθίων κοινῇ μετ' Ἀμύντου διεπολέμει πρὸς Ὀλυνθίους. εἶθ' οἱ μὲν Ὀλύνθιοι δύναμιν ἀξιόλογον ἠθροικότες ἐπλεονέκτουν ἐν ταῖς μάχαις, στρατιώτας πλείους ἔχοντες τῶν πολεμίων. οἱ δὲ Λακεδαιμόνιοι δύναμιν ἀξιόλογον προχειρισάμενοι, κατέστησαν στρατηγὸν ἐπ' αὐτῆς Τελευτίαν· οὗτος δ' ἦν ἀδελφὸς 19
μὲν Ἀγησιλάου τοῦ βασιλέως, θαυμαζόμενος δ' ἐπ' ἀρετῇ παρὰ τοῖς πολίταις. ἀναζεύξας οὖν μετὰ δυνάμεως ἐκ τῆς Πελοποννήσου, καὶ καταντήσας πλησίον τῆς Ὀλυνθίων, παρέλαβε τοὺς μετὰ Εὐδαμίδου στρατιώτας. γενόμενος δὲ ἀξιόμαχος, τὸ μὲν πρῶτον τὴν τῶν Ὀλυνθίων χώραν ἐδῄωσε, καὶ συναγαγὼν πλῆθος λείας ἐμέρισε τοῖς στρατιώταις. τῶν δὲ Ὀλυνθίων μετὰ τῶν συμμάχων πανδημεὶ παραταξαμένων, συνῆψε μάχην· καὶ τὸ μὲν πρῶτον ἰσοῤῥόπου τοῦ κινδύνου γενομένου διεχωρίσθησαν· μετὰ δὲ ταῦτα γενομένης μάχης ἰσχυρᾶς αὐτός τε ὁ Τελευτίας ἔπεσε λαμπρῶς ἀγωνισάμενος, καὶ τῶν Λακεδαιμονίων ἀνῃρέθησαν πλείους τῶν χιλίων καὶ διακοσίων. τηλικαύτης δ' εὐημερίας γενομένης τοῖς Ὀλυνθίοις, οἱ μὲν Λακεδαιμόνιοι, βουλόμενοι διορθώσασθαι τὸ γεγονὸς ἐλάττωμα, δυνάμεις ἀδροτέρας ἐκπέμπειν παρεσκευάζοντο, οἱ δὲ Ὀλύνθιοι, νομίζοντες μείζοσι δυνάμεσιν ἥξειν τοὺς Σπαρτιάτας, καὶ τὸν πόλεμον ἔσεσθαι πολυχρόνιον, σίτου τε παρασκευὰς ἀξιολόγους ἐποιοῦντο καὶ παρὰ τῶν συμμάχων στρατιώτας προσελαμβάνοντο.

22 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Δημοφίλου Ῥωμαῖοι ἀντὶ τῶν ὑπάτων χιλιάρχους κατέστησαν Πόπλιον Κορνήλιον, Λεύκιον Οὐεργίνιον, Λεύκιον Παπίριον, Μάρκον Φούριον, Οὐαλέριον Αὖλον, Μάλλιον Λεύκιον καὶ Ποστούμιον Κόϊντον. ἐπὶ δὲ τούτων Λακεδαιμόνιοι μὲν στρατηγὸν προχειρισάμενοι Ἀγησίπολιν τὸν βασιλέα, καὶ δύναμιν ἱκανὴν παραδόντες, ἐψηφίσαντο πρὸς Ὀλυνθίους πόλεμον. οὗτος δὲ καταντήσας εἰς τὴν τῶν Ὀλυνθίων χώραν καὶ παραλαβὼν τοὺς προϋπάρχοντας ἐν τῇ παρεμβολῇ στρατιώτας, διεπολέμει πρὸς τοὺς ἐγχωρίους. οἱ δ' Ὀλύνθιοι μεγάλην μὲν μάχην οὐδεμίαν κατὰ τοῦτον τὸν ἐνιαυτὸν συνεστήσαντο, ἀκροβολισμοὺς δὲ καὶ βραχείας συμπλοκὰς ποιούμενοι διετέλεσαν, καταπεπληγμένοι τὴν μετὰ τοῦ βασιλέως δύναμιν.

42. τὸν πρὸς τοὺς Ὀ. πόλεμον] τοὺς πρὸς Ὀ. πολέμους K, τοὺς πρὸς τοὺς Ὀ. πολέμους L, τοὺς Ὀλυνθίους πολέμους annotatum ex F

19. 53. τοὺς μετ' Εὐδαμίδου στρατιώτας] τοῖς μετὰ Φοιβίδου στρατιώταις A 59. τοῦ κινδύνου] κινδύνου FI 68. πολυχρόνιον Wesselingius: libri πολὺν χρόνον 72. — 86. δύναμιν om. L 74. Λεύκιον om. K Παπίριον] libri Παπύριον 75. Μάρκον — Οὐαλέριον om. A 76. Μάλλιον] Μάλιον FK, cum sequentibus nominibus om. A



Τοῦ δ' ἐνιαυσίου χρόνου διεληλυθότος Ἀθήνησι 23
μὲν ἦρχε Πυθέας, ἐν Ῥώμῃ δ' ἀντὶ τῶν ὑπάτων χιλίαρχοι ἓξ κατεστάθησαν, Τίτος Κοΐντιος, Λεύκιος Σερουίλιος, Λεύκιος Ἰούλιος, Ἀκύλιος Δέκιος, Λουκρήτιος Ἄγκος καὶ Σερούιος Σουλπίκιος, παρὰ δὲ Ἠλείοις Ὀλυμπιὰς ἤχθη ἑκατοστή, καθ' ἣν ἐνίκα στάδιον Διο-
20 νυσόδωρος Ταραντῖνος. ἐπὶ δὲ τούτων Ἀγησίπολις ὁ τῶν Λακεδαιμονίων βασιλεὺς ἐτελεύτησε νόσῳ, βασιλεύσας ἔτη τέτταρα καὶ δέκα· τὴν δὲ ἀρχὴν διαδεξάμενος Κλεόμβροτος ὁ ἀδελφὸς ἐβασίλευσεν ἔτη ἐννέα. Λακεδαιμόνιοι δὲ Πολυβιάδαν στρατηγὸν καταστήσαντες ἐξαπέστειλαν εἰς τὸν πρὸς Ὀλυνθίους πόλεμον. οὗτος δὲ παραλαβὼν τὰς δυνάμεις, καὶ τὸν πόλεμον ἐνεργῶς ἅμα καὶ στρατηγικῶς διοικῶν, ἐποίει πολλὰ προτερήματα. ἀεὶ δὲ μᾶλλον εὐημερῶν καὶ πλείοσι μάχαις νικήσας, συνέκλεισε τοὺς Ὀλυνθίους εἰς πολιορκίαν· τέλος δὲ καταπληξάμενος τοὺς πολεμίους προσέταξεν ὑποταγῆναι Λακεδαιμονίοις. ἐγγραφέντων δὲ τῶν Ὀλυνθίων εἰς τὴν τῶν Σπαρτιατῶν συμμαχίαν πολλαὶ καὶ τῶν ἄλλων πόλεων ἔσπευσαν εἰς τὴν τῶν Λακεδαιμονίων ἡγεμονίαν καταλεχθῆναι. διὸ καὶ κατὰ τούτους τοὺς καιροὺς πλεῖστον ἴσχυσαν Λακεδαιμόνιοι, καὶ τῆς Ἑλλάδος ἔσχον τὴν ἡγεμονίαν κατὰ γῆν ἅμα καὶ κατὰ θάλατταν. Θηβαῖοι μὲν γὰρ ὑπῆρχον ἔμφρουροι, Κορίνθιοι δὲ καὶ Ἀργεῖοι διὰ τοὺς προγεγονότας πολέμους ὑπῆρχον τεταπεινωμένοι, Ἀθηναῖοι δὲ διὰ τὰς τῶν πολεμουμένων κληρουχίας ἠδόξουν ἐν τοῖς Ἕλλησιν· οἱ δὲ Λακεδαιμόνιοι τῆς τε πολυανθρωπίας καὶ τῆς ἐν τοῖς ὅπλοις μελέτης πολλὴν πρόνοιαν ἐπεποίηντο, καὶ φοβεροὶ πᾶσιν

82. πρὸς τοὺς ἐγχ.] πρὸς ἐγχ. A 88. ἐνιαυσίου] ἐνιαυσιαίου L 89. ἦρχε FIKL, caeteri ἦν ἄρχων 91. Λεύκιος Σερ.] invertit A omissis reliquis nominibus 92. Λουκρήτιος] Λουκρίτιος FK Ἄγκος] ἄγγος F 93. Σερούιος Rhodomannus: libri Σερουΐλιος 94. Διονυσόδωρος Eusebius: libri Διονυσιόδωρος

20. 97. τέσσαρα καὶ δέκα ed. Wess., ιδ' ed. Steph. 99. Πολυβιάδαν Xenophon: Πολυκαίδαν A, caeteri Πολυβίδαν 3. ἀεὶ] αἰεὶ omnes 4. καὶ πλείοσι] πλείοσι A 8. τῶν Σπαρτιατῶν] Σπαρτιατῶν A 12. ἔσχον] ἔχοντες A 16. τὰς Wesselingius: libri τῆς

ὑπῆρχον διὰ τὴν δύναμιν τῆς ἡγεμονίας. διόπερ οἱ μέγιστοι τῶν τότε δυναστῶν, λέγω δὲ τὸν Περσῶν βασιλέα καὶ τὸν Σικελίας δυνάστην Διονύσιον, ἐθεράπευον τὴν Σπαρτιατῶν ἡγεμονίαν καὶ συμμαχίαν ἔσπευδον συντίθεσθαι πρὸς αὐτούς.

24 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Νίκωνος Ῥωμαῖοι χιλιάρχους ἓξ ἀντὶ τῶν ὑπάτων κατέστησαν, Λεύκιον Παπίριον, Γάϊον Κορνήλιον, Λεύκιον Μάλλιον, Γάϊον Σερουίλιον, Οὐαλέριον Αὖλον καὶ Κόϊντον Φάβιον. ἐπὶ δὲ τούτων Καρχηδόνιοι στρατεύσαντες εἰς τὴν Ἰταλίαν τοῖς μὲν Ἱππωνιάταις ἐκπεπτωκόσιν ἐκ τῆς πατρίδος ἀποκατέστησαν τὴν πόλιν, καὶ πάντας τοὺς πεφευγότας συναγαγόντες πολλὴν ἐπιμέλειαν αὐτῶν ἐποιήσαντο. μετὰ δὲ ταῦτα λοιμικῆς νόσου τοῖς κατοικοῦσι τὴν Καρχηδόνα γενομένης, καὶ τῆς νόσου πολλὴν ἐπίτασιν ἐχούσης, πολλοὶ τῶν Καρχηδονίων διεφθάρησαν, καὶ τὴν ἡγεμονίαν ἐκινδύνευσαν ἀποβαλεῖν. οἵ τε γὰρ Λίβυες καταφρονήσαντες αὐτῶν ἀπέστησαν, οἵ τε τὴν Σαρδόνα κατοικοῦντες, νομίσαντες ἔχειν καιρὸν κατὰ τῶν Καρχηδονίων, ἀπέστησαν ἀπ' αὐτῶν καὶ συμφρονήσαντες ἐπέθεντο τοῖς Καρχηδονίοις. ἐγένετο δὲ περὶ τὸν αὐτὸν καιρὸν θεόπεμπτός τις ἀτυχία κατὰ τὴν Καρχηδόνα. 21 ταραχαὶ γὰρ καὶ φόβοι καὶ πανικοὶ θόρυβοι συνεχεῖς ἐγίνοντο κατὰ τὴν πόλιν παράδοξοι, καὶ πολλοὶ μὲν μετὰ τῶν ὅπλων ἐξεπήδων ἐκ τῶν οἰκιῶν, ὡς πολεμίων εἰςπεπτωκότων εἰς τὴν πόλιν, καὶ πρὸς ἀλλήλους ὡς πολεμίους διαπολεμοῦντες οὓς μὲν ἀνῄρουν οὓς δὲ κατετραυμάτιζον. τέλος δὲ θυσίαις τὸ θεῖον ἐξιλασάμενοι καὶ μεγίστων κακῶν ἀπαλλαγέντες, ταχὺ καὶ τοὺς Λίβυας κατεπολέμησαν καὶ τὴν νῆσον ἀνεκτήσαντο.

25 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Ναυσινίκου Ῥωμαῖοι χιλιάρχους τέτταρας ἀντὶ τῶν ὑπάτων κατέστησαν, Μάρκον Κορνήλιον καὶ Σερουίλιον Κόϊντον, Μάρκον Φούριον

22. Σπαρτιατῶν] τῶν Σπαρτιατῶν FIK 25. Νίκωνος] Μίκωνος L 27. Παπίριον] libri Παπύριον Μάλλιον] Μάλιον K 28. ad Γάϊον notat Wesselingius: *nomina haec omnia absunt* A 29. Κόϊντον Wesselingius, Κοίγκτιον K, caeteri Κοΐντιον 36. διεφθάρησαν] ἐφθάρησαν F 42. θεόπεμπτός] θεόπομπος L

21. 48. κατετραυμάτιζον AFIKL, caeteri ἐτραυμάτιζον 49. μεγίστων] fortasse scribendum μόγις τῶν 53. τέτταρας] τέσσαρας omnes 54. καὶ om. FK Σερουίλιον] Σερούιον A Κόϊντον] Κοΐνκτιον K, caeteri Κοΐντιον 55. ad Μάρκον notat Wesselingius „*desunt haec nomina* A" Φούριον F, caeteri Φρούριον



καὶ Λεύκιον Κοΐντιον. ἐπὶ δὲ τούτων ὁ κληθεὶς Βοιωτικὸς πόλεμος ἐνέστη Λακεδαιμονίοις πρὸς Βοιωτοὺς διὰ τοιαύτας αἰτίας. τὴν Καδμείαν φρουρούντων Λακεδαιμονίων ἀδίκως καὶ πολλοὺς τῶν ἀξιολόγων ἀνδρῶν πεφυγαδευκότων, συνεστράφησαν οἱ φυγάδες, καὶ συνεπιλαβομένων Ἀθηναίων κατῆλθον εἰς τὴν πατρίδα νυκτός. καὶ πρῶτον μὲν τοὺς τὰ Λακεδαιμονίων φρονοῦντας ἐν ταῖς ἰδίαις οἰκίαις ἐφόνευσαν, ἔτι κοιμωμένους καταλαβόντες· ἔπειτα τοὺς πολίτας ἐπὶ τὴν ἐλευθερίαν παρακαλέσαντες συνεργοὺς ἔσχον ἅπαντας τοὺς Θηβαίους. ταχὺ δὲ τοῦ πλήθους συνδραμόντος μετὰ τῶν ὅπλων, ἅμ' ἡμέρᾳ τὴν Καδμείαν πολιορκεῖν ἐπεχείρησαν. οἱ δὲ φρουροῦντες τὴν ἄκραν Λακεδαιμόνιοι, μετὰ τῶν συμμάχων ὄντες οὐκ ἐλάττους τῶν χιλίων καὶ πεντακοσίων, εἰς μὲν τὴν Σπάρτην ἐξέπεμψαν τοὺς δηλώσοντας τὴν τῶν Θηβαίων ἐπανάστασιν καὶ βοηθεῖν τὴν ταχίστην παρακαλέσοντας, αὐτοὶ δ' ἐκ τόπων ὑπερδεξίων ἀμυνόμενοι τοὺς πολιορκοῦντας πολλοὺς μὲν ἀνῄρουν, οὐκ ὀλίγους δὲ κατετραυμάτιζον. οἱ δὲ Θηβαῖοι μεγάλην δύναμιν προσδοκῶντες ἥξειν ἐκ τῆς Ἑλλάδος Λακεδαιμονίοις, ἐξέπεμψαν πρεσβευτὰς εἰς τὰς Ἀθήνας, ὑπομιμνήσκοντες μὲν ὅτι καὶ αὐτοὶ συγκατήγαγον τὸν δῆμον τῶν Ἀθηναίων καθ' ὃν καιρὸν ὑπὸ τῶν τριάκοντα τυράννων κατεδουλώθησαν, ἀξιοῦντες δὲ πανδημεὶ βοηθῆσαι καὶ πρὸ τῆς τῶν Λακεδαιμονίων παρουσίας συνεκπολεμῆσαι τὴν Καδμείαν. ὁ δὲ δῆμος τῶν 26 Ἀθηναίων διακούσας τῶν πρέσβεων, ἐψηφίσατο παραχρῆμα δύναμιν ὡς πλείστην ἀποστεῖλαι τὴν ἐλευθερώσουσαν τὰς Θήβας, ἅμα μὲν τῆς εὐεργεσίας ἀποδιδοὺς τὰς χάριτας, ἅμα δὲ βουλόμενος τοὺς Βοιωτοὺς ἐξιδιώσασθαι καὶ συναγωνιστὰς ἰσχυροὺς ἔχειν κατὰ τῆς Λακεδαιμονίων ὑπεροχῆς. τὸ γὰρ ἔθνος τοῦτο καὶ πλήθει τῶν ἀνδρῶν καὶ ἀνδρείᾳ κατὰ πόλεμον οὐδενὸς τῶν 22 Ἑλλήνων ἐδόκει λείπεσθαι. τέλος δὲ Δημοφῶν κατασταθεὶς στρατηγός, καὶ παραχρῆμα πεντακιςχιλίους ὁπλίτας καὶ πεντακοσίους ἱππεῖς καταλέξας, τῇ ὑστεραίᾳ τὴν δύναμιν ἅμ' ἡμέρᾳ προήγαγεν ἐκ τῆς πόλεως, καὶ δρομαῖος ἠπείγετο, φθάσαι σπεύδων τοὺς Λακεδαιμονίους· οὐδὲν δ' ἧττον ὁ δῆμος παρεσκευάζετο πανδημεὶ στρα-

Κοΐντιον] Κόϊκτον F, caeteri Κόϊντον 58. Καδμείαν] Καδμειάδα ALQ 71. τῶν Θηβαίων] Θηβαίων FK 72. δ'] δὲ F

22. 93. 94. τὴν δύναμιν ἅμ' ἡμέρᾳ] ἅμ' ἡμέρᾳ τὴν δύναμιν FK 95. δρομαῖος] δρομέως AFKL

τεύειν εἰς τὴν Βοιωτίαν, ἐὰν ᾖ χρεία. ὁ δὲ Δημοφῶν συντόμως ταῖς ὁδοῖς χρησάμενος παραδόξως ἐπεφάνη τοῖς Θηβαίοις. ὁμοίως δὲ καὶ ἐκ τῶν ἄλλων πόλεων τῶν κατὰ τὴν Βοιωτίαν πολλῶν στρατιωτῶν συνδραμόντων, ταχὺ μεγάλη δύναμις ἠθροίσθη τοῖς Θηβαίοις. ὁπλῖται μὲν γὰρ συνῆλθον οὐκ ἐλάττους τῶν μυρίων καὶ δισχιλίων, ἱππεῖς δὲ πλείους τῶν δισχιλίων. πάντων δὲ προθύμως ἐπὶ τὴν πολιορκίαν ὁρμησάντων, διελόμενοι τὰ πλήθη τὰς προσβολὰς ἐκ διαδοχῆς ἐποιοῦντο, προσκαρτεροῦντες τοῖς κινδύνοις συνεχῶς καὶ
27 καθ' ἡμέραν καὶ νυκτός. οἱ δ' ἐν τῇ Καδμείᾳ οἰκοῦντες παρακληθέντες ὑπὸ τῶν ἡγεμόνων εὐρώστως ἠμύνοντο τοὺς πολεμίους, ἐλπίζοντες συντόμως ἥξειν τοὺς Λακεδαιμονίους μετὰ μεγάλης δυνάμεως. ἕως μὲν οὖν εἶχον τροφὰς ἱκανάς, ἐνεκαρτέρουν τοῖς δεινοῖς, καὶ πολλοὺς τῶν πολιορκούντων ἀπέκτεινον καὶ κατετραυμάτιζον, συνεργὸν ἔχοντες τὴν τῆς ἀκροπόλεως ὀχυρότητα· ὡς δ' ἡ μὲν τῶν ἀναγκαίων σπάνις ἐπέτεινεν, οἱ Λακεδαιμόνιοι δὲ περὶ τὰς παρασκευὰς ὄντες ἐχρόνιζον, ἐστασίαζον πρὸς ἀλλήλους. οἱ μὲν γὰρ Λακεδαιμόνιοι μέχρι θανάτου καρτερεῖν ᾤοντο δεῖν, οἱ δὲ ἀπὸ τῶν συμμαχίδων πόλεων συστρατεύσαντες, ὄντες πολλαπλάσιοι, παραδιδόναι τὴν Καδμείαν ἀπεφήναντο· συνηναγκάσθησαν δὲ καὶ οἱ ἐξ αὐτῆς τῆς Σπάρτης, ὄντες ὀλίγοι, παραχωρῆσαι τῆς ἀκροπόλεως· διόπερ οὗτοι μὲν ὑπόσπονδοι καθ' ὁμολογίαν ἀφεθέντες εἰς τὴν Πελοπόννησον ἀπηλλάγησαν. οἱ δὲ Λακεδαιμόνιοι δυνάμεσιν ἀξιολόγοις προςιόντες ἐπὶ τὰς Θήβας, καὶ βραχὺ τῶν καιρῶν ὑστερήσαντες, ἄπρακτον ἔσχον τὴν ἐπιβολήν. τοὺς δὲ ἡγεμόνας τῆς φρουρᾶς τρεῖς ὄντας μετέστησαν εἰς κρίσιν, καὶ τοὺς μὲν δύο κατεδίκασαν θανάτῳ, τὸν μέντοι τρίτον τοσούτῳ πλήθει χρημάτων ὥστε μὴ δύνασθαι τὴν οὐσίαν αὐτοῦ τοσαῦτα χρήματα ἐκτῖσαι. μετὰ δὲ ταῦτα Ἀθηναῖοι μὲν ἐπανῆλθον εἰς τὴν πατρίδα, Θηβαῖοι δὲ Θεσπιὰς πολιορκήσαντες ἄπρακτον ἔσχον τὴν ἐπιβολήν. ἅμα δὲ τούτοις πραττομένοις Ῥωμαῖοι

98. *συντόμως*] scribe *συντόμοις* 7. *συνεχῶς*] *συνεχεῖς* F *καὶ* om. FK 8. *καθ'*] immo *μεθ'* 9. *οἰκοῦντες*] *φρουροῦντες*? 12. *μὲν οὖν*] *μὲν* A 13. *ἱκανάς* asterisco notavit Stephanus *ἐνεκαρτέρουν*] *ἐκαρτέρουν* F 14. *ἀπέκτεινον*] *ἀπέκταινον* F, qui videri potest *ἀπέκτενον* voluisse: v. ad p. 178. 15. 20. *συστρατεύσαντες*] *συστρατεύοντες* L 22. *δὲ καὶ*] *καὶ* FK 31. *μέντοι*] *μέντοι γε* L 32. *ὥστε μὴ* AL, caeteri *ὥςτε καὶ μὴ* 33. *Ἀθηναῖοι*] *Θηβαῖοι* F



μὲν ἐπὶ ἀτελείᾳ πεντακοσίους ἀποίκους εἰς Σαρδωνίαν ἀπέστειλαν.
Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Καλλίου Ῥωμαῖοι χιλιάρ- 28
23 χους ἀντὶ τῶν ὑπάτων κατέστησαν τέτταρας, Λεύκιον Παπίριον, Μάρκον Πόπλιον, Τίτον Κορνήλιον, Κοΐντιον Λεύκιον. ἐπὶ δὲ τούτων, Λακεδαιμονίων ἐπταικότων περὶ τὰς Θήβας, οἱ μὲν Βοιωτοὶ θαῤῥήσαντες συνεστράφησαν, καὶ κοινὴν συμμαχίαν ποιησάμενοι δύναμιν ἀξιόλογον συνεστήσαντο, προσδοκῶντες ἥξειν τοὺς Λακεδαιμονίους μεγάλαις δυνάμεσιν εἰς τὴν Βοιωτίαν. Ἀθηναῖοι δὲ πρέσβεις τοὺς ἀξιολογωτάτους τῶν παρ' αὐτοῖς ἐξέπεμψαν ἐπὶ τὰς ὑπὸ τοὺς Λακεδαιμονίους τεταγμένας πόλεις, παρακαλοῦντες ἀντέχεσθαι τῆς κοινῆς ἐλευθερίας. οἱ γὰρ Λακεδαιμόνιοι διὰ τὸ μέγεθος τῆς περὶ αὐτοὺς δυνάμεως ὑπεροπτικῶς καὶ βαρέως ἦρχον τῶν ὑποτεταγμένων· διόπερ πολλοὶ τῶν ὑπ' αὐτοὺς τεταγμένων ἀπέκλινον πρὸς τοὺς Ἀθηναίους. πρῶτοι δὲ πρὸς τὴν ἀπόστασιν ὑπήκουσαν Χῖοι καὶ Βυζάντιοι, καὶ μετὰ τούτους Ῥόδιοι καὶ Μυτιληναῖοι καὶ τῶν ἄλλων τινὲς νησιωτῶν· ἀεὶ δὲ μᾶλλον αὐξομένης τῆς τῶν Ἑλλήνων ὁρμῆς πολλαὶ πόλεις προςέθεντο τοῖς Ἀθηναίοις. ὁ δὲ δῆμος μετεωρισθεὶς ἐπὶ τῇ τῶν συμμάχων εὐνοίᾳ κοινὸν συνέδριον ἁπάντων τῶν συμμάχων συνεστήσαντο, καὶ συνέδρους ἀπέδειξαν ἑκάστης πόλεως. ἐτάχθη δ' ἀπὸ τῆς κοινῆς γνώμης τὸ μὲν συνέδριον ἐν ταῖς Ἀθήναις συνεδρεύειν, πόλιν δὲ ἐπ' ἴσης καὶ μεγάλην καὶ μικρὰν μιᾶς ψήφου κυρίαν εἶναι, πάσας δ' ὑπάρχειν αὐτονόμους, ἡγεμόσι χρωμένας Ἀθηναίοις. οἱ δὲ Λακεδαιμόνιοι τὴν ὁρμὴν τῶν πολλῶν ὁρῶντες ἀκατάσχετον οὖσαν πρὸς τὴν ἀπόστασιν ὅμως πρεσβείαις καὶ λόγοις φιλανθρώποις ἔτι δ' ἐπαγγελίαις εὐεργετικαῖς ἐφιλοτιμοῦντο διορθοῦσθαι τὰς ἀλλοτριότητας τῶν ἀνθρώπων. ὁμοίως δὲ καὶ περὶ τῆς εἰς τὸν πόλεμον παρασκευῆς

37. *Σαρδωνίαν*] *Σαρδόνιαν* I, *Satricum* esse coniicit Wesselingius 23. 40. *χιλιάρχους* post *ὑπάτων* ponit F 41. *Παπίριον*] *Παπύριον* libri *Μάρκον* om. A 42. *Κοΐντιον*] *καὶ Κόϊντον* FIK „*in A ultima haec nomina non inveniuntur*“ notat Wesselingius, caeteri *Κόϊντον* 49. *ἐπὶ τὰς*] *εἰς τὰς* L 50. *παρακαλοῦντες*] *παρακαλοῦντας* F 53. *πολλοὶ*] *πολλοὺς* I 54. *ἀπέκλινον* ALQ, caeteri *ἀπέκλιναν* 56. *καὶ μετὰ* AL, caeteri *μετὰ* 57. *ἀεὶ*] *αἰεὶ* omnes 59. *προςέθεντο*] *προέθεντο* K 60. *τῶν συμμάχων* om. I 61. *συνεστήσαντο* AL (*συν* superscr.), *κατεστήσαντο* F, caeteri *συγκατεστήσαντο* 62. *ἑκάστης*] *ἁπάσης* K correctus in margine 64. *καὶ μεγάλην*] *μεγάλην* F 66. *Ἀθηναίοις*] *Ἀθηναίους* A 67. *πολλῶν*] *πόλεων* Wesselingius 71. *καὶ περὶ*] *καὶ* I

ἐποιοῦντο πολλὴν φροντίδα, προσδοκῶντες μέγαν καὶ πολυχρόνιον αὐτοῖς ἔσεσθαι τὸν Βοιωτικὸν πόλεμον, συμμαχούντων τοῖς Θηβαίοις τῶν Ἀθηναίων καὶ τῶν ἄλλων Ἑλλήνων τῶν κοινωνούντων τοῦ συνεδρίου.

**29** Ἅμα δὲ τούτοις πραττομένοις Ἄκορις ὁ τῶν Αἰγυπτίων βασιλεύς, ἀλλοτρίως διακείμενος πρὸς τὸν Περσῶν βασιλέα, δυνάμεις ξενικὰς ἀξιολόγους ἤθροισε. μεγάλους γὰρ μισθοὺς τοῖς ὑπακούουσι προτιθείς, συχνοὺς δ' εὐεργετῶν, ταχὺ πολλοὺς ἔσχε τῶν Ἑλλήνων ὑπακούοντας πρὸς τὴν στρατείαν. οὐκ ἐχόντων δὲ στρατηγὸν ἀξιόχρεων, μετεπέμψατο Χαβρίαν τὸν Ἀθηναῖον, ἄνδρα καὶ συνέσει στρατηγικῇ διάφορον καὶ δόξαν ἐπ' ἀρετῇ μεγάλην πεποιημένον. οὗτος μὲν οὖν ἄνευ τῆς τοῦ δήμου γνώμης προσδεξάμενος τὴν στρατηγίαν ἀφηγεῖτο τῶν κατ' Αἴγυπτον δυνάμεων, καὶ μετὰ πολλῆς σπουδῆς παρεσκευάζετο πολεμεῖν πρὸς τοὺς Πέρσας. 24
Φαρνάβαζος δ' ὑπὸ τοῦ βασιλέως ἀναδεδειγμένος στρατηγὸς ἐπὶ τῆς Περσικῆς δυνάμεως παρασκευὰς μεγάλας ἐποιήσατο τῶν πρὸς τὸν πόλεμον χρησίμων. ἐξέπεμψε δὲ καὶ πρὸς Ἀθηναίους πρέσβεις, κατηγορῶν μὲν Χαβρίου, ὅτι τῶν Αἰγυπτίων ἡγούμενος ἀπαλλοτριοῖ τὴν τοῦ βασιλέως εὔνοιαν ἀπὸ τοῦ δήμου, παρακαλῶν δὲ στρατηγὸν Ἰφικράτην αὐτῷ δοῦναι. οἱ δ' Ἀθηναῖοι, σπεύδοντες τὸν βασιλέα τῶν Περσῶν εἰς εὔνοιαν προαγαγέσθαι καὶ τὸν Φαρνάβαζον ἰδιοποιήσασθαι, ταχέως τόν τε Χαβρίαν ἐξ Αἰγύπτου μετεπέμψαντο καὶ τὸν Ἰφικράτην στρατηγὸν ἐξαπέστειλαν συμμαχήσοντα τοῖς Πέρσαις.

Τοῖς δὲ Λακεδαιμονίοις καὶ τοῖς Ἀθηναίοις σπονδὰς πεποιημένοις ἐν τοῖς ἐπάνω χρόνοις συνέβαινε μένειν τὴν εἰρήνην μέχρι τῶνδε τῶν καιρῶν. μετὰ δὲ ταῦτα Σφοδριάδου τοῦ Σπαρτιάτου τεταγμένου μὲν ἐφ' ἡγεμονίας, φύσει δ' ὄντος μετεώρου καὶ προπετοῦς, ἔπεισεν αὐτὸν Κλεόμβροτος ὁ βασιλεὺς τῶν Λακεδαιμο-

73. αὐτοῖς] αὑτοῖς I 80. προτιθεὶς Reiskius: libri προστιθεὶς 81. συχνοὺς δ'] συχνοὺς omnes 82. στρατείαν] στρατίαν F, et in marg. στρατείαν κάλλιον 83. ἐχόντων] ἔχων Wesselingius μετεπέμψαντο F 85. πεποιημένον, ad quod nihil varietatis ullo ex libro notatum est, Stephanus inter errata typographica, quae ab iis quae correctionibus suis addi voluit discrevit, tanquam errorem typographi in περιπεποιημένον mutari iubet, pravam coniecturam inferens

24. 90. δ'] δὲ F 91. ἐπὶ Schaeferus: libri ἀπὸ παρασκευὰς — 92. χρησίμων] μεγάλας παρασκ. ἐποιήσατο FI 98. προσαγαγέσθαι libri βασιλεὺς τῶν Λ.] τῶν Λ. βασιλεὺς F



νίων ἄνευ τῆς γνώμης τῶν ἐφόρων καταλαβέσθαι τὸν Πειραιέα. ὁ δὲ Σφοδριάδης ἔχων στρατιώτας πλείους τῶν μυρίων ἐπεβάλετο μὲν τῆς νυκτὸς καταλαβέσθαι τὸν Πειραιέα· καταφανὴς δὲ γενόμενος Ἀθηναίοις καὶ διαμαρτὼν τῆς ἐπιβολῆς, ἄπρακτος ἐπανῆλθε. κατηγορηθεὶς δ' ἐν τῷ συνεδρίῳ τῶν Σπαρτιατῶν, καὶ συναγωνιστὰς ἔχων τοὺς βασιλεῖς, ἀδίκως ἀπελύθη. διόπερ οἱ Ἀθηναῖοι χαλεπῶς φέροντες ἐπὶ τοῖς γεγονόσιν ἐψηφίσαντο λελύσθαι τὰς σπονδὰς ὑπὸ Λακεδαιμονίων. κρίναντες δὲ πολεμεῖν αὐτούς, στρατηγοὺς τρεῖς εἵλοντο τοὺς ἐπιφανεστάτους τῶν πολιτῶν, Τιμόθεον καὶ Χαβρίαν καὶ Καλλίστρατον. ἐψηφίσαντο δὲ στρατιώτας μὲν ὁπλίτας καταλέξαι δισμυρίους, ἱππεῖς δὲ πεντακοσίους, ναῦς δὲ πληρῶσαι διακοσίας. προσελάβοντο δὲ καὶ τοὺς Θηβαίους ἐπὶ τὸ κοινὸν συνέδριον ἐπὶ τοῖς ἴσοις πᾶσιν. ἐψηφίσαντο δὲ καὶ τὰς γενομένας κληρουχίας ἀποκαταστῆσαι τοῖς πρότερον κυρίοις γεγονόσι, καὶ νόμον ἔθεντο μηδένα τῶν Ἀθηναίων γεωργεῖν ἐκτὸς τῆς Ἀττικῆς. διὰ δὲ ταύτης τῆς φιλανθρωπίας ἀνακτησάμενοι τὴν παρὰ τοῖς Ἕλλησιν εὔνοιαν ἰσχυροτέραν ἐποιήσαντο τὴν ἰδίαν ἡγεμονίαν.

Πολλαὶ μὲν οὖν καὶ τῶν ἄλλων πόλεων διὰ τὴν εἰ- **30**
ρημένην αἰτίαν προεκλήθησαν πρὸς τοὺς Ἀθηναίους
25 ἀποκλῖναι, πρῶται δὲ καὶ προθυμότατα συνεμάχησαν αἱ κατὰ τὴν Εὔβοιαν οἰκοῦσαι χωρὶς Ἑστιαίας· αὕτη γὰρ εὐεργετημένη ὑπὸ Λακεδαιμονίων μεγάλα, πεπολεμημένη δὲ δεινῶς ὑπὸ Ἀθηναίων, εὐλόγως πρὸς μὲν Ἀθηναίους ἀδιάλυτον ἐφύλαττε τὴν ἔχθραν, πρὸς δὲ τοὺς Σπαρτιάτας βεβαιοτάτην πίστιν διεφύλαττεν. οὐ μὴν ἀλλὰ τοῖς Ἀθηναίοις εἰς συμμαχίαν συνέβησαν ἑβδομήκοντα πόλεις καὶ μετέσχον ἐπ' ἴσης τοῦ κοινοῦ συνεδρίου· διὸ καὶ τοῖς Ἀθηναίοις ἀεὶ μᾶλλον τῆς δυνάμεως αὐξομένης, τοῖς δὲ Λακεδαιμονίοις ταπεινουμένης, ἐφάμιλλον τὴν ἰσχὺν τῶν πόλεων συνέβαινε γίνεσθαι. οἱ δ' Ἀθηναῖοι, τῶν πραγμάτων αὐτοῖς κατὰ νοῦν προχωρούντων, δύναμιν ἐξέπεμψαν εἰς τὴν Εὔβοιαν τὴν παραφυ-

18. αὐτούς AIK, caeteri αὐτοῖς 19. καὶ Χαβρίαν] Χαβρίαν AF 21. μὲν ὁπλίτας καταλέξαι] malim καταλέξαι ὁπλίτας μὲν 29. ἐποιήσαντο AIK, caeteri ἐποίησαν 34. Ἑστιαίας L ab secunda manu, αἰτίας HL, caeteri Ἀκτίας

25. 37. ἐφύλαττε — 39. διεφύλαττεν] ἐφύλαττον I, πρὸς δὲ τοὺς Σπαρτιάτας — διεφύλαττεν om. I (L ?) F 39. πίστιν] fort. τὴν πίστιν 42. ἀεὶ] αἰεὶ omnes 43. ταπεινουμένης] ταπεινουμένοις F

λάξουσαν μὲν τοὺς συμμάχους, καταπολεμήσουσαν δὲ τοὺς ἐναντίους. κατὰ δὲ τὴν Εὔβοιαν βραχὺ μὲν πρὸ τούτων τῶν χρόνων Νεογένης τις ὄνομα μετ' Ἰάσονος τοῦ Φεραίου συλλέξας στρατιώτας κατελάβετο τήν τε ἀκρόπολιν τῶν Ἑστιαίων, καὶ τύραννον ἑαυτὸν ἀπέδειξε ταύτης τῆς χώρας καὶ τῆς τῶν Ὠρειτῶν πόλεως. ἄρχοντος δ' αὐτοῦ βιαίως καὶ ὑπερηφάνως Λακεδαιμόνιοι Θηριππίδαν ἀπέστειλαν ἐπ' αὐτόν. ὁ δὲ τὸ μὲν πρῶτον ἐπεχείρει λόγοις τὸν τύραννον ἐκχωρεῖν ἐκ τῆς ἀκροπόλεως· ὡς δ' οὐ προσεῖχε, παρακαλέσας τοὺς ἐγχωρίους πρὸς τὴν ἐλευθερίαν ἐπολιόρκησε τὸ χωρίον, καὶ τοῖς Ὠρείταις τὴν ἐλευθερίαν ἀποκατέστησε. δι' ἣν αἰτίαν οἱ τὴν Ἑστιαιέων καλουμένην χώραν οἰκοῦντες οἰκείως διετέθησαν πρὸς τοὺς Σπαρτιάτας, καὶ βεβαίως ἐτήρουν τὴν φιλίαν. τῆς δ' ὑπὸ τῶν Ἀθηναίων ἐκπεμφθείσης δυνάμεως ἡγούμενος Χαβρίας ἐπόρθησε τὴν Ἑστιαιῶτιν χώραν, καὶ τὴν καλουμένην μὲν Μητρόπολιν, κειμένην δ' ἐπί τινος ἐρυμνοῦ λόφου, τειχίσας, ἀπέλιπεν ἐν αὐτῇ φρουράν, αὐτὸς δὲ ταῖς Κυκλάσι νήσοις ἐπιπλέων προσηγάγετο Πεπάρηθον καὶ Σκίαθον καί

31 τινας ἄλλας τεταγμένας ὑπὸ Λακεδαιμονίοις. οἱ δὲ ὁρῶντες τὴν τῶν συμμάχων ὁρμὴν πρὸς τὴν ἀπόστασιν ἀκατάσχετον οὖσαν, ἐπαύσαντο τῆς προϋπαρχούσης βαρύτητος καὶ ταῖς πόλεσι φιλανθρώπως προσεφέροντο. τοιαύταις δ' ὁμιλίαις καὶ εὐεργεσίαις χρησάμενοι εὐνουστέρους ἅπαντας τοὺς συμμάχους κατεσκεύασαν. ὁρῶντες δὲ τὸν πόλεμον αὐξόμενον καὶ πολλῆς ἐπιμελείας ἐπιδεόμενον, τάς τε ἄλλας παρασκευὰς ἐποιοῦντο φιλοτίμως καὶ τὴν διάταξιν καὶ τὴν διαίρεσιν τῶν στρατιωτῶν καὶ λειτουργιῶν περιττότερον ἐξειργάσαντο. τάς τε γὰρ πόλεις καὶ τοὺς καταλεγομένους στρατιώτας εἰς τὸν πόλεμον διεῖλον εἰς δέκα μέρη· τούτων δὲ πρώτην ἐπεῖχον μερίδα Λακεδαιμόνιοι, δευτέραν δὲ καὶ τρίτην 26

50. Φεραίου] Φεραίου F (ρ superscript) 51. Ἑστιαιέων Wesselingius, Ἑστιαίων L ab secunda manu, caeteri Ἀκτιαίων 53. Ὠρειτῶν Palmerius: Ὠρωπίων libri 54. Θηριππίδαν] Θηριππίδην F, Θηριπίδην AK 55. ἐπ'] πρὸς IK 56. ἐκχωρεῖν] malim πείθειν λόγοις — ἐκχωρεῖν Rhodomannus 58. ἐπολιόρκησε] malim ἐξεπολιόρκησε 59. Ὠρείταις Palmerius: libri Ὠρωπίοις 60. Ἑσταιέων] Αἰστίων A, Αἰστιεαίων FK 64. Ἑστιαιῶτιν] αἰστιῶτιν F 65. λόφου] τόπου FI 66. ἀπέλιπεν ἐν αὐτῇ φρουρὰν] ἀπέλιπε φρουρὰν ἐν αὐτῇ F 68. Σκίαθον] σκίανον F 70. πρὸς τὴν ἀπόστασιν om. FIK 73. τοιαύταις] legebatur τοσαύταις 74. χρησάμενοι om. A 76. ἐπιδεόμενον] δεόμενον F 78. τὴν διαίρεσιν] διαίρεσιν F



Ἀρκάδες, τετάρτην δ' Ἠλεῖοι, πέμπτην δ' Ἀχαιοί, καὶ τὴν μὲν ἕκτην ἐπλήρουν Κορίνθιοι καὶ Μεγαρεῖς, τὴν δ' ἑβδόμην Σικυώνιοι καὶ Φλιάσιοι καὶ οἱ τὴν Ἀκτὴν καλουμένην οἰκοῦντες, τὴν δ' ὀγδόην Ἀκαρνᾶνες, ἐνάτην δὲ Φωκεῖς καὶ Λοκροί, τὴν δ' ἐπὶ πᾶσιν Ὀλύνθιοι καὶ οἱ ἐπὶ Θρᾴκης κατοικοῦντες σύμμαχοι. ἦν δ' αὐτοῖς ὁ μὲν ὁπλίτης πρὸς δύο ψιλοὺς τεταγμένος, ὁ δ' ἱππεὺς πρὸς τέτταρας ὁπλίτας ἰσαζόμενος. τοιαύτης δὲ τῆς συντάξεως οὔσης, ἡγεῖτο τῆς στρατιᾶς Ἀγησίλαος ὁ βασιλεύς· περιβόητος δ' ἦν ἐν ἀνδρείᾳ καὶ στρατηγικῇ συνέσει καὶ σχεδὸν ἀνίκητος γεγονὼς ἐν τοῖς ἐπάνω χρόνοις. ἔν τε γὰρ τοῖς λοιποῖς πολέμοις ἐθαυμάσθη, καὶ καθ' ὃν καιρὸν Λακεδαιμόνιοι ἐπολέμουν τοῖς Πέρσαις, παραταξάμενος καὶ πολλαπλασίονα δύναμιν νικήσας, πολλὴν τῆς Ἀσίας ἐπῆλθε, κρατῶν τῶν ὑπαίθρων, καὶ πέρας, εἰ μὴ μετεπέμψαντο αὐτὸν οἱ Σπαρτιᾶται διά τινας πολιτικὰς χρείας, σχεδὸν ἂν καὶ τὴν ὅλην τῶν Περσῶν βασιλείαν εἰς τοὺς ἐσχάτους κινδύνους κατέστησεν. ἦν γὰρ ὁ ἀνὴρ οὗτος δραστικὸς καὶ μετὰ συνέσεως πολλῆς θρασὺς καὶ παραβόλοις πράξεσι χρώμενος. διὸ καὶ τότε θεωροῦντες οἱ Σπαρτιᾶται τὸ μέγεθος τοῦ πολέμου προσδεόμενον ἡγεμόνος ἀξιολόγου, τοῦτον τοῦ πολέμου παντὸς ἡγεμόνα κατέστησαν.

32 Ὁ δ' Ἀγησίλαος προαγαγὼν τὴν δύναμιν ἧκεν εἰς τὴν Βοιωτίαν, ἔχων τοὺς σύμπαντας στρατιώτας πλείους τῶν μυρίων ὀκτακισχιλίων, ὧν ἦσαν Λακεδαιμονίων πέντε μόραι· τὴν δὲ μόραν ἀναπληροῦσιν ἄνδρες πεντακόσιοι. ὁ δὲ Σκιρίτης καλούμενος λόχος παρὰ τοῖς Σπαρτιάταις οὐ συντάττεται μετὰ τῶν ἄλλων, ἀλλ' ἰδίαν ἔχων σύστασιν μετὰ τοῦ βασιλέως ἵσταται, καὶ παραβοηθεῖ τοῖς ἀεὶ θλιβομένοις μέρεσι· συνεστὼς δ' ἐξ ἐπιλέκτων ἀνθρώπων μεγάλας ποιεῖται ῥοπὰς ἐν ταῖς παρατάξεσι καὶ κατὰ τὸ πλεῖστον αἴτιος γίνεται τῆς νίκης. ἱππεῖς δ' εἶχεν ὁ Ἀγησίλαος χιλίους καὶ πεντακοσίους. οὗτος μὲν οὖν παραγενόμενος εἰς πόλιν

26, 83. δ'] δὲ F 86. ἐνάτην] ἐννάτην omnes 87. δ' ἐπὶ πᾶσιν AFHIKLQ, caeteri δὲ δεκάτην 96. ἐπολέμουν Stephanus: libri πολεμοῦντες 98. ἐπῆλθε] ὑπῆλθε F τῶν ὑπαίθρων] τὴν ὑπαίθρων K 1. τῶν Περσῶν] Περσῶν FK 8. δ' F, caeteri δὲ προαγαγὼν Rhodomannus: libri προσαγαγὼν 11. Λακεδαιμονίων AIKQ, οἱ Λακεδαιμονίων F, caeteri οἱ Λακεδαιμόνιοι μόραι — μόραν] libri μοῖραι — μοῖραν 15. ἀεὶ] αἰεὶ omnes

Θεσπιάς, φρουρουμένην ὑπὸ Λακεδαιμονίων, πλησίον ταύτης κατεστρατοπέδευσε, καὶ τοὺς στρατιώτας ἐφ' ἡμέρας τινὰς ἀνελάμβανεν ἐκ τῆς κακοπαθείας. Ἀθηναῖοι δὲ πυθόμενοι τὴν τῶν Λακεδαιμονίων παρουσίαν εἰς τὴν Βοιωτίαν, εὐθὺς ἐβοήθουν εἰς τὰς Θήβας, ἔχοντες πεζοὺς μὲν πεντακισχιλίους, ἱππεῖς δὲ διακοσίους. τούτων δὲ τῶν δυνάμεων ἀθροισθεισῶν εἰς ἕνα τόπον, οἱ μὲν Θηβαῖοι λόφον τινὰ κατελάβοντο παραμήκη, σταδίους ἀπέ-
χοντα τῆς πόλεως εἴκοσι, καὶ πρόβλημα ποιησάμενοι τὰς 27
δυσχωρίας ἀνέμενον τὴν τῶν πολεμίων ἔφοδον· τὴν γὰρ Ἀγησιλάου δόξαν καταπεπληγμένοι, τὸν ἐν τοῖς πεδίοις ἐξ ἴσου κίνδυνον ὑπομένειν εὐλαβοῦντο. ὁ δ' Ἀγησίλαος συντεταγμένῃ τῇ δυνάμει προάγων ἐπὶ τοὺς Βοιωτούς, ὡς ἤγγισε τοῖς πολεμίοις, τὸ μὲν πρῶτον τοὺς ψιλοὺς ἐπαφῆκε τοῖς ἐναντίοις, πειρώμενος πῶς ἔχουσι πρὸς τὴν μάχην. ἀποκρουσαμένων δὲ αὐτοὺς τῶν Θηβαίων ῥᾳδίως ἐκ τόπων ὑπερδεξίων, ἐπήγαγε πᾶσαν ἐπ' αὐτοὺς τὴν δύναμιν συντεταγμένην καταπληκτικῶς. Χαβρίας δ' ὁ Ἀθηναῖος τῶν μισθοφόρων ἀφηγούμενος παρήγγειλε τοῖς στρατιώταις δέχεσθαι τοὺς πολεμίους καταπεφρονηκότως ἅμα καὶ τῇ τάξει μένοντας, καὶ τὰς ἀσπίδας πρὸς τὸ γόνυ κλίναντας ἐν ὀρθῷ τῷ δόρατι μένειν. ὧν ποιησάντων τὸ προσταχθὲν ὥσπερ ἀφ' ἑνὸς παρακελεύσματος, ὁ Ἀγησίλαος θαυμάσας τήν τε εὐταξίαν τῶν πολεμίων καὶ τὴν καταφρόνησιν, τὸ μὲν βιάζεσθαι πρὸς ὑπερδεξίους τόπους καὶ συναναγκάζειν τοὺς ἐναντίους ἄνδρας ἀγαθοὺς γίνεσθαι πρὸς τὸν ἐκ χειρὸς κίνδυνον οὐκ ἔκρινε, πεῖραν δὲ λαβὼν ὅτι τολμήσουσιν ἀναγκαζόμενοι διαγωνίζεσθαι περὶ τῆς νίκης, ἐν τῷ πεδίῳ προεκαλεῖτο. οὐ συγκαταβαινόντων δὲ τῶν Θηβαίων, τὴν μὲν φάλαγγα τῶν πεζῶν ἀπήγαγε, τοὺς δ' ἱππεῖς καὶ τὰ ψιλικὰ τῶν ταγμάτων ἐξαποστείλας ἐπόρθησε τὴν χώραν ἀδεῶς, καὶ πολλῶν λαφύρων ἐγκρατὴς
33 ἐγένετο. οἱ δὲ συνόντες τῷ Ἀγησιλάῳ Σπαρτιᾶται σύμ-
βουλοι καὶ οἱ τὰς ἡγεμονίας ἔχοντες ἐθαύμαζον πῶς δραστικὸς εἶναι δοκῶν ὁ Ἀγησίλαος καὶ μείζονα καὶ δυ-

21. Θεσπιάς] Θεσπειάς FK 26. πεζοὺς μὲν AFIKL, caeteri μὲν πεζοὺς 27. 32. τὸν ἐν] τὸν μὲν ἐν A 33. δ' F, caeteri δὲ 38. αὐτοὺς] αὐτοῖς FKL 39. ἐπήγαγε πᾶσαν] ἐπήγαγεν F 40. δ' F, caeteri δὲ 41. παρήγγειλε] παρήγγελλε F 42. καταπεφρονηκότως] καταπεφρονηκότας L 43. τῇ] adde ἐν: v. ad vol. I. p. 681. 50. 53. τῶν om. F 58. οἱ δὲ] καὶ οἱ FK 60. ὁ Ἀγησίλαος] Ἀγησίλαος A



ναμικωτέραν ἔχων τὴν δύναμιν οὐ διηγωνίσατο πρὸς τοὺς πολεμίους. πρὸς οὓς ὁ Ἀγησίλαος ἀπεκρίθη νῦν μὲν ἀκινδύνως τοὺς Λακεδαιμονίους νενικηκέναι [ἄν]· πορθουμένῃ γὰρ τῇ χώρᾳ μὴ τετολμηκέναι τοὺς Βοιωτοὺς βοηθῆσαι· εἰ δ' αὐτῶν τῶν πολεμίων παρακεχωρηκότων τῆς νίκης ἐβιάσατο τοὺς πολεμίους ὑπομένειν τὸ δεινόν, ἴσως ἂν διὰ τὸ παράλογον τῆς τύχης δύναιντο καὶ πταῖσαι κατὰ τὸν κίνδυνον οἱ Λακεδαιμόνιοι. τότε μὲν οὖν ἀπὸ τῆς διακρίσεως ταύτης ἔδοξε μετρίως κατεστοχάσθαι τὸ δυνάμενον ἀποβῆναι, ὕστερον δὲ διὰ τῶν ἀποτελεσμάτων ἔδοξεν οὐκ ἀνθρωπίνην ἀπόφασιν ἀλλὰ θεῶν τινα χρησμὸν εἰρηκέναι. οἱ γὰρ Λακεδαιμόνιοι μετὰ πολλῆς δυνάμεως στρατεύσαντες ἐπὶ Θηβαίους, καὶ συναναγκάσαντες αὐτοὺς ὑπὲρ τῆς ἐλευθερίας ἀγωνίσασθαι, μεγάλῃ συμφορᾷ περιέπεσον. τὸ
28 μὲν γὰρ πρῶτον ἐν Λεύκτροις ἡττηθέντες πολλοὺς ἀπώ-
λεσαν τῶν πολιτῶν, ἐν οἷς καὶ ὁ βασιλεὺς αὐτῶν Κλεόμβροτος ἔπεσε· μετὰ δὲ ταῦτα περὶ Μαντίνειαν πολεμήσαντες τοῖς ὅλοις ἐσφάλησαν, καὶ τὴν ἡγεμονίαν ἀνελπίστως ἀπέβαλον. ἀγαθὴ γὰρ ἡ τύχη τοὺς μέγα φρονοῦντας παραδόξως σφῆλαι καὶ διδάξαι μηδὲν ἄγαν κατελπίζειν. ὁ δ' οὖν Ἀγησίλαος ἐχεφρόνως ἀρκεσθεὶς τῷ πρώτῳ προτερήματι τὴν δύναμιν ἀσινῆ διεφύλαξε.

Μετὰ δὲ ταῦτα ὁ μὲν Ἀγησίλαος μετὰ τῆς δυνάμεως ἐπανῆλθεν εἰς τὴν Πελοπόννησον, οἱ δὲ Θηβαῖοι διὰ τὴν Χαβρίου στρατηγίαν σωθέντες ἐθαύμασαν τἀνδρὸς τὴν ἐν τῷ στρατηγήματι ἀγχίνοιαν. ὁ δὲ Χαβρίας, πολλῶν καὶ καλῶν αὐτῷ πεπραγμένων κατὰ πόλεμον, ἐπὶ τούτῳ μάλιστα ἐσεμνύνετο τῷ στρατηγήματι, καὶ τὰς εἰκόνας τὰς ὑπὸ τοῦ δήμου δοθείσας αὐτῷ καθίσταμεν ἐχούσας τοῦτο τὸ σχῆμα. οἱ δὲ Θηβαῖοι μετὰ τὴν ἀπαλλαγὴν τὴν Ἀγησιλάου στρατεύσαντες ἐπὶ Θεσπιὰς τὴν μὲν προφυλακὴν οὖσαν ἀνδρῶν διακοσίων ἀνεῖλον, τῇ δὲ πόλει προσβολὰς συνεχεῖς ποιούμενοι, καὶ μηδὲν ἀξιόλογον πράξαντες, ἀπῆγον τὴν δύναμιν εἰς τὰς Θήβας. Φοιβίδας δὲ ὁ Λακεδαιμόνιος ἀξιόλογον φρουρὰν ἐν ταῖς Θεσπιαῖς ἔχων, ἐκχυθεὶς ἐκ τῆς πόλεως καὶ

64. ἂν] dele 68. δύναιντο] immo ἐδύναντο 69. πταῖσαι] φθάσαι omnes 70. ἀπὸ] libri ὑπὸ 28. 80. πολεμήσαντες] πλεύσαντες A 84. δ' οὖν] γοῦν omnes 90. πεπραγμένων] καταπεπραγμένων IK 93. ἐχούσας] ἐνεχούσας I et qui καθιστᾶν F 95. Θεσπειὰς F 97. προσβολὰς συνεχεῖς] invertit F 100. ἔχων ante (99.) ἀξιόλογον ponunt IL, et qui ἐν Θεσπειαῖς F

προπετῶς τοῖς ἀποχωροῦσι Θηβαίοις ἐπιθέμενος, τῶν μὲν στρατιωτῶν ἀπέβαλε πλείους τῶν πεντακοσίων, αὐτὸς δὲ λαμπρῶς ἀγωνισάμενος καὶ πολλοῖς ἐναντίοις
34 τραύμασι περιπεσὼν ἡρωικῶς κατέστρεψε τὸν βίον. οὐ πολλῷ δ' ὕστερον χρόνῳ πάλιν τῶν Λακεδαιμονίων τῇ αὐτῇ δυνάμει στρατευσάντων ἐπὶ τὰς Θήβας, οἱ μὲν Θηβαῖοι δυσχωρίας τινὰς ἑτέρας καταλαμβανόμενοι διεκώλυον μὲν τοὺς πολεμίους λεηλατεῖν τὴν χώραν, κατὰ στόμα δὲ πρὸς ἅπασαν τὴν δύναμιν ἐν τοῖς πεδίοις οὐκ ἐτόλμων παρατάξασθαι. τοῦ δ' Ἀγησιλάου προσμαχομένου συγκατέβησαν ἐκ τοῦ κατ' ὀλίγον πρὸς τὸν ἀγῶνα. γενομένης δὲ μάχης ἐπὶ πολὺν χρόνον ἰσχυρᾶς, τὸ μὲν πρῶτον οἱ περὶ τὸν Ἀγησίλαον ἐπροτέρουν, μετὰ δὲ ταῦτα τῶν ἐκ τῆς πόλεως Θηβαίων ἐκχυθέντων πανδημεί, θεωρῶν τὸ πλῆθος τῶν ἐπιῤῥεόντων ὁ Ἀγησίλαος, ἀνεκαλέσατο τῇ σάλπιγγι τοὺς στρατιώτας ἀπὸ τῆς μάχης· οἱ δὲ Θηβαῖοι, δόξαντες τότε πρώτως μὴ καταδεεστέρους ἑαυτοὺς εἶναι Λακεδαιμονίων, τρόπαιόν τε ἔστησαν καὶ τὸ λοιπὸν κατεθάῤῥησαν τῆς τῶν Σπαρτιατῶν δυνάμεως.

Τὰ μὲν οὖν περὶ τὰς πεζικὰς δυνάμεις τοιοῦτον ἔσχε τὸ τέλος· τῶν δὲ ναυτικῶν κατὰ τοὺς αὐτοὺς καιροὺς ἐγένετο μεγάλη ναυμαχία μεταξὺ Νάξου καὶ Πάρου διὰ τοιαύτας αἰτίας. Πόλλις ὁ τῶν Λακεδαιμονίων ναύαρχος πυθόμενος σίτου πλῆθος ἐν ὁλκάσι παρακομίζεσθαι τοῖς Ἀθηναίοις, ἐφήδρευε καὶ παρετήρει τὸν κατάπλουν τῆς κομιζομένης ἀγορᾶς, διανοούμενος ἐπιθέσθαι ταῖς ὁλκάσιν. ἃ δὴ πυθόμενος ὁ δῆμος τῶν 39
Ἀθηναίων, ἐξέπεμψε στόλον παραφυλάξοντα τὴν σιτοπομπίαν, καὶ διέπεμψεν εἰς τὸν Πειραιέα τὴν κομιζομένην ἀγοράν. μετὰ δὲ ταῦτα Χαβρίας μὲν ὁ τῶν Ἀθηναίων ναύαρχος μετὰ τοῦ στόλου παντὸς πλεύσας ἐπὶ τὴν Νάξον συνεστήσατο πολιορκίαν. προσαγαγὼν δὲ τοῖς τείχεσι μηχανάς, καὶ διὰ τούτων σαλεύσας τὰ τείχη, σπουδὴν εἰσεφέρετο βίᾳ κρατῆσαι τῆς πόλεως. ἅμα δὲ τούτοις πραττομένοις Πόλλις ὁ τῶν Λακεδαιμονίων ναύαρχος κατέπλευσε βοηθήσων τοῖς Ναξίοις. γενομένης δὲ φιλοτιμίας ἀμφότεροι συγκατέβησαν εἰς ναυ-

6. πάλιν τῶν] libri πάντων  12. προσμαχομένου Schneiderus ad Xenoph. Hist. Gr. p. 385.: libri προμαχομένου  15. ἐπροτέρουν Wesselingius: libri προετέρουν  23. τὸ τέλος FIKL, caeteri τέλος  26. Πόλλις] Πόλις FIK semper  29. 31. στόλον om. A  32. διέπεμψεν] διαπέμψας FI  33. κομιζομένην] νομιζομένην AK  34. τοῦ στόλου AFIL, caeteri στόλου  40. γενομένης L, caeteri γινομένης



μαχίαν, καὶ τὰς ναῦς διατάξαντες ἐπέπλεον ἀλλήλοις. εἶχε δὲ τριήρεις ὁ μὲν Πόλλις ἑξήκοντα καὶ πέντε, ὁ δὲ Χαβρίας ὀγδοήκοντα καὶ τρεῖς. ἐπιπλεουσῶν δὲ τῶν νεῶν ἀλλήλαις, Πόλλις μὲν ἡγούμενος τοῦ δεξιοῦ κέρως πρῶτος ἐνέβαλε ταῖς ἀντιτεταγμέναις τριήρεσιν ἐπὶ τοῦ λαιοῦ κέρατος, ὧν ἡγεῖτο Κήδων ὁ Ἀθηναῖος· ἀγωνισάμενος δὲ λαμπρῶς αὐτόν τε τὸν Κήδωνα διέφθειρε καὶ τὴν ναῦν κατεβύθισεν· ὁμοίως δὲ καὶ τοῖς ἄλλοις συμβαλὼν καὶ τοῖς ἐμβόλοις ἀναῤῥήττων ἃς μὲν διέφθειρεν ἃς δὲ φυγεῖν ἠνάγκασεν. ἃ δὴ κατιδὼν ὁ Χαβρίας, καὶ μέρος τῶν περὶ αὐτὸν νεῶν ἐκπέμψας, ἐβοήθησε τοῖς πιεζομένοις καὶ τὴν ἧτταν τῶν ἰδίων διωρθώσατο, αὐτὸς δ' ἔχων τὸ κράτιστον τοῦ στόλου καὶ γενναίως ἀγωνισάμενος πολλὰς μὲν τριήρεις διέφθειρεν, οὐκ ὀλίγας δ' αἰχμαλώτους ἔλαβε· γενόμενος δ' ἐπὶ 35
τοῦ προτερήματος, καὶ πάσας τὰς τῶν πολεμίων ναῦς φυγεῖν ἀναγκάσας, ἀπέσχετο παντελῶς τοῦ διωγμοῦ. ἀναμνησθεὶς τῆς ἐν Ἀργινούσαις ναυμαχίας, ἐν ᾗ τοὺς νικήσαντας στρατηγοὺς ὁ δῆμος ἀντὶ μεγάλης εὐεργεσίας θανάτῳ περιέβαλεν, αἰτιασάμενος ὅτι τοὺς τετελευτηκότας κατὰ τὴν ναυμαχίαν οὐκ ἔθαψαν, εὐλαβήθη μήποτε τῆς περιστάσεως ὁμοίας γενομένης κινδυνεύσῃ παθεῖν παραπλήσια. διόπερ ἀποστὰς τοῦ διώκειν ἀνελέγετο τῶν πολιτῶν τοὺς διανηχομένους, καὶ τοὺς μὲν ἔτι ζῶντας διέσωσε, τοὺς δὲ τετελευτηκότας ἔθαψεν. εἰ δὲ μὴ περὶ ταύτην ἐγένετο τὴν ἐπιμέλειαν, ῥᾳδίως ἂν ἅπαντα τὸν τῶν πολεμίων στόλον διέφθειρε. κατὰ δὲ τὴν ναυμαχίαν τῶν μὲν Ἀθηναίων διεφθάρησαν τριήρεις ὀκτωκαίδεκα, τῶν δὲ Λακεδαιμονίων διεφθάρησαν μὲν εἴκοσι καὶ τέτταρες, αὔτανδροι δ' ἐλήφθησαν ὀκτώ. Χαβρίας μὲν οὖν ἐπιφανῆ ναυμαχίαν νικήσας κατέπλευσε μετὰ πολλῶν λαφύρων εἰς τὸν Πειραιέα, καὶ μεγάλης ἀποδοχῆς ἔτυχε παρὰ τοῖς πολίταις. μετὰ γὰρ τὸν Πελοποννησιακὸν πόλεμον Ἀθηναῖοι ταύτην πρώτην ναυμαχίαν ἐνίκησαν· τὴν γὰρ περὶ Κνίδον οὐκ ἰδίᾳ διηγωνίσαντο, τῷ δὲ βασιλικῷ στόλῳ χρησάμενοι ἐπροτέρησαν. ἅμα δὲ τούτοις πραττομένοις κατὰ τὴν Ἰταλίαν

45. εἶχε] εἶχον L  46. ἀντιτεταγμέναις] ἀντιταγμένας K  49. τε τὸν Κήδωνα] τὸν Κήδωνα A  50. κατεβύθισεν FK, caeteri κατεβύθισε  τοῖς ἄλλοις] ταῖς ἄλλαις Reiskius  60. τὰς τῶν πολ.] τὰς om. A  61. ἀναμνησθεὶς] γὰρ addit Reiskius  73. τῶν δὲ Λακ.] τῶν Λακ. K  79. ταύτην πρώτην] πρώτην ταύτην I  80. ἰδίᾳ] ἰδίαν I  82. ἐπροτέρησαν Wesselingius: libri προετέρησαν

ἐν τῇ Ῥώμῃ Μάρκος Μάνλιος ἐπιβαλόμενος τυραννίδι καὶ κρατηθεὶς ἀνῃρέθη.

36 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Χαριάνδρου Ῥωμαῖοι μὲν ἀντὶ τῶν ὑπάτων χιλιάρχους κατέστησαν τέτταρας, Σερούιον Σουλπίκιον, Λεύκιον Παπίριον, Κορνήλιον Τίτον καὶ Μάρκον Κοΐντιον, Ἠλεῖοι δ' ἤγαγον Ὀλυμπιάδα πρώτην πρὸς ταῖς ἑκατόν, καθ' ἣν ἐνίκα στάδιον Δάμων Θούριος. ἐπὶ δὲ τούτων ἐν τῇ Θρᾴκῃ Τριβαλλοὶ σιτοδείᾳ πιεζόμενοι πανδημεὶ στρατείαν ἐποιήσαντο πρὸς τὴν ὑπερόριον χώραν, καὶ τὰς τροφὰς ἐκ τῆς ἀλλοτρίας γῆς ἐπορίζοντο. ὄντες δὲ πλείους τῶν τρισμυρίων ἐπῆλθον τήν τε ὅμορον Θρᾴκην καὶ τὴν τῶν Ἀβδηριτῶν χώραν ἐπόρθησαν ἀδεῶς· πολλῆς δὲ ὠφελείας κυριεύσαντες καταπεφρονηκότως καὶ ἀτάκτως τὴν ἐπάνοδον ἐποιοῦντο. οἱ δ' Ἀβδηρῖται πανδημεὶ στρατεύσαντες ἐπ' αὐτοὺς καὶ σποράδην καὶ ἀτάκτως τὴν ἐπάνοδον ποιουμένους πλείους τῶν δισχιλίων ἀνεῖλον. οἱ δὲ βάρβαροι παροξυνθέντες ἐπὶ τοῖς συμβεβηκόσι, καὶ βουλόμενοι τοὺς Ἀβδηρίτας τιμωρήσασθαι, πάλιν ἐνέβαλον αὐτῶν εἰς τὴν χώραν. οἱ δὲ προνενικηκότες ἐπαρθέντες τῷ προτερήματι, καὶ τῶν πλησιοχώρων Θρᾳκῶν συμμαχίαν ἀποστειλάντων αὐτοῖς, παρετάξαντο τοῖς βαρβάροις. γενομένης δὲ μάχης ἰσχυρᾶς, καὶ τῶν Θρᾳκῶν μεταβαλομένων ἄφνω, μονωθέντες οἱ Ἀβδηρῖται καὶ κυκλωθέντες ὑπὸ τοῦ πλήθους τῶν βαρβάρων, σχεδὸν ἅπαντες οἱ τῆς μάχης μετεσχηκότες κατεκόπησαν. τηλικαύτῃ δὲ συμφορᾷ τῶν Ἀβδηριτῶν περιπεπτωκότων, καὶ μελλόντων πολιορκεῖσθαι, Χαβρίας ὁ Ἀθηναῖος ἐπιφανεὶς μετὰ δυνάμεως ἐξείλετο τῶν κινδύνων τοὺς Ἀβδηρίτας, καὶ τοὺς μὲν βαρβάρους ἐξήλασεν ἐκ τῆς χώρας, ἐν δὲ τῇ πόλει φρουρὰν ἀξιόλογον καταλιπὼν αὐτὸς ὑπό τινων ἐδολοφονήθη. Τιμόθεος δὲ παραλαβὼν τὴν ναυαρχίαν, καὶ πλεύσας εἰς τὴν Κεφαλληνίαν, τάς τ' ἐν αὐτῇ πόλεις προσηγάγετο καὶ τὰς κατὰ τὴν Ἀκαρνανίαν ὁμοίως ἔπεισεν ἀποκλῖναι πρὸς Ἀθηναίους. Ἀλκέταν τε τὸν Μολοττῶν βασιλέα φίλον κατασκευάσας, καὶ καθόλου τὰς πλείστας τῶν περὶ τοὺς τόπους ἐκείνους πόλεων ἐξιδιοποιησάμενος, ἐνίκησε ναυμαχίᾳ τοὺς Λακεδαιμονίους περὶ Λευκάδα. ταῦτα δὲ πάντα ταχέως καὶ ῥᾳδίως ἐπετέλεσε, πείθων μὲν διὰ τῆς τοῦ λόγου
31 δυνάμεως, νικῶν δὲ δι' ἀνδρείαν καὶ στρατηγίαν. διόπερ οὐ μόνον παρὰ τοῖς πολίταις ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις Ἕλλησι μεγάλης ἐτύγχανεν ἀποδοχῆς. καὶ τὰ μὲν περὶ Τιμόθεον ἐν τούτοις ἦν.

37 Ἅμα δὲ τούτοις πραττομένοις Θηβαῖοι μὲν ἐστράτευσαν ἐπ' Ὀρχομενὸν ἐπιλέκτοις ἀνδράσι πεντακοσίοις, καὶ συνετέλεσαν πρᾶξιν ἀξίαν μνήμης. φρουρούντων γὰρ τὸν Ὀρχομενὸν Λακεδαιμονίων πολλοῖς στρατιώταις, καὶ τοῖς Θηβαίοις ἀντιταξαμένων, ἐγενήθη μάχη καρτερά, καθ' ἣν οἱ Θηβαῖοι πρὸς διπλασίους συμβαλόντες ἐνίκησαν τοὺς Λακεδαιμονίους. οὐδέποτε γὰρ τοῦτο συνέβη γενέσθαι κατὰ τοὺς ἐπάνω χρόνους, ἀλλ' ἀγαπητὸν ὑπάρχειν ἐδόκει τὸ πολλοὺς ὀλίγους νικῆσαι. διὸ καὶ φρονήματος ἐπίμπλαντο Θηβαῖοι, καὶ τὴν ἀνδρείαν εἶχον μᾶλλον περιβόητον, καὶ φανεροὶ καθεστήκεισαν ἀμφισβητήσοντες τῆς τῶν Ἑλλήνων ἡγεμονίας. τῶν δὲ συγγραφέων Ἑρμείας ὁ Μηθυμναῖος τὴν τῶν Σικελικῶν σύνταξιν εἰς τοῦτον τὸν ἐνιαυτὸν κατέστροφε, γράψας βίβλους δέκα, ὡς δέ τινες διαιροῦσι, δώδεκα.

38 Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Ἱπποδάμου Ῥωμαῖοι χιλιάρχους ἀντὶ τῶν ὑπάτων κατέστησαν τέτταρας, Λεύκιον Οὐαλέριον Κρίσπον, Μάλλιον Φάβιον, Σερούιον Σουλπίκιον, Λουκρήτιον. ἐπὶ δὲ τούτων Ἀρταξέρξης ὁ τῶν Περσῶν βασιλεύς, μέλλων πολεμεῖν πρὸς Αἰγυπτίους καὶ σπεύδων ξενικὴν δύναμιν ἀξιόλογον συστήσασθαι, ἔγνω συλλύσασθαι τοὺς κατὰ τὴν Ἑλλάδα πολέμους· οὕτω γὰρ μάλιστ' ἤλπιζε τοὺς Ἕλληνας ἀπολελυμένους τῶν οἰκείων πολέμων ἑτοιμοτέρους ἔσεσθαι πρὸς τὰς ξενολογίας. διόπερ πρέσβεις ἐξέπεμψεν εἰς τὴν Ἑλλάδα τοὺς παρακαλέσοντας τὰς πόλεις κοινὴν εἰρήνην συνθέσθαι. τῶν δ' Ἑλλήνων ἀσμένως προσδεξαμέ-

83. *Μάνλιος* Wesselingius: libri *Μανίλιος* 30. 85. *Ἀθήνησι* AFIL, caeteri *Ἀθήνησι μὲν* *Χαριάνδρου*] vide annotationem 87. *τέσσαρας* F *Παπίριον*] *Παπύριον* libri 88. *Κορνήλιον* post *Σερούιον* ponit A *Μάρκον* om. A *Κοΐντιον*] *Κοΐνκτιον* K, om. A 89. *δ'*] *δὲ* F 91. *Τριβαλοὶ* F 100. *ποιουμένους*] *ποιουμένοις* A 7. *μεταβαλομένων* FI, caeteri *μεταβαλλομένων* 12. *Χαβρίας ἐδολοφονήθη*] reviviscit cap. 68. et postea: simile quid commisit in Archidamo XII. 35., ubi v. annotationem 18. *Κεφαλληνίαν*] *Κεφαληνίαν* AFIK *τάς τ' ἐν αὐτῇ πόλεις* Reiskius: libri *τάς τε ναῦς τῇ πόλει*

22. *πλείστας*] *πόλεις τὰς* AFK, caeteri *χώρας τὰς* *ἐπετέλεσε*] *ἀπετέλεσε* I 26. *ἀνδρίαν* F
31. 37. *συμβαλόντες*] *ἐμβαλόντες* L *ἐνίκησαν*] *μάχῃ* subiiciunt FK 40. *ἐπίμπλαντο*] *ἐμπίμπλαντο* A, *ἐμπίπλαντο* I 42. *καθεστήκεισαν*] *καθειστήκεισαν* L 44. *Μηθυμν.*] *Μιθυμν.* FK 45. *κατέστροφε*] *κατέστρεφε* omnes 47. *Ἱπποδάμου*] vide annotationem 48. *τέσσαρας* F 49. *Κρίσπον* — 50. *Σερούιον* om. A *Σερβίλιον* libri *Μάλλιον*] *Μάλιον* FK 50. *Λουκρήτιον* om. A, *καὶ Σουλπίκιον Λουκρίτιον* F 59. *δ' Ἑλλήνων* AFK, caeteri *δὲ Ἑλλήνων*

νων τοὺς λόγους διὰ τὸ κάμνειν τῇ συνεχείᾳ τῶν πολέμων, συνέθεντο πάντες τὴν εἰρήνην, ὥςτε πάσας τὰς πόλεις αὐτονόμους καὶ ἀφρουρήτους εἶναι. καὶ κατέστησαν οἱ Ἕλληνες ἐξαγωγεῖς, οἳ κατὰ πόλιν ἑκάστην ἐπελθόντες ἐξήγαγον ἁπάσας τὰς φρουράς. μόνων δὲ Θηβαίων οὐ προςδεξαμένων κατὰ πόλιν γίνεσθαι τὰς σπονδάς, ἀλλὰ τὴν Βοιωτίαν ἅπασαν ὑπὸ τὴν τῶν Θηβαίων συντέλειαν ταττόντων, καὶ Ἀθηναίων μὲν ἀντει- 32
πόντων φιλοτιμότατα Καλλιστράτου [δὲ] τοῦ δημαγωγοῦ τὸν λόγον διαθεμένου, ὑπὲρ δὲ τῶν Θηβαίων Ἐπαμεινώνδου διαθεμένου λόγον θαυμαστῶς ἐν τῷ κοινῷ συνεδρίῳ, τοῖς μὲν ἄλλοις Ἕλλησι πᾶσι συμφώνως αἱ σπονδαὶ συνετελέσθησαν, μόνοι δὲ Θηβαῖοι κριθέντες ἔκσπονδοι, καὶ τοῦ Ἐπαμεινώνδου διὰ τῆς ἰδίας ἀρετῆς ἐμποιοῦντος φρόνημα τοῖς πολίταις, ἐθάῤῥησαν τοῖς ἁπάντων δόγμασιν ἀντιβαίνειν. Λακεδαιμόνιοι μὲν γὰρ καὶ Ἀθηναῖοι, διὰ παντὸς περὶ τῆς ἡγεμονίας διαφιλοτιμούμενοι, παρεχώρουν ἀλλήλοις, οἱ μὲν τῆς κατὰ γῆν οἱ δὲ τῆς κατὰ θάλατταν ἀρχῆς ἄξιοι κρινόμενοι. διόπερ τὴν ἐκ τρίτου προςώπου ἀναφερομένην ἡγεμονίαν χαλεπῶς ἔφερον, καὶ τὰς κατὰ Βοιωτίαν πόλεις ἀπέσπων τῆς τῶν Θηβαίων συντελείας. οἱ δὲ Θηβαῖοι, τῇ τε ῥώμῃ τῶν σωμάτων καὶ ταῖς ἀλκαῖς διαφέροντες, καὶ πολλαῖς μάχαις προνενικηκότες τοὺς Λακεδαιμονίους, μετέωροι τοῖς φρονήμασιν ὑπῆρχον, καὶ τῆς κατὰ γῆν ἡγεμονίας ἠμφισβήτουν. οὐ διεψεύσθησαν δὲ τῆς ἐλπίδος διὰ τὰς εἰρημένας αἰτίας καὶ διὰ τὸ πλείονας ἔχειν ἀγαθοὺς ἡγεμόνας καὶ στρατηγοὺς κατὰ τοὺς ὑποκειμένους χρόνους. ἐπιφανέστατοι δ' ἦσαν Πελοπίδας καὶ Γοργίας καὶ Ἐπαμεινώνδας· οὗτος γὰρ οὐ μόνον τῶν ὁμοεθνούντων ἀλλὰ καὶ πάντων Ἑλλήνων πολὺ προέσχεν ἀνδρείᾳ τε καὶ στρατηγικῇ συνέσει. μετέσχε γὰρ ἐπὶ πολὺ πάσης παιδείας, καὶ μάλιστα τῆς Πυθαγορικῆς φιλοσοφίας· πρὸς δὲ τούτοις φυσικοῖς προτερήμασι κεχορηγημένος εἰκότως καὶ πράξεις ἐπιφανεστάτας συνετέλεσε. διὸ καὶ συναναγκασθεὶς ὀλίγοις πολιτικοῖς στρατιώταις πρὸς πάσας τὰς τῶν Λακεδαιμονίων καὶ τῶν συμμάχων δυνάμεις ἀγωνίσασθαι τοσοῦτον ὑπερέσχε τῶν ἀνικήτων

63. ἐξαγωγεῖς] ἐξαγωγὴν K     ἑκάστην post ἐπελθόντες ponit L et qui ἐλθόντες F

32. 68. Καλλιστράτου δὲ] δὲ delet Reiskius     70. Ἐπαμεινώνδου] vulgo Ἐπαμινώνδου, quod tenendum est libros ubique praebere ubi de eis tacetur     71. πᾶσι om. K     78. τῆς κατὰ γῆν Reiskius: libri κατὰ γῆν     91. Γοργίας] verae nominis formae Γοργίδας praeter scriptores ab Wesselingio citatos testis est Aristides vol. I. p. 496.



στρατιωτῶν ὥςτε τὸν βασιλέα τῶν Λακεδαιμονίων Κλεόμβροτον ἀνελεῖν, τὸ δὲ πλῆθος τῶν ἀντιταχθέντων ἄρδην σχεδὸν κατακόψαι. καὶ τὰ τηλικαῦτα παραδόξως διεπράξατο διὰ τὴν ἀγχίνοιαν καὶ τὴν ἐκ παιδείας αὐτῷ περιγεγενημένην ἀρετήν. ἀλλὰ περὶ μὲν τούτων μικρὸν ὕστερον ἐν τοῖς κατὰ μέρος ἐκτεθησομένοις σαφέστερον δηλώσομεν, νῦν δ' ἐπὶ τὸ συνεχὲς τῆς ἱστορίας τρεψόμεθα.

40 Μετὰ γὰρ τὴν συγχωρηθεῖσαν τοῖς δήμοις αὐτονομίαν αἱ πόλεις ἐνέπιπτον εἰς ταραχὰς μεγάλας καὶ στάσεις, μάλιστα δὲ αἱ κατὰ τὴν Πελοπόννησον. ὀλιγαρχικοῖς γὰρ πολιτεύμασι κεχρημέναι, καὶ ταῖς τῆς δημοκρατίας ἐξουσίαις ἀπειραγάθως χρώμεναι, πολλοὺς τῶν ἀγαθῶν ἀνδρῶν ἐφυγάδευον καὶ κρίσεις ἐπιβάλλουσαι
8 συκοφαντώδεις κατεδίκαζον. διόπερ εἰς στάσεις ἐμπίπτουσαι φυγὰς καὶ δημεύσεις οὐσιῶν ἐποιοῦντο, μάλιστα δὲ πρὸς τοὺς ἐπὶ τῆς Λακεδαιμονίων ἡγεμονίας προεστηκότας τῶν πατρίδων. ἐν γὰρ τοῖς τότε χρόνοις ἐπιτακτικῶς ἐκείνων τοῖς πολίταις προςενηνεγμένων, ὕστερον ὁ δημοτικὸς ὄχλος ἀπολαβὼν τὴν ἐλευθερίαν ἐμνησικάκει. πρῶτον δὲ τῶν Φιαλέων οἱ φυγάδες συστραφέντες κατελάβοντο τὴν καλουμένην Ἡραίαν, χωρίον ὀχυρόν. ἐκ ταύτης δ' ὁρμηθέντες παρειςέπεσον εἰς τὴν Φιάλειαν, καὶ Διονυσίων κατὰ τύχην ὄντων ἐπιπεσόντες ἀπροςδοκήτως τοῖς ἐν τῷ θεάτρῳ καθημένοις, καὶ πολλοὺς ἀποσφάξαντες, οὐκ ὀλίγους δὲ καὶ συναπονοήσασθαι πείσαντες, ἀνεχώρησαν εἰς τὴν Σπάρτην. οἱ δὲ τῆς Κορίνθου φυγάδες, συχνοὶ διατρίβοντες παρὰ τοῖς Ἀργείοις, ἐπεχείρησαν κατιέναι. παραδεχθέντες δ' ἐπὶ τὴν πόλιν ὑπό τινων οἰκείων καὶ φίλων, διαβληθέντες δέ, ἐγένοντο περικατάληπτοι. μέλλοντες δὲ συναρπάζεσθαι, καὶ φοβούμενοι τὴν ἐκ τῆς ἁλώσεως αἰκίαν, ἀλλήλους ἀπέκτειναν. οἱ δὲ Κορίνθιοι πολλοὺς τῶν πολιτῶν αἰτιασάμενοι μετεσχηκέναι τοῖς φυγάσι τῆς ἐπιθέσεως, οὓς μὲν ἀπέκτειναν οὓς δ' ἐφυγάδευσαν. ἐν δὲ τῇ πόλει τῶν Μεγαρέων ἐπιχειρήσαντές τινες μεταστῆσαι τὴν πολιτείαν, καὶ κρατηθέντες ὑπὸ τοῦ δήμου,

100. στρατιωτῶν] fort. Σπαρτιατῶν     1. Λακεδαιμονίων AHIKQ, caeteri Σπαρτιατῶν     3. κατακόψαι FHILQ, caeteri ἀποκόψαι     7. ἐκτεθησομένοις] ἐκτεθεῖσι AIK     8. τρεψόμεθα] τρεψώμεθα L et qui ο super ω ponit F     13. γὰρ om. I

33. 18. τῆς Λακεδ.] Λακεδ. K     19. post πατρίδων verbum quodpiam deesse vidit Reiskius     22. ἀπολαβὼν] ἐπιλαβὼν L     33. διαβληθέντες δέ, ἐγένοντο] διαβληθέντες ἐγένοντό τε libri

πολλοὶ μὲν ἀνηρέθησαν, οὐκ ὀλίγοι δ' ἐξέπεσον. ὁμοίως δὲ καὶ παρὰ τοῖς Σικυωνίοις τινὲς νεωτερίζειν ἐπιβαλόμενοι καὶ σφαλέντες ἀνηρέθησαν. παρὰ δὲ τοῖς Φλιασίοις πολλῶν φυγαδευομένων, καὶ καταλαβομένων ἐπὶ τῆς χώρας φρούριον ὀχυρόν, καὶ πλῆθος μισθοφόρων ἀθροισάντων, ἐγένετο μάχη πρὸς τοὺς ἐκ τῆς πόλεως· καὶ νικησάντων τῶν φυγάδων ἀνηρέθησαν τῶν Φλιασίων ὑπὲρ τοὺς τριακοσίους. ὕστερον δὲ προδόντων τῶν φυλάκων τοὺς φυγάδας, κρατήσαντες οἱ Φλιάσιοι τῶν φυγάδων ἀνεῖλον πλείους τῶν ἑξακοσίων, τοὺς δὲ λοιποὺς ἐκβαλόντες ἐκ τῆς χώρας ἠνάγκασαν φυγεῖν εἰς Ἄργος. αἱ μὲν οὖν κατὰ Πελοπόννησον πόλεις ἐν τοιαύταις συμφοραῖς ἦσαν.

41 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Σωκρατίδου Ῥωμαῖοι ἀντὶ τῶν ὑπάτων χιλιάρχους κατέστησαν τέτταρας, Κόϊντον Κράσσον, Σερουίλιον Κορνήλιον, ἔτι δὲ Σπόριον Παπίριον καὶ Φάβιον Ἄλβον. ἐπὶ δὲ τούτων Ἀρταξέρξης ὁ βασιλεὺς ἐστράτευσεν ἐπ' Αἰγυπτίους ἀφεστηκότας ἀπὸ Περσῶν. ἡγοῦντο δὲ τῶν δυνάμεων Φαρνάβαζος μὲν τῶν βαρβαρικῶν, Ἰφικράτης δ' ὁ Ἀθηναῖος τῶν μισθοφόρων, ὄντων δισμυρίων. ὁ δ' ἀνὴρ οὗτος μετάπεμπτος ἐπὶ τὴν στρατηγίαν ὑπὸ τοῦ βασιλέως ἐτάχθη διὰ τὴν ἐν τῷ στρατηγεῖν ἀρετήν. ἔτη δὲ πλείω τοῦ Φαρναβάζου κατανηλωκότος περὶ τὰς παρασκευάς, ὁ 34
μὲν Ἰφικράτης ὁρῶν αὐτὸν ἐν μὲν τῷ λέγειν ὄντα δεινόν, ἐν δὲ τοῖς πραττομένοις νωχελῆ, παῤῥησίᾳ πρὸς αὐτὸν ἐχρήσατο, φήσας θαυμάζειν πῶς ἐν μὲν τοῖς λόγοις ἐστὶν ὀξύς, ἐν δὲ τοῖς ἔργοις βραδύς. ὁ δὲ Φαρνάβαζος ἀπεκρίθη διότι τῶν μὲν λόγων αὐτός ἐστι κύριος, τῶν δ' ἔργων ὁ βασιλεύς. τῆς δὲ τῶν Περσῶν δυνάμεως ἀθροισθείσης εἰς πόλιν Ἄκην ἠριθμήθησαν τῶν μὲν βαρβάρων εἴκοσι μυριάδες, ὧν ἦρχε Φαρνάβαζος· τῶν δὲ μισθοφόρων Ἑλλήνων Ἰφικράτης ἡγεῖτο δισμυρίων. καὶ ναῦς ἠριθμήθησαν τριήρεις μὲν τριακόσιαι, τριακόντοροι δὲ διακόσιαι· τῶν δὲ τὴν ἀγορὰν καὶ τὴν ἄλλην παρασκευὴν κομιζουσῶν πολὺς ἦν ἀριθμός. ἀρχο-

43. σφαλέντες] σταλέντες AHL, στασιάσαντες Q, caeteri γνωσθέντες 50. τῶν φυγάδων om. I 56. τέσσαρας F 57. Κράσον F, cum Σερουίλιον om. A ἔτι δὲ om. FK 58. Παπίριον] Παπύριον libri καὶ Φάβιον Ἄλβον om. A

34. 71. τῶν μὲν λόγων L, caeteri τῶν λόγων 72. ἐστι κύριος] κύριός ἐστι F 75. Φαρνάβαζος Wesselingius: libri Ἀρτάβαζος 78. τὴν ἀγορὰν] ἀγορὰν F



μένου δὲ τοῦ θέρους ἀνέζευξαν οἱ τοῦ βασιλέως στρατηγοὶ μετὰ πάσης τῆς δυνάμεως, καὶ τοῦ στόλου συμπαρόντος προῆγον ἐπὶ τὴν Αἴγυπτον. ὡς δ' ἧκον πλησίον τοῦ Νείλου, κατέλαβον τοὺς Αἰγυπτίους φανερῶς παρεσκευασμένους τὰ πρὸς τὸν πόλεμον. ὁ γὰρ Φαρνάβαζος βραδεῖαν τὴν στρατείαν ἐποιεῖτο, καὶ πολὺν χρόνον ἐδεδώκει τοῖς πολεμίοις εἰς τὴν παρασκευήν. ὡς εἰώθασι γὰρ οἱ τῶν Περσῶν στρατηγοί, τῶν ὅλων οὐκ ὄντες αὐτοκράτορες, περὶ πάντων ἀναφέρουσι τῷ βασιλεῖ, καὶ προσαναμένουσι τὰς περὶ ἕκαστον ἀποκρίσεις.

'Ο δὲ τῶν Αἰγυπτίων βασιλεὺς Νεκτάνεβις ἐπυνθάνετο μὲν τὸ μέγεθος τῶν Περσικῶν δυνάμεων, ἐθάῤῥει 42
δὲ μάλιστα μὲν τῇ τῆς χώρας ὀχυρότητι, δυςπροςίτου παντελῶς οὔσης τῆς Αἰγύπτου, ἔπειτα δὲ τῷ πεφράχθαι καλῶς πάσας εἰςβολὰς τάς τε ἀπὸ γῆς καὶ τὰς ἀπὸ θαλάττης. ἑπτὰ στόμασι γὰρ τοῦ Νείλου τὰς εἰς τὸ Αἰγύπτιον πέλαγος ἐκβολὰς ποιουμένου καθ' ἕκαστον τῶν στομάτων πόλις κατεσκεύαστο πύργους μεγάλους ἔχουσα καθ' ἑκάτερον τοῦ ῥεῖθρου καὶ ξυλίνην γέφυραν τοῦ εἴςπλου κυριεύουσαν. μάλιστα δὲ τὸ Πηλουσιακὸν στόμα κατεσκεύασε διὰ τὸ κεῖσθαι μὲν αὐτὸ πρῶτον πρὸς τοὺς ἀπὸ Συρίας πορευομένους καὶ δοκεῖν διὰ τούτου μάλιστα ποιεῖσθαι τὴν ἔφοδον τοὺς πολεμίους. τοῦτο γὰρ ἀπετάφρευσε, καὶ διετείχισε τοὺς εἴςπλους κατὰ τοὺς εὐκαιροτάτους τόπους, καὶ τῶν προςόδων τὰς μὲν κατὰ γῆν πορευτὰς ἐποίησε λιμνάζειν, τὰς δὲ πλωτὰς χώμασιν ἐνέφραττε. διόπερ οὐκ ἦν ῥᾳδίως οὔτε ταῖς ναυσὶν εἰςπλεῖν οὔτε τοῖς ἱππεῦσι προςπελάσαι οὔτε τοῖς πεζοῖς προςελθεῖν. οἱ δὲ περὶ τὸν Φαρνάβαζον στρατηγοί, καταλαβόντες τὸ Πηλουσιακὸν στόμα θαυμαστῶς ὠχυρωμένον καὶ στρατιωτῶν πλήθει φυλαττόμενον, τὸ μὲν διὰ τούτου βιάζεσθαι παντελῶς ἀπεδοκίμασαν, δι' ἑτέρου δὲ στόματος ἔγνωσαν ποιεῖσθαι τὸν εἴςπλουν. διὸ πλεύσαντες πελάγιοι πρὸς τὸ μὴ καθορᾶσθαι τὰς ναῦς ὑπὸ τῶν πολεμίων, κατέπλευσαν πρὸς τὸ στόμα τὸ κα-

89. ἕκαστον] ἑκάστου vel ἑκάστων Reiskius 91. Νεκτάνεβις] Νεκτένεβις IK 93. δυςπροςίτου] δυςποςίτου K 94. τῆς Αἰγύπτου FIK, caeteri Αἰγύπτου ἔπειτα δὲ] ἔπειτα καὶ IL 96. γὰρ τοῦ] τοῦ γὰρ omnes: ἑπτὰ στόμασι, vulgo praecedentibus iuncta, ad hoc membrum pertinere vidit Reiskius 1. μάλιστα δὲ FIK, caeteri μάλιστα 2. κατεσκεύασε Wesselingius: libri κατεσκεύασαν 7. μὲν om. I πορευτὰς Reiskius: libri πορείας 8. ἐνέφραττεν F 9. εἰςπλεῖν] libri εἰςπλέειν 15. ἔγνωσαν] ἔγνων AL 17. ναῦς] νὰς A ὑπὸ] ἀπὸ FK 18. τὸ στόμα] στόμα FI

λούμενον Μενδήσιον, ἔχον ἠιόνα παρήκουσαν ἐφ' ἱκανὸν τόπον. εἰς ταύτην ἀποβάντες μετὰ στρατιωτῶν τρισχιλίων ὅ τε Φαρνάβαζος καὶ ὁ Ἰφικράτης προῆγον ἐπὶ τὸ τετειχισμένον ἐπὶ τοῦ στόματος πολισμάτιον. ἐκβοηθησάντων δὲ τῶν Αἰγυπτίων ἱππεῦσί τε καὶ πεζοῖς τρισχιλίοις, γενομένης τε μάχης ἰσχυρᾶς, καὶ τοῖς Πέρσαις πολλῶν ἐκ τῶν νεῶν προςγεγενημένων, κυκλωθέντες οἱ Αἰγύπτιοι, πολλοὶ μὲν ἀπέθανον, οὐκ ὀλίγοι δ' ἐζωγρήθησαν· οἱ δὲ περιλειφθέντες εἰς τὴν πόλιν συνεδιώχθησαν, οἱ δὲ περὶ τὸν Ἰφικράτην συνειςπεσόντες τοῖς φρουροῦσιν ἐντὸς τῶν τειχῶν, καὶ κρατήσαντες τοῦ φρουρίου, τοῦτο μὲν κατέσκαψαν, τοὺς δ' ἐνοικοῦντας ἐξηνδραποδίσαντο.

43 Μετὰ δὲ ταῦτα τοῖς στρατηγοῖς ἐνέπεσε στάσις, δι' ἣν τῆς ἐπιβολῆς ἐσφάλησαν. ὁ μὲν γὰρ Ἰφικράτης παρὰ τῶν αἰχμαλώτων πυθόμενος ἔρημον εἶναι τὴν Μέμφιν, ἐπικαιροτάτην οὖσαν πόλιν τῶν κατ' Αἴγυπτον, συνεβούλευεν ἐξαυτῆς ἀναπλεῖν ἐπὶ τὴν Μέμφιν πρὸ τοῦ παραγενέσθαι τὰς τῶν Αἰγυπτίων δυνάμεις· οἱ δὲ περὶ τὸν Φαρνάβαζον ᾤοντο δεῖν ἀναμένειν τὴν ὅλην δύναμιν τῶν Περσῶν· ἀσφαλεστέραν γὰρ ἔσεσθαι τὴν στρατείαν ἐπὶ τὴν Μέμφιν. τοῦ δ' Ἰφικράτους ἀξιοῦντος αὐτῷ δοθῆναι τοὺς παρόντας μισθοφόρους, καὶ μετ' ἐκείνων ἐπαγγελλομένου κρατήσειν τῆς πόλεως, τό τε θράσος αὐτοῦ καὶ τὴν ἀρετὴν ὑπώπτευσε, μὴ κατ' ἰδίαν κατάσχῃ τὴν Αἴγυπτον. διόπερ οὐ συγχωροῦντος τοῦ Φαρναβάζου, ὁ Ἰφικράτης διεμαρτύρατο, λέγων ὡς ἐὰν παρῶσι τὴν ὀξύτητα τῶν καιρῶν, ἄπρακτον ποιήσουσι τὴν πολλὴν στρατιάν· * ἐφθόνουν αὐτῷ καὶ διαβολὰς ἀδίκους προςῆπτον. οἱ δ' Αἰγύπτιοι πολλὴν ἀναστροφὴν λαβόντες, εἰς μὲν τὴν Μέμφιν ἐξέπεμψαν τὴν ἱκανὴν φυλακήν, ἐπὶ δὲ τὸ πεπορθημένον πολισμάτιον πάσαις ταῖς δυνάμεσι παραγενόμενοι, καὶ πολλὰ πλεονεκτοῦντες διὰ τὴν τῶν ὅπλων ὀχυρότητα, συμπλοκὰς ἐποιοῦντο τοῖς πολεμίοις συνεχεῖς· ἀεὶ δὲ μᾶλλον ἐπισχύοντες πολλοὺς ἀνῄρουν τῶν Περσῶν, καὶ κατεθάῤῥουν τῶν πολεμίων. χρονιζούσης δὲ τῆς περὶ τὸ

35. 36. ἐξαυτῆς F: scribebatur ἐξ αὐτῆς 40. τὴν στρατείαν ἐπὶ τὴν Μέμφιν AIK, et qui στρατιὰν F, caeteri τὴν ἐπὶ τὴν Μέμφιν στρατείαν 44. ὑπόπτευσε F, caeteri ὑπώπτευσεν 48. ante ἐφθόνουν lacunam animadvertit Rhodomannus: πολλὴν στρατιὰν in ὅλην στρατείαν mutabat Sintenis 49. λαβόντες] λαμβάνοντες FK 51. post πολισμάτιον infertur παραγενόμενοι in F 53. ὅπλων] ὄχλων I, τόπων Diar. Class. XXX. p. 373.



πολισμάτιον τοῦτο στρατείας, καὶ τῶν ἐτησίων ἤδη γενομένων, ὁ Νεῖλος πληρούμενος καὶ πάντα τόπον ἐπέχων τῷ πλήθει τοῦ ῥεύματος ἀεὶ μᾶλλον ὠχύρου τὴν Αἴγυπτον. οἱ δὲ τῶν Περσῶν ἡγεμόνες, ἀντιπραττούσης αὐτοῖς ἀεὶ τῆς περιστάσεως, ἔγνωσαν ἐκ τῆς Αἰγύπτου τὴν ἀπαλλαγὴν ποιήσασθαι. διόπερ ἐπανιόντων αὐτῶν εἰς τὴν Ἀσίαν, καὶ γενομένης διαφορᾶς τῷ Φαρναβάζῳ πρὸς τὸν Ἰφικράτην, ὑποπτεύσας ὁ Ἰφικράτης μὴ συλληφθῇ καὶ τιμωρίας τύχῃ, καθάπερ Κόνων ἔπαθεν ὁ Ἀθηναῖος, ἔκρινε λάθρα φεύγειν ἐκ τοῦ στρατοπέδου· διὸ καὶ παρασκευασάμενος πλοῖον ἔλαθε νυκτὸς ἀπαλλαγεὶς καὶ καταπλεύσας εἰς τὰς Ἀθήνας. ὁ δὲ Φαρνάβαζος πρέσβεις ἐκπέμψας κατηγόρησε τοῦ Ἰφικράτους ὡς αἰτίου γεγονότος τοῦ μὴ ληφθῆναι τὴν Αἴγυπτον. οἱ δὲ Ἀθηναῖοι τοῖς μὲν Πέρσαις ἀπόκρισιν ἔδωκαν ὅτι ἐὰν εὕρωσιν αὐτὸν ἠδικηκότα, κολάσουσι κατὰ τὴν ἀξίαν, αὐτοὶ δὲ μετ' ὀλίγον χρόνον στρατηγὸν κατέστησαν τὸν Ἰφικράτην ἐπὶ τὸ ναυτικόν.

36 Οὐκ ἀνοίκειον δ' ἐστὶ τὰ περὶ τῆς Ἰφικράτους ἀρετῆς ἱστορούμενα παραθεῖναι. 44 οὗτος γὰρ παραδέδοται στρατηγικήν τε ἀγχίνοιαν ἐσχηκέναι καὶ πρὸς πᾶσαν ἐπίνοιαν ἀγαθὴν φύσει κεχρῆσθαι διαφόρῳ. προςλαβόμενον οὖν αὐτὸν τὴν ἐν τῷ Περσικῷ πολέμῳ πολυχρόνιον ἐμπειρίαν τῶν στρατιωτικῶν ἔργων ἐπινοήσασθαι πολλὰ τῶν εἰς τὸν πόλεμον χρησίμων, καὶ μάλιστα [τῶν] περὶ τὸν καθοπλισμὸν φιλοτιμηθῆναι. τῶν γὰρ Ἑλλήνων μεγάλαις ἀσπίσι χρωμένων, καὶ διὰ τοῦτο δυςκινήτων ὄντων, συνεῖλε τὰς ἀσπίδας, καὶ κατεσκεύασε πέλτας συμμέτρους, ἐξ ἀμφοτέρων εὖ στοχασάμενος, τοῦ τε σκέπειν ἱκανῶς τὰ σώματα καὶ τοῦ δύνασθαι τοὺς χρωμένους ταῖς πέλταις διὰ τὴν κουφότητα παντελῶς εὐκινήτους ὑπάρχειν. διὰ δὲ τῆς πείρας τῆς εὐχρηστίας ἀποδοχῆς τυγχανούσης, οἱ μὲν πρότερον ἀπὸ τῶν ἀσπίδων ὁπλῖται καλούμενοι τότε δὲ ἀπὸ τῆς πέλτης πελτασταὶ μετωνομάσθησαν. ἐπὶ δὲ τοῦ δόρατος καὶ τοῦ ξίφους εἰς τοὐναντίον τὴν μετάθεσιν ἐποιήσατο. ηὔξησε γὰρ τὰ μὲν δόρατα ἡμιολίῳ μεγέθει, τὰ δὲ ξίφη σχεδὸν δι-

57. στρατείας] στρατιᾶς AFL 59. ἀεὶ] αἰεὶ omnes 61. ἀεὶ] αἰεὶ F, ego deleo 62. ἔγνωσαν] ἔγνωκαν omnes 72. ληφθῆναι] συλληφθῆναι L 74. κολάσουσι] κολάσωσι A 75. κατέστησαν τὸν FK, caeteri κατεστήσαντο
36. 77. δ'] δέ F 82. στρατιωτικῶν] στρατηγικῶν L 83. τὸν πόλεμον] πόλεμον L 84. μάλιστα τῶν] scribe μάλιστα vel μάλιστα πάντων 94. τότε δὲ] τότε Schaeferus: conf. vol. I. p. 701. 81.

πλάσια κατεσκεύασε. τὴν δὲ δοκιμασίαν ἡ χρεία διαβεβαιοῦσα τὴν ἐπίνοιαν τοῦ στρατηγοῦ τῷ τῆς πείρας ἐπιτεύγματι δόξης ἠξίωσε. τάς τε ὑποδέσεις τοῖς στρατιώταις εὐλύτους καὶ κούφας ἐποίησε, τὰς μέχρι τοῦ νῦν ἰφικρατίδας ἀπ' ἐκείνου καλουμένας. πολλὰ δὲ καὶ ἄλλα τῶν χρησίμων εἰς τὰς στρατείας κατέδειξε, περὶ ὧν μακρὸν ἂν εἴη γράφειν.

Ἡ μὲν οὖν ἐπ' Αἴγυπτον στρατεία τῶν Περσῶν, μεγάλης τυχοῦσα παρασκευῆς, παρ' ἐλπίδας ἄπρακτον ἔσχε τὸ τέλος. κατὰ δὲ τὴν Ἑλλάδα ταραττομένων τῶν πόλεων διὰ τὴν ἀσυνήθη πολιτείαν, καὶ πολλῶν ἐπανισταμένων διὰ τὴν κοινὴν ἀναρχίαν, τοῖς μὲν τὰς ὀλιγαρχίας κατασκευάζουσιν ἐβοήθουν οἱ Λακεδαιμόνιοι, τοῖς δὲ τῆς δημοκρατίας ἀντεχομένοις συνεμάχουν οἱ Ἀθηναῖοι. ἀμφότεραι γὰρ αἱ πόλεις αὗται χρόνον ὀλίγον διετήρησαν τὰς σπονδάς, μετὰ δὲ ταῦτα συμπράττουσαι ταῖς οἰκείαις πόλεσιν ἐπολέμουν, οὐδὲν ἔτι φροντίζοντες τῆς κοινῆς συντεθείσης εἰρήνης. διόπερ ἐν Ζακύνθῳ τοῖς ἐπὶ τῆς Λακεδαιμονίων ἐπιστασίας κυρίοις γεγονόσι τοῦ πολιτεύματος ὁ δῆμος χαλεπῶς ἔχων καὶ μνησικακῶν, ἐφυγάδευσε πάντας. οὗτοι δὲ πρὸς Τιμόθεον τὸν Ἀθηναίων ἡγούμενον τοῦ ναυτικοῦ καταφυγόντες συνέπλεον αὐτῷ καὶ συνεμάχουν. τοῦτον οὖν παραστησάμενοι συνεργόν, καὶ διαβιβασθέντες εἰς τὴν 37
νῆσον ὑπ' αὐτοῦ, κατελάβοντο χωρίον ὀχυρὸν παρὰ θάλατταν, ὃ προσηγόρευον Ἀρκαδίαν. ἐκ τούτου δ' ὁρμώμενοι, καὶ βοηθὸν ἔχοντες τὸν Τιμόθεον, ἐκακοποίουν τοὺς ἐν τῇ πόλει. τῶν δὲ Ζακυνθίων τοὺς Λακεδαιμονίους ἀξιούντων βοηθῆσαι, τὸ μὲν πρῶτον εἰς τὰς Ἀθήνας ἀποστείλαντες πρέσβεις κατηγόρουν τοῦ Τιμοθέου· ὡς δ' ἐθεώρουν τὸν δῆμον ἀποκλίνοντα πρὸς τοὺς φυγάδας, συνεστήσαντο ναυτικόν, καὶ πληρώσαντες τριήρεις εἴκοσι καὶ πέντε ἐξέπεμψαν τοῖς Ζακυνθίοις συμμαχίαν, δόντες τὴν ἡγεμονίαν Ἀριστοκράτει.

46 Ἅμα δὲ τούτοις πραττομένοις τῶν ἐκ Κερκύρας τινὲς φίλοι Λακεδαιμονίων ἐπαναστάντες τῷ δήμῳ παρεκάλεσαν τοὺς Σπαρτιάτας ἀποστεῖλαι ναυτικὴν δύναμιν,

3. στρατείας] στρατιὰς omnes 4. ἂν om. F 5. στρατεία] στρατιὰ AFK 15. οἰκείαις AFHILQ, caeteri ἰδίαις 17. Λακεδαιμονίων] Λακεδαιμονίοις K et qui τοῖς F: lacunam in his animadvertit Palmerius 22. συνεμάχουν] συνεπλεομάχουν A

37. 26. καὶ βοηθὸν] βοηθὸν FI 29. ἀποστείλαντες AFKL, caeteri ἐξαποστείλαντες 31. συνεστήσαντο F, συνέστησαν A, caeteri συνεστήσαντο τὸ



ὑπισχνούμενοι παραδώσειν αὐτοῖς τὴν Κέρκυραν. οἱ δὲ Λακεδαιμόνιοι, τὴν Κέρκυραν εἰδότες μεγάλην ῥοπὴν ἔχουσαν τοῖς ἀντεχομένοις τῆς θαλάττης, ἔσπευσαν κύριοι γενέσθαι ταύτης τῆς πόλεως. εὐθὺς οὖν ἔπεμψαν εἰς τὴν Κέρκυραν τριήρεις εἴκοσι καὶ δύο, τὴν ἡγεμονίαν Ἀλκίδᾳ παραδόντες. τοῦτον δὲ τὸν στόλον προςεποιήθησαν εἰς Σικελίαν ἀποστεῖλαι, ἵνα ὡς φίλοι προςδεχθέντες ὑπὸ τῶν Κερκυραίων κατάσχωσι τὴν πόλιν μετὰ τῶν φυγάδων. οἱ δὲ Κερκυραῖοι γνόντες τῶν Σπαρτιατῶν τὴν ἐπίνοιαν, τὴν μὲν πόλιν ἐπιμελῶς ἐφύλαττον, εἰς δὲ τὰς Ἀθήνας πρέσβεις ἐξέπεμψαν περὶ βοηθείας. οἱ δ' Ἀθηναῖοι ψηφισάμενοι βοηθεῖν τοῖς Κερκυραίοις καὶ Ζακυνθίων τοῖς φυγάσιν, εἰς μὲν τὴν Ζάκυνθον ἐξέπεμψαν Κτησικλέα στρατηγόν, ἡγούμενον τῶν φυγάδων, εἰς δὲ τὴν Κέρκυραν παρεσκευάζοντο ναυτικὴν δύναμιν ἐκπέμπειν.

Ἅμα δὲ τούτοις πραττομένοις κατὰ τὴν Βοιωτίαν Πλαταιεῖς ἀντεχόμενοι τῆς Ἀθηναίων συμμαχίας μετεπέμποντο στρατιώτας, κεκρικότες τοῖς Ἀθηναίοις παραδοῦναι τὴν πόλιν. ἐπὶ δὲ τούτοις οἱ βοιωτάρχαι χαλεπῶς διατεθέντες πρὸς τοὺς Πλαταιεῖς, καὶ σπεύδοντες φθάσαι τὴν παρὰ τῶν Ἀθηναίων συμμαχίαν, εὐθὺς ἐπ' αὐτοὺς δύναμιν ἀξιόλογον ἦγον. παραγενόμενοι δὲ πλησίον τῆς τῶν Πλαταιέων πόλεως, ἀπροσδοκήτου τῆς ἐπιθέσεως γενομένης οἱ πλεῖστοι μὲν τῶν Πλαταιέων ἐπὶ τῆς χώρας καταληφθέντες ὑπὸ τῶν ἱππέων συνηρπάγησαν, οἱ δὲ λοιποὶ καταφυγόντες εἰς τὴν πόλιν, καὶ συμμάχων ὄντες ἔρημοι, συνηναγκάσθησαν ὁμολογίας συνθέσθαι τοῖς πολεμίοις εὐαρέστους. ἔδει γὰρ αὐτοὺς τὰ
38 ἔπιπλα λαβόντας ἀπελθεῖν ἐκ τῆς πόλεως καὶ μηκέτι τῆς Βοιωτίας ἐπιβαίνειν. μετὰ δὲ ταῦτα οἱ μὲν Θηβαῖοι τὰς Πλαταιὰς κατασκάψαντες καὶ Θεσπιὰς ἀλλοτρίως πρὸς αὐτοὺς διακειμένας ἐξεπόρθησαν, οἱ δὲ Πλαταιεῖς εἰς Ἀθήνας μετὰ τέκνων καὶ γυναικῶν φυγόντες τῆς ἰσοπολιτείας ἔτυχον διὰ τὴν χρηστότητα τοῦ δήμου. καὶ τὰ μὲν κατὰ τὴν Βοιωτίαν ἐν τούτοις ἦν.

47. γνόντες] γνόντες μὲν FIK, γνόντες μετὰ A 48. τὴν μὲν πόλιν] τὴν πόλιν FI 51. Ζακυνθίων τοῖς φυγάσιν] Λακεδαιμονίων τοῖς συμμάχοις AHIKQ 55. Πλαταιοῖς F 59. διατεθέντες] διατιθέντες K 64. καταληφθέντες] καταλειφθέντες AK 65. συνηρπάγησαν AFIKL, caeteri συνηρπάσθησαν

38. 70. Θηβαῖοι FI, caeteri Λακεδαιμόνιοι 71. τὰς Πλαταιὰς] τὴν Πλάταιαν FIQ Θεσπειὰς F 74. τῆς ἰσοπ.] ἰσοπ. FK 75. τὴν Βοιωτίαν] Βοιωτίαν FI

47 Λακεδαιμόνιοι δὲ στρατηγὸν καταστήσαντες Μνάσιππον ἐξαπέστειλαν ἐπὶ τὴν Κέρκυραν, ἔχοντα τριήρεις μὲν ἑξήκοντα καὶ πέντε, στρατιώτας δὲ χιλίους καὶ πεντακοσίους. οὗτος δὲ καταπλεύσας εἰς τὴν νῆσον καὶ προςλαβόμενος τοὺς φυγάδας, εἰςέπλευσεν εἰς τὸν λιμένα, καὶ τεττάρων μὲν νεῶν ἐκυρίευσε, τῶν δὲ ὑπολοίπων τριῶν νεῶν φυγουσῶν πρὸς τὴν γῆν, αὗται μὲν ἐνεπρήσθησαν ὑπὸ τῶν Κερκυραίων, ἵνα μὴ τοῖς πολεμίοις ὑποχείριοι γένωνται. ἐνίκησε δὲ καὶ πεζῇ τοὺς ἐπὶ τῇ γῇ λόφον τινὰ κατειλημμένους, καὶ καθόλου πολὺν φόβον τοῖς Κερκυραίοις ἐπέστησεν. Ἀθηναῖοι δὲ καὶ πάλαι μὲν ἀπεστάλκεισαν Τιμόθεον τὸν Κόνωνος ἐπὶ βοήθειαν τοῖς Κερκυραίοις μετὰ νεῶν ἑξήκοντα. οὗτος δὲ πρὸ τῆς συμμαχίας ταύτης πλεύσας ἐπὶ Θρᾴκης, καὶ πολλὰς πόλεις ἐπὶ συμμαχίαν προςκαλεσάμενος, προςέθηκε τριάκοντα τριήρεις. τότε δὲ καθυστερῶν τῆς τῶν Κερκυραίων συμμαχίας, τὸ μὲν πρῶτον ἀπέβαλε τὴν στρατηγίαν, τοῦ δήμου χαλεπῶς πρὸς αὐτὸν διατεθέντος· ὡς δὲ παρέπλευσεν εἰς τὰς Ἀθήνας, ἄγων πρέσβεων πλῆθος τῶν τὴν συμμαχίαν συντιθεμένων, καὶ τριάκοντα τριήρεις προςτεθεικὼς πάντα τε τὸν στόλον εὖ κατεσκευακὼς πρὸς τὸν πόλεμον, μετενόησεν ὁ δῆμος καὶ πάλιν αὐτῷ τὴν στρατηγίαν ἀποκατέστησε. προςκατεσκεύαζον δὲ καὶ [τὰς] ἄλλας τριήρεις τετταράκοντα, ὥςτε τὰς [ἄλλας] πάσας γίνεσθαι ἑκατὸν καὶ τριάκοντα· ἐποιοῦντο δὲ καὶ σίτου καὶ βελῶν καὶ τῶν ἄλλων τῶν εἰς τὸν πόλεμον χρησίμων ἀξιολόγους παρασκευάς. κατὰ δὲ τὸ παρὸν στρατηγὸν ἑλόμενοι Κτησικλέα μετὰ στρατιωτῶν πεντακοσίων ἐξέπεμψαν βοηθήσοντα τοῖς Κερκυραίοις. οὗτος δὲ λάθρᾳ νυκτὸς ἔλαθε τοὺς πολιορκοῦντας εἰςπλεύσας εἰς Κέρκυραν· καὶ καταλαβὼν τοὺς ἐν τῇ πόλει πρὸς μὲν ἀλλήλους στασιάζοντας, τὰ δὲ κατὰ τὸν πόλεμον κακῶς διοικοῦντας, τὰς μὲν στάσεις διέλυσε, τῆς δὲ πόλεως πολλὴν ἐπιμέλειαν ποιησάμενος εὐ- 39 θαρσεῖς ἐποίησε τοὺς πολιορκουμένους. καὶ τὸ μὲν πρῶτον ἀπροσδοκήτως τοῖς πολιορκοῦσιν ἐπιθέμενος ἀνεῖλεν αὐτῶν περὶ διακοσίους, ὕστερον δὲ μεγάλης μάχης γενομένης τόν τε Μνάσιππον ἀνεῖλε καὶ τῶν ἄλλων οὐκ ὀλίγους· τέλος δὲ τοὺς πολιορκοῦντας εἰς πολιορκίαν συγκλείσας μεγάλων ἐπαίνων ἔτυχε. τοῦ δὲ περὶ τὴν Κέρκυραν πολέμου σχεδὸν ἤδη τέλος ἔχοντος κατέπλευσεν ὁ στόλος τῶν Ἀθηναίων εἰς τὴν Κέρκυραν, ἔχων στρατηγοὺς Τιμόθεον καὶ Ἰφικράτην. οὗτοι δὲ τῶν καιρῶν ὑστερηκότες ἄλλο μὲν οὐδὲν ἔπραξαν μνήμης ἄξιον, τριήρεσι δὲ Σικελικαῖς περιτυχόντες, ἃς Διονύσιος ἦν ἀπεσταλκὼς Λακεδαιμονίοις ἐπὶ συμμαχίαν, ὧν ἡγοῦντο Κισσίδης καὶ Κρίνιππος, αὐτάνδρους εἷλον, οὔσας ἐννέα· τοὺς δ' ἁλόντας λαφυροπωλήσαντες, καὶ πλείω τῶν ἑξήκοντα ταλάντων ἀθροίσαντες, ἐμισθοδότησαν τὴν δύναμιν. ἅμα δὲ τούτοις πραττομένοις κατὰ μὲν τὴν Κύπρον Νικοκλῆς ὁ εὐνοῦχος ἐδολοφόνησεν Εὐαγόραν τὸν βασιλέα, καὶ τῆς τῶν Σαλαμινίων βασιλείας ἐκυρίευσε· κατὰ δὲ τὴν Ἰταλίαν Ῥωμαῖοι πρὸς Πραινεστίνους παραταξάμενοι καὶ νικήσαντες τοὺς πλείστους τῶν ἀντιταξαμένων κατέκοψαν.

48 Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Ἀστείου Ῥωμαῖοι κατέστησαν ἀντὶ τῶν ὑπάτων χιλιάρχους ἕξ, Μάρκον Φούριον καὶ Λεύκιον Φούριον, ἔτι δὲ Αὖλον Ποστούμιον καὶ Λεύκιον Λουκρήτιον καὶ Μάρκον Φάβιον καὶ Λεύκιον Ποστούμιον. ἐπὶ δὲ τούτων κατὰ τὴν Πελοπόννησον ἐγένοντο σεισμοὶ μεγάλοι καὶ κατακλυσμοὶ χώρας καὶ πόλεων ἄπιστοι. οὐδέποτε γὰρ ἐν τοῖς ἐπάνω χρόνοις ἐγένοντο πάθη τοιαῦτα περὶ πόλεις Ἑλληνίδας, οὐδὲ τῶν πόλεων αὐτάνδρων ἀφανισμός, θείας τινὸς ἐνεργείας τὴν ἀπώλειαν καὶ φθορὰν τῶν ἀνθρώπων μηχανωμένης. ἐπέτεινε δὲ τὸ μέγεθος τῆς συμφορᾶς ὁ καιρός· οὐ γὰρ ἡμέρας συνέβη γενέσθαι τὸν σεισμόν, ἐν ᾗ δυνατὸν ἦν τοὺς κινδυνεύοντας βοηθεῖν ἑαυτοῖς, ἀλλὰ νυκτὸς τοῦ πάθους συμβάντος αἱ μὲν οἰκίαι διὰ τὸ μέγεθος τοῦ σεισμοῦ καταῤῥιπτούμεναι συνεχέοντο, οἱ δὲ ἄνθρωποι διά τε τὸ σκότος καὶ τὸ τῆς περιστάσεως ἀπροσδόκητον καὶ παράδοξον ἀδυνάτως εἶχον ἀντιλαμβάνεσθαι τῆς σωτηρίας. οἱ μὲν οὖν πλείους ἐνα- 40 πολημφθέντες τοῖς πτώμασι τῶν οἰκιῶν ἠφανίσθησαν· ἐπιλαβούσης δ' ἡμέρας τινὲς ἐξεπήδων ἐκ τῶν οἰκιῶν,

77. μνάσιπον F  82. τεττάρων μὲν] τέσσαρας μὲν τῶν F  83. ὑπολοίπων] λοιπῶν L, ὑπολοιπουσῶν F  84. ἐνεπρήσθησαν] ἐνεπρήθησαν A  86. πεζῇ om. FIK  88. δὲ καὶ πάλαι μὲν ἀπεστ.] μὲν ἀπεστ. καὶ πάλαι L  89. ἐπὶ] πρὸς L  92. προςκαλεσάμενος] immo προκαλεσάμενος  94. ἀπέβαλε] ἀπεβάλετο FK  98. πάντα τε] πάντα δὲ IL  1. προςκατεσκεύαζε Reiskius: libri προκατασκευάζων  τὰς delendum  τεσσαράκοντα F  2. ὥςτε Reiskius: libri ὡς καὶ  τὰς ἄλλας πάσας] τὰς πάσας Wesselingius  4. τὸν πόλεμον] πόλεμον FK

39. 14. ἀπροσδοκήτως om. I  18. πολιορκίαν] μεγάλην addunt FI  30. Νικοκλῆς] Κοκλῆς A  ὁ εὐνοῦχος] δι' εὐνούχου Reiskius  33. Πραινεστίνους] Πραινεστήνους K, πραινεστηνοὺς F  38. Φούριον] Φρούριον Q  Φούριον] Φρούριον Q, om. A  44. οὐδὲ] οὔτε omnes  51. συνεχέοντο] συνέχοντο I

καὶ δόξαντες ἐκπεφευγέναι τὸν κίνδυνον μείζονι καὶ παραδοξοτέρᾳ συμφορᾷ περιέπεσον. τῆς γὰρ θαλάττης μετεωρισθείσης ἐπὶ πολὺ καὶ κύματος ὑψηλοῦ ἐξαιρομένου κατεκλύσθησαν ἅπαντες σὺν ταῖς πατρίσιν ἀφανισθέντες. ἐγένετο δὲ τοῦτο τὸ πάθος τῆς Ἀχαΐας περὶ δύο πόλεις, Ἑλίκην τε καὶ Βοῦραν, ὧν τὴν Ἑλίκην συνέβαινε μέγιστον τῶν κατὰ τὴν Ἀχαΐαν πόλεων ἔχειν ἀξίωμα πρὸ τοῦ σεισμοῦ. περὶ δὲ τῶν συμπτωμάτων μεγάλης οὔσης ζητήσεως, οἱ μὲν φυσικοὶ πειρῶνται τὰς αἰτίας τῶν τοιούτων παθῶν οὐκ εἰς τὸ θεῖον ἀναφέρειν ἀλλ' εἰς φυσικάς τινας καὶ κατηναγκασμένας περιστάσεις· οἱ δ' εὐσεβῶς διακείμενοι πρὸς τὸ θεῖον πιθανάς τινας αἰτίας ἀποδιδοῦσι τοῦ συμβάντος, ὡς διὰ θεῶν μῆνιν γεγενημένης τῆς συμφορᾶς τοῖς εἰς τὸ θεῖον ἀσεβήσασι· περὶ ὧν καὶ ἡμεῖς ἀκριβῶς ἀναγράψαι πειρασόμεθα ἐν τῇ κατὰ μέρος ἱστορίᾳ.

49 κατὰ τὴν Ἰωνίαν ἐννέα πόλεις εἰώθεισαν κοινὴν ποιεῖσθαι σύνοδον τὴν τῶν Πανιωνίων, καὶ θυσίας συνθύειν ἀρχαίας καὶ μεγάλας Ποσειδῶνι περὶ τὴν ὀνομαζομένην Μυκάλην ἐν ἐρήμῳ τόπῳ. ὕστερον δὲ πολέμων γενομένων περὶ τούτους τοὺς τόπους οὐ δυνάμενοι ποιεῖν τὰ Πανιώνια, μετέθεσαν τὴν πανήγυριν εἰς ἀσφαλῆ τόπον, ὃς ἦν πλησίον τῆς Ἐφέσου. πέμψαντες δὲ θεωροὺς Πυθῶδε χρησμοὺς ἔλαβον ἀφιδρύματα λαβεῖν ἀπὸ τῶν ἀρχαίων καὶ προγονικῶν αὐτοῖς βωμῶν ἐξ Ἑλίκης τῆς ἐν τῷ τότε μὲν Ἰωνίας νῦν δὲ Ἀχαΐας καλουμένης. οἱ μὲν οὖν Ἴωνες κατὰ τὸν χρησμὸν ἔπεμψαν εἰς Ἀχαΐαν τοὺς ληψομένους τὰ ἀφιδρύματα· οὗτοι δὲ πρὸς τὸ κοινὸν τῶν Ἀχαιῶν διαλεχθέντες ἔπεισαν διδόναι τὰ ἀξιούμενα. οἱ δὲ τὴν Ἑλίκην οἰκοῦντες, ἔχοντες παλαιὸν λόγιον ὅτι τότε κινδυνεύσουσιν ὅταν Ἴωνες ἐπὶ τοῦ βωμοῦ τοῦ Ποσειδῶνος θύσωσιν, ἀναλογιζόμενοι τὸν χρησμόν, ἀντέλεγον τοῖς Ἴωσι περὶ τῶν ἀφιδρυμάτων, λέγοντες μὴ κοινὸν τῶν Ἀχαιῶν ἀλλ' ἴδιον αὐτῶν εἶναι τὸ τέμενος· συνέπραττον δὲ τούτοις καὶ οἱ τὴν Βοῦραν οἰκοῦντες. τῶν δὲ Ἀχαιῶν κοινῷ δόγματι συγχωρησάντων, οἱ μὲν Ἴωνες ἔθυσαν ἐπὶ τοῦ βωμοῦ τοῦ Ποσειδῶνος κατὰ τὸν χρη- 41
σμόν, οἱ δ' Ἑλικεῖς τὰ χρήματα διαρρίψαντες τῶν Ἰώνων τούς τε θεωροὺς συνήρπασαν ἠσέβησάν τε εἰς τὸ θεῖον. ἀνθ' ὧν φασι μηνίσαντα τὸν Ποσειδῶνα διὰ τοῦ

40. 58. θαλάττης] θαλάσσης omnes 62. περὶ] ἐπὶ L 63. Ἑλίκην] libri Ἑλίκην τε 72. ἐν τῇ A, caeteri τῇ 83. ἐν τῷ asterisco notavit Stephanus
41. 97. χρήματα] scribendum videtur θύματα 99. φασι] φησι AK, om. F



σεισμοῦ καὶ τοῦ κατακλυσμοῦ τὰς ἀσεβούσας πόλεις λυμήνασθαι. τοῦ δ' ἐκ Ποσειδῶνος γεγονέναι τὴν μῆνιν ταῖς πόλεσί φασιν ἐμφανεῖς ἀποδείξεις ὑπάρχειν διὰ τὸ τῶν σεισμῶν καὶ τῶν κατακλυσμῶν τοῦτον τὸν θεὸν ἔχειν διειλῆφθαι τὴν ἐξουσίαν, καὶ διὰ τὸ δοκεῖν τὸ παλαιὸν τὴν Πελοπόννησον οἰκητήριον γεγονέναι Ποσειδῶνος, καὶ τὴν χώραν ταύτην ὥσπερ ἱερὰν τοῦ Ποσειδῶνος νομίζεσθαι, καὶ τὸ σύνολον πάσας τὰς ἐν Πελοποννήσῳ πόλεις μάλιστα τῶν ἀθανάτων τὸν θεὸν τιμᾶν τοῦτον. πρὸς δὲ τούτοις τὴν Πελοπόννησον κατὰ βάθους ἔχειν μεγάλα κοιλώματα καὶ συστάσεις ὑδάτων ναματιαίων μεγάλας. εἶναι γὰρ ἐν αὐτῇ δύο ποταμοὺς φανερῶς ῥέοντας ὑπὸ γῆν· ὅ τε γὰρ περὶ Φενεὸν ποταμὸς εἰς τὴν γῆν καταδυόμενος ἐν τοῖς προτέροις χρόνοις ἠφανίζετο, τῶν κατὰ γῆς ἄντρων αὐτὸν ὑποδεχομένων, ὅ τε περὶ τὸ Στύμφιον εἰς τὸ χάσμα καταδυόμενος ἐπὶ διακοσίους σταδίους φέρεται κεκρυμμένος κατὰ γῆς καὶ παρὰ τὴν τῶν Ἀργείων πόλιν ἐξίησι. πρὸς δὲ τοῖς εἰρημένοις λέγουσιν ὅτι πλὴν τῶν ἀσεβησάντων οὐδεὶς ἄλλος περιέπεσε τῇ συμφορᾷ. καὶ περὶ μὲν τῶν γενομένων σεισμῶν καὶ κατακλυσμῶν ἀρκεσθησόμεθα τοῖς ῥηθεῖσιν.

50 Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Ἀλκισθένους Ῥωμαῖοι μὲν ἀντὶ τῶν ὑπάτων χιλιάρχους κατέστησαν ὀκτώ, Λεύκιον Οὐαλέριον καὶ Πόπλιον Ἄγκον, ἔτι δὲ Γάϊον Τερέντιον καὶ Λεύκιον Μενήνιον, πρὸς δὲ τούτοις Γάϊον Σουλπίκιον καὶ Τίτον Παπίριον καὶ Λεύκιον Αἰμίλιον καὶ Φάβιον Μάρκον, παρὰ δὲ Ἠλείοις Ὀλυμπιὰς ἤχθη δευτέρα πρὸς ταῖς ἑκατόν, καθ' ἣν ἐνίκα στάδιον Δάμων Θούριος. ἐπὶ δὲ τούτων, Λακεδαιμονίων ἔτη σχεδὸν πεντακόσια τῆς Ἑλλάδος ἐχόντων τὴν ἡγεμονίαν, τὸ θεῖον προεσήμαινεν αὐτοῖς τῆς ἀρχῆς τὴν ἀποβολήν· ὤφθη μὲν γὰρ κατὰ τὸν οὐρανὸν ἐπὶ πολλὰς νύκτας
48 λαμπὰς μεγάλη καομένη, ἀπὸ τοῦ σχήματος ὀνομασθεῖσα πυρίνη δοκίς· μικρὸν δ' ὕστερον ἡττηθέντες οἱ Σπαρτιᾶται παραδόξως μεγάλῃ μάχῃ τὴν ἡγεμονίαν ἀπέβαλον ἀνελπίστως. ἔνιοι δὲ τῶν φυσικῶν τὴν γένεσιν τῆς λαμπάδος εἰς φυσικὰς αἰτίας ἀνέφερον, ἀποφαινόμενοι τὰ

8. τῶν κατακλυσμῶν] κατακλυσμῶν F 14. καταδυόμενος post χρόνοις ponit F 16. Στύμφιον] Στύμφην AHLQ 18. καὶ om. F 21. τῇ συμφορᾷ om. F 26. Ἄγκον] ἄγγον F, om. A 27. Γάϊον] Γναῖον AQ Τερέντιον καὶ Λεύκιον om. A Μενήνιον] Μενοίνιον F 28. Γάϊον om. A καὶ — 29. Λεύκιον om. A 29. Παπίριον] Παπύριον libri καὶ Φλάβιον Μάρκον om. A: Φάβιον Rhodomannus: libri Φλάβιον 36. καομένη] scribe καιομένη

τοιαῦτα φαντάσματα κατηναγκασμένως γίνεσθαι χρόνοις ὡρισμένοις, καὶ περὶ τῶν τοιούτων τούς τε ἐν Βαβυλῶνι Χαλδαίους καὶ τοὺς ἄλλους ἀστρολόγους ποιουμένους προῤῥήσεις ἐναργεῖς ἐπιτυγχάνειν· τοὺς δὲ μὴ θαυμάζειν ὅταν γένηταί τι τοιοῦτον, ἀλλ' ἐὰν μὴ γένηται κατὰ τὰς ἰδίας ἑκάστων περιόδους, αἰωνίοις κινήσεσι καὶ φοραῖς ὡρισμέναις τῶν συντελουμένων. τὴν δ' οὖν λαμπάδα τοσαύτην ἐσχηκέναι λαμπρότητα καὶ δύναμιν τοῦ φωτὸς ὥςτ' ἐπὶ τῆς γῆς σκιὰς ποιεῖν παραπλησίας τῇ σελήνῃ. κατὰ δὲ τούτους τοὺς χρόνους Ἀρταξέρξης ὁ βασιλεύς, ὁρῶν πάλιν ταραττομένην τὴν Ἑλλάδα, πρέσβεις ἀπέστειλε, παρακαλῶν συλλύσασθαι τοὺς ἐμφυλίους πολέμους καὶ συνθέσθαι κοινὴν εἰρήνην κατὰ τὰς ὁμολογίας ἃς πρότερον ἦσαν πεποιημένοι. τῶν δὲ Ἑλλήνων πάντων ἀσμένως προςδεξαμένων τοὺς λόγους συνέθεντο κοινὴν εἰρήνην αἱ πόλεις πᾶσαι πλὴν Θηβαίων· Θηβαῖοι γὰρ μόνοι τὴν Βοιωτίαν ὑπὸ μίαν ἄγοντες συντέλειαν οὐ προςεδέχθησαν ὑπὸ τῶν Ἑλλήνων διὰ τὸ πᾶσιν ἀρέσκειν κατὰ πόλιν γίνεσθαι τοὺς ὅρκους καὶ τὰς σπονδάς. διόπερ ἔκσπονδοι γενηθέντες ὥσπερ καὶ πρότερον συνεῖχον τὴν Βοιωτίαν ἐν τῇ καθ' αὑτοὺς μιᾷ συντελείᾳ. ἐπὶ δὲ τούτοις οἱ Λακεδαιμόνιοι παροξυνθέντες, ἔγνωσαν μεγάλῃ δυνάμει στρατεύειν ἐπ' αὐτούς, ὡς κοινοὺς πολεμίους· σφόδρα γὰρ ὑφεωρῶντο τὴν αὔξησιν αὐτῶν, μήποτε τῆς ὅλης Βοιωτίας ἡγούμενοι τὴν ἡγεμονίαν τῆς Σπάρτης καταλύσωσιν, ἐπιλαβόμενοι καιροῦ. ἔν τε γὰρ τοῖς γυμνασίοις συνεχῶς διατρίβοντες εὔρωστοι τοῖς σώμασιν ὑπῆρχον καὶ φύσει φιλοπόλεμοι καθεστῶτες οὐδενὸς ἔθνους Ἑλληνικοῦ ταῖς ἀνδρείαις ἐλείποντο. εἶχον δὲ καὶ ἡγεμόνας ἐπιφανεῖς ταῖς ἀρεταῖς πολλοὺς μὲν καὶ ἄλλους, μεγίστους δὲ τρεῖς, Ἐπαμεινώνδαν καὶ Γοργίαν, ἔτι δὲ καὶ Πελοπίδαν· ἥ τε πόλις τῶν Θηβαίων διὰ τῆς τῶν προγόνων ἐπιφανείας ἐν τοῖς ἡρωικοῖς χρόνοις φρονήματος ἦν πλήρης καὶ μεγάλων ὠρέγετο πραγμάτων. κατὰ μὲν οὖν τοῦτον τὸν ἐνιαυτὸν οἱ Λακεδαιμόνιοι παρεσκευάζοντο πρὸς τὸν πόλεμον καὶ δυνάμεις κατέλεγον τὰς μὲν πολιτικάς, τὰς δὲ παρὰ τῶν συμμάχων.

51 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Φρασικλείδου Ῥωμαῖοι 43 κατέστησαν ἀντὶ τῶν ὑπάτων χιλιάρχους ὀκτώ, Πόπλιον Μάνλιον καὶ Γάϊον Ἐρενούκιον καὶ Γάϊον Σέξτον καὶ Τιβέριον Ἰούλιον, ἔτι δὲ Λεύκιον Ἀλβίνιον καὶ Πόπλιον Τρεβώνιον καὶ Γάϊον Μάλλιον, πρὸς δὲ τούτοις Λεύκιον Ἀνθέστιον. ἐπὶ δὲ τούτων οἱ μὲν Θηβαῖοι ἔκσπονδοι γεγονότες ἠναγκάσθησαν ἀναδέξασθαι μόνοι τὸν πρὸς Λακεδαιμονίους πόλεμον· οὐδεμιᾷ γὰρ ἐξῆν πόλει συμμαχῆσαι διὰ τὸ πάσας συντεθεῖσθαι τὴν κοινὴν εἰρήνην. οἱ δὲ Λακεδαιμόνιοι, μονωθέντων τῶν Θηβαίων, ἔκριναν πολεμεῖν αὐτοῖς καὶ τὰς Θήβας ἐξανδραποδίσασθαι. φανερᾶς δὲ οὔσης τῆς τῶν Λακεδαιμονίων παρασκευῆς, καὶ τῶν Θηβαίων ἐρήμων ὄντων συμμάχων, ἅπαντες ὑπελάμβανον αὐτοὺς ῥᾳδίως ὑπὸ τῶν Σπαρτιατῶν καταπολεμηθῆναι. διόπερ εὐνοϊκῶς ἐχόντων τῶν Ἑλλήνων πρὸς τοὺς Θηβαίους συνήλγουν αὐτοῖς ἐπὶ ταῖς προςδοκωμέναις συμφοραῖς· οἱ δ' ἀλλοτρίως ἔχοντες περιχαρεῖς ἦσαν, ὡς αὐτίκα μάλα τῶν Θηβαίων ἐξανδραποδισθησομένων. τέλος δ' οἱ Λακεδαιμόνιοι πολλὴν δύναμιν παρασκευασάμενοι παρέδωκαν αὐτὴν Κλεομβρότῳ τῷ βασιλεῖ, καὶ πρῶτον μὲν προαπέστειλαν πρέσβεις εἰς Θήβας, προςτάττοντες ἁπάσας τὰς ἐν τῇ Βοιωτίᾳ πόλεις ἐᾶν αὐτονόμους, Πλαταιὰς δὲ καὶ Θεσπιὰς οἰκίζειν καὶ τὴν χώραν τοῖς πρότερον γεγονόσι κυρίοις ἀποκαταστῆσαι. ἀποκριναμένων δὲ τῶν Θηβαίων ὡς οὔτ' αὐτοὶ πολυπραγμονοῦσι τῶν κατὰ τὴν Λακωνικὴν οὔτ' ἐκείνοις ἅπτεσθαι προςήκειν τῆς Βοιωτίας, γενομένων δὲ τοιούτων ἀποκρίσεων, οἱ Λακεδαιμόνιοι τὸν Κλεόμβροτον εὐθὺς ἐξέπεμψαν μετὰ τῆς δυνάμεως ἐπὶ τὰς Θήβας· οἱ δὲ τῶν Λακεδαιμονίων σύμμαχοι προθύμως εἶχον εἰς τὸν πόλεμον, ἐλπίζοντες μήτ' ἀγῶνα μήτε μάχην ἔσεσθαι, ἀλλ' ἀκονιτὶ τῶν Βοιωτῶν κρατήσειν. οὗ- 52 τοι μὲν οὖν προάγοντες ὡς ἧκον εἰς Κορώνειαν, κατε-

48. τῶν συντελουμένων] συντελουμένας Reiskius, ἁπάντων συντελουμένων Rhodomannus 56. τῶν δ' K, caeteri τῶν δὲ 72. ἀνδρείαις AHI, caeteri ἀνδραγαθίαις 75. Γοργίαν] v. ad p. 32. 91. 79. ἐνιαυτὸν] καιρὸν L
43. 83. Φρασικλείδου] Φρασιλείδου L

85. Μάνιον libri καὶ et Ἐρενούκιον καὶ Γάϊον om. A Σέξστον libri 86. Ἰούλιον om. A 87. Ἀλβίνιον Livius, cum seq. καὶ Πόπλιον om. A, caeteri Λαβίνιον Τρεβώνιον] Τριβώνιον AQ καὶ Γάϊον Μάλλιον (Μάλιον FK) om. A 92. συντεθεῖσθαι Reiskius: libri συντίθεσθαι 98. εὐνοϊκῶς ἐχόντων] οἱ μὲν εὐνοϊκῶς ἔχοντες scribendum videtur 2. μάλα] καὶ μάλα L 5. προαπέστειλαν] προςαπέστειλαν AL 6. προςτάττοντες] προςτάττοντας L 7. Πλαταιὰς I, caeteri Πλαταιέας 8. Θεσπειὰς F 10. τῶν] scribe τι τῶν: v. ad p. 447. 89. 11. οὔτ' FIKL, caeteri praeponunt οὕτως, quod asterisco notavit Stephanus προςήκειν AFHIK, caeteri προςήκει 12. τοιούτων τῶν] τῶν om. AFIL, asterisco notavit Stephanus ἀποκρίσεων om. L 16. ἀλλ' ἀκονιτὶ] ἀλλὰ κοινῇ AFKL 18. Κορώνειαν Wesselingius: libri Χαιρώνειαν

στρατοπέδευσαν καὶ τοὺς καθυστεροῦντας τῶν συμμάχων ἀνέμενον. οἱ δὲ Θηβαῖοι διὰ τὴν παρουσίαν τῶν πολεμίων ἐψηφίσαντο τέκνα μὲν καὶ γυναῖκας εἰς Ἀθήνας ὑπεκθέσθαι, αὐτοὶ δ' Ἐπαμεινώνδαν στρατηγὸν ἑλόμενοι τούτῳ τὰ κατὰ τὸν πόλεμον ἐπέτρεψαν, συμπαρόντων αὐτῷ βοιωταρχῶν ἕξ. ὁ δ' Ἐπαμεινώνδας πανδημεὶ τοὺς Θηβαίους τοὺς ἐν ἡλικίᾳ στρατείας ὄντας καταλέξας εἰς τὴν μάχην καὶ τῶν ἄλλων Βοιωτῶν τοὺς εὐθέτους, προῆγε τὴν δύναμιν ἐκ τῶν Θηβῶν, ἔχων τοὺς σύμπαν- 44
τας οὐ πλείους τῶν ἑξακισχιλίων. κατὰ δὲ τὴν τῆς πόλεως ἔξοδον τῶν στρατιωτῶν πολλοῖς ἔδοξε δυσχερῆ σημεῖα φανῆναι τῷ στρατοπέδῳ. περὶ γὰρ τὰς πύλας ἀπήντησε τοῖς περὶ τὸν Ἐπαμεινώνδαν κῆρυξ τυφλὸν ἄνδρα ἀποδεδρακότα κομίζων, καὶ καθάπερ ἦν εἰθισμένον, ἀνηγόρευε κηρύττων μήτ' ἐξάγειν Θήβηθεν μήτ' ἀφανίζειν, ἀλλ' ἀπάγοντα πάλιν ἀνασώζειν. οἱ μὲν οὖν πρεσβύτεροι τῶν ἀκουόντων τοῦ κήρυκος οἰωνὸν ἐποιοῦντο τοῦ μέλλοντος, οἱ δὲ νεώτεροι ἡσυχίαν εἶχον, ἵνα μὴ δόξωσι διὰ δειλίαν ἀποτρέπειν τὸν Ἐπαμεινώνδαν τῆς στρατείας. ὁ δ' Ἐπαμεινώνδας πρὸς τοὺς λέγοντας Προςέχειν δεῖ τοῖς οἰωνοῖς εἶπεν

εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης.

ταύτῃ δὲ τῇ παῤῥησίᾳ καταπληξαμένου τοῦ Ἐπαμεινώνδου τοὺς εὐλαβῶς ἔχοντας ἕτερος οἰωνὸς ἐφάνη δυσχερέστερος τοῦ προτέρου. ὁ γὰρ γραμματεὺς προῆγεν ἔχων δόρυ καὶ ταινίαν ἐπ' αὐτῷ, καὶ προεσήμαινε τὸ παραγγελλόμενον ὑπὸ τῶν ἡγεμόνων· πνεύματος δὲ γενομένου συνέβη τὴν ταινίαν ἀποσπασθῆναι περί τινα στήλην ἐφεστῶσαν τάφῳ· ἦσαν δὲ ἐν τῷ τόπῳ τούτῳ τεθαμμένοι τινὲς Λακεδαιμόνιοι καὶ Πελοποννήσιοι, οἳ μετ' Ἀγησιλάου στρατεύσαντες ἐτελεύτησαν. τῶν δὲ πρεσβυτέρων τινὲς πάλιν ἐντυχόντες διεμαρτύραντο μὴ προάγειν τὴν δύναμιν φανερῶς τῶν θεῶν κωλυόντων· ὁ δ' οὐδὲν αὐτοῖς ἀποκριθεὶς προῆγε τὸ στρατόπεδον, ἡγούμενος τὸν ὑπὲρ τῶν καλῶν λογισμὸν καὶ τὴν ὑπὲρ τῶν δικαίων

20. Θηβαῖοι] Ἀθηναῖοι A  22. Ἐπαμεινώνδαν hic et postea F  26. στρατείας Schaeferus: libri στρατιᾶς
44. 28. ξύμπαντας F  32. τυφλὸν] δοῦλον Diar. Class. XXX. p. 372.: ita ἄνδρα est otiosum, quod Reiskius, servans τυφλὸν, in ἀνδράποδον mutabat, non offensus sequenti ἀποδεδρακότα  33. κομίζων καὶ om. A  μήτ' ἀφ. FI, caeteri μηδ' ἀφ.  38. ἀποτρέπειν Wesselingius: libri ἀνατρέπειν  39. στρατείας] στρατιᾶς L  40. δεῖ] δεῖν Wesselingius  45. προτέρου] πρότερον A  46. αὐτῷ] ἑαυτῷ F  47. καὶ προεσήμαινε] καὶ om. FL  50. τάφῳ] τῷ τάφῳ FK



γνώμην αἱρετωτέραν εἶναι τῶν παρόντων σημείων. ὁ μὲν οὖν Ἐπαμεινώνδας πεφιλοσοφηκὼς καὶ τοῖς ἐν παιδείᾳ λογισμοῖς ἐμφρόνως χρησάμενος παραυτίκα μὲν ὑπὸ πολλῶν μέμψεως ἔτυχεν, ὕστερον δὲ διὰ τῶν κατορθωμάτων δόξας στρατηγικῇ συνέσει διαφέρειν μεγίστων ἀγαθῶν αἴτιος ἐγένετο τῇ πατρίδι. εὐθὺς γὰρ προαγαγὼν τὴν δύναμιν, καὶ προκαταλαβόμενος τὰ περὶ τὴν Κορώνειαν στενά, κατεστρατοπέδευσεν.

Ὁ δὲ Κλεόμβροτος πυθόμενος τοὺς πολεμίους προ- 53
κατειληφέναι τὰς παρόδους, τὸ μὲν ταύτῃ ποιεῖσθαι τὴν διέξοδον ἀπέγνω, πορευθεὶς δὲ διὰ τῆς Φωκίδος, καὶ διεξελθὼν τὴν παραθαλαττίαν ὁδὸν χαλεπὴν οὖσαν, ἐνέβαλεν εἰς τὴν Βοιωτίαν ἀκινδύνως· ἐν παρόδῳ δέ τινα τῶν πολισματίων χειρωσάμενος καὶ τριήρων ἐγκρατὴς ἐγένετο. μετὰ δὲ ταῦτα καταντήσας εἰς τὰ καλούμενα Λεῦκτρα κατεστρατοπέδευσε καὶ τοὺς στρατιώτας ἐκ τῆς ὁδοιπορίας ἀνελάμβανεν. οἱ δὲ Βοιωτοὶ προάγοντες ἐπὶ
45 τοὺς πολεμίους, ὡς ἤγγισαν αὐτοῖς καὶ λόφους τινὰς ὑπερβαλόντες ἄφνω κατενόησαν τοὺς Λακεδαιμονίους ἐπέχοντας ἅπαν τὸ Λευκτρικὸν πεδίον, κατεπλάγησαν ἰδόντες τὸ μέγεθος τῆς δυνάμεως. συνεδρευσάντων δὲ τῶν βοιωταρχῶν καὶ βουλευομένων πότερον χρὴ μένειν καὶ πρὸς πολλαπλασίονα δύναμιν διαγωνίζεσθαι, ἢ τὴν ἀναχώρησιν ποιησάμενοι ἐν τόποις δεξιοῖς συστήσονται τὴν μάχην, ἔτυχον αἱ γνῶμαι τῶν ἡγεμόνων ἴσαι γενόμεναι. ἓξ γὰρ ὄντων βοιωταρχῶν τρεῖς μὲν ᾤοντο δεῖν ἀπάγειν τὴν δύναμιν, τρεῖς δὲ μένειν καὶ διαγωνίζεσθαι, ἐν οἷς ἦν καὶ ὁ Ἐπαμεινώνδας συνεξαριθμούμενος. ἀπορίας δ' οὔσης μεγάλης καὶ δυσκρίτου τῶν βοιωταρχῶν ὁ ἕβδομος ἧκεν, ὃν πείσας Ἐπαμεινώνδας ὁμόψηφον ἑαυτῷ γενέσθαι ἐπροτέρησε τῆς γνώμης. ὁ μὲν οὖν ὑπὲρ τῶν ὅλων ἀγὼν τοῦτον τὸν τρόπον ἐκυρώθη. ὁ δ' Ἐπαμεινώνδας ὁρῶν τοὺς στρατιώτας δεισιδαιμονοῦντας ἐπὶ τοῖς γεγονόσι σημείοις, ἐφιλοτιμεῖτο διὰ τῆς ἰδίας ἐπινοίας καὶ στρατηγίας μεταθεῖναι τὰς τοῦ πλήθους εὐλαβείας. διόπερ τινῶν προσφάτως παραγεγονότων ἐκ

63. εὐθὺς] εὐθὺ L  προαγαγὼν] προαγαγόμενος F, προαγόμενος IK  67. ταύτῃ] ταύτην I  68. διέξοδον] ἔξοδον A  71. ἐν παρόδῳ] παρόδῳ A  72. ἐγένετο AHLQ, caeteri γενόμενος παρῆλθε
45. 79. ἰδόντες FIQ, caeteri εἰδότες  82. διαγωνίζεσθαι inter καὶ et πρὸς ponunt FIK  83. δεξιοῖς] ὑπερδεξίοις Reiskius  συστήσονται IL, caeteri συστήσωνται  85. γὰρ ὄντων] γὰρ παρόντων Schaeferus  89. ὁμόψηφον Rhodomannus: libri ὁμόψυχον  90. ἐπροτέρησε Wesselingius: libri προετέρησε  91. ὁ δ' Ἐπαμ.] ὁ μὲν οὖν Ἐπαμ. L

Θηβῶν ἔπεισεν εἰπεῖν ὅτι τὰ κατὰ τὸν νεὼν τοῦ Ἡρακλέους ὅπλα παραδόξως ἀφανῆ γέγονε, καὶ λόγος ἐν ταῖς Θήβαις διαδέδοται ὡς τῶν ἡρώων τῶν ἀρχαίων ἀνειληφότων αὐτὰ καὶ βοηθεῖν τοῖς Βοιωτοῖς ἀπεληλυθότων. ἄλλον δὲ κατέστησεν ὡς ἀπὸ Τροφωνίου προςφάτως ἀναβεβηκότα καὶ λέγοντα διότι προςτέταχεν ὁ θεὸς αὐτοῖς, ὅταν ἐν Λεύκτροις νικήσωσιν, ἀγῶνα τιθέναι Διὶ βασιλεῖ στεφανίτην· ἀφ' οὗ δὴ Βοιωτοὶ ταύτην ποιοῦσι τὴν πανήγυριν ἐν Λεβαδείᾳ.

54 συνήργησε δὲ πρὸς ταύτην τὴν ἐπίνοιαν Λεανδρίας ὁ Σπαρτιάτης, πεφευγὼς μὲν ἐκ Λακεδαίμονος, τότε δὲ συστρατεύων Θηβαίοις. οὗτος γὰρ ἐν ἐκκλησίᾳ προαχθεὶς ἀπεφήνατο παλαιὸν εἶναι λόγιον τοῖς Σπαρτιάταις ὅτι τότε τὴν ἡγεμονίαν ἀποβαλοῦσιν ὅταν ἐν Λεύκτροις ὑπὸ Θηβαίων ἡττηθῶσι. προςῆλθον δὲ τῷ Ἐπαμεινώνδᾳ καὶ χρησμολόγοι τινὲς ἐγχώριοι, λέγοντες ὅτι περὶ τὸν τάφον τῶν Λεύκτρου καὶ Σκεδάσου θυγατέρων μεγάλῃ συμφορᾷ δεῖ περιπεσεῖν Λακεδαιμονίους διὰ τοιαύτας αἰτίας. Λεῦκτρος ἦν, ἀφ' οὗ τὸ πεδίον τοῦτο ἔσχε τὴν προςηγορίαν. τούτου θυγατέρας καὶ Σκεδάσου τινὸς ὁμοίως κόρας πρέσβεις Λακεδαιμονίων ἐβιάσαντο· αἱ δὲ ὑβρισθεῖσαι τὴν συμφορὰν οὐκ ἐνέγκασαι, τῇ πατρίδι τῇ πεμψάσῃ τοὺς ὑβριστὰς καταρασάμεναι τὸν βίον αὐτοχειρίᾳ κατέστρεψαν. πολλῶν δὲ καὶ ἄλλων τοιούτων λεγομένων, καὶ τοῦ Ἐπαμεινώνδου συναγαγόντος ἐκκλησίαν, καὶ τοὺς στρατιώτας τοῖς οἰκείοις λόγοις προτρε- 46 ψαμένου πρὸς τὸν ἀγῶνα, πάντες μετέθεντο τὰς γνώμας, καὶ τῆς μὲν δεισιδαιμονίας ἀπελύθησαν, πρὸς δὲ τὴν μάχην εὐθαρσεῖς ταῖς ψυχαῖς κατέστησαν. ἦλθε δὲ καὶ συμμαχία κατὰ τοῦτον τὸν καιρὸν τοῖς Θηβαίοις παρὰ Θετταλῶν, πεζοὶ μὲν χίλιοι καὶ πεντακόσιοι, ἱππεῖς δὲ πεντακόσιοι, ὧν ἡγεῖτο Ἰάσων. οὗτος ἔπεισε τούς τε Βοιωτοὺς καὶ τοὺς Λακεδαιμονίους ἀνοχὰς ποιήσασθαι, καὶ τὰ παράλογα τῆς τύχης εὐλαβηθῆναι. γενομένων δὲ τῶν σπονδῶν Κλεόμβροτος ἀνέζευξε μετὰ τῆς δυνάμεως ἐκ τῆς Βοιωτίας, καὶ ἀπήντησεν αὐτῷ ἄλλη δύναμις μεγάλη Λακεδαιμονίων καὶ τῶν συμμάχων

2. διότι] post hoc inserunt HL ἔξω τῆς Πελοποννήσου τὰ Λεῦκτρα: „credo glossam esse, qua Leuctra haec distinguantur ab eiusdem nominis aliis in Peloponneso. Vid. Plut. Pelop. p. 288." Wessel. 9. ἀπεφήνατο Wesselingius: libri ἀπέφηνε τὸ 11. ἀποβαλοῦσιν] ἀποβάλωσιν L 11. ὑπὸ Θηβαίων om. I 18. Λακεδαιμονίων] Λακεδαιμόνιοι FI 46. 28. τοῖς (hoc om. L) Θηβαίοις post συμμαχίᾳ ponunt FIK 31. ἔπεισε A, caeteri τ' ἔπεισε Βοιωτοὺς] Βοιωτὰς F



ἡγουμένου Ἀρχιδάμου τοῦ Ἀγησιλάου. οἱ γὰρ Σπαρτιᾶται θεωροῦντες τὴν ἑτοιμότητα τῶν Βοιωτῶν, καὶ τὸ θράσος καὶ τὴν ἀπόνοιαν εὐλαβούμενοι, τὴν δευτέραν ἀπεστάλκεισαν δύναμιν, ἵνα τῷ πλήθει τῶν ἀγωνιζομένων περιγίνωνται τῆς τῶν πολεμίων τόλμης. συνελθουσῶν δ' εἰς ταὐτὸ τῶν δυνάμεων αἰσχρὸν εἶναι ὑπέλαβον οἱ Λακεδαιμόνιοι δεδιέναι τὰς τῶν Βοιωτῶν ἀρετάς. διόπερ τὰς σπονδὰς παρ' οὐδὲν ἡγησάμενοι μετὰ πολλῆς προθυμίας ἀνέκαμψαν εἰς Λεῦκτρα. ἑτοίμων δ' ὄντων καὶ τῶν Βοιωτῶν πρὸς τὴν μάχην, ἐξέταττον ἀμφότεροι τὰς δυνάμεις.

55 Καὶ παρὰ μὲν τοῖς Λακεδαιμονίοις οἱ ἀφ' Ἡρακλέους γεγονότες ἡγεμόνες ἐτάχθησαν ἐπὶ τῶν κεράτων, Κλεόμβροτός τε ὁ βασιλεὺς καὶ Ἀρχίδαμος ὁ Ἀγησιλάου τοῦ βασιλέως υἱός, παρὰ δὲ τοῖς Βοιωτοῖς Ἐπαμεινώνδας ἰδίᾳ τινὶ καὶ περιττῇ τάξει χρησάμενος διὰ τῆς ἰδίας στρατηγίας περιεποιήσατο τὴν περιβόητον νίκην. ἐκλεξάμενος γὰρ ἐξ ἁπάσης τῆς δυνάμεως τοὺς ἀρίστους ἐπὶ τὸ ἕτερον μέρος ἔστησε, μεθ' ὧν καὶ αὐτὸς ἔμελλε διαγωνίζεσθαι· τοὺς δ' ἀσθενεστάτους ἐπὶ τὸ ἕτερον κέρας τάξας παρήγγειλεν αὐτοῖς φυγομαχεῖν καὶ κατὰ τὴν ἔφοδον τῶν πολεμίων ἐκ τοῦ κατ' ὀλίγον ὑποχωρεῖν. διὸ καὶ λοξὴν ποιήσας τὴν φάλαγγα τῷ τοὺς ἐπιλέκτους ἔχοντι κέρατι ἔγνω κρίνειν τὴν μάχην. ὡς δ' αἵ τε σάλπιγγες ἐσήμαινον παρ' ἀμφοτέροις τὸ πολεμικὸν καὶ κατὰ τὴν πρώτην ὁρμὴν συνηλάλαξαν αἱ δυνάμεις, οἱ μὲν Λακεδαιμόνιοι τοῖς κέρασιν ἀμφοτέροις ἐπῄεσαν μηνοειδὲς τὸ σχῆμα τῆς φάλαγγος πεποιηκότες, οἱ δὲ Βοιωτοὶ τῷ μὲν ἑτέρῳ κέρατι ὑπεχώρουν, τῷ δ' ἑτέρῳ δρόμῳ συνῆπτον τοῖς πολεμίοις. ὡς δὲ συνῆψαν ἀλλήλοις εἰς χεῖρας, τὸ μὲν πρῶτον ἐκθύμως ἀμφοτέρων ἀγωνιζομένων ἰσόρροπος ἦν ἡ μάχη, μετὰ δὲ ταῦτα τῶν περὶ τὸν Ἐπαμεινώνδαν διά τε τὴν ἀρετὴν 47 καὶ τὴν πυκνότητα τῆς τάξεως πλεονεκτούντων πολλοὶ τῶν Πελοποννησίων ἀνῃροῦντο. οὐ γὰρ ὑπέμενον ὑπενεγκεῖν τὸ βάρος τῆς τῶν ἐπιλέκτων ἀνδραγαθίας, ἀλλὰ τῶν ἀντιστάντων οἱ μὲν ἔπιπτον, οἱ δὲ κατετραυματίζοντο, πάσας τὰς πληγὰς ἐναντίας λαμβάνοντες. ἕως μὲν οὖν ὁ βασιλεὺς τῶν Λακεδαιμονίων Κλεόμβροτος ἔζη, πολλοὺς ἔχων τοὺς συνασπίζοντας καὶ προθύμως πρὸ αὐτοῦ ἀποθνήσκοντας, ἄδηλος ἦν ἡ ῥοπὴ τῆς νίκης· ἐπεὶ δ' οὗτος πάντα κίνδυνον ὑπομένων οὐκ ἠδύ-

53. Ἐπαμινώνδας post χρησάμενος ponit K et qui Ἐπαμεινώνδας V 62. τῷ τοὺς] τοὺς A

νατο βιάσασθαι τοὺς ἀνθεστηκότας, ἡρωικῶς δὲ μαχόμενος καὶ πολλοῖς τραύμασι περιπεσὼν ἐτελεύτησε, τότε συνδρομῆς γενομένης περὶ τοῦ πτώματος νεκρῶν πλῆ-
56 θος ἐσωρεύθη. ἀναρχίας δὲ γενομένης περὶ τὸ κέρας, οἱ μὲν περὶ τὸν Ἐπαμεινώνδαν βαρεῖς ἐγκείμενοι τοῖς Λακεδαιμονίοις τὸ μὲν πρῶτον τῇ βίᾳ βραχὺ προέωσαν ἐκ τῆς τάξεως τοὺς πολεμίους, οἱ δὲ Λακεδαιμόνιοι περὶ τοῦ βασιλέως ἀγωνισάμενοι λαμπρῶς τοῦ μὲν σώματος ἐγκρατεῖς ἐγένοντο, τῆς δὲ νίκης οὐκ ἴσχυσαν ἐφικέσθαι. τῶν γὰρ ἐπιλέκτων ὑπερβαλλομένων ταῖς ἀνδραγαθίαις, καὶ τῆς ἀρετῆς καὶ παρακλήσεως Ἐπαμεινώνδου πολλὰ συμβαλλομένης, μόγις ἐβιάσθησαν οἱ Λακεδαιμόνιοι, καὶ τὸ μὲν πρῶτον ἀναχωροῦντες τὴν τάξιν διέλυον, τὸ δὲ τελευταῖον πολλῶν ἀναιρουμένων, τοῦ δὲ παραγγέλλοντος ἡγεμόνος τετελευτηκότος, ἐγένετο παντελὴς τροπὴ τοῦ στρατοπέδου. οἱ δὲ περὶ τὸν Ἐπαμεινώνδαν ἐπικείμενοι τοῖς φεύγουσι καὶ πολλοὺς τῶν ἐναντίων κατακόψαντες, ἀπηνέγκαντο νίκην ἐπιφανεστάτην. συμβαλόντες γὰρ τοῖς ἀρίστοις τῶν Ἑλλήνων, καὶ τοῖς ὀλίγοις τῶν πολλαπλασίων παραδόξως περιγενόμενοι, μεγάλην δόξαν ἐπ᾽ ἀνδρείᾳ κατεκτήσαντο. μεγίστων δ᾽ ἐπαίνων ὁ στρατηγὸς Ἐπαμεινώνδας ἠξιώθη, διὰ τῆς ἰδίας ἀνδρείας μάλιστα καὶ στρατηγικῆς συνέσεως τοὺς ἀνικήτους ἡγεμόνας τῆς Ἑλλάδος κατηγωνισμένος. ἔπεσον δ᾽ ἐν τῇ μάχῃ τῶν Λακεδαιμονίων οὐκ ἐλάττους τῶν τετρακισχιλίων, τῶν δὲ Βοιωτῶν περὶ τριακοσίους. μετὰ δὲ ταῦτα περί τε τῆς τῶν νεκρῶν ἀναιρέσεως καὶ τῆς εἰς Πελοπόννησον ἀπαλλαγῆς τῶν Λακεδαιμονίων σπονδὰς ἐποιήσαντο. καὶ τὰ μὲν περὶ τὴν ἐν Λεύκτροις μάχην συμβάντα τοιοῦτον ἔσχε τέλος.

57 Τοῦ δ᾽ ἐνιαυσιαίου χρόνου διεληλυθότος Ἀθήνησι μὲν ἦρχε Δυσνίκητος, ἐν Ῥώμῃ δὲ ἀντὶ τῶν ὑπάτων χιλίαρχοι κατεστάθησαν τέτταρες, Κόϊντος Σερουίλιος καὶ Λεύκιος Φούριος, ἔτι δὲ Γάϊος Λικίνιος καὶ Πόπλιος Κλοίλιος. ἐπὶ δὲ τούτων Θηβαῖοι μεγάλῃ δυνάμει στρατεύσαντες ἐπ᾽ Ὀρχομενὸν ἐπεβάλοντο μὲν ἐξανδρα-

47. 96. Λακεδ. καὶ τὸ] Λακεδ. τὸ AFK 6. κατεκτήσαντο Reiskius: libri κατεστήσαντο: ei παραδόξως praemittit L 7. τῆς ἰδίας ἀνδρείας] τὸ τῆς ἰδίαν ἀνδρίας F 8. ἡγεμόνας τῆς Ἑλλάδος] τῶν Ἑλλήνων ἡγεμόνας L 16. ἐνιαυσιαίου] ἐνιαυσίου IL Ἀθήνησι μὲν FK, caeteri Ἀθήνησιν 17. Δυσνίκητος] Δυσκίνητος HQ 18. τέτταρες] τέσσαρες omnes 19. καὶ Λεύκιος Φούριος om. A 20. Γάϊος om. A Λικίνιος F, caeteri Λικίννιος Κλοίλιος] Κίλιος FIK, caeteri Κοίλιος 21. μεγαλῃ δυνάμει] invertit F



48 ποδίσασθαι τὴν πόλιν, Ἐπαμεινώνδου δὲ συμβουλεύσαντος ὅτι τὰ διὰ τῆς ἀνδρείας κατεργασθέντα τῇ φιλανθρωπίᾳ διαφυλάττειν τοὺς τῆς τῶν Ἑλλήνων ἡγεμονίας ὀρεγομένους, μετέγνωσαν. διόπερ τοὺς μὲν Ὀρχομενίους εἰς τὴν τῶν συμμάχων χώραν κατέταξαν· μετὰ δὲ ταῦτα Φωκεῖς καὶ Αἰτωλοὺς καὶ Λοκροὺς φίλους ποιησάμενοι τὴν εἰς Βοιωτίαν ἐπάνοδον ἐποιήσαντο. Ἰάσων δὲ ὁ Φερῶν τύραννος ἀεὶ μᾶλλον αὐξόμενος ἐστράτευσεν εἰς τὴν Λοκρίδα· καὶ τὴν μὲν Ἡράκλειαν τὴν ἐν Τραχινίᾳ διὰ προδοσίας ἑλὼν ἀνάστατον ἐποίησε, καὶ τὴν χώραν Οἰταίοις καὶ Μηλιεῦσιν ἐδωρήσατο. μετὰ δὲ ταῦτα ἐπὶ τὴν Περραιβίαν ἐπιζεύξας τῶν πόλεων τὰς μὲν λόγοις φιλανθρώποις προσηγάγετο, τὰς δὲ διὰ τῆς βίας ἐχειρώσατο. ταχὺ δὲ τῆς δυναστείας αὐτοῦ στερεουμένης οἱ τὴν Θετταλίαν οἰκοῦντες ὑφωρῶντο τὴν αὔξησιν αὐτοῦ καὶ τὴν πλεονεξίαν.

Ἅμα δὲ τούτοις πραττομένοις ἐν τῇ πόλει τῶν Ἀργείων ἐγένετο στάσις καὶ φόνος τοσοῦτος ὅσος παρ᾽ ἑτέροις τῶν Ἑλλήνων οὐδέποτε γεγονέναι μνημονεύεται. ἐκλήθη δὲ ὁ νεωτερισμὸς οὗτος παρὰ τοῖς Ἕλλησι σκυταλισμός, διὰ τὸν τρόπον τοῦ θανάτου ταύτης τυχὼν τῆς προσηγορίας. ἡ δ᾽ οὖν στάσις ἐγένετο διὰ τοιαύ- 58
τας αἰτίας. τῆς πόλεως τῶν Ἀργείων δημοκρατουμένης, καὶ τινων δημαγωγῶν παροξυνόντων τὸ πλῆθος κατὰ τῶν ταῖς ἐξουσίαις καὶ δόξαις ὑπερεχόντων, οἱ διαβαλλόμενοι συστάντες ἔγνωσαν καταλῦσαι τὸν δῆμον. βασανισθέντων δέ τινων ἐκ τῶν συνεργεῖν δοκούντων, οἱ μὲν ἄλλοι φοβηθέντες τὴν ἐκ τῶν βασάνων τιμωρίαν ἑαυτοὺς ἐκ τοῦ ζῆν μετέστησαν, ἑνὸς δ᾽ ἐν ταῖς βασάνοις ὁμολογήσαντος καὶ πίστιν λαβόντος, ὁ μὲν μηνυτὴς τριάκοντα τῶν ἐπιφανεστάτων κατηγόρησεν, ὁ δὲ δῆμος οὐκ ἐλέγξας ἀκριβῶς ἅπαντας τοὺς διαβληθέντας ἀπέκτεινε καὶ τὰς οὐσίας αὐτῶν ἐδήμευσε. πολλῶν δὲ καὶ ἄλλων ἐν ὑποψίαις ὄντων, καὶ τῶν δημαγωγῶν ψευδέσι διαβολαῖς συνηγορούντων, ἐπὶ τοσοῦτον ἐξηγριώθη τὸ πλῆθος ὥστε πάντων τῶν κατηγορουμένων, ὄντων μὲν

48. 23. Ἐπαμινώνδου δὲ IK, et qui Ἐπαμεινώνδου F, caeteri Ἐπαμινώνδου 24. ἀνδρίας F 25. post διαφυλάττειν Ios. Scaliger addebat δεῖ, ante διαφυλάττειν Schaeferus 27. χώραν] πόλιν AH, margo K 28. Φωκεῖς — 29. ποιησάμενοι post ἐποιήσαντο ponit F 38. malim ὑφεωρῶντο 41. οὐδέποτε A, οὐ FIK, caeteri οὐδεπώποτε 42. γεγονέναι μνημ.] invertunt AFIK 43. παρὰ τοῖς Ἕλλησι om. L 46. δ᾽ οὖν] γοῦν omnes 48. ταῖς ἐξουσίαις] ἐξουσίαις IK 61. μὲν fortasse delendum: παμπόλλων Reiskius

πολλῶν καὶ μεγαλοπλούτων, καταγνῶναι θάνατον. ἀναιρεθέντων δὲ τῶν δυνατῶν ἀνδρῶν πλειόνων ἢ χιλίων καὶ διακοσίων καὶ τῶν δημαγωγῶν αὐτῶν ὁ δῆμος οὐκ ἐφείσατο. διὰ γὰρ τὸ μέγεθος τῆς συμφορᾶς οἱ μὲν δημαγωγοὶ φοβηθέντες μή τι παράλογον αὐτοῖς ἀπαντήσῃ, τῆς κατηγορίας ἀπέστησαν, οἱ δ' ὄχλοι δόξαντες ὑπ' αὐτῶν ἐγκαταλελεῖφθαι, καὶ διὰ τοῦτο παροξυνθέντες, ἅπαντας τοὺς δημαγωγοὺς ἀπέκτειναν. οὗτοι μὲν οὖν ὡςπερεὶ τινος νεμεσήσαντος δαιμονίου τῆς ἁρμοζούσης τιμωρίας ἔτυχον, ὁ δὲ δῆμος παυσάμενος τῆς λύττης εἰς 49
τὴν προϋπάρχουσαν εὔνοιαν ἀποκατέστη.

59 Περὶ δὲ τοὺς αὐτοὺς χρόνους Λυκομήδης ὁ Τεγεάτης ἔπεισε τοὺς Ἀρκάδας εἰς μίαν συντέλειαν ταχθῆναι καὶ κοινὴν ἔχειν σύνοδον συνεστῶσαν ἐξ ἀνδρῶν μυρίων, καὶ τούτους ἐξουσίαν ἔχειν περὶ πολέμου καὶ εἰρήνης βουλεύεσθαι. γενομένης δὲ στάσεως μεγάλης παρὰ τοῖς Ἀρκάσι, καὶ διὰ τῶν ὅπλων διακριθέντων τῶν διαφερομένων, πολλοὶ μὲν ἀνῃρέθησαν, πλείους δὲ τῶν χιλίων καὶ τετρακοσίων ἔφυγον, οἱ μὲν εἰς τὴν Σπάρτην, οἱ δ' εἰς τὴν Παλάντιον. οὗτοι μὲν οὖν ἐκδοθέντες ὑπὸ τῶν Παλαντίων ὑπὸ τῶν νενικηκότων ἐσφαγιάσθησαν· οἱ δ' εἰς τὴν Σπάρτην φυγόντες ἔπεισαν τοὺς Λακεδαιμονίους εἰς τὴν Ἀρκαδίαν στρατεῦσαι. διόπερ Ἀγησίλαος ὁ βασιλεὺς μετὰ δυνάμεως καὶ τῶν φυγάδων ἐνέβαλεν εἰς τὴν τῶν Τεγεατῶν χώραν διὰ τὸ δοκεῖν τούτους τῆς στάσεως καὶ τῆς φυγῆς αἰτίους γεγονέναι. πορθήσας δὲ τὴν χώραν καὶ τῇ πόλει προςβολὰς ποιησάμενος κατεπλήξατο τῶν Ἀρκάδων τοὺς ἐναντιοπραγοῦντας.

60 Ἅμα δὲ τούτοις πραττομένοις Ἰάσων ὁ Φερῶν τύραννος, συνέσει τε στρατηγικῇ διαφέρων καὶ πολλοὺς τῶν περιοίκων εἰς συμμαχίαν προςαγαγόμενος, ἔπεισε τοὺς Θετταλοὺς ἀντιποιεῖσθαι τῆς τῶν Ἑλλήνων ἡγεμονίας· ταύτην γὰρ ὥςπερ ἆθλον ἀρετῆς προκεῖσθαι τοῖς δυναμένοις αὐτῆς ἀμφισβητῆσαι. Λακεδαιμονίους γὰρ συνέβαινε περὶ Λεῦκτρα μεγάλῃ συμφορᾷ περιπε-

63. δὲ om. A ἀνδρῶν om. L 64. διακοσίων] ἑξακοσίων FIKQ
49. 72. λύττης Schaeferus Melet. p. 128.: libri λύπης 74. Λυκομήδης] Λυκομίδης I 76. ταχθῆναι AL, caeteri συνταχθῆναι 77. πολέμου] πολέμων F 82. οἱ δ'] ὁ δ' F Παλάντιον] Παλάτιον K 83. Παλαντίων] Παλαντίνων FKL 89. στάσεως] συστάσεως L 93. ὁ Φερῶν] ὁ τῶν Φερῶν A 95. περιοίκων] περιοικούντων FIKQ προςαγαγόμενος Schaeferus, προηγούμενος AF, caeteri προςαγόμενος
98. αὐτῆς om. L



πτωκέναι, Ἀθηναίους δὲ μόνον τῆς κατὰ θάλατταν ἀρχῆς ἀντέχεσθαι· Θηβαίους δὲ τῶν πρωτείων ἀξίους μὴ εἶναι, Ἀργείους δὲ διὰ στάσεις καὶ φόνους ἐμφυλίους τεταπεινῶσθαι. διόπερ οἱ Θετταλοὶ προστησάμενοι τῶν ὅλων ἡγεμόνα Ἰάσονα τούτῳ τὰ κατὰ τὸν πόλεμον ἐπέτρεψαν. ὁ δὲ Ἰάσων παραλαβὼν τὴν ἡγεμονίαν τῶν τε πλησίον ἐθνῶν τινα προςηγάγετο καὶ πρὸς Ἀμύνταν τὸν τῶν Μακεδόνων βασιλέα συμμαχίαν ἐποιήσατο. ἴδιον δέ τι συνέβη κατὰ τοῦτον τὸν ἐνιαυτόν· τῶν γὰρ ἐν δυναστείαις ὄντων τρεῖς ἐτελεύτησαν περὶ τὸν αὐτὸν καιρόν. Ἀμύντας μὲν Θαῤῥαλέου βασιλεύων τῆς Μακεδονίας ἐτελεύτησεν ἄρξας ἔτη εἴκοσι καὶ τέτταρα, υἱοὺς ἀπολιπὼν τρεῖς, Ἀλέξανδρον καὶ Περδίκκαν καὶ Φίλιππον· διεδέξατο δὲ τὴν βασιλείαν ὁ υἱὸς Ἀλέξανδρος καὶ ἦρξεν ἐνιαυτόν. ὁμοίως δὲ καὶ Ἀγησίπολις ὁ τῶν Λακεδαιμονίων βασιλεὺς μετήλλαξεν ἄρξας ἐνιαυτόν, τὴν δὲ ἀρχὴν διαδεξάμενος Κλεομένης ὁ ἀδελφὸς ἐβασίλευσεν ἔτη τριάκοντα καὶ τέτταρα. τρίτος δὲ Ἰάσων ὁ Φεραῖος, ἡγεμὼν ᾑρημένος τῆς Θετταλίας, καὶ δοκῶν ἐπι-
50 εικῶς ἄρχειν τῶν ὑποτεταγμένων, ἐδολοφονήθη, ὡς μὲν Ἔφορος γέγραφεν, ὑπό τινων ἑπτὰ νεανίσκων συνομοσαμένων δόξης ἕνεκα, ὡς δ' ἔνιοι γράφουσιν, ὑπὸ Πολυδώρου τἀδελφοῦ. οὗτος δὲ καὶ αὐτὸς διαδεξάμενος τὴν δυναστείαν ἦρξεν ἐνιαυτόν. Δοῦρις δ' ὁ Σάμιος ὁ ἱστοριογράφος τῆς τῶν Ἑλληνικῶν ἱστορίας ἐντεῦθεν ἐποιήσατο τὴν ἀρχήν. ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Λυσιστράτου παρὰ Ῥω- 61
μαίοις ἐγένετο στάσις, τῶν μὲν οἰομένων δεῖν ὑπάτους τῶν δὲ χιλιάρχους αἱρεῖσθαι. ἐπὶ μὲν οὖν τινα χρόνον ἀναρχία τὴν στάσιν ὑπέλαβε, μετὰ δὲ ταῦτα ἔδοξε χιλιάρχους αἱρεῖσθαι ἕξ· καὶ κατεστάθησαν Λεύκιος Αἰμίλιος καὶ Γάιος Οὐεργίνιος καὶ Σερούιος Σουλπίκιος, πρὸς δὲ τούτοις Λεύκιος Κοΐντιος καὶ Γάιος Κορνήλιος, ἔτι δὲ Γάιος Οὐαλέριος. ἐπὶ δὲ τούτων Πολύδωρος ὁ Φεραῖος ὁ τῶν Θετταλῶν ἄρξας ὑπὸ Ἀλεξάνδρου τοῦ

1. μόνον] μόνους HLQ et qui ον super μόνους ponit F: fort. scribendum μόνης 11. Θαῤῥαλέου] scribendum ὁ Ἀρριδαίου
13. καὶ Περδίκκαν] περδίκαν F 15. ὁ υἱὸς] οὗτος AR, caeteri αὐτοῦ 19. τριάκοντα καὶ τέτταρα (τέσσαρα F)] verum numerum ἑξήκοντα ponit XX. 29.: videtur ΠΔ pro ΔΔ habitum esse.
50. 24. οὗτος Wesselingius: οὕτως L et A vel R, caeteri οὕτω 30. Λυσιστράτου] Πυσιστράτου I 37. Σερούιος Rhodomannus: libri Σερουίλιος: καὶ Σερουίλιος Σουλπίκιος om. AR 37. Κοΐντιος καὶ Γάιος om. AR

ἀδελφοῦ ἀνῃρέθη φαρμάκῳ, προκληθεὶς εἰς μέθην· τὴν δὲ δυναστείαν διαδεξάμενος Ἀλέξανδρος ὁ ἀδελφὸς ἦρξεν ἔτη ἕνδεκα. οὗτος δὲ παρανόμως καὶ βιαίως κτησάμενος τὴν δυναστείαν ἀκολούθως ταύτῃ τῇ προαιρέσει διῴκει τὰ κατὰ τὴν ἀρχήν. τῶν γὰρ πρὸ αὐτοῦ δυναστῶν ἐπιεικῶς προςφερομένων τοῖς πλήθεσι, καὶ διὰ τοῦτ' ἀγαπωμένων, οὗτος βιαίως καὶ χαλεπῶς ἄρχων ἐμισεῖτο. διὸ καὶ τὴν παρανομίαν φοβηθέντες τῶν Λαρισσαίων τινές, οἱ δι' εὐγένειαν Ἀλευάδαι προςαγορευόμενοι, συνέθεντο πρὸς ἀλλήλους καταλῦσαι τὴν δυναστείαν. ἀπελθόντες δ' ἐκ Λαρίσσης εἰς Μακεδονίαν ἔπεισαν Ἀλέξανδρον τὸν βασιλέα συγκαταλῦσαι τὸν τύραννον. τούτων δὲ περὶ ταῦτα διατριβόντων ὁ Φεραῖος Ἀλέξανδρος πυθόμενος τὴν καθ' ἑαυτοῦ παρασκευήν, κατέλεγε τοὺς εἰς τὴν στρατείαν εὐθέτους, διανοούμενος ἐν τῇ Μακεδονίᾳ συστήσασθαι τὴν μάχην. ὁ δὲ τῶν Μακεδόνων βασιλεύς, ἔχων μεθ' ἑαυτοῦ τοὺς ἐκ Λαρίσσης φυγάδας, φθάσας τοὺς πολεμίους ἧκε μετὰ τῆς δυνάμεως εἰς τὴν Λάρισσαν· παρειςαχθεὶς δ' ὑπὸ τῶν Λαρισσαίων ἐντὸς τοῦ τείχους ἐκράτησε τῆς πόλεως πλὴν τῆς ἄκρας. μετὰ δὲ ταῦτα τήν τε ἄκραν ἐπολιόρκησε καὶ Κράνωνα πόλιν προςαγαγόμενος ὡμολόγησε μὲν τοῖς Θετταλοῖς ἀποδώσειν τὰς πόλεις, καταφρονήσας δὲ τῆς δόξης, καὶ φρουρὰς ἀξιολόγους εἰςαγαγών, αὐτὸς κατεῖχε τὰς πόλεις. ὁ δὲ Φεραῖος Ἀλέξανδρος καταδιωχθεὶς ἅμα καὶ καταπλαγεὶς ἐπανῆλθεν εἰς τὰς Φεράς. καὶ τὰ μὲν κατὰ τὴν Θετταλίαν ἐν τούτοις ἦν.

62 Κατὰ δὲ τὴν Πελοπόννησον Λακεδαιμόνιοι μὲν Πολύτροπον 51 στρατηγὸν ἐξέπεμψαν εἰς τὴν Ἀρκαδίαν, ἔχοντα πολιτικοὺς μὲν ὁπλίτας χιλίους, φυγάδας δ' Ἀργείων καὶ Βοιωτῶν πεντακοσίους. οὗτος δὲ παρελθὼν εἰς Ὀρχομενὸν τὸν Ἀρκαδικὸν παρεφύλαττε τὴν πόλιν ταύτην, οἰκείως διακειμένην πρὸς τοὺς Σπαρτιάτας. Λυκομήδης δ' ὁ Μαντινεύς, στρατηγὸς ὢν τῶν Ἀρκάδων, παραλαβὼν τοὺς καλουμένους ἐπιλέκτους, ὄντας πεντακιςχιλίους, ἧκεν ἐπὶ τὸν Ὀρχομενόν. προαγαγόντων δὲ τὴν δύναμιν Λακεδαιμονίων ἐκ τῆς πόλεως ἐγένετο μάχη καρτερά, καθ' ἣν ὅ τε στρατηγὸς τῶν Λακεδαιμονίων ἀνῃρέθη καὶ τῶν ἄλλων εἰς διακοσίους· οἱ δὲ λοιποὶ συνεδιώχθησαν εἰς τὴν πόλιν. οἱ δὲ Ἀρκάδες, καίπερ νενικηκό-

42. Ἀλέξανδρος] Πολύδωρος AFK 45. τὰ κατὰ τὴν ἀρχὴν] τὰ πράγματα L
51. 73. Ἀργείων] Ἀργείους K 74. Ἀρκαδικὸν] Ἀρκαδιακὸν LR



τες, ὅμως εὐλαβοῦντο τὸ βάρος τῆς Σπάρτης, καὶ καθ' αὑτοὺς οὐχ ὑπέλαβον δυνήσεσθαι τοῖς Λακεδαιμονίοις διαπολεμεῖν. διὸ καὶ παραλαβόντες Ἀργείους τε καὶ Ἠλείους, τὸ μὲν πρῶτον πρέσβεις ἀπέστειλαν εἰς τὰς Ἀθήνας, ἀξιοῦντες συμμαχίαν ποιήσασθαι κατὰ τῶν Σπαρτιατῶν· ὡς δ' οὐδεὶς αὐτοῖς προςεῖχε, διαπρεσβευσάμενοι πρὸς τοὺς Θηβαίους ἔπεισαν αὐτοὺς συμμαχίαν συνθέσθαι κατὰ τῶν Λακεδαιμονίων. εὐθὺς οὖν οἱ Βοιωτοὶ τὴν δύναμιν ἐξῆγον, προςλαβόμενοι συμμάχους Λοκρούς τε καὶ Φωκεῖς. οὗτοι μὲν οὖν προῆγον ἐπὶ τὴν Πελοπόννησον βοιωταρχούντων Ἐπαμεινώνδου καὶ Πελοπίδου· τούτοις γὰρ οἱ ἄλλοι βοιωτάρχαι παρακεχωρήκεισαν ἑκουσίως τῆς στρατηγίας διά τε τὴν σύνεσιν καὶ τὴν ἀνδρείαν τῶν ἀνδρῶν. ὡς δὲ κατήντησαν ἐπὶ τὴν Ἀρκαδίαν, ἧκον πρὸς αὐτοὺς πανδημεὶ οἵ τε Ἀρκάδες καὶ Ἠλεῖοι καὶ Ἀργεῖοι καὶ οἱ ἄλλοι σύμμαχοι πάντες. ἀθροισθέντων δὲ πλειόνων ἢ πεντακιςμυρίων, οἱ μὲν ἡγεμόνες αὐτῶν συνεδρεύσαντες ἔγνωσαν ἐπ' αὐτὴν βαδίζειν τὴν Σπάρτην καὶ πᾶσαν τὴν Λακωνικὴν πορθῆσαι.

63 οἱ δὲ Λακεδαιμόνιοι, πολλοὺς μὲν ἀποβεβληκότες τῶν νέων ἐν τῇ περὶ Λεῦκτρα συμφορᾷ, οὐκ ὀλίγους δ' ἐν ταῖς ἄλλαις ἥτταις ἀπολωλεκότες, καὶ τὸ σύνολον εἰς ὀλίγους πολιτικοὺς στρατιώτας ὑπὸ τῆς τύχης συγκεκλεισμένοι, πρὸς δὲ τούτοις τῶν συμμάχων τῶν μὲν ἀφεστηκότων, τῶν δὲ διὰ τὰς ὁμοίας αἰτίας ὀλιγανδρούντων, εἰς πολλὴν ἀμηχανίαν ἔπιπτον. διόπερ ἠναγκάζοντο καταφεύγειν ἐπὶ τὴν τῶν Ἀθηναίων βοήθειαν, οἷς τριάκοντα μὲν τυράννους ἐν τοῖς ἔμπροσθεν χρόνοις ἐπέστησαν, τὰ δὲ τείχη τῆς πόλεως ἐκώλυσαν οἰκοδομεῖν, ἐπεβάλοντο δὲ καὶ τὴν πόλιν ἄρδην ἀναιροῦντες τὴν Ἀττικὴν ποιῆσαι μηλόβοτον. ἀλλὰ γὰρ 52 οὐδὲν ἰσχυρότερόν ἐστιν ἀνάγκης καὶ τύχης, δι' ὧν ἐβιάσθησαν οἱ Λακεδαιμόνιοι τῶν πολεμιωτάτων δεηθῆναι. ὅμως δ' οὐ διεσφάλησαν τῶν ἐλπίδων. ὁ γὰρ τῶν Ἀθηναίων δῆμος, μεγαλόψυχος ὢν καὶ φιλάνθρωπος, τὴν μὲν τῶν Θηβαίων ἰσχὺν οὐ κατεπλάγησαν, τοῖς δὲ Λακεδαιμονίοις ὑπὲρ ἀνδραποδισμοῦ κινδυνεύουσιν ἐψηφίσαντο βοηθεῖν πανδημεί. καὶ παραχρῆμα στρατηγὸν καταστήσαντες τὸν Ἰφικράτην ἐξέπεμψαν καὶ τοὺς νέους

96. βοιωτάρχαι] βοιώταρχοι AF 98. ἀνδρίαν F 100. Ἠλεῖοι καὶ Ἀργεῖοι] Ἀργεῖοι καὶ Ἠλεῖοι L οἱ ἄλλοι] ἄλλοι A 1. πεντακιςμυρίων] verum est ἑπτακιςμυρίων 3. τὴν Σπάρτην] Σπάρτην A 9. συγκεκλεισμένοι] συγκεκλεισμένους H
52. 18. οἱ om. F 19. διεσφάλησαν] δ' ἐσφάλησαν A

αὐθημερόν, ὄντας μυρίους καὶ διςχιλίους. Ἰφικράτης μὲν οὖν, προθύμους ἔχων τοὺς στρατιώτας, προῆγε μετὰ τῆς δυνάμεως κατὰ σπουδήν. οἱ δὲ Λακεδαιμόνιοι τῶν πολεμίων ἐπὶ τοὺς ὅρους τῆς Λακωνικῆς καταστρατοπεδευόντων καὶ αὐτοὶ πανδημεὶ τὴν ἐκ τῆς Σπάρτης ἔξοδον ποιησάμενοι προῆγον ἐπὶ τοὺς ἐναντίους, ταῖς μὲν τῶν στρατιωτῶν δυνάμεσι τεταπεινωμένοι, ταῖς δὲ τῆς ψυχῆς ἀρεταῖς τεθαῤῥηκότες. οἱ μὲν οὖν περὶ τὸν Ἐπαμεινώνδαν ὁρῶντες τὴν τῶν Λακεδαιμονίων χώραν δυςείςβολον οὖσαν, τὸ μὲν ἀθρόᾳ τηλικαύτῃ δυνάμει ποιεῖσθαι τὴν ἐμβολὴν οὐχ ἡγοῦντο συμφέρειν, εἰς τέτταρα δὲ μέρη διελόμενοι σφᾶς αὐτοὺς κατὰ πλείονας τόπους

64 ἔκριναν ποιεῖσθαι τὴν ἔφοδον. ἡ μὲν οὖν πρώτη μερὶς τῶν Βοιωτῶν ἴσην τὴν πορείαν ἐποιήσατο ἐπὶ τὴν Σελλασίαν καλουμένην πόλιν, καὶ τοὺς τῇδε κατοικοῦντας ἀπέστησε τῶν Λακεδαιμονίων. Ἀργεῖοι δὲ κατὰ τοὺς ὅρους τῆς Τεγεάτιδος χώρας ἐμβαλόντες συνῆψαν μάχην τοῖς φρουροῦσι τὰς παρόδους, καὶ τόν τε ἡγεμόνα τῆς φρουρᾶς Ἀλέξανδρον τὸν Σπαρτιάτην ἀνεῖλον καὶ τῶν ἄλλων εἰς διακοσίους ἀπέκτειναν, ἐν οἷς ὑπῆρχον καὶ οἱ τῶν Βοιωτῶν φυγάδες. ἡ δὲ τρίτη μερίς, ἐκ τῶν Ἀρκάδων συνεστηκυῖα καὶ στρατιώτας ἔχουσα πλείστους, εἰςέβαλεν εἰς τὴν Σκιρῖτιν καλουμένην χώραν, ἣν παρεφύλαττεν Ἰσχόλας, ἀνὴρ ἀνδρείᾳ καὶ συνέσει διαφέρων, μετὰ πολλῶν στρατιωτῶν. οὗτος δὲ τῶν ἐπιφανεστάτων στρατιωτῶν ἐπετελέσατο πρᾶξιν ἡρωικὴν καὶ μνήμης ἀξίαν. ὁρῶν γὰρ ὅτι διὰ τὸ πλῆθος τῶν πολεμίων πάντες οἱ συνάψαντες μάχην ἀναιρεθήσονται, τὸ μὲν λιπεῖν τὴν ἐν ταῖς παρόδοις τάξιν ἀνάξιον τῆς Σπάρτης ἔκρινε, τὸ δὲ διασῶσαι τοὺς στρατιώτας χρήσιμον ἔσεσθαι τῇ πατρίδι, παραδόξως ἀμφοτέρων προενοήθη, καὶ τὴν γενομένην ποτὲ περὶ Θερμοπύλας ἀνδρείαν τοῦ βασιλέως Λεωνίδου φιλοτίμως ἐμιμήσατο. διαλέξας γὰρ τοὺς νέους, τούτους μὲν ἀπέστειλεν εἰς τὴν Σπάρτην χρησίμους ἔσεσθαι τῇ κινδυνευούσῃ περὶ τῶν ὅλων· αὐτὸς δὲ μετὰ τῶν πρεσβυτέρων φυλάττων τὴν τάξιν καὶ πολλοὺς ἀνε-

34. Λακεδαιμονίων AFHIKLQ, caeteri πολεμίων 36. ἐμβολὴν] εἰςβολὴν] FIH 40. ἴσην nisi deleas, aliud quid requiri Reiskio assentior, quanquam is lusit immemorabilia, ἰθεῖαν vel διὰ στενῶν 41. Σελλασίαν] Ἑλλασίαν HLQ semper, Σελασίαν I et ipse semper 44. τοῖς φρουροῦσι] τοὺς φρουροῦντας FK 47. ὑπῆρχον] ἦσαν FIK 53. στρατιωτῶν] Σπαρτιατῶν Diar. Class. XXX. p. 373, στρατηγῶν ὢν Schaeferus 55. συνάψαντες] συνάψοντες FI 59. παραδόξως] οὖν addit Schaeferus: aliter aut ἔκρινε in participium mutandum aut aliud ad ἔσεσθαι addendum est 60. ἀνδρίαν FK



λὼν τῶν πολεμίων, κυκλωθεὶς ὑπὸ τῶν Ἀρκάδων μετὰ πάντων ἀνῃρέθη. Ἠλεῖοι δὲ τὴν τετάρτην μοῖραν ἔχοντες, καὶ κατ' ἄλλους τόπους πεπταμένους διελθόντες, εἰς

53 τὴν Σελλασίαν παρεγένοντο· εἰς τοῦτον γὰρ τὸν τόπον πᾶσι καταντᾶν παρήγγελτο. ἀθροισθείσης δὲ πάσης τῆς δυνάμεως εἰς τὴν Σελλασίαν προῆγον ἐπ' αὐτὴν τὴν Σπάρτην πορθοῦντες ἅμα καὶ πυρπολοῦντες τὴν χώραν.

65 Οἱ δὲ Λακεδαιμόνιοι, πεντακόσια ἔτη τὴν Λακωνικὴν τετηρηκότες ἀπόρθητον, τότε θεωροῦντες δῃουμένην ὑπὸ τῶν πολεμίων οὐκ ἐκαρτέρουν, ἀλλὰ τοῖς θυμοῖς προπίπτοντες ἐξεπήδων ἐκ τῆς πόλεως· κωλυόμενοι δ' ὑπὸ τῶν πρεσβυτέρων προϊέναι μακρότερον ἀπὸ τῆς πατρίδος, μή τις ἐπίθηται, ἐπείσθησαν τὴν ἡσυχίαν ἄγειν καὶ τῇ πόλει παρέχεσθαι τὴν ἀσφάλειαν. τῶν δὲ περὶ τὸν Ἐπαμεινώνδαν διὰ τοῦ Ταϋγέτου καταβαινόντων ἐπὶ τὸν Εὐρώταν, καὶ διαβαινόντων τὸν ποταμὸν σφοδρὸν ὄντα τῷ ῥεύματι κατὰ τὴν χειμερινὴν ὥραν, ὁρῶντες οἱ Λακεδαιμόνιοι τεταραγμένην τὴν δύναμιν τῶν ἐναντίων διὰ τὴν χαλεπότητα τῆς διαβάσεως, καιρὸν ἔλαβον εὔθετον πρὸς τὴν ἐπίθεσιν· καὶ τὰς μὲν γυναῖκας καὶ παῖδας, ἔτι δὲ καὶ τοὺς γεγηρακότας, ἀπέλιπον ἐν τῇ πόλει φυλάττοντας τὴν Σπάρτην, αὐτοὶ δὲ πανδημεὶ συντάξαντες τοὺς νέους ἐξεχύθησαν ἐπὶ τοὺς πολεμίους, καὶ προςπεσόντες ἄφνω τοῖς διαβαίνουσι πολὺν ἐποιοῦντο φόνον. ἀμυνομένων δὲ τῶν Βοιωτῶν καὶ τῶν Ἀρκάδων, καὶ τῷ πλήθει κυκλούντων τοὺς ἐναντίους, οἱ Σπαρτιᾶται πολλοὺς ἀνῃρηκότες ἐπανῆλθον εἰς τὴν πόλιν, φανερῶς ἐνδεδειγμένοι τὰς ἰδίας ἀνδραγαθίας. μετὰ δὲ ταῦτα τῶν περὶ τὸν Ἐπαμεινώνδαν πάσῃ τῇ δυνάμει καταπληκτικῶς προςβαλόντων τῇ πόλει, οἱ μὲν Σπαρτιᾶται συνεργὸν ἔχοντες τὴν τῶν τόπων ὀχυρότητα πολλοὺς μὲν ἀπέκτειναν τῶν προπετῶς βιαζομένων, τέλος δ' οἱ πολιορκοῦντες πᾶσαν εἰςενεγκάμενοι σπουδὴν τὸ μὲν πρῶτον ἀπείκαζον βίᾳ χειρώσασθαι τὴν Σπάρτην· ἐπεὶ δὲ τῶν βιαζομένων οἱ μὲν ἀπέθνησκον οἱ δ' ἐτραυματίζοντο, ἀνεκαλέσαντο τῇ σάλπιγγι τοὺς στρατιώτας οἱ περὶ τὸν Ἐπαμεινώνδαν, αὐτοὶ δὲ προςελθόντες τῇ πόλει προεκαλοῦντο τοὺς Σπαρτιάτας εἰς παράταξιν, ἢ

68. Σελλασίαν] Ἑλλασίαν A, σελασίαν hic et postea F
53. 69. παρήγγελτο] παρηγγέλετο AK, παρηγγέλλετο F
πάσης] ἁπάσης F 75. προπίπτοντες Wesselingius: libri προςπίπτοντες ἐκ τῆς πόλεως om. FK, asterisco notavit Stephanus
83. ἐναντίων] πολεμίων LR 86. ἔτι δὲ καὶ] ἔτι δὲ K
87. ἀπέλιπον] ἀπέλειπον A 2. οἱ δ'] οἳ δ' F

συνομολογεῖσθαι προςέταττον ἥττους εἶναι τῶν πολεμίων. ἀποκριναμένων δὲ τῶν Σπαρτιατῶν ὅτι καιρὸν λαβόντες εὔθετον διαγωνιοῦνται περὶ τῶν ὅλων, ἀπηλλάγησαν ἀπὸ τῆς πόλεως. πᾶσαν δὲ τὴν Λακωνικὴν δῃώσαντες, καὶ λαφύρων ἀναρίθμητον πλῆθος ἀθροίσαντες, ἀπεχώρησαν εἰς τὴν Ἀρκαδίαν. μετὰ δὲ ταῦτ' Ἀθηναῖοι μέν, ὑστερηκότες τῶν καιρῶν, ἐπανῆλθον εἰς τὴν Ἀττικὴν οὐδὲν πράξαντες μνήμης ἄξιον. τοῖς δὲ Λακεδαιμονίοις παρὰ τῶν συμμάχων ἧκον βοηθήσοντες στρατιῶται τετρακιςχίλιοι. πρὸς δὲ τούτοις προςθέντες τοὺς εἵλωτας ἠλευθερωμένους προςφάτως χιλίους καὶ τῶν Βοιωτῶν φυγάδων διακοσίους, ἔτι δ' ἐκ τῶν σύνεγγυς πόλεων 54
οὐκ ὀλίγους μεταπεμψάμενοι, κατεσκεύαζον δύναμιν ἀντίπαλον τοῖς πολεμίοις. ταύτην δ' ἀθρόαν συνέχοντες καὶ γυμνάζοντες ἀεὶ μᾶλλον ἐθάῤῥουν καὶ παρεσκευάζοντο πρὸς τὸν ὑπὲρ τῶν ὅλων ἀγῶνα.

66 Ἐπαμεινώνδας δὲ φύσει μεγαλεπίβολος ὢν καὶ δόξης ὀρεγόμενος αἰωνίου, συνεβούλευε τοῖς τε Ἀρκάσι καὶ τοῖς ἄλλοις συμμάχοις οἰκίσαι τὴν Μεσσήνην, πολλὰ μὲν ἔτη γεγενημένην ἀνάστατον ὑπὸ Λακεδαιμονίων, τόπον δ' εὔθετον ἔχουσαν κατὰ τῆς Σπάρτης. συγκατατιθεμένων δὲ πάντων ἀνεζήτησε τοὺς ὑπολελειμμένους τῶν Μεσσηνίων, καὶ τῶν ἄλλων τοὺς βουλομένους καταλέξας εἰς τὴν πολιτείαν ἔκτισε τὴν Μεσσήνην, πολλοὺς ποιήσας αὐτῆς οἰκήτορας. τούτοις δὲ κατακληρουχήσας καὶ τὴν χώραν ἀνοικοδομήσας ἀνέσωσε πόλιν ἐπίσημον Ἑλληνίδα, καὶ μεγάλης ἀποδοχῆς ἔτυχε παρὰ πᾶσιν ἀνθρώποις. οὐκ ἀνοίκειον δ' εἶναι νομίζω, πολλάκις τῆς Μεσσήνης ἁλούσης καὶ κατασκαφείσης, τὰ περὶ αὐτὴν ἀπ' ἀρχῆς ὡς ἐν κεφαλαίοις παραδραμεῖν. τὸ μὲν οὖν παλαιὸν οἱ ἀπὸ Νηλέως καὶ Νέστορος κατέσχον αὐτὴν μέχρι τῶν Τρωικῶν χρόνων, μετὰ δὲ ταῦτ' Ἀγαμέμνονος Ὀρέστης καὶ οἱ ἀπὸ τούτου μέχρι τῆς καθόδου τῶν Ἡρακλειδῶν, ἀπὸ δὲ ταύτης Κρεσφόντης ἔλαχε τὴν Μεσσηνίαν μερίδα, καὶ οἱ ἀπὸ τούτου μέχρι τινὸς ἐβασίλευσαν αὐτῆς· ὕστερον δὲ τῶν ἀπὸ Κρεσφόντου

6. libri ξυνομολογεῖσθαι asterisco notavit Stephanus   10. καὶ λαφύρων] καὶ om. FK,   54. 18. δ' ἐκ] δὲ omnes   σύνεγγυς] ἐγγὺς et in marg. γρ. σύνεγγυς F   21. ἀεὶ] αἰεὶ omnes   22. τὸν ὑπὲρ] τὸν L   24. μεγαλεπίβολος A, caeteri μεγαλεπήβολος   25. τοῖς τε] τοῖς FK   26. οἰκίσαι] οἰκῆσαι AFK   30. ὑπολελειμ. FK, caeteri ἀπολελειμ.   34. καὶ τὴν χώραν] malim τὴν χώραν καὶ   36. δ' om. F   41. ταῦτ'] immo ταῦθ' ὁ   44. ἐβασίλευσαν] ἐβασίλευον A



τὴν βασιλείαν ἀποβαλόντων Λακεδαιμόνιοι κύριοι κατέστησαν αὐτῆς. μετὰ δὲ ταῦτα Τηλίκλου τοῦ βασιλέως τῶν Λακεδαιμονίων ἀποθανόντος ἐν ἀγῶνι κατεπολεμήθησαν ὑπὸ Λακεδαιμονίων οἱ Μεσσήνιοι. τοῦτον δὲ τὸν πόλεμον εἰκοσαέτη φασὶ γενέσθαι, κατομοσαμένων τῶν Λακεδαιμονίων μὴ ἀνακάμψαι εἰς τὴν Σπάρτην, ἐὰν μὴ Μεσσήνην ἕλωσι. τότε δὲ συνέβη τοὺς παρθενίας ὀνομασθέντας γεννηθῆναι καὶ κτίσαι τὴν τῶν Ταραντίνων πόλιν. ὕστερον δὲ δουλευόντων Μεσσηνίων τοῖς Λακεδαιμονίοις, Ἀριστομένης ἔπεισε τοὺς Μεσσηνίους ἀποστῆναι τῶν Σπαρτιατῶν, καὶ πολλὰ κακὰ διειργάσατο τοὺς Σπαρτιάτας· ὅτε καὶ Τυρταῖος ὁ ποιητὴς ὑπὸ Ἀθηναίων ἡγεμὼν ἐδόθη τοῖς Σπαρτιάταις. ἔνιοι δὲ τὸν Ἀριστομένην γεγονέναι φασὶ κατὰ τὸν εἰκοσαέτη πόλεμον. ὁ δ' ὕστατος ἐγένετο πόλεμος αὐτοῖς σεισμοῦ μεγάλου γενομένου· καὶ τῆς μὲν Σπάρτης ὅλης σχεδὸν συγχυθείσης, ἀνδρῶν δ' ἐρήμου γενομένης, οἱ Μεσσηνίων περιλειφθέντες ᾤκισαν τὴν Ἰθώμην μετὰ τῶν συν-
55 αποστατῶν εἱλώτων, ἀναστάτου γεγενημένης τῆς Μεσσήνης πολλοὺς χρόνους. ἀτυχήσαντες δ' ἐν πᾶσι τοῖς πολέμοις, τὸ τελευταῖον ἀνάστατοι γενόμενοι κατῴκησαν ἐν Ναυπάκτῳ, δόντων αὐτοῖς Ἀθηναίων οἰκητήριον τήνδε τὴν πόλιν. καὶ τινὲς μὲν αὐτῶν εἰς Κεφαλληνίαν ἐξέπεσον, τινὲς δ' ἐν Σικελίᾳ Μεσσήνην τὴν ἀπ' ἐκείνων ὀνομασθεῖσαν κατῴκησαν. τὸ δὲ τελευταῖον κατὰ τοὺς ὑποκειμένους καιροὺς Θηβαῖοι, πείσαντος αὐτοὺς Ἐπαμεινώνδου καὶ πανταχόθεν συναγαγόντος τοὺς Μεσσηνίους, ᾤκισαν τὴν Μεσσήνην καὶ τὴν ἀρχαίαν αὐτοῖς χώραν ἀποκατέστησαν. περὶ μὲν οὖν τὴν Μεσσήνην τοσαύτας καὶ τηλικαύτας συνέβη γενέσθαι μεταβολάς.

67 Οἱ δὲ Θηβαῖοι πάντα τὰ προειρημένα συντελέσαντες ἐν ἡμέραις ὀγδοήκοντα καὶ πέντε, καὶ καταλιπόντες φυλακὴν ἀξιόλογον τῆς Μεσσήνης, ἐπανῆλθον εἰς τὴν οἰκείαν. Λακεδαιμόνιοι δὲ παραδόξως ἀποτετριμμένοι τοὺς πολεμίους ἀπέστειλαν πρεσβευτὰς εἰς τὰς Ἀθήνας

49. Τηλέκλου τοῦ AFHKLR, caeteri Τηλεκλύτου   53. τότε δὲ] τότε AFK   50. 60. εἰκοσαετῆ omnes   54. γεννηθῆναι FL, caeteri γενηθῆναι   60. φασὶ om. K   62. Σπάρτης] Μεσσήνης Q   63. δ' om. K   64. ᾤκισαν Perizonius: libri ᾤκησαν   65. συναποστατῶν] malim συναποστάντων   55. 69. Ἀθηναίων om. F   70. Κεφαλληνίαν] Κεφαληνίαν I   71. ἀπ' AFIKL, caeteri ὑπ'   72. κατῴκησαν F, κατῴκισαν caeteri   75. ᾤκισαν F, caeteri ᾤκησαν   81. τῆς Μεσσήνης] εἰς Μεσσήνην IK   82. οἰκείαν] οἰκίαν A

τοὺς ἐπιφανεστάτους τῶν Σπαρτιατῶν, καὶ τὰς μὲν ὁμολογίας ἐποιήσαντο περὶ τῆς ἡγεμονίας ὥςτε τῆς μὲν θαλάττης ἄρχειν Ἀθηναίους, τῆς δὲ γῆς τοὺς Λακεδαιμονίους, μετὰ δὲ ταῦτα ἐν ἀμφοτέραις ταῖς πόλεσιν ἐποιήσαντο κοινὰς τὰς ἡγεμονίας. Ἀρκάδες δὲ Λυκομήδην στρατηγὸν προχειρισάμενοι, καὶ παραδόντες αὐτῷ τοὺς ἐπιλέκτους ὀνομαζομένους, ὄντας πεντακιςχιλίους, ἐστράτευσαν ἐπὶ Πελλήνην τῆς Λακωνικῆς· καὶ τὴν μὲν πόλιν βίᾳ χειρωσάμενοι τοὺς ἐγκαταληφθέντας φρουροὺς τῶν Λακεδαιμονίων ἀπέκτειναν, ὄντας πλείους τῶν τριακοσίων, τὴν δὲ πόλιν ἐξανδραποδισάμενοι καὶ τὴν χώραν δῃώσαντες ἐπανῆλθον εἰς τὴν οἰκείαν, φθάσαντες τὴν παρὰ τῶν Λακεδαιμονίων βοήθειαν. Βοιωτοὶ δέ, μεταπεμπομένων αὐτοὺς Θετταλῶν ἐπ' ἐλευθερώσει μὲν τῶν πόλεων, καταλύσει δὲ τῆς Ἀλεξάνδρου τοῦ Φεραίου τυραννίδος, ἐξαπέστειλαν Πελοπίδαν εἰς Θετταλίαν μετὰ δυνάμεως, δόντες ἐντολὰς αὐτῷ εἰς τὸ συμφέρον τῶν Βοιωτῶν διοικῆσαι τὰ κατὰ τὴν Θετταλίαν. οὗτος δὲ καταντήσας εἰς Λάρισσαν, καὶ καταλαβὼν τὴν ἀκρόπολιν φρουρουμένην ὑπὸ Ἀλεξάνδρου τοῦ Μακεδόνος, ταύτην μὲν παρέλαβεν, εἰς δὲ τὴν Μακεδονίαν παρελθὼν καὶ συμμαχίαν ποιησάμενος πρὸς Ἀλέξανδρον τὸν τῶν Μακεδόνων βασιλέα, ὅμηρον ἔλαβε παρ' αὐτοῦ τὸν ἀδελφὸν Φίλιππον, ὃν ἐξέπεμψεν εἰς τὰς Θήβας. τὰ δὲ κατὰ τὴν Θετταλίαν διοικησάμενος ὥς ποτ' ἔδοξεν αὐτῷ συμφέρειν τοῖς Βοιωτοῖς ἐπανῆλθεν εἰς τὴν οἰκείαν.

68 Τούτων δὲ πραχθέντων Ἀρκάδες καὶ Ἀργεῖοι καὶ Ἠλεῖοι συμφρονήσαντες ἔγνωσαν στρατεύειν ἐπὶ τοὺς
Λακεδαιμονίους, καὶ πρεσβεύσαντες πρὸς Βοιωτοὺς ἐπει- 56
σαν αὐτοὺς κοινωνεῖν τοῦ πολέμου. οἱ δ' Ἐπαμεινώνδαν καταστήσαντες ἡγεμόνα μετ' ἄλλων βοιωταρχῶν ἐξέπεμψαν στρατιώτας πεζοὺς μὲν ἑπτακιςχιλίους, ἱππεῖς δ' ἑξακοσίους. Ἀθηναῖοι δὲ πυθόμενοι τὴν Βοιωτῶν στρατιὰν παριοῦσαν εἰς τὴν Πελοπόννησον, ἐξέπεμψαν δύναμιν καὶ στρατηγὸν ἐπ' αὐτοὺς Χαβρίαν. οὗτος δὲ παρελθὼν εἰς Κόρινθον, καὶ προςλαβόμενος καὶ παρὰ Μεγαρέων καὶ Πελληνέων ἔτι δὲ Κορινθίων στρατιώτας,

92. *Πελλήνην* Palmerius: libri *Παλλήνην*, *Παλήνην* F 93. *μὲν* post *τοὺς* pone *ἐγκαταληφθέντας* I et F supra versum, caeteri *ἐγκαταλειφθέντας* 98. *θεσσαλῶν* F 1. *εἰς Θ. μετὰ δ.*] *μετὰ δ. εἰς Θ.* IKL, *εἰς Θ.* om. F 3. *οὗτος* Schaeferus: libri *αὐτὸς*.
56. 16. *δ'* F, caeteri *δὲ* 17. *βοιωταρχῶν*] fort. *βοιωταρχῶν ἓξ* 20. *στρατιὰν*] *στρατείαν* L 22. *αὐτοὺς*] fort. *αὐτῆς* 23. *καὶ παρὰ*] *παρὰ* F *Πελληνέων* AIL, *πεληνέων* F, caeteri *Πελληναίων*



στρατόπεδον συνεστήσατο ἀνδρῶν μυρίων· μετὰ δὲ ταῦτα Λακεδαιμονίων καὶ τῶν ἄλλων συμμάχων παραγενομένων εἰς Κόρινθον συνήχθησαν οἱ σύμπαντες διςμυρίων οὐκ ἐλάττους. ἔδοξεν οὖν αὐτοῖς ὀχυρώσασθαι τὰς παρόδους καὶ διακωλύειν τοὺς Βοιωτοὺς τῆς εἰς Πελοπόννησον εἰςβολῆς. ἀρξάμενοι δ' ἀπὸ Κεγχρεῶν μέχρι Λεχαίου σταυρώμασι καὶ βαθείαις τάφροις διελάμβανον τὸν τόπον· ταχὺ δὲ τῶν ἔργων συντελουμένων διά τε τὴν πολυχειρίαν καὶ τὰς προθυμίας τῶν ἀνδρῶν ἔφθασαν τοὺς Βοιωτοὺς πάντα τόπον ὀχυρώσαντες. ὁ δ' Ἐπαμεινώνδας ἥκων μετὰ τῆς δυνάμεως ἐπεσκέψατο, καὶ κατανοήσας εὐεφοδώτατον εἶναι τόπον καθ' ὃν οἱ Λακεδαιμόνιοι παρεφύλαττον, τὸ μὲν πρῶτον προεκαλεῖτο τοὺς πολεμίους εἰς παράταξιν, σχεδὸν τριπλασίους ὄντας τοῖς πλήθεσιν, οὐδενὸς δὲ τολμῶντος ἐκτὸς τοῦ τειχίσματος παρελθεῖν, ἀλλ' ἀπὸ τοῦ χαρακώματος ἀμυνομένων ἁπάντων, προςῆγε τὴν βίαν τοῖς πολεμίοις. κατὰ πάντα μὲν οὖν τὸν τόπον ἐγίνοντο προςβολαὶ καρτεραί, μάλιστα δὲ κατὰ Λακεδαιμονίους, εὐεφόδων ὄντων καὶ δυςφυλάκτων τῶν τόπων. μεγάλης δὲ φιλοτιμίας γενομένης παρ' ἀμφοτέροις Ἐπαμεινώνδας ἔχων μεθ' ἑαυτοῦ τοὺς ἀρίστους τῶν Θηβαίων μόγις ἐβιάσατο τοὺς Λακεδαιμονίους· διακόψας δὲ τὴν φυλακὴν αὐτῶν καὶ τὴν δύναμιν διαγαγὼν παρῆλθεν εἰς τὴν Πελοπόννησον, διαπραξάμενος ἔργον οὐδὲν τῶν προκατειργασμένων κα-
ταδεέστερον. εὐθὺς δὲ ἐπὶ Τροιζῆνα καὶ Ἐπίδαυρον πο- 69
ρευθεὶς τὴν μὲν χώραν ἐδῄωσε, τῶν δὲ πόλεων οὐκ ἠδυνήθη κρατῆσαι διὰ τὸ φρουρὰς ἔχειν ἀξιολόγους, Σικυῶνα δὲ καὶ Φλιοῦντα καί τινας πόλεις καταπληξάμενος προςηγάγετο. στρατεύσας δ' ἐπὶ Κόρινθον, καὶ τῶν Κορινθίων ἐπεξελθόντων, νικήσας μάχῃ τούτους μὲν ἐντὸς τῶν τειχῶν συνεδίωξε, τῶν δὲ Βοιωτῶν διὰ τὴν εὐημερίαν μετεωρισθέντων, καί τινων προχείρως τολμησάντων διὰ τῆς πύλης εἰς τὴν πόλιν εἰςβιάζεσθαι, οἱ μὲν Κορίνθιοι δείσαντες ἐτράπησαν εἰς τὰς οἰκίας, Χαβρίας δ' ὁ τῶν Ἀθηναίων στρατηγὸς ἐμφρόνως ἅμα καὶ

27. *διςμυρίων οὐκ ἐλάττους* AFIKL, caeteri *οὐκ ἐλάττους διςμυρίων* 31. *βαθείαις*] *βαθείᾳ* L 32. *συντελουμένων*] *ἐπιτελουμένων* L 34. *πάντα*] adde *τὸν* 38. *τὸ μὲν*] *καὶ τὸ μὲν* AF 51. *οὐδὲν*] *οὐδενὸς* Reiskius, qui non offenderat ad illud vol. I p. 26. 55. *ὑπὸ τῆς Ἴσιδος οὐδὲν ἧττον τῶν ἄλλων ἀξιωθῆναι τιμῶν ἰσοθέων* 53. *εὐθὺς*] *εὐθὺ* L 56. *Φλιοῦντα* Palmerius: libri *Φαιοῦντα* 56. *τινας*] adendum fortasse *ἄλλας* 63. *δ' ὁ τῶν*] *δὲ ὁ* F

τεθαῤῥηκότως ὑποστὰς τοὺς μὲν ἐξέβαλεν ἐκ τῆς πό- 57
λεως, πολλοὺς δὲ τῶν Βοιωτῶν κατέβαλε. γενομένης δὲ φιλοτιμίας, οἱ μὲν Βοιωτοὶ πᾶσαν τὴν δύναμιν συντάξαντες ἐπῆγον ἐπὶ τὴν Κόρινθον καταπληκτικῶς, ὁ δὲ Χαβρίας ἀναλαβὼν τοὺς Ἀθηναίους προῆγεν ἐκ τῆς πόλεως, καὶ καταλαβόμενος τοὺς ὑπερδεξίους τόπους ὑπέστη τὴν τῶν πολεμίων ἔφοδον. οἱ μὲν οὖν Βοιωτοί, πεποιθότες ταῖς τῶν σωμάτων ῥώμαις καὶ ταῖς ἐν τοῖς συνεχέσι πολέμοις ἐμπειρίαις, τῇ βίᾳ τοὺς Ἀθηναίους ἤλπιζον χειρώσασθαι, οἱ δὲ περὶ τὸν Χαβρίαν ἐκ τόπων ὑπερδεξίων ἀγωνιζόμενοι, καὶ πολλῶν ἐκ τῆς πόλεως χορηγουμένων, οὓς μὲν ἀνῄρουν τῶν βιαζομένων, τοὺς δὲ κατετίτρωσκον. οἱ δὲ Βοιωτοί, πολλὰ μὲν κακοπαθήσαντες, οὐδὲν δὲ πρᾶξαι δυνάμενοι, τὴν ἀναχώρησιν ἐποιήσαντο. Χαβρίας μὲν οὖν ἐπὶ ἀνδρείᾳ καὶ στρατηγικῇ δυνάμει θαυμασθεὶς τοῦτον τὸν τρόπον ἀπετρίψατο τοὺς πολε-
70 μίους. ἐκ δὲ τῆς Σικελίας Κελτοὶ καὶ Ἴβηρες δισχίλιοι κατέπλευσαν εἰς Κόρινθον, ἐκπεμφθέντες ὑπὸ Διονυσίου τοῦ τυράννου συμμαχῆσαι Λακεδαιμονίοις, εἰς μῆνας πέντε τοὺς μισθοὺς εἰληφότες. οἱ δ' Ἕλληνες πεῖραν αὐτῶν βουλόμενοι λαβεῖν, προῆγον αὐτούς, καὶ κατὰ τὰς συμπλοκὰς καὶ μάχας ἀνδραγαθούντων αὐτῶν, πολλοί τε τῶν Βοιωτῶν καὶ τῶν συμμάχων ὑπ' αὐτῶν ἀνῃροῦντο. διόπερ δόξαντες εὐχειρίᾳ καὶ ἀνδρείᾳ διαφέρειν καὶ πολλὰς χρείας παρασχόμενοι, καὶ τιμηθέντες ὑπὸ τῶν Λακεδαιμονίων, τοῦ θέρους λήγοντος ἐξαπεστάλησαν εἰς τὴν Σικελίαν. μετὰ δὲ ταῦτα Φιλίσκος μὲν ὑπ' Ἀρταξέρξου τοῦ βασιλέως ἀποσταλεὶς κατέπλευσεν ἐπὶ τὴν Ἑλλάδα, παρακαλῶν τοὺς Ἕλληνας διαλύσασθαι μὲν τοὺς πολέμους, εἰρήνην δὲ κοινὴν συνθέσθαι. οἱ μὲν οὖν ἄλλοι πάντες ἀσμένως ὑπήκουσαν, Θηβαῖοι δὲ κατὰ τὴν ἰδίαν ὑπόστασιν ὅλην τὴν Βοιωτίαν ὑπὸ μίαν ἄγοντες συντέλειαν οὐ προσεδέχθησαν. ἀπογνωσθείσης δὲ τῆς κοινῆς εἰρήνης, ὁ μὲν Φιλίσκος καταλιπὼν τοῖς Λακεδαιμονίοις δισχιλίους ἐπιλέκτους μισθοφόρους ἔχοντας τοὺς μισθοὺς ἀπῆλθεν εἰς τὴν Ἀσίαν. ἅμα δὲ τούτοις πραττομένοις Εὔφρων ὁ Σικυώνιος, διαφέρων θράσει καὶ ἀπονοίᾳ, συνεργοὺς λαβὼν Ἀργείους ἐπέθετο τυραννίδι. κρατήσας δὲ τῆς ἐπιβολῆς τετταράκοντα

57. 80. στρατηγικῇ δυνάμει] στρατηγίᾳ L 89. τε τῶν] fort. τῶν τε 90. εὐχειρίᾳ] εὐχερίᾳ A 91. ἀνδρείᾳ] ἀνδρίᾳ A 92. τῶν Λακεδ.] Λακεδ. FI 94. Φιλίσκος] Φίλισκος libri hic et postea 100. ἄγοντες FIK, caeteri ἀγαγόντες 3. τοὺς om. A 4. εἰς τὴν Ἀσίαν om. L 7. τεσσαράκοντα F



τοὺς εὐπορωτάτους τῶν Σικυωνίων ἐφυγάδευσε, δημεύσας αὐτῶν τὰς οὐσίας, καὶ πολλῶν χρημάτων κυριεύσας μισθοφόρους ἤθροισε καὶ τῆς πόλεως ἐδυνάστευσεν.

Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Ναυσιγένους ἐν Ῥώμῃ 71
58 χιλίαρχοι κατεστάθησαν ἀντὶ τῶν ὑπάτων τέτταρες, Λεύκιος Παπίριος, Λεύκιος Μενήνιος, Σερούιος Κορνήλιος, Σερούιος Σουλπίκιος, παρὰ δὲ Ἠλείοις Ὀλυμπιὰς ἤχθη τρίτη πρὸς ταῖς ἑκατόν, καθ' ἣν ἐνίκα στάδιον Πυθόστρατος Ἀθηναῖος. ἐπὶ δὲ τούτων Πτολεμαῖος ὁ Ἀλωρίτης ὁ Ἀμύντου υἱὸς ἐδολοφόνησεν Ἀλέξανδρον τὸν ἀδελφόν, καὶ ἐβασίλευσε τῆς Μακεδονίας ἔτη τρία. κατὰ δὲ τὴν Βοιωτίαν Πελοπίδας, ἐφάμιλλος ὢν τῷ Ἐπαμεινώνδᾳ τῇ κατὰ πόλεμον δόξῃ, καὶ θεωρῶν ἐκεῖνον τὰ περὶ τὴν Πελοπόννησον συμφερόντως κατεσκευακότα τοῖς Βοιωτοῖς, ἔσπευδε τὰ ἐκτὸς Πελοποννήσου δι' ἑαυτοῦ προσάγεσθαι τοῖς Θηβαίοις. παραλαβὼν δὲ Ἰσμηνίαν, ἄνδρα φίλον μὲν ἑαυτοῦ, θαυμαζόμενον δ' ἐπ' ἀρετῇ, παρῆλθεν εἰς Θετταλίαν. καταντήσας δὲ πρὸς Ἀλέξανδρον τὸν Φερῶν τύραννον ἀλόγως συνελήφθη μετ' Ἰσμηνίου καὶ εἰς φυλακὴν παρεδόθη. Θηβαίων δ' ἐπὶ τοῖς πραχθεῖσι παροξυνθέντων, καὶ ταχέως εἰς τὴν Θετταλίαν ἐκπεμψάντων ὁπλίτας μὲν ὀκτακισχιλίους, ἱππεῖς δ' ἑξακοσίους, φοβηθεὶς Ἀλέξανδρος ἐξέπεμψε πρεσβευτὰς εἰς τὰς Ἀθήνας περὶ συμμαχίας. ᾧ παραχρῆμα ὁ δῆμος ἐξέπεμψε ναῦς μὲν τριάκοντα, στρατιώτας δὲ χιλίους, ὧν ἦν στρατηγὸς Αὐτοκλῆς. ἐν ὅσῳ δ' οὗτος περιέπλει τὴν Εὔβοιαν, Θηβαῖοι κατήντησαν εἰς Θετταλίαν. τοῦ δ' Ἀλεξάνδρου πεζὴν δύναμιν ἠθροικότος καὶ ἱππεῖς πολλαπλασίους ἔχοντος τῶν Βοιωτῶν, τὸ μὲν πρῶτον οἱ Βοιωτοὶ διὰ μάχης ἔκρινον λῦσαι τὸν πόλεμον, συνεργοὺς ἔχοντες τοὺς Θετταλούς· ὡς δ' οὗτοι μὲν αὐτοὺς ἐγκατέλιπον, Ἀθηναῖοι δὲ καί τινες ἄλλοι σύμμαχοι παρεγένοντο τῷ Ἀλεξάνδρῳ, τὰ δὲ σῖτα καὶ ποτὰ

8. εὐπορωτάτους] εὐπορωτέρους K 12. Ναυσιγένους] Παυσιγένους IK

58. 14. Παπίριος] Παπύριος libri: conferenda quae de his tribunis disseruit Borghesius p. II. p. 202. — 212. Λεύκιος om. AR Μενήνιος] Μενοίνιος FK 15. Σερούιος om. AR Σολπίκιος] Ὀλπίκιος R et fortasse A: caeteri Σουλπίκιος: alteram formam restitui vol. I. p. 513. 52. 20. τρία Rhodomannus: libri τριάκοντα 25. ἑαυτοῦ] αὐτοῦ F 26. ἑαυτοῦ] αὐτοῦ I 29. μετ' A, caeteri μετὰ 31. τὴν om. F 37. δ' οὗτος] δὲ οὗτος FK 40. πρῶτον] πρότερον A 41. μάχης] μάχην K 42. μὲν αὐτοῦ συγκατέλιπον F

καὶ τἄλλα πάντα ἐπέλειπε τοῖς Βοιωτοῖς, ἔγνωσαν οἱ βοιω-
τάρχαι τὴν εἰς οἶκον ἐπάνοδον ποιεῖσθαι. ἀναζευξάντων
δ' αὐτῶν, καὶ τῆς πορείας οὔσης διὰ χώρας πεδιάδος,
Ἀλέξανδρος ἐπηκολούθει πολλοῖς ἱππεῦσι καὶ τοῖς ἐπὶ
τῆς οὐραγίας ἐπέθετο. τῶν δὲ Βοιωτῶν οἱ μὲν κατακον-
τιζόμενοι συνεχῶς ἀπέθνησκον, οἱ δὲ τραύμασι περιέ-
πιπτον, τέλος δ' οὔτε μένειν οὔτε προάγειν ἐώμενοι εἰς
πολλὴν ἀμηχανίαν ἐξέπιπτον, ἅτε δὴ καὶ τῶν ἐπιτηδείων
σπανιζόντων. ἤδη δ' αὐτῶν τὴν σωτηρίαν ἀπογινωσκόν-
των, Ἐπαμεινώνδας ἰδιωτεύων κατ' ἐκεῖνον τὸν χρόνον
ὑπὸ τῶν στρατιωτῶν κατεστάθη στρατηγός· εὐθύς τε
διαλέξας τούς τε ψιλοὺς καὶ τοὺς ἱππεῖς, τούτους μὲν 59
αὐτὸς ἀνέλαβε, καὶ ταχθεὶς ἐπὶ τῆς οὐραγίας διὰ τού-
των ἀνέστελλε τοὺς ἐπακολουθοῦντας πολεμίους καὶ
πολλὴν ἀσφάλειαν παρείχετο τοῖς προηγουμένοις ὁπλί-
ταις· ποιούμενος δὲ μάχας ἐξ ὑποστροφῆς καὶ τάξει φι-
λοτέχνῳ χρώμενος διέσωσε τὸ στρατόπεδον. ἀεὶ δὲ μᾶλ-
λον διὰ τῶν κατορθωμάτων αὔξων τὴν ἰδίαν εὐδοξίαν
μεγάλης ἀποδοχῆς ἐτύγχανε παρά τε τοῖς πολίταις καὶ
τοῖς συμμάχοις. οἱ δὲ Θηβαῖοι τοὺς τότε βοιωταρ-
χήσαντας καταδικάσαντες πολλοῖς χρήμασιν ἐζημίωσαν.
72 ἐπιζητουμένης δὲ τῆς αἰτίας πῶς ὁ τοιοῦτος ἀνὴρ
ἰδιώτης ὢν ἐστρατεύετο μετὰ τῶν εἰς Θετταλίαν ἀπο-
σταλέντων, ἀποδοτέον τὸν οἰκεῖον λόγον τῆς ἀπολογίας.
τῇ μάχῃ τῇ περὶ Κόρινθον Ἐπαμεινώνδας διακόψας τὴν
ἐπὶ τοῦ προτειχίσματος φυλακὴν τῶν Λακεδαιμονίων,
καὶ δυνάμενος πολλοὺς ἀνελεῖν τῶν πολεμίων, ἠρκέσθη
τῷ προτερήματι καὶ τῆς ἐπὶ πλεῖον μάχης ἀπέστη. γενο-
μένης δὲ περὶ αὐτὸν ἱκανῆς ὑποψίας ὡς πεφεισμένου
τῶν Λακεδαιμονίων ἰδίας ἕνεκα χάριτος, οἱ φθονοῦντες
αὐτοῦ τῇ δόξῃ καιρὸν ἔλαβον εὐλόγου διαβολῆς. ἐπενε-
γκάντων οὖν αὐτῷ προδοσίας ἔγκλημα, τὸ πλῆθος παρο-
ξυνθὲν ἀπέστησεν αὐτὸν τῆς βοιωταρχίας, καὶ ἰδιώτην
ποιῆσαν ἐξαπέστειλε μετὰ τῶν ἄλλων. ὡς δὲ ἀπὸ τῶν
ἀποτελεσμάτων ἐξήλειψε τὰς καθ' ἑαυτοῦ διαβολάς, τότε
ὁ δῆμος ἀποκατέστησεν αὐτὸν εἰς τὴν προγεγενημένην
εὐδοξίαν. μετ' ὀλίγον δὲ χρόνον Λακεδαιμονίοις πρὸς
Ἀρκάδας ἐγένετο μεγάλη μάχη, ἐν ᾗ ἐνίκησαν Λακεδαι-
μόνιοι ἐπιφανῶς. μετὰ γὰρ τὴν ἐν Λεύκτροις ἧτταν

45. ἐπέλειπε Schaeferus, ὑπέλειπε Reiskius: libri ὑπελείπετο
49. ἐπέθετο] ὑπέθετο A 52. οὔτε μένειν FI, caeteri οὐδὲ μένειν
59. 58. αὐτὸς] αὐτοὺς AR 63. ἀεὶ] αἰεὶ omnes
76. πλεῖον] πλείονα AFIL 78. ἕνεκα] ἕνεκεν FIK 82.
ποιῆσαν Wesselingius tacito: ποιήσας libri, ut videtur, omnes
84. post διαβολάς omittunt καὶ FIK, asterisco notat Stephanus



τοῦτο πρῶτον αὐτοῖς παράδοξον εὐτύχημα ἐγένετο· ἔπε-
σον γὰρ Ἀρκάδων μὲν ὑπὲρ τοὺς μυρίους, Λακεδαιμο-
νίων δ' οὐδείς. προεῖπον δ' αὐτοῖς αἱ Δωδωνίας ἱέ-
ρειαι διότι ὁ πόλεμος οὗτος Λακεδαιμονίοις ἄδακρυς
ἔσται. μετὰ δὲ τὴν μάχην οἱ Ἀρκάδες, φοβηθέντες τὰς
τῶν Λακεδαιμονίων εἰσβολάς, ἔκτισαν ἐπί τινος ἐπικαί-
ρου τόπου τὴν ὀνομαζομένην Μεγάλην πόλιν, συῤῥί-
ψαντες εἰς αὐτὴν κώμας τετταράκοντα τῶν ὀνομαζομέ-
νων Μαιναλίων καὶ Παῤῥασίων Ἀρκάδων. καὶ τὰ μὲν
κατὰ τοὺς Ἕλληνας ἐν τούτοις ἦν. 73
Κατὰ δὲ τὴν Σικελίαν Διονύσιος ὁ τύραννος ἔχων
δυνάμεις ἀξιολόγους, καὶ τοὺς Καρχηδονίους ὁρῶν οὐκ
εὖ διακειμένους πρὸς τὸν πόλεμον διά τε τὴν γεγενημέ-
60 νην παρ' αὐτοῖς λοιμικὴν νόσον καὶ τὴν ἀπόστασιν τῶν
Λιβύων, ἔγνω στρατεύειν ἐπ' αὐτούς. οὐκ ἔχων δὲ
πρόφασιν ἀξιόλογον τῆς διαφορᾶς, προσεποιήθη τοὺς
κατὰ τὴν ἐπικράτειαν Φοίνικας ἐπιβεβηκέναι τῆς ὑπ'
αὐτὸν χώρας. παρασκευασάμενος οὖν πεζοὺς μὲν τρισ-
μυρίους, ἱππεῖς δὲ τρισχιλίους, τριήρεις δὲ τριακοσίας
καὶ τὴν ἁρμόζουσαν τῇ δυνάμει ταύτῃ παρασκευήν, ἐνέ-
βαλεν εἰς τὴν ὑπὸ Καρχηδονίους χώραν. καὶ Σελινοῦντα
μὲν καὶ Ἔντελλαν εὐθὺς προσηγάγετο, καὶ τὴν χώραν πᾶ-
σαν πορθήσας καὶ τῆς πόλεως τῶν Ἐρυκίνων ἐγκρατὴς
γενόμενος ἐπολιόρκησε Λιλύβαιον· πολλῶν δ' ὄντων ἐν
αὐτῷ στρατιωτῶν τὴν πολιορκίαν ἔλυσεν. ἀκούσας δὲ
τὰ νεώρια τῶν Καρχηδονίων ἐμπεπρῆσθαι, καὶ δόξας
πάντα τὸν στόλον αὐτῶν διεφθάρθαι, κατεφρόνησε, καὶ
τῶν ἰδίων τριήρων ἑκατὸν μὲν καὶ τριάκοντα τὰς ἀρί-
στας ἀπέστειλεν εἰς τὸν τῶν Ἐρυκίνων λιμένα, τὰς δ'
ἄλλας ἁπάσας ἐξέπεμψεν εἰς τὰς Συρακούσας. οἱ δὲ
Καρχηδόνιοι παραδόξως διακοσίας ναῦς πληρώσαντες
ἐπέπλευσαν ταῖς ὁρμούσαις ἐν τῷ λιμένι τῶν Ἐρυκίνων·
ἀνελπίστου δὲ τῆς ἐπιθέσεως γενομένης ἀπήγαγον τῶν
τριήρων τὰς πλείστας. μετὰ δὲ ταῦτα τοῦ χειμῶνος ἐν-
στάντος ἀνοχὰς ποιησάμενοι διεχωρίσθησαν εἰς τὰς οἰ-
κείας ἑκάτεροι πόλεις. μετ' ὀλίγον δὲ χρόνον Διονύσιος

91. Δωδωνίας] Δωδωνίδες Wesselingius 92. ὁ πόλεμος] libri
πόλεμος 96. τετταράκοντα] μ' L, caeteri εἴκοσι 97.
Μαιναλίων] Μεναλίων K παρασσίων F
60. 5. τοὺς κατὰ τὴν ἐπικράτειαν F, caeteri κατὰ τὴν ἐπικρά-
τειαν τοὺς 6. ἐπιβεβηκέναι] ἀποβεβηκέναι IK 10. ὑπὸ
Καρχηδονίους] Καρχηδονίων A 11. ἔντελαν F 12.
Ἐρυκίνων A et semper HQ, caeteri Ἐρικηνῶν semper 19. 21.
Ἐρυκίνων] Ἐρυκαίνων A 23. ἀνελπίστου] ἀνελπίστως FI
26. οἰκείας AF, caeteri οἰκίας ἑκάτεροι Reiskius: libri
ἑκάτεραι

εἰς ἀῤῥωστίαν ἐμπεσὼν ἐτελεύτησε, δυναστεύσας ἔτη τριάκοντα καὶ ὀκτώ· τὴν δὲ ἀρχὴν διαδεξάμενος ὁ υἱὸς Διονύσιος ἐτυράννευσεν ἔτη δώδεκα. οὐκ ἀνοίκειον δ'
74 ἐστὶ τῆς ὑποκειμένης ἱστορίας διελθεῖν τάς τε αἰτίας τῆς τελευτῆς καὶ τὰ συμβάντα τούτῳ τῷ δυνάστῃ περὶ τὴν τοῦ βίου καταστροφήν. Διονυσίου τοίνυν δεδιδαχότος Ἀθήνησι Ληναίοις τραγῳδίαν καὶ νικήσαντος, τῶν ἐν τῷ χορῷ τις ᾄδων, ὑπολαβὼν τιμηθήσεσθαι λαμπρῶς, ἐὰν πρῶτος ἀπαγγείλῃ τὴν νίκην, διέπλευσεν εἰς τὴν Κόρινθον. καταλαβὼν δ' ἐκεῖ ναῦν ἐκπλέουσαν εἰς Σικελίαν, καὶ μεταβὰς εἰς ταύτην, οὐρίοις ἐχρήσατο πνεύμασι, καὶ καταπλεύσας εἰς Συρακούσας συντόμως ἀπήγγειλε τῷ τυράννῳ τὴν νίκην. ὁ δὲ Διονύσιος τοῦτον μὲν ἐτίμησεν, αὐτὸς δὲ περιχαρὴς ἐγένετο καὶ τοῖς θεοῖς εὐαγγέλια θύσας πότους καὶ μεγάλας εὐωχίας ἐπετέλεσεν. ἑστιῶν δὲ λαμπρῶς τοὺς φίλους, καὶ κατὰ τοὺς πότους φιλοτιμότερον τῇ μέθῃ δοὺς ἑαυτόν, εἰς ἀῤῥωστίαν σφοδροτέραν ἐνέπεσε διὰ τὸ πλῆθος τῶν ἐμφορηθέντων ὑγρῶν. ἔχων δὲ παρὰ θεῶν λόγιον τότε τελευτήσειν ὅταν τῶν κρειττόνων περιγένηται, τὸν χρησμὸν ἀνέφε- 61
ρεν ἐπὶ τοὺς Καρχηδονίους, ὑπολαμβάνων τούτους κρείττους ἑαυτοῦ εἶναι. διὸ καὶ πρὸς αὐτοὺς πλεονάκις πεπολεμηκὼς εἰώθει κατὰ τὰς νίκας ὑποφεύγειν καὶ ἑκουσίως ἡττᾶσθαι, ἵνα μὴ δόξῃ τῶν ἰσχυροτέρων γεγονέναι κρείττων. οὐ μὴν ἠδυνήθη γε τῇ πανουργίᾳ κατασοφίσασθαι τὴν ἐκ τῆς πεπρωμένης ἀνάγκην, ἀλλὰ ποιητὴς ὢν κακὸς καὶ διακριθεὶς ἐν Ἀθήναις ἐνίκησε τοὺς κρείττονας ποιητάς. εὐλόγως οὖν κατὰ τὸν χρησμὸν διὰ τὸ περιγενέσθαι τῶν κρειττόνων ἐπακολουθοῦσαν ἔσχε τὴν τοῦ βίου τελευτήν. ὁ δὲ Διονύσιος ὁ νεώτερος διαδεξάμενος τὴν τυραννίδα πρῶτον τὰ πλήθη συναγαγὼν εἰς ἐκκλησίαν παρεκάλεσε τοῖς οἰκείοις λόγοις τηρεῖν τὴν πατροπαράδοτον πρὸς αὐτὸν εὔνοιαν, ἔπειτα τὸν πατέρα μεγαλοπρεπῶς θάψας κατὰ τὴν ἀκρόπολιν πρὸς ταῖς βασιλίσι καλουμέναις πύλαις, ἠσφαλίσατο τὰ κατὰ τὴν ἀρχήν.

75 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Πολυζήλου κατὰ μὲν τὴν Ῥώμην ἀναρχία διά τινας πολιτικὰς στάσεις ἐγένετο,

29. ἐτυράννευσεν] ἐτυράννησεν AK 33. τῆς — καταστροφῆς libri: τὴν — καταστροφὴν Reiskius 34. δεδιχάτος F 39. μεταβὰς AIKL, caeteri μετεμβὰς 48. τότε IL, caeteri τὸ

61. 51. πλεονάκις] πολλάκις L αὐτοὺς] ἑαυτοὺς F 54. γεγονέναι κρείττων] κρείττων εἶναι FIK



κατὰ δὲ τὴν Ἑλλάδα Ἀλέξανδρος ὁ Φερῶν τύραννος ἐν τῇ Θετταλίᾳ περί τινων ἐγκαλέσας τῇ πόλει τῶν Σκοτουσσαίων, ἐκάλεσεν αὐτοὺς εἰς ἐκκλησίαν καὶ περιστήσας τοὺς μισθοφόρους ἅπαντας ἀπέσφαξε· τὰ δὲ σώματα τῶν τετελευτηκότων ῥίψας εἰς τὴν πρὸ τῶν τειχῶν τάφρον τὴν πόλιν διήρπασεν. Ἐπαμεινώνδας δ' ὁ Θηβαῖος μετὰ δυνάμεως ἐμβαλὼν εἰς Πελοπόννησον τοὺς Ἀχαιοὺς καί τινας ἄλλας πόλεις προσηγάγετο, Δύμην δὲ καὶ Ναύπακτον καὶ Καλυδῶνα φρουρουμένην ὑπ' Ἀχαιῶν ἠλευθέρωσεν. ἐστράτευσαν δὲ καὶ εἰς Θετταλίαν Βοιωτοί, καὶ Πελοπίδαν ἐκομίσαντο παρ' Ἀλεξάνδρου τοῦ Φερῶν τυράννου. Φλιασίοις δὲ πολεμουμένοις ὑπ' Ἀργείων Χάρης ὑπ' Ἀθηναίων πεμφθεὶς στρατηγὸς μετὰ δυνάμεως ἐβοήθησε τοῖς Φλιασίοις πολιορκουμένοις· νικήσας δὲ τοὺς Ἀργείους δυσὶ μάχαις καὶ τὴν ἀσφάλειαν περιποιήσας τοῖς Φλιασίοις ἐπανῆλθεν εἰς τὰς Ἀθήνας.

Τοῦ δ' ἐνιαυσιαίου χρόνου διεληλυθότος Ἀθήνησι 76
μὲν ἦρχε Κηφισόδωρος, ἐν Ῥώμῃ δ' ἀντὶ τῶν ὑπάτων χιλιάρχους ὁ δῆμος τέτταρας κατέστησε, Λεύκιον Φούριον, Παῦλον Μάλλιον, Σερούιον Σουλπίκιον καὶ Σερούιον Κορνήλιον. ἐπὶ δὲ τούτων Θεμίσων ὁ Ἐρετρίας τύραννος Ὠρωπὸν κατελάβετο· ταύτην δὲ τὴν πόλιν οὖσαν Ἀθηναίων παραλόγως ἀπέβαλε. τῶν γὰρ Ἀθηναίων στρατευσάντων ἐπ' αὐτὸν καὶ πολὺ ταῖς δυνάμεσιν ὑπερ-
62 εχόντων, οἱ Θηβαῖοι βοηθήσαντες αὐτῷ, καὶ παραλαβόντες ἐν παρακαταθήκῃ τὴν πόλιν, οὐκ ἀπέδωκαν. ἅμα δὲ τούτοις πραττομένοις Κῷοι μετῴκησαν εἰς τὴν νῦν οἰκουμένην πόλιν καὶ κατεσκεύασαν αὐτὴν ἀξιόλογον· πλῆθός τε γὰρ ἀνδρῶν εἰς ταύτην ἠθροίσθη καὶ τείχη πολυτελῆ κατεσκευάσθη καὶ λιμὴν ἀξιόλογος. ἀπὸ δὲ τούτων τῶν χρόνων ἀεὶ μᾶλλον ηὐξήθη προσόδοις τε δημοσίαις καὶ τοῖς τῶν ἰδιωτῶν πλούτοις, καὶ τὸ σύνολον ἐνάμιλλος ἐγένετο ταῖς πρωτευούσαις πόλεσιν. ἅμα δὲ τούτοις πραττομένοις ὁ τῶν Περσῶν βασιλεὺς ἀποστείλας πρέσβεις ἔπεισε τοὺς Ἕλληνας τοὺς μὲν πολέ-

67. ἐπ' ἄρχοντος — 86. τὰς Ἀθήνας om. L 69. Ἀλέξανδρος] Κλέανδρος IKQ φερρῶν F saepius 71. Σκοτουσσαίων] Σκουτουσαίων I 73. ἀπέσφαξε] κατέσφαξε F 75. δ' ὁ] libri δὲ 77. προσηγάγετο Wesselingius: libri προσήγαγε 81. πολεμουμένοις] πολεμωμένοις A 88. ἐνιαυσιαίου] ἐνιαυσίου F 90. τέτταρας] τέσσαρας omnes 91. Φούριον FK, caeteri Φρούριον 91. Μάλλιον] Μάλιον FK Σερούιον bis om. AL 93. γρ. Θεμίσων margo F, caeteri Θεμεσίων

62. 99. μετῴκισαν F 2. τείχη] τοίχη K 4. ἀεὶ] αἰεὶ omnes

μους καταλύσασθαι καὶ κοινὴν εἰρήνην συνθέσθαι πρὸς ἀλλήλους. διόπερ ὅ τε Λακωνικὸς καὶ Βοιωτικὸς κληθεὶς πόλεμος κατελύθη, πλείω μείνας ἐτῶν πέντε, τὴν ἀρχὴν λαβὼν ἀπὸ τῶν Λευκτρικῶν. ὑπῆρξαν δὲ κατὰ τούτους τοὺς χρόνους ἄνδρες κατὰ παιδείαν ἄξιοι μνήμης Ἰσοκράτης τε ὁ ῥήτωρ καὶ οἱ τούτου γενόμενοι μαθηταὶ καὶ Ἀριστοτέλης ὁ φιλόσοφος, ἔτι δὲ Ἀναξιμένης ὁ Λαμψακηνὸς καὶ Πλάτων ὁ Ἀθηναῖος, ἔτι δὲ τῶν Πυθαγορικῶν φιλοσόφων οἱ τελευταῖοι, Ξενοφῶν τε ὁ τὰς ἱστορίας συγγραψάμενος ἐσχατογήρως ὤν· μέμνηται γὰρ τῆς Ἐπαμεινώνδου τελευτῆς μετ' ὀλίγον χρόνον γεγενημένης· Ἀρίστιππός τε καὶ Ἀντισθένης, πρὸς δὲ τούτοις Αἰσχίνης ὁ Σφήττιος ὁ Σωκρατικός.

77 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Χίωνος ἐν Ῥώμῃ ἀντὶ τῶν ὑπάτων χιλίαρχοι κατεστάθησαν Κόϊντος Σερουίλιος καὶ Γάϊος Οὐετούριος καὶ Αὖλος Κορνήλιος, πρὸς δὲ τούτοις Μάρκος Κορνήλιος καὶ Μάρκος Φάβιος. ἐπὶ δὲ τούτων εἰρήνης οὔσης κατὰ πᾶσαν τὴν Ἑλλάδα πάλιν ἀρχαὶ πολέμων συνέστησάν τισι τῶν πόλεων καὶ νεωτέρων πραγμάτων καινοτομία παράλογος. οἱ γὰρ τῶν Ἀρκάδων φυγάδες ὁρμηθέντες ἐξ Ἤλιδος κατελάβοντο τῆς ὀνομαζομένης Τριφυλίας χωρίον ὀχυρὸν ὃ προσηγόρευται Λασίων. ἐκ πολλῶν δὲ χρόνων περὶ τῆς Τριφυλίας ἠμφισβήτουν Ἀρκάδες καὶ Ἠλεῖοι, καὶ κατὰ τὰς ἑκατέρων ἐν ταῖς μεταβολαῖς ὑπεροχὰς ἐναλλὰξ ἐκυρίευον τῆς χώρας· κατὰ δὲ τοὺς ὑποκειμένους καιροὺς τῶν Ἀρκάδων κρατούντων τὴν Τριφυλίαν, προφάσει τῶν φυγάδων ἀφῃροῦντο ταύτην τῶν Ἀρκάδων οἱ Ἠλεῖοι. διὸ καὶ παροξυνθέντες οἱ Ἀρκάδες τὸ μὲν πρῶ- 63
τον πρέσβεις ἐξαποστείλαντες ἀπῄτουν τὸ χωρίον· ὡς δ' οὐδεὶς αὐτοῖς προσεῖχε, μετεπέμψαντο παρ' Ἀθηναίων συμμαχίαν καὶ μετὰ ταύτης ἐστράτευσαν ἐπὶ τὸν Λασίωνα. τῶν δὲ Ἠλείων βοηθησάντων τοῖς φυγάσιν ἐγένετο μάχη πλησίον τοῦ Λασίωνος, καὶ τῶν Ἀρκάδων πολλαπλασίων ὄντων ἡττήθησαν οἱ Ἠλεῖοι καὶ πλείους τῶν

10. *Βοιωτικὸς*] *Βοιωτιακὸς* L  11. *πλείω*] *πλείων* F  15. *καὶ Ἀριστ.*] *Ἀριστ.* A  19. *ἐσχατογήρως*] *ἐσχατόγηρως* omnes  24. *Κόϊντος Σερουίλιος* Livius: libri *Κόϊντος Σερούιος*, quae deerant codici Granvellino apud Pighium Annal. l. IV. p. 256.  25. *Οὐετούριος*] *Οὐετόριος* A  *καὶ Αὖλος Κορνήλιος* om. AR  23. *χίονος* F  26. *πρὸς δὲ τούτοις* om. I  27. *καὶ Μάρκος Φάνιος* (sic enim libri) om. AR  33. *Λασίων*] libri *Λασσίων*

63. 43. *Λασίωνα* I semper, caeteri *Λασσίωνα*  46. *οἱ Ἠλεῖοι* L, caeteri *Ἠλεῖοι*



διακοσίων στρατιωτῶν ἀπέβαλον. ταύτης δὲ ἀρχῆς τοῦ πολέμου γενομένης συνέβη τὴν διαφορὰν ἐπὶ πλέον προβῆναι τοῖς Ἀρκάσι καὶ τοῖς Ἠλείοις. εὐθὺς γὰρ οἱ μὲν Ἀρκάδες μετεωρισθέντες τῷ προτερήματι ἐστράτευσαν ἐπὶ τὴν Ἠλείαν, καὶ εἷλον πόλεις Μάργανα καὶ Κρόνιον, ἔτι δὲ Κυπαρισσίαν καὶ Κορυφάσιον. ἅμα δὲ τούτοις πραττομένοις κατὰ τὴν Μακεδονίαν Πτολεμαῖος μὲν ὁ Ἀλωρίτης ἐδολοφονήθη ὑπὸ τοῦ ἀδελφοῦ Περδίκκα, βασιλεύσας ἔτη τρία· τὴν δὲ ἀρχὴν διαδεξάμενος ὁ Περδίκκας ἐβασίλευσε τῆς Μακεδονίας ἔτη πέντε.

78 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Τιμοκράτους ἐν Ῥώμῃ μὲν ἀντὶ τῶν ὑπάτων χιλίαρχοι τρεῖς κατεστάθησαν, Τίτος Κοΐντιος, Σερούιος Κορνήλιος καὶ Σερούιος Σουλπίκιος, Ὀλυμπιὰς δὲ ὑπὸ Πισατῶν καὶ Ἀρκάδων ἤχθη τετάρτη πρὸς ταῖς ἑκατόν, καθ' ἣν ἐνίκα στάδιον Φωκίδης Ἀθηναῖος. ἐπὶ δὲ τούτων Πισᾶται μὲν ἀνανεωσάμενοι τὸ παλαιὸν ἀξίωμα τῆς πατρίδος καί τισι μυθικαῖς καὶ παλαιαῖς ἀποδείξεσι χρώμενοι τὴν θέσιν τῆς Ὀλυμπιακῆς πανηγύρεως αὐτοῖς προσήκειν ἀπεφαίνοντο. κρίνοντες δὲ τὸν παρόντα καιρὸν εὔθετον ἔχειν ἀμφισβητῆσαι τοῦ ἀγῶνος, συμμαχίαν ἐποιήσαντο πρὸς Ἀρκάδας ὄντας πολεμίους Ἠλείων· συναγωνιστὰς δὲ λαβόντες τούτους ἐστράτευσαν ἐπὶ τοὺς Ἠλείους ἄρτι τιθέντας τὸν ἀγῶνα. ἀντιστάντων δὲ τῶν Ἠλείων πανδημεὶ συνέστη μάχη καρτερά, θεωμένων τὴν μάχην τῶν παρόντων ἐπὶ τὴν πανήγυριν Ἑλλήνων ἐστεφανωμένων καὶ μεθ' ἡσυχίας ἀκινδύνως ἐπισημαινομένων τὰς ἑκατέρωθεν ἀνδραγαθίας. τέλος Πισᾶται νικήσαντες ἔθηκαν τὸν ἀγῶνα, καὶ τὴν Ὀλυμπιάδα ταύτην ὕστερον οὐκ ἀνέγραψαν Ἠλεῖοι διὰ τὸ δοκεῖν βίᾳ καὶ ἀδίκως διατεθῆναι. ἅμα
64 δὲ τούτοις πραττομένοις Ἐπαμεινώνδας ὁ Θηβαῖος, μέγιστον ἔχων τῶν πολιτῶν ἀξίωμα, συναχθείσης ἐκκλησίας διελέχθη τοῖς πολίταις, προτρεπόμενος αὐτοὺς ἀντέχεσθαι τῆς κατὰ θάλατταν ἡγεμονίας. διελθὼν δὲ λόγον ἐκ χρόνου πεφροντισμένον ἐδείκνυε τὴν ἐπιβολὴν ταύτην συμφέρουσάν τε καὶ δυνατήν, τά τε ἄλλα προφερόμενος καὶ διότι τοῖς πεζῇ κρατοῦσι ῥᾴδιόν ἐστι περιποιήσασθαι

51. *τῷ πρ.*] *ἐπὶ τῷ πρ.* L  53. *Κυπαρισσίαν*] *Κυπαρησίαν* I: fort. *Κυπαριττίαν*  *κορυφάσσιον* F  55. *Ἀλωρίτης*] *Ἀλωρείτης* A  *τοῦ ἀδελφοῦ* AFKL, caeteri *τἀδελφοῦ*  *περδίκα* et *περδίκας* F  61. *Κοΐντιος*] *κοΐγκτιος* F  *καὶ Σερούϊος Σουλπίκιος* om. AR  62. *Πισατῶν*] *Πισσατῶν* L, et sic etiam 65.  67. *Ὀλυμπιακῆς*] *Ὀλυμπικῆς* AK, *ὀλυμπικαῖς* F  68. *αὐτοῖς*] *αὑτοῖς* IL

64. 86. *ἐδείκνυε*] *διεδείκνυε* FIK

τὴν τῆς θαλάττης ἀρχήν· καὶ γὰρ Ἀθηναίους ἐν τῷ πρὸς Ξέρξην πολέμῳ διακοσίας ναῦς ἰδίᾳ πληροῦντας Λακεδαιμονίοις δέκα ναῦς παρεχομένοις ὑποτετάχθαι. πολλὰ δὲ καὶ ἄλλα πρὸς ταύτην τὴν ὑπόθεσιν οἰκείως διαλεχθεὶς ἔπεισε τοὺς Θηβαίους ἀντέχεσθαι τῆς κατὰ θάλατταν ἀρχῆς.
79 εὐθὺς οὖν ὁ δῆμος ἐψηφίσατο τριήρεις μὲν ἑκατὸν ναυπηγεῖσθαι, νεώρια δὲ ταύταις ἴσα τὸν ἀριθμόν, Ῥοδίους δὲ καὶ Χίους καὶ Βυζαντίους προτρέπεσθαι βοηθῆσαι ταῖς ἐπιβολαῖς. αὐτὸς δὲ μετὰ δυνάμεως ἐκπεμφθεὶς ἐπὶ τὰς εἰρημένας πόλεις Λάχητα μὲν τὸν Ἀθηναίων στρατηγόν, ἔχοντα στόλον ἀξιόλογον καὶ διακωλύειν τοὺς Θηβαίους ἀπεσταλμένον, καταπληξάμενος καὶ ἀποπλεῦσαι συναναγκάσας, ἰδίας τὰς πόλεις τοῖς Θηβαίοις ἐποίησεν. εἰ μὲν οὖν ὁ ἀνὴρ οὗτος πλείω χρόνον ἐπέζησεν, ὡμολογημένως ἂν οἱ Θηβαῖοι τὴν κατὰ γῆν ἡγεμονίαν καὶ τὴν τῆς θαλάττης ἀρχὴν προσεκτήσαντο· ἐπεὶ δὲ μετ' ὀλίγον χρόνον ἐν τῇ περὶ τὴν Μαντίνειαν μάχῃ λαμπροτάτην τὴν νίκην τῇ πατρίδι περιποιήσας ἡρωικῶς ἐτελεύτησεν, εὐθέως καὶ τὰ τῶν Θηβαίων πράγματα τῇ τούτου τελευτῇ συναπέθανεν. ἀλλὰ περὶ μὲν τούτων τὰ κατὰ μέρος μικρὸν ὕστερον ἀκριβῶς διέξιμεν. τότε δὲ τοῖς Θηβαίοις ἔδοξε στρατεύειν ἐπὶ τὸν Ὀρχομενὸν διὰ τοιαύτας τινὰς αἰτίας. τῶν φυγάδων τινὲς βουλόμενοι τὴν ἐν Θήβαις πολιτείαν εἰς ἀριστοκρατικὴν κατάστασιν μεταστῆσαι συνέπεισαν τοὺς τῶν Ὀρχομενίων ἱππεῖς ὄντας τριακοσίους συνεπιλαβέσθαι τῆς ἐπιβολῆς. οὗτοι δὲ εἰωθότες ἐκ Θηβῶν ἀπαντᾶν ἡμέρᾳ τεταγμένῃ πρὸς τὴν ἐξοπλισίαν, εἰς ταύτην συνέθεντο ποιήσασθαι τὴν ἐπίθεσιν· πολλῶν δὲ καὶ ἄλλων κοινωνούντων τῆς προθέσεως καὶ προσορμησάντων, ἀπήντησαν πρὸς τὸν καιρόν. οἱ μὲν οὖν συστησάμενοι τὴν πρᾶξιν μετανοήσαντες ἐδήλωσαν τοῖς βοιωτάρχαις τὴν ἐπίθεσιν, προδόντες τοὺς συνομόσαντας, καὶ διὰ τῆς εὐεργεσίας ταύτης ἑαυτοῖς ἐπορίσαντο τὴν σωτηρίαν. τῶν δ' ἀρχόντων συλλαβόντων τοὺς τῶν Ὀρχομενίων ἱππεῖς καὶ παραγαγόντων εἰς τὴν ἐκκλησίαν, ὁ

90. *διακοσίας ναῦς ἰδίᾳ πληροῦντας* Reiskius: libri *διακοσίαις ναυσὶ διαπληροῦντας* 91. *δέκα* L ab manu recentiori, caeteri *δὲ καὶ* 93. *οἰκείως*] *οἰκεῖα* F 96. *ἑκατὸν* om. A 100. *ἐπὶ* IKL, caeteri *περὶ* 5. *ὡμολογημένως*] *ὁμολογούμενος* K 9. *τῇ πατρίδι*] *ἐν τῇ πατρίδι* K et qui paullo ante *μάχην* F 11. *ἀλλὰ*] *ἅμα* AFK 19. *Θηβῶν* Wesselingius: libri *Θηβαίων* 20. *ἐξοπλισίαν*] *ἐξιππασίαν* HQ 23. *οὖν* servarunt FL 26. *ἐπορίσαντο*] *προσεποιήσαντο* L 28. *παραγαγόντων* Schaeferus: libri *παραγόντων*



δῆμος ἐψηφίσατο τούτους μὲν ἀποσφάξαι, τοὺς δ' Ὀρχομενίους ἐξανδραποδίσασθαι καὶ τὴν πόλιν κατασκάψαι. ἐκ παλαιῶν γὰρ χρόνων οἱ Θηβαῖοι πρὸς τούτους
65 ἀλλοτρίως διέκειντο δασμοφοροῦντες μὲν τοῖς Μινύαις ἐν τοῖς ἡρωικοῖς χρόνοις, ὕστερον δ' ὑφ' Ἡρακλέους ἐλευθερωθέντες. οἱ δ' οὖν Θηβαῖοι καιρὸν ἔχειν νομίσαντες καὶ προφάσεις εὐλόγους τῆς τιμωρίας λαβόντες, ἐστράτευσαν ἐπὶ τὸν Ὀρχομενόν· ἑλόντες δὲ τὴν πόλιν τοὺς μὲν ἄνδρας ἀπέκτειναν, τέκνα δὲ καὶ γυναῖκας ἐξηνδραποδίσαντο.

80

Περὶ δὲ τοὺς αὐτοὺς καιροὺς Θετταλοὶ πρὸς Ἀλέξανδρον τὸν Φερῶν τύραννον διαπολεμοῦντες, καὶ πλείοσι μάχαις ἡττώμενοι, πολλοὺς δὲ τῶν στρατιωτῶν ἀπολωλεκότες, πρέσβεις ἀπέστειλαν πρὸς Θηβαίους, ἀξιοῦντες αὐτοῖς βοηθῆσαι καὶ στρατηγὸν αὐτοῖς ἐξαποστεῖλαι Πελοπίδαν. ᾔδεισαν γὰρ τοῦτον τὸν ἄνδρα διὰ τὴν ὑπ' Ἀλεξάνδρου σύλληψιν ἀλλοτριώτατα διακείμενον πρὸς τὸν δυνάστην, ἅμα δὲ καὶ ἀνδρείᾳ διάφορον καὶ ἐπὶ στρατηγικῇ συνέσει διαβεβοημένον. συναχθείσης δὲ τῆς κοινῆς συνόδου τῶν Βοιωτῶν, καὶ τῶν πρέσβεων διαλεχθέντων περὶ ὧν εἶχον ἐντολάς, οἱ μὲν Βοιωτοὶ πάντα συνεχώρησαν τοῖς Θετταλοῖς, καὶ δόντες εἰς ἑπτακισχιλίους στρατιώτας τῷ Πελοπίδᾳ συντόμως ἐκέλευον βοηθεῖν αὐτὸν τοῖς δεομένοις. τοῦ δὲ Πελοπίδου ταχέως μετὰ τῆς δυνάμεως ἐξιόντος συνέβη τὸν ἥλιον ἐκλιπεῖν. πολλῶν δὲ τὸ γεγονὸς ὑποπτευσαμένων τῶν μάντεών τινες ἀπεφήναντο διὰ τὴν γενομένην τῆς πόλεως ἔξοδον τῶν στρατιωτῶν ἐκλιπεῖν τὸν ἥλιον. καὶ διὰ τούτων τῶν λόγων προλεγόντων τὸν τοῦ Πελοπίδου θάνατον οὐδὲν ἧττον ὁ Πελοπίδας ἀνέζευξεν ἐπὶ τὴν στρατείαν, ὑπὸ τοῦ χρεὼν ἀγόμενος. ὡς δὲ κατήντησεν εἰς τὴν Θετταλίαν, καὶ τὸν Ἀλέξανδρον κατέλαβε προκατειλημμένον τοὺς ὑπερδεξίους τόπους καὶ στρατιώτας ἔχοντα πλείους τῶν δισμυρίων, ἀντεστρατοπέδευσε μὲν τοῖς πολεμίοις, προσλαβόμενος δὲ συμμάχους παρὰ τῶν Θετταλῶν συνῆψε μάχην τοῖς ἐναντίοις. τοῦ δὲ Ἀλεξάνδρου διὰ τὰς ὑπεροχὰς τῶν τόπων πλεονεκτοῦν-

65. 33. *ὑφ'*] *ἀφ'* AFK 37. *ἑλόντες*] *ἔχοντες* AFHIKLQ, caeteri *κατασχόντες* 42. *ἡττώμενοι*] malim *ἡττημένοι* 44. *βοηθῆσαι*] *βοηθήσειν* AK 48. *ἀνδρίᾳ* F *ἐπὶ* om. L 55. *ἐξιόντος*] *ἐξελθόντος* L 58. *τὸν τῆς πόλεως ἥλιον*] verba *τῆς πόλεως* loco inepto locata post *τὴν γενομένην* transtuli, sicut fuit p. 44. 29. *κατὰ τὴν τῆς πόλεως ἔξοδον τῶν στρατιωτῶν* 61. *στρατείαν* Schaeferus: libri *στρατιάν* 62. *κατέλαβε*] *κατελάβετο* FIK

τος ὁ Πελοπίδας σπεύδων διὰ τῆς ἰδίας ἀνδρείας κρῖναι τὴν μάχην ἐπ᾽ αὐτὸν ὥρμησε τὸν Ἀλέξανδρον. τοῦ δὲ δυνάστου μετὰ τῶν ἐπιλέκτων ὑποστάντος ἐγένετο μάχη καρτερά, καθ᾽ ἣν ὁ Πελοπίδας ἀριστεύων πάντα τὸν περὶ αὐτὸν τόπον νεκρῶν κατέστρωσε· τέλος δ᾽ ἐπιθεὶς τῷ κινδύνῳ καὶ τοὺς πολεμίους τρεψάμενος τὴν μὲν νίκην περιεποιήσατο, τὸν δὲ αὐτοῦ βίον ἀπέλιπε, πολλοῖς περιπεσὼν τραύμασι καὶ τὸ ζῆν ἡρωικῶς προέμενος. ὁ δ᾽ Ἀλέξανδρος δευτέρᾳ μάχῃ λειφθεὶς καὶ τοῖς ὅλοις συντριβείς, ἠναγκάσθη καθ᾽ ὁμολογίαν τοῖς μὲν Θετταλοῖς τὰς καταπεπολεμημένας πόλεις ἀποδοῦναι, Μάγνητας δὲ καὶ τοὺς Φθιώτας Ἀχαιοὺς παραδοῦναι Βοιωτοῖς, καὶ τὸ λοιπὸν Φερῶν μόνον ἄρχοντα 66
σύμμαχον εἶναι Βοιωτοῖς.

81 Οἱ δὲ Θηβαῖοι περιβόητον νίκην ἀπενηνεγμένοι πρὸς ἅπαντας ἔφασαν ἑαυτοὺς ἡττῆσθαι διὰ τὴν Πελοπίδου τελευτήν. ἀξιόλογον γὰρ ἀπολωλεκότες ἄνδρα κατὰ λόγον ἔκρινον τὴν νίκην ἥττονα ὑπάρχειν τῆς Πελοπίδου δόξης. πολλὰς γὰρ καὶ μεγάλας χρείας παρέσχετο τῇ πατρίδι, πλεῖστον δὲ συνεβάλετο πρὸς τὴν τῶν Θηβαίων αὔξησιν. ἐν γὰρ τῇ τῶν φυγάδων καταλήψει, καθ᾽ ἣν ἀνεκτήσαντο τὴν Καδμείαν, ὡμολογημένως ἅπαντες τούτῳ τὸ πρωτεῖον τοῦ κατορθώματος ἀπονέμουσι· τὴν δ᾽ εὐημερίαν ταύτην συνέβη πάντων τῶν ὕστερον γενομένων ἀγαθῶν αἰτίαν γενέσθαι. ἐν δὲ τῇ περὶ Τέγυραν μάχῃ μόνος Πελοπίδας τῶν βοιωταρχῶν ἐνίκησε τοὺς Λακεδαιμονίους, πλεῖον ἰσχύοντας τῶν Ἑλλήνων· ὅτε δὴ διὰ τὸ μέγεθος τῆς νίκης πρῶτον ἔστησαν Θηβαῖοι τρόπαιον κατὰ Λακεδαιμονίων. κατὰ δὲ τὴν ἐν Λεύκτροις μάχην ἡγήσατο τοῦ ἱεροῦ λόχου, μεθ᾽ οὗ προεμβαλὼν τοῖς Σπαρτιάταις ἀρχηγὸς ἐγένετο τῆς νίκης. ἐν δὲ ταῖς ἐπὶ Λακεδαίμονα στρατείαις ἑπτὰ μὲν ἡγήσατο μυριάδων, πρὸς αὐτῇ δὲ τῇ Σπάρτῃ τρόπαιον ἔστησε κατὰ τῶν Λακεδαιμονίων τῶν πάντα τὸν πρὸ τούτου χρόνον ἀπορθήτων γεγενημένων. πρὸς δὲ τὸν Περσῶν βασιλέα πρεσβεύσας ἐν ταῖς κοιναῖς ὁμολογίαις τὴν Μεσσήνην κατ᾽ ἰδίαν παρέλαβεν, ἣν ἀνάστατον οὖ-

69. ἀνδρείας] ἀνδρίας FK 76. ἀπέλιπε AFHIKLQR, caeteri ἀπέβαλε 78. λειφθεὶς Stephanus: libri ληφθεὶς 66. 87. Φερῶν] Φεῤῥῶν K ἄρχοντα σύμμαχον] exspectabam ἄρχων σύμμαχος 90. ἡττῆσθαι Schaeferus: libri ἡττᾶσθαι 96. καταλήψει] κατηλύσει Reiskius 99. γενομένων om. L 100. Τεγύραν Wesselingius: libri Τέγεαν 2. πλεῖον] πλείους A δὴ servarunt FL 11. βασιλέα] βασιλεύσας K, omisso opinor πρεσβεύσας



σαν ἔτη τριακόσια Θηβαῖοι πάλιν ἀποκατέστησαν. ἐπὶ τελευτῆς δὲ διαγωνισάμενος πρὸς Ἀλέξανδρον ἔχοντα πολλαπλάσιον δύναμιν οὐ μόνον ἐπιφανῶς ἐνίκησεν, ἀλλὰ καὶ τὸν θάνατον ἔσχεν ἐπ᾽ ἀρετῇ περιβόητον καλῶς ἀγωνισάμενος. πρὸς δὲ τοὺς πολίτας οὕτω διετέθη ὥςτε ἀπὸ τῆς εἰς τὰς Θήβας καθόδου τῶν πολιτῶν μέχρι τῆς ἑαυτοῦ τελευτῆς βοιωταρχῶν πάντα τὸν χρόνον διετέλεσε, μηδενὸς ἄλλου τῶν πολιτῶν ταύτης ἠξιωμένου τῆς τιμῆς. Πελοπίδας μὲν οὖν διὰ τὴν ἰδίαν ἀρετὴν ὑπὸ πάντων ἀποδοχῆς ἠξιωμένος ἐχέτω καὶ παρ᾽ ἡμῶν τὸν διὰ τῆς ἱστορίας ἔπαινον. κατὰ δὲ τοὺς αὐτοὺς χρόνους Κλέαρχος, τὸ γένος ὢν ἐξ Ἡρακλείας τῆς ἐν τῷ Πόντῳ, ἐπέθετο τυραννίδι· κρατήσας δὲ τῆς ἐπιβολῆς ἐζήλωσε μὲν τὴν Διονυσίου τοῦ Συρακοσίων τυράννου
67 διαγωγήν, τυραννεύσας δὲ τῶν Ἡρακλεωτῶν ἐπιφανῶς ἦρξεν ἔτη δώδεκα. ἅμα δὲ τούτοις πραττομένοις Τιμόθεος ὁ Ἀθηναίων στρατηγὸς ἔχων δύναμιν πεζικήν τε καὶ ναυτικὴν Τορώνην μὲν καὶ Ποτίδαιαν πολιορκήσας εἷλε, Κυζικηνοῖς δὲ πολιορκουμένοις ἐβοήθησε.

Τοῦ δ᾽ ἔτους τούτου διεληλυθότος Ἀθήνησι μὲν 82
ἦρχε Χαρικλείδης, ἐν Ῥώμῃ δ᾽ ὕπατοι κατεστάθησαν Λεύκιος Αἰμίλιος Μαμερκος καὶ Λεύκιος Σέξτιος Λατερίας. ἐπὶ δὲ τούτων Ἀρκάδες μετὰ Πισαίων κοινῇ τεθεικότες ὑπῆρχον τὸν ἀγῶνα τῶν Ὀλυμπίων, καὶ ἐκυρίευον τοῦ ἱεροῦ καὶ τῶν ἐν αὐτῷ χρημάτων. τῶν δὲ Μαντινέων ἀναλαβόντων εἰς τοὺς ἰδίους βίους οὐκ ὀλίγα τῶν ἀναθημάτων, ἔσπευδον οἱ παρανομήσαντες διακατέχειν τὸν πρὸς Ἠλείους πόλεμον, ἵνα μὴ δῶσιν ἐν εἰρήνῃ λόγον τῶν ἀναλωθέντων. τῶν δὲ ἄλλων Ἀρκάδων βουλομένων συνθέσθαι τὴν εἰρήνην, στάσιν ἐκίνησαν πρὸς τοὺς ὁμοεθνεῖς. γενομένων οὖν δυοῖν ἑταιρειῶν συνέβαινε τῆς μὲν τοὺς Τεγεάτας, τῆς δὲ τοὺς Μαντινεῖς ἡγεῖσθαι. ἐπὶ πολὺ δὲ τῆς διαφορᾶς αὐξηθείσης εἰς τὴν διὰ τῶν ὅπλων κρίσιν κατήντησαν· καὶ Τεγεᾶται μὲν πρεσβεύσαντες πρὸς Βοιωτοὺς ἔπεισαν ἑαυτοῖς βοηθεῖν, οἱ δὲ Βοιωτοὶ στρατηγὸν ἐπιστήσαντες

15. πολλαπλάσιον] fort. πολλαπλασίονα: v. ad p. 389. 62.
17. καλῶς ἀγωνισάμενος in libris post οὕτω posita aut post ἀλλὰ vel θάνατον aut post περιβόητον ponenda sunt: post ἐνίκησε ponebat Reiskius 22. ἠξιωμένου] ἠξιωμένος A 24. διὰ om. I 29. διαγωγὴν ante Διονυσίου ponunt FIK 67. 30. δώδεκα] δυοκαίδεκα FI 31. Ἀθηναίων om. F 37. Σέξτιος om. AFIKR 38. μετὰ] non dubito Diodorum μὲν μετὰ scripsisse 39. κοινῇ τ. ὑπῆρχον] ὑπῆρχον τ. κοινῇ L 47. δυοῖν FK, caeteri δυεῖν 49. διὰ τὴν τῶν ὅπλων annotatum ex F 52. ἐπιστήσαντες] καταστήσαντες L

Ἐπαμεινώνδαν καὶ δύναμιν ἀξιόλογον δόντες ἐξαπέστειλαν βοηθῆσαι τοῖς Τεγεάταις. οἱ δὲ Μαντινεῖς τὴν ἐκ τῆς Βοιωτίας δύναμιν καὶ τὴν Ἐπαμεινώνδου δόξαν καταπλαγέντες πρὸς τοὺς ἐχθροτάτους τῶν Βοιωτῶν Ἀθηναίους καὶ Λακεδαιμονίους πρέσβεις ἐκπέμψαντες ἔπεισαν συμμαχεῖν. ὧν ἀμφοτέρων ἁδρὰς δυνάμεις ταχέως ἀποστειλάντων ἀγῶνες πολλοὶ καὶ μεγάλοι κατὰ τὴν Πελοπόννησον συνέστησαν. εὐθὺς οὖν Λακεδαιμόνιοι μὲν πλησίον οἰκοῦντες ἐστράτευσαν εἰς τὴν Ἀρκαδίαν, Ἐπαμεινώνδας δὲ κατὰ τοῦτον τὸν καιρὸν μετὰ τῆς δυνάμεως προϊὼν καὶ τῆς Μαντινείας οὐ μακρὰν ἀπέχων ἐπύθετο παρὰ τῶν ἐγχωρίων ὅτι Λακεδαιμόνιοι πανδημεὶ πορθοῦσι τὴν τῶν Τεγεατῶν χώραν. ὑπολαβὼν οὖν ἔρημον εἶναι στρατιωτῶν τὴν Σπάρτην, ἐπεβάλετο μὲν μέγα τι πρᾶξαι, τὴν δὲ τύχην ἔσχεν ἀντιπράττουσαν. αὐτὸς μὲν γὰρ νυκτὸς ὥρμησεν ἐπὶ τὴν Σπάρτην, ὁ δὲ βασιλεὺς τῶν Λακεδαιμονίων Ἆγις ὑποπτεύσας τὴν ἀγχίνοιαν τὴν Ἐπαμεινώνδου κατεστοχάσατο μὲν ἐμφρόνως τὸ μέλλον ἥξειν, ἔπεμψε δέ τινας Κρῆτας ἡμεροδρόμους, δι' ὧν καταταχήσας τὸν Ἐπαμεινώνδαν τοῖς 68
ἀπολελειμμένοις ἐν τῇ Σπάρτῃ ἐδήλωσε διότι Βοιωτοὶ συντόμως ἥξουσιν ἐπὶ τὴν Λακεδαίμονα πορθήσοντες τὴν πόλιν, αὐτὸς δ' ὡς ἂν τάχιστα δύνηται μετὰ τῆς δυνάμεως ἥξει βοηθήσων τῇ πατρίδι. ἐκέλευεν οὖν τοῖς ἐν τῇ Σπάρτῃ παραφυλάττειν τὴν πόλιν μηδὲν καταπεπληγμένους· ταχὺ γὰρ αὐτὸν ἐπιφανέντα βοηθήσειν. τῶν
83 δὲ Κρητῶν συντόμως τὸ παραγγελθὲν ποιησάντων παραδόξως οἱ Λακεδαιμόνιοι τὴν ἅλωσιν τῆς πατρίδος ἐξέφυγον. μὴ προδηλωθείσης γὰρ τῆς ἐπιθέσεως ἔλαθεν ἂν ὁ Ἐπαμεινώνδας εἰςπεσὼν εἰς τὴν Σπάρτην. τὴν μὲν οὖν ἐπίνοιαν τῶν στρατηγῶν ἀμφοτέρων δικαίως ἄν τις ἀποδέξαιτο, συνετωτέραν δὲ στρατηγίαν τὴν τοῦ Λακεδαιμονίου ἡγήσαιτο. οὐ μὴν ἀλλ' ὁ Ἐπαμεινώνδας ὅλην τὴν νύκτα διαγρυπνήσας καὶ τὸ διάστημα τῆς ὁδοῦ κατὰ σπουδὴν διανύσας ἅμ' ἡμέρᾳ προςῆγε τῇ Σπάρτῃ. ὁ δ' ἐπὶ τῆς φυλακῆς ἀπολελειμμένος Ἀγησίλαος ὀλίγῳ πρότερον χρόνῳ τῶν Κρητῶν ἀκούσας τὰ κατὰ μέρος, εὐθὺς μετὰ πολλῆς σπουδῆς τὴν ἐπιμέλειαν ἐποιήσατο τῆς πόλεως. τοὺς μὲν οὖν πρεσβυτάτους τῶν παίδων

71. ἐμφρόνως τὸ μέλλον Reiskius post Wesselingium: libri τὸ μέλλον ἐμφρόνως 72. ἔπεμψε] πέμψας AFKL
68. 76. δ'] δὲ K δύνηται] δύναιτο omnes 78. ἐκέλευεν οὖν] ἐκέλευε γοῦν omnes 79. αὐτὸν om. L 87. Λακεδαιμονίου Stephanus: libri Λακεδαίμονος 91. ὀλίγῳ] ὀλίγων K



καὶ τοὺς γεγηρακότας ἐπὶ τὰ τέγη τῶν οἰκιῶν ἀνεβίβασε, καὶ προςέταξεν ἀπὸ τούτων ἀμύνεσθαι τοὺς εἰς τὴν πόλιν βιαζομένους, αὐτὸς δὲ τοὺς ἀκμάζοντας ταῖς ἡλικίαις συντάξας διεμέρισεν εἰς τὰς πρὸ τῆς πόλεως δυςχωρίας καὶ παρόδους, καὶ πάντας τοὺς δυναμένους τόπους δέξασθαι δίοδον ἐμφράξας ἀνέμενε τὴν τῶν πολεμίων ἔφοδον. Ἐπαμεινώνδας δ' εἰς πλείω μέρη διελόμενος τοὺς στρατιώτας, καὶ πάντῃ προςπίπτων κατὰ τὸν αὐτὸν καιρόν, ὡς εἶδε τὴν τῶν Σπαρτιατῶν σύνταξιν, εὐθὺς ἔγνω μεμηνυμένην τὴν πρᾶξιν· ὅμως δὲ προςμαχόμενος πᾶσι κατὰ μέρος καὶ ταῖς δυςχωρίαις ἐλαττούμενος συνῆπτεν εἰς χεῖρας. πολλὰ δὲ παθὼν καὶ δράσας οὐκ ἀπέστη τῆς φιλοτιμίας, ἕως τὸ στράτευμα τῶν Λακεδαιμονίων ἐπανῆλθεν εἰς τὴν Σπάρτην· πολλῶν δὲ βοηθούντων τοῖς πολιορκουμένοις, καὶ τῆς νυκτὸς καταλαβούσης, ἔλυσε τὴν πολιορκίαν.

Πυθόμενος δὲ παρὰ τῶν αἰχμαλώτων ὅτι Μαντι- 84
νεῖς πανδημεὶ πάρεισι βοηθοῦντες τοῖς Λακεδαιμονίοις, τότε μὲν ἀναχωρήσας μικρὸν ἀπὸ τῆς πόλεως κατεστρατοπέδευσε· παραγγείλας δὲ δειπνοποιεῖσθαι, καταλιπὼν τῶν ἱππέων τινάς, τούτοις μὲν παρήγγειλεν ἑωθινῆς φυλακῆς πυρὰ καίειν ἐν τῇ παρεμβολῇ, αὐτὸς δὲ μετὰ τῆς δυνάμεως ἀφορμήσας ἔσπευσεν ἄφνω περιπεσεῖν τοῖς ἀπολελειμμένοις ἐν τῇ Μαντινείᾳ. τῇ δ' ὑστεραίᾳ πολλὴν διανύσας ὁδὸν ἄφνω τοῖς Μαντινεῦσιν ἀνελπί-
69 στως ἐπέῤῥαξεν, οὐ μὴν ἐκράτησε τῆς ἐπιβολῆς, καίπερ ἅπαντα τῇ στρατηγίᾳ προνοησάμενος, ἀλλὰ τὴν τύχην λαβὼν ἀντιπράττουσαν παραδόξως ἀπέβαλε τὴν νίκην. ἄρτι γὰρ αὐτοῦ πλησιάζοντος ἐρήμῳ τῇ πόλει κατήντησαν ἐπὶ θάτερα τῆς Μαντινείας οἱ πεμφθέντες ὑπὸ τῶν Ἀθηναίων στρατιῶται πρὸς τὴν συμμαχίαν, ὄντες ἑξακιςχίλιοι, στρατηγὸν δ' ἔχοντες Ἡγέλοχον, ἄνδρα τῶν παρὰ τοῖς πολίταις ἐπαινουμένων. οὗτος δὲ τοὺς ἱκανοὺς εἰς τὴν πόλιν παρειςαγαγὼν τὴν ἄλλην δύναμιν ἐξέταξεν, ὡς μάχῃ διακριθησόμενος. εὐθὺς δὲ καὶ Λακεδαιμόνιοι καὶ Μαντινεῖς ἐπεφάνησαν, καὶ πρὸς τὴν τῶν ὅλων κρίσιν ἅπαντες παρεσκευάζοντο καὶ τοὺς πανταχόθεν συμμάχους μετεπέμποντο. τοῖς μὲν οὖν Μαν-

95. τέγη AFK, caeteri στέγη 4. μεμηνυμένην] μηνομένην K 8. στράτευμα] στρατοπέδευμα omnes 9. Λακεδαιμονίων] Σπαρτιατῶν L 20. περιπεσεῖν] ἐπιπεσεῖν Reiskius
69. 27. θάτερα] μέρη addit L 30. Ἡγέλοχον] Ἡγήλοχον libri τῶν — ἐπαινουμένων Wesselingius: libri τὸν — ἐπαινούμενον (ἐπεν. K) 33. διακριθησόμενος Wesselingius: libri διακριθησομένους 35. παρεσκευάζοντο] κατεσκευάζοντο A

τινεῦσιν ἐβοήθουν Ἠλεῖοι καὶ Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι καὶ ἄλλοι τινές, ὧν ὁ σύμπας ἀριθμὸς ἦν πεζοὶ μὲν πλείους τῶν δισμυρίων, ἱππεῖς δὲ περὶ δισχιλίους· τοῖς δὲ Τεγεάταις συνεμάχουν οἱ πλεῖστοι καὶ κράτιστοι τῶν Ἀρκάδων καὶ Ἀχαιοὶ καὶ Βοιωτοὶ καὶ Ἀργεῖοι καί τινες ἕτεροι τῶν Πελοποννησίων καὶ τῶν ἔξωθεν συμμάχων· οἱ δὲ πάντες ἠθροίσθησαν πεζοὶ μὲν ὑπὲρ τοὺς τρισμυρίους, ἱππεῖς δ' οὐκ ἐλάττους τῶν τρισχιλίων.

85 ἀμφοτέρων δὲ συντόμως προκαταβάντων εἰς τὸν ὑπὲρ τῶν ὅλων ἀγῶνα, καὶ διαταχθέντων τῶν στρατοπέδων, οἱ μὲν μάντεις σφαγιασάμενοι παρ' ἀμφοτέροις ἀπεφαίνοντο τὴν νίκην ὑπὸ τῶν θεῶν προφαινομένην. κατὰ δὲ τὴν ἀξίαν Μαντινεῖς μὲν μετὰ τῶν ἄλλων Ἀρκάδων τὸ δεξιὸν ἐπεῖχον κέρας, ἔχοντες παραστάτας καὶ συναγωνιστὰς Λακεδαιμονίους, τούτοις δὲ συνεχεῖς ἦσαν Ἠλεῖοι καὶ Ἀχαιοί, καὶ τῶν ἄλλων οἱ καταδεέστεροι τὴν λοιπὴν ἐπεῖχον τάξιν· τὸ δ' εὐώνυμον κέρας ἀνεπλήρουν Ἀθηναῖοι. Θηβαῖοι δ' αὐτοὶ μὲν ἐπὶ τὸ εὐώνυμον κέρας ἐτάχθησαν, παραστάτας ἔχοντες Ἀρκάδας, τὸ δὲ δεξιὸν παρέδωκαν Ἀργείοις· τὸ δὲ ἄλλο πλῆθος ἀνεπλήρου τὴν μέσην τάξιν, Εὐβοεῖς καὶ Λοκροὶ καὶ Σικυώνιοι, πρὸς δὲ τούτοις Μεσσήνιοι καὶ Μαλιεῖς καὶ Αἰνιᾶνες, ἔτι δὲ καὶ Θετταλοὶ καὶ οἱ λοιποὶ σύμμαχοι. τοὺς δ' ἱππεῖς ἐφ' ἑκατέρων τῶν κεράτων ἀμφότεροι διείλοντο. τῶν δὲ στρατευμάτων τοῦτον τὸν τρόπον τεταγμένων, ὡς ἤδη πλησίον ὑπῆρχον ἀλλήλων, αἱ μὲν σάλπιγγες τὸ πολεμικὸν ἐσήμαινον, αἱ δὲ δυνάμεις ἠλάλαξαν καὶ τῷ μεγέθει τῆς βοῆς τὴν νίκην ἐσήμαινον. καὶ τὸ μὲν πρῶτον ἱππομαχίαν ἐν τοῖς κέρασι συνεστήσαντο, καθ' ἣν ταῖς φιλοτιμίαις ἑαυτοὺς ὑπερεβάλοντο. οἱ μὲν γὰρ τῶν Ἀθηναίων ἱππεῖς τοῖς τῶν Θηβαίων ἐπελάσαντες ἠλαττοῦντο οὐχ οὕτω ταῖς τῶν ἵππων ἀρεταῖς οὐδὲ ταῖς ἰδίαις εὐψυχίαις οὐδὲ ταῖς κατὰ τὴν ἱππικὴν ἐμπειρίαις· ἐν γὰρ τούτοις ἅπασιν οὐκ ἦν καταδεέστερον τὸ τῶν Ἀθηναίων ἱππικόν· τῷ δὲ πλήθει καὶ τῇ παρασκευῇ τῶν ψιλῶν καὶ τῇ στρατηγικῇ συντάξει 70 πολὺ τῶν ἐναντίων ἐλείποντο. αὐτοὶ μὲν οὖν ὀλίγους

41. καὶ Ἀχαιοὶ 37. post Ἠλεῖοι ponit Wesselingius 44. δ' οὐκ ἐλάττους τρισχιλίων] δὲ περὶ τρισχιλίους L 46. προκαταβάντων] καταβάντων Schaeferus, συγκαταβάντων Reiskius 47. μάντεις Rhodomannus, Ios. Scaliger: libri Μαντινεῖς 51. ἔχοντες] ἔχοντας A 56. δ'] δὲ καὶ FIK ἐτάχθησαν om. F 60. Αἰνιᾶνες] Αἰνειᾶνες K 61. δὲ καὶ] δὲ F 71. ἵππων Schaeferus: libri ἱππέων 70. 75. ψιλῶν Wesselingius, φυλῶν L ab manu rec., caeteri φίλων 76. μὲν οὖν A, caeteri μὲν



εἶχον ἀκοντιστάς, οἱ δὲ Θηβαῖοι τριπλασίους σφενδονήτας καὶ ἀκοντιστὰς τοὺς ἐκ τῶν περὶ τὴν Θετταλίαν τόπων ἀπεσταλμένους. οὗτοι περιττότερον ἐκ παίδων ζηλοῦντες τὴν ἐν τούτοις μάχην μεγάλην ῥοπὴν ποιεῖν εἰώθασιν ἐν ταῖς μάχαις διὰ τὴν ἐν τούτοις ἐμπειρίαν. διόπερ οἱ Ἀθηναῖοι κατατιτρωσκόμενοι μὲν ὑπὸ ψιλικῶν, καταπονούμενοι δ' ὑπὸ τῶν ἀνθεστηκότων, ἅπαντες ἐτράπησαν· τὴν δὲ φυγὴν ἐκτὸς τῶν κεράτων ποιησάμενοι διωρθώσαντο τὴν ἧτταν. ἅμα μὲν γὰρ κατὰ τὴν ἀποχώρησιν οὐκ ἐτάραξαν τὴν ἰδίαν φάλαγγα, ἅμα δὲ περιπεσόντες Εὐβοεῦσι καὶ μισθοφόροις τισὶν ἀπεσταλμένοις ἐπὶ τὴν κατάληψιν τῶν πλησίον λόφων, συνάψαντες αὐτοῖς μάχην ἅπαντας ἀπέκτειναν. οἱ δὲ τῶν Θηβαίων ἱππεῖς τοὺς μὲν φεύγοντας οὐκ ἐπεδίωξαν, ἐπὶ δὲ τὴν φάλαγγα τῶν ἀντιτεταγμένων ἐπελάσαντες ἐφιλοτιμοῦντο παραλλάξαι τοὺς πεζούς. ἰσχυρᾶς δὲ μάχης γενομένης, καὶ τῶν Ἀθηναίων καταπονουμένων καὶ πρὸς φυγὴν ὁρμησάντων, ὁ τῶν Ἠλείων ἵππαρχος ἐπὶ τῆς οὐραγίας τεταγμένος ἐπεβοήθησε τοῖς φεύγουσι, καὶ πολλοὺς τῶν Βοιωτῶν καταβαλὼν παλίντροπον ἐποίησε τὴν μάχην. οἱ μὲν οὖν τῶν Ἠλείων ἱππεῖς τοῦτον τὸν τρόπον ἐπιφανέντες τῷ λαιῷ κέρατι τὸ γεγονὸς περὶ τοὺς συμμάχους ἐλάττωμα διωρθώσαντο. ἐπὶ δὲ θατέρου κέρατος ἐπιῤῥαξάντων ἀλλήλοις τῶν ἱππέων βραχὺν χρόνον ἡ μάχη διέμεινεν ἰσόῤῥοπος, μετὰ δὲ ταῦτα διά τε τὸ πλῆθος καὶ τὴν ἀρετὴν τῶν Βοιωτῶν καὶ Θετταλῶν ἱππέων οἱ μετὰ τῶν Μαντινέων ὄντες ἐβιάσθησαν, καὶ συχνοὺς ἀποβαλόντες κατέφυγον πρὸς τὴν ἰδίαν φάλαγγα.

86 ἡ μὲν οὖν τῶν παρ' ἀμφοτέροις ἱππέων μάχη τοιοῦτον ἔσχε τὸ τέλος· αἱ δὲ πεζικαὶ δυνάμεις ὡς συνῆλθον εἰς χεῖρας τοῖς πολεμίοις, μεγάλους καὶ θαυμαστοὺς ἀγῶνας συνεστήσαντο. οὐδέποτε γὰρ Ἑλλήνων πρὸς Ἕλληνας ἀγωνιζομένων οὔτε πλῆθος ἀνδρῶν τοσοῦτο παρετάξατο οὔθ' ἡγεμόνες ἀξιολογώτεροι τοῖς ἀξιώμασιν οὔτε ἄνδρες δυνατώτεροι ταῖς ἐν τοῖς κινδύνοις ἀνδραγαθίαις. οἱ γὰρ πεζομαχεῖν ἄριστα δυνάμενοι κατὰ τοὺς ὑποκειμένους καιροὺς Βοιωτοὶ καὶ Λακεδαιμόνιοι πρὸς ἀλλήλους κατὰ τὴν τάξιν ἀνθεστηκότες

78. τὴν ante Θετταλίαν om. F 81. εἰώθασιν] immo, opinor, εἰώθεισαν 83. ψιλικῶν] τῶν addit Reiskius καταπονούμενοι] καταπολεμούμενοι AFHIKLQR 97. καταβαλὼν FI, caeteri καταλαβὼν 98. τοῦτον τὸν τρόπον] τούτῳ τῷ τρόπῳ FK 6. πρὸς] εἰς FL 9. τὸ τέλος] τέλος AL 13. τοσοῦτο AL, caeteri τοσοῦτον 15. ἀνδραγαθίαις AFK, caeteri ἀνδραγαθίαις ἐπεδείξαντο

πρῶτον μάχην συνῆψαν οὐδεμίαν φειδὼ ποιούμενοι τοῦ ζῆν. καὶ τὸ μὲν πρῶτον τύπτοντες ἀλλήλους τοῖς δόρασι, καὶ διὰ τὴν πυκνότητα τῶν πληγῶν τὰ πλεῖστα συντρίψαντες, εἰς τὸν ἀπὸ τῆς μαχαίρας ἀγῶνα κατήντησαν. συμπλεκόμενοι δὲ τοῖς σώμασι καὶ παντοίας διαθέσεις τραυμάτων ἀπεργαζόμενοι τοῖς θυμοῖς οὐκ ἔληγον· ἐπὶ πολὺν δὲ χρόνον τοῖς δεινοῖς ἐγκαρτερούντων διὰ τὴν ὑπερβολὴν τῆς παρ' ἑκατέροις ἀνδραγαθίας οὐδεμίαν ῥοπὴν ἀνελάμβανεν ἡ μάχη. ἕκαστος γὰρ
τοῦ παθεῖν τι δεινὸν καταφρονῶν, τοῦ δὲ δρᾶσαί τι 71
λαμπρὸν ἐφιέμενος, εὐγενῶς ἀνεδέχετο τὸν ὑπὲρ τῆς δόξης θάνατον. ἰσχυρᾶς δὲ μάχης ἐπὶ πολύν τε χρόνον γενομένης καὶ τοῦ κινδύνου μηδεμίαν ῥοπὴν λαμβάνοντος, ὁ μὲν Ἐπαμεινώνδας ὑπολαβὼν τῆς ἰδίας ἀρετῆς προσδεῖσθαι τὴν νίκην, ἔγνω δι' ἑαυτοῦ κρῖναι τὸν κίνδυνον. εὐθὺς οὖν ἀναλαβὼν τοὺς ἀρίστους καὶ μετὰ τούτων συμφράξας εἰσέβαλεν εἰς μέσους τοὺς πολεμίους· καθηγούμενος δὲ τοῦ συντάγματος, καὶ πρῶτος ἀκοντίσας, ἔβαλε τὸν ἡγούμενον τῶν Λακεδαιμονίων. εὐθὺς δὲ καὶ τῶν ἄλλων εἰς χεῖρας ἐρχομένων, οὓς μὲν ἀνελὼν οὓς δὲ καταπληξάμενος διέκοψε τὴν φάλαγγα τῶν πολεμίων. οἱ δὲ Λακεδαιμόνιοι τὸ ἀξίωμα τοῦ Ἐπαμεινώνδου καὶ τὸ βάρος τοῦ περὶ αὐτὸν συστήματος καταπλαγέντες ἀνεχώρουν ἐκ τῆς μάχης· ἐπικειμένων δὲ τῶν Βοιωτῶν καὶ τοὺς ἐσχάτους ἀεὶ φονευόντων, νε-
87 κρῶν ἐσωρεύθη πλῆθος. οἱ δὲ Λακεδαιμόνιοι θεωροῦντες Ἐπαμεινώνδαν προθυμότερον προπίπτοντα τῷ θυμῷ, συνέδραμον ἐπ' αὐτόν. πολλῶν δὲ καὶ πυκνῶν φερομένων βελῶν, τὰ μὲν ἐξένευε, τὰ δὲ διεκρούετο, τινὰ δὲ ἐκ τοῦ σώματος ἐξαιρῶν τούτοις ἠμύνετο τοὺς ἐπιφερομένους. ἡρωικῶς δ' ὑπὲρ τῆς νίκης ἀγωνισάμενος καιρίαν ἔλαβε πληγὴν εἰς τὸν θώρακα. κλασθέντος δὲ τοῦ δόρατος, καὶ τοῦ σιδήρου καταλειφθέντος ἐν τῷ σώματι, παραχρῆμα ἔπεσε κατισχυθεὶς ὑπὸ τῆς πληγῆς. περὶ δὲ τοῦ σώματος ἐμπεσούσης φιλοτιμίας, καὶ πολλῶν παρ' ἀμφοτέροις ἀναιρεθέντων, μόγις οἱ Θηβαῖοι τῇ ῥώμῃ τῶν σωμάτων προέχοντες κατεπόνησαν τοὺς Λακεδαιμονίους. φυγῆς δὲ γενομένης, οἱ μὲν Βοιωτοὶ βραχὺν ἐπιδιώξαντες χρόνον ἀνέστρεψαν, ἀναγκαιότα-

18. πρῶτον suspectum esse possit 26. ἑκατέροις] ἑκατέρας K 27. οὐδεμίαν] οὐδὲ λίαν A ἀνελάμβανεν] ἐλάμβανεν Wesselingius
71. 28. παθεῖν] πεθεῖν K 31. γενομένης L, caeteri γινομένης 45. ἀεὶ F, caeteri αἰεὶ 48. προπίπτοντα Wesselingius: libri προσπίπτοντα 55. κατισχυθεὶς] κατισχεθεὶς A 57. ἀμφοτέροις] ἀμφοτέρων FK



τον ἡγούμενοι τὸ κυριεῦσαι τῶν νεκρῶν. ἀνακαλεσαμένων οὖν τῶν σαλπιγκτῶν τοὺς στρατιώτας ἅπαντες τῆς μάχης ἀπέστησαν, καὶ τρόπαιον ἀμφότεροι στήσαντες ἠμφισβήτουν τῆς νίκης. οἱ μὲν γὰρ Ἀθηναῖοι νενικηκότες τοὺς περὶ τὸν λόφον Εὐβοεῖς καὶ μισθοφόρους κύριοι τῶν νεκρῶν ὑπῆρχον, οἱ δὲ Βοιωτοὶ τοὺς Λακεδαιμονίους ἀπὸ κράτους ἡττηκότες καὶ κρατοῦντες τῶν πεπτωκότων προσένεμον ἑαυτοῖς τὴν νίκην. ἐπὶ μὲν οὖν χρόνον τινὰ περὶ τῆς τῶν νεκρῶν ἀναιρέσεως οὐδέτεροι διεπρεσβεύσαντο, ἵνα μὴ δόξωσιν ἐκχωρεῖν τοῦ πρωτείου· μετὰ δὲ ταῦτα τῶν Λακεδαιμονίων πρώτων ἐπικηρυκευσαμένων περὶ τῆς τῶν νεκρῶν ἀναιρέσεως ἀμφότεροι τοὺς ἰδίους ἔθαψαν. Ἐπαμεινώνδας δ' ἔτι ζῶν εἰς τὴν παρεμβολὴν ἀπηνέχθη, καὶ τῶν συγκληθέντων ἰατρῶν ἀποφηναμένων ὅτι πάντως, ὅταν ἐκ τοῦ θώρακος ἐξαιρεθῇ τὸ δόρυ, συμβήσεται καὶ τὸν θάνατον ἐπακολουθῆσαι, εὐψυχοτάτην τοῦ βίου καταστροφὴν ἐποιήσατο. πρῶτον μὲν γὰρ τὸν ὑπασπιστὴν
72 προσκαλεσάμενος ἐπηρώτησεν εἰ διασέσωκε τὴν ἀσπίδα. τοῦ δὲ φήσαντος καὶ θέντος αὐτὴν πρὸ τῆς ὁράσεως πάλιν ἐπηρώτησε πότεροι νενικήκασιν. ἀποφαινομένου δὲ τοῦ παιδὸς ὅτι Βοιωτοὶ νενικήκασιν, Ὥρα, φησίν, ἐστὶ τελευτᾶν, καὶ προσέταξεν ἐκσπάσαι τὸ δόρυ. ἀναβοησάντων δὲ τῶν παρόντων φίλων, καὶ τινος εἰπόντος ὅτι τελευτᾷς ἄτεκνος, Ἐπαμεινώνδα, καὶ δακρύσαντος, Μὰ Δία μέν, φησίν, ἀλλὰ καταλείπω δύο θυγατέρας, τήν τε ἐν Λεύκτροις νίκην καὶ τὴν ἐν Μαντινείᾳ. καὶ τοῦ δόρατος ἐξαιρεθέντος ἄνευ πάσης ταραχῆς ἐξέπνευσεν.

Ἡμεῖς δ' εἰωθότες ταῖς τῶν ἀγαθῶν ἀνδρῶν τελευ- 88
ταῖς ἐπιλέγειν τὸν ἴδιον ἔπαινον οὐδαμῶς ἁρμόττον ἡγούμεθα παραδραμεῖν ἀνδρὸς τηλικούτου τὴν τελευτὴν ἀνεπισήμαντον. δοκεῖ γάρ μοι μὴ μόνον τοὺς καθ' ἑαυτὸν ὑπερβαλεῖν ἐν τῇ στρατηγικῇ συνέσει καὶ ἐμπειρίᾳ, πρὸς δὲ τούτοις ἐπιεικείᾳ τε καὶ μεγαλοψυχίᾳ. κατὰ μὲν γὰρ τὴν ἡλικίαν τὴν τούτου γεγόνασιν ἄνδρες ἐπιφανεῖς, Πελοπίδας τε Θηβαῖος καὶ Τιμόθεος καὶ Κό-

62. σαλπιγκτῶν] σαλπιγγῶν I 64. ἠμφισβήτουν] ἀμφισβήτουν A 65. οἱ μὲν] οἱ K 73. ἐπικηρυκευσ.] ἐπικηρυευσ. K 77. ἐξαιρεθῇ] ἐξενέχθῃ L
72. 82. πρὸ τῆς] πρὸς τῆς I 88. μὲν] aut delendum hoc aut praeeunte Stephano scribendum οὐ μὲν οὖν 96. ὑπερβαλεῖν] ὑπερβάλλειν F ἐν om. F 99. Θηβαῖος AL, caeteri addunt ἔτι δὲ, quae asterisco notavit Stephanus: fort. autem addendum ὁ

νων ἔτι δὲ Χαβρίας τε καὶ Ἰφικράτης οἱ Ἀθηναῖοι, πρὸς δὲ τούτοις Ἀγησίλαος ὁ Σπαρτιάτης, βραχὺ τοῖς χρόνοις προτερῶν, ἐν δὲ τοῖς πρὸ τούτου χρόνοις ἐπὶ τῶν Μηδικῶν καὶ Περσικῶν καιρῶν Σόλων καὶ Θεμιστοκλῆς καὶ Μιλτιάδης ἔτι δὲ Κίμων καὶ Μυρωνίδης καὶ Περικλῆς καί τινες ἕτεροι παρὰ τοῖς Ἀθηναίοις, κατὰ δὲ τὴν Σικελίαν Γέλων ὁ Δεινομένους καί τινες ἕτεροι. ἀλλ' ὅμως εἴ τις συγκρίναι τὰς τούτων ἀρετὰς τῇ Ἐπαμεινώνδου στρατηγίᾳ τε καὶ δόξῃ, πολὺ ἂν προέχουσαν εὕροι τὴν περὶ τὸν Ἐπαμεινώνδαν ἀρετήν. παρὰ μὲν γὰρ ἑκάστῳ τῶν ἄλλων ἓν ἂν εὕροι προτέρημα τῆς δόξης, παρὰ δὲ τούτῳ πάσας τὰς ἀρετὰς ἠθροισμένας. καὶ γὰρ ῥώμῃ σώματος καὶ λόγου δεινότητι, πρὸς δὲ τούτοις ψυχῆς λαμπρότητι καὶ μισαργυρίᾳ καὶ ἐπιεικείᾳ, καὶ τὸ μέγιστον, ἀνδρείᾳ καὶ στρατηγικῇ συνέσει πολὺ διήνεγκε πάντων. τοιγαροῦν ἡ πατρὶς αὐτοῦ ζῶντος μὲν ἐκτήσατο τὴν ἡγεμονίαν τῆς Ἑλλάδος, τελευτήσαντος δὲ ταύτης ἐστερήθη, καὶ τῆς ἐπὶ τὸ χεῖρον ἀεὶ μεταβολῆς ἐπειράθη, καὶ πέρας διὰ τὴν ἀφροσύνην τῶν ἡγουμένων ἀνδραποδισμοῦ καὶ κατασκαφῆς ἔλαβε πεῖραν. Ἐπαμεινώνδας μὲν οὖν παρὰ πᾶσι περιβόητον ἔχων τὴν ἀρετήν, τοιαύτης ἔτυχε καταστροφῆς τοῦ βίου.

89 Οἱ δ' Ἕλληνες μετὰ τὴν μάχην ἀμφισβητουμένην ἔχοντες τὴν νίκην, καὶ ταῖς ἀνδραγαθίαις ἐφάμιλλοι καθεστῶτες, ἔτι δὲ τῇ συνεχείᾳ τῶν κινδύνων καταπονούμενοι, 73 διελύσαντο πρὸς ἀλλήλους. συνθέμενοι δὲ κοινὴν εἰρήνην καὶ συμμαχίαν κατέταττον ἐν τῇ συμμαχίᾳ καὶ τοὺς Μεσσηνίους. οἱ δὲ Λακεδαιμόνιοι διὰ τὴν πρὸς τούτους ἀκατάλλακτον ἀλλοτριότητα τῶν σπονδῶν οὐ προείλοντο κοινωνεῖν διὰ τοὺς Μεσσηνίους καὶ μόνοι τῶν Ἑλλήνων ὑπῆρχον ἔκσπονδοι. τῶν δὲ συγγραφέων Ξενοφῶν μὲν ὁ Ἀθηναῖος τὴν τῶν Ἑλληνικῶν σύνταξιν εἰς τοῦτον τὸν ἐνιαυτὸν κατέστροφεν ἐπὶ τὴν Ἐπαμεινώνδου τελευτήν, Ἀναξιμένης δὲ ὁ Λαμψακηνὸς τὴν πρώτην τῶν Ἑλληνικῶν ἀνέγραψεν ἀρξάμενος ἀπὸ θεογονίας καὶ ἀπὸ τοῦ πρώτου γένους τῶν ἀνθρώπων,

100. ἔτι δὲ om. FK 1. τε καὶ] καὶ A 3. προτερῶν] πρότερον omnes 4. Μηδικῶν καὶ] Μηδικῶν τε καὶ L 7. ὁ Δεινομένους om. FIK 8. συγκρίναι AL, συγκρίνας K, caeteri συγκρίνειε 12. εὕροι] εὕροις FIL 16. ἀνδρίᾳ F 19. ἀεὶ om. F 21. κατασκαφῆς] καταστροφῆς FI

73. 34. Ἑλληνικῶν Stephanus: libri Ἑλλήνων 35. κατέστροφεν Stephanus: libri κατέστρεφεν 39. κατέστροφε] κατέστρεφε A



κατέστροφε δ' εἰς τὴν ἐν Μαντινείᾳ μάχην καὶ τὴν Ἐπαμεινώνδου τελευτήν· περιέλαβε δὲ πάσας σχεδὸν τάς τε τῶν Ἑλλήνων καὶ βαρβάρων πράξεις ἐν βίβλοις δώδεκα· Φίλιστος δὲ τὰ περὶ Διονύσιον τὸν νεώτερον ὧδε κατέστροφε, διελθὼν ἔτη πέντε ἐν βίβλοις δυσίν.

90 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Μόλωνος ἐν Ῥώμῃ κατεστάθησαν ὕπατοι Λεύκιος Γενούκιος καὶ Κόϊντος Σερουίλιος. ἐπὶ δὲ τούτων οἱ τὴν παράλιον οἰκοῦντες τῆς Ἀσίας ἀπέστησαν ἀπὸ Περσῶν, καί τινες τῶν σατραπῶν καὶ στρατηγῶν ἐπαναστάντες πόλεμον ἐξήνεγκαν πρὸς Ἀρταξέρξην. ὁμοίως δὲ τούτοις καὶ Ταχὼς ὁ βασιλεὺς τῶν Αἰγυπτίων κρίνας πολεμεῖν τοῖς Πέρσαις, ναῦς τε κατεσκεύασε καὶ πεζικὰς δυνάμεις ἤθροισε. πολλοὺς δὲ ξενολογήσας ἐκ τῶν Ἑλληνίδων πόλεων ἔπεισε καὶ Λακεδαιμονίους συμμαχεῖν· οἱ γὰρ Σπαρτιᾶται πρὸς Ἀρταξέρξην ἀλλοτρίως εἶχον διὰ τὸ τοὺς Μεσσηνίους ὁμοίως τοῖς ἄλλοις Ἕλλησιν ὑπὸ τοῦ βασιλέως εἰς τὴν κοινὴν εἰρήνην κατατετάχθαι. τηλικαύτης δὲ συνδρομῆς κατὰ τῶν Περσῶν γενομένης καὶ ὁ βασιλεὺς παρεσκευάζετο τὰ πρὸς τὸν πόλεμον. ὑπὸ γὰρ τὸν αὐτὸν καιρὸν ἔδει πρός τε τὸν τῶν Αἰγυπτίων βασιλέα πολεμεῖν καὶ πρὸς τὰς κατὰ τὴν Ἀσίαν Ἑλληνίδας πόλεις καὶ Λακεδαιμονίους καὶ τοὺς τούτων συμμάχους σατράπας καὶ στρατηγούς, τοὺς ἄρχοντας μὲν τῶν παραθαλαττίων τόπων, συντεθειμένους δὲ κοινοπραγίαν· ὧν ἦσαν ἐπιφανέστατοι Ἀριοβαρζάνης μὲν ὁ τῆς Φρυγίας σατράπης, ὃς καὶ Μιθριδάτου τελευτήσαντος τῆς τούτου βασιλείας κεκυριευκὼς ἦν, Μαυσωλὸς δὲ Καρίας δυναστεύων καὶ πολλῶν ἐρυμάτων καὶ πόλεων ἀξιολόγων κυριεύων, ὧν ἑστίαν καὶ μητρόπολιν συνέβαινεν εἶναι τὴν Ἁλικαρνασσόν, ἔχουσαν ἀκρόπολιν ἀξιόλογον καὶ τὰ τῆς Καρίας
74 βασίλεια, πρὸς δὲ τούτοις Ὀρόντης μὲν τῆς Μυσίας σατράπης, Αὐτοφραδάτης δὲ Λυδίας· τῶν δ' Ἰώνων Λύκιοί τε καὶ Πισίδαι καὶ Παμφύλιοι καὶ Κίλικες, ἔτι δὲ καὶ Σύροι καὶ Φοίνικες καὶ σχεδὸν πάντες οἱ παραθαλάττιοι. τηλικαύτης δ' οὔσης ἀποστάσεως, τὸ μὲν ἥμισυ

40. δὲ om., περιέλαβε cum τελευτήν coniungens, F 41. βαρβάρων] βαρβαρικὰς L 42. βίβλοις] βιβλίοις FI δώδεκα] δυοκαίδεκα FI τὰ] τῶν AF 43. κατέστροφε] κατέστρεφε A 44. βίβλοις] βιβλίοις I 59. γενομένης] γινομένης FIL 60. τὰ om. FK 61. τὸν om. K, τῶν AF 62. πρὸς τὰς] τὰς πρὸς AFK

74. 74. Ἰώνων] scribendum videtur ἐθνῶν 75. Πισίδαι] Πυσίδαι K 76. Σύροι] Σύριοι I 77. παραθαλάττιοι] παραθαλάσσιοι omnes hic et 87. 78. ἥμισυ FILR, caeteri addunt μέρος, asterisco notatum ab Stephano

τῶν προσόδων τῷ βασιλεῖ κατελέλυτο, τὸ δὲ λοιπὸν οὐχ ἱκανὸν ἦν εἰς τὰς τοῦ πολέμου χρείας.

91 Οἱ δ' ἀφεστηκότες τοῦ βασιλέως ἐπὶ τὴν τῶν ὅλων διοίκησιν εἵλοντο στρατηγὸν Ὀρόντην. οὗτος δὲ παραλαβὼν τὴν ἡγεμονίαν καὶ χρήματα πρὸς ξενολογίαν, δισμυρίοις στρατιώταις ἐνιαύσιον μισθόν, ἐγένετο προδότης τῶν πιστευσάντων. ὑπολαβὼν γὰρ παρὰ τοῦ βασιλέως δωρεῶν τε μεγάλων τεύξεσθαι καὶ τῆς παραθαλαττίου πάσης παραλήψεσθαι τὴν σατραπείαν, ἐὰν ἐγχειρίσῃ τοῖς Πέρσαις τοὺς ἀφεστηκότας, πρῶτον μὲν τοὺς κομίσαντας τὰ χρήματα συνέλαβε καὶ πρὸς τὸν Ἀρταξέρξην ἀπέστειλε, μετὰ δὲ ταῦτα πολλὰς τῶν πόλεων καὶ τοὺς ξενολογηθέντας στρατιώτας τοῖς ὑπὸ τοῦ βασιλέως πεμφθεῖσιν ἡγεμόσι παρέδωκεν. ὁμοίως δὲ τούτῳ καὶ κατὰ τὴν Καππαδοκίαν ἐγένετο προδοσία, καθ' ἣν ἴδιόν τι καὶ παράδοξον συνέβη γενέσθαι. Ἀρταβάζου γὰρ τοῦ βασιλέως στρατηγοῦ μετὰ πολλῆς δυνάμεως ἐμβαλόντος εἰς τὴν Καππαδοκίαν, ὁ μὲν ταύτης τῆς χώρας σατράπης Δατάμης ἀντεστρατοπέδευσεν αὐτῷ, πολλοὺς μὲν ἱππεῖς ἠθροικώς, δισμυρίους δὲ πεζοὺς μισθοφόρους ἔχων αὐτῷ συστρατεύοντας. ὁ δὲ κηδεστὴς τοῦ Δατάμου τῶν ἱππέων ἀφηγούμενος, χάριν βουλόμενος καταθέσθαι καὶ τῆς ἰδίας σωτηρίας ἅμα προνοούμενος, ἀποστὰς νυκτὸς μετὰ τῶν ἱππέων ἀπήλαυνε πρὸς τοὺς πολεμίους, συντεθειμένος πρὸς Ἀρτάβαζον τῇ πρότερον ἡμέρᾳ περὶ τῆς προδοσίας. Δατάμης δὲ παρακαλέσας τοὺς μισθοφόρους καὶ δωρεὰς ὑποσχόμενος ἀνέζευξε πρὸς τοὺς ἀφεστηκότας. καταλαβὼν δ' αὐτοὺς ἤδη συνάπτοντας τοῖς πολεμίοις, καὶ αὐτὸς προσπεσὼν ἅμα τοῖς περὶ τὸν Ἀρτάβαζον καὶ τοῖς ἱππεῦσιν ἔκτεινε τοὺς εἰς χεῖρας ἐρχομένους. ὁ δ' Ἀρτάβαζος, τὸ μὲν πρῶτον τὸ ἀληθὲς ἀγνοῶν, ὑπολαβὼν δὲ τὸν ἀποστάτην τοῦ Δατάμου παλιμπροδοσίαν ποιεῖσθαι, παρήγγειλε τοῖς ἰδίοις κτείνειν τοὺς προσιόντας ἱππεῖς. ὁ δὲ Μιθροβαρζάνης ἐν μέσοις ἀποληφθείς, καὶ τῶν μὲν ὡς προδότην

83. χρήματα] χρῆμα A 88. ἐγχειρίσῃ] ἐγχειρήσῃ A 93. πεμφθεῖσιν] ταχθεῖσι K 94. ἐγένετο — 97. Καππαδοκίαν om. A 98. Δατάμης] Δοτάμης Q semper 99. 100. πολλοὺς — συστρατεύοντας] πολλοὺς μὲν πεζοὺς ἠθροικώς. ἦν γὰρ ἔχων δισμυρίους πεζοὺς μισθοφόρους αὐτῷ συστρατεύοντας, πολλοὺς δὲ ἱππεῖς HK 100. αὐτῷ om. L 1. Δατάμου] Μιθροβαρζάνης addit Schaeferus 14. παλιμπροδοσίαν Reiskius: libri πρῶτον πάλιν προδοσίαν: πρῶτον delendum vidit Schaeferus 15. προσιόντας] προϊόντας IK



ἀμυνομένων, τῶν δὲ ὡς παλιμπροδότην τιμωρουμένων, ἐν ἀπορίᾳ καθειστήκει· τῆς δ' ἀπορίας οὐκ ἐώσης βουλεύσασθαι πρὸς ἀλκὴν ἐτρέπετο, καὶ πρὸς ἀμφοτέρους διαμαχόμενος πολὺν ἐποίει φόνον. τέλος δὲ πλειόνων ἢ μυρίων ἀναιρεθέντων, τοὺς ὑπολειφθέντας ὁ Δατάμης τρεψάμενος καὶ πολλοὺς φονεύσας ἀνεκαλέσατο τῇ σάλπιγγι τοὺς διώκοντας στρατιώτας. τῶν δ' ἱππέων τῶν ὑπολειφθέντων οἱ μὲν πρὸς τὸν Δατάμην ἀποχωρήσαντες ἠξίουν τυχεῖν συγγνώμης, οἱ δὲ λοιποὶ τὴν ἡσυχίαν ἦγον, οὐκ ἔχοντες ὅποι τράπωνται, καὶ τέλος εἰς πεντακοσίους ὄντες κυκλωθέντες ὑπὸ Δατάμου κατηκοντίσθησαν. Δατάμης μὲν οὖν καὶ πρότερον ἐπὶ στρατηγίᾳ θαυμαζόμενος πολλῷ τότε μᾶλλον ἔσχε περιβόητον τήν τε ἀνδρείαν καὶ τὴν ἐν τῷ στρατηγεῖν σύνεσιν. ὁ δὲ βασιλεὺς Ἀρταξέρξης πυθόμενος τὴν στρατηγίαν τοῦ Δατάμου, καὶ σπεύδων ἄρασθαι τοῦτον, δι' ἐπιβουλῆς αὐτὸν ἐδολοφόνησεν.

Ἅμα δὲ τούτοις πραττομένοις Ῥεωμίθρης ὑπὸ τῶν 92
ἀποστατῶν πεμφθεὶς εἰς Αἴγυπτον πρὸς Ταχὼ τὸν βασιλέα, καὶ λαβὼν ἀργυρίου μὲν τάλαντα πεντακόσια, ναῦς δὲ μακρὰς πεντήκοντα, κατέπλευσε τῆς Ἀσίας εἰς τὰς ὀνομαζομένας Λεύκας. εἰς δὲ ταύτην τὴν πόλιν μεταπεμψάμενος πολλοὺς τῶν ἀφεστηκότων ἡγεμόνας, τούτους μὲν συλλαβὼν καὶ δήσας ἀνέπεμψε πρὸς Ἀρταξέρξην, αὐτὸς δὲ ἀποστάτης γενόμενος ταῖς ἐκ τῆς προδοσίας δωρεαῖς διελύσατο τὰ πρὸς τὸν βασιλέα. κατὰ δὲ τὴν Αἴγυπτον Ταχὼς ὁ βασιλεὺς κατασκευασάμενος τὰ πρὸς τὸν πόλεμον διακοσίας μὲν τριήρεις εἶχε πολυτελῶς κεκοσμημένας, μισθοφόρους δ' ἐπιλέκτους ἐκ τῆς Ἑλλάδος μυρίους, χωρὶς δὲ τούτων πεζοὺς στρατιώτας Αἰγυπτίους ὀκτακισμυρίους. καὶ τῶν μὲν μισθοφόρων τὴν ἡγεμονίαν παρέδωκεν Ἀγησιλάῳ τῷ Σπαρτιάτῃ, ἀπεσταλμένῳ μὲν ὑπὸ Λακεδαιμονίων ἐπὶ συμμαχίαν μεθ' ὁπλιτῶν χιλίων, δυναμένῳ δ' ἡγεῖσθαι στρατιωτῶν καὶ

17. ὡς παλιμπροδότην Reiskius, ὡς πάλιν προδότην AFIKL, caeteri πάλιν ὡς προδότην 18. ἀπορίας pro alio vocabulo ex praecedente ἀπορίᾳ repetitum videtur: idem censebat Reiskius 75. 27. ἦγον] εἶχον L 30. πολλῷ τότε Reiskius: libri πολλῷ τε 31. ἀνδρείαν] ἀνδρίαν FK 36. Ῥεωμίθρης] Ῥεομίθρης vocatur Xenoph. Cyrop. VIII. 8, 5. libris nonnullis Ῥωμίθρης scribentibus: sed Ῥεομίθρης omnes infra 174. 13. 185. 78. cum Arriano I. 12. 14. II. 11. 10. III. 18. 17. ὑπὸ] ἀπὸ F 37. πρὸς] εἰς FK 46. κατασκευασάμενος FIK, caeteri addunt μὲν 53. συμμαχίαν] συμμαχίᾳ AF

δι' ἀνδρείαν καὶ στρατηγικὴν σύνεσιν τεθαυμασμένῳ. τοῦ δὲ ναυτικοῦ τὴν στρατηγίαν ἐνεχείρισε Χαβρίᾳ τῷ Ἀθηναίῳ, δημοσίᾳ μὲν ὑπὸ τῆς πατρίδος οὐκ ἀπεσταλμένῳ, ἰδίᾳ δὲ ὑπὸ τοῦ βασιλέως συστρατεύειν πεπεισμένῳ. αὐτὸς δὲ τῶν Αἰγυπτίων ἔχων [ἅπασαν] τὴν ἡγεμονίαν καὶ στρατηγὸς ὢν ἁπάσης τῆς δυνάμεως Ἀγησιλάῳ μὲν συμβουλεύσαντι μένειν ἐπὶ τῆς Αἰγύπτου καὶ διὰ τῶν στρατηγῶν τὸν πόλεμον διοικεῖν οὐ προσέσχε καλῶς συμβουλεύοντι. τῆς γὰρ δυνάμεως προελθούσης πορρωτέρω καὶ περὶ Φοινίκην καταστρατοπεδευούσης, ὁ καθεσταμένος ἐπὶ τῆς Αἰγύπτου στρατηγὸς ἀπέστη ἀπὸ τοῦ βασιλέως, διαπεμψάμενος δὲ πρὸς τὸν υἱὸν Νεκτανεβῶ, καὶ πείσας ἀντέχεσθαι τῆς ἐν Αἰγύπτῳ βασιλείας, μέγαν πόλεμον ἐξέκαυσεν. ὁ γὰρ Νεκτανεβῶς ὑπὸ τοῦ βασιλέως τεταγμένος ἡγεμὼν τῶν ἐξ Αἰγύπτου στρατιωτῶν, καὶ πεμφθεὶς ἀπὸ τῆς Φοινίκης πολιορκεῖν τὰς ἐν τῇ Συρίᾳ πόλεις, συγκάταινος γενόμενος ταῖς τοῦ πατρὸς ἐπιβολαῖς τοὺς μὲν ἡγεμόνας δωρεαῖς, τοὺς δὲ στρατιώτας ἐπαγγελίαις προτρεψάμενος, ἔπεισε συναγωνιστὰς γενέσθαι. τέλος δὲ καταληφθείσης ὑπὸ τῶν 76 ἀποστατῶν τῆς Αἰγύπτου, ὁ μὲν Ταχὼς καταπλαγεὶς ἐτόλμησε διὰ τῆς Ἀραβίας ἀναβῆναι πρὸς τὸν βασιλέα, καὶ συγγνώμην ἠξίου δοῦναι περὶ τῶν ἡμαρτημένων· ὁ δὲ Ἀρταξέρξης οὐ μόνον αὐτὸν ἀπέλυσε τῶν ἐγκλημάτων, ἀλλὰ καὶ στρατηγὸν ἀπέδειξε τοῦ πρὸς Αἰγυπτίους πολέμου.

93 Μετ' ὀλίγον δὲ ὁ μὲν βασιλεὺς τῶν Περσῶν ἐτελεύτησεν ἄρξας ἔτη τρία πρὸς τοῖς τετταράκοντα, τὴν δὲ βασιλείαν διεδέξατο Ὦχος ὁ μετονομασθεὶς Ἀρταξέρξης, καὶ ἐβασίλευσεν ἔτη τρία πρὸς τοῖς εἴκοσι. τοῦ γὰρ Ἀρταξέρξου καλῶς βεβασιλευκότος καὶ γενομένου παντελῶς εἰρηνικοῦ καὶ ἐπιτυχοῦς, τοὺς μετὰ τοῦτον βασιλεύοντας μετωνόμαζον καὶ τὴν τούτου προσηγορίαν ἔχειν προσέταττον. τοῦ δὲ βασιλέως Ταχὼ ἐπανελθόντος πρὸς τοὺς περὶ τὸν Ἀγησίλαον, Νεκτανεβὼς ἠθροικὼς στρατιώτας πλείους τῶν δέκα μυριάδων ἧκεν ἐπὶ τὸν Ταχώ, καὶ προεκαλεῖτο περὶ τῆς βασιλείας διαγωνίσασθαι. ὁ

54. ἀνδρίαν F 55. καὶ στρατηγ.] στρατηγ. A 59. ἅπασαν delet Reiskius 60. δυνάμεως FI, ἡγεμονίας γρ. F cum caeteris 67. Νεκτανεβῶ] Νεκτεναβῶ FIKQ: et sic semper 71. ἀπὸ] ἐκ A 72. συγκάταινος] συγκατάνους AHL 73. ἐπιβολαῖς] ἐπιβουλαῖς FHL

76. 76. καταληφθείσης] καταληφθεὶς A 80. αὐτὸν om. K 84. πρὸς FIK, caeteri σὺν 89. τοῦτον] τοῦ K 91. Ταχὼ] Ταχὼς H



μὲν οὖν Ἀγησίλαος ὁρῶν τὸν βασιλέα καταπεπληγμένον καὶ μὴ τολμῶντα διακινδυνεύειν, παρεκάλει θαῤῥεῖν· τῆς γὰρ νίκης τυγχάνειν οὐ τοὺς κατὰ τὸ πλῆθος προέχοντας, ἀλλὰ τοὺς κατὰ τὰς ἀνδραγαθίας πρωτεύοντας. οὐ προσέχοντος δ' αὐτοῦ συνηναγκάσθη μετ' αὐτοῦ ποιήσασθαι τὴν ἀναχώρησιν εἴς τινα πόλιν εὐμεγέθη. οἱ δ' Αἰγύπτιοι τὸ πρῶτον ἐπολιόρκουν τοὺς συγκεκλεισμένους· ἐπεὶ δὲ πολλοὺς ἐν ταῖς τειχομαχίαις ἀπέβαλον, τείχει καὶ τάφρῳ περιελάμβανον τὴν πόλιν. ταχὺ δὲ τῶν ἔργων συντελουμένων διὰ τὴν πολυχειρίαν, καὶ τῶν ἐπιτηδείων ἐξαναλωθέντων, ὁ μὲν Ταχὼς ἀπέγνω τὴν σωτηρίαν, ὁ δὲ Ἀγησίλαος παρακαλέσας τοὺς στρατιώτας, καὶ νυκτὸς ἐπιθέμενος τοῖς πολεμίοις, διέσωσεν ἅπαντας τοὺς στρατιώτας ἀνελπίστως. ἐπιδιωξάντων δὲ τῶν Αἰγυπτίων, καὶ τῶν τόπων ὄντων πεδινῶν, οἱ μὲν Αἰγύπτιοι διέλαβον τῷ πλήθει κεκυκλῶσθαι τοὺς πολεμίους καὶ πάντας ἄρδην ἀναιρήσειν· ὁ δὲ Ἀγησίλαος καταλαβόμενος τόπον ὃς εἶχεν ἐξ ἑκατέρου μέρους διώρυγα ποταμοῦ χειροποίητον ὑπέμενε τὴν τῶν πολεμίων ἔφοδον. ἐκτάξας δὲ τὴν δύναμιν οἰκείως τοῖς τόποις, καὶ τοῖς τοῦ ποταμοῦ ῥείθροις ὀχυρώσας τὴν στρατιάν, συνῆψε μάχην. τοῦ δὲ πλήθους τοῖς Αἰγυπτίοις ἀχρήστου γενομένου, ταῖς ἀρεταῖς προέχοντες οἱ Ἕλληνες πολλοὺς μὲν ἀπέκτειναν τῶν Αἰγυπτίων, τοὺς δὲ λοιποὺς φεύγειν ἠνάγκασαν. μετὰ δὲ ταῦτα ὁ μὲν Ταχὼς ῥαδίως ἀνεκτήσατο τὴν κατ' Αἴγυπτον βασιλείαν, ὁ δ' Ἀγησίλαος ὡς μόνος κατωρθωκὼς τὴν βασιλείαν ἐτιμή- 77 θη προσηκούσαις δωρεαῖς. ἐπανιὼν δὲ εἰς τὴν πατρίδα διὰ Κυρήνης ἐτελεύτησε, καὶ τοῦ σώματος ἐν μέλιτι κομισθέντος εἰς τὴν Σπάρτην ἔτυχε τῆς βασιλικῆς ταφῆς τε καὶ τιμῆς. καὶ τὰ μὲν κατὰ τὴν Ἀσίαν μέχρι τούτων προέβη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

94 Κατὰ δὲ τὴν Πελοπόννησον τοῖς Ἀρκάσι γενομένης εἰρήνης κοινῆς μετὰ τὴν ἐν Μαντινείᾳ μάχην ἐνιαυτὸν μόνον ἐμμείναντες τοῖς ὅρκοις πάλιν κατέστησαν πόλεμον. ἐν μὲν γὰρ τοῖς ὅρκοις ἦν γεγραμμένον ἑκάστους εἰς τὴν ἑαυτῶν ἀπιέναι πατρίδα μετὰ τὴν μάχην· εἰς δὲ τὴν Μεγάλην πόλιν ὑπῆρχον αἱ περιοικοῦσαι πόλεις μετῳκισμέναι καὶ δυσχερῶς φέρουσαι τὴν ἐκ τῆς πατρίδος μετάστασιν. διόπερ αὐτῶν ἐπανελθόντων εἰς

12. κεκυκλῶσθαι] κυκλώσεσθαι Stephanus 15. διώρυγα] διώρυχα F γ supra χ posito

77. 33. κατέστησαν πόλεμον ALR, caeteri κατέστησαν τὸν πόλεμον: κατέστησαν εἰς τὸν πόλεμον Wesselingius, κατεστήσαντο π. Reiskius

τὰς προγεγενημένας πόλεις οἱ Μεγαλοπολῖται συνηνάγκαζον ἐκλιπεῖν τὰς πατρίδας. διὰ δὲ ταύτην τὴν αἰτίαν γενομένης διαφορᾶς, οἱ μὲν ἐκ τῶν πολισμάτων ἠξίουν αὐτοῖς βοηθεῖν Μαντινεῖς καὶ τῶν ἄλλων Ἀρκάδων, ἔτι δὲ Ἠλείους καὶ τοὺς ἄλλους τοὺς μετεσχηκότας τοῖς Μαντινεῦσι συμμαχίας· οἱ δὲ Μεγαλοπολῖται τοὺς Ἀθηναίους παρεκάλουν συμμαχεῖν. οἷς ἀπέστειλαν συντόμως ὁπλίτας μὲν τριςχιλίους, ἱππεῖς δὲ τριακοσίους, ὧν τὴν στρατηγίαν εἶχε Παμμένης. οὗτος δὲ παρελθὼν εἰς Μεγάλην πόλιν, καὶ τῶν πολισμάτων ἃ μὲν ἐκπορθήσας ἃ δὲ καταπληξάμενος, συνηνάγκασεν εἰς τὴν Μεγάλην πόλιν μετοικῆσαι. καὶ τὰ μὲν περὶ τὸν συνοικισμὸν τῶν πόλεων ἐπὶ τοσοῦτο ταραχῆς ἐλθόντα ἔτυχεν ἐνδεχομένης καταστολῆς. τῶν δὲ συγγραφέων Ἀθάνας ὁ Συρακόσιος τῶν περὶ Δίωνα πράξεων ἐντεῦθεν ἀρξάμενος ἔγραψε μὲν βίβλους τριςκαίδεκα, προςανέλαβε δὲ τὸν ἄγραφον χρόνον ἐτῶν ἑπτὰ ἀπὸ τῆς Φιλίστου συντάξεως ἐν μιᾷ βίβλῳ, καὶ διελθὼν τὰς πράξεις ἐν κεφαλαίοις συνεχῆ τὴν ἱστορίαν ἐποίησεν.

95 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Νικοφήμου τὴν ὑπατικὴν ἀρχὴν ἐν Ῥώμῃ διέλαβε Γάϊος Σουλπίκιος καὶ Γάϊος Λικίνιος. ἐπὶ δὲ τούτων Ἀλέξανδρος μὲν ὁ Φερῶν τύραννος λῃστρίδας ναῦς ἐκπέμψας ἐπὶ τὰς Κυκλάδας νήσους, τινὰς μὲν ἐκπολιορκήσας πολλῶν σωμάτων ἐκυρίευσεν, εἰς δὲ τὴν Πεπάρηθον ἀποβιβάσας μισθοφόρους στρατιώτας ἐπολιόρκει τὴν πόλιν. Ἀθηναίων δὲ βοηθησάντων τοῖς Πεπαρηθίοις, καὶ στρατηγὸν Λεωσθένην ἀπολιπόντων, ἐπέθετο τοῖς Ἀθηναίοις· ἐτύγχανον δ' οὗτοι παραφυλάττοντες τοὺς ἐν τῷ Πανόρμῳ διατρίβοντας τῶν Ἀλεξάνδρου στρατιωτῶν. ἀπροςδοκήτως δὲ ἐπιθεμένων τῶν τοῦ δυνάστου παράδοξος εὐημερία περὶ 78 τὸν Ἀλέξανδρον ἐγένετο. οὐ μόνον γὰρ τοὺς ἀπεσταλμένους ἐν τῷ Πανόρμῳ διέσωσεν ἐκ τῶν μεγίστων κινδύνων, ἀλλὰ καὶ τριήρεις μὲν Ἀττικὰς πέντε, μίαν δὲ Πεπαρηθίαν εἷλε, καὶ σωμάτων ἐκυρίευσεν ἑξακοσίων. οἱ δ' Ἀθηναῖοι παροξυνθέντες τοῦ μὲν Λεωσθένους ὡς προδότου θάνατον κατέγνωσαν καὶ τὴν οὐσίαν ἐδήμευσαν, ἑλόμενοι δὲ στρατηγὸν Χάρητα καὶ ναυτικὴν δύναμιν δόντες ἐξέπεμψαν. οὗτος δὲ τοὺς μὲν πολεμίους εὐλαβούμενος, τοὺς δὲ συμμάχους ἀδικῶν διετέλει. καταπλεύσας γὰρ εἰς Κέρκυραν συμμαχίδα πόλιν στάσεις ἐν αὐτῇ μεγάλας ἐκίνησεν, ἐξ ὧν συνέπεσε γενέσθαι σφαγὰς πολλὰς καὶ ἁρπαγάς, δι' ἃς συνέβη τὸν δῆμον τῶν Ἀθηναίων διαβληθῆναι παρὰ τοῖς συμμάχοις. ὁ μὲν οὖν Χάρης καὶ ἕτερα τοιαῦτα παρανομῶν ἀγαθὸν μὲν οὐδὲν διεπράξατο, τῇ δὲ πατρίδι διαβολάς. τῶν δὲ συγγραφέων Διονυσόδωρος καὶ Ἄναξις οἱ Βοιωτοὶ τὴν τῶν Ἑλληνικῶν ἱστορίαν εἰς τοῦτον τὸν ἐνιαυτὸν κατεστρόφασι τὰς συντάξεις. ἡμεῖς δὲ τὰς πρὸ Φιλίππου τοῦ βασιλέως πράξεις διεληλυθότες ταύτην μὲν τὴν βίβλον κατὰ τὴν ἐν ἀρχῇ πρόθεσιν αὐτοῦ περιγράφομεν, τὴν δ' ἐχομένην ἀπὸ τῆς Φιλίππου παραλήψεως τῆς βασιλείας ἀρξάμενοι πάσας διέξιμεν τὰς τοῦ βασιλέως τούτου πράξεις μέχρι τῆς τελευτῆς, συμπεριλαμβάνοντες καὶ τὰς ἄλλας τὰς γενομένας ἐν τοῖς γνωριζομένοις μέρεσι τῆς οἰκουμένης.

43. καὶ τῶν ἄλλων Ἀρκάδων] καὶ τοὺς ἄλλους Ἀρκάδας Reiskius: possis etiam μετὰ καὶ τῶν vel μετὰ τῶν: sed deesse quid videtur 51. μετοικίσαι F 54. Συρακόσιος R 57. ἑπτὰ] ἕ Reiskius 63. Λικίνιος I, caeteri Λικίννιος 64. Φερῶν] Φεῤῥῶν K 78. 76. ἀλλὰ καὶ] ἀλλὰ AK 77. Πεπαρηθίαν] Πεπαρηθίων K 79. κατέγνωσαν] κατεδίκασαν L



86. ἁρπαγὰς] διαρπαγὰς L 89. μὲν] μὲν οὖν A 90. Διονυσόδωρος] Διονυσιόδωρος libri 91. τὴν τῶν Ἑλληνικῶν ἱστορίαν] τῶν Ἑλληνικῶν ἱστοριῶν Reiskius: v. ad I. p. 731. 16. 94. αὐτοῦ servarunt AHIKLR 96. περιγράφομεν Wesselingius: libri παραγράφομεν, in quo vocabulo desinunt AK: nam de R falso idem tradere Wesselingium monitum praefat. ad vol. I. p. II. p. VII. 99. γενομένας] γεγενημένας IL

## ΤΑΔΕ ΕΝΕΣΤΙΝ 79

# ΕΝ ΤΗΙ ΕΚΚΑΙΔΕΚΑΤΗΙ

## ΤΩΝ ΔΙΟΔΩΡΟΥ ΒΙΒΛΩΝ.

α'. Ὡς Φίλιππος ὁ Ἀμύντου παρέλαβε τὴν τῶν Μακεδόνων βασιλείαν.

β'. Ὡς Ἀργαῖον ἀντιποιούμενον τῆς βασιλείας ἐνίκησεν.

γ'. Ὡς Ἰλλυριοὺς καὶ Παίονας καταπολεμήσας ἐκτήσατο τὴν προγονικὴν ἀρχήν.

δ'. Περὶ τῆς ἀνανδρίας τοῦ νεωτέρου Διονυσίου καὶ τῆς Δίωνος φυγῆς.

ε'. Κτίσις Ταυρομενίου κατὰ τὴν Σικελίαν.

ς'. Τὰ πραχθέντα κατὰ τὴν Εὔβοιαν καὶ κατὰ τὸν συμμαχικὸν πόλεμον.

ζ'. Πολιορκία Ἀμφιπόλεως ὑπὸ Φιλίππου καὶ ἅλωσις.

η'. Ὡς Φίλιππος τοὺς Πυδναίους ἐξανδραποδισάμενος τὰ χρύσεια μέταλλα κατεσκεύασεν.

θ'. Ὡς Δίων ἐλευθερώσας τοὺς Συρακουσίους Διονύσιον κατεπολέμησεν.

ι'. Ὡς ἐκπεσὼν ἐκ τῆς πατρίδος πάλιν ἀνεκτήσατο τὰς Συρακούσας.

ια'. Κατάλυσις τοῦ συμμαχικοῦ πολέμου.

ιβ'. Συνδρομὴ τριῶν βασιλέων ἐπὶ Φίλιππον.

79. inscr. τάδε — βίβλων] τάδε ἔνεστιν ἐν τῷ πίνακι τῆς ις' βίβλου L duabus scripturis πίναξ τῆς ις' βίβλου et τάδε ἔ. ἐν τῇ ις' βίβλῳ in unam confusis, ἔλεγχος, τάδε ἔνεστιν ἐν τῇ ις' Διοδώρου Σικελιώτου βίβλῳ Bas. 1. ὁ om. Bas. 5. καταπολεμήσας] καταπολεμησάμενος L 7. ἀνανδρίας] ἀνδρίας L, ἀνανδρείας Bas. 14. κατὰ τὸν] τὸν L 19. χρύσεια Bas., caeteri χρυσία 9. ὡς Δίων — 12. Συρακούσας ponebantur post 8. φυγῆς: transposui cum Cospo 21. τριῶν] τῶν Bas.



ιγ'. Ὡς Φιλόμηλος ὁ Φωκεὺς τοὺς Δελφοὺς καὶ τὸ μαντεῖον καταλαβόμενος τὸν ἱερὸν πόλεμον ἐξέκαυσε.

ιδ'. Περὶ τῆς ἐξ ἀρχῆς εὑρέσεως τοῦ μαντείου.

ιε'. Φιλομήλου τοῦ Φωκέως ἧττα καὶ θάνατος.

ις'. Ὀνομάρχου παράληψις τῆς ἀρχῆς καὶ παρασκευὴ πρὸς πόλεμον.

ιζ'. Ὡς Βοιωτοὶ Ἀρταβάζῳ βοηθήσαντες ἐνίκησαν τοὺς βασιλέως σατράπας.

ιη'. Ὡς Ἀθηναῖοι Χεῤῥονήσου κρατήσαντες κατεκληρούχησαν αὐτήν.

ιθ'. Ὡς Φίλιππος Μεθώνην ἑλὼν κατέσκαψεν.

κ'. Ὡς Φίλιππος Φωκεῖς νικήσας ἐξέβαλεν ἐκ τῆς Θετταλίας.

κα'. Ὡς Ὀνόμαρχος ὁ Φωκεὺς Φίλιππον δυσὶ μάχαις νικήσας εἰς τοὺς ἐσχάτους κινδύνους ἤγαγεν.

κβ'. Ὡς Ὀνόμαρχος Βοιωτοὺς νικήσας Κορώνειαν εἷλεν.

80 κγ'. Ὡς Ὀνόμαρχος ἐν Θετταλίᾳ παραταξάμενος πρὸς Φίλιππον καὶ Θετταλοὺς ἡττήθη.

κδ'. Ὡς αὐτὸς μὲν ἐκρεμάσθη, οἱ δ' ἄλλοι κατεποντίσθησαν ὡς ἱερόσυλοι.

κε'. Ὡς Φάϋλλος διαδεξάμενος τὴν ἀρχὴν πολλὰ τῶν ἀργυρῶν καὶ χρυσῶν ἀναθημάτων κατέκοψεν.

κς'. Ὡς τὰς μισθοφορίας ἀναβιβάσας ἤθροισε μισθοφόρων πλῆθος.

κζ'. Ὡς τεταπεινωμένα τὰ τῶν Φωκέων πράγματα διωρθώσατο.

κη'. Ὡς χρήμασι διαφθείρων τὰς πόλεις καὶ τοὺς προεστηκότας αὐταῖς πολλοὺς προςελάβετο συμμάχους.

κθ'. Ὡς οἱ τῶν Φεραίων τύραννοι παραδόντες Φιλίππῳ τὰς Φερὰς Φωκέων ἐγένοντο σύμμαχοι.

λ'. Μάχη Φωκέων πρὸς Βοιωτοὺς περὶ Ὀρχομενὸν καὶ ἧττα Φωκέων.

λα'. Ἄλλαι μάχαι τοῖς αὐτοῖς παρὰ τὸν Κηφισὸν καὶ Κορώνειαν καὶ νίκη Βοιωτῶν.

λβ'. Ὡς Φάϋλλος στρατεύσας εἰς τὴν Λοκρίδα πολλὰς πόλεις ἐχειρώσατο.

λγ'. Ὡς Φάϋλλος νόσῳ περιπεσὼν φθινάδι τὸν βίον ἐπιπόνως κατέστρεψεν.

λδ'. Ὡς Φάλαικος διαδεξάμενος τὴν ἀρχὴν καὶ ἀγεννῶς διοικῶν τὸν πόλεμον ἐξέπεσεν.

λε'. Ὡς οἱ κατὰ τὴν Πελοπόννησον ἐστασίασαν.

22. τοὺς om. Bas. 36. δυσὶ μάχαις om. Cospus 80. 42. αὐτὸς μὲν] αὐτὸς Bas. 44. πολλὰ — 45. κατέκοψεν ὡς omisit Cospus: nec dicitur hoc cap. 36. initio: sed potuit argumenti scriptor sumere ex p. 125. seq. 54. Φέρας Bas. 57. Κηφισὸν Bas., Cospus, caeteri Κηφισσὸν

λϛ'. Ὡς Ἀρταξέρξης ὁ ἐπικληθεὶς Ὦχος ἀνεκτήσατο Αἴγυπτον καὶ Φοινίκην καὶ Κύπρον.

λζ'. Ὡς Φίλιππος τὰς Χαλκιδικὰς πόλεις προσαγαγόμενος τὴν ἐπισημοτάτην πόλιν κατέσκαψε.

λη'. Ζήτησις τῶν ἀναλωθέντων ἱερῶν χρημάτων καὶ κόλασις τῶν νοσφισαμένων.

λθ'. Ὡς οἱ καταφυγόντες εἰς τὸ ἱερὸν τοῦ Ἀπόλλωνος Φωκεῖς, ὄντες πεντακόσιοι, παραδόξως ἅπαντες ὑπὸ πυρὸς διεφθάρησαν.

μ'. Ὡς ὁ Φωκικὸς πόλεμος κατελύθη.

μα'. Ὡς οἱ μετασχόντες τῆς ἱεροσυλίας τοῖς Φωκεῦσιν ἅπαντες ὑπὸ θείας τινὸς ἐνεργείας ἐκολάσθησαν.

μβ'. Τιμολέοντος κατάπλους εἰς Σικελίαν καὶ αἱ πράξεις αὐτοῦ μέχρι τῆς τελευτῆς.

μγ'. Περίνθου καὶ Βυζαντίου πολιορκία ὑπὸ Φιλίππου.

μδ'. Φιλίππου παράταξις πρὸς Ἀθηναίους ἐν Χαιρωνείᾳ καὶ ἧττα τῶν Ἀθηναίων.

με'. Ὡς οἱ Ἕλληνες αὐτοκράτορα στρατηγὸν εἵλοντο Φίλιππον.

μϛ'. Ὡς Φίλιππος μέλλων διαβαίνειν εἰς τὴν Ἀσίαν ἀνῃρέθη.

75. κατελύθη] διελύθη Bas. 81. Περίνθου — Φιλίππου om. Cospus 83. Χαιρωνείᾳ] Χερωνείᾳ Bas. 84. τῶν Ἀθηναίων] Ἀθηναίων L 87. τέλος addit Bas.

---

# ΔΙΟΔΩΡΟΥ ΤΟΥ ΣΙΚΕΛΙΩΤΟΥ

# ΒΙΒΛΙΟΘΗΚΗΣ ΙΣΤΟΡΙΚΗΣ

## ΒΙΒΛΟΣ ΕΚΚΑΙΔΕΚΑΤΗ.

Ἐν πάσαις μὲν ταῖς ἱστορικαῖς πραγματείαις καθήκει 1 τοὺς συγγραφεῖς περιλαμβάνειν ἐν ταῖς βίβλοις ἢ πόλεων ἢ βασιλέων πράξεις αὐτοτελεῖς ἀπ' ἀρχῆς μέχρι τοῦ τέλους· οὕτω γὰρ μάλιστα διαλαμβάνομεν τὴν ἱστορίαν εὐμνημόνευτον καὶ σαφῆ γενέσθαι τοῖς ἀναγινώσκουσιν. αἱ μὲν γὰρ ἡμιτελεῖς πράξεις οὐκ ἔχουσαι συνεχὲς ταῖς ἀρχαῖς τὸ πέρας μεσολαβοῦσι τὴν ἐπιθυμίαν τῶν φιλαναγνωστούντων, αἱ δὲ τὸ τῆς διηγήσεως συνεχὲς περιλαμβάνουσαι μέχρι τῆς τελευτῆς ἀπηρτισμένην τὴν τῶν πράξεων ἔχουσιν ἀπαγγελίαν. ὅταν δ' ἡ φύσις αὐτὴ τῶν πραχθέντων συνεργῇ τοῖς συγγραφεῦσι, τότ' ἤδη παντελῶς οὐκ ἀποστατέον ταύτης τῆς προαιρέσεως. διόπερ καὶ ἡμεῖς παρόντες ἐπὶ τὰς Φιλίππου τοῦ Ἀμύντου πράξεις πειρασόμεθα τούτῳ τῷ βασιλεῖ τὰ πραχθέντα περιλαβεῖν ἐν ταύτῃ τῇ βίβλῳ. οὗτος γὰρ εἴκοσι μὲν καὶ τέτταρα ἔτη τῶν Μακεδόνων ἐβασίλευσεν, ἐλαχίσταις δὲ ἀφορμαῖς χρησάμενος μεγίστην τῶν κατὰ τὴν Εὐρώπην δυναστειῶν κατεσκεύασε τὴν ἰδίαν βασιλείαν, καὶ παραλαβὼν τὴν Μακεδονίαν δουλεύουσαν Ἰλλυριοῖς, πολλῶν καὶ μεγάλων ἐθνῶν καὶ πόλεων κυρίαν ἐποίησε. διὰ δὲ τὴν ἰδίαν ἀρετὴν τῆς μὲν Ἑλλάδος ἁπάσης παρέλαβε τὴν ἡγεμονίαν, ἑκουσίως τῶν πόλεων ὑποταττομένων, τοὺς δὲ τὸ ἐν Δελφοῖς ἱερὸν συλήσαντας καταπολεμήσας καὶ τῷ μαντείῳ βοηθήσας μετέσχε τοῦ συνεδρίου τῶν Ἀμφικτυόνων, καὶ διὰ τὴν εἰς τοὺς

81. inscr. om. LY, Δ. Σικελιώτου ἱστοριῶν T, Δ. τοῦ Σ. βιβλίον ῑϛ Bas. 1. πάσαις μὲν] πάσαις T Bas. 6. τοῦ τέλους] τέλους Bas. οὕτω] οὕτως TY Bas. 14. δ' F Bas., caeteri δὲ 30. τοὺς om. Bas.

θεοὺς εὐσέβειαν ἔπαθλον ἔλαβε τὰς ψήφους τῶν κρατηθέντων Φωκέων. Ἰλλυριοὺς δὲ καὶ Παίονας καὶ Θρᾷκας καὶ Σκύθας καὶ πάντα τὰ πλησιόχωρα τούτοις ἔθνη καταπολεμήσας, τὴν Περσῶν βασιλείαν ἐπεβάλετο καταλῦσαι· καὶ δυνάμεις μὲν εἰς τὴν Ἀσίαν διαβιβάσὰς τὰς Ἑλληνίδας πόλεις ἠλευθέρου, μεσολαβηθεὶς δ' ὑπὸ τῆς πεπρωμένης τηλικαύτας καὶ τοιαύτας δυνάμεις ἀπέλιπεν ὥςτε τὸν υἱὸν Ἀλέξανδρον μὴ προςδεηθῆναι συμμάχων εἰς τὴν κατάλυσιν τῆς Περσῶν ἡγεμονίας. καὶ 82
ταῦτ' ἔπραξεν οὐ διὰ τύχην ἀλλὰ διὰ τὴν ἰδίαν ἀρετήν· γέγονε γὰρ ὁ βασιλεὺς οὗτος ἀγχινοίᾳ στρατηγικῇ καὶ ἀνδρείᾳ καὶ λαμπρότητι ψυχῆς διαφέρων. ἵνα δὲ μὴ διὰ τοῦ προοιμίου προλαμβάνωμεν αὐτοῦ τὰς πράξεις, ἐπὶ τὸ συνεχὲς τῆς ἱστορίας πορευσόμεθα βραχέα τοῖς χρόνοις προςαναδραμόντες.

2 Ἐπ' ἄρχοντος γὰρ Ἀθήνησι Καλλιμήδους Ὀλυμπιὰς μὲν ἤχθη πέμπτη πρὸς ταῖς ἑκατόν, καθ' ἣν ἐνίκα στάδιον Πῶρος Κυρηναῖος, Ῥωμαῖοι δὲ κατέστησαν ὑπάτους Γναῖον Γενύκιον καὶ Λεύκιον Αἰμίλιον. ἐπὶ δὲ τούτων Φίλιππος ὁ Ἀμύντου υἱός, Ἀλεξάνδρου δὲ τοῦ Πέρσας καταπολεμήσαντος πατήρ, παρέλαβε τὴν τῶν Μακεδόνων βασιλείαν διὰ τοιαύτας αἰτίας. Ἀμύντου καταπολεμηθέντος ὑπὸ Ἰλλυριῶν, καὶ φόρους τοῖς κρατήσασι τελεῖν ἀναγκασθέντος, οἱ μὲν Ἰλλυριοὶ λαβόντες εἰς ὁμηρείαν Φίλιππον τὸν νεώτατον τῶν υἱῶν παρέθεντο τοῖς Θηβαίοις. οὗτοι δὲ τῷ Ἐπαμεινώνδου πατρὶ παρέθεντο τὸν νεανίσκον, καὶ προςέταξαν ἅμα τηρεῖν ἐπιμελῶς τὴν παρακαταθήκην καὶ προστατεῖν τῆς ἀγωγῆς καὶ παιδείας. τοῦ δ' Ἐπαμεινώνδου Πυθαγόρειον ἔχοντος φιλόσοφον ἐπιστάτην, συντρεφόμενος ὁ Φίλιππος μετέσχεν ἐπὶ πλεῖον τῶν Πυθαγορείων λόγων. ἀμφοτέρων δὲ τῶν μαθητῶν προςενεγκαμένων φύσιν τε καὶ φιλοπονίαν, ὑπῆρξαν ἑκάτεροι διαφέροντες ἀρετῇ. ὧν Ἐπαμεινώνδας μὲν μεγάλους ἀγῶνας καὶ κινδύνους ὑπομείνας τῇ πατρίδι παραδόξως τὴν ἡγεμονίαν τῆς Ἑλλάδος περιέθηκεν, ὁ δὲ Φίλιππος, ταῖς αὐταῖς ἀφορμαῖς χρησάμενος, οὐκ ἀπελείφθη τῆς Ἐπαμεινώνδου δόξης. μετὰ γὰρ τὴν Ἀμύντου τελευτὴν Ἀλέξανδρος ὁ πρεσβύτατος τῶν υἱῶν διεδέξατο τὴν ἀρχήν. τοῦτον δὲ Πτο-

31. Ἰλλυρίους Bas. 36. μεσολαβηθεὶς δ' FT Bas., caeteri μεσολαβηθεὶς δὲ 82. 41. στρατηγικῇ καὶ] καὶ στρατηγικῇ Q ἀνδρίᾳ F 45. πορευσόμεθα] πορευσώμεθα FL 47. ἐπ' ἄρχοντος] ἐπάρχοντος Bas. saepius 50. Γναῖον] Γάϊον Q



λεμαῖος ὁ Ἀλωρίτης δολοφονήσας παρέλαβε τὴν βασιλείαν· καὶ τοῦτον ὁμοίως Περδίκκας ἐπανελόμενος ἐβασίλευσε. τούτου δὲ παρατάξει μεγάλῃ λειφθέντος ὑπὸ Ἰλλυριῶν καὶ πεσόντος ἐπὶ τῆς χρείας, Φίλιππος ὁ ἀδελφὸς διαδρὰς ἐκ τῆς ὁμηρείας παρέλαβε τὴν βασιλείαν κακῶς διακειμένην. ἀνῄρηντο μὲν γὰρ ἐν τῇ παρατάξει
83 Μακεδόνων πλείους τῶν τετρακιςχιλίων, οἱ δὲ λοιποὶ καταπεπληγμένοι τὰς τῶν Ἰλλυριῶν δυνάμεις περίφοβοι καθειστήκεισαν καὶ πρὸς τὸ διαπολεμεῖν ἀθύμως εἶχον. ὑπὸ δὲ τὸν αὐτὸν καιρὸν Παίονες μὲν πλησίον τῆς Μακεδονίας οἰκοῦντες ἐπόρθουν τὴν χώραν, καταφρονοῦντες τῶν Μακεδόνων, Ἰλλυριοὶ δὲ μεγάλας δυνάμεις ἤθροιζον καὶ στρατεύειν εἰς τὴν Μακεδονίαν παρεσκευάζοντο, Παυσανίας δέ τις τῆς βασιλικῆς συγγενείας κοινωνῶν ἐπεβάλλετο διὰ τοῦ Θρᾳκῶν βασιλέως ἐπὶ τὴν Μακεδονικὴν βασιλείαν κατιέναι· ὁμοίως δὲ καὶ Ἀθηναῖοι πρὸς Φίλιππον ἀλλοτρίως ἔχοντες κατῆγον ἐπὶ τὴν βασιλείαν Ἀργαῖον, καὶ στρατηγὸν ἀπεστάλκεισαν Μαντίαν ἔχοντα τριςχιλίους μὲν ὁπλίτας, ναυτικὴν δὲ δύναμιν ἀξιόλογον.

3 Οἱ δὲ Μακεδόνες διά τε τὴν ἐν τῇ μάχῃ συμφορὰν καὶ διὰ τὸ μέγεθος τῶν ἐπιφερομένων κινδύνων ἐν ἀπορίᾳ τῇ μεγίστῃ καθειστήκεισαν. ἀλλ' ὅμως τηλικούτων φόβων καὶ κινδύνων ἐφεστώτων ὁ Φίλιππος οὐ κατεπλάγη τὸ μέγεθος τῶν προςδοκωμένων δεινῶν, ἀλλὰ τοὺς Μακεδόνας ἐν συνεχέσιν ἐκκλησίαις συνέχων καὶ τῇ τοῦ λόγου δεινότητι προτρεπόμενος ἐπὶ τὴν ἀνδρείαν εὐθαρσεῖς ἐποίησε· τὰς δὲ στρατιωτικὰς τάξεις ἐπὶ τὸ κρεῖττον διορθωσάμενος, καὶ τοὺς ἄνδρας τοῖς πολεμικοῖς ὅπλοις δεόντως κοσμήσας, συνεχεῖς ἐξοπλισίας καὶ γυμνασίας ἐναγωνίους ἐποιεῖτο. ἐπενόησε δὲ καὶ τὴν τῆς φάλαγγος πυκνότητα καὶ κατασκευήν, μιμησάμενος τὸν ἐν Τροίᾳ τῶν ἡρώων συνασπισμόν, καὶ πρῶτος συνεστήσατο τὴν Μακεδονικὴν φάλαγγα. ἐν δὲ ταῖς ὁμιλίαις προςηνὴς ἦν, καὶ διά τε τῶν δωρεῶν καὶ τῶν ἐπαγγελιῶν εἰς τὴν μεγίστην εὔνοιαν τὰ πλήθη προήγετο. πρός τε τὸ πλῆθος τῶν ἐπιφερομένων κινδύνων εὐστόχως ἀντεμηχανᾶτο. θεωρῶν γὰρ τοὺς Ἀθηναίους

80. τῶν om. F 83. 82. καθειστήκεισαν FY Bas., caeteri καθεστήκεισαν 86. δυνάμεις ἤθροιζον] invertit F 88. ἐπεβάλλετο Bas., caeteri ἐπεβάλετο 93. ναυτικὸν Bas. 5. ἐξοπλισίας] ἐξοπλασίας TY Bas. et ι suprascripto F, ἐξιππασίας Q: post id μὲν om. Bas. 11. προήγετο FLY Bas., caeteri προςήγετο 12. πρός τε] malim πρὸς δὲ

ὑπὲρ τοῦ τὴν Ἀμφίπολιν ἀνακτήσασθαι τὴν πᾶσαν φιλοτιμίαν εἰςφερομένους, καὶ διὰ τοῦτο κατάγοντας τὸν Ἀργαῖον ἐπὶ τὴν βασιλείαν, ἑκουσίως ἐξεχώρησε τῆς πόλεως, ἀφεὶς αὐτὴν αὐτόνομον. πρὸς δὲ Παίονας διαπρεσβευσάμενος, καὶ τοὺς μὲν δωρεαῖς διαφθείρας, τοὺς δ᾿ ἐπαγγελίαις φιλανθρώποις πείσας, κατὰ τὸ παρὸν εἰρήνην ἄγειν πρὸς αὐτοὺς συνέθετο. ὁμοίως δὲ καὶ τὸν Παυσανίαν ἀπέστησε τῆς καθόδου, τὸν κατάγειν μέλλοντα 84 βασιλέα δωρεαῖς πείσας. Μαντίας δ᾿ ὁ τῶν Ἀθηναίων στρατηγὸς καταπλεύσας εἰς Μεθώνην, αὐτὸς μὲν ἐνταῦθα κατέμεινε, τὸν Ἀργαῖον δὲ μετὰ τῶν μισθοφόρων ἐπὶ τὰς Αἰγὰς ἀπέστειλεν. οὗτος δὲ προςελθὼν τῇ πόλει παρεκάλει τοὺς ἐν ταῖς Αἰγαῖς προςδέξασθαι τὴν κάθοδον καὶ γενέσθαι τῆς αὐτοῦ βασιλείας ἀρχηγούς. οὐδενὸς δ᾿ αὐτῷ προςέχοντος οὗτος μὲν ἀνέκαμπτεν εἰς τὴν Μεθώνην· ὁ δὲ Φίλιππος ἐπιφανεὶς μετὰ στρατιωτῶν καὶ συνάψας μάχην πολλοὺς μὲν ἀνεῖλε τῶν μισθοφόρων, τοὺς δὲ λοιποὺς εἴς τινα λόφον καταφυγόντας ὑποσπόνδους ἀφῆκε, λαβὼν παρ᾿ αὐτῶν ἐκδότους τοὺς φυγάδας. Φίλιππος μὲν οὖν ταύτην πρώτην μάχην νικήσας εὐθαρσεστέρους ἐποίησε τοὺς Μακεδόνας πρὸς τοὺς ἐφεξῆς ἀγῶνας. ἅμα δὲ τούτοις πραττομένοις Θάσιοι μὲν ᾤκισαν τὰς ὀνομαζομένας Κρηνίδας, ἃς ὕστερον ὁ βασιλεὺς ἀφ᾿ ἑαυτοῦ ὀνομάσας Φιλίππους ἐπλήρωσεν οἰκητόρων. τῶν δὲ συγγραφέων Θεόπομπος ὁ Χῖος τὴν ἀρχὴν τῶν περὶ Φίλιππον ἱστοριῶν ἐντεῦθεν ποιησάμενος γέγραφε βίβλους ὀκτὼ πρὸς ταῖς πεντήκοντα, ἐξ ὧν πέντε διαφωνοῦσιν.

4 Ἐπ᾿ ἄρχοντος δ᾿ Ἀθήνησιν Εὐχαρίστου Ῥωμαῖοι μὲν κατέστησαν ὑπάτους Κόϊντον Σερουίλιον καὶ Λεύκιον Γενούκιον. ἐπὶ δὲ τούτων ὁ Φίλιππος πρέσβεις ἐκπέμψας εἰς Ἀθήνας ἔπεισε τὸν δῆμον εἰρήνην πρὸς αὐτὸν συνθέσθαι διὰ τὸ μηδὲν ἔτι προςποιεῖσθαι τὴν Ἀμφίπολιν. ἀπολυθεὶς δὲ τοῦ πρὸς Ἀθηναίους πολέμου, καὶ πυνθανόμενος τὸν βασιλέα τῶν Παιόνων Ἄγιν τετελευτηκέναι, ὑπέλαβε καιρὸν ἔχειν ἐπιθέσθαι τοῖς Παίοσι. στρατεύσας οὖν εἰς τὴν Παιονίαν, καὶ παρατάξει τοὺς

21. αὐτοὺς] αὐτὸν Reiskius: *ut pacem secum pro tempore firmarent* Cospus
84. 23. δ᾿ Bas., caeteri δὲ 24. Μεθώνην] τὴν Μεθώνην L vel Y 29. δ᾿ F Bas., caeteri δὲ 38. ᾤκισαν FL Bas., Gemistus, caeteri ᾤκησαν 39. Κρηνίδας L Bas., Cospus, Gemistus, caeteri Κρινίδας ὁ βασιλεὺς] Φίλιππος addit Gemistus 41. ὁ] μὲν ὁ F 46. Λεύκιον Q, caeteri Κόϊντον



βαρβάρους νικήσας, ἠνάγκασε τὸ ἔθνος πειθαρχεῖν τοῖς Μακεδόσιν. ὑπολειπομένων δὲ πολεμίων τῶν Ἰλλυριῶν, ἐφιλοτιμεῖτο καὶ τούτους καταπολεμῆσαι. εὐθὺς οὖν συναγαγὼν ἐκκλησίαν καὶ τοὺς στρατιώτας οἰκείοις λόγοις προτρεψάμενος εἰς τὸν πόλεμον, ἐστράτευσεν εἰς τὴν τῶν Ἰλλυριῶν χώραν, πεζοὺς μὲν ἔχων οὐκ ἐλάττους μυρίων, ἱππεῖς δὲ ἑξακοσίους. Βάρδυλις δ᾿ ὁ τῶν Ἰλλυριῶν βασιλεὺς πυθόμενος τὴν παρουσίαν τῶν πολεμίων, τὸ μὲν πρῶτον πρέσβεις ἀπέστειλε περὶ διαλύσεως, ἐφ᾿ ὅτῳ κυρίους ἀμφοτέρους εἶναι τῶν τότε κυριευομένων πόλεων. τοῦ δὲ Φιλίππου φήσαντος ἐπιθυμεῖν μὲν τῆς εἰρήνης, μὴ μέντοι γε ταύτην συγχωρήσειν, ἐὰν μὴ τῶν Μακεδονικῶν πόλεων ἁπασῶν ἐκχωρήσωσιν οἱ Ἰλλυριοί, οἱ μὲν πρέσβεις ἐπανῆλθον ἄπρακτοι, ὁ δὲ Βάρδυλις πιστεύων ταῖς τε προγεγενημέναις νίκαις καὶ ταῖς 85 τῶν Ἰλλυριῶν ἀνδραγαθίαις, ἀπήντα τοῖς πολεμίοις μετὰ τῆς δυνάμεως· εἶχε δὲ πεζοὺς μὲν μυρίους ἐπιλέκτους, ἱππεῖς δὲ εἰς πεντακοσίους. ὡς δ᾿ ἤγγιζον ἀλλήλοις τὰ στρατεύματα, καὶ μετὰ βοῆς πολλῆς συνέρραξαν εἰς τὴν μάχην, ὁ μὲν Φίλιππος ἔχων τὸ δεξιὸν κέρας καὶ τοὺς ἀρίστους Μακεδόνων συναγωνιζομένους, τοῖς μὲν ἱππεῦσι παρήγγειλε παριππεῦσαι καὶ πλαγίοις ἐμβαλεῖν τοῖς βαρβάροις, αὐτὸς δὲ κατὰ στόμα τοῖς πολεμίοις ἐπιπεσὼν καρτερὰν συνεστήσατο μάχην. οἱ δ᾿ Ἰλλυριοὶ συντάξαντες ἑαυτοὺς εἰς πλινθίον ἐρρωμένως συνεστήσαντο τὸν κίνδυνον, καὶ τὸ μὲν πρῶτον ἐπὶ πολὺν χρόνον ἦν ἰσόρροπος ἡ μάχη διὰ τὴν ὑπερβολὴν τῆς παρ᾿ ἀμφοτέροις ἀνδραγαθίας, καὶ πολλῶν μὲν ἀναιρουμένων, ἔτι δὲ πλειόνων τιτρωσκομένων, ὁ κίνδυνος δεῦρο κἀκεῖσε τὰς ῥοπὰς ἐλάμβανε, ταλαντευόμενος ἀεὶ ταῖς τῶν ἀγωνιζομένων ἀρεταῖς· μετὰ δὲ ταῦτα τῶν ἱππέων ἐκ πλαγίου καὶ κατὰ νώτου βιαζομένων, τοῦ δὲ Φιλίππου μετὰ τῶν ἀρίστων ἡρωικῶς ἀγωνισαμένου, συνηναγκάσθη τὸ πλῆθος τῶν Ἰλλυριῶν πρὸς φυγὴν ὁρμῆσαι. γενομένης δὲ τῆς διώξεως ἐπὶ πολὺν τόπον, καὶ πολλῶν κατὰ τὴν φυγὴν ἀναιρεθέντων, ὁ μὲν Φίλιππος ἀνακαλεσάμενος τῇ σάλπιγγι τοὺς Μακεδόνας καὶ στήσας τρόπαιον ἔθαψε τῶν ἰδίων τοὺς τετελευτηκότας· οἱ δ᾿ Ἰλλυριοὶ διαπρε-

59. τὴν τῶν Ἰλλυριῶν χώραν] τῶν Ἰλλυριῶν τὴν χώραν FL
61. 69. Βάρδυλις] Βάρδυλλις Bas. et Cospus 68. οἱ Ἰλλυριοί] Ἰλλυριοί FT
85. 72. τῆς δυνάμεως] δυνάμεως Bas. 77. παριππεῦσαι] περιιππεῦσαι Reiskius 81. συνεστήσαντο] ὑπεστήσαντο Wesselingius

σβευσάμενοι, καὶ τῶν Μακεδονικῶν πόλεων πασῶν ἐκχωρήσαντες, ἔτυχον τῆς εἰρήνης. ἀνῃρέθησαν δὲ τῶν Ἰλλυριῶν ἐν ταύτῃ τῇ μάχῃ πλείους τῶν ἑπτακισχιλίων.

5 Ἡμεῖς δ' ἐπεὶ τὰ κατὰ τὴν Μακεδονικὴν καὶ τὴν Ἰλλυρίδα διήλθομεν, μεταβησόμεθα πρὸς τὰς ἑτερογενεῖς πράξεις. κατὰ γὰρ τὴν Σικελίαν Διονύσιος ὁ τῶν Συρακοσίων τύραννος ὁ νεώτερος, παρειληφὼς μὲν τὴν δυναστείαν ἐν τοῖς ἀνωτέρω καιροῖς, ἄπρακτος δὲ ὢν καὶ πολὺ τοῦ πατρὸς καταδεέστερος, προσεποιεῖτο διὰ τὴν ἀπραγίαν εἰρηνικὸς εἶναι καὶ πρᾶος τὸν τρόπον. διόπερ πρὸς Καρχηδονίους διαδεδεγμένος τὸν πόλεμον πρός τε τούτους εἰρήνην συνέθετο, καὶ πρὸς Λευκανοὺς ὁμοίως διαπολεμήσας ἀργῶς ἐπί τινα χρόνον, καὶ ταῖς τελευταίαις μάχαις ἐπὶ τοῦ προτερήματος γενόμενος, ἀσμένως πρὸς αὐτοὺς κατελύσατο τὸν πόλεμον. κατὰ δὲ τὴν Ἀπουλίαν δύο πόλεις ἔκτισε, βουλόμενος ἀσφαλῆ τοῖς πλέουσι τὸν Ἰόνιον πόρον ποιῆσαι· οἱ γὰρ τὴν παραθαλαττίαν οἰκοῦντες βάρβαροι λῃστρίσι πολλαῖς πλέοντες ἄπλουν τοῖς ἐμπόροις παρεσκεύαζον πᾶσαν τὴν περὶ τὸν Ἀδρίαν θάλατταν. μετὰ δὲ ταῦτα δοὺς ἑαυτὸν εἰς βίον εἰρηνικὸν ἐξέλυσε μὲν τῶν στρατιωτῶν τὰς ἐν τοῖς πολέμοις γυμνασίας, μεγίστην δὲ τῶν κατὰ τὴν Εὐρώ- 86 πην δυναστείαν παραλαβὼν τὴν ἀρχὴν καὶ τὴν ὑπὸ τοῦ πατρὸς λεγομένην ἀδάμαντι δεδέσθαι τυραννίδα διὰ τὴν ἰδίαν ἀνανδρίαν παραδόξως ἀπέβαλε. τὰς δὲ αἰτίας τῆς καταλύσεως καὶ τὰς κατὰ μέρος πράξεις ἀναγράφειν

6 πειρασόμεθα. ἐπ' ἄρχοντος γὰρ Ἀθήνησι Κηφισοδότου Ῥωμαῖοι κατέστησαν ὑπάτους Γάϊον Λικίνιον καὶ Γάϊον Σουλπίκιον. ἐπὶ δὲ τούτων Δίων ὁ Ἱππαρίνου, Συρακοσίων ὑπάρχων ἐπιφανέστατος, ἔφυγεν ἐκ τῆς Σικελίας, καὶ διὰ τὴν λαμπρότητα τῆς ψυχῆς ἠλευθέρωσε Συρακοσίους καὶ τοὺς ἄλλους Σικελιώτας διὰ τοιαύτας τινὰς αἰτίας. ὁ πρεσβύτερος Διονύσιος ἐκ δυοῖν γυναικῶν ἦν πεπαιδοποιημένος, ἐκ μὲν τῆς πρώτης Λοκρίδος οὔσης τὸ γένος Διονύσιον τὸν διαδεξάμενον τὴν τυραννίδα, ἐκ δὲ τῆς δευτέρας Ἱππαρίνου θυγατρὸς οὔσης, εὐδοκιμωτάτου Συρακοσίων, δύο παῖδας, Ἱππαρῖνον καὶ Ναρσαῖον. ἐτύγχανε δὲ τῆς δευτέρας γυναικὸς ἀδελφὸς

98. ἐν om. F 3. Συρακοσίων Bas. 14. Ἰόνιον] Ἰώνιον Bas. 17. πᾶσαν] πᾶσι F

86. 21. δυναστείαν TY Bas., caeteri δυναστειῶν 26. Κηφισοδότου] verum est Κηφισοδώρου: vide annotationem 27. Λικίνιον F, caeteri Λικίννιον 28. ὁ om. Bas. Συρακοσίων Bas. 31. Συρακοσίους Bas. 33. δυοῖν FL Bas., caeteri δυεῖν 37. Ναρσαῖον] verum est Νυσαῖον: vide annotationem



ὢν Δίων, ἀνὴρ ἐν φιλοσοφίᾳ μεγάλην ἔχων προκοπὴν καὶ κατ' ἀνδρείαν καὶ στρατηγίαν πολὺ προέχων τῶν κατ' αὐτὸν Συρακοσίων. οὗτος δὲ διὰ τὴν εὐγένειαν καὶ τὴν λαμπρότητα τῆς ψυχῆς εἰς ὑποψίαν ἦλθε τῷ τυράννῳ, δόξας ἀξιόχρεως εἶναι καταλῦσαι τὴν τυραννίδα. φοβούμενος οὖν αὐτὸν ὁ Διονύσιος, ἔκρινεν ἐκποδὼν ποιήσασθαι τὸν ἄνδρα συλλαβὼν ἐπὶ θανάτῳ. ὁ δὲ Δίων αἰσθόμενος τὸ μὲν πρῶτον ἐκρύφθη παρά τισι τῶν φίλων, μετὰ δὲ ταῦτα ἔφυγεν ἐκ τῆς Σικελίας εἰς Πελοπόννησον, ἔχων μεθ' ἑαυτοῦ τὸν ἀδελφὸν Μεγακλῆν καὶ Ἡρακλείδην τὸν ἐπὶ τῶν στρατιωτῶν τεταγμένον ὑπὸ τοῦ τυράννου. καταπλεύσας δ' εἰς τὴν Κόρινθον τοὺς μὲν Κορινθίους ἠξίου συνεπιλαβέσθαι τῆς ἐλευθερίας τῶν Συρακοσίων, αὐτὸς δὲ μισθοφόρους συνῆγε καὶ πανοπλίας συνήθροιζε. ταχὺ δὲ πολλῶν ὑπακουόντων πανοπλίας τε παρεσκευάσατο καὶ μισθοφόρους συχνούς, καὶ φορτηγοὺς δύο ναῦς μισθωσάμενος τά τε ὅπλα καὶ τοὺς μισθοφόρους ἐνθέμενος, αὐτὸς μὲν ταύτας τὰς φορτίδας ἔχων ἐξέπλευσεν ἐκ Ζακύνθου τῆς πρὸς Κεφαλληνίαν εἰς τὴν Σικελίαν, Ἡρακλείδην δὲ ἀπέλιπε τριήρεις τινὰς καὶ ἑτέρας φορτηγοὺς ἄξοντα κατόπιν εἰς τὰς Συρακούσας.

Ἅμα δὲ τούτοις πραττομένοις Ἀνδρόμαχος ὁ Ταυ- 7 ρομενίτης, Τιμαίου μὲν τοῦ τὰς ἱστορίας συγγράψαντος πατὴρ ὤν, πλούτῳ δὲ καὶ ψυχῆς λαμπρότητι διαφέρων, ἤθροισε τοὺς ἐκ τῆς Νάξου τῆς κατασκαφείσης ὑπὸ Διονυσίου περιλειφθέντας. οἰκίσας δὲ τὸν ὑπὲρ τῆς Νάξου λόφον τὸν ὀνομαζόμενον Ταῦρον, καὶ μείνας κατ' αὐ- 87 τὸν πλείω χρόνον, ἀπὸ τῆς ἐπὶ τοῦ Ταύρου μονῆς ὠνόμασε Ταυρομένιον. ταχὺ δὲ τῆς πόλεως ἐπίδοσιν λαμβανούσης, οἱ μὲν οἰκήτορες μεγάλους περιεποιήσαντο πλούτους, ἡ δὲ πόλις ἀξιόλογον ἀξίωμα περιποιησαμένη τὸ τελευταῖον ἐν τῷ καθ' ἡμᾶς βίῳ Καίσαρος ἀναστήσαντος τοὺς Ταυρομενίτας ἐκ τῆς πατρίδος Ῥωμαίων ἀποικίαν ἐδέξατο. ἅμα δὲ τούτοις πραττομένοις οἱ τὴν Εὔβοιαν κατοικοῦντες ἐστασίασαν πρὸς ἀλλήλους, καὶ τῶν

41. 52. Συρακοσίων Bas. 40. ἀνδρίαν F saepius 49. 60. Ἡρακλείδην Simsonus: libri Χαρικλείδην: v. ad p. 94. 26. 50. τεταγμένον] ἐπιτεταγμένον Q Bas. 55. πανοπλίαις Y παρεσκευάσατο] παρεσκευάζετο L Bas. 58. φορτίδας] φροντίδας K 60. Ἡρακλείδην] Χαρικλείδη FLY, caeteri Χαρικλείδην ἀπέλιπε (-εν L)] FLQ, ἔπεμπε Y, caeteri ἀπέπεμπε 66. οἰκίσας Rhodomannus: libri οἰκήσας

87. 69. Ταυρομένιον] Ταυρομένειον omnes 70. λαμβανούσης] λαβούσης Q

μὲν τοὺς Βοιωτοὺς τῶν δὲ τοὺς Ἀθηναίους ἐπικαλεσαμένων, συνέστη πόλεμος κατὰ τὴν Εὔβοιαν. γενομένων δὲ πλειόνων συμπλοκῶν καὶ ἀκροβολισμῶν, ὁτὲ μὲν οἱ Θηβαῖοι ἐπροτέρουν, ὁτὲ δ' οἱ Ἀθηναῖοι τὴν νίκην ἀπεφέροντο. μεγάλη μὲν οὖν παράταξις οὐδεμία συνετελέσθη· τῆς δὲ νήσου διὰ τὸν ἐμφύλιον πόλεμον καταφθαρείσης, καὶ πολλῶν ἀνθρώπων παρ' ἀμφοτέρων διαφθαρέντων, μόγις ταῖς συμφοραῖς νουθετηθέντες εἰς ὁμόνοιαν ἦλθον καὶ τὴν εἰρήνην συνέθεντο πρὸς ἀλλήλους. οἱ μὲν οὖν Βοιωτοὶ τὴν εἰς οἶκον ἐπάνοδον ποιησάμενοι τὴν ἡσυχίαν ἦγον. οἱ δ' Ἀθηναῖοι, Χίων καὶ Ῥοδίων καὶ Κῴων ἔτι δὲ Βυζαντίων ἀποστάντων, ἐνέπεσον εἰς πόλεμον τὸν ὀνομασθέντα συμμαχικόν, ὃς διέμεινεν ἔτη τρία. ἑλόμενοι δὲ στρατηγοὺς Χάρητα καὶ Χαβρίαν ἀπέστειλαν μετὰ δυνάμεως. οὗτοι δὲ πλεύσαντες ἐπὶ τὴν Χίον κατέλαβον παραγεγονότας συμμάχους τοῖς Χίοις παρὰ Βυζαντίων καὶ Ῥοδίων καὶ Κῴων, ἔτι δὲ Μαυσώλου τοῦ Καρῶν δυνάστου. ἐκτάξαντες δὲ τὴν δύναμιν ἐπολιόρκουν τὴν πόλιν κατὰ γῆν ἅμα καὶ κατὰ θάλατταν. ὁ μὲν οὖν Χάρης τοῦ πεζοῦ στρατεύματος ἡγούμενος κατὰ γῆν προσήει τοῖς τείχεσι, καὶ πρὸς τοὺς τῆς πόλεως ἐκχυθέντας ἐπ' αὐτὸν διηγωνίζετο· ὁ δὲ Χαβρίας προσπλεύσας τῷ λιμένι ναυμαχίαν καρτερὰν συνεστήσατο, καὶ τῆς νεὼς τοῖς ἐμβόλοις ἀναῤῥαγείσης κατεπονεῖτο. οἱ μὲν οὖν ἐπὶ τῶν ἄλλων νεῶν εἴξαντες τῷ καιρῷ διεσώθησαν, ὁ δ' ἀντὶ τῆς ἥττης ἀλλαξάμενος τὸν εὐκλεᾶ θάνατον ἀγωνιζόμενος ὑπὲρ τῆς νεὼς καὶ τρωθεὶς ἐτελεύτησε.

8 Περὶ δὲ τοὺς αὐτοὺς καιροὺς Φίλιππος ὁ τῶν Μακεδόνων βασιλεὺς μεγάλῃ παρατάξει νενικηκὼς τοὺς Ἰλλυριοὺς καὶ πάντας τοὺς μέχρι τῆς Λυχνίτιδος καλουμένης λίμνης κατοικοῦντας ὑπηκόους πεποιημένος, ἀνέκαμψεν εἰς τὴν Μακεδονίαν, συντεθειμένος ἔνδοξον εἰρήνην πρὸς τοὺς Ἰλλυριούς, περιβόητός τε ὑπάρχων παρὰ τοῖς Μακεδόσιν ἐπὶ τοῖς δι' ἀνδρείαν κατωρθωμένοις. μετὰ δὲ ταῦτα τῶν τὴν Ἀμφίπολιν οἰκούντων ἀλλοτρίως πρὸς αὐτὸν διατεθέντων καὶ πολλὰς ἀφορμὰς δόντων εἰς πόλεμον, ἐστράτευσεν ἐπ' αὐτοὺς ἀξιολόγῳ 88
δυνάμει. προσαγαγὼν δὲ τοῖς τείχεσι μηχανάς, καὶ πολιορκίας ἐνεργοὺς καὶ συνεχεῖς ποιησάμενος, κατέβαλε μὲν

80. ἐπροτέρουν Bas., caeteri προετέρουν 81. δὲ οἱ] δ' F Bas. ἀμφοτέρων] v. ad p. 350. 53. 98. προσήει] προσήκει Y 100. αὐτὸν] αὐτοὺς L et suprascripto ὸν F
8. τοὺς Ἰλλυριοὺς om. F et nescio qui Wesselingii 12. περιβόητός τε] τε om. FT Bas.



τοῖς κριοῖς μέρος τι τοῦ τείχους, παρεισελθὼν δ' εἰς τὴν πόλιν διὰ τοῦ πτώματος καὶ τῶν ἀντιστάντων πολλοὺς καταβαλών, ἐκυρίευσε τῆς πόλεως· καὶ τοὺς μὲν ἀλλοτρίως πρὸς αὐτὸν διακειμένους ἐφυγάδευσε, τοῖς δ' ἄλλοις φιλανθρώπως προσηνέχθη. ἡ δὲ πόλις αὕτη κειμένη κατὰ τῆς Θρᾴκης καὶ τῶν σύνεγγυς τόπων εὐφυῶς, πολλὰ συνεβάλετο τῷ Φιλίππῳ πρὸς αὔξησιν. εὐθὺς γὰρ τὴν μὲν Πύδναν ἐχειρώσατο, πρὸς δὲ Ὀλυνθίους συμμαχίαν ἔθετο, καὶ Ποτίδαιαν ὡμολόγησε περιποιήσειν αὐτοῖς, ὑπὲρ ἧς Ὀλύνθιοι πολλὴν σπουδὴν ἔσχον κυριεῦσαι τῆς πόλεως. τῶν δ' Ὀλυνθίων βαρεῖαν πόλιν οἰκούντων, καὶ διὰ τὸ πλῆθος τῶν ταύτην ἐνοικούντων πολλὴν ἐχόντων ῥοπὴν εἰς τὸν πόλεμον, περιμάχητος ἦν ἡ πόλις τοῖς ἡγεμονίας μείζονος ὀρεγομένοις. διόπερ οἵ τε Ἀθηναῖοι καὶ ὁ Φίλιππος διεφιλοτιμοῦντο πρὸς ἀλλήλους περὶ τῆς τῶν Ὀλυνθίων συμμαχίας. οὐ μὴν ἀλλ' ὁ Φίλιππος Ποτίδαιαν ἐκπολιορκήσας, τὴν μὲν τῶν Ἀθηναίων φρουρὰν ἐξήγαγεν ἐκ τῆς πόλεως, καὶ φιλανθρώπως αὐτῇ προσενεγκάμενος ἐξαπέστειλεν εἰς τὰς Ἀθήνας· σφόδρα γὰρ εὐλαβεῖτο τὸν δῆμον τῶν Ἀθηναίων διὰ τὸ βάρος καὶ τὸ ἀξίωμα τῆς πόλεως· τὴν δὲ πόλιν ἐξανδραποδισάμενος παρέδωκε τοῖς Ὀλυνθίοις, δωρησάμενος ἅμα καὶ τὰς κατὰ τὴν χώραν κτήσεις. μετὰ δὲ ταῦτα παρελθὼν ἐπὶ πόλιν Κρηνίδας, ταύτην μὲν ἐπαυξήσας οἰκητόρων πλήθει μετωνόμασε Φιλίππους, ἀφ' ἑαυτοῦ προσαγορεύσας· τὰ δὲ κατὰ τὴν χώραν χρύσεια μέταλλα παντελῶς ὄντα λιτὰ καὶ ἄδοξα ταῖς κατασκευαῖς ἐπὶ τοσοῦτον ηὔξησεν ὥστε δύνασθαι φέρειν αὐτῷ πρόσοδον πλεῖον ἢ ταλάντων χιλίων. ἐκ δὲ τούτων ταχὺ σωρεύσας πλοῦτον, ἀεὶ μᾶλλον διὰ τὴν εὐπορίαν τῶν χρημάτων εἰς ὑπεροχὴν μεγάλην ἤγαγε τὴν Μακεδονικὴν βασιλείαν· νόμισμα γὰρ χρυσοῦν κόψας τὸ προσαγορευθὲν ἀπ' ἐκείνου Φιλίππειον μισθοφόρων τε δύναμιν ἀξιόλογον συνεστήσατο καὶ τῶν Ἑλλήνων πολλοὺς διὰ τούτου προετρέψατο προδότας γενέσθαι τῶν πατρίδων. ἀλλὰ περὶ μὲν τούτων αἱ κατὰ μέρος πράξεις ἕκαστα δηλώσουσιν. ἡμεῖς δ' ἐπὶ τὰς συνεχεῖς πράξεις μεταβιβάσομεν τὸν λόγον.

88. 27. εὐθὺς] εὐθὺ T Bas. 37. μὲν τῶν] invertit Bas. 42. πόλιν Wesselingius ex Gemisto: libri Πύδναν 48. χρύσεια] χρύσεα Q 52. αἰεὶ F 54. χρυσοῦν] χρυσοῦ FY Bas. 55. τὸ asterisco notavit Stephanus Φιλίππειον] Φιλίππιον I 57. τούτου] τούτων FQTY Bas. προσετρέψατο F 60. δ' F, caeteri δὲ μεταβιβάσομεν] μεταβιβάσωμεν FY Bas.

9 Ἐπ' ἄρχοντος γὰρ Ἀθήνησιν Ἀγαθοκλέους Ῥωμαῖοι κατέστησαν ὑπάτους Μάρκον Φάβιον καὶ Γάϊον Ποιτήλιον. ἐπὶ δὲ τούτων Δίων ὁ Ἱππαρίνου κατέπλευσεν 8
εἰς τὴν Σικελίαν καταλύσων τὴν Διονυσίου τυραννίδα. ἐλαχίσταις δὲ τῶν πρὸ αὐτοῦ πάντων χρησάμενος ἀφορμαῖς μεγίστην δυναστείαν τῶν κατὰ τὴν Εὐρώπην κατέλυσεν ἀνελπίστως. τίς γὰρ ἂν πιστεύσειεν ὅτι δυσὶ φορτηγοῖς ναυσὶ καταπλεύσας περιεγένετο δυνάστου ναῦς μὲν μακρὰς ἔχοντος τετρακοσίας, στρατιώτας δὲ πεζοὺς μὲν εἰς δέκα μυριάδας, ἱππεῖς δὲ μυρίους, ὅπλων δὲ καὶ σίτου καὶ χρημάτων τοσαύτην παρασκευὴν ὅσην εἰκὸς ἦν κεκτῆσθαι τὸν μέλλοντα χορηγήσειν δαψιλῶς ταῖς προειρημέναις δυνάμεσι, χωρὶς δὲ τῶν εἰρημένων πόλιν μὲν ἔχοντα μεγίστην τῶν Ἑλληνίδων, λιμένας δὲ καὶ νεώρια καὶ κατεσκευασμένας ἀκροπόλεις ἀναλώτους, ἔτι δὲ συμμάχων δυνατῶν ἔχοντα πλῆθος; αἰτία δ' ὑπῆρχε τῷ Δίωνι τῶν προτερημάτων μάλιστα μὲν ἡ ἰδία λαμπρότης τῆς ψυχῆς καὶ ἀνδρεία καὶ ἡ τῶν ἐλευθεροῦσθαι μελλόντων εὔνοια, τὸ δὲ τούτων ἁπάντων μεῖζον, ἥ τε ἀνανδρία τοῦ τυράννου καὶ τὸ τῶν ἀρχομένων πρὸς αὐτὸν μῖσος. πάντα γὰρ ταῦτα πρὸς ἕνα καιρὸν συνδραμόντα παραδόξως τὰς ἀπιστουμένας πράξεις πρὸς τέλος ἤγαγεν. ἡμεῖς δ' ἀφέμενοι τούτων τῶν λόγων ἐπὶ τὴν ἀναγραφὴν τῶν κατὰ μέρος πεπραγμένων τρεψόμεθα. Δίων γὰρ ἐκ Ζακύνθου τῆς πρὸς Κεφαλληνίαν δυσὶ φορτίσι ναυσὶν ἀναχθεὶς κατέπλευσε τῆς Ἀκραγαντίνης εἰς τὴν ὀνομαζομένην Μινῴαν. αὕτη δὲ τὸ μὲν παλαιὸν ὑπὸ Μίνωος ἐκτίσθη τοῦ βασιλέως Κρητῶν, καθ' ὃν καιρὸν ζητῶν Δαίδαλον ἐπεξενώθη Κωκάλῳ τῷ βασιλεῖ τῶν Σικανῶν· κατὰ δὲ τοὺς ὑποκειμένους καιροὺς ἡ μὲν πόλις αὕτη τοῖς Καρχηδονίοις ὑπήκουεν, ὁ δ' ἐπιστάτης αὐτῆς, ὄνομα Πάραλος, φίλος ὢν Δίωνος, προθύμως ὑπεδέξατο αὐτόν. ὁ δὲ Δίων ἐξελόμενος ἐκ τῶν φορτηγῶν πανοπλίας πεντακισχιλίας τῷ Παράλῳ παρέδωκε, καὶ παρεκάλεσεν αὐτὸν ἁμάξαις παρακομίσαι πρὸς

64. *Ποιτήλιον* Rhodomannus, ut citat Pighius, *Πετίλιον* Q Cospus, caeteri *Πόπλιον*

89. 70. *τετρακοσίας*] *quingentas* Cospus: vide annotationem 71. *στρατιώτας δὲ πεζοὺς*] *πεζοὺς δὲ στρατιώτας* FL Bas., haec quidem omisso *μὲν* 73. *ἦν*] *ἐστὶ* Q 87. *τρεψόμεθα*] *τρεψώμεθα* FL 88. *Ζακύνθου*] *Ζακίνθου* Bas. *Κεφαληνίας* F 90. *Μινῴαν*] *Μίνωαν* omnes 95. *ὑπήκουσεν* omnes: correxi ex Gemisto *δ'* F 96. 98. *Πάραλος*] *Σύναλος* est non solum Plutarcho sed etiam Gemisto 97. *αὐτόν*] *αὐτούς* Q Bas.



τὰς Συρακούσας· αὐτὸς δὲ τοὺς μισθοφόρους παραλαβών, ὄντας χιλίους, προῆγεν ἐπὶ τὰς Συρακούσας. ἐν παρόδῳ δὲ τούς τε Ἀκραγαντίνους καὶ Γελῴους καί τινας τῶν τὴν μεσόγειον οἰκούντων Σικανῶν τε καὶ Σικελῶν, ἔτι δὲ Καμαριναίους πείσας συνελευθερῶσαι τοὺς Συρακοσίους, προῆγεν ἐπὶ τὴν κατάλυσιν τοῦ τυράννου. πολλῶν δὲ πάντοθεν συῤῥυέντων μετὰ τῶν ὅπλων ταχὺ πλείους τῶν δισμυρίων στρατιωτῶν ἠθροίσθησαν. οὐδὲν δ' ἧττον καὶ πολλοὶ τῶν ἐκ τῆς Ἰταλίας Ἑλλήνων καὶ Μεσσηνίων μετεπέμφθησαν, καὶ πάντες σὺν πολλῇ προθυμίᾳ κατὰ σπουδὴν ἧκον. ὡς δ' ἐπὶ τοὺς ὅρους τῆς 10
90 Συρακοσίας ὁ Δίων ἦν, ἀπήντα πρὸς αὐτὸν πλῆθος ἀνόπλων ἀνθρώπων ἔκ τε τῆς χώρας καὶ τῆς πόλεως· ἀπίστως γὰρ διακείμενος ὁ Διονύσιος πρὸς τοὺς Συρακοσίους πολλῶν τὰ ὅπλα παρῄρητο. κατὰ δὲ τοῦτον τὸν καιρὸν ὁ μὲν τύραννος περὶ τὰς νεοκτίστους πόλεις κατὰ τὸν Ἀδρίαν διέτριβε μετὰ πολλῶν δυνάμεων. οἱ δ' ἐπὶ τῆς φυλακῆς τῶν Συρακουσῶν ἀπολειφθέντες ἡγεμόνες τὸ μὲν πρῶτον ἐπειρῶντο μετακαλεῖσθαι τοὺς Συρακοσίους ἀπὸ τῆς ἀποστάσεως· ἀκατασχέτου δὲ τῆς ὁρμῆς τῶν ὄχλων οὔσης, ἐπιγνόντες τοὺς μισθοφόρους καὶ τοὺς τὰ τοῦ δυνάστου φρονοῦντας ἤθροισαν, καὶ τὰς τάξεις πληρώσαντες τοῖς ἀφεστηκόσιν ἐπιθέσθαι διέγνωσαν. Δίων δὲ τοῖς μὲν ἀνόπλοις τῶν Συρακοσίων διέδωκε τὰς πεντακισχιλίας πανοπλίας, τοὺς δὲ ἄλλους ἐκ τῶν δυνατῶν τοῖς παρατυχοῦσιν ὅπλοις συνεσκεύασε. συναγαγὼν δ' ἅπαντας εἰς κοινὴν ἐκκλησίαν ἀπεφαίνετο μὲν ἑαυτὸν ἥκειν ἐπὶ τὴν ἐλευθέρωσιν τῶν Σικελιωτῶν, παρεκάλει δὲ στρατηγοὺς αἱρεῖσθαι τοὺς εὐθέτους πρὸς τὴν ἀποκατάστασιν τῆς αὐτονομίας καὶ τὴν κατάλυσιν τῆς ὅλης τυραννίδος. τὸ δὲ πλῆθος ὥσπερ ἀπὸ μιᾶς φωνῆς ἀνεβόησε στρατηγοὺς αἱρεῖσθαι τόν τε Δίωνα καὶ τὸν ἀδελφὸν αὐτοῦ Μεγακλῆν αὐτοκράτορας. εὐθὺς οὖν ἀπὸ τῆς ἐκκλησίας ἐκτάξας τὴν δύναμιν προσῆγε τῇ πόλει. οὐδενὸς δ' ἀντιποιουμένου τῶν ὑπαίθρων, ἀδεῶς εἰσῆλθεν ἐντὸς τοῦ τείχους, καὶ διὰ τῆς Ἀχραδινῆς πορευθεὶς εἰς τὴν ἀγορὰν κατεστρατοπέδευσεν, οὐδενὸς τολμῶντος ἐπεξιέναι. ὁ δὲ σύμπας ἀριθμὸς ἦν τῶν μετὰ

4. post *Καμαριναίους* delevi *καὶ Μαδιναίους* cum Gemisto et Cluverio 8. *οὐδὲν δ'*] *οὐδὲν* Bas. 12. *Συρακοσίας* Bas.

90. 16. *παρῄρητο* Gemistus: libri *παρηρεῖτο*: *ademerat* Cospus 17. *πόλεις κατὰ*] *πόλεις περὶ* FLQ 21. *ἀποστάσεως*] *ὑποστάσεως* Bas. 26. *Συρακοσίων* Bas. 36. *προσῆγε*] *προῆγε* Bas.

Δίωνος στρατιωτῶν οὐκ ἐλάττους τῶν πεντακιςμυρίων. οὗτοι δὲ πάντες ἐστεφανωμένοι κατῆλθον εἰς τὴν πόλιν προηγουμένου τοῦ τε Δίωνος καὶ τοῦ Μεγακλέους καὶ μετὰ τούτων τριάκοντα Συρακοσίων, οἳ μόνοι τῶν κατὰ τὴν Πελοπόννησον φυγάδων Συρακοσίοις μετασχεῖν τῶν κινδύνων ἠθέλησαν.

11 Τῆς δὲ πόλεως πάσης μετημφιασμένης ἀντὶ τῆς δουλείας τὴν ἐλευθερίαν, καὶ τὸ σκυθρωπὸν τῆς τυραννίδος εἰς πανηγυρικὴν ἱλαρότητα τῆς τύχης ἀγούσης, πᾶσα οἰκία θυσιῶν καὶ χαρᾶς ἔγεμε, τῶν ἰδιωτῶν ἐπὶ ταῖς ἰδίαις ἑστίαις θυμιώντων, καὶ περὶ μὲν τῶν παρόντων ἀγαθῶν εὐχαριστούντων τοῖς θεοῖς, περὶ δὲ τῶν μελλόντων εὐχὰς ἀγαθὰς ποιουμένων· ἐγένετο δὲ καὶ τῶν γυναικῶν ἐπὶ ταῖς ἀνελπίστοις εὐημερίαις ὀλολυγμὸς πολὺς καὶ κατὰ πᾶσαν τὴν πόλιν συνδρομαί. οὐδεὶς δ' ἦν ἐλεύθερος, οὐ δοῦλος, οὐ ξένος, ὃς οὐκ ἔσπευδεν ἰδεῖν τὸν Δίωνα, καὶ τὴν ἀρετὴν τἀνδρὸς πάντες ἀπεδέχοντο μειζόνως ἢ κατ' ἄνθρωπον. καὶ τοῦτ' εὐλόγως ἔπασχον διὰ τὸ μέγεθος καὶ παράδοξον τῆς μεταβολῆς. πεντηκονταέτους γὰρ δουλείας πεπειραμένοι, καὶ τῆς ἐλευθερίας διὰ τὸν χρόνον ἐπιλελησμένοι, δι' ἑνὸς ἀνδρὸς ἀρετὴν ἀπελύθησαν τῆς συμφορᾶς. Διονύσιος δὲ 91 κατὰ τούτους τοὺς καιροὺς αὐτὸς μὲν ἔτυχε διατρίβων περὶ Καυλωνίαν τῆς Ἰταλίας, Φίλιστον δὲ τὸν στρατηγὸν περὶ τὸν Ἀδρίαν ὄντα μετεπέμψατο μετὰ τῆς ναυτικῆς δυνάμεως, καὶ προςέταξε πλεῖν εἰς τὰς Συρακούσας. ἀμφοτέρων δ' εἰς τὸν αὐτὸν τόπον ἐλθεῖν σπευδόντων, ὁ μὲν Διονύσιος ἧκεν εἰς τὰς Συρακούσας ἡμέραις ὕστερον ἑπτὰ τῆς Δίωνος καθόδου. εὐθὺς οὖν καταστρατηγῆσαι βουλόμενος τοὺς Συρακοσίους περὶ διαλύσεως ἐπρεσβεύετο, καὶ πολλὰς ἐμφάσεις ἐδίδου παραδώσειν τὴν τυραννίδα τῷ δήμῳ, καὶ τῆς δημοκρατίας ἀλλάξεσθαι τιμὰς ἀξιολόγους· ἠξίου τε πρέσβεις ἀποστεῖλαι πρὸς αὐτόν, μεθ' ὧν συνεδρεύσας καταλύσηται τὸν πόλεμον. οἱ μὲν οὖν Συρακόσιοι μετεωρισθέντες ταῖς ἐλπίσιν, ἐξαπέστειλαν πρέσβεις τοὺς ἀξιολογωτάτους τῶν

41. πεντακιςμυρίων] vide annotationem 46. Συρακουσίοις] Συρακουσίων Reiskius: *qui soli e numero eorum, qui in Peloponneso exulabant Syracusis, ausi sunt fortunae cum Dione se exponere* Cospus 59. πάντες Reiskius: libri πάντες δ' ἀπεδέχοντο] ἀπέχοντο Bas. 62. libri πεντηκονταετοῦς 63. διὰ τὸν χρόνον om. Bas., asterisco notavit Stephanus

91. 68. προςέταξε LT Bas., caeteri addunt πᾶσιν, quod asterisco notavit Stephanus nec vertit Cospus πλεῖν εἰς τὰς Σ. Bas., caeteri εἰς τὰς Σ. πλεῖν 71. ἡμέραις FLTY, caeteri ἡμέρας 75. ἀλλάξεσθαι] ἀλλάξασθαι F Bas.



ἀνδρῶν. ὁ δὲ Διονύσιος τούτοις μὲν φυλακὴν περιστήσας ἀνεβάλετο τὴν ἔντευξιν, αὐτὸς δ' ὁρῶν τοὺς Συρακοσίους διὰ τὴν ἐλπίδα τῆς εἰρήνης τά τε περὶ τὰς φυλακὰς ῥᾳθύμως ἔχοντας καὶ τὰ πρὸς μάχην ἀπαρασκεύους, ἄφνω τὰς πύλας τῆς κατὰ τὴν Νῆσον ἀκροπόλεως ἀνοίξας ἐξεχύθη συντεταγμένῃ τῇ δυνάμει.

12 τῶν δὲ Συρακοσίων κατεσκευακότων ἀπὸ θαλάττης εἰς θάλατταν διατειχίσματα, προςέπεσον οἱ μισθοφόροι τῷ τείχει μετὰ πολλῆς βοῆς καὶ καταπλήξεως· καὶ πολλοὺς μὲν τῶν φυλάκων ἀνεῖλον, τοῦ δὲ τείχους ἐντὸς γενόμενοι πρὸς τοὺς ἐκβοηθοῦντας διηγωνίζοντο. ὁ δὲ Δίων ἀνελπίστως παρεσπονδημένος, μετὰ τῶν ἀρίστων στρατιωτῶν ἀπήντα τοῖς πολεμίοις· καὶ συνάψας μάχην πολὺν ἐποίει φόνον. ἐν σταδίῳ ὀλίγῳ δὲ διαστήματι τῆς διατειχίου ἔσω μάχης οὔσης συνέδραμε πλῆθος στρατιωτῶν εἰς στενὸν τόπον. διὸ καὶ παρ' ἀμφοτέροις οἱ ταῖς ἀνδραγαθίαις πρωτεύοντες συγκατέβησαν εἰς τὸν κίνδυνον· καὶ τῶν μὲν τοῦ Διονυσίου μισθοφόρων διὰ τὸ μέγεθος τῶν ἐπαγγελιῶν, τῶν δὲ Συρακοσίων διὰ τὴν ἐλπίδα τῆς ἐλευθερίας εἰς ὑπερβάλλουσαν φιλοτιμίαν ἐκτραπέντων, τὸ μὲν πρῶτον ἰσόῤῥοπος ἦν ἡ μάχη, τῆς παρ' ἀμφοτέροις ἀρετῆς οὔσης ἰσομάχου, καὶ πολλοὶ μὲν ἔπιπτον, οὐκ ὀλίγοι δὲ κατετιτρώσκοντο πάσας τὰς πληγὰς ἐναντίας λαμβάνοντες· οἱ μὲν γὰρ πρωτοστάται τὸν ὑπὲρ τῶν ἄλλων θάνατον ὑπέμενον εὐψύχως, οἱ δ' ἐπιτεταγμένοι τοὺς πίπτοντας ὑπερασπίζοντες καὶ τοῖς δεινοῖς ἐγκαρτεροῦντες τοὺς ἐσχάτους κινδύνους ὑπὲρ τῆς νίκης ἀνεδέχοντο. μετὰ δὲ ταῦτα Δίων μὲν ἀριστεῦσαι βουλόμενος ἐν τῇ μάχῃ καὶ σπεύδων δι' ἑαυτοῦ περιποιήσασθαι τὴν νίκην, εἰς μέσους ἐβιάσατο τοὺς πολεμίους· ἡρωικῶς δ' ἀγωνιζόμενος πολλοὺς μὲν ἐφόνευσε, τὴν δ' ὅλην σύνταξιν τῶν μισθοφόρων διακόψας ἐναπελήφθη μόνος τῷ πλήθει· πολλῶν δ' ἐπ' αὐτὸν ῥιφέντων βελῶν εἴς τε
92 τὴν ἀσπίδα καὶ τὸ κράνος, ταῦτα μὲν ἐξέφυγε διὰ τὴν τῶν ὅπλων κατασκευήν· εἰς δὲ τὸν δεξιὸν βραχίονα τρωθεὶς συγκατηνέχθη τῷ βάρει τῆς πληγῆς, καὶ τοῖς

81. ἀνεβάλετο] ἀνεβάλλετο Bas. 95. ἐν σταδίῳ. ὀλίγῳ δὲ διαστήματι τῆς διατειχίου ἔσω μάχης οὔσης] σταδίῳ et διατειχίου ἔσω delet Reiskius: ἐν σταδιαίῳ γὰρ ὀλίγῳ τε δ. τοῦ διατειχίου ἔσω μ. ο. Schneiderus Lex. Gr. v. διατειχίον 98. τὸν κίνδυνον] κίνδυνον Bas. 100. Συρακοσίων Bas. 2. τὸ μὲν πρῶτον ἰσόῤῥοπος ἦν] ἰσόῤῥοπος ἦν τὸ μὲν πρῶτον L, om. τὸ μὲν πρῶτον F 15. ἐναπελήφθη] ἐναπελείφθη L Bas. 16. αὐτὸν] αὐτῷ F

92. 19. συγκατηνέχθη] κατηνέχθη L, κατηνέγχθη F

πολεμίοις παρ' ὀλίγον ὑποχείριος ἐγένετο. οἱ δὲ Συρακόσιοι δείσαντες ὑπὲρ τῆς κατὰ τὸν στρατηγὸν σωτηρίας, ἐπέρραξαν τοῖς μισθοφόροις βαρείᾳ συντάξει, καὶ τὸν μὲν Δίωνα καταπονούμενον ἐξήρπασαν ἐκ τῶν κινδύνων, τοὺς δὲ πολεμίους βιασάμενοι φυγεῖν ἠνάγκασαν. ὁμοίως δὲ καὶ κατὰ τὸν ἄλλον τόπον τοῦ τείχους προτερούντων τῶν Συρακοσίων, οἱ τοῦ τυράννου μισθοφόροι συνεδιώχθησαν ἐντὸς πυλῶν τῶν ἐν τῇ Νήσῳ. ἐπιφανεῖ δὲ μάχῃ νικήσαντες οἱ Συρακόσιοι, καὶ τὴν ἐλευθερίαν βεβαίως κτησάμενοι, τρόπαιον ἔστησαν κατὰ τοῦ τυράννου.

13 Μετὰ δὲ ταῦτα Διονύσιος μὲν ἐπταικὼς καὶ τὴν δυναστείαν ἀπογιγνώσκων ἤδη, ἐν μὲν ταῖς ἀκροπόλεσιν ἀπέλιπε φρουρὰς ἀξιολόγους, αὐτὸς δὲ τοὺς τετελευτηκότας, ὀκτακοσίους ὄντας, λαβὼν τὴν ἀναίρεσιν αὐτῶν, ἔθαψε λαμπρῶς, χρυσοῖς μὲν στεφάνοις ἐστεφανωμένους, πορφυρίσι δὲ καλαῖς περιβεβλημένους· ἤλπιζε γὰρ διὰ τῆς τούτων σπουδῆς προτρέψασθαι τοὺς ἄλλους εἰς τὸ προθύμως κινδυνεύειν ὑπὲρ τῆς τυραννίδος· τοὺς δ' ἀνδραγαθήσαντας μεγάλαις δωρεαῖς ἐτίμησε. πρὸς δὲ τοὺς Συρακοσίους διεπέμπετο περὶ διαλύσεως. ὁ δὲ Δίων περὶ μὲν τῶν πρεσβειῶν ἀεί τινας εὐλόγους προφάσεις ποριζόμενος ἀνεβάλλετο, ἐν τοσούτῳ δὲ τὸ λοιπὸν τοῦ τείχους κατασκευάσας μεθ' ἡσυχίας, τότε τὰς πρεσβείας μετεπέμπετο, κατεστρατηγηκὼς τοὺς πολεμίους ταῖς τῆς εἰρήνης ἐλπίσι. γενομένων δὲ λόγων περὶ συλλύσεως, ὁ Δίων ἀπεκρίθη τοῖς πρέσβεσι μίαν εἶναι σύλλυσιν, ἐὰν ἀποθέμενος τὴν τυραννίδα βούληται τυχεῖν τιμῶν τινων. ὁ δὲ Διονύσιος ὑπερηφάνου τῆς ἀποκρίσεως γενομένης συναγαγὼν τοὺς ἡγεμόνας ἐβουλεύετο πῶς χρὴ τοὺς Συρακοσίους ἀμύνασθαι. πάντων δ' εὐπορῶν πλὴν σίτου καὶ θαλαττοκρατῶν, ἐλῄστευε τὴν χώραν, καὶ τὰς τροφὰς ἐκ τῶν προνομῶν κακῶς ποριζόμενος, ἐξαπέστειλε ναῦς φορτίδας καὶ χρήματα πρὸς τὸν τοῦ σίτου καταγορασμόν. οἱ δὲ Συρακόσιοι ναῦς μακρὰς πολλὰς ἔχοντες, καὶ κατὰ τοὺς εὐκαίρους τόπους ἐπιφαινόμενοι, πολλὴν τῆς ὑπὸ τῶν ἐμπόρων κομιζομένης ἀγορᾶς παρῃροῦντο. καὶ τὰ μὲν περὶ τὰς Συρακούσας ἐν τούτοις ἦν.

14 Κατὰ δὲ τὴν Ἑλλάδα Ἀλέξανδρος ὁ Φερῶν τύραννος ὑπὸ τῆς ἰδίας γυναικὸς Θήβης καὶ τῶν ταύτης ἀδελ-

25. τὸν ἄλλον τόπον] τῶν ἄλλων τόπων L  43. ἀνεβάλλετο] ἀνεβάλετο FL  τὸ om. Bas.  49. τιμῶν τινων] τινων τιμῶν FL Bas.  57. πολλὰς FL, caeteri οὐ πολλὰς  58. καὶ om. F  59. ἐμπόρων] εὐπόρων Bas.



φῶν Λυκόφρονος καὶ Τισιφόνου ἐδολοφονήθη. οὗτοι
93 δὲ τὸ μὲν πρῶτον ὡς τυραννοκτόνοι μεγάλης ἐτύγχανον ἀποδοχῆς, ὕστερον δὲ μετανοήσαντες, καὶ τοὺς μισθοφόρους χρήμασι πείσαντες, ἀνέδειξαν ἑαυτοὺς τυράννους, καὶ πολλοὺς μὲν τῶν ἀντιπραττόντων ἀνεῖλον, κατασκευασάμενοι δὲ τὴν δύναμιν ἀξιόλογον βίᾳ κατεῖχον τὴν ἀρχήν. οἱ δ' Ἀλευάδαι καλούμενοι παρὰ τοῖς Θετταλοῖς, διὰ εὐγένειαν δὲ ἀξίωμα ἔχοντες περιβόητον, ἀντέπραττον τοῖς τυράννοις. οὐκ ὄντες δὲ καθ' ἑαυτοὺς ἀξιόμαχοι, προσελάβοντο Φίλιππον σύμμαχον τὸν Μακεδόνων βασιλέα. οὗτος δ' ἐπανελθὼν εἰς τὴν Θετταλίαν κατεπολέμησε τοὺς τυράννους, καὶ ταῖς πόλεσιν ἀνακτησάμενος τὴν ἐλευθερίαν μεγάλην εὔνοιαν εἰς τοὺς Θετταλοὺς ἐνεδείξατο· διόπερ ἐν ταῖς μετὰ ταῦτα πράξεσιν ἀεὶ συναγωνιστὰς ἔσχεν οὐ μόνον αὐτός, ἀλλὰ καὶ μετὰ ταῦτα ὁ υἱὸς Ἀλέξανδρος. τῶν δὲ συγγραφέων Δημόφιλος μὲν ὁ Ἐφόρου τοῦ ἱστοριογράφου υἱὸς τὸν παραλειφθέντα πόλεμον ὑπὸ τοῦ πατρός, ὀνομασθέντα δὲ ἱερόν, συντεταγμένος, ἐντεῦθεν ἦρκται ἀπὸ τῆς καταλήψεως τοῦ ἐν Δελφοῖς ἱεροῦ καὶ τῆς συλήσεως τοῦ μαντείου ὑπὸ Φιλομήλου τοῦ Φωκέως. ἐγένετο δ' ὁ πόλεμος οὗτος ἔτη ἕνδεκα, ἕως τῆς φθορᾶς τῶν διανειμαμένων τὰ ἱερὰ χρήματα· Καλλισθένης δὲ τὴν τῶν Ἑλληνικῶν πραγμάτων ἱστορίαν γέγραφεν ἐν βίβλοις δέκα, καὶ κατέστροφεν εἰς τὴν κατάληψιν τοῦ ἱεροῦ καὶ παρανομίαν Φιλομήλου τοῦ Φωκέως· Δίυλλος δ' ὁ Ἀθηναῖος ἦρκται τῆς ἱστορίας ἀπὸ τῆς ἱεροσυλήσεως, καὶ γέγραφε βίβλους εἴκοσι καὶ ἑπτά, συμπεριλαβὼν πάσας τὰς ἐν τοῖς χρόνοις τούτοις γενομένας πράξεις περί τε τὴν Ἑλλάδα καὶ τὴν Σικελίαν.

Τοῦ ἱεροῦ Cod. 766

15 Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Ἐλπίνου Ῥωμαῖοι κατέστησαν ὑπάτους Μάρκον Ποπίλλιον Λαινάτην καὶ Γναῖον Μάλλιον Ἰμπεριῶσον, Ὀλυμπιὰς δ' ἤχθη ἕκτη πρὸς ταῖς ἑκατόν, καθ' ἣν ἐνίκα στάδιον Πῶρος Μαλιεύς. ἐπὶ δὲ τούτων κατὰ μὲν τὴν Ἰταλίαν ἠθροίσθη περὶ τὴν Λευκανίαν πλῆθος ἀνθρώπων πανταχόθεν μιγάδων, πλεί-

65. τὸ μὲν] τὸ μὲν τὸ Bas.
93. 80. καὶ μετὰ ταῦτα] μετὰ ταῦτα καὶ Bas.  82. παραλειφθέντα Bas., Cospus, caeteri παραληφθέντα  86. δ' F
94. ἑπτά] ἕξ, ut est infra p. 490. 61., Q, πέντε L, omissoque καὶ F  95. τε om. F  98. Ποπίλλιον] Popilius Cospus, caeteri Πούπλιον  Λαινάτην] Λενάτην FT
99. Γναῖον] Γνάον Y, Cospus, quo fortasse usus Pighius Ann. L. IV. p. 281. Caii praenomen in Diodoro corrigendum esse ait  Μάλλιον] Manlius Cospus, Μαιμίλιον Q, caeteri Μαμέλιον  Ἰμπεριῶσον F Bas.  1. Μαλιεύς] Μαλλιεύς Bas. Cospus

στων δὲ δούλων δραπετῶν. οὗτοι δὲ τὸ μὲν πρῶτον ληστρικὸν ἐνεστήσαντο βίον, καὶ διὰ τὴν ἐν ταῖς ἀγραυλίαις καὶ καταδρομαῖς συνήθειαν ἔσχον τριβὴν καὶ μελέτην τῶν κατὰ πόλεμον ἔργων· διὸ καὶ τοῖς πολεμικοῖς ἀγῶσι προτεροῦντες τῶν ἐγχωρίων εἰς αὔξησιν ἀξιολογωτέραν κατέστησαν. καὶ πρῶτον μὲν Τερῖναν πόλιν ἐκπολιορκήσαντες διήρπασαν, ἔπειτα Ἱππώνιον καὶ Θουρίους καὶ πολλὰς ἄλλας χειρωσάμενοι κοινὴν πολιτείαν συνέθεντο, καὶ προςηγορεύθησαν Βρέττιοι διὰ τὸ πλείστους εἶναι δούλους· κατὰ γὰρ τὴν τῶν ἐγχωρίων διά- 94
λεκτον οἱ δραπέται βρέττιοι προςηγορεύοντο. τὸ μὲν οὖν τῶν Βρεττίων πλῆθος οὕτω συνέστη κατὰ τὴν Ἰταλίαν.

16 Κατὰ δὲ τὴν Σικελίαν Φίλιστος μὲν ὁ Διονυσίου στρατηγὸς πλεύσας εἰς Ῥήγιον διεκόμισε τοὺς ἱππεῖς εἰς Συρακούσας, ὄντας πλείους τῶν πεντακοσίων. προςθεὶς δὲ τούτοις ἱππεῖς τε ἄλλους πλείονας καὶ πεζοὺς διςχιλίους ἐστράτευσεν ἐπὶ Λεοντίνους ἀφεστηκότας ἀπὸ Διονυσίου· νυκτὸς δὲ παρειςπεσὼν ἐντὸς τοῦ τείχους κατελάβετο μέρος τῆς πόλεως. γενομένης δὲ μάχης ἰσχυρᾶς, καὶ τῶν Συρακοσίων βοηθησάντων, ἡττηθεὶς ἐξέπεσεν ἐκ τῶν Λεοντίνων. Ἡρακλείδης δὲ ὁ καταλελειμμένος ὑπὸ Δίωνος ναύαρχος τῶν μακρῶν νεῶν ἐν Πελοποννήσῳ διά τινας χειμῶνας ἐμποδισθεὶς ὑστέρησε τῆς καθόδου τῶν περὶ τὸν Δίωνα καὶ τῆς τῶν Συρακοσίων ἐλευθερώσεως· ἧκε δ᾽ ἄγων ναῦς μὲν μακρὰς εἴκοσι, χιλίους δὲ στρατιώτας καὶ πεντακοσίους. ὢν δὲ ἀνὴρ ἐπισημότατος, καὶ δόξας ἄξιος ὑπάρχειν, ᾑρέθη ναύαρχος ὑπὸ τῶν Συρακοσίων, καὶ μετὰ Δίωνος τεταγμένος διεπολέμει πρὸς Διονύσιον. μετὰ δὲ ταῦτα Φίλιστος ἀποδειχθεὶς στρατηγός, καὶ καταρτίσας τριήρεις ἑξήκοντα, πρὸς Συρακοσίους ἐναυμάχησεν ἔχοντας ναῦς παραπλησίους τὸν ἀριθμόν. γενομένου δ᾽ ἀγῶνος καρτεροῦ, καὶ τοῦ Φιλίστου τὸ μὲν πρῶτον διὰ τῆς ἰδίας ἀνδραγαθίας προτεροῦντος, ὕστερον δὲ ἀποληφθέντος ὑπὸ τῶν πολεμίων, οἱ μὲν Συρακόσιοι πανταχόθεν κυκλώσαντες τὰς ναῦς ἐφιλοτιμοῦντο ζωγρίᾳ λαβεῖν τὸν στρατηγόν, ὁ δὲ Φίλιστος εὐλαβηθεὶς τὴν ἐκ τῆς αἰχμαλωσίας αἰκίαν,

9. *Τερῖναν*] *Τερίναν* omnes: conf. Stephanus Byz. v. *Ῥέσινα*
10. *ἔπειτα Ἱππώνιον*] *ἔπειτα Ταρπώνιον* Q, *ἔπειτ᾽ Ἀρπώνιον* caeteri: correxit Cluverius

94. 26. 95. 71. *Ἡρακλείδης*] *Chariclides* Cospus: v. ad p. 86. 49. *ὁ* om. F. 36. *καταρτήσας* F 37. *παραπλησίους*] *παραπλησίας* Gemistus 40. *ἀποληφθέντος* FL, caeteri *ἀπολειφθέντος* 42. *ζωγρίᾳ*] *ζωγρείᾳ* F



ἑαυτὸν ἀπέσφαξε, πλείστας μὲν καὶ μεγίστας χρείας παρεσχημένος τοῖς τυράννοις, πιστότατος δὲ τῶν φίλων τοῖς δυνάσταις γεγονώς. οἱ δὲ Συρακόσιοι νικήσαντες τῇ ναυμαχίᾳ, τὸ μὲν σῶμα τοῦ Φιλίστου διαμερίσαντες καὶ δι᾽ ὅλης τῆς πόλεως ἑλκύσαντες ἄταφον ἐξέρριψαν, Διονύσιος δὲ τὸν μὲν πρακτικώτατον τῶν φίλων ἀποβαλών, καὶ στρατηγὸν μὲν ἕτερον ἀξιόχρεων οὐκ ἔχων, αὐτὸς δ᾽ οὐ δυνάμενος φέρειν τὸ τοῦ πολέμου βάρος, ἐξέπεμψε πρεσβευτὰς πρὸς τὸν Δίωνα, τὸ μὲν πρῶτον τὴν ἡμίσειαν τῆς ἀρχῆς παραδιδούς, ὕστερον δὲ βουλόμενος
ὅλην ἐγχειρίζειν. 17 τοῦ δὲ Δίωνος ἀποκριθέντος ὅτι τοῖς Συρακοσίοις δίκαιόν ἐστι παραδιδόναι τὴν ἀκρόπολιν ἐπί τισιν ἐξαιρέτοις χρήμασι καὶ τιμαῖς, ὁ μὲν Διονύσιος ἕτοιμος ἦν τὴν ἄκραν παραδιδόναι τῷ δήμῳ, ὥςτε τοὺς μισθοφόρους καὶ τὰ χρήματα λαβόντα εἰς τὴν Ἰταλίαν μεταστῆναι, ὁ δὲ Δίων συνεβούλευε τοῖς Συρακοσίοις δέχεσθαι τὰ διδόμενα. ὁ δὲ δῆμος ὑπὸ τῶν ἀκαίρων δημηγόρων πεισθεὶς ἀντεῖπε, νομίζων κατὰ κράτος ἐκπολιορκήσειν τὸν τύραννον. μετὰ δὲ ταῦτα ὁ μὲν Διονύσιος τοὺς ἀρίστους τῶν μισθοφόρων ἀπέλιπε φυλάξοντας τὴν ἄκραν, αὐτὸς δ᾽ ἐνθέμενος τὰ χρήματα καὶ πᾶσαν τὴν βασιλικὴν παρασκευὴν ἔλαθεν ἐκπλεύσας, καὶ κατῆρεν εἰς τὴν Ἰταλίαν. οἱ δὲ Συρακόσιοι πρὸς ἀλλή-
95 λους ἐστασίασαν, τῶν μὲν οἰομένων δεῖν τὴν στρατηγίαν καὶ τὴν τῶν ὅλων ἐξουσίαν ἐγχειρίζειν Ἡρακλείδῃ διὰ τὸ τοῦτον δοκεῖν μηδέποτ᾽ ἂν ἐπιθέσθαι τυραννίδι, τῶν δὲ ἀποφαινομένων τὸν Δίωνα δεῖν ἔχειν τὴν τῶν ἁπάντων ἡγεμονίαν. πρὸς δὲ τούτοις πολλῶν ὀφειλομένων μισθῶν τοῖς ἐκ Πελοποννήσου ξένοις τοῖς ἠλευθερωκόσι τὰς Συρακούσας, καὶ χρημάτων σπανιζούσης τῆς πόλεως, οἱ μὲν μισθοφόροι τῶν χρημάτων ἀποστερούμενοι συνεστράφησαν, ὄντες πλείους τῶν τριςχιλίων· πάντες δ᾽ ἐπίλεκτοι ταῖς ἀρεταῖς καὶ διὰ τὴν ἄθλησιν τῶν πολεμικῶν ἔργων διαπεπονημένοι πολὺ τῶν Συρακοσίων ταῖς ἀρεταῖς ὑπερεβάλλοντο. ὁ δὲ Δίων ἀξιούμενος ὑπὸ τῶν μισθοφόρων συναποστῆναι, καὶ παρὰ τῶν Συρακοσίων ὡς κοινῶν ἐχθρῶν λαβεῖν τιμωρίαν, τὸ μὲν πρῶτον ἀντεῖπε, μετὰ δὲ ταῦτα συναναγκαζόμενος ὑπὸ τῆς περιστάσεως προςεδέξατο τὴν ἡγεμονίαν τῶν ξένων, καὶ μετ᾽ ἐκείνων ταχθεὶς ἀνέζευξεν ἐπὶ τοὺς Λεοντίνους. οἱ

45. *παρεσχημένος*] *παρεσχηκὼς* FL 68. *παρασκευὴν*] *κατασκευὴν* F
95. 76. *ἠλευθερωκόσι*] *ἐλευθερωκόσι* Bas. 82. *ὑπερεβάλλοντο*] *ὑπερεβάλοντο* F 84. *ὡς κοινῶν*] *ὡς* om. Bas., asterisco notavit Stephanus

δὲ Συρακόσιοι συστραφέντες ἐδίωκον τοὺς μισθοφόρους, καὶ κατὰ τὴν ὁδοιπορίαν συνάψαντες μάχην καὶ πολλοὺς ἀποβαλόντες, ἀπεχώρησαν. ὁ δὲ Δίων λαμπρᾷ μάχῃ νικήσας, οὐδὲν ἐμνησικάκησε τοῖς Συρακοσίοις· ἀποστειλάντων γὰρ πρὸς αὐτὸν κήρυκα περὶ τῆς τῶν νεκρῶν ἀναιρέσεως τήν τε τῶν νεκρῶν ἀναίρεσιν ἔδωκε καὶ τοὺς ἁλόντας πολλοὺς ὄντας ἀπέλυσεν ἄνευ λύτρων. πολλοὶ γὰρ ἐν τῇ φυγῇ μέλλοντες φονεύεσθαι διηγόρευον ἑαυτοὺς εἶναι τῶν τὰ Δίωνος φρονούντων, καὶ πάντες διὰ ταύτην τὴν αἰτίαν ἐξέφυγον τὸν θάνατον.

18 Μετὰ δὲ ταῦτα Διονύσιος μὲν στρατηγὸν ἀπέστειλεν εἰς τὰς Συρακούσας Νύψιον τὸν Νεαπολίτην, ἀνδρείᾳ καὶ συνέσει στρατηγικῇ διαφέροντα· συνεξέπεμψε δ' αὐτῷ καὶ φορτηγὰ πλοῖα σίτου καὶ τῆς ἄλλης ἀγορᾶς γέμοντα. οὗτος μὲν οὖν ἐκ Λοκρῶν ἀναχθεὶς ἐτέλει τὸν εἰς Συρακούσας πλοῦν. οἱ δὲ κατὰ τὴν ἀκρόπολιν μισθοφόροι τοῦ τυράννου, κατὰ τοῦτον τὸν καιρὸν ἐπιλιπόντος τοῦ σίτου, καὶ τῇ σπάνει τῶν ἀναγκαίων δεινῶς πιεζόμενοι, μέχρι μέν τινος ὑπέμενον εὐψύχως τὴν ἔνδειαν, τῆς δὲ φύσεως ὑπὸ τῆς ἀνάγκης ἡττωμένης, καὶ τῆς σωτηρίας ἀπογινωσκομένης, συνδραμόντες εἰς ἐκκλησίαν νυκτὸς ἐψηφίσαντο παραδοῦναι τὴν ἀκρόπολιν καὶ σφᾶς αὐτοὺς τοῖς Συρακοσίοις ἅμ' ἡμέρᾳ. ἤδη δὲ τῆς νυκτὸς ληγούσης οἱ μὲν μισθοφόροι κήρυκας ἐξέπεμπον πρὸς τοὺς Συρακοσίους περὶ τῆς διαλύσεως, ὁ δὲ Νύψιος διαφαινούσης ἤδη τῆς ἡμέρας κατέπλευσε μετὰ τοῦ στόλου, καὶ καθωρμίσθη περὶ τὴν Ἀρέθουσαν. διόπερ τῆς ἐνδείας παραχρῆμα μεταβαλούσης εἰς πολλὴν δαψίλειαν τῶν ἐπιτηδείων, ὁ μὲν στρατηγὸς Νύψιος ἐκβιβάσας τοὺς στρατιώτας, κοινὴν ἐκκλησίαν συναγαγὼν καὶ διαλεχθεὶς οἰκείως τοῖς παροῦσι καιροῖς, προθύμους κατεσκεύασε πρὸς τοὺς μέλλοντας κινδύνους. ἡ μὲν οὖν ἀκρόπολις ἤδη παραδιδομένη τοῖς Συρακοσίοις τὸν εἰρημένον τρόπον ἀνελπίστως διεφυλάχθη. οἱ δὲ Συρακόσιοι πληρώσαντες ἁπάσας τὰς τριήρεις ἐπέπλευσαν τοῖς πολεμίοις ἔτι περὶ τὴν ἐξαίρεσιν τῆς ἀγορᾶς διατρίβουσιν. 96 ἀπροσδοκήτου δὲ τῆς ἐφόδου γενομένης, καὶ τῶν κατὰ τὴν ἀκρόπολιν μισθοφόρων τεθορυβημένως ἀντιταχθέντων ταῖς πολεμίαις τριήρεσιν, ἐγένετο ναυμαχία, καθ' ἣν οἱ Συρακόσιοι ἐπροτέρησαν, καὶ τινὰς μὲν τῶν

8. πιεζόμενοι] πιεζούμενοι FY 10. ἀπογινωσκομένης F, caeteri ἀπογιγνωσκομένης 26. ἐπέπλευσαν] ἐξέπλευσεν L 96. 29. τεθορυβημένως] τεθορυβημένων FTY Bas. 30. πολεμίαις] πολεμικαῖς omnes 31. ἐπροτέρησαν Wesselingius, ἐπροετέρησαν Bas., caeteri προετέρησαν



νεῶν κατέδυσαν, τινῶν δ' ἐγκρατεῖς κατέστησαν, τὰς δὲ λοιπὰς πρὸς τὴν γῆν κατεδίωξαν. μετεωρισθέντες δ' ἐπὶ τῷ προτερήματι, τοῖς μὲν θεοῖς μεγαλοπρεπῶς ἔθυσαν ἐπινίκια, αὐτοὶ δ' εἰς εὐωχίας καὶ πότους ἐκτραπέντες, καταφρονοῦντες τῶν ἡττημένων ῥαθύμως εἶχον τὰ περὶ τὰς φυλακάς.

19 Νύψιος δ' ὁ τῶν μισθοφόρων στρατηγὸς ἀναμαχέσασθαι καὶ ἀναλαβεῖν βουλόμενος τὴν ἧτταν, νυκτὸς ἐκτεταγμένῃ τῇ δυνάμει παραδόξως προσέπεσε τῷ κατεσκευασμένῳ τείχει. εὑρὼν δὲ τοὺς φύλακας διὰ τὴν καταφρόνησιν καὶ μέθην εἰς ὕπνον τετραμμένους, προσέθηκε τὰς παρεσκευασμένας κλίμακας πρὸς τὴν χρείαν. διὰ δὲ τούτων οἱ κράτιστοι τῶν μισθοφόρων ἀνέβησαν ἐπὶ τὸ τεῖχος, καὶ τοὺς φύλακας φονεύσαντες ἀνέῳξαν τὰς πύλας. εἰσπεσόντων δὲ τῶν στρατιωτῶν εἰς τὴν πόλιν, οἱ μὲν στρατηγοὶ τῶν Συρακοσίων ἐκ τῆς μέθης μεθύοντες ἐπειρῶντο βοηθεῖν, ἐμποδιζόμενοι δὲ ταῖς ὁρμαῖς διὰ τὸν οἶνον, οἱ μὲν ἀνῃρέθησαν, οἱ δ' ἔφυγον. κατειλημμένης δὲ τῆς πόλεως, καὶ τῶν ἐκ τῆς ἀκροπόλεως στρατιωτῶν σχεδὸν ἁπάντων εἰσπεσόντων ἐντὸς τοῦ περιτειχίσματος, τῶν δὲ Συρακοσίων διὰ τὸ παράδοξον καὶ τὴν ἀταξίαν ἐκπεπληγμένων, πολὺς ἐγένετο φόνος. τῶν δὲ τοῦ τυράννου στρατιωτῶν πλειόνων ἢ μυρίων ὄντων καὶ συντεταγμένων καλῶς, οὐδεὶς τὸ βάρος αὐτῶν ὑπομεῖναι δυνατὸς ἦν, ἅτε τοῦ θορύβου καὶ τῆς ταραχῆς ἔτι δὲ ἀναρχίας τοὺς ἐλαττουμένους ἐμποδιζούσης. κρατηθείσης δὲ τῆς ἀγορᾶς ὑπὸ τῶν πολεμίων εὐθὺς ἐπὶ τὰς οἰκίας οἱ νενικηκότες ὥρμησαν· καὶ πολλὰ μὲν χρήματα διεφορεῖτο, οὐκ ὀλίγα δὲ σώματα γυναικῶν καὶ παίδων ἔτι δ' οἰκετῶν ἐξηνδραποδίζετο. κατὰ δὲ τοὺς στενωποὺς καὶ τὰς ἄλλας ὁδοὺς ἀντιταττομένων Συρακοσίων ἐγίνοντο συνεχεῖς συμπλοκαί, καὶ πολλοὶ μὲν ἀπέθνησκον, οὐκ ὀλίγοι δὲ τραύμασι περιέπιπτον. τὴν μὲν οὖν νύκτα διετέλεσαν ἀλλήλους ἀναιροῦντες ὡς ἔτυχε διὰ τὸ σκότος, καὶ πᾶς τόπος νεκρῶν ἔγεμεν.

20 ἅμα δ' ἡμέρᾳ τὸ μὲν τῆς συμφορᾶς μέγεθος συνεωράθη, οἱ δὲ Συρακόσιοι, μίαν ἔχοντες σωτηρίαν τὴν ἀπὸ τοῦ Δίωνος βοήθειαν, ἐξαπέστειλαν ἱππεῖς εἰς Λεοντίνους, δεόμενοι τοῦ Δίωνος μὴ περιιδεῖν τὴν πατρίδα δοριάλωτον

36. πότους] τόπους Bas. 37. τὰ om. FL, asterisco notavit Stephanus 39. Νύψιος] Νυψίας Q ἀναμαχέσασθαι καὶ ἀναλαβεῖν] ἀναλαβεῖν καὶ μαχέσασθαι FY, ἀναλαβεῖν καὶ μάχέσθαι sic Bas.: sed margo ad μάχέσθαι apponit μαχέσασθαι 44. παρασκευασμένας Bas. 49. μεθύοντες] vocem corruptam nemodum probabiliter correxit 56. ἐγένετο FLT Bas., caeteri ἐγίνετο 75. δοριάλωτον Bas., caeteri δορυάλωτον

γινομένην, καὶ τῶν μὲν ἡμαρτημένων δοῦναι συγγνώμην αὐτοῖς, τὰς δὲ παρούσας δυςτυχίας ἐλεήσαντα διορθώσασθαι τὴν τῆς πατρίδος συμφοράν. ὁ δὲ Δίων, λαμπρὸς ὢν τὴν ψυχὴν καὶ διὰ τὴν ἐκ φιλοσοφίας παιδείαν ἐξημερωμένος τοὺς λογισμούς, οὐκ ἐμνησικάκησε τοῖς [97] πολίταις, ἀλλὰ τοὺς μισθοφόρους πείσας παραχρῆμα ἀνέζευξε, καὶ διανύσας ὀξέως τὴν εἰς Συρακούσας ὁδὸν ἧκε πρὸς τὰ Ἑξάπυλα. ἐνταῦθα δὲ διατάξας τοὺς στρατιώτας προςῆγε κατὰ τάχος, καὶ κατέλαβεν ἐκ τῆς πόλεως τέκνα καὶ γυναῖκας καὶ τοὺς γεγηρακότας ὑπὲρ τοὺς μυρίους· οὗτοι δὲ πάντες ἀπαντῶντες μετὰ δακρύων ἱκέτευον ἀμῦναι τοῖς ἰδίοις ἀκληρήμασιν. οἱ δὲ τῆς ἀκροπόλεως μισθοφόροι, κεκρατηκότες ἤδη τῆς προθέσεως, τὰς μὲν περὶ τὴν ἀγορὰν οἰκίας διαρπάσαντες ἐνέπρησαν, ἐπὶ δὲ τὰς λοιπὰς ὁρμήσαντες διήρπαζον τὰς ἐν ταύταις κτήσεις. καθ᾽ ὃν δὴ καιρὸν Δίων κατὰ πολλοὺς τόπους εἰςπεσὼν εἰς τὴν πόλιν, καὶ τοῖς πολεμίοις περὶ τὰς ἁρπαγὰς ἀσχολουμένοις ἐπιθέμενος, πάντας τοὺς περιτυγχάνοντας ἔκτεινε κομίζοντας ἐπὶ τῶν ὤμων παντοδαπὰς κατασκευάς· διὰ δὲ τὸ παράδοξον τῆς παρουσίας καὶ τὴν ἀταξίαν καὶ τὴν ταραχὴν τῶν διαφορούντων τὰς κτήσεις εὐχερῶς ἅπαντες ἐχειροῦντο. τέλος δὲ πλειόνων ἢ τετρακιςχιλίων φονευθέντων, τῶν μὲν ἐν ταῖς οἰκίαις, τῶν δ᾽ ἐν ταῖς ὁδοῖς, οἱ λοιποὶ συνέφυγον εἰς τὴν ἀκρόπολιν, καὶ τὰς πύλας κλείσαντες ἐξέφυγον τὸν κίνδυνον. Δίων δὲ κάλλιστον τῶν προγεγενημένων ἔργων ὑπ᾽ αὐτοῦ διαπραξάμενος, τὰς μὲν καιομένας οἰκίας διέσωσε κατασβέσας τὴν φλόγα, τὸ δὲ περιτείχισμα καλῶς κατασκευασάμενος, μιᾷ πράξει τήν τε πόλιν ὠχύρωσε καὶ τοὺς πολεμίους ἀποτειχίσας εἶρξε τῆς ἐπὶ τὴν γῆν ἐξόδου. καθαρὰν δὲ τῶν νεκρῶν ποιήσας τὴν πόλιν καὶ τρόπαιον στήσας, ἔθυσε τοῖς θεοῖς ὑπὲρ τῆς σωτηρίας. συναχθείσης δ᾽ ἐκκλησίας ὁ μὲν δῆμος εὐχαριστῶν στρατηγὸν ἐχειροτόνησεν αὐτοκράτορα τὸν Δίωνα καὶ τιμὰς ἀπένειμεν ἡρωικάς, ὁ δὲ Δίων ἀκολούθως τοῖς πεπραγμένοις ἐπιεικῶς τοὺς μὲν ἐχθροὺς ἅπαντας ἀπέλυσε τῶν ἐγκλημάτων, καὶ τὸ πλῆθος παραμυθησάμενος εἰς κοινὴν ἤγαγεν ὁμόνοιαν. οἱ δὲ Συρακόσιοι πανδήμοις ἐπαίνοις καὶ ἀποδοχαῖς μεγάλαις ἐτίμων τὸν

97. 85. ἐκ] malim ἐκτὸς  τέκνα] τέκνα μὲν FTY  88. οἱ δὲ] immo οἱ δ᾽ ἐκ  90. τὴν ἀγορὰν] τῆς ἀγορᾶς FL  93. πολλοὺς] πλείους Q  98. καὶ ταραχὴν] καὶ τὴν ταραχὴν FL Bas.  2. κλείσαντες] ἐγκλείσαντες FL  13. ἀπένειμεν] ἀπένειμαν Y



εὐεργέτην, ὡς μόνον σωτῆρα γεγονότα τῆς πατρίδος. καὶ τὰ μὲν κατὰ τὴν Σικελίαν ἐν τούτοις ἦν.

21 Κατὰ δὲ τὴν Ἑλλάδα Χίων καὶ Ῥοδίων καὶ Κῴων ἔτι δὲ Βυζαντίων διαπολεμούντων πρὸς Ἀθηναίους τὸν συμμαχικὸν πόλεμον, ἀμφότεροι μεγάλας παρασκευὰς ἐποιοῦντο, βουλόμενοι ναυμαχίᾳ κρῖναι τὸν πόλεμον. Ἀθηναῖοι δὲ Χάρητα μὲν μετὰ νεῶν ἑξήκοντα προαπεσταλκότες ἦσαν ἐν τοῖς ἄνω καιροῖς, τότε δὲ ἄλλας ἑξήκοντα πληρώσαντες καὶ στρατηγοὺς ἐπιστήσαντες τοὺς ἐπιφανεστάτους τῶν πολιτῶν, Ἰφικράτην καὶ Τιμόθεον, ἐξαπέστειλαν κοινῇ μετὰ Χάρητος διαπολεμεῖν τοῖς ἀφεστηκόσι τῶν συμμάχων. οἱ δὲ Χῖοι καὶ Ῥόδιοι καὶ Βυζάντιοι μετὰ τῶν συμμάχων ἑκατὸν ναῦς πληρώσαντες Ἴμβρον μὲν καὶ Λῆμνον οὖσαν Ἀθηναίων ἐπόρθησαν, [98] ἐπὶ δὲ Σάμον πολλῇ δυνάμει στρατεύσαντες τὴν μὲν χώραν ἐδῄωσαν, τὴν δὲ πόλιν ἐπολιόρκουν κατὰ γῆν καὶ κατὰ θάλατταν· πολλὰς δὲ καὶ ἄλλας νήσους οὔσας ὑπ᾽ Ἀθηναίους κακοποιήσαντες χρήματα ἤθροισαν εἰς τὰς τοῦ πολέμου χρείας. οἱ δὲ τῶν Ἀθηναίων στρατηγοὶ πάντες ἀθροισθέντες τὸ μὲν πρῶτον ἐπεβάλοντο πολιορκῆσαι τὴν τῶν Βυζαντίων πόλιν, μετὰ δὲ ταῦτα τῶν Χίων καὶ τῶν συμμάχων τὴν μὲν πολιορκίαν τῆς Σάμου λυσάντων, ἐπὶ δὲ τὴν βοήθειαν τοῖς Βυζαντίοις τρεπομένων, συνηθροίσθησαν πάντες οἱ στόλοι περὶ τὸν Ἑλλήςποντον. μελλούσης δὲ γίνεσθαι τῆς ναυμαχίας μέγας ἄνεμος ἐπιπεσὼν διεκώλυσεν αὐτῶν τὴν προαίρεσιν. τοῦ δὲ Χάρητος παρὰ φύσιν βουλομένου ναυμαχεῖν, καὶ τῶν περὶ τὸν Ἰφικράτην καὶ Τιμόθεον ἐναντιουμένων διὰ τὸ μέγεθος τοῦ κλύδωνος, ὁ μὲν Χάρης ἐπιμαρτυρόμενος τοῖς στρατιώταις διέβαλε τοὺς συνάρχοντας ὡς προδότας, καὶ πρὸς τὸν δῆμον ἔγραψε περὶ αὐτῶν ὡς ἐγκαταλελοιπότων ἑκουσίως τὴν ναυμαχίαν· οἱ δ᾽ Ἀθηναῖοι παροξυνθέντες, καὶ κρίσιν τῷ Ἰφικράτει καὶ Τιμοθέῳ προθέντες, ἐζημίωσαν αὐτοὺς πολλοῖς ταλάντοις καὶ τῆς στρατηγίας ἀπέστησαν.

22 Χάρης δὲ παραλαβὼν παντὸς τοῦ στόλου τὴν ἡγεμονίαν, καὶ σπεύδων τῆς δαπάνης ἀπαλλάξαι τοὺς Ἀθηναίους, ἐπεχείρησε πράξει παραβόλῳ. Ἀρταβάζου γὰρ ἀποστάντος ἀπὸ τοῦ βασιλέως, καὶ

19. τὴν Σικελίαν] Σικελίαν F Bas.  25. μὲν om. F  27. καὶ om. F.  33. οὖσαν] immo οὔσας: *Atheniensium insulas* Cospus

98. 39. ἐπεβάλοντο] ἐμβάλοντο L, ὑπεβάλοντο Bas.  50. διέβαλε] διέβαλλε FT Bas.  58. 64. Ἀρταβάζου — Ἀρτάβαζος Cospus, caeteri Φαρναβάζου — Φαρνάβαζος

μέλλοντος ὀλίγοις στρατιώταις πρὸς τοὺς σατράπας διαγωνίζεσθαι μυριάδας ἑπτὰ στρατιωτῶν ἔχοντας, συμμαχήσαντος αὐτῷ Χάρητος πάσῃ τῇ δυνάμει, καὶ νικήσαντος τὴν τοῦ βασιλέως δύναμιν, ὁ μὲν Ἀρτάβαζος ἀποδιδοὺς τῆς εὐεργεσίας χάριτας ἐδωρήσατο πλῆθος χρημάτων, ἐξ ὧν δυνατὸν ἦν πᾶσαν τὴν δύναμιν ὀψωνιάζεσθαι. οἱ δ' Ἀθηναῖοι τὸ μὲν πρῶτον ἀπεδέξαντο τὴν πρᾶξιν τοῦ Χάρητος, ὕστερον δὲ τοῦ βασιλέως πρέσβεις ἀποστείλαντος καὶ κατηγοροῦντος τοῦ Χάρητος, τὴν ἐναντίαν ἔσχον γνώμην· διεδόθη γὰρ λόγος ὅτι τοῖς πολεμίοις τῶν Ἀθηναίων βασιλεὺς ἐπηγγείλατο τριακοσίαις ναυσὶ συγκαταπολεμήσειν τοὺς Ἀθηναίους. ταῦτ' οὖν ὁ δῆμος εὐλαβηθεὶς ἔκρινε καταλύσασθαι τὸν πρὸς τοὺς ἀφεστηκότας πόλεμον· εὑρὼν δὲ κἀκείνους ἐπιθυμοῦντας τῆς εἰρήνης, ῥᾳδίως πρὸς αὐτοὺς διελύσατο. ὁ μὲν οὖν συμμαχικὸς ὀνομασθεὶς πόλεμος τοιοῦτον ἔσχε τὸ τέλος, διαμείνας ἔτη τρία. κατὰ δὲ τὴν Μακεδονίαν τρεῖς βασιλεῖς συνέστησαν ἐπὶ τὸν Φίλιππον, ὅ τε τῶν Θρᾳκῶν καὶ Παιόνων καὶ Ἰλλυριῶν. οὗτοι γὰρ ὄντες ὅμοροι τοῖς Μακεδόσι, καὶ τὴν αὔξησιν ὑφορώμενοι τοῦ Φιλίππου, καθ' ἑαυτοὺς μὲν οὐκ ἦσαν ἀξιόμαχοι προηττημένοι, κοινῇ δὲ πολεμοῦντες ὑπέλαβον ῥᾳδίως αὐτοῦ περιέσεσθαι. διόπερ ἀθροιζόντων τὰς δυνάμεις, ἐπιφανεὶς ἀσυν- 99
τάκτοις καὶ καταπληξάμενος ἠνάγκασε προςθέσθαι τοῖς Μακεδόσιν.

23 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Καλλιστράτου Ῥωμαῖοι κατέστησαν ὑπάτους Μάρκον Φάβιον καὶ Γάϊον Πλώτιον. ἐπὶ δὲ τούτων ὁ κληθεὶς ἱερὸς πόλεμος συνέστη, καὶ διέμεινεν ἔτη ἐννέα. Φιλόμηλος γὰρ ὁ Φωκεύς, ἀνὴρ θράσει καὶ παρανομίᾳ διαφέρων, κατελάβετο μὲν τὸ ἐν Δελφοῖς ἱερόν, ἐξέκαυσε δὲ τὸν ἱερὸν πόλεμον διὰ τοιαύτας τινὰς αἰτίας. Λακεδαιμονίων πρὸς Βοιωτοὺς διαπολεμησάντων τὸν Λευκτρικὸν πόλεμον καὶ καταπολεμηθέντων, οἱ μὲν Θηβαῖοι διὰ τὴν κατάληψιν τῆς Καδμείας δίκας μεγάλας ἐπαγαγόντες τοῖς Λακεδαιμονίοις ἐν Ἀμφικτύοσι, κατεδίκασαν αὐτοὺς πολλοῖς χρήμασιν. οἱ δὲ Φωκεῖς ἐπεργασάμενοι πολλὴν τῆς ἱερᾶς χώρας τῆς ὀνομαζομένης Κιῤῥαίας δίκας ὑπέσχον ἐν Ἀμφικτύοσι, καὶ πολλοῖς ταλάντοις κατεκρίθησαν. οὐκ ἐκτινόντων δ' αὐτῶν τὰ ὀφλήματα, οἱ μὲν ἱερομνήμονες ἐν Ἀμφικτύοσι κατηγόρουν τῶν Φωκέων, καὶ τὸ συνέδριον

67. ἀπεδέξαντο] ἐπεδέξαντο Bas. 77. τρία Cospus, caeteri τέτταρα 83. ὑπέλαβον] ὑπέβαλον Bas.
99. 87. ἐπαγαγόντες] ἐπάγοντες Bas.



ἠξίουν, ἐὰν μὴ τὰ χρήματα τῷ θεῷ ἀποδῶσιν οἱ Φωκεῖς, καθιερῶσαι τὴν χώραν τῶν ἀποστερούντων τὸν θεόν· ὁμοίως δ' ἔφασαν δεῖν καὶ τοὺς ἄλλους τοὺς καταδικασθέντας ἐκτίνειν τὰ ὀφλήματα, ἐν οἷς ὑπῆρχον καὶ Λακεδαιμόνιοι· ἐὰν δὲ μὴ ὑπακούωσι, κοινῇ ὑπὸ τῶν Ἑλλήνων μισοπονηρίας ἀξιοῦσθαι. τῶν δ' Ἑλλήνων συνεπικυρούντων τὰ δόγματα τῶν Ἀμφικτυόνων, καὶ τῆς τῶν Φωκέων χώρας μελλούσης καθιεροῦσθαι, ὁ Φιλόμηλος, μέγιστον ἔχων ἐν τοῖς Φωκεῦσιν ἀξίωμα, διελέχθη τοῖς ὁμοεθνέσι, διδάσκων ὡς ἐκτῖσαι μὲν οὐ δύνανται τὰ χρήματα διὰ τὸ μέγεθος τῆς καταδίκης, περιορᾶν δὲ καθιερωμένην τὴν χώραν οὐ μόνον ἀνάνδρων ὑπάρχειν, ἀλλὰ καὶ κίνδυνον ἐπιφέρειν καὶ τῷ τῶν ἁπάντων βίῳ ἀνατροπήν. ἐπειρᾶτο δὲ καὶ τὰς κρίσεις τῶν Ἀμφικτυόνων ἀδίκους δεικνύναι κατὰ τὸ δυνατόν· μικρᾶς γὰρ παντελῶς χώρας κατεργασθείσης μεγίστας ζημίας τεθεῖσθαι. συνεβούλευεν οὖν ταύτας ἀκύρους ποιῆσαι, καὶ μεγάλας ἀφορμὰς ἔχειν ἀπεφαίνετο τοὺς Φωκεῖς κατὰ τῶν Ἀμφικτυόνων· τὸ γὰρ παλαιὸν τοῦ μαντείου τὴν ἐξουσίαν καὶ προστασίαν ἐσχηκέναι τούτους. καὶ μάρτυρα τὸν ἀρχαιότατον καὶ μέγιστον τῶν ποιητῶν Ὅμηρον παρείχετο λέγοντα

αὐτὰρ Φωκήων Σχεδίος καὶ Ἐπίστροφος ἦρχον,
οἳ Κυπάρισσον ἔχον Πυθῶνά τε πετρήεσσαν.

διόπερ ἔφη δεῖν ἀμφισβητεῖν περὶ τῆς τοῦ μαντείου προστασίας, ὡς οὔσης πατρίου τοῖς Φωκεῦσιν. ἐπηγγέλλετο
100 δὲ κατορθώσειν τὴν ἐπιβολήν, ἐὰν αὐτὸν αὐτοκράτορα καταστήσωσι στρατηγὸν τῆς ὅλης ἐπιβολῆς καὶ κύριον.

24 Τῶν δὲ Φωκέων διὰ τὸν ἐκ τῆς καταδίκης φόβον ἑλομένων αὐτὸν αὐτοκράτορα στρατηγόν, ὁ Φιλόμηλος ἐνεργῶς ἐπετέλει τὰς ἐπαγγελίας. πρῶτον μὲν γὰρ παρελθὼν εἰς τὴν Σπάρτην ἐν ἀποῤῥήτοις διελέχθη τῷ βασιλεῖ τῶν Λακεδαιμονίων Ἀρχιδάμῳ, ὅτι κοινὸς ὁ ἀγὼν ἐστιν αὐτῷ περὶ τοῦ ποιῆσαι τὰς κρίσεις τῶν Ἀμφικτυόνων ἀκύρους· εἶναι γὰρ καὶ κατὰ τῶν Λακεδαιμονίων μεγάλας καὶ ἀδίκους ἀποφάσεις τῶν Ἀμφικτυόνων. ἐδή-

96. τὸν θεὸν] τῷ θεῷ QX 3. διελέχθη] διηλέχθη Y Bas. 4. ὁμοεθνέσι] ὁμοέθνοις L 6. καθιερωμένην] καθιερουμένην F 7. ἀνάνδρων] ἄνανδρον L, ἀνάνδρως Bas. 8. καὶ τῷ τῶν πάντων βίῳ ἀνατροπήν] τῇ τῶν ἁπάντων τοῦ βίου ἀνατροπῇ QX: et ἁπάντων etiam F, quod admisi
13. ἀπεφαίνετο] ἀπέφαινε LTY Bas. 18. Φωκήων] Φωκείων Bas., φοκίων F Σχεδίος] Σχέδιος omnes
19. πετρήεσσαν] πτερήεσσαν Y 21. ἐπηγγέλλετο] ἐπηγγέλετο FL
100. 27. ἐπαγγελείας Bas.

λωσεν οὖν αὐτῷ διότι τοὺς Δελφοὺς καταλαβέσθαι διέγνωκε, καὶ τῆς προστασίας ἐὰν ἐγκρατὴς γένηται, τὰ δόγματα τῶν Ἀμφικτυόνων ἀκυρώσει. ὁ δ' Ἀρχίδαμος ἀποδεξάμενος τὸν λόγον φανερῶς μὲν κατὰ τὸ παρὸν οὐκ ἔφησε βοηθήσειν, λάθρᾳ δὲ πάντα συμπράξειν, χορηγῶν καὶ χρήματα καὶ μισθοφόρους. ὁ δὲ Φιλόμηλος παρὰ μὲν τούτου πεντεκαίδεκα τάλαντα λαβών, ἰδίᾳ δὲ προςθεὶς οὐκ ἐλάττω τούτων, μισθοφόρους τε ξένους ἐμισθώσατο καὶ τῶν Φωκέων ἐπέλεξε χιλίους, οὓς ὠνόμασε πελταστάς. ἀθροίσας δὲ στρατιωτῶν πλῆθος καὶ καταλαβόμενος τὸ μαντεῖον, τούς τε Θρακίδας καλουμένους τῶν Δελφῶν ἐναντιουμένους ἀνεῖλε καὶ τὰς οὐσίας αὐτῶν ἐδήμευσε· τοὺς δ' ἄλλους ὁρῶν καταπεπληγμένους, παρεκάλει θαῤῥεῖν, ὡς οὐδενὸς ἐσομένου περὶ αὐτοὺς δεινοῦ. διαβοηθείσης δὲ τῆς περὶ τὸ ἱερὸν καταλήψεως, Λοκροὶ μὲν οἱ πλησίον οἰκοῦντες παραχρῆμα ἐστράτευσαν ἐπὶ τὸν Φιλόμηλον. γενομένης δὲ περὶ Δελφοὺς μάχης, οἱ μὲν Λοκροὶ λειφθέντες καὶ πολλοὺς ἀποβαλόντες τῶν στρατιωτῶν ἔφυγον εἰς τὴν οἰκείαν, ὁ δὲ Φιλόμηλος ἐπαρθεὶς τῇ νίκῃ, τὰς τῶν Ἀμφικτυόνων ἀποφάσεις ἔκ τε τῶν στηλῶν ἐξέκοψε καὶ τὰ περὶ τῶν καταδίκων γράμματα κατέλυσεν. αὐτὸς δὲ διέδωκε λόγον ὡς οὔτε συλᾶν τὸ μαντεῖον διέγνωκεν οὔτ' ἄλλην οὐδεμίαν παράνομον πρᾶξιν συντελεῖν βεβούλευται, τῆς δὲ προγονικῆς προστασίας ἀμφισβητῶν καὶ τὰς τῶν Ἀμφικτυόνων ἀδίκους ἀποφάσεις ἀκυρῶσαι βουλόμενος βοηθεῖ τοῖς πατρίοις νόμοις τῶν Φωκέων.

25 Οἱ δὲ Βοιωτοὶ συνελθόντες εἰς ἐκκλησίαν ἐψηφίσαντο βοηθεῖν τῷ μαντείῳ, καὶ παραχρῆμα στρατιώτας ἐξέπεμψαν. τούτων δὲ πραττομένων ὁ Φιλόμηλος τεῖχός τε περιεβάλετο τῷ ἱερῷ καὶ μισθοφόρους ἤθροισε πολλούς, ἀναβιβάσας τοὺς μισθοὺς καὶ ποιήσας ἡμιολίους, καὶ τῶν Φωκέων ἐπιλέγων τοὺς ἀρίστους κατέγραφε, καὶ ταχὺ δύναμιν ἀξιόλογον ἤθροισεν. οὐκ ἐλάττους γὰρ τῶν πεντακιςχιλίων στρατιωτῶν ἔχων προεκάθητο τῶν Δελφῶν, φοβερὸς ὢν ἤδη τοῖς πρὸς αὐτὸν πολεμεῖν βουλομένοις. μετὰ δὲ ταῦτα στρατεύσας εἰς τὴν τῶν Λο- 101
κρῶν χώραν, καὶ πολλὴν τῆς πολεμίας γῆς δῃώσας, κατεστρατοπεδεύσατο πλησίον ποταμοῦ τινος ῥέοντος παρὰ φρούριον ὀχυρόν. τούτῳ δὲ προςβολὰς ποιησάμενος, καὶ μὴ δυνάμενος ἑλεῖν, τῆς μὲν πολιορκίας ἀπέστη,

40. τάλαντα λαβὼν] λαβὼν τάλαντα FL Bas. 56. καταδίκων] καταδικῶν vertit Cospus 72. πολεμεῖν om. Bas.



πρὸς δὲ τοὺς Λοκροὺς συνάψας μάχην ἀπέβαλε τῶν στρατιωτῶν εἴκοσι, καὶ τῶν νεκρῶν οὐ δυνηθεὶς κρατῆσαι, τὴν ἀναίρεσιν αὐτῶν διὰ κήρυκος ᾐτήσατο. οἱ δὲ Λοκροὶ τὴν ἀναίρεσιν οὐ συγχωροῦντες ἀπόκρισιν ἔδωκαν ὅτι παρὰ πᾶσι τοῖς Ἕλλησι κοινὸς νόμος ἐστὶν ἀτάφους ῥίπτεσθαι τοὺς ἱεροσύλους. ὁ δὲ Φιλόμηλος χαλεπῶς φέρων τὸ συμβεβηκός, συνῆψε μάχην τοῖς Λοκροῖς, καὶ πᾶσαν εἰςενεγκάμενος φιλοτιμίαν ἀνεῖλέ τινας τῶν πολεμίων, καὶ τῶν σωμάτων κυριεύσας ἠνάγκασε τοὺς Λοκροὺς ἀλλαγὴν ποιήσασθαι τῶν νεκρῶν. κρατῶν δὲ τῶν ὑπαίθρων, καὶ πολλὴν πορθήσας τῆς Λοκρίδος, ἐπανῆλθεν εἰς Δελφούς, ἐμπεπληκὼς ὠφελείας τοὺς στρατιώτας. μετὰ δὲ ταῦτα περὶ τοῦ πολέμου βουλόμενος χρήσασθαι τῷ μαντείῳ, τὴν Πυθίαν ἠνάγκασεν ἀναβᾶσαν ἐπὶ τὸν τρίποδα δοῦναι τὸν χρησμόν.

26 Ἐπεὶ δὲ τοῦ τρίποδος ἐμνήσθην, οὐκ ἄκαιρον προςαναλαβεῖν ἡγοῦμαι τὴν παλαιὰν περὶ αὐτοῦ παραδεδομένην ἱστορίαν. λέγεται γὰρ τὸ παλαιὸν αἶγας εὑρεῖν τὸ μαντεῖον· οὗ χάριν αἰξὶ μάλιστα χρηστηριάζονται μέχρι τοῦ νῦν οἱ Δελφοί. τὸν δὲ τρόπον τῆς εὑρέσεως γενέσθαι φασὶ τοιοῦτον. ὄντος χάσματος ἐν τούτῳ τῷ τόπῳ καθ' ὃν ἐστι νῦν τοῦ ἱεροῦ τὸ καλούμενον ἄδυτον, καὶ περὶ τοῦτο γενομένων αἰγῶν διὰ τὸ μήπω κατοικεῖσθαι τοὺς Δελφούς, ἀεὶ τῷ χάσματι τὴν προςιοῦσαν καὶ προςβλέψασαν αὐτῷ σκιρτᾶν θαυμαστῶς καὶ προΐεσθαι φωνὴν διάφορον ἢ πρότερον εἰώθει φθέγγεσθαι. τὸν δ' ἐπιστατοῦντα ταῖς αἰξὶ θαυμάσαι τὸ παράδοξον, καὶ προςελθόντα τῷ χάσματι καὶ κατιδόντα οἷονπερ ἦν ταὐτὸ παθεῖν ταῖς αἰξίν· ἐκείνας τε γὰρ ὅμοια ποιεῖν τοῖς ἐνθουσιάζουσι καὶ τοῦτον προλέγειν τὰ μέλλοντα γίνεσθαι. μετὰ δὲ ταῦτα τῆς φήμης παρὰ τοῖς ἐγχωρίοις διαδοθείσης περὶ τοῦ πάθους τῶν προςιόντων τῷ χάσματι πλείους ἀπαντᾶν ἐπὶ τὸν τόπον· διὰ δὲ τὸ παράδοξον πάντων ἀποπειρωμένων, τοὺς ἀεὶ πλησιάζοντας ἐνθουσιάζειν. δι' ἃς αἰτίας θαυμασθῆναί τε τὸ μαντεῖον καὶ νομισθῆναι τῆς Γῆς εἶναι τὸ χρηστήριον. καὶ χρόνον μέν τινα τοὺς βουλομένους μαντεύεσθαι προςιόντας τῷ χάσματι ποιεῖσθαι τὰς μαντείας ἀλλήλοις· μετὰ δὲ ταῦτα πολλῶν καθαλλομένων εἰς τὸ χάσμα διὰ τὸν

101. 80. ἀναίρεσιν] αἵρεσιν Bas. 93. Πυθίαν] Πυθεῖ Y 4. ἀεὶ] αἰεὶ FT Schol. Aristoph. Ploti v. 9. τῷ χάσματι τὴν προςιοῦσαν FL Bas. Schol. Aristoph., caeteri τὴν προςιοῦσαν τῷ χάσματι 11. γίγνεσθαι libri 13. προςιόντων] προϊόντων L 15. πάντων] τῶν FLQ Bas. τοὺς] τοῦ F 16. θαυμασθῆναί] θαυμαστωθῆναί Q

ἐνθουσιασμόν, καὶ πάντων ἀφανιζομένων, δόξαι τοῖς κατοικοῦσι 102 περὶ τὸν τόπον, ἵνα μηδεὶς κινδυνεύῃ, προφῆτίν τε μίαν πᾶσι καταστῆσαι γυναῖκα καὶ διὰ ταύτης γίνεσθαι τὴν χρησμολογίαν, ταύτῃ δὲ κατασκευασθῆναι μηχανὴν ἐφ' ἣν ἀναβαίνουσαν ἀσφαλῶς ἐνθουσιάζειν καὶ μαντεύεσθαι τοῖς βουλομένοις. εἶναι δὲ τὴν μηχανὴν τρεῖς ἔχουσαν βάσεις, ἀφ' ὧν αὐτὴν τρίποδα κληθῆναι· σχεδὸν δὲ παντὸς τοῦ κατασκευάσματος ἀπομιμήματα γίνεσθαι τοὺς ἔτι καὶ νῦν κατασκευαζομένους χαλκοῦς τρίποδας. ὃν μὲν οὖν τρόπον εὑρέθη τὸ μαντεῖον καὶ δι' ἃς αἰτίας ὁ τρίπους κατεσκευάσθη ἱκανῶς εἰρῆσθαι νομίζω. θεσπιῳδεῖν δὲ τὸ ἀρχαῖον λέγεται παρθένους διά τε τὸ τῆς φύσεως ἀδιάφθορον καὶ τὸ τῆς Ἀρτέμιδος ὁμογενές· ταύτας γὰρ εὐθετεῖν πρὸς τὸ τηρεῖν τὰ ἀπόῤῥητα τῶν χρησμῳδουμένων. ἐν δὲ τοῖς νεωτέροις χρόνοις φασὶν Ἐχεκράτην τὸν Θετταλὸν παραγενόμενον εἰς τὸ χρηστήριον καὶ θεασάμενον τὴν χρησμολογοῦσαν παρθένον ἐρασθῆναι διὰ τὸ κάλλος αὐτῆς καὶ συναρπάσαντα βιάσασθαι; τοὺς δὲ Δελφοὺς διὰ τὸ γεγενημένον πάθος εἰς τὸ λοιπὸν νομοθετῆσαι μηκέτι παρθένον χρηστηριάζειν, ἀλλὰ γυναῖκα πρεσβυτέραν πεντήκοντα ἐτῶν χρησμολογεῖν· κοσμεῖσθαι δ' αὐτὴν παρθενικῇ σκευῇ, καθάπερ ὑπομνήματι τῆς παλαιᾶς προφήτιδος. τὰ μὲν οὖν περὶ τῆς εὑρέσεως τοῦ μαντείου μυθολογούμενα τοιαῦτ' ἐστίν· ἡμεῖς δ' ἐπανάξομεν ἐπὶ τὰς Φιλομήλου πράξεις.

27 Οὗτος γὰρ κρατῶν τοῦ μαντείου προσέταττε τῇ Πυθίᾳ τὴν μαντείαν ἀπὸ τοῦ τρίποδος ποιεῖσθαι κατὰ τὰ πάτρια. ἀποκριναμένης δ' αὐτῆς ὅτι ταῦτά ἐστι τὰ πάτρια, διηπειλήσατο καὶ συνηνάγκασε τὴν ἀνάβασιν ποιεῖσθαι ἐπὶ τὸν τρίποδα. ἀποφθεγξαμένης δ' αὐτῆς πρὸς τὴν ὑπεροχὴν τοῦ βιαζομένου ὅτι ἔξεστιν αὐτῷ πράττειν ὃ βούλεται, ἀσμένως τὸ ῥηθὲν ἐδέξατο καὶ τὸν προσήκοντα χρησμὸν ἔχειν ἀπεφήνατο. εὐθὺς δὲ καὶ τὸν χρησμὸν ἔγγραφον ποιήσας καὶ προθεὶς εἰς τοὐμφανὲς ἅπασιν ἐποίησε φανερὸν ὅτι ὁ θεὸς αὐτῷ δίδωσιν ἐξουσίαν πράττειν ὅ,τι βούλεται. συναγαγὼν δ' ἐκκλησίαν καὶ

102. 35. ἀδιάφορον Bas. 37. χρησμῳδουμένων] χρησμοδοτουμένων FL 38. Ἐχεκράτην] Ἐχεκράτη T Schol. Aristoph. 46. ὑπομνήματι] ὑπόμνημά τι Schol. Aristoph. προφήτιδος FL Schol. Aristoph., caeteri προφητείας 51. τὴν μαντείαν] τὰς μαντείας Q 52. κατὰ] καὶ Bas. 53. ταῦτά] τοιαῦτά F 58. δὲ καὶ] δὲ F 59. προθεὶς] προςθεὶς L τοὐμφανὲς] τὸ συμφανὲς T Bas. et correctus in margine F 60. αὐτῷ δίδωσιν] invertit F



τὴν μαντείαν τοῖς πλήθεσι δηλώσας καὶ παρακαλέσας θαῤῥεῖν, ἐτρέπετο πρὸς τὰς τοῦ πολέμου πράξεις. ἐγένετο δ' αὐτῷ καὶ σημεῖον ἐν τῷ ἱερῷ τοῦ Ἀπόλλωνος· ἀετὸς γὰρ ὑπερπετόμενος τὸν νεὼν τοῦ θεοῦ καὶ 103 συγκυλισθεὶς ἐπὶ τὴν γῆν τὰς τρεφομένας ἐν τῷ ἱερῷ περιστερὰς ἐθήρευεν, ὧν ἐνίας ἀπ' αὐτῶν ἥρπαζε τῶν βωμῶν. τὸ δὲ σημεῖον ἔφασαν οἱ περὶ ταῦτ' ἀσχολούμενοι σημαίνειν τῷ Φιλομήλῳ καὶ τοῖς Φωκεῦσι κρατήσειν τῶν περὶ Δελφοὺς πραγμάτων. ἐπαρθεὶς οὖν ἐπὶ τούτοις ἐπέλεξε τῶν φίλων τοὺς εὐθετωτάτους εἰς τὰς πρεσβείας, καὶ τούτων τοὺς μὲν εἰς τὰς Ἀθήνας, τοὺς δ' εἰς Λακεδαίμονα, τοὺς δ' εἰς τὰς Θήβας ἐξέπεμψεν· ὁμοίως δὲ καὶ πρὸς τὰς ἄλλας τὰς ἐπισημοτάτας τῶν κατὰ τὴν Ἑλλάδα πόλεων ἀπέστειλεν, ἀπολογούμενος ὅτι κατείληπται τοὺς Δελφούς, οὐ τοῖς ἱεροῖς χρήμασιν ἐπιβουλεύων, ἀλλὰ τῆς τοῦ ἱεροῦ προστασίας ἀμφισβητῶν· εἶναι γὰρ Φωκέων αὐτὴν ἰδίαν ἐν τοῖς παλαιοῖς χρόνοις ἀποδεδειγμένην. τῶν δὲ χρημάτων τὸν λόγον ἔφη πᾶσι τοῖς Ἕλλησιν ἀποδώσειν, καὶ τόν τε σταθμὸν καὶ τὸν ἀριθμὸν τῶν ἀναθημάτων ἕτοιμος εἶναι παραδιδόναι τοῖς βουλομένοις ἐξετάζειν. ἠξίου δέ, ἄν τις δι' ἔχθραν ἢ φθόνον πολεμῇ Φωκεῦσι, μάλιστα μὲν συμμαχεῖν, εἰ δὲ μή γε, τὴν ἡσυχίαν ἄγειν. τῶν δὲ πρέσβεων τὸ προςταχθὲν πραξάντων, Ἀθηναῖοι μὲν καὶ Λακεδαιμόνιοι καί τινες ἄλλοι συμμαχίαν πρὸς αὐτὸν συνέθεντο καὶ βοηθήσειν ἐπηγγείλαντο, Βοιωτοὶ δὲ καὶ Λοκροὶ καί τινες ἕτεροι τἀναντία τούτοις ἐψηφίσαντο, καὶ τὸν πόλεμον ὑπὲρ τοῦ θεοῦ πρὸς τοὺς Φωκεῖς ἐπανείλοντο. ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

28 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Διοτίμου Ῥωμαῖοι κατέστησαν ὑπάτους Γάϊον Μάρκιον καὶ Γναῖον Μάλλιον. ἐπὶ δὲ τούτων Φιλόμηλος μὲν προορώμενος τὸ μέγεθος τοῦ πολέμου, μισθοφόρων τε πλῆθος ἤθροιζε τῶν τε Φωκέων τοὺς εὐθέτους κατέλεγεν εἰς τὴν στρατείαν. τοῦ δὲ πολέμου προςδεομένου χρημάτων, τῶν μὲν ἱερῶν ἀναθημάτων ἀπείχετο, τοὺς δὲ Δελφοὺς εὐδαιμονίᾳ καὶ πλούτῳ διαφέροντας ἐπράξατο πλῆθος χρημάτων ἱκανὸν εἰς τοὺς τῶν ξένων μισθούς. κατασκευάσας οὖν ἀξιό-

65. ὑπερπετόμενος] ὑπερπετώμενος L

103. 74. δ' εἰς τὰς FT Bas., caeteri δὲ εἰς τὰς 75. ἐπισημοτάτας] ἐπισημοτάτους Bas. 82. τὸν ἀριθμὸν] ἀριθμὸν T Bas. παραδιδόναι] παραδοῦναι X 88. βοηθήσειν] βοηθεῖν FL Bas. 91. ἐπανείλοντο] ἐπανείλαντο FLY Bas. 94. Μάλλιον] Μάλιον F 2. ἀξιόλογον δύναμιν] invertit F

λογον δύναμιν προήγαγεν εἰς ὕπαιθρον, καὶ φανερὸς ἦν ἑτοίμως ἔχων διαγωνίζεσθαι πρὸς τοὺς ἀλλοτρίως διακειμένους τοῖς Φωκεῦσι. τῶν δὲ Λοκρῶν στρατευσαμένων ἐπ' αὐτόν, ἐγένετο μάχη περὶ τὰς Φαιδριάδας καλουμένας πέτρας, ἣν νικήσας ὁ Φιλόμηλος πολλοὺς μὲν ἀνεῖλε τῶν πολεμίων, οὐκ ὀλίγους δ' ἐζώγρησε, τινὰς δὲ κατὰ τῆς πέτρας συνηνάγκασεν ἑαυτοὺς κατακρημνίσαι. μετὰ δὲ τὴν μάχην ταύτην οἱ μὲν Φωκεῖς ἐπήρθησαν τοῖς 104 φρονήμασι διὰ τὴν εὐημερίαν, οἱ δὲ Λοκροὶ ταπεινωθέντες πρέσβεις ἐξέπεμψαν εἰς τὰς Θήβας, ἀξιοῦντες τοὺς Βοιωτοὺς βοηθεῖν αὐτοῖς τε καὶ τῷ θεῷ. οἱ δὲ Βοιωτοὶ διά τε τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν καὶ διὰ τὸ συμφέρειν αὐτοῖς τὰς τῶν Ἀμφικτυόνων κρίσεις βεβαίας εἶναι πρός τε τοὺς Θετταλοὺς ἐπρέσβευσαν καὶ τοὺς ἄλλους Ἀμφικτύονας, ἀξιοῦντες κοινῇ πολεμῆσαι τοῖς Φωκεῦσι. ψηφισαμένων δὲ τῶν Ἀμφικτυόνων τὸν πρὸς Φωκεῖς πόλεμον, πολλὴ ταραχὴ καὶ διάστασις ἦν καθ' ὅλην τὴν Ἑλλάδα. οἱ μὲν γὰρ ἔκριναν βοηθεῖν τῷ θεῷ καὶ τοὺς Φωκεῖς ὡς ἱεροσύλους κολάζειν, οἱ δὲ πρὸς τὴν τῶν Φωκέων βοήθειαν ἀπέκλιναν.

29 Σχιζομένης δὲ τῆς τῶν ἐθνῶν καὶ πόλεων αἱρέσεως τῷ μὲν ἱερῷ βοηθεῖν ἔγνωσαν Βοιωτοὶ καὶ Λοκροὶ καὶ Θετταλοὶ καὶ Περραιβοί, πρὸς δὲ τούτοις Δωριεῖς καὶ Δόλοπες, ἔτι δὲ Ἀθαμᾶνες καὶ Ἀχαιοὶ Φθιῶται καὶ Μάγνητες, ἔτι δὲ Αἰνιᾶνες καί τινες ἕτεροι, τοῖς δὲ Φωκεῦσι συνεμάχουν Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι καί τινες ἕτεροι τῶν Πελοποννησίων. προθυμότατα δὲ συνέπραττον οἱ Λακεδαιμόνιοι διὰ τοιαύτας αἰτίας. ἐν τῷ Λευκτρικῷ πολέμῳ Θηβαῖοι καταπολεμήσαντες τοὺς Λακεδαιμονίους δίκην ἐπήνεγκαν εἰς Ἀμφικτύονας κατὰ τῶν Σπαρτιατῶν, ὅτι Φοιβίδας ὁ Σπαρτιάτης κατελάβετο τὴν Καδμείαν, καὶ διετιμήσαντο τὸ ἀδίκημα ταλάντων πεντακοσίων. καταδικασθέντων δὲ τῶν Λακεδαιμονίων, καὶ τὴν δίκην οὐκ ἐκτινύντων κατὰ τὸν ὡρισμένον ἐκ τῶν νόμων καιρόν, οἱ Θηβαῖοι πάλιν δίκην ἐπήνεγκαν διπλοῦ τοῦ ἀδικήματος. τῶν δ' Ἀμφικτυόνων χιλίοις ταλάντοις καταδικασάντων, οἱ Λακεδαιμόνιοι διὰ τὸ μέγεθος

9. τῆς πέτρας] τὰς πέτρας Q
104. 11. οἱ μὲν] οἱ F Bas. 24. ἀπέκλιναν FL, caeteri ἀπέκλινον 28. Ἀχαιοὶ Φθιῶται Wesselingius, Cospum non recte pro se afferens, qui copulas omnes hic omisit, Φθιῶται καὶ Ἀχαιοὶ F, caeteri Ἀχαιοὶ καὶ Φθιῶται 32. οἱ Λακεδαιμόνιοι Wesselingius: libri οἱ Λακεδαιμόνιοι καί τινες ἕτεροι 34. Λακεδαιμονίους QX, caeteri πολεμίους 39. ἐκτινύντων] ἐκτιννύντων FLTY Bas., caeteri ἐκτινόντων



τοῦ ὀφλήματος ὁμοίας τοῖς Φωκεῦσι τὰς ἀποφάσεις ἐποιοῦντο, λέγοντες ἀδίκως ὑπὸ τῶν Ἀμφικτυόνων καταδεδικάσθαι. διόπερ κοινοῦ ὄντος τοῦ συμφέροντος οἱ Λακεδαιμόνιοι κατ' ἰδίαν μὲν ὤκνουν ὑπὲρ τῆς καταδίκης ἄρασθαι τὸν πόλεμον, διὰ δὲ τοῦ προσώπου τῶν Φωκέων εὐσχημονέστερον ἔκρινον ἀκυρῶσαι τὰς κρίσεις τῶν Ἀμφικτυόνων. διὰ δὴ ταύτας τὰς αἰτίας ἑτοιμότατα συνεμάχουν τοῖς Φωκεῦσι καὶ τὴν προστασίαν τοῦ ἱεροῦ συγκατεσκεύαζον αὐτοῖς.

30 Φανεροῦ δ' ὄντος ὅτι [καὶ] Βοιωτοὶ μεγάλῃ δυνάμει στρατεύσουσιν ἐπὶ τοὺς Φωκεῖς, ὁ Φιλόμηλος ἔκρινε μισθοφόρων ἀθροίζειν πλῆθος. προσδεομένου δὲ τοῦ πολέμου χρημάτων πλειόνων, ἠναγκάζετο τοῖς ἱεροῖς ἀναθήμασιν ἐπιβαλεῖν τὰς χεῖρας καὶ συλᾶν τὸ μαντεῖον. ὑποστησαμένου δ' αὐτοῦ τοῖς ξένοις μισθοὺς ἡμιολίους, ταχὺ πλῆθος ἠθροίσθη μισθοφόρων, πολλῶν ὑπακουόντων πρὸς τὴν στρατείαν διὰ τὸ μέγεθος τῶν μισθῶν. 105 τῶν μὲν οὖν ἐπιεικῶν ἀνδρῶν οὐδεὶς ἀπεγράψατο πρὸς τὴν στρατείαν διὰ τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν, οἱ δὲ πονηρότατοι καὶ θεῶν διὰ τὴν πλεονεξίαν καταφρονοῦντες προθύμως συνέτρεχον πρὸς τὸν Φιλόμηλον, καὶ ταχὺ δύναμις ἰσχυρὰ συνέστη τῶν πρὸς τὴν ἱεροσυλίαν ὁρμωμένων. ὁ μὲν οὖν Φιλόμηλος διὰ τὸ μέγεθος τῆς εὐπορίας ταχὺ δύναμιν ἀξιόχρεων κατεσκευάσατο. εὐθὺς οὖν ἐστράτευσεν εἰς τὴν τῶν Λοκρῶν χώραν ἔχων στρατιώτας ἱππεῖς τε καὶ πεζοὺς πλείους τῶν μυρίων. ἀντιταχθέντων δὲ τῶν Λοκρῶν, καὶ τῶν Βοιωτῶν βοηθησάντων τοῖς Λοκροῖς, ἱππομαχία συνέστη, καθ' ἣν ἐπροτέρησαν οἱ Φωκεῖς. μετὰ δὲ ταῦτα οἱ μὲν Θετταλοὶ μετὰ τῶν πλησιοχώρων συμμάχων ἀθροισθέντες εἰς ἑξακισχιλίους ἧκον εἰς τὴν Λοκρίδα, καὶ συνάψαντες μάχην τοῖς Φωκεῦσι περὶ λόφον Ἀργόλαν ὀνομαζόμενον ἡττήθησαν. ἐπιφανέντων δὲ Βοιωτῶν μυρίοις καὶ τρισχιλίοις στρατιώταις, καὶ τῶν ἐκ Πελοποννήσου Ἀχαιῶν χιλίοις καὶ πεντακοσίοις βοηθησάντων τοῖς Φωκεῦσιν, ἀντεστρατοπέδευσαν αἱ δυνάμεις, ἀμφοτέρων ἀθροισθέντων εἰς ἕνα τόπον.

47. κατ' ἰδίαν] κατιδία F 48. τὸν πόλεμον] πόλεμον T Bas. 54. καὶ Βοιωτοὶ] καὶ asterisco notavit Stephanus
55. στρατεύσουσιν] στρατεύουσιν Bas. 62. διὰ τὸ — μὲν οὖν om. L
105. 63. ἀνδρῶν οὐδεὶς] invertit Bas. 67. δύναμις — 69. ταχὺ om. FLT Bas. et sunt satis inania 70. κατεσκευάσατο] κατεσκευάζετο L 74. ἐπροτέρησαν Wesselingius, ἐπροετέρησαν Bas., caeteri προετέρησαν 78. Ἀργόλαν] Ἀργόλαιον Q

31 *Μετὰ δὲ ταῦτα οἱ μὲν Βοιωτοὶ κατὰ τὰς προνομὰς ζωγρήσαντες οὐκ ὀλίγους τῶν μισθοφόρων, προαγαγόντες πρὸ τῆς πόλεως ἐκήρυξαν ὅτι τούςδε τοὺς ἄνδρας οἱ Ἀμφικτύονες στρατευσαμένους μετὰ τῶν ἱεροσύλων θανάτῳ κολάζουσιν· εὐθὺς δὲ καὶ τῶν ἔργων τοῖς λόγοις ἀκολουθούντων ἅπαντας κατηκόντισαν. ἐπὶ δὲ τούτοις οἱ παρὰ τοῖς Φωκεῦσι μισθοφόροι παροξυνθέντες ἠξίουν τὸν Φιλόμηλον τῆς ὁμοίας τιμωρίας ἀξιῶσαι τοὺς πολεμίους. μεγάλην δὲ φιλονεικίαν εἰςενεγκάμενοι καὶ πολλοὺς τῶν κατὰ τὴν χώραν πλανωμένων παρὰ τοῖς πολεμίοις ζωγρήσαντες ἀνήγαγον· οὓς ἅπαντας ὁ Φιλόμηλος κατηκόντισε. διὰ δὲ ταύτης τῆς κολάσεως τοὺς ἐναντίους ἐποίησαν μεταθέσθαι τῆς ὑπερηφάνου καὶ δεινῆς τιμωρίας. μετὰ δὲ ταῦτα τῶν δυνάμεων εἰς ἄλλην χώραν ἐμβαλουσῶν, καὶ τὴν ὁδοιπορίαν ποιουμένων διὰ τόπων καταδένδρων καὶ τραχέων, ἄφνω συνέμιξαν ἀλλήλοις οἱ προηγούμενοι τῆς στρατιᾶς. γενομένης δὲ συμπλοκῆς, εἶτα μάχης ἰσχυρᾶς, οἱ Βοιωτοὶ τῷ πλήθει πολὺ προέχοντες ἐνίκησαν τοὺς Φωκεῖς. τῆς δὲ φυγῆς γενομένης διὰ τόπου κρημνώδους καὶ δυςεξίτου πολλοὶ τῶν Φωκέων καὶ μισθοφόρων κατεκόπησαν· ὁ δὲ Φιλόμηλος ἐκθύμως ἀγωνισάμενος καὶ πολλοῖς τραύμασι περιπεσών, εἴς τινα κρημνώδη τόπον συνεκλείσθη· οὐκ ἔχων δὲ διέξοδον, καὶ φοβούμενος τὴν ἐκ τῆς αἰχμαλωσίας αἰκίαν, ἑαυτὸν κατεκρήμνισε, καὶ τοῦτον τὸν τρόπον δοὺς τῷ δαιμονίῳ δίκας κατέστρεψε τὸν βίον. ὁ δὲ συνάρχων αὐτῷ στρατηγὸς Ὀνόμαρχος διαδεξάμενος τὴν ἡγεμονίαν, καὶ μετὰ τῆς ἀνασωζομένης δυνάμεως ἀναχωρήσας, ἀνελάμβανε τοὺς ἐκ τῆς φυγῆς ἐπανιόντας. ἅμα δὲ τούτοις 106 πραττομένοις Φίλιππος ὁ τῶν Μακεδόνων βασιλεὺς Μεθώνην μὲν ἐκπολιορκήσας καὶ διαρπάσας κατέσκαψε, Παγασὰς δὲ χειρωσάμενος ἠνάγκασεν ὑποταγῆναι. κατὰ δὲ τὸν Πόντον Λεύκων ὁ τοῦ Βοσπόρου βασιλεὺς ἐτελεύτησεν ἄρξας ἔτη τετταράκοντα, τὴν δὲ ἀρχὴν διαδεξάμενος Σπάρτακος ὁ υἱὸς ἐβασίλευσεν ἔτη πέντε. Ῥωμαίοις δὲ πρὸς Φαλίσκους συνέστη πόλεμος, καὶ μέγα μὲν οὐδὲν οὐδ' ἄξιον μνήμης ἐπετελέσθη, καταδρομαὶ δὲ καὶ πορθήσεις τῆς χώρας τῶν Φαλίσκων ἐγένοντο. κατὰ δὲ τὴν Σικελίαν Δίωνος τοῦ στρατηγοῦ σφαγέντος ὑπὸ Ζακυνθίων τῶν μισθοφόρων τὴν ἡγεμονίαν διεδέξατο Κάλλιππος ὁ τούτους πρὸς τὸν φόνον παρασκευάσας, καὶ ἦρξε μῆνας τρειςκαίδεκα.*

32 *Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Εὐδήμου Ῥωμαῖοι κατέστησαν ὑπάτους Μάρκον Φάβιον καὶ Μάρκον Ποπίλλιον. ἐπὶ δὲ τούτων Βοιωτοὶ νενικηκότες τοὺς Φωκεῖς, καὶ νομίσαντες τὸν αἰτιώτατον τῆς ἱεροσυλίας Φιλόμηλον ὑπὸ θεῶν καὶ ἀνθρώπων κεκολασμένον ἀποτρέψειν τοὺς ἄλλους ἀπὸ τῆς ὁμοίας κακίας, ἀνέζευξαν εἰς τὴν οἰκείαν. οἱ δὲ Φωκεῖς ἀπολυθέντες τοῦ πολέμου κατὰ τὸ παρόν, ἐπανῆλθον εἰς Δελφούς, καὶ συνελθόντες μετὰ τῶν συμμάχων εἰς κοινὴν ἐκκλησίαν ἐβουλεύοντο περὶ τοῦ πολέμου. οἱ μὲν οὖν ἐπιεικέστατοι πρὸς τὴν εἰρήνην ἔῤῥεπον, οἱ δ' ἀσεβεῖς καὶ τόλμῃ καὶ πλεονεξίᾳ διαφέροντες ἐφρόνουν τὰ ἐναντία, καὶ περιεβλέποντο ζητοῦντες τὸν συνηγορήσοντα ταῖς σφετέραις παρανομίαις. Ὀνόμαρχος δὲ πεφροντισμένον λόγον διελθὼν ὑπὲρ τοῦ τηρεῖν τὴν ἐξ ἀρχῆς προαίρεσιν προετρέψατο τὰ πλήθη πρὸς τὸν πόλεμον, οὐχ οὕτω τοῦ κοινῇ συμφέροντος προνοηθεὶς ὡς τὸ ἴδιον λυσιτελὲς προκρίνας. πολλαῖς γὰρ καὶ μεγάλαις δίκαις ὑπὸ τῶν Ἀμφικτυόνων ἦν καταδεδικασμένος ὁμοίως τοῖς ἄλλοις καὶ τὰ ὀφλήματα οὐκ ἐκτετικώς. διόπερ ὁρῶν αἱρετώτερον αὑτῷ τὸν πόλεμον ὄντα τῆς εἰρήνης, εὐλόγως τοὺς Φωκεῖς καὶ συμμάχους παρώξυνε τηρεῖν τὴν ὑπόστασιν τοῦ Φιλομήλου. αἱρεθεὶς δὲ στρατηγὸς αὐτοκράτωρ μισθοφόρων τε πλῆθος ἤθροιζε καὶ τὰς τῶν τετελευτηκότων τάξεις ἀναπληρώσας, καὶ τῷ πλήθει τῶν ξενολογηθέντων αὐξήσας τὴν δύναμιν μεγάλας παρασκευὰς ἐποιεῖτο συμμάχων καὶ τῶν ἄλλων τῶν εἰς πόλεμον χρησίμων.*

33 *ἐπῆρε δ' αὐτὸν πρὸς τὴν ὑπόστασιν ταύτην ὄνειρος ἔμφασιν δοὺς μεγάλης αὐξήσεώς τε καὶ δόξης· κατὰ γὰρ τὸν ὕπνον ἔδοξε τὸν κολοττὸν τὸν χαλκοῦν, ὃν ἀνέθηκαν ἐν τῷ ἱερῷ τοῦ 107 Ἀπόλλωνος οἱ Ἀμφικτύονες, ἀναπλάττειν εἰς ὕψος ταῖς ἰδίαις χερσὶ καὶ ποιῆσαι πολὺ μείζονα. ὑπέλαβεν οὖν αὑτῷ σημαίνεσθαι παρὰ τῶν θεῶν αὔξησιν δόξης ἔσεσθαι διὰ τῆς αὑτοῦ στρατηγίας· τὸ δ' ἀληθὲς οὐχ οὕτως εἶχε, τοὐναντίον δὲ παρεσημαίνετο, διὰ τὸ τοὺς Ἀμ-*

88. *εὐθὺς*] *εὐθὺ* Bas. 97. *ἐποίησαν* T Bas., caeteri *ἐποίησε* 8. *συνεκλείσθη*] *κατεκλείσθη* L 9. *δὲ* om. F

106. 17. *καὶ διαρπάσας* om. Bas. 18. *Παγασὰς* Gemistus: libri *Παγὰς* 21. *τετταράκοντα*] *τεσσαράκοντα* omnes, *μ̄* Bas. *Σπαρτακὸς*] *Σπαρτάκης* QX, caeteri *Σπαρτακὸς* 25. *ἐγένοντο*] *ἐγίνοντο* FL Bas.



27. *τῶν*] *τινῶν* scripsit, si quid scripsit inter *Ζακυνθίων* et *μισθοφόρων* 30. *τρειςκαίδεκα*] *τρεῖς καὶ δέκα* Bas. 31. *Εὐδήμου*] vide annotationem 33. *Ποπίλλιον* Wesselingius, *Popilio* Cospus, caeteri *Πόπλιον* 36. *ἀποτρέψειν*] *τρέψειν* L, *ἀτρέψειν* F 41. *ἔῤῥεπον* FLQY, caeteri *ἔβλεπον* *δ'* F Bas., caeteri *δὲ* 43. *συνηγορήσαντα* Bas.

107. 69. *τὸ τοὺς*] *τότ'* Bas.

φικτύονας ἐκ τοῦ ζημιώματος τῶν Φωκέων εἰς τὸ ἱερὸν παρανομησάντων καὶ διὰ τοῦτο ζημιωθέντων, ἐσημαίνετο ἡ ζημία τῶν Φωκέων αὔξησιν ἀπολήψεσθαι ταῖς τοῦ Ὀνομάρχου χερσίν· ὅπερ καὶ συνέβη γενέσθαι. ὁ οὖν Ὀνόμαρχος αὐτοκράτωρ ᾑρημένος ἐκ μὲν τοῦ χαλκοῦ καὶ σιδήρου κατεσκεύασεν ὅπλων πλῆθος, ἐκ δὲ τοῦ ἀργυρίου καὶ χρυσίου νόμισμα κόψας ταῖς τε συμμαχούσαις πόλεσι διεδίδου καὶ μάλιστα τοὺς προεστηκότας ἐδωροδόκει. διέφθειρε δὲ καὶ τῶν πολεμίων πολλούς, οὓς μὲν συμμαχεῖν πείθων, οὓς δὲ τὴν ἡσυχίαν ἔχειν ἀξιῶν. πάντα δὲ ῥᾳδίως ἐπετέλει διὰ τὴν τῶν ἀνθρώπων φιλαργυρίαν· καὶ γὰρ τοὺς Θετταλοὺς μέγιστον ἔχοντας τῶν συμμάχων ἀξίωμα δωροδοκήσας ἔπεισε τὴν ἡσυχίαν ἔχειν. καὶ τῶν μὲν Φωκέων τοὺς ἐναντιουμένους συλλαμβάνων ἀνῄρει καὶ τὰς οὐσίας ἐδήμευεν, εἰς δὲ τὴν πολεμίαν ἐμβαλὼν Θρόνιον μὲν ἐκπολιορκήσας ἐξηνδραποδίσατο, Ἀμφισσεῖς δὲ καταπληξάμενος ἠνάγκασεν ὑποτάττεσθαι. τὰς δ' ἐν Δωριεῦσι πόλεις πορθήσας τὴν χώραν αὐτῶν ἐδῄωσεν. εἰς δὲ τὴν Βοιωτίαν ἐμβαλὼν Ὀρχομενὸν μὲν εἷλεν, ἐπιχειρήσας δὲ πολιορκεῖν Χαιρώνειαν, καὶ ἡττηθεὶς ὑπὸ Θηβαίων, ἐπανῆλθεν εἰς τὴν οἰκείαν.

34 Ἅμα δὲ τούτοις πραττομένοις Ἀρτάβαζος, ἀποστάτης ὢν τοῦ βασιλέως, διεπολέμει πρὸς τοὺς ἀποσταλέντας ὑπὸ τοῦ βασιλέως σατράπας εἰς τὸν πόλεμον. καὶ τὸ μὲν πρῶτον συμμαχοῦντος αὐτῷ Χάρητος τοῦ Ἀθηναίων στρατηγοῦ ἐῤῥωμένως ἀντετάττετο τοῖς σατράπαις· ἐκείνου δὲ ἀπελθόντος μονωθεὶς ἔπεισε τοὺς Θηβαίους συμμαχίαν αὐτῷ πέμψαι. οἱ δὲ Παμμένη στρατηγὸν ἑλόμενοι, καὶ δόντες αὐτῷ στρατιώτας πεντακισχιλίους, ἐξέπεμψαν εἰς τὴν Ἀσίαν. ὁ δὲ Παμμένης βοηθήσας Ἀρταβάζῳ, καὶ τοὺς σατράπας μεγάλαις μάχαις δυσὶ νικήσας, περιεποιήσατο μεγάλην δόξαν ἑαυτῷ τε καὶ τοῖς Βοιωτοῖς. ἐφάνη γὰρ θαυμαστὸν εἰ Βοιωτοὶ τῶν μὲν Θετταλῶν ἐγκαταλελοιπότων, τοῦ δὲ Φωκικοῦ πολέμου μεγάλους ἐπιφέροντος κινδύνους, διαποντίους δυνάμεις εἰς τὴν Ἀσίαν ἐξέπεμπον καὶ ἐπροτέρουν κατὰ τὸ πλεῖστον ἐν τοῖς κινδύνοις. ἅμα δὲ τούτοις πραττομένοις συνέστη πόλεμος Ἀργείοις πρὸς Λακεδαιμονίους· καὶ γενομένης μάχης περὶ πόλιν Ὀρνεὰς ἐνίκων οἱ Λακεδαιμόνιοι, καὶ τὰς Ὀρνεὰς ἐκπολιορκήσαντες ἐπανῆλθον εἰς τὴν Σπάρτην. Χάρης δὲ ὁ τῶν Ἀθηναίων στρατηγὸς εἰςπλεύσας εἰς Ἑλλήσποντον, καὶ Σηστὸν πόλιν ἑλών, τοὺς μὲν ἡβῶντας ἀπέσφαξε, τοὺς δ' ἄλλους ἐξηνδραπο-
108 δίσατο. Κερσοβλέπτου δὲ τοῦ Κότυος διά τε τὴν πρὸς Φίλιππον ἀλλοτριότητα καὶ τὴν πρὸς Ἀθηναίους φιλίαν ἐγχειρίσαντος τοῖς Ἀθηναίοις τὰς ἐν Χεῤῥονήσῳ πόλεις πλὴν Καρδίας, ἀπέστειλεν ὁ δῆμος κληρούχους εἰς τὰς πόλεις. Φίλιππος δ' ὁρῶν τοὺς Μεθωναίους ὁρμητήριον παρεχομένους τὴν πόλιν τοῖς πολεμίοις ἑαυτοῦ, πολιορκίαν συνεστήσατο. καὶ μέχρι μέν τινος οἱ Μεθωναῖοι διεκαρτέρουν, ἔπειτα κατισχυόμενοι συνηναγκάσθησαν παραδοῦναι τὴν πόλιν τῷ βασιλεῖ, ὥςτε ἀπελθεῖν τοὺς πολίτας ἐκ τῆς Μεθώνης ἔχοντας ἓν ἱμάτιον ἕκαστον. ὁ δὲ Φίλιππος τὴν μὲν πόλιν κατέσκαψε, τὴν δὲ χώραν διένειμε τοῖς Μακεδόσιν. ἐν δὲ τῇ πολιορκίᾳ ταύτῃ συνέβη τὸν Φίλιππον εἰς τὸν ὀφθαλμὸν πληγέντα τοξεύματι διαφθαρῆναι τὴν ὅρασιν.

35 Μετὰ δὲ ταῦθ' ὁ Φίλιππος ὑπὸ Θετταλῶν μετακληθεὶς ἧκεν εἰς Θετταλίαν μετὰ τῆς δυνάμεως· καὶ τὸ μὲν πρῶτον πρὸς Λυκόφρονα τὸν Φερῶν τύραννον διεπολέμει βοηθῶν τοῖς Θετταλοῖς· μετὰ δὲ ταῦτα τοῦ Λυκόφρονος μεταπεμψαμένου παρὰ τῶν Φωκέων συμμαχίαν, ἀπεστάλη Φάϋλλος ὁ ἀδελφὸς Ὀνομάρχου μετὰ στρατιωτῶν ἑπτακισχιλίων. ὁ δὲ Φίλιππος τοὺς Φωκεῖς νικήσας ἐξέβαλεν ἐκ τῆς Θετταλίας. Ὀνόμαρχος δ' ἀναλαβὼν πᾶσαν τὴν δύναμιν, καὶ νομίζων ὅλης τῆς Θετταλίας κυριεύσειν, ἧκεν ἐν τάχει βοηθήσων τοῖς περὶ τὸν Λυκόφρονα. τοῦ δὲ Φιλίππου μετὰ τῶν Θετταλῶν ἀντιπαραταξαμένου τοῖς Φωκεῦσιν, Ὀνόμαρχος ὑπερέχων τοῖς πλήθεσι δυσὶ μάχαις ἐνίκησε, καὶ πολλοὺς τῶν Μακεδόνων ἀνεῖλε. Φίλιππος δὲ εἰς τοὺς ἐσχάτους κινδύνους περικλεισθείς, καὶ τῶν στρατιωτῶν διὰ τὴν ἀθυμίαν καταλιπόντων αὐτόν, παραθαῤῥύνας τὸ πλῆθος μόγις ἐποίησεν αὐτοὺς εὐπειθεῖς. μετὰ δὲ ταῦτα ὁ Φίλιππος μὲν ἀνεχώρησεν εἰς τὴν Μακεδονίαν, Ὀνόμαρχος δὲ στρατεύσας εἰς Βοιωτίαν ἐνίκησε μάχῃ τοὺς Βοιωτοὺς καὶ πόλιν εἷλε Κορώνειαν. κατὰ δὲ τὴν Θετταλίαν Φίλιππος μὲν ἐκ τῆς Μακεδονίας μετὰ τῆς δυνάμεως ἄρτι κατηντηκώς, ἐστράτευσεν ἐπὶ Λυκόφρονα τὸν Φερῶν τύ-

70. Φωκέων] κέων F correctus in margine: totius loci sententia aperta est, sed verba confusa   88. ὑποτάττεσθαι] ὑποτάσσεσθαι F Bas.   8. τὴν Ἀσίαν] Ἀσίαν Bas.   ἐπροτέρουν] ἐπροετέρουν Bas., προετέρουν FLT: καὶ ἐπρ. — κινδύνοις om. X

16. δ' F

108. 36. μεταπεμψαμένου] μεταπεμπομένου Bas.   49. libri παραθαρσύνας   49. μόγις FLT, caeteri μόλις   50. τὴν om. F   52. τοὺς om. Bas.   55. τὸν] τῶν F

ραννον. οὗτος δὲ οὐκ ὢν ἀξιόμαχος μετεπέμψατο συμμαχίαν παρὰ Φωκέων, ἐπαγγελλόμενος συγκατασκευάσειν αὐτοῖς τὰ κατὰ τὴν Θετταλίαν. διόπερ Ὀνομάρχου πεζῇ 109
βοηθήσαντος μετὰ πεζῶν δισμυρίων καὶ πεντακοσίων ἱππέων, ὁ μὲν Φίλιππος πείσας τοὺς Θετταλοὺς κοινῇ τὸν πόλεμον ἄρασθαι συνήγαγε τοὺς πάντας πεζοὺς μὲν ὑπὲρ τοὺς δισμυρίους, ἱππεῖς δὲ τρισχιλίους· γενομένης δὲ παρατάξεως ἰσχυρᾶς, καὶ τῶν Θετταλῶν ἱππέων τῷ πλήθει καὶ ταῖς ἀρεταῖς διαφερόντων, ἐνίκησεν ὁ Φίλιππος. τῶν δὲ περὶ τὸν Ὀνόμαρχον καταφυγόντων εἰς τὴν θάλατταν, καὶ τυχικῶς παραπλέοντος τοῦ Ἀθηναίου Χάρητος μετὰ πολλῶν τριήρων, πολὺς ἐγένετο φόνος τῶν Φωκέων· οἱ γὰρ φεύγοντες ῥίψαντες τὰς πανοπλίας διενήχοντο πρὸς τὰς τριήρεις, ἐν οἷς ἦν καὶ αὐτὸς Ὀνόμαρχος. τέλος δὲ τῶν Φωκέων καὶ μισθοφόρων ἀνηρέθησαν μὲν ὑπὲρ τοὺς ἑξακισχιλίους, ἐν οἷς ἦν καὶ αὐτὸς ὁ στρατηγός, ἥλωσαν δὲ οὐκ ἐλάττους τῶν τρισχιλίων. ὁ δὲ Φίλιππος τὸν μὲν Ὀνόμαρχον ἐκρέμασε, τοὺς δ' ἄλλους ὡς ἱεροσύλους κατεπόντισε.

**36** Μετὰ δὲ τὴν Ὀνομάρχου τελευτὴν διεδέξατο τὴν Φωκέων ἡγεμονίαν ὁ ἀδελφὸς Φάϋλλος. οὗτος δὲ τὴν γεγενημένην συμφορὰν διορθούμενος μισθοφόρων τε πλῆθος ἤθροιζε, διπλασιάσας τοὺς εἰωθότας μισθούς, καὶ παρὰ τῶν συμμάχων βοήθειαν μετεπέμπετο· κατεσκευάζετο δὲ καὶ ὅπλων πλῆθος καὶ νόμισμα ἔκοψε χρυσοῦν τε καὶ ἀργυροῦν. ὑπὸ δὲ τοὺς αὐτοὺς καιροὺς Μαύσωλος ὁ Καρίας δυνάστης ἐτελεύτησεν ἄρξας ἔτη εἴκοσι τέτταρα, τὴν δὲ ἀρχὴν διαδεξαμένη Ἀρτεμισία ἡ ἀδελφὴ καὶ γυνὴ ἐδυνάστευσεν ἔτη δύο. Κλέαρχος δὲ ὁ Ἡρακλείας τύραννος Διονυσίων ὄντων ἐπὶ θέαν βαδίζων ἀνῃρέθη, ἄρξας ἔτη δώδεκα· τὴν δὲ ἀρχὴν διαδεξάμενος ὁ υἱὸς Τιμόθεος ἦρξεν ἔτη πεντεκαίδεκα. Τυῤῥηνοὶ δὲ διαπολεμοῦντες Ῥωμαίοις ἐπόρθησαν πολλὴν τῆς πολεμίας χώρας, καὶ μέχρι τοῦ Τιβέρεως καταδραμόντες ἐπανῆλθον εἰς τὴν οἰκείαν. ἐν δὲ ταῖς Συρακούσαις στάσεως γενομένης τοῖς Δίωνος φίλοις πρὸς Κάλλιππον, οἱ μὲν τοῦ Δίωνος φίλοι ἡττηθέντες ἔφυγον εἰς τοὺς Λεοντίνους· μετὰ δέ τινα χρόνον Ἱππαρίνου τοῦ Διονυσίου καταπλεύσαντος εἰς τὰς Συρακούσας μετὰ δυ-

109. 59. πεζῇ] delet Reiskius: idem om. Cospus, quanquam eius nulla in talibus auctoritas est 76. κατεπόντισε] κατεπόντωσε Gemistus: quod notavi propter eandem varietatem vol. I. p. 726. 66. 727. 88. repertam 82. κατεσκευάζετο] κατεσκεύαζε FL 83. ἔκοψε] κατέκοψε Q 85. τέτταρα] vulgo τέσσαρα, δ Bas. 89. δώδεκα] δυοκαίδεκα F 97. Διονυσίου] Δίωνος Cospus



νάμεως, ὁ μὲν Κάλλιππος ἡττηθεὶς ἐξέπεσε τῆς πόλεως,
110 Ἱππαρῖνος δὲ ἀνακτησάμενος τὴν πατρῴαν δυναστείαν ἦρξεν ἔτη δύο.

**37** Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Ἀριστοδήμου Ῥωμαῖοι κατέστησαν ὑπάτους Γάϊον Σουλπίκιον καὶ Μάρκον Οὐαλέριον, Ὀλυμπιὰς δ' ἤχθη ἑβδόμη πρὸς ταῖς ἑκατόν, καθ' ἣν ἐνίκα στάδιον Σμικρίνας Ταραντῖνος. ἐπὶ δὲ τούτων Φάϋλλος μὲν ὁ Φωκέων στρατηγὸς μετὰ τὴν τοῦ ἀδελφοῦ τελευτήν τε καὶ ἧτταν προσανέλαβε τὰ τῶν Φωκέων πράγματα τεταπεινωμένα διά τε τὴν ἧτταν καὶ τὴν φθορὰν τῶν στρατιωτῶν. ἔχων γὰρ χρημάτων πλῆθος ἀνέκλειπτον, πολλοὺς μὲν μισθοφόρους ἤθροισεν, οὐκ ὀλίγους δὲ συμμάχους ἔπεισε συνεπιλαβέσθαι τοῦ πολέμου. τῇ γὰρ ἀφθονίᾳ τῶν χρημάτων ἀνέδην χρώμενος οὐ μόνον ἰδιώτας πολλοὺς ἔσχε προθύμους συναγωνιστάς, ἀλλὰ καὶ πόλεις τὰς ἐπιφανεστάτας ἐπεσπάσατο πρὸς τὴν κοινοπραγίαν. Λακεδαιμόνιοι μὲν γὰρ ἀπέστειλαν αὐτῷ στρατιώτας χιλίους, Ἀχαιοὶ δὲ δισχιλίους, Ἀθηναῖοι δὲ πεζοὺς μὲν πεντακισχιλίους, ἱππεῖς δὲ τετρακοσίους, ὧν ἦν στρατηγὸς Ναυσικλῆς. οἱ δὲ τῶν Φεραίων τύραννοι Λυκόφρων καὶ Πειθόλαος μετὰ τὴν Ὀνομάρχου τελευτὴν ἔρημοι συμμάχων ὄντες τὰς μὲν Φερὰς παρέδοσαν τῷ Φιλίππῳ, αὐτοὶ δ' ὑπόσπονδοι γενόμενοι συνήγαγον τοὺς μισθοφόρους ὄντας δισχιλίους, καὶ μετὰ τούτων φυγόντες πρὸς Φάϋλλον συνεμάχουν τοῖς Φωκεῦσιν. ἐβοήθησαν δὲ καὶ τῶν ἐλαττόνων πόλεων οὐκ ὀλίγαι τοῖς Φωκεῦσι διὰ τὸ πλῆθος τῶν διαδιδομένων χρημάτων· ὁ γὰρ χρυσὸς τὰς πλεονεξίας τῶν ἀνθρώπων ἐκκαλούμενος ἠνάγκασεν αὐτομολεῖν πρὸς τὴν ἐκ τοῦ κέρδους λυσιτέλειαν. ὁ δ' οὖν Φάϋλλος μετὰ τῆς δυνάμεως ἐστράτευσεν εἰς τὴν Βοιωτίαν, καὶ περὶ πόλιν Ὀρχομενὸν ἡττηθεὶς μάχῃ πολλοὺς τῶν στρατιωτῶν ἀπέβαλε. μετὰ δὲ ταῦτα ἄλλης γενομένης μάχης παρὰ τὸν Κηφισὸν ποταμὸν ἐνίκησαν πάλιν Βοιωτοί, καὶ ἀνεῖλον τῶν πολεμίων ὑπὲρ τοὺς τετρακοσίους, ἐζώγρησαν δ' εἰς πεντακοσίους. ὀλίγαις δ' ὕστερον ἡμέραις γενομένης μάχης περὶ Κορώνειαν ἐνίκησαν οἱ Βοιωτοί, καὶ πεντή-

110. 5. Σμικρίνας] Μικρίνας QX 7. τε om. F 13. ἀνέδην F, ἀναίδην caeteri 14. ἰδιώτας] τοὺς ἰδιώτας FLY Bas. 19. τετρακοσίους] sexcentos Cospus 30. ἐκ om. Bas. 34. Κηφισὸν FT Bas. Cospus, caeteri Κηφισσὸν 36. τετρακοσίους] πεντακοσίους QX Cospus, om. cum lacunae signo Bas. ἐζώγρησαν δ' εἰς πεντακοσίους] ἐζώγρησαν δὲ οὐκ ἐλάττους τῶν τετρακοσίων QX, sexcenti ferme capti Cospus 39. πεντήκοντα] centum et quinquaginta Cospus

κοντα μὲν ἀνεῖλον τῶν Φωκέων, ἑκατὸν δὲ καὶ τριάκοντα ἐζώγρησαν.

Ἡμεῖς δὲ τὰ περὶ Βοιωτοὺς καὶ Φωκεῖς διεληλυθό-
38 τες ἐπάνιμεν ἐπὶ τὸν Φίλιππον. οὗτος γὰρ νικήσας τὸν Ὀνόμαρχον ἐπιφανεῖ παρατάξει τήν τ' ἐν Φεραῖς τυραννίδα καθεῖλε καὶ τῇ πόλει τὴν ἐλευθερίαν ἀποδοὺς καὶ τὰ ἄλλα τὰ κατὰ τὴν Θετταλίαν καταστήσας προῆγεν ἐπὶ τὰς Πύλας πολεμήσων τοῖς Φωκεῦσι. κωλυσάντων δὲ τῶν Ἀθηναίων διελθεῖν τὰς παρόδους, ἐπανῆλθεν εἰς Μακεδονίαν, ηὐξηκὼς ἑαυτοῦ τὴν βασιλείαν ταῖς τε πράξεσι καὶ τῇ πρὸς τὸ θεῖον εὐσεβείᾳ. Φάϋλλος δὲ στρα-
τεύσας εἰς Λοκροὺς τοὺς ἐπονομαζομένους Ἐπικνημιδίους 111
τὰς μὲν ἄλλας πόλεις ἐχειρώσατο πάσας, μίαν δὲ τὴν ὀνομαζομένην Νάρυκα διὰ προδοσίας νυκτὸς παραλαβών, πάλιν ἐξέπεσε, καὶ τῶν στρατιωτῶν ἀπέβαλεν οὐκ ἐλάττους τῶν διακοσίων. μετὰ δὲ ταῦτα στρατοπεδεύοντος αὐτοῦ περὶ τὰς ὀνομαζομένας Ἄβας οἱ Βοιωτοὶ νυκτὸς ἐπιθέμενοι τοῖς Φωκεῦσιν ἀνεῖλον αὐτῶν οὐκ ὀλίγους· ἐπαρθέντες δὲ τῷ προτερήματι παρῆλθον εἰς τὴν τῶν Φωκέων χώραν, καὶ πολλὴν αὐτῆς πορθήσαντες ἤθροισαν λαφύρων πλῆθος. ἐπανιόντων δ' αὐτῶν, καὶ τῇ Ναρυκαίων πόλει πολιορκουμένῃ βοηθούντων, ἐπιφανεὶς ὁ Φάϋλλος τούτους μὲν ἐτρέψατο, τὴν δὲ πόλιν ἑλὼν κατὰ κράτος διήρπασε καὶ κατέσκαψεν. αὐτὸς δὲ περιπεσὼν νόσῳ φθινάδι καὶ πολὺν χρόνον ἀῤῥωστήσας, ἐπιπόνως καὶ τῆς ἀσεβείας οἰκείως κατέστρεψε τὸν βίον, καταλιπὼν τῶν Φωκέων στρατηγὸν Φάλαικον τὸν Ὀνομάρχου υἱὸν τοῦ τὸν ἱερὸν πόλεμον ἐκκαύσαντος, ἀντίπαιδα τὴν ἡλικίαν ὄντα· παρακατέστησε δ' αὐτῷ ἐπίτροπον ἅμα καὶ στρατηγὸν Μνασέαν, ἕνα τῶν ἑαυτοῦ φίλων. μετὰ δὲ ταῦτα οἱ Βοιωτοὶ νυκτὸς ἐπιθέμενοι τοῖς Φωκεῦσι τόν τε στρατηγὸν αὐτῶν Μνασέαν ἀπέκτειναν καὶ τῶν στρατιωτῶν εἰς διακοσίους. μετ' ὀλίγον δ' ἱππομαχίας γενομένης περὶ Χαιρώνειαν ὁ Φάλαικος ἡττηθεὶς ἀπέβαλε τῶν ἱππέων οὐκ ὀλίγους.

39 Ἅμα δὲ τούτοις πραττομένοις καὶ κατὰ τὴν Πελοπόννησον ἐγένοντο ταραχαὶ καὶ κινήσεις διὰ τοιαύτας τινὰς αἰτίας. Λακεδαιμόνιοι πρὸς Μεγαλοπολίτας διαφερόμενοι τὴν χώραν αὐτῶν κατέδραμον Ἀρχιδάμου τὴν ἡγεμονίαν ἔχοντος· οἱ δὲ Μεγαλοπολῖται παροξυνθέντες

40. Βοιωτοὺς] τοὺς Βοιωτοὺς L ἐπονομαζ.] ὀνομαζ. Y Bas.
111. 53. Νάρυκα] Ναρύκαν Iac. Gronovius: libri Ἀρύκαν 62. Ναρυκαίων] libri Ἀρυκαίων 71. ἅμα om. Bas. στρατηγὸν] ὄντα addunt FY Bas.



ἐπὶ τοῖς πραχθεῖσι, καὶ καθ' ἑαυτοὺς οὐκ ὄντες ἀξιόμαχοι, παρὰ τῶν συμμάχων μετεπέμψαντο βοήθειαν. Ἀργεῖοι μὲν οὖν καὶ Σικυώνιοι καὶ Μεσσήνιοι πανδημεὶ κατὰ τάχος ἐβοήθησαν, Θηβαῖοι δ' ἀπέστειλαν πεζοὺς μὲν τετρακισχιλίους, ἱππεῖς δὲ πεντακοσίους, στρατηγὸν ἐπιστήσαντες Κηφισίωνα. Μεγαλοπολῖται μὲν οὖν μετὰ τῶν συμμάχων ἐκστρατεύσαντες κατεστρατοπέδευσαν περὶ τὰς πηγὰς τοῦ Ἀλφειοῦ ποταμοῦ. οἱ δὲ Λακεδαιμόνιοι τρισχιλίους μὲν πεζοὺς παρὰ Φωκέων προσελάβοντο, ἱππεῖς δὲ ἑκατὸν καὶ πεντήκοντα παρὰ Λυκόφρονος καὶ Πειθολάου τῶν ἐκπεπτωκότων ἐκ τῆς ἐν Φεραῖς τυραννίδος· συστησάμενοι δὲ δύναμιν ἀξιόμαχον κατεστρατοπέδευσαν περὶ Μαντίνειαν. μετὰ δὲ ταῦτα ἐπὶ πόλιν Ὀρνεὰς τῆς Ἀργείας καταντήσαντες, ἔφθασαν αὐτὴν ἐκπολιορκήσαντες πρὸ τῆς τῶν πολεμίων παρουσίας, οὖσαν σύμμαχον τῶν Μεγαλοπολιτῶν. ἐπεξελθόντων δὲ τῶν Ἀργείων, συνάψαντες μάχην ἐνίκησαν καὶ πλείους τῶν διακοσίων ἀπέκτειναν. τῶν δὲ Θηβαίων ἐπιφανέντων, καὶ τῷ μὲν πλήθει διπλασίων ὄντων, ταῖς δ' εὐταξίαις
112 λειπομένων, συνέστη μάχη καρτερά· καὶ τῆς νίκης ἀμφιδόξου γενομένης, οἱ μὲν Ἀργεῖοι καὶ οἱ σύμμαχοι τὴν εἰς τὰς οἰκείας πόλεις ἐπάνοδον ἐποιήσαντο, Λακεδαιμόνιοι δ' εἰς τὴν Ἀρκαδίαν ἐμβαλόντες, καὶ πόλιν Ἑλισσοῦντα κατὰ κράτος ἑλόντες καὶ διαρπάσαντες, ἐπανῆλθον εἰς τὴν Σπάρτην. μετὰ δέ τινα χρόνον οἱ Θηβαῖοι μετὰ τῶν συμμάχων ἐνίκησαν τοὺς πολεμίους περὶ Τέλφουσαν, καὶ συχνοὺς ἀνελόντες ἐζώγρησαν Ἀνάξανδρόν τε τὸν ἡγούμενον καὶ τῶν ἄλλων πλείους τῶν ἑξήκοντα. μετ' ὀλίγον δὲ χρόνον ἄλλαις δυσὶ μάχαις ἐπροτέρησαν καὶ τῶν ἐναντίων οὐκ ὀλίγους κατέβαλον. τὸ δὲ τελευταῖον τῶν Λακεδαιμονίων ἀξιολόγῳ μάχῃ νικησάντων, αἱ δυνάμεις ἀμφοτέρων εἰς τὰς οἰκείας πόλεις ἐπανῆλθον. ἔπειτα τῶν Λακεδαιμονίων ποιησαμένων ἀνοχὰς πρὸς τοὺς Μεγαλοπολίτας ἐπανῆλθον εἰς τὴν Βοιωτίαν οἱ Θηβαῖοι. Φάλαικος δὲ περὶ τὴν Βοιωτίαν διατρίβων Χαιρώνειαν εἷλε, καὶ τῶν Θηβαίων ἐπιβοηθησάντων ἐξέπεσεν ἐκ τῆς πόλεως. ἔπειθ' οἱ μὲν Βοιωτοὶ πολλῇ δυνάμει στρατεύσαντες εἰς τὴν Φωκίδα τὴν πλείστην αὐτῆς ἐπόρθησαν καὶ τὰς κατὰ τὴν χώραν κτήσεις ἐδῄωσαν· ἔνια δὲ καὶ τῶν μικρῶν πολισμάτων ἑλόντες καὶ λαφύρων πλῆθος ἀθροίσαντες, ἐπανῆλθον εἰς τὴν Βοιωτίαν.

88. πεντακοσίους] sexcentis Cospus
112. 14. ἐπροτέρησαν Wesselingius, ἐπροετέρησαν Bas., caeteri προετέρησαν 26. καὶ λαφύρων] λαφύρων L

40 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Θεττάλου Ῥωμαῖοι κατέστησαν ὑπάτους Μάρκον Φάβιον καὶ Τίτον Κοΐντιον. ἐπὶ δὲ τούτων Θηβαῖοι κάμνοντες τῷ πρὸς Φωκεῖς πολέμῳ καὶ χρημάτων ἀπορούμενοι, πρέσβεις ἐξέπεμψαν πρὸς τὸν τῶν Περσῶν βασιλέα, παρακαλοῦντες εἰςευπορῆσαι τῇ πόλει χρήματα. ὁ δ' Ἀρταξέρξης προθύμως ὑπακούσας ἔδωκεν αὐτοῖς δωρεὰν ἀργυρίου τάλαντα τριακόσια. τοῖς δὲ Βοιωτοῖς καὶ τοῖς Φωκεῦσιν ἀκροβολισμοὶ μὲν καὶ χώρας καταδρομαὶ συνέστησαν, πράξεις δὲ κατὰ τοῦτον τὸν ἐνιαυτὸν ἄξιαι μνήμης οὐ συνετελέσθησαν. κατὰ δὲ τὴν Ἀσίαν ὁ βασιλεὺς τῶν Περσῶν ἐν μὲν τοῖς ἐπάνω χρόνοις στρατεύσας ἐπ' Αἴγυπτον πολλοῖς πλήθεσι στρατιωτῶν ἀπέτυχε, κατὰ δὲ τοὺς ὑποκειμένους καιροὺς πάλιν ἐπολέμησε τοῖς Αἰγυπτίοις, καὶ πράξεις ἀξιολόγους κατεργασάμενος διὰ τῆς ἰδίας ἐνεργείας τὴν Αἴγυπτον ἀνεκτήσατο καὶ Φοινίκην καὶ Κύπρον. ἵνα δὲ σαφῆ τὴν περὶ τούτων ἱστορίαν ποιήσωμεν, τὰς αἰτίας τοῦ πολέμου προεκθησόμεθα μικρὸν ἀναλαβόντες τοὺς οἰκείους χρόνους. τῶν γὰρ Αἰγυπτίων ἀπὸ Περσῶν ἀποστάντων κατὰ τοὺς ἀνωτέρω χρόνους, Ἀρταξέρξης ὁ ἐπικληθεὶς Ὦχος αὐτὸς μὲν οὐκ ὢν φιλοπόλεμος ἐφ' ἡσυχίας ἔμενεν, ἀποστέλλων δὲ δυνάμεις καὶ στρατηγοὺς πολλάκις ἀπετύγχανε διὰ τὴν κακίαν καὶ ἀπειρίαν τῶν ἡγεμόνων. διὸ καὶ καταφρονηθεὶς ὑπὸ τῶν Αἰγυπτίων ἠναγκάζετο καρτερεῖν διά τε τὴν ἀργίαν καὶ τὸ τῆς ψυχῆς εἰρηνικόν. κατὰ δὲ τοὺς ὑποκειμένους καιροὺς τῶν Φοινίκων καὶ τῶν ἐν Κύπρῳ βασι- 113
λέων μιμησαμένων τοὺς Αἰγυπτίους, καὶ διὰ τὴν καταφρόνησιν ἐπὶ τὴν ἀπόστασιν ὁρμησάντων, παροξυνθεὶς ἔκρινε πολεμεῖν τοὺς ἀφεστηκότας. τὸ μὲν οὖν στρατηγοὺς ἐκπέμπειν ἀπεδοκίμασε, δι' ἑαυτοῦ δὲ τοὺς ὑπὲρ τῆς βασιλείας ἀγῶνας ποιήσασθαι διέγνω. διόπερ ὅπλων καὶ βελῶν καὶ σίτου καὶ δυνάμεων μεγάλας παρασκευὰς ποιησάμενος ἤθροισε πεζῶν μὲν τριάκοντα μυριάδας, ἱππέων δὲ τρεῖς, τριήρεις δὲ τριακοσίας, φορτηγοὺς δὲ καὶ τὰς ἄλλας τὰς τὴν ἀγορὰν κομιζούσας πεντακοσίας.

41 Ἤρξατο δὲ πρὸς Φοίνικας πολεμεῖν διὰ τοιαύτας τινὰς αἰτίας. κατὰ τὴν Φοινίκην ἐστὶ πόλις ἀξιόλογος

28. Θεττάλου] Θεσσαλοῦ Bas., caeteri Θεσσάλου 29. Κοΐντιον] Κόϊντον F 34. δ' F Ἀρταξέρξης] ἀρταξέρσης F 35. δωρεὰν FLT Bas., Cospus, asterisco notavit Stephanus: agnoscit Gemistus, qui ἐδωρήσατο 37. καταδρομαὶ] ἐκδρομαὶ Q 39. 49. ὁ om. Bas.
113. 60. τὸ μὲν οὖν] τοὺς μὲν οὖν FLTY Bas. 66. τὴν] κατὰ τὴν Bas. 68. ἤρξατο δὲ] ἤρξατο δὲ καὶ LY



ὄνομα Τρίπολις, οἰκείαν ἔχουσα τῇ φύσει τὴν προσηγορίαν. τρεῖς γάρ εἰσιν ἐν αὐτῇ πόλεις σταδιαῖον ἀπ' ἀλλήλων ἔχουσαι διάστημα· ἐπικαλεῖται δὲ τούτων ἡ μὲν Ἀραδίων, ἡ δὲ Σιδωνίων, ἡ δὲ Τυρίων. ἀξίωμα δ' ἔχει μέγιστον αὕτη τῶν κατὰ τὴν Φοινίκην πόλεων, ἐν ᾗ συνέβαινε τοὺς Φοίνικας συνέδριον ἔχειν καὶ βουλεύεσθαι περὶ τῶν μεγίστων. τῶν δὲ σατραπῶν καὶ στρατηγῶν ἐν τῇ Σιδωνίων διατριβόντων, καὶ κατὰ τὰς τῶν πραγμάτων ἐπιταγὰς ὑβριστικῶς καὶ ὑπερηφάνως προσφερομένων τοῖς Σιδωνίοις, οἱ κακούμενοι τὴν ἐπήρειαν χαλεπῶς φέροντες ἔγνωσαν ἀποστῆναι τῶν Περσῶν. πείσαντες δὲ καὶ τοὺς ἄλλους Φοίνικας τῆς αὐτονομίας ἀντέχεσθαι, διεπρεσβεύσαντο πρὸς τὸν Αἰγυπτίων βασιλέα Νεκτανεβώ, πολέμιον ὄντα Περσῶν, καὶ πείσαντες παραλαβεῖν αὐτοὺς εἰς τὴν συμμαχίαν παρεσκευάζοντο τὰ πρὸς τὸν πόλεμον. τῆς δὲ Σιδῶνος εὐδαιμονίᾳ διαφερούσης, καὶ τῶν ἰδιωτῶν διὰ τὰς ἐμπορίας μεγάλους περιπεποιημένων πλούτους ταχὺ τριήρεις τε πολλαὶ κατεσκευάσθησαν καὶ μισθοφόρων πλῆθος ἠθροίσθη· πρὸς δὲ τούτοις ὅπλα καὶ βέλη καὶ σῖτος καὶ τἄλλα πάντα τὰ πρὸς πόλεμον χρήσιμα συντόμως κατεσκευάσθη. κατάρχοντες δὲ τῆς ἔχθρας τὸν μὲν βασιλικὸν παράδεισον, ἐν ᾧ τὰς καταλύσεις οἱ τῶν Περσῶν βασιλεῖς εἰώθεισαν ποιεῖσθαι, δενδροτομήσαντες διέφθειραν· ἔπειτα τὸν ἠθροισμένον ὑπὸ τῶν σατραπῶν εἰς τὸν πόλεμον τοῖς ἵπποις χόρτον ἐνέπρησαν, τὸ δὲ τελευταῖον τοὺς τὰς ὕβρεις ἐπιτελεσαμένους Πέρσας συλλαβόντες ἐτιμωρήσαντο. τοῦ δὲ πολέμου πρὸς τοὺς Φοίνικας ταύτην τὴν καταρχὴν λαβόντος, ὁ βασιλεὺς πυθόμενος τὰ τετολμημένα τοῖς ἀποστάταις, πᾶσι μὲν τοῖς Φοίνιξιν ἠπείλει, μάλιστα δὲ τοῖς Σιδωνίοις.

42 Ἐν δὲ τῇ Βαβυλῶνι συνηθροικὼς τὰς πεζικὰς καὶ ἱππικὰς δυνάμεις, εὐθὺς ἀναλαβὼν προῆγεν ἐπὶ τοὺς Φοίνικας· ἐν ὅσῳ δ' οὗτος κατὰ τὴν ὁδοιπορίαν ἐβάδιζε, Βέλεσυς ὁ τῆς Συρίας σατράπης καὶ Μαζαῖος ὁ τῆς Κιλικίας ἄρχων συνελθόντες ἐπολέμουν τοὺς Φοίνι-
114 κας. Τέννης δ' ὁ τῆς Σιδῶνος βασιλεὺς προσελάβετο

70. ὄνομα om. L τῇ φύσει τὴν προσηγορίαν] τὴν φύσιν τῇ προσηγορίᾳ Q 73. Σιδωνίων] σιδίων F 78. πραγμάτων LY Bas., caeteri προσταγμάτων 82. δὲ καὶ] δὲ Bas. 84. Νεκτανεβὼ L, νεκτεναβὼ F, caeteri Νεκτανεβών: conf. p. 75. 67. 94. οἱ τῶν Π.] τῶν Π. οἱ Bas. 6. οὗτος LQ Bas., caeteri οὕτως 7. Βέλεσυς F, Βελεσὺς T, Βέλεσις L, βασιλεὺς Bas., om. Cospus, caeteri ὁ βασιλεὺς 9. Τέννης LTY Cospus, Τένης F, caeteri Μέντωρ: confusionis expers est etiam Gemistus

παρ' Αἰγυπτίων στρατιώτας μισθοφόρους Ἕλληνας τετρακισχιλίους, ὧν ἦν στρατηγὸς Μέντωρ ὁ Ῥόδιος. μετὰ δὲ τούτων καὶ τῶν πολιτικῶν στρατιωτῶν τοῖς προειρημένοις σατράπαις συμβαλὼν ἐνίκησε καὶ τοὺς πολεμίους ἐξέβαλεν ἐκ τῆς Φοινίκης. ἅμα δὲ τούτοις πραττομένοις καὶ κατὰ τὴν Κύπρον συνέστη πόλεμος, συμπεπλεγμένας ἔχων τὰς πράξεις τῷ ὑποκειμένῳ πολέμῳ. ἐν γὰρ τῇ νήσῳ ταύτῃ πόλεις ἦσαν ἀξιόλογοι μὲν ἐννέα, ὑπὸ δὲ ταύτας ὑπῆρχε τεταγμένα μικρὰ πολίσματα τὰ προσκυροῦντα ταῖς ἐννέα πόλεσιν. ἑκάστη δὲ τούτων εἶχε βασιλέα, τῆς μὲν πόλεως ἄρχοντα, τῷ δὲ βασιλεῖ τῶν Περσῶν ὑποτεταγμένον. οὗτοι πάντες συμφρονήσαντες καὶ μιμησάμενοι τοὺς Φοίνικας ἀπέστησαν, καὶ παρασκευασάμενοι τὰ πρὸς τὸν πόλεμον αὐτοκράτορας τὰς ἰδίας βασιλείας ἐποίησαν. ἐφ' οἷς παροξυνθεὶς ὁ Ἀρταξέρξης ἔγραψε πρὸς τὸν Ἰδριέα τὸν τῆς Καρίας δυνάστην, ἄρτι μὲν παρειληφότα τὴν ἀρχήν, φίλον δ' ὄντα καὶ σύμμαχον Περσῶν ἐκ προγόνων, ἀθροῖσαι δύναμιν πεζικήν τε καὶ ναυτικὴν τὴν διαπολεμήσουσαν τοῖς ἐν Κύπρῳ βασιλεῦσιν. ὁ δὲ ὀξέως παρασκευασάμενος τριήρεις μὲν τετταράκοντα, στρατιώτας δὲ μισθοφόρους ὀκτακισχιλίους, ἐξέπεμψεν εἰς τὴν Κύπρον ἐπιστήσας στρατηγοὺς Φωκίωνα τὸν Ἀθηναῖον καὶ Εὐαγόραν τὸν ἐν τοῖς ἐπάνω χρόνοις βεβασιλευκότα κατὰ τὴν νῆσον. οὗτοι μὲν οὖν καταπλεύσαντες εἰς τὴν Κύπρον εὐθὺς ἐπὶ τὴν μεγίστην τῶν πόλεων Σαλαμῖνα τὴν δύναμιν ἤγαγον. βαλόμενοι δὲ χάρακα καὶ τὴν παρεμβολὴν ὀχυρώσαντες ἐπολιόρκουν τοὺς Σαλαμινίους κατὰ γῆν ἅμα καὶ κατὰ θάλατταν. τῆς δὲ νήσου πάσης ἐν εἰρήνῃ πολὺν χρόνον γενομένης καὶ τῆς χώρας εὐδαιμονούσης, οἱ στρατιῶται κρατοῦντες τῶν ὑπαίθρων πολλὰς ὠφελείας ἤθροισαν. τῆς δὲ τούτων εὐπορίας διαβοηθείσης πολλοὶ τῶν ἐκ τῆς περαίας Συρίας τε καὶ Κιλικίας συνέρρεον ἐθελοντὶ στρατιῶται πρὸς τὴν ἐλπίδα τοῦ κέρδους. τέλος δὲ διπλασιασθείσης τῆς μετ' Εὐαγόρου καὶ Φωκίωνος δυνάμεως, οἱ βασιλεῖς οἱ κατὰ τὴν Κύπρον εἰς ἀγωνίαν καὶ μεγίστους φόβους ἐνέπιπτον. καὶ τὰ μὲν κατὰ τὴν Κύπρον ἐν τούτοις ἦν.

114. 12. *Μέντωρ* FLTY Cospus, caeteri *Τέννης* 19. *ὑπῆρχε*] *ὑπῆρχον* TY Bas. 27. *τὸν* om. F. *Ἰδριέα*] *Γαριέα* QTY Bas., *Ἀρσιέα* FLQ 30. *τὴν* om. Bas. 32. *μὲν* om. Bas. *τετταράκοντα*] *τεσσαράκοντα* vulgo, *μ* Bas. 35. *ἐπάνω*] *ἄνω* F 36. *κατὰ* om. L 40. *θάλατταν*] *θάλασσαν* T 46. *ἐθελοντὶ*] *ἐθελοντεῖς* Q, *οἱ* super *ι* ponit F



43 Μετὰ δὲ ταῦτα ὁ μὲν τῶν Περσῶν βασιλεὺς ἐκ τῆς Βαβυλῶνος τὴν ἀνάζευξιν ποιησάμενος μετὰ τῆς δυνάμεως προῆγεν ἐπὶ τὴν Φοινίκην· ὁ δὲ τῆς Σιδῶνος δυνάστης Τέννης πυνθανόμενος τὸ μέγεθος τῆς τῶν Περσῶν 115 δυνάμεως, καὶ νομίσας τοὺς ἀφεστηκότας οὐκ ἀξιομάχους εἶναι, τὴν σωτηρίαν ἰδίᾳ πορίζειν ἔκρινε. διόπερ τῶν ἑαυτοῦ θεραπόντων τὸν πιστότατον Θετταλίωνα λάθρᾳ τῶν Σιδωνίων ἐξέπεμψε πρὸς τὸν Ἀρταξέρξην, ἐπαγγελλόμενος αὐτῷ τὴν μὲν Σιδῶνα παραδώσειν, τὴν δ' Αἴγυπτον συνεκπολεμήσειν, μεγάλα δ' αὐτῷ συνεργήσειν ἔμπειρον ὄντα τῶν κατὰ τὴν Αἴγυπτον τόπων καὶ τὰς κατὰ τὸν Νεῖλον ἀποβάσεις ἀκριβῶς εἰδότα. ὁ δὲ βασιλεὺς ἀκούσας τοῦ Θετταλίωνος τὰ κατὰ μέρος, ἥσθη διαφερόντως, καὶ τῶν μὲν κατὰ τὴν ἀπόστασιν ἐγκλημάτων ἀπολύσειν ἔφη τὸν Τέννην, πράξαντος δ' αὐτοῦ τὰ καθωμολογημένα μεγάλας δωρεὰς δώσειν ἐπηγγείλατο. εἰπόντος δὲ τοῦ Θετταλίωνος ὡς καὶ δεξιὰν λαβεῖν ὁ Τέννης ἠξίωσεν, ἐπὶ τούτοις ὁ μὲν βασιλεὺς ὀργισθεὶς ὡς οὐ πιστευόμενος παρέδωκε τὸν Θετταλίωνα τοῖς ὑπηρέταις καὶ προσέταξεν ἀφελεῖν τὴν κεφαλήν. ἐπεὶ δὲ ἀπαγόμενος ὁ Θετταλίων ἐπὶ τὴν τιμωρίαν τοσοῦτον εἶπεν ὅτι Σὺ μέν, ὦ βασιλεῦ, πράξεις ὃ θέλεις, ὁ μέντοι Τέννης δυνάμενος ἅπαντα καταπρᾶξαι διὰ τὸ μὴ δοῦναί σε τὴν πίστιν οὐδὲν μὴ συντελέσει τῶν ἐπηγγελμένων, πάλιν ἀκούσας τούτων μετενόησε, καὶ μετακαλεσάμενος τοὺς ὑπηρέτας ἀφεῖναι προσέταξε, καὶ τὴν δεξιὰν ἔδωκε τῷ Θετταλίωνι· ἔστι δ' ἡ πίστις αὕτη βεβαιοτάτη παρὰ τοῖς Πέρσαις. οὗτος μὲν οὖν παρελθὼν εἰς Σιδῶνα τὰ πεπραγμένα τῷ Τέννῃ λάθρᾳ τῶν Σιδωνίων ἀπήγγειλεν.

44 Ὁ δὲ βασιλεύς, ἐν μεγάλῳ τιθέμενος τὸ κρατῆσαι τῆς Αἰγύπτου διὰ τὸ πρότερον ἐλάττωμα, πρεσβευτὰς ἀπέστειλε πρὸς τὰς μεγίστας τῶν κατὰ τὴν Ἑλλάδα πόλεων, ἀξιῶν συστρατεῦσαι τοῖς Πέρσαις ἐπ' Αἰγυπτίους. Ἀθηναῖοι μὲν οὖν καὶ Λακεδαιμόνιοι τὴν φιλίαν ἔφασαν τὴν πρὸς Πέρσας τηρεῖν, συμμαχίαν δὲ ἀποστέλλειν ἀντεῖπον. Θηβαῖοι δὲ στρατηγὸν ἑλόμενοι Λακράτην ἐξαπέστειλαν μετὰ χιλίων ὁπλιτῶν. Ἀργεῖοι δὲ τρισχιλίους

52. *τῶν* om. Bas. 55. *Τέννης* TX, caeteri *Μέντωρ* 115. 57. *πορίζειν*] requiro *πορίζεσθαι* 59. *ἐξέπεμψε*] *ἐκπέμψαι* X 60. *ἐπαγγελόμενος* Bas. 61. *ἐκπολεμήσειν* Bas. 62. *ἔμπειρον*] *ἐμπειρότατον* L, *ἐμπειρότερον* F 63. *κατὰ τὴν*] *κατ'* F 67. *Τέννην* T, caeteri *Μέντορα* 70. *Τέννης*] *Τέννης Μέντωρ* X, caeteri *Μέντωρ*, ut omnes libri 76. 83. 73. *ἀπαγόμενος ὁ Θετταλίων*] *ἐπαγόμενος ὁ Θετταλὸς* F 90. *ἀντεῖπον*] *ἀντεῖπαν* Bas.

στρατιώτας ἐξέπεμψαν, στρατηγὸν δὲ αὐτοὶ μὲν οὐχ εἵλοντο, τοῦ δὲ βασιλέως κατ᾽ ὄνομα Νικόστρατον στρατηγὸν αἰτησαμένου συνεχώρησαν. ἦν γὰρ ὁ ἀνὴρ οὗτος ἀγαθὸς καὶ πρᾶξαι καὶ βουλεύσασθαι, μεμιγμένην ἔχων τῇ φρονήσει μανίαν. τῇ γὰρ τοῦ σώματος ῥώμῃ διαφέρων ἐμιμεῖτο τὸν Ἡρακλέα κατὰ τὰς στρατείας, καὶ λεοντῆν ἐφόρει καὶ ῥόπαλον ἐν ταῖς μάχαις. ὁμοίως δὲ τούτοις οἱ τὴν παραθαλαττίαν τῆς Ἀσίας οἰκοῦντες Ἕλληνες ἀπέστειλαν στρατιώτας ἑξακιςχιλίους, ὥςτε τοὺς πάντας Ἕλληνας γενέσθαι συμμάχους μυρίους. πρὸ δὲ τῆς τούτων παρουσίας ὁ μὲν βασιλεὺς διεληλυθὼς τὴν Συρίαν 116
καὶ παραγενόμενος εἰς τὴν Φοινίκην ἐστρατοπέδευσεν οὐ μακρὰν τῆς Σιδῶνος. οἱ δὲ Σιδώνιοι, κεχρονικότος τοῦ βασιλέως περὶ τὰς παρασκευάς, σίτου τε καὶ ὅπλων καὶ βελῶν πολλὴν ἐπιμέλειαν ἐποιήσαντο. ὁμοίως οὖν τὴν πόλιν τάφροις τριπλαῖς μεγάλαις καὶ τειχῶν ὑψηλῶν κατασκευαῖς περιειλήφεισαν. εἶχον δὲ καὶ στρατιωτῶν ἱκανὸν πλῆθος πολιτικῶν ἐν γυμνασίοις καὶ πόνοις ἐνηθληκὸς καὶ ταῖς τῶν σωμάτων εὐεξίαις καὶ ῥώμαις διαφέρον. πλούτῳ τε καὶ ταῖς ἄλλαις χορηγίαις ἡ πόλις πολὺ προεῖχε τῶν κατὰ τὴν Φοινίκην πόλεων. τὸ δὲ μέγιστον, τριήρεις καὶ πεντήρεις εἶχε πλείους τῶν ἑκατόν.
45 ὁ δὲ Τέννης κοινωσάμενος τὴν προδοσίαν Μέντορι τῷ στρατηγῷ τῶν ἐξ Αἰγύπτου μισθοφόρων, τοῦτον μὲν ἀπέλιπε τηροῦντα μέρος τῆς πόλεως καὶ συνεργοῦντα τοῖς περὶ τὴν προδοσίαν ἐγχειρουμένοις, αὐτὸς δὲ μετὰ στρατιωτῶν πεντακοσίων προῆγεν ἐκ τῆς πόλεως, προςποιούμενος ἐπὶ κοινὴν τῶν Φοινίκων σύνοδον ἀπαντᾶν· ἦγε δὲ μεθ᾽ ἑαυτοῦ τοὺς ἐπιφανεστάτους τῶν πολιτῶν ἑκατὸν ὡς συμβούλους. ἐπεὶ δὲ πλησίον ἦσαν τοῦ βασιλέως, συναρπάσας τοὺς ἑκατὸν παρέδωκε τῷ Ἀρταξέρξῃ. ὁ δὲ βασιλεὺς ἀποδεξάμενος αὐτὸν ὡς φίλον, τοὺς μὲν ἑκατὸν ὡς αἰτίους ὄντας τῆς ἀποστάσεως κατηκόντισε, πεντακοσίων δὲ τῶν πρώτων Σιδωνίων μεθ᾽ ἱκετηριῶν ἀπαντησάντων ἀνεκαλέσατο τὸν Τέννην, καὶ

94. εἵλοντο] εἵλαντο FL Bas.

116. 5. ἐστρατοπέδευσεν οὐ] ἐστρατοπέδευσε F 7. παρασκευὰς] κατασκευὰς FLQ Bas. 13. σωμάτων Rhodemannus, συμμάχων FL, μάχων Bas., *corpore et viribus* Cospus, caeteri μαχῶν 14. πλούτῳ τε] malim πλούτῳ δὲ 18. Τέννης LTY Bas., Cospus, Τένης F, Τέννης Μέντωρ X, caeteri Μέντωρ 19. Μέντορι FL Bas., Cospus, om. X, caeteri Τέννῃ 22. πεντακοσίων] *sexcentis* Cospus 23. προῆγεν ἐκ τῆς πόλεως] ἐκ τῆς πόλεως προῆγεν F Bas. 24. δὲ om. F 26. ἐπεὶ] ἐπειδὴ F 32. Τένην F semper



ἐπηρώτησεν εἰ δύναιτο τὴν πόλιν αὐτῷ παραδοῦναι. σφόδρα γὰρ ἔσπευδε μὴ δι᾽ ὁμολογίας τὴν Σιδῶνα παραλαβεῖν, ὅπως ἀπαραιτήτοις συμφοραῖς περιβαλὼν τοὺς Σιδωνίους τῇ τούτων τιμωρίᾳ καταπλήξηται τὰς ἄλλας πόλεις. τοῦ δὲ Τέννου διαβεβαιωσαμένου παραδώσειν τὴν πόλιν, ὁ βασιλεύς, φυλάττων τὴν ὀργὴν ἀπαραίτητον, ἅπαντας τοὺς πεντακοσίους ἔχοντας τὰς ἱκετηρίας κατηκόντισεν. εἶθ᾽ ὁ μὲν Τέννης προςελθὼν τοῖς ἐξ Αἰγύπτου μισθοφόροις ἔπεισεν αὐτοὺς ἐντὸς τῶν τειχῶν εἰςαγαγεῖν αὐτόν τε καὶ τὸν βασιλέα. ἡ μὲν οὖν Σιδὼν διὰ τοιαύτης προδοσίας ὑποχείριος ἐγένετο τοῖς Πέρσαις. ὁ δὲ βασιλεὺς ὑπολαβὼν τὸν Τέννην μηκέτι χρήσιμον ὑπάρχειν, ἀνεῖλεν. οἱ δὲ Σιδώνιοι πρὸ μὲν τῆς παρουσίας τοῦ βασιλέως ἐνέπρησαν ἁπάσας τὰς ναῦς, ὅπως μηδεὶς δύνηται τῶν κατὰ τὴν πόλιν ἐκπλεύσας ἰδίαν σωτηρίαν πορίζεσθαι· ἐπειδὴ δὲ τὴν πόλιν ἑώρων καὶ τὰ τείχη κατειλημμένα καὶ πολλαῖς μυριάσι στρατιωτῶν
117 περιεχόμενα, συγκλείσαντες ἑαυτοὺς καὶ τὰ τέκνα καὶ γυναῖκας εἰς τὰς οἰκίας ἐνέπρησαν. φασὶ δὲ τοὺς ὑπὸ τοῦ πυρὸς τότε διαφθαρέντας σὺν τοῖς οἰκετικοῖς σώμασι γεγονέναι πλείους τῶν τετρακιςμυρίων. τούτου δὲ τοῦ πάθους περὶ τοὺς Σιδωνίους γενομένου, καὶ τῆς πόλεως ὅλης μετὰ τῶν ἐνοικούντων ὑπὸ τοῦ πυρὸς ἀφανισθείσης, τὴν πυρκαϊὰν ὁ βασιλεὺς ἀπέδοτο πολλῶν ταλάντων. διὰ γὰρ τὴν εὐδαιμονίαν τῶν ἐνῳκηκότων εὑρέθη πολὺς ἄργυρός τε καὶ χρυσὸς ὑπὸ τοῦ πυρὸς κεχωνευμένος. τὰ μὲν οὖν κατὰ Σιδῶνα συμβάντα δυςτυχήματα τοιαύτην ἔσχε τὴν καταστροφήν. αἱ δ᾽ ἄλλαι πόλεις καταπλαγεῖσαι προςεχώρησαν τοῖς Πέρσαις. βραχὺ δὲ πρὸ τούτων τῶν χρόνων Ἀρτεμισία μὲν ἡ Καρίας δυναστεύουσα μετήλλαξεν ἄρξασα ἔτη δύο, τὴν δὲ δυναστείαν Ἰδριεὺς ὁ ἀδελφὸς διεδέξατο, καὶ ἦρξεν ἔτη ἑπτά. κατὰ δὲ τὴν Ἰταλίαν Ῥωμαῖοι πρὸς μὲν Πραινεστίνους ἀνοχάς, πρὸς δὲ Σαμνίτας συνθήκας ἐποιήσαντο· Ταρκυνίους δὲ ἄνδρας διακοσίους καὶ ἑξήκοντα δημοσίᾳ ἐθανάτωσαν ἐν τῇ ἀγορᾷ. κατὰ δὲ τὴν Σικελίαν Λε-

32. δύναιτο] δύναται Q 41. τειχῶν] τειχέων F Bas. 48. ἰδίαν] ἰδίᾳ Wesselingius 51. s. καὶ τὰ τέκνα καὶ γυναῖκας] καὶ γυναῖκας καὶ τέκνα FL

117. 52. οἰκίας] οἰκείας Bas. 59. ἐνῳκηκότων] ἐνοικούντων FL 60. ὑπὸ τοῦ πυρὸς κεχωνευμένος] κεχωνευμένος ὑπὸ τοῦ πυρὸς Bas. 64. δὲ om. Bas. 68. Πραινεστίνους] Πρενεστίνους FT Bas. Σαμνίτας] σαυνίτας F 69. Ταρκυνίους LT, Ταρηνίους Y Bas., caeteri Ταρκουνίους

πτίνης καὶ Κάλλιππος οἱ Συρακόσιοι δύναμιν ἔχοντες ἐπολιόρκησαν Ῥήγιον φρουρούμενον ὑπὸ Διονυσίου τοῦ τυράννου τοῦ νεωτέρου, καὶ τὴν μὲν φρουρὰν ἐξέβαλον, τοῖς δὲ Ῥηγίνοις τὴν αὐτονομίαν ἀποκατέστησαν.

46 Ἐπ᾽ ἄρχοντος δ᾽ Ἀθήνησιν Ἀπολλοδώρου Ῥωμαῖοι κατέστησαν ὑπάτους Μάρκον Οὐαλέριον καὶ Γάϊον Σουλπίκιον. ἐπὶ δὲ τούτων κατὰ τὴν Κύπρον Σαλαμινίων πολιορκουμένων ὑπ᾽ Εὐαγόρου καὶ Φωκίωνος, αἱ μὲν ἄλλαι πόλεις ἅπασαι τοῖς Πέρσαις ὑπετάγησαν, τῆς δὲ Σαλαμῖνος βασιλεύων Πνυταγόρας μόνος ὑπέμεινε τὴν πολιορκίαν. ὁ δ᾽ Εὐαγόρας πατρῴαν ἀρχὴν τὴν Σαλαμινίων ἀνεκτᾶτο, καὶ διὰ τοῦ βασιλέως τῶν Περσῶν τὴν κάθοδον εἰς τὴν βασιλείαν ἐποιεῖτο. μετὰ δὲ ταῦτα διαβληθέντος αὐτοῦ πρὸς Ἀρταξέρξην, καὶ τοῦ βασιλέως βοηθοῦντος τῷ Πνυταγόρᾳ, ὁ μὲν Εὐαγόρας ἀπογνοὺς τὴν κάθοδον, καὶ περὶ τῶν ἐγκλημάτων ἀπολογησάμενος, ἄλλης ἡγεμονίας ἠξιώθη κατὰ τὴν Ἀσίαν μείζονος. κακῶς δὲ τὰ κατὰ τὴν ἀρχὴν διοικήσας ἔφυγε πάλιν εἰς Κύπρον, καὶ συλληφθεὶς τιμωρίας ἠξιώθη. ὁ δὲ Πνυταγόρας ἑκουσίως ὑποταγεὶς τοῖς Πέρσαις τὸ λοιπὸν ἀδεῶς ἐβασίλευε τῆς Σαλαμῖνος. ὁ δὲ τῶν Περσῶν βασιλεὺς μετὰ τὴν ἅλωσιν τῆς Σιδῶνος, παραγενομένων αὐτῷ τῶν συμμάχων ἔκ τε Ἄργους καὶ Θηβῶν καὶ τῶν κατὰ τὴν Ἀσίαν Ἑλληνίδων πόλεων, ἀθροίσας πᾶσαν τὴν δύναμιν προῆγεν ἐπὶ τὴν Αἴγυπτον. καταντήσας δ᾽ ἐπὶ τὴν μεγάλην λίμνην, καθ᾽ ἥν ἐστι τὰ καλού- 118 μενα βάραθρα, μέρος τῆς δυνάμεως ἀπέβαλε διὰ τὴν ἀπειρίαν τῶν τόπων. περὶ δὲ τῆς κατὰ τὴν λίμνην φύσεως καὶ τοῦ περὶ αὐτὴν παραδόξου συμπτώματος προειρηκότες ἐν τῇ πρώτῃ βίβλῳ τὸ διλογεῖν περὶ τῶν αὐτῶν παρήσομεν. διελθὼν δὲ τὰ βάραθρα μετὰ τῆς δυνάμεως ὁ βασιλεὺς ἧκεν εἰς τὸ Πηλούσιον. αὕτη δ᾽ ἐστὶ [πρώτη] πόλις ἐπὶ τοῦ πρώτου στόματος καθ᾽ ὃν τόπον ὁ Νεῖλος ποιεῖται τὴν ἐκβολήν. οἱ μὲν οὖν Πέρσαι κατεστρατοπέδευσαν ἀπὸ τετταράκοντα σταδίων τοῦ Πηλουσίου, οἱ δ᾽ Ἕλληνες πρὸς αὐτῷ τῷ πολίσματι. οἱ δ᾽ Αἰγύπτιοι, δεδωκότων αὐτοῖς τῶν Περσῶν πολὺν χρόνον

72. ἐπολιόρκησαν] praestat ἐξεπολιόρκησαν 81. δὲ om. Bas. Πνυταγόρας] libri constanter Πρωταγόρας: vide annotationem ad hunc locum et ad p. 6. 49. 83. τὴν] τῶν LQTXY Σαλαμινίων LQTXY, Σαλαμῖναν Bas., caeteri Σαλαμῖνος 97. τὴν om. Bas.

118. 5. ὁ βασιλεὺς om. FL Bas. δ᾽ Bas. 6. πρώτη om. Bas., Cospus, asterisco notat Stephanus 8. τετταράκοντα] μ̄ Bas.; ed. Stephani



εἰς τὴν παρασκευήν, πάντα μὲν τὰ στόματα τοῦ Νείλου καλῶς κατεσκευακότες ὑπῆρχον, μάλιστα δὲ τὸ πρὸς τῷ Πηλουσίῳ διὰ τὸ πρῶτον εἶναι τοῦτο καὶ μάλιστα κείμενον εὐκαίρως. ἐφρούρουν δὲ τὸ χωρίον στρατιῶται πεντακισχίλιοι στρατηγοῦντος Φιλόφρονος τοῦ στρατηγοῦ. οἱ δὲ Θηβαῖοι σπεύδοντες ἄριστοι φανῆναι τῶν συστρατευομένων Ἑλλήνων, πρῶτοι καὶ μόνοι διὰ στενῆς τινος καὶ βαθείας διώρυγος ἐτόλμησαν διαβῆναι παραβόλως. διαβάντων δ᾽ αὐτῶν οἱ φρουροῦντες τὸ Πηλούσιον ἐκχυθέντες ἐκ τῆς πόλεως συνῆψαν μάχην πρὸς τοὺς Θηβαίους· μεγάλου δ᾽ ἀγῶνος γενομένου διὰ τὰς παρ᾽ ἀμφοτέροις φιλοτιμίας, τότε μὲν ἐν τῷ κινδύνῳ διημερεύσαντες ὑπὸ τῆς νυκτὸς διελύθησαν.

47 τῇ δ᾽ ὑστεραίᾳ τοῦ βασιλέως εἰς τρία μέρη τὴν Ἑλληνικὴν δύναμιν μερίσαντος ἑκάστη μερὶς εἶχε στρατηγὸν Ἕλληνα καὶ τούτῳ παρακαθεσταμένον ἡγεμόνα ἄνδρα Πέρσην προκεκριμένον ἐπ᾽ ἀρετῇ τε καὶ εὐνοίᾳ. τὴν μὲν οὖν πρώτην τάξιν ἐπεῖχον οἱ Βοιωτοί, στρατηγὸν μὲν ἔχοντες Λακράτην τὸν Θηβαῖον, ἡγεμόνα δὲ Πέρσην Ῥωσάκην· οὗτος δὲ ἀπόγονος μὲν ἦν ἑνὸς τῶν ἑπτὰ Περσῶν τῶν τοὺς μάγους καταλυσάντων, σατράπης δὲ Ἰωνίας καὶ Λυδίας· συνείπετο δ᾽ αὐτῷ πολλὴ μὲν ἵππος, οὐκ ὀλίγη δὲ πεζικὴ στρατιὰ τῶν βαρβάρων. δευτέρα δ᾽ ἦν μερὶς ἡ τῶν Ἀργείων, Νικοστράτου στρατηγοῦντος καὶ μετ᾽ αὐτοῦ Πέρσου συνάρχοντος Ἀρισταζάνου· οὗτος δ᾽ ἦν εἰσαγγελεὺς τοῦ βασιλέως καὶ πιστότατος τῶν φίλων μετὰ Βαγώαν· προσωρίσθησαν δ᾽ αὐτῷ στρατιῶται μὲν ἐπίλεκτοι πεντακισχίλιοι, τριήρεις δὲ ὀγδοήκοντα. τῆς δὲ τρίτης μερίδος ἐστρατήγει Μέντωρ ὁ τὴν Σιδῶνα παραδούς, ἔχων τοὺς προϋπάρχοντας αὐτῷ μισθοφόρους· συνεστρατεύετο δ᾽ αὐτῷ Βαγώας, ᾧ μάλιστα βασιλεὺς ἐνεπίστευε, τόλμῃ καὶ παρανομίᾳ διαφέρων· εἶχε δ᾽ οὗτος τοὺς τοῦ βασιλέως Ἕλληνας καὶ τῶν βαρβάρων ἱκανὸν πλῆθος καὶ ναῦς οὐκ ὀλίγας. αὐτὸς δὲ τὴν λοιπὴν δύναμιν ἔχων ἐφήδρευε τοῖς ὅλοις πράγμασι. τοιαύτης δὲ διαιρέσεως γενομένης παρὰ τοῖς Πέρσαις, ὁ μὲν τῶν Αἰγυπτίων βασιλεὺς Νεκτανεβὼς οὔτε τὸ πλῆθος τῶν πολεμίων οὔτε τὴν ὅλην διάταξιν τῶν Περσῶν κατεπλάγη, καίπερ πολὺ λειπόμενος τοῦ πλήθους. εἶχε γὰρ Ἕλληνας μὲν μισθοφόρους δισμυρίους, Λίβυας δὲ παραπλησίους τούτοις, Αἰγυπτίους δὲ τοὺς

12. στόματα] πολίσματα QX 17. συστρατευομένων] στρατευομένων FLT Bas. 30. εὐνοίᾳ] prudentia Cospus, quasi ἀγχινοίᾳ legisset, ut est p. 119. 69. 33. ἑνὸς addidit Reiskius: v. p. 348. 81. 36. στρατιὰ om. X 48. αὐτὸς] οὗτος Q

μαχίμους παρ' αὐτοῖς ὀνομαζομένους ἑξακισμυρίους, πρὸς δὲ τούτοις πλοίων ποταμίων πρὸς τὰς κατὰ τὸν 119 Νεῖλον μάχας καὶ συμπλοκὰς εὐθέτων ἄπιστον πλῆθος. ὠχύρωτο δ' αὐτῷ καὶ ἡ πρὸς τὴν Ἀραβίαν νεύουσα πλευρὰ τοῦ ποταμοῦ, πεπυκνωμένη πολίσμασιν, ἔτι δὲ τειχίσμασι καὶ τάφροις πᾶσα διειλημμένη. ἔχων δὲ καὶ τὰς ἄλλας παρασκευὰς πάσας πρὸς τὸν πόλεμον ἱκανὰς 48 διὰ τὴν ἰδίαν ἀβουλίαν ταχὺ τοῖς ὅλοις ἔπταισεν. αἰτία δ' ἐγένετο τῆς ἥττης μάλισθ' ἡ τοῦ στρατηγεῖν ἀπειρία καὶ τὸ προνενικῆσθαι τοὺς Πέρσας ὑπ' αὐτοῦ κατὰ τὴν πρὸ ταύτης γεγενημένην στρατείαν. ἐσχηκὼς γὰρ τοὺς τότε στρατηγοὺς ἐπιφανεῖς ἄνδρας καὶ διαφέροντας ἀρετῇ τε καὶ ἀγχινοίᾳ στρατηγικῇ, Διόφαντον τὸν Ἀθηναῖον καὶ Λάμιον τὸν Σπαρτιάτην, διὰ τούτων ἅπαντα κατώρθωσε· τότε δ' ὑπολαμβάνων ἑαυτὸν ἱκανὸν εἶναι στρατηγὸν οὐδενὶ τῆς ἡγεμονίας μετεδίδου, καὶ διὰ τὴν ἀπειρίαν οὐδὲν ἠδύνατο πράττειν τῶν ἐν τῷ πολέμῳ χρησίμων. τὰ μὲν οὖν πολίσματα φρουραῖς ἀξιολόγοις διαλαβὼν παρεφύλαττεν, αὐτὸς δὲ τῶν Αἰγυπτίων ἔχων τρισμυρίους, τῶν δ' Ἑλλήνων πεντακισχιλίους, τῶν δὲ Λιβύων τοὺς ἡμίσεις, ταῖς εὐκαιροτάταις τῶν εἰσβολῶν ἐφήδρευε. τοιαύτης δὲ παρ' ἀμφοτέροις οὔσης τῆς διατάξεως, Νικόστρατος μὲν ὁ τῶν Ἀργείων στρατηγὸς ἔχων ἡγεμόνας Αἰγυπτίους, ὧν ἦσαν ὅμηροι παῖδες παρὰ τοῖς Πέρσαις καὶ γυναῖκες, παρέπλευσε μετὰ τοῦ στόλου διά τινος διώρυγος εἰς τόπον κεκρυμμένον. ἐκβιβάσας δὲ τοὺς στρατιώτας καὶ παρεμβολὴν ὀχυρωσάμενος κατεστρατοπέδευσεν. οἱ δὲ τὸν πλησίον τόπον παραφυλάττοντες μισθοφόροι τῶν Αἰγυπτίων ὡς ᾔσθοντο τὴν τῶν πολεμίων παρουσίαν, εὐθὺς ἐξεβοήθουν ὄντες οὐκ ἐλάττους τῶν ἑπτακισχιλίων. ἔχων δ' αὐτῶν τὴν ἡγεμονίαν Κλεινίας ὁ Κῷος συνέταξε τὴν δύναμιν εἰς μάχην. ἀντιταχθέντων δὲ τῶν καταπεπλευκότων ἐγένετο καρτερὰ μάχη, καθ' ἣν οἱ μετὰ τῶν Περσῶν Ἕλληνες ἀγωνισάμενοι λαμπρῶς τόν τε στρατηγὸν Κλεινίαν ἐφόνευσαν καὶ τῶν ἄλλων στρατιωτῶν κατέκοψαν πλείους τῶν πεντακισχιλίων. Νεκτανεβὼς δ' ὁ τῶν Αἰγυπτίων βασιλεὺς ἀκούσας τὴν τῶν ἰδίων ἀπώλειαν κατεπλάγη, νομίσας καὶ τὴν λοιπὴν τῶν Περσῶν δύναμιν ῥᾳδίως διαβήσεσθαι τὸν ποταμόν. ὑπολαβὼν δὲ τοὺς πολεμίους μετὰ πάσης τῆς δυνάμεως ἐπ' αὐτὴν

119. 61. τειχίσμασι] τειχίσματι L, τείχεσι Q 62. τὰς ἄλλας] ἄλλας Bas. 65. μάλισθ' F Bas., caeteri μάλιστα 68. τοὺς τότε] τούς τε FX 72. δ' F 90. 94. Κλείνιος — Κλείνιον] Κλεινίας et Κλεινίαν restitui ex Gemisto 93. ἀγωνισάμενοι] ἐπαγωνισάμενοι L



ἥξειν τὴν Μέμφιν, ἔκρινε ταύτης μάλιστα προνοήσασθαι· οὗτος μὲν οὖν μετὰ τῆς περὶ αὐτὸν στρατιᾶς ἐπανελθὼν εἰς Μέμφιν τὰ πρὸς τὴν πολιορκίαν παρεσκευάζετο.

49 Ὁ δὲ τῆς πρώτης μερίδος ἀφηγούμενος Λακράτης ὁ Θηβαῖος ἐπὶ τὴν τοῦ Πηλουσίου πολιορκίαν ὥρμησεν. ἀποστρέψας δὲ τῆς διώρυγος τὸ ῥεῦμα πρὸς ἕτερα μέρη, καὶ τὸν ἀναξηρανθέντα τόπον χώσας, μηχανὰς προσήγαγε τῇ πόλει. ἐπὶ πολὺ δὲ μέρος πεσόντων τῶν τειχῶν οἱ τὸ Πηλούσιον φρουροῦντες ὀξέως ἀντῳκοδόμησαν ἕτερα καὶ πύργους ξυλίνους ἀξιολόγους ἀνέστησαν. ἐπὶ δέ τινας ἡμέρας συνεχοῦς γινομένης τῆς τειχομαχίας, τὸ μὲν 120 πρῶτον οἱ κατὰ τὸ Πηλούσιον Ἕλληνες ἐῤῥωμένως ἠμύναντο τοὺς πολιορκοῦντας· ὡς δ' ἐπύθοντο τὴν τοῦ βασιλέως ἀναχώρησιν εἰς Μέμφιν, καταπλαγέντες περὶ διαλύσεως ἐπρεσβεύοντο. τοῦ δὲ Λακράτους δόντος αὐτοῖς διὰ τῶν ὅρκων πίστεις ὅτι παραδόντων αὐτῶν τὸ Πηλούσιον ἀποκομισθήσονται πάντες εἰς τὴν Ἑλλάδα μεθ' ὧν ἂν ἐξενέγκωσι, παρέδοσαν τὸ φρούριον. μετὰ δὲ ταῦτα ὁ μὲν Ἀρταξέρξης ἀπέστειλε Βαγώαν μετὰ στρατιωτῶν βαρβάρων παραληψόμενον τὸ Πηλούσιον· οἱ δὲ στρατιῶται παριόντες εἰς τὸ χωρίον τῶν ἐξιόντων Ἑλλήνων ἀφῃροῦντο πολλὰ τῶν ὑπ' αὐτῶν ἐκκομιζομένων. ἀγανακτούντων δὲ τῶν ἀδικουμένων καὶ θεοὺς τοὺς ἐπόπτας τῶν ὅρκων ἐπιβοωμένων, παροξυνθεὶς ὁ Λακράτης τροπὴν ἐποίησε τῶν βαρβάρων, καί τινας καταβαλὼν ἐπεκούρησε τοῖς παρασπονδουμένοις. τοῦ δὲ Βαγώου φυγόντος πρὸς τὸν βασιλέα καὶ κατηγοροῦντος τοῦ Λακράτους, ὁ Ἀρταξέρξης ἔκρινε δίκαια πεπονθέναι τοὺς περὶ τὸν Βαγώαν, καὶ τῶν Περσῶν τοὺς αἰτίους τῆς ἁρπαγῆς ἀπέκτεινε. τὸ μὲν οὖν Πηλούσιον τοῦτον τὸν τρόπον παρεδόθη τοῖς Πέρσαις.

Μέντωρ δὲ ὁ τοῦ τρίτου μέρους ἡγούμενος Βούβαστον καὶ πολλὰς ἄλλας πόλεις χειρωσάμενος ὑπηκόους ἐποίησε τῷ βασιλεῖ δι' ἑνὸς στρατηγήματος. πασῶν γὰρ τῶν πόλεων φρουρουμένων ὑπὸ δυοῖν ἐθνῶν, Ἑλλή-

3. τὴν πολιορκίαν] τὴν om. FLT Bas., asterisco notavit Stephanus 12. τῆς τειχομαχίας] τειχομαχίας FL Bas. 120. 14. ἠμύναντο] ἠμύνοντο FLT 15. εἰς Μέμφιν om. L 16. διαλύσεως] διαλύσεων Y 17. ὅρκων] ὅπλων L πίστεις] πίστιν F (εις printed above) 20. παρέδοσαν FL Bas., caeteri παρέδωκαν 28. καταβαλὼν FL Bas., caeteri καταλαβὼν 35. Βούβαστον LT, caeteri praeponunt καί, quod asterisco notavit Stephanus 38. Ἑλλήνων Reiskius: libri Ἑλληνικῶν

νων τε καὶ Αἰγυπτίων, ὁ Μέντωρ διέδωκε λόγον εἰς τοὺς στρατιώτας ὅτι βασιλεὺς Ἀρταξέρξης τοῖς μὲν ἑκουσίως παραδιδοῦσι τὰς πόλεις φιλανθρώπως χρήσασθαι διέγνωκε, τοῖς δὲ βίᾳ κρατηθεῖσι τὴν αὐτὴν ἀπονέμειν τιμωρίαν ἥνπερ τοῖς Σιδωνίοις ἐπέστησε· καὶ τοῖς φυλάττουσι τὰς πύλας παρήγγειλεν ἐᾶν τοὺς βουλομένους παρ' αὐτῶν αὐτομολεῖν. διόπερ ἀκωλύτως τῶν ἡλωκότων Αἰγυπτίων ἀπιόντων ἐκ τῆς παρεμβολῆς, ταχέως εἰς ἁπάσας τὰς κατὰ τὴν Αἴγυπτον πόλεις ὁ λόγος ὁ προειρημένος διεσπάρη. εὐθὺς οὖν οἱ μισθοφόροι πρὸς τοὺς ἐγχωρίους πανταχῇ διεφέροντο, καὶ στάσεως αἱ πόλεις ἐπληροῦντο. ἑκάτεροι γὰρ ἰδίᾳ διεφιλοτιμοῦντο παραδιδόναι τὰ φρούρια, καὶ τῆς χάριτος ταύτης ἰδίας ἀγαθῶν ἐλπίδας ἠλλάττοντο· ὅπερ καὶ περὶ πρώτην τὴν
50 Βούβαστον συνέβη γενέσθαι. ὡς γὰρ οἱ περὶ τὸν Μέντορα καὶ Βαγώαν πλησίον αὐτῆς κατεστρατοπέδευσαν, οἱ μὲν Αἰγύπτιοι λάθρᾳ τῶν Ἑλλήνων ἐξέπεμψάν τινα πρὸς τὸν Βαγώαν, ἐπαγγελλόμενοι παραδώσειν τὴν πόλιν, ἐὰν αὐτοῖς τὴν ἀσφάλειαν συγχωρήσωσιν. οἱ δ' Ἕλληνες αἰσθόμενοι τὸ γεγονὸς κατεδίωξαν τὸν ἀπεσταλμένον, καὶ φόβον ἐπικρεμάσαντες ἤκουσαν τὴν ἀλήθειαν. ἐφ' οἷς παροξυνθέντες ἐπέθεντο τοῖς Αἰγυπτίοις, καὶ τινὰς μὲν ἀπέκτειναν, τινὰς δὲ τραυματίας ποιήσαντες
τοὺς λοιποὺς συνήλασαν εἰς μέρος τι τῆς πόλεως. οἱ δ' 121
ἡττηθέντες δηλώσαντες τῷ Βαγώᾳ τὸ γεγονὸς ἠξίουν κατὰ τάχος ἐλθόντα παραλαβεῖν τὴν πόλιν παρ' αὐτῶν. τῶν δὲ Ἑλλήνων πρὸς τὸν Μέντορα λάθρᾳ διακηρυκευσαμένων, ὁ Μέντωρ ἐν ἀποῤῥήτοις παρεκάλεσεν αὐτούς, ὅταν Βαγώας εἰς τὴν πόλιν εἰςέλθῃ, τὴν ἐπίθεσιν τοῖς βαρβάροις ποιήσασθαι. μετὰ δὲ ταῦτα τοῦ Βαγώου μετὰ τῶν Περσῶν εἰςιόντος ἄνευ τῆς τῶν Ἑλλήνων συγκαταθέσεως, καὶ μέρους τῶν στρατιωτῶν εἰςεληλυθότος, οἱ μὲν Ἕλληνες ἄφνω τὰς πύλας κλείσαντες ἐπέθεντο τοῖς ἐντὸς τῶν τειχῶν ὑπάρχουσι, καὶ πάντας ἀνελόντες τὸν Βαγώαν αὐτὸν ἐζώγρησαν. ὁ δὲ τὰς τῆς σωτηρίας ἐλπίδας ἐν τῷ Μέντορι κειμένας ὁρῶν, ἐδεήθη σῶσαι, καὶ εἰς τὸ λοιπὸν κατεπηγγείλατο μηδὲν πράξειν ἄνευ τῆς ἐκείνου γνώμης. ὁ δὲ Μέντωρ πείσας τοὺς Ἕλληνας ἀφεῖναι τὸν Βαγώαν καὶ δι' ἑαυτοῦ γενέσθαι τὴν παράδοσιν, τὴν μὲν ἐπιγραφὴν τοῦ προτερήματος αὐτὸς ἀπη-

45. αὐτῶν] αὐτὸν L  52. ἐλπίδας ἠλλάττοντο Stephanus: libri ἐλπίδος ἠλαττοῦντο

121. 70. εἰςέλθῃ] ἔλθῃ L: idem paullo ante articulum nescio quem omittit  74. πύλας] θύρας Q  79. [μηδὲν] μηθὲν F  82. ἐπιγραφὴν Stephanus: libri ἀναγραφὴν



νέγκατο, τῷ δὲ Βαγώᾳ τῆς σωτηρίας αἴτιος γενόμενος συνέθετο πρὸς αὐτὸν κοινοπραγίαν, καὶ δοὺς ὅρκους καὶ λαβὼν περὶ τούτων συνετέλεσε τὴν σύνθεσιν φυλάττων μέχρι τῆς τοῦ βίου τελευτῆς. διὸ καὶ συνέβη τούτους παρὰ βασιλεῖ συμφρονοῦντας ὕστερον πλεῖστον ἰσχῦσαι τῶν φίλων καὶ συγγενῶν τῶν παρ' Ἀρταξέρξῃ· ὁ μὲν γὰρ Μέντωρ ἐν τοῖς παραθαλαττίοις μέρεσι τῆς Ἀσίας ἡγεμὼν μέγιστος ἀποδειχθεὶς τῷ βασιλεῖ μεγάλας παρείχετο χρείας, ἐκ μὲν τῆς Ἑλλάδος μισθοφόρους ἀθροίζων καὶ πέμπων πρὸς Ἀρταξέρξην, κατὰ δὲ τὰς πράξεις ἀνδρείως καὶ πιστῶς ἅπαντα διοικῶν· ὁ δὲ Βαγώας ἐν ταῖς ἄνω σατραπείαις ἅπαντα τῷ βασιλεῖ διῳκηκὼς τοσοῦτον ἴσχυσε διὰ τὴν πρὸς τὸν Μέντορα κοινωνίαν τῶν πράξεων ὥςτε τῆς βασιλείας κύριον εἶναι καὶ μηδὲν πράττειν τὸν Ἀρταξέρξην ἄνευ τῆς ἐκείνου γνώμης· καὶ μετὰ τὴν ἐκείνου τελευτὴν τοὺς διαδόχους ἀεὶ τῆς βασιλείας οὗτος ἀπεδείκνυε καὶ πάντα βασιλέως εἶχε πλὴν τῆς προςηγορίας. ἀλλὰ περὶ μὲν τούτων τὰ κατὰ μέρος ἐν τοῖς οἰκείοις χρόνοις ἀναγράψομεν.

Τότε δὲ μετὰ τὴν τῆς Βουβάστου παράδοσιν αἱ λοι- 51
παὶ πόλεις καταπλαγεῖσαι καθ' ὁμολογίαν παρεδόθησαν τοῖς Πέρσαις. ἐν δὲ τῇ Μέμφει διατρίβων ὁ βασιλεὺς Νεκτανεβὼς καὶ θεωρῶν τὴν τῶν πόλεων ὁρμήν, οὐκ ἐτόλμησεν ὑποστῆναι τοὺς ὑπὲρ τῆς ἡγεμονίας κινδύνους. ἀπογνοὺς οὖν τὴν βασιλείαν καὶ τὰ πλεῖστα τῶν χρημάτων ἀναλαβών, ἔφυγεν εἰς τὴν Αἰθιοπίαν. Ἀρταξέρξης δὲ παραλαβὼν πᾶσαν τὴν Αἴγυπτον, καὶ τῶν ἀξιολογωτάτων πόλεων τὰ τείχη περιελών, τὰ μὲν ἱερὰ
122 συλήσας ἤθροισεν ἀργύρου τε καὶ χρυσοῦ πλῆθος, ἀπήνεγκε δὲ καὶ τὰς ἐκ τῶν ἀρχαίων ἱερῶν ἀναγραφάς, ἃς ὕστερον Βαγώας πολλῶν χρημάτων ἀπελύτρωσε τοῖς ἱερεῦσι τῶν Αἰγυπτίων. τοὺς δὲ συστρατευσαμένους τῶν Ἑλλήνων κατὰ τὴν ἀξίαν ἕκαστον δωρεαῖς ἀξιολόγοις τιμήσας ἀπέλυσεν εἰς τὰς πατρίδας· τῆς δ' Αἰγύπτου σατράπην καταστήσας Φερενδάτην ἐπανῆλθε μετὰ τῆς δυνάμεως εἰς Βαβυλῶνα, πολλὰ μὲν χρήματα καὶ λάφυρα κομίζων, δόξαν δὲ μεγάλην ἐκ τῶν κατορθωμάτων περιπεποιημένος.

89. παραθαλασσίοις F  91. παρέχετο Bas.  94. διοικῶν] διῳκηκὼς LTY Bas.  95. διῳκηκὼς] διοικῶν FLTY Bas.  96. τὸν om. F Bas.  100. ἀεὶ] αἰεὶ omnes

2. τὰ asterisco notavit Stephanus  7. Νεκτανεβὼς] νεκτιναβὼς F  8. πόλεων Q, caeteri πολεμίων

122. 16. ἀπελύτρωσε, ν super π posito, F, caeteri ἀνελύτρωσε  22. δόξαν δὲ] δόξαν τε F Bas.

52 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Καλλιμάχου Ῥωμαῖοι κατέστησαν ὑπάτους Μάρκιον Γάϊον καὶ Πόπλιον Οὐαλέριον. ἐπὶ δὲ τούτων Ἀρταξέρξης ὁρῶν μεγάλας ἑαυτῷ παρεσχημένον χρείας ἐν τῷ πρὸς Αἰγυπτίους πολέμῳ Μέντορα τὸν στρατηγόν, προῆγεν αὐτὸν μάλιστα τῶν φίλων. τιμήσας δ' ἀριστείοις τὸν ἄνδρα ἐδωρήσατο αὐτῷ ἀργυρίου μὲν ἑκατὸν τάλαντα, τῆς δ' ἄλλης πολυτελοῦς κατασκευῆς τὴν κρατίστην· ἀπέδειξε δὲ σατράπην τῆς κατὰ τὴν Ἀσίαν παραλίας καὶ τὸν πρὸς τοὺς ἀφεστηκότας πόλεμον ἐπέτρεψεν αὐτοκράτορα στρατηγὸν ἀποδείξας. ὁ δὲ Μέντωρ ἔχων οἰκειότητα πρὸς Ἀρτάβαζον καὶ Μέμνονα τοὺς διαπεπολεμηκότας μὲν πρὸς Πέρσας ἐν τοῖς ἐπάνω χρόνοις, τότε δὲ πεφευγότας ἐκ τῆς Ἀσίας καὶ διατρίβοντας παρὰ Φιλίππῳ, δεηθεὶς τοῦ βασιλέως ἔπεισεν αὐτὸν ἀπολῦσαι τοὺς ἄνδρας τῶν ἐγκλημάτων· εὐθὺς δὲ καὶ μετεπέμψατο πρὸς ἑαυτὸν ἀμφοτέρους μεθ' ὅλης τῆς συγγενείας. ἦσαν γὰρ Ἀρταβάζῳ γεγονότες ἐκ τῆς Μέντορος καὶ Μέμνονος ἀδελφῆς υἱοὶ μὲν ἕνδεκα, θυγατέρες δὲ δέκα. ψυχαγωγούμενος δ' ἐπὶ τῷ πλήθει τῶν τέκνων ὁ Μέντωρ, προῆγε τοὺς παῖδας, παραδιδοὺς αὐτοῖς τὰς ἐπιφανεστάτας ἐν τοῖς στρατιώταις ἡγεμονίας. ἐστρατεύσατο δ' ἐπὶ πρῶτον Ἑρμείαν τὸν Ἀταρνέων τύραννον ἀφεστηκότα τοῦ βασιλέως καὶ πολλῶν ὀχυρωμάτων καὶ πόλεων κυριεύοντα. ἐπαγγειλάμενος δ' αὐτῷ πείσειν τὸν βασιλέα καὶ τῶν ἐγκλημάτων ἀπολῦσαι, συνῆλθεν εἰς λόγους, καὶ παρακρουσάμενος αὐτὸν συνέλαβε. κυριεύσας δὲ τοῦ δακτυλίου, καὶ γράψας εἰς τὰς πόλεις ὅτι διήλλακται τῷ βασιλεῖ διὰ Μέντορος, καὶ σφραγισάμενος τὰς ἐπιστολὰς 123 τῷ τοῦ Ἑρμείου δακτυλίῳ, συνεξέπεμψε τοὺς παραληψομένους τὰ χωρία. οἱ δ' ἐν ταῖς πόλεσι πιστεύσαντες τοῖς γεγραμμένοις, καὶ τὴν εἰρήνην ἀγαπητῶς προσδεξάμενοι, παρέδωκαν πάντες τὰ φρούρια καὶ τὰς πόλεις. Μέντωρ μὲν οὖν δι' ἀπάτης ταχὺ παραλαβὼν ἀκινδύνως τὰ τῶν ἀποστατῶν πολίσματα μεγάλης ἀποδοχῆς ἔτυχε παρὰ τῷ βασιλεῖ, δόξας δύνασθαι στρατηγεῖν πραγματικῶς. ὁμοίως δὲ καὶ τοὺς ἄλλους ἡγεμόνας τοὺς ἀλλοτρίως διακειμένους τοῖς Πέρσαις τοὺς μὲν βιασάμενος τοὺς δὲ καταστρατηγήσας ἅπαντας ταχέως κατεπολέμησε. καὶ τὰ

26. *Μάρκιον* Livius: libri *Μάρκον* *Γάϊον* LQTXY, caeteri *Φάβιον* 34. τοὺς om. Bas. 41. *ἐγκλημάτων*] *ἀγαλμάτων* L

123. 62. *ἀποστατῶν*] *ἀποστάντων* Q 67. *κατεπολέμησε*] *διεπολέμησε* Bas.



μὲν κατὰ τὴν Ἀσίαν ἐν τούτοις ἦν. κατὰ δὲ τὴν Εὐρώπην Φίλιππος μὲν ὁ Μακεδόνων βασιλεὺς στρατεύσας ἐπὶ τὰς Χαλκιδικὰς πόλεις Γεῖραν μὲν φρούριον ἐκπολιορκήσας κατέσκαψε, τῶν δ' ἄλλων πολισμάτων ἔνια καταπληξάμενος ἠνάγκασεν ὑποτάττεσθαι· ἐπὶ δὲ τὰς Φερὰς τῆς Θετταλίας παρελθὼν Πειθόλαον δυναστεύοντα τῆς πόλεως ἐξέβαλεν. ἅμα δὲ τούτοις πραττομένοις ἐν τῷ Πόντῳ Σπάρτακος ὁ τοῦ Πόντου βασιλεὺς ἐτελεύτησεν ἄρξας ἔτη πέντε, τὴν δ' ἡγεμονίαν διαδεξάμενος ὁ ἀδελφὸς Παρισάδης ἐβασίλευσεν ἔτη τριάκοντα ὀκτώ.

53 Τοῦ δ' ἔτους τούτου διελθόντος Ἀθήνησι μὲν ἦρχε Θεόφιλος, ἐν Ῥώμῃ δὲ κατεστάθησαν ὕπατοι Γάϊος Σουλπίκιος καὶ Γάϊος Κοΐντιος, Ὀλυμπιὰς δ' ἤχθη ὀγδόη πρὸς ταῖς ἑκατόν, καθ' ἣν ἐνίκα στάδιον Πολυκλῆς Κυρηναῖος. ἐπὶ δὲ τούτων Φίλιππος μὲν σπεύδων τὰς ἐφ' Ἑλλησπόντῳ πόλεις χειρώσασθαι, Μηκύβερναν μὲν καὶ Τορώνην χωρὶς κινδύνων διὰ προδοσίας παρέλαβεν· ἐπὶ δὲ τὴν μεγίστην τῶν περὶ τοὺς τόπους τούτους πόλεων Ὄλυνθον στρατεύσας μετὰ πολλῆς δυνάμεως, τὸ μὲν πρῶτον νικήσας τοὺς Ὀλυνθίους δυσὶ μάχαις συνέκλεισεν εἰς πολιορκίαν· προσβολὰς δὲ συνεχεῖς ποιούμενος πολλοὺς τῶν στρατιωτῶν ἀπέβαλεν ἐν ταῖς τειχομαχίαις· τὸ δὲ τελευταῖον φθείρας χρήμασι τοὺς προεστηκότας τῶν Ὀλυνθίων Εὐθυκράτην τε καὶ Λασθένην διὰ τού-
124 των προδοθεῖσαν τὴν Ὄλυνθον εἷλε. διαρπάσας δ' αὐτὴν καὶ τοὺς ἐνοικοῦντας ἐξανδραποδισάμενος ἐλαφυροπώλησε. τοῦτο δὲ πράξας χρημάτων τε πολλῶν εἰς τὸν πόλεμον εὐπόρησε καὶ τὰς ἄλλας πόλεις τὰς ἐναντιουμένας κατεπλήξατο. τοὺς δὲ ἀνδραγαθήσαντας τῶν στρατιωτῶν κατὰ τὴν μάχην ἀξίαις δωρεαῖς τιμήσας, καὶ χρημάτων πλῆθος διαδοὺς τοῖς ἐν ταῖς πόλεσιν ἰσχύουσι, πολλοὺς ἔσχε προδότας τῶν πατρίδων. καὶ αὐτὸς δὲ ἀπεφαίνετο διὰ χρυσίου πολὺ μᾶλλον ἢ διὰ τῶν ὅπλων ηὐξηκέναι τὴν ἰδίαν βασιλείαν.

54 Οἱ δ' Ἀθηναῖοι τὴν αὔξησιν ὑφορώμενοι τοῦ Φιλίππου τοῖς ἀεὶ πολεμουμένοις ὑπ' αὐτοῦ ἐβοήθουν,

71. *Γεῖραν*] Ζειρὰν QX et qui γ super ζ ponit F 72. *ἔνια* om. L 78. *Παρισάδης* Cospus, caeteri *Παρυσάδης* *ἐβασίλευσεν*] *ἐβασίλευεν* omnes 82. *κοΐνκτιος* F 86. *Μηκύβερναν*] *Μικύβερναν* libri 87. *διὰ προδοσίας*] *καὶ προδοσίας* X 92. *ποιούμενος*] *ποιησάμενος* F 95. *τε καὶ*] *τε* F

124. 98. δὲ om. Bas. 99. *ἐναντιουμένας*] *ἠναντιωμένας* Q 4. *πολὺ* Wesselingius, *πολλοῦ* Y Bas., caeteri *πολλοὺς*

πρέσβεις ἀποστέλλοντες ἐπὶ τὰς πόλεις καὶ παρακαλοῦντες τηρεῖν τὴν αὐτονομίαν καὶ τοὺς ἐπὶ τὴν προδοσίαν ὁρμῶντας τῶν πολιτῶν θανάτῳ κολάζειν· ἐπηγγέλλοντο δὲ πᾶσι συμμαχήσειν, καὶ φανερῶς ἑαυτοὺς πολεμίους ἀποδείξαντες τῷ βασιλεῖ διεπολέμουν πρὸς Φίλιππον. μάλιστα δ' αὐτοὺς παρώξυνε προστῆναι τῆς Ἑλλάδος Δημοσθένης ὁ ῥήτωρ, δεινότατος ὢν τῶν κατ' ἐκείνους τοὺς χρόνους Ἑλλήνων. οὐ μὴν ἡ πόλις γε ἀναστεῖλαι τῆς ἐπὶ τὴν προδοσίαν ὁρμῆς ἠδυνήθη τοὺς πολίτας· τοιαύτη φορά τις προδοτῶν ὑπῆρξε τότε κατὰ τὴν Ἑλλάδα. διὸ καί φασι τὸν Φίλιππον βουλόμενον ἑλεῖν τινα πόλιν ὀχυρότητι διαφέρουσαν, εἰπόντος τινὸς αὐτῷ τῶν ἐγχωρίων ἀνάλωτον αὐτὴν ἐκ βίας ὑπάρχειν, ἐπερωτῆσαι εἰ οὐδ' ὁ χρυσὸς τὸ τεῖχος ὑπερβῆναι δυνατός ἐστιν. ἦν γὰρ πεῖραν εἰληφὼς ὅτι τὰ τοῖς ὅπλοις ἀδύνατα χειρωθῆναι τῷ χρυσῷ ῥᾴδιόν ἐστι καταπολεμῆσαι. ἐγκατασκευάζων οὖν ἐν ταῖς πόλεσι προδότας διὰ τῆς δωροδοκίας, καὶ τοὺς δεχομένους τὸ χρυσίον ξένους καὶ φίλους ὀνομάζων, ταῖς πονηραῖς ὁμιλίαις διέφθειρε τὰ ἤθη τῶν ἀνθρώπων.

55 Μετὰ δὲ τὴν ἅλωσιν τῆς Ὀλύνθου Ὀλύμπια ποιήσας τοῖς θεοῖς ἐπινίκια μεγαλοπρεπεῖς θυσίας συνετέλεσε. πανήγυριν δὲ μεγάλην συστησάμενος καὶ λαμπροὺς ἀγῶνας ποιήσας πολλοὺς τῶν ἐπιδημούντων ξένων ἐπὶ τὰς ἑστιάσεις παρελάμβανε. παρὰ δὲ τοὺς πότους πολλαῖς ὁμιλίαις χρώμενος, καὶ πολλοῖς μὲν ποτήρια διδοὺς κατὰ τὰς προπόσεις, οὐκ ὀλίγοις δὲ δωρεὰς ἀπονέμων, πᾶσι δὲ μεγάλας ἐπαγγελίας εὐχρήστως ποιούμενος, πολλοὺς ἔσχεν ἐπιθυμητὰς τῆς πρὸς αὐτὸν φιλίας. καὶ δήποτ' ἐν τῷ συμποσίῳ κατανοήσας Σάτυρον τὸν ὑποκριτὴν σκυθρωπὸν ἤρετο διὰ τί μόνος οὐδὲν ἀξιοῖ μεταλαβεῖν τῆς παρ' αὐτοῦ φιλανθρωπίας· τοῦ δ' εἰπόντος ὅτι βούλεται παρ' αὐτοῦ τυχεῖν τινος δωρεᾶς, δεδοικέναι δὲ μήποτε δηλώσας τὴν προκεχειρισμένην ἔντευξιν ἀποτύχῃ, ὁ μὲν βασιλεὺς περιχαρὴς γενόμενος διεβεβαιώσατο πᾶν 125 ὅ,τι ἂν αἰτήσῃ χαρίσασθαι· ὁ δ' εἶπεν ὅτι ξένου τινὸς ἑαυτοῦ δύο παρθένοι τὴν ἡλικίαν ἔχουσαι γάμου τυγχάνουσιν ἐν ταῖς αἰχμαλώτοις οὖσαι· ταύτας οὖν βούλεσθαι λαβεῖν, οὐχ ἵνα λυσιτέλειάν τινα περιποιήσηται τυ-

10. καὶ παρακαλ.] παρακαλ. FLT Bas. 19. τοιαύτη FL Bas., caeteri addunt γάρ, quod asterisco notavit Stephanus 22. τινὸς αὐτῷ] invertit F 24. πεῖραν εἰληφὼς] invertit F 39. εὐχρήστως] ἀχρήστως L 41. τὸν om. Bas. 125. 47. ὅ,τι] ὅπερ FL 48. ὅτι om. FL Bas.



χὼν τῆς δωρεᾶς, ἀλλ' ἵνα προικίσας ἀμφοτέρας συνοικίσῃ καὶ μὴ περιίδῃ μηδὲν παθούσας ἀνάξιον τῆς ἡλικίας. μετὰ δὲ ταῦθ' ὁ Φίλιππος ἀσμένως τὴν αἴτησιν προσδεξάμενος παραχρῆμα τὰς παρθένους ἐδωρήσατο τῷ Σατύρῳ. πολλὰς δὲ καὶ ἄλλας παντοδαπὰς εὐεργεσίας καὶ δωρεὰς διασπείρων ἐκομίζετο τοὺς μισθοὺς πολλαπλασίους τῆς χάριτος. πολλοὶ γὰρ ταῖς τῆς εὐεργεσίας ἐλπίσι προκληθέντες ἔφθασαν ἀλλήλους προσνέμοντες ἑαυτοὺς τῷ Φιλίππῳ καὶ τὰς πατρίδας ἐγχειρίζοντες.

56 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Θεμιστοκλέους ἐν Ῥώμῃ τὴν ὑπατικὴν ἀρχὴν διεδέξαντο Γάϊος Κορνήλιος καὶ Μάρκος Ποπίλλιος. ἐπὶ δὲ τούτων Βοιωτοὶ πολλὴν τῆς Φωκίδος χώραν πορθήσαντες περὶ τὴν ὀνομαζομένην Ὑάμπολιν ἐνίκησαν τοὺς πολεμίους καὶ κατέβαλον αὐτῶν περὶ ἑβδομήκοντα. μετὰ δὲ ταῦτα Βοιωτοὶ περὶ Κορώνειαν συμπλακέντες τοῖς Φωκεῦσιν ἡττήθησαν καὶ συχνοὺς ἀπέβαλον. ἔπειτα τῶν Φωκέων κατεχόντων ἱκανάς τινας πόλεις ἐν τῇ Βοιωτίᾳ, στρατεύσαντες οἱ Βοιωτοὶ καὶ τὸν σῖτον ἐκ τῆς χώρας τῶν πολεμίων φθείραντες κατὰ τὴν ἐπάνοδον ἡττήθησαν. ἅμα δὲ τούτοις πραττομένοις Φάλαικος μὲν ὁ τῶν Φωκέων στρατηγὸς διαβληθεὶς ὅτι πολλὰ τῶν ἱερῶν χρημάτων κέκλοφεν, ἐξέπεσεν ἐκ τῆς ἀρχῆς. ἀντὶ δὲ τούτου στρατηγῶν αἱρεθέντων τριῶν, Δεινοκράτους καὶ Καλλίου καὶ Σωφάνους, ἐγένετο ζήτησις τῶν ἱερῶν χρημάτων καὶ λόγον τοὺς κεχειρικότας οἱ Φωκεῖς ἀπῄτουν· ἦν δὲ τὰ πλεῖστα διῳκηκὼς Φίλων. οὗτος δ' οὐ δυνάμενος ἀποδοῦναι τὸν λόγον, κατεδικάσθη, καὶ στρεβλωθεὶς ὑπὸ τῶν στρατηγῶν τοὺς μετέχοντας τῆς κλοπῆς ἐμήνυσεν, αὐτὸς δὲ ταῖς ἐσχάταις αἰκίαις περιπεσὼν οἰκείαν τῆς ἀσεβείας ἔσχε τὴν τοῦ βίου καταστροφήν. οἱ δὲ νοσφισάμενοι τὰ χρήματα τὰ σωζόμενα καὶ περιόντα τῶν ἐκ τῆς κλοπῆς ἀπέδωκαν, αὐτοὶ δὲ ἐθανατώθησαν ὡς ἱερόσυλοι. τῶν δὲ προγεγενημένων στρατηγῶν ὁ μὲν πρῶτος ἄρξας Φιλόμηλος ἀπέσχετο τῶν ἀναθημάτων, ὁ δὲ δεύτερος, προσαγορευόμενος μὲν Ὀνόμαρχος, ἀδελφὸς δ' ὢν Φιλομήλου, πλεῖστα τῶν τοῦ θεοῦ χρημάτων κατεδαπάνησε, τρίτος δὲ Φάϋλλος ὁ ἀδελφὸς Ὀνομάρχου στρατηγήσας οὐκ ὀλίγα τῶν ἀναθημάτων κατέκοψεν εἰς τὰς τῶν ξέ-

52. προικίσας] προικήσας Bas. 53. μηθὲν] μηδὲν FL παθούσας] παθεῖν F 65. Ποπίλλιος Bas., Πόπλιος F, caeteri Ποπίλιος 66. χώραν] χώρας L 67. Ὑάμπολιν] ὑὰν πόλιν F 68. κατέβαλλον Bas. ἑβδομήκοντα] sexaginta Cospus 75. ὁ om. Bas. 81. τὰ πλεῖστα] libri πλεῖστα

νων μισθοφοράς. τὰς γὰρ ἀνατεθείσας ὑπὸ Κροίσου τοῦ Λυδῶν βασιλέως χρυσᾶς πλίνθους, οὔσας ἑκατὸν 126 καὶ εἴκοσι διταλάντους, κατέκοψεν εἰς νόμισμα, φιάλας δὲ χρυσᾶς τριακοσίας καὶ ἑξήκοντα διμναίους καὶ λέοντα χρυσοῦν καὶ γυναῖκα, τριάκοντα ταλάντων χρυσοῦ σταθμὸν ἀγόντων τῶν πάντων· ὥςτε τὸ πᾶν κατακοπὲν χρυσίον εἰς ἀργυρίου λόγον ἀναγομένων τῶν χρημάτων εὑρίσκεσθαι τάλαντα τετρακιςχίλια, τῶν δὲ ἀργυρῶν ἀναθημάτων τῶν τε ὑπὸ Κροίσου καὶ τῶν ἄλλων ἁπάντων ἀνατεθέντων τοὺς πάντας στρατηγοὺς δεδαπανηκέναι τάλαντα πλείω τῶν ἑξακιςχιλίων, προςτιθεμένων δὲ καὶ τῶν χρυσῶν ἀναθημάτων ὑπερβάλλειν τὰ μύρια τάλαντα. ἔνιοι δὲ τῶν συγγραφέων φασὶν οὐκ ἐλάττω γενέσθαι τὰ συληθέντα τῶν ἐν τοῖς Περσικοῖς θησαυροῖς ὑπ' Ἀλεξάνδρου κατακτηθέντων. ἐπεχείρησαν δ' οἱ περὶ τὸν Φάλαικον στρατηγοὶ καὶ τὸν ναὸν ὀρύττειν, εἰπόντος τινὸς ὡς ἐν αὐτῷ θησαυρὸς εἴη πολὺν ἔχων ἄργυρόν τε καὶ χρυσόν· καὶ τὰ περὶ τὴν ἑστίαν καὶ τὸν τρίποδα φιλοτίμως ἀνέσκαπτον· ὁ δὲ μηνύσας τὸν θησαυρὸν μάρτυρα παρείχετο τὸν ἐπιφανέστατον καὶ ἀρχαιότατον τῶν ποιητῶν Ὅμηρον ἐν οἷς λέγει

οὐδ' ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει
Φοίβου Ἀπόλλωνος Πυθοῖ ἐνὶ πετρηέσσῃ.

τῶν δὲ στρατιωτῶν ἐγχειρούντων σκάπτειν τὰ περὶ τὸν τρίποδα σεισμοὶ μεγάλοι γενόμενοι τοῖς Φωκεῦσι φόβον ἐπέστησαν· φανερῶς δὲ τῶν θεῶν προσημαινόντων τὴν κατὰ τῶν ἱεροσύλων κόλασιν ἀπέστησαν τῶν ἔργων. ὁ δὲ τῆς παρανομίας ταύτης ἡγεμὼν Φίλων ὁ προειρημένος ταχὺ τῷ δαιμονίῳ τὰς προςηκούσας δίκας ἐξέτισε.

57 τῆς δὲ τῶν ἱερῶν χρημάτων φθορᾶς τὴν μὲν ὅλην ἐπιγραφὴν ἔσχον Φωκεῖς, μετέσχον δὲ τῆς αἱρέσεως Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι οἱ συμμαχήσαντες τοῖς Φωκεῦσι καὶ οὐ κατὰ τὸ πλῆθος τῶν ἐκπεμπομένων στρατιωτῶν τοὺς μισθοὺς λαβόντες. οὕτω δὲ τοῖς Ἀθηναίοις ὁ χρόνος οὗτος ἤνεγκεν ἐξαμαρτάνειν εἰς τὸ δαιμόνιον ὥςτε μικρὸν ἀνώτερον τῶν Δελφικῶν καιρῶν Ἰφικράτους διατρίβοντος περὶ Κέρκυραν μετὰ ναυτικῆς δυνάμεως, καὶ Διονυσίου τοῦ Συρακοσίων δυνάστου πέμψαντος εἰς Ὀλυμπίαν καὶ Δελφοὺς ἀγάλματα ἐκ χρυσοῦ καὶ ἐλέφαντος δεδημιουργημένα, περιτυχὼν ταῖς κομιζούσαις αὐτὰ ναυσὶν ὁ Ἰφικράτης καὶ κρατήσας αὐτῶν, διεπέμψατο

95. μισθοφορὰς] μισθοφορίας LT Bas.

126. 100. τριάκοντα] trecentis et triginta Cospus 7. προςτιθεμ.] προτιθ. Bas. 35. Κέρκυραν] Κόρκυραν Y Bas.



πρὸς τὸν δῆμον ἐπερωτῶν τί χρὴ πράττειν, οἱ δ' Ἀθηναῖοι προςέταξαν αὐτῷ μὴ τὰ τῶν θεῶν ἐξετάζειν, ἀλλὰ
127 σκοπεῖν ὅπως τοὺς στρατιώτας διαθρέψῃ. Ἰφικράτης μὲν οὖν ὑπακούσας τῷ δόγματι τῆς πατρίδος ἐλαφυροπώλησε τὸν τῶν θεῶν κόσμον· ὁ δὲ τύραννος ὀργισθεὶς τοῖς Ἀθηναίοις ἔγραψε πρὸς αὐτοὺς ἐπιστολὴν τοιαύτην· Διονύσιος Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ Εὖ μὲν πράττειν οὐκ ἐπιτήδειόν ἐστι γράφειν, ἐπεὶ τοὺς θεοὺς καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἱεροσυλεῖτε, καὶ τὰ ἀγάλματα τὰ εἰς ἀνάθεσιν ὑφ' ἡμῶν τοῖς θεοῖς ἀπεσταλμένα παρελόμενοι κατεκόψατε, καὶ περὶ τοὺς μεγίστους τῶν θεῶν ἠσεβήκατε, περὶ τὸν Ἀπόλλωνα τὸν ἐν Δελφοῖς καὶ τὸν Δία τὸν Ὀλύμπιον. Ἀθηναῖοι μὲν οὖν περὶ τὸ θεῖον τοιαῦτ' ἔπραξαν, καὶ ταῦτ' εὐχόμενοι τὸν Ἀπόλλωνα πατρῷον αὐτῶν εἶναι καὶ πρόγονον· Λακεδαιμόνιοι δὲ τῷ περὶ Δελφοὺς μαντείῳ χρησάμενοι, καὶ τὴν θαυμαζομένην παρὰ πᾶσι πολιτείαν διὰ τούτου κτησάμενοι, καὶ περὶ τῶν μεγίστων ἔτι καὶ νῦν τὸν θεὸν ἐπερωτῶντες, ἐτόλμησαν τοῖς τὸ ἱερὸν συλήσασι κοινωνῆσαι τῆς παρανομίας.

Κατὰ δὲ τὴν Βοιωτίαν οἱ μὲν Φωκεῖς τρεῖς πόλεις 58
ἔχοντες ὠχυρωμένας, Ὀρχομενὸν καὶ Κορώνειαν καὶ Κορσιάς, ἐκ τούτων ἐποιοῦντο τὴν ἐπὶ τοὺς Βοιωτοὺς στρατείαν. εὐπορούμενοι δὲ μισθοφόρων τήν τε χώραν ἐδῄουν καὶ κατὰ τὰς ἐπιθέσεις καὶ συμπλοκὰς περιεγίνοντο τῶν ἐγχωρίων. διόπερ οἱ Βοιωτοί, θλιβόμενοι μὲν τῷ πολέμῳ καὶ πολλοὺς τῶν στρατιωτῶν ἀπολωλεκότες, χρημάτων δὲ ἀπορούμενοι, πρέσβεις ἐξέπεμψαν πρὸς τὸν Φίλιππον ἀξιοῦντες βοηθῆσαι. ὁ δὲ βασιλεὺς ἡδέως ὁρῶν τὴν ταπείνωσιν αὐτῶν, καὶ βουλόμενος τὰ Λευκτρικὰ φρονήματα συστεῖλαι τῶν Βοιωτῶν, ὀλίγους ἀπέστειλε στρατιώτας, αὐτὸ μόνον φυλαττόμενος τὸ δοκεῖν μὴ περιορᾶν τὸ μαντεῖον σεσυλημένον. τῶν δὲ Φωκέων οἰκοδομούντων φρούριον περὶ τὰς ὀνομαζομένας Ἄβας, καθ' ἃς ἐστιν Ἀπόλλωνος ἅγιον ἱερόν, ἐστράτευσαν ἐπ' αὐτοὺς οἱ Βοιωτοί. εὐθὺς δ' αὐτῶν οἱ μὲν εἰς τὰς ἔγγιστα πόλεις φυγόντες διεσπάρησαν, οἱ δ' εἰς τὸν νεὼν τοῦ Ἀπόλλωνος καταφυγόντες εἰς πεντακοσίους ἀπώλοντο. πολλὰ μὲν οὖν καὶ ἄλλα θεῖα περὶ τοὺς

127. 44. τῷ δόγματι τῆς πατρίδος post κόσμον ponunt FL 49. θεοὺς καὶ] θεοὺς F 62. παρανομίας] παροινίας FL 74. ὀλίγους (perpaucos) Cospus, caeteri οὐκ ὀλίγους 75. δοκεῖν post μόνος, τὸ post φυλαττόμενος ponit F 79. εὐθὺς] εὐθὺ Bas. 80. ἔγγιστα om. FLT Bas. 81. νεὼν] νεὼ T Bas.

Φωκεῖς συνέβη γενέσθαι περὶ τούτους τοὺς χρόνους,
μάλιστα δὲ τὸ μέλλον λέγεσθαι. οἱ γὰρ εἰς τὸν νεὼν
καταφυγόντες ὑπέλαβον διὰ τῆς τῶν θεῶν ἐπικουρίας
σωθήσεσθαι, τοὐναντίον δὲ θείᾳ τινὶ προνοίᾳ τῆς προς-
ηκούσης τοῖς ἱεροσύλοις τιμωρίας ἔτυχον. πολλῆς γὰρ
οὔσης στιβάδος περὶ τὸν νεών, καὶ πυρὸς ἐν ταῖς σκη-
ναῖς τῶν πεφευγότων ἀπολελειμμένου, συνέβη τῆς στι- 128
βάδος ἐκκαυθείσης τοσαύτην ἐξαφθῆναι φλόγα παραδό-
ξως ὥςτε τὸν ναὸν καὶ τοὺς καταπεφευγότας εἰς αὐτὸν
Φωκεῖς ζῶντας καταφλεχθῆναι. τοῖς γὰρ ἱεροσύλοις
ἔδοξε τὸ θεῖον μὴ διδόναι τὴν ἐκ τῆς ἱκεσίας συγχωρου-
μένην ἀσφάλειαν.

**59** Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Ἀρχίου Ῥωμαῖοι κατέ-
στησαν ὑπάτους Μάρκον Αἰμίλιον καὶ Τίτον Κοΐντιον.
ἐπὶ δὲ τούτων ὁ Φωκικὸς πόλεμος, διαμείνας ἔτη δέκα,
κατελύθη τόνδε τὸν τρόπον. Βοιωτῶν καὶ Φωκέων τε-
ταπεινωμένων διὰ τὸ μῆκος τοῦ πολέμου, Φωκεῖς μὲν
πρέσβεις ἐξαπέστειλαν εἰς Λακεδαίμονα περὶ βοηθείας,
Σπαρτιᾶται δὲ χιλίους ὁπλίτας ἐξέπεμψαν στρατηγὸν ἐπι-
στήσαντες Ἀρχίδαμον τὸν βασιλέα. Βοιωτῶν δὲ παρα-
πλησίως τούτοις διαπρεσβευσαμένων πρὸς Φίλιππον περὶ
συμμαχίας, ὁ Φίλιππος παραλαβὼν τοὺς Θετταλοὺς ἧκεν
εἰς τὴν Λοκρίδα μετὰ πολλῆς δυνάμεως. καταλαβὼν δὲ
Φάλαικον πάλιν τῆς στρατηγίας ἠξιωμένον καὶ τὸ τῶν
μισθοφόρων πλῆθος ἔχοντα, παρεσκευάζετο παρατάξει
κρῖναι τὸν πόλεμον· ὁ δὲ Φάλαικος ἐν τῇ Νικαίᾳ διατρί-
βων, καὶ θεωρῶν αὐτὸν οὐκ ἀξιόμαχον ὄντα, διεπρε-
σβεύσατο πρὸς τὸν βασιλέα περὶ διαλύσεων. γενομένης
δ' ὁμολογίας ὥςτε τὸν Φάλαικον μετὰ τῶν στρατιωτῶν
ἀπελθεῖν ὅπου βούλοιτο, οὗτος μὲν ὑπόσπονδος εἰς τὴν
Πελοπόννησον ἀνεχώρησε μετὰ τῶν μισθοφόρων, ὄντων
ὀκτακιςχιλίων, οἱ δὲ Φωκεῖς συντριβέντες ταῖς ἐλπίσι 129
παρέδωκαν ἑαυτοὺς τῷ Φιλίππῳ. ὁ δὲ βασιλεὺς ἄνευ
μάχης ἀνελπίστως καταλύσας τὸν ἱερὸν πόλεμον συνή-
δρευσε μετὰ τῶν Βοιωτῶν καὶ Θετταλῶν. ἔκρινεν οὖν
συγκατάγειν τὸ τῶν Ἀμφικτυόνων συνέδριον, καὶ τούτῳ
**60** τὴν περὶ τῶν ὅλων διάγνωσιν ἐπιτρέψαι. ἔδοξεν οὖν

85. εἰς] ἐπὶ FTY Bas. 85. 89. νεὼν] νεὼ TY Bas., 85. F

128. 5. διαπρεσβευσαμένων] πρεσβευσαμένων FL 8. πάλιν FLQX, caeteri πάλαι 9. πλῆθος ἔχοντα] invertit FLT 12. αὐτὸν] αὑτὸν L Bas. 15. ὅπου] ὅποι Schaeferus ad Demosthenem vol. II. p. 642.

129. 20. συνήδρευσε FL, caeteri συνήδρευε μετὰ τῶν om. Bas., τῶν F



τοῖς συνέδροις μεταδοῦναι τῷ Φιλίππῳ καὶ τοῖς ἀπογό-
νοις αὐτοῦ τῆς Ἀμφικτυονίας, καὶ δύο ψήφους ἔχειν,
ἃς πρότερον οἱ καταπολεμηθέντες Φωκεῖς εἶχον. τῶν δ'
ἐν Φωκεῦσι τριῶν πόλεων περιελεῖν τὰ τείχη, καὶ μηδε-
μίαν κοινωνίαν εἶναι τοῖς Φωκεῦσι τοῦ ἱεροῦ μηδὲ τοῦ
Ἀμφικτυονικοῦ συνεδρίου· μὴ ἐξεῖναι δὲ αὐτοῖς μήτε
ἵππους μήτε ὅπλα κτήσασθαι, μέχρι ἂν οὗ τὰ χρήματα
ἐκτίσωσι τῷ θεῷ τὰ σεσυλημένα. τοὺς δὲ πεφευγότας
τῶν Φωκέων καὶ τῶν ἄλλων τῶν μετεσχηκότων τῆς ἱε-
ροσυλίας ἐναγεῖς εἶναι καὶ ἀγωγίμους πάντοθεν. τὰς δὲ
πόλεις ἁπάσας τῶν Φωκέων κατασκάψαι καὶ μετοικίσαι
εἰς κώμας, ὧν ἑκάστην μὴ πλεῖον ἔχειν οἰκιῶν πεντή-
κοντα, μηδὲ διεστάναι ἔλαττον σταδίου τὰς κώμας ἀπ'
ἀλλήλων. ἔχειν δὲ Φωκεῖς τὴν χώραν, καὶ φέρειν κατ'
ἐνιαυτὸν τῷ θεῷ φόρον τάλαντα ἑξήκοντα, μέχρι ἂν
ἐκτίσωσι τὰ ἀπογραφέντα χρήματα κατὰ τὴν ἱεροσυλίαν.
τιθέναι δὲ καὶ τὸν ἀγῶνα τῶν Πυθίων Φίλιππον μετὰ
Βοιωτῶν καὶ Θετταλῶν διὰ τὸ Κορινθίους μετεσχηκέναι
τοῖς Φωκεῦσι τῆς εἰς τὸ θεῖον παρανομίας. τοὺς δὲ
Ἀμφικτύονας καὶ τὸν Φίλιππον τὰ ὅπλα τῶν Φωκέων
130 καὶ τῶν μισθοφόρων καταπετροκοπῆσαι καὶ τὰ λείψανα
αὐτῶν κατακαῦσαι καὶ τοὺς ἵππους ἀποδόσθαι. ἀκο-
λούθως δὲ τούτοις διέταξαν οἱ Ἀμφικτύονες τὰ περὶ τὴν
ἐπιμέλειαν τοῦ μαντείου καὶ τἄλλα πάντα τὰ πρὸς εὐσέ-
βειαν καὶ κοινὴν εἰρήνην καὶ ὁμόνοιαν τοῖς Ἕλλησιν ἀνή-
κοντα. μετὰ δὲ ταῦτα Φίλιππος μὲν τὰ δεδογμένα τοῖς
Ἀμφικτύοσι συγκαταστήσας καὶ πάντα φιλοφρονηθεὶς
ἐπανῆλθεν εἰς τὴν Μακεδονίαν, οὐ μόνον δόξαν εὐσε-
βείας καὶ ἀρετῆς στρατηγικῆς περιπεποιημένος, ἀλλὰ καὶ
πρὸς τὴν μέλλουσαν αὐτῷ αὔξησιν γενέσθαι μεγάλα προ-
κατασκευασάμενος. ἐπεθύμει γὰρ τῆς Ἑλλάδος ἀποδει-
χθῆναι στρατηγὸς αὐτοκράτωρ καὶ τὸν πρὸς Πέρσας ἐξε-
νεγκεῖν πόλεμον· ὅπερ καὶ συνέβη γενέσθαι. ἀλλὰ περὶ
μὲν τούτων τὰ κατὰ μέρος ἐν τοῖς οἰκείοις χρόνοις ἀνα-
γράψομεν, νῦν δ' ἐπὶ τὸ συνεχὲς τῆς ἱστορίας τρεψό-
μεθα.

Δίκαιον δ' εἶναι νομίζομεν πρῶτον ἀναγράψαι τὴν **61**

27. ἐν Φωκεῦσι] vide annotationem 30. μήτε — μήτε FL, caeteri μηδὲ — μηδὲ 31. μέχρις omnes 36. μετοικίσαι] μετοικῆσαι Bas. 37. πεντήκοντα] *sexagenis* Cospus 38. σταδίου] σταδίους Bas. 40. μέχρις omnes 41. χρήματα] κτήματα L 43. Κορινθίους] vide annotationem

130. 53. πάντα] fort. πάντας 54. τὴν om. F

59. ὅπερ] ὅνπερ Q 60. τὰ κατὰ μέρος post ἀναγράψομεν ponunt LT Bas., et qui om. τὰ F

ἐκ θεῶν γενομένην τοῖς εἰς τὸ μαντεῖον παρηνομηκόσι κόλασιν. ὅλως γὰρ οὐ μόνον τοῖς αὐθένταις τῆς ἱεροσυλίας ἀλλὰ καὶ πᾶσι τοῖς προςαψαμένοις μόνον τῆς παρανομίας ἀπαραίτητος ἐκ τοῦ δαιμονίου ἐπηκολούθησε τιμωρία. ὁ μὲν γὰρ ἀρχιτέκτων τῆς καταλήψεως τοῦ ἱεροῦ Φιλόμηλος κατά τινα περίστασιν πολεμικὴν ἑαυτὸν κατεκρήμνισεν. ὁ δὲ ἀδελφὸς αὐτοῦ Ὀνόμαρχος διαδεξάμενος τὴν τῶν ἀπονοηθέντων στρατηγίαν μετὰ τῶν συμπαραταξαμένων ἐν Θετταλίᾳ Φωκέων καὶ μισθοφόρων κατακοπεὶς ἐσταυρώθη. ὁ δὲ τρίτος καὶ πλεῖστα τῶν ἀναθημάτων κατακόψας Φάϋλλος πολυχρονίῳ νόσῳ νοσήσας οὐδ' ἀπολυθῆναι συντόμως τῆς τιμωρίας ἠδυνήθη. ὁ δ' ἐπὶ πᾶσι Φάλαικος τὰ λείψανα τῆς ἱεροσυλίας ἀναλαβὼν ἐν πλάναις καὶ μεγάλοις φόβοις καὶ κινδύνοις ἐφ' ἱκανὸν χρόνον ἐβίωσεν, οὐχ ἵνα μακαριώτερος γένηται τῶν συνασεβησάντων, ἀλλ' ἵνα πλείω χρόνον στρεβλωθεὶς καὶ πολλοῖς διὰ τὴν ἀτυχίαν γενόμενος γνώριμος περιβόητον ἔχῃ τὴν συμφοράν. οὗτος γὰρ μετὰ τὴν ἐκ τῆς αἰχμαλωσίας φυγὴν μετὰ τῶν μισθοφόρων τὸ μὲν πρῶτον διέτριβε περὶ τὴν Πελοπόννησον, συνέχων τοὺς στρατιώτας ἐκ τῶν ἱεροσυληθέντων λειψάνων, μετὰ δὲ ταῦτα ἐν Κορίνθῳ μισθωσάμενος πλοῖα φορτηγὰ μεγάλα, καὶ τέτταρας ἔχων ἡμιολίας, παρεσκευάζετο πρὸς τὸν εἰς τὴν Ἰταλίαν καὶ Σικελίαν πλοῦν, νομίζων ἐν τούτοις τοῖς τόποις ἢ καταλήψεσθαί τινα πόλιν ἢ τεύξεσθαι μισθοφορίας· ἐτύγχανε γὰρ Λευκανοῖς πρὸς Ταραντίνους συνεστηκὼς πόλεμος. πρὸς δὲ τοὺς συμπλέοντας ἔφη μετάπεμπτος πλεῖν ὑπὸ τῶν ἐξ Ἰταλίας
62 καὶ Σικελίας. ἐκπλεύσαντος δ' αὐτοῦ καὶ πελαγίου γενομένου, στρατιῶταί τινες τῶν ἐν τῷ μεγίστῳ πλοίῳ κομιζομένων, ᾧπερ αὐτὸς ὁ Φάλαικος ἐνέπλει, λόγον
ἀλλήλοις ἐδίδοσαν, ὑπονοοῦντες μηδένα μεταπέμψασθαι 131
σφᾶς. οὔτε γὰρ ἡγεμόνας ἑώρων ἀπὸ τῶν ἐπικαλουμένων συμπλέοντας, οὔτε ὁ πλοῦς ἦν ὀλίγος, ἀλλὰ πολὺς ὑπέκειτο καὶ χαλεπός. διόπερ ἀπιστοῦντες ἅμα τοῖς λεγομένοις καὶ φοβούμενοι τὴν διαπόντιον στρατείαν, συνίσταντο, καὶ μάλισθ' οἱ τὰς ἡγεμονίας ἔχοντες τῶν μισθοφόρων. τέλος δὲ σπασάμενοι τὰ ξίφη, καὶ καταπληξάμενοι τόν τε Φάλαικον καὶ τὸν κυβερνήτην, ἠνάγκα-

67. παρανομίας] ἱεροσυλίας F correctus in margine 80. ἀλλ F 88. τέτταρας] τέσσαρας omnes ἡμιολίας FL, caeteri ἡμιολίους 89. τὴν Ἰταλίαν] Ἰταλίαν FL

131. 1. πολὺς ὑπέκειτο] legebatur πλοῦς ὑπέκειτο μέγας: conf. ad p. 132. 86.



σαν εἰς τοὐπίσω πάλιν ἀποπλεῖν. τὸ δ' αὐτὸ καὶ τῶν ἐν τοῖς ἄλλοις πλοίοις κομιζομένων ποιησάντων κατέπλευσαν εἰς τὴν Πελοπόννησον. ἀθροισθέντες δ' εἰς Μαλέαν ἄκραν τῆς Λακωνικῆς ἐκεῖ κατέλαβον ἐκ Κρήτης καταπεπλευκότας τοὺς Κνωσίους πρέσβεις ἐπὶ συναγωγῇ μισθοφόρων. ὧν διαλεχθέντων τῷ τε Φαλαίκῳ καὶ τοῖς ἡγεμόσι, καὶ δόντων ἀξιολόγους μισθούς, μετὰ τούτων ἅπαντες ἐξέπλευσαν. καταράντες δὲ τῆς Κρήτης εἰς Κνωσὸν εὐθὺς ἐξ ἐφόδου πόλιν κατελάβοντο τὴν καλουμένην Λύκτον. τοῖς δὲ Λυκτίοις ἐκ τῆς πατρίδος ἐκπεπτωκόσι παράδοξος καὶ σύντομος ἐφάνη βοήθεια. περὶ γὰρ τοὺς αὐτοὺς χρόνους Ταραντίνων διαπολεμούντων πρὸς Λευκανούς, καὶ πρὸς Λακεδαιμονίους, ὄντας προγόνους ἑαυτῶν, πεμψάντων πρέσβεις περὶ βοηθείας, οἱ μὲν Σπαρτιᾶται διὰ τὴν συγγένειαν προθύμως ἔχοντες συμμαχῆσαι ταχέως δύναμιν ἤθροιζον πεζικήν τε καὶ ναυτικήν, καὶ ταύτης στρατηγὸν ἀπέδειξαν Ἀρχίδαμον τὸν βασιλέα· μελλόντων δ' ἀπαίρειν εἰς τὴν Ἰταλίαν, ἠξίωσαν οἱ Λύκτιοι πρῶτον αὐτοῖς βοηθῆσαι· οἱ δὲ Λακεδαιμόνιοι πεισθέντες καὶ πλεύσαντες εἰς τὴν Κρήτην τοὺς μισθοφόρους ἐνίκησαν, τοῖς δὲ Λυκτίοις ἀνέ-
σωσαν τὴν πατρίδα. μετὰ δὲ ταῦτα ὁ μὲν Ἀρχίδα- 63
μος πλεύσας εἰς τὴν Ἰταλίαν, καὶ συμμαχήσας τοῖς Ταραντίνοις, ἔν τινι μάχῃ διαγωνισάμενος λαμπρῶς ἐτελεύτησεν, ἀνὴρ κατὰ μὲν τὴν στρατηγίαν καὶ τὸν ἄλλον βίον ἐπαινούμενος, κατὰ δὲ τὴν πρὸς Φωκεῖς συμμαχίαν μόνην βλασφημούμενος, ὡς μάλιστ' αἴτιος γεγονὼς τῆς τῶν Δελφῶν καταλήψεως. Ἀρχίδαμος μὲν οὖν ἐβασίλευσε τῶν Λακεδαιμονίων ἔτη τρία πρὸς τοῖς εἴκοσι, τὴν δ' ἀρχὴν διαδεξάμενος Ἆγις ὁ υἱὸς ἐβασίλευσεν ἔτη πεντεκαίδεκα. ἔπειτα οἱ μὲν Ἀρχιδάμου μισθοφόροι μετεσχηκότες τῆς τοῦ μαντείου συλήσεως ὑπὸ τῶν Λευκανῶν κατηκοντίσθησαν· ὁ δὲ Φάλαικος ἐκπεσὼν ἐκ τῆς Λύκτου Κυδωνίαν πολιορκεῖν ἐπεχείρησε. κατασκευάσαντος δὲ αὐτοῦ μηχανὰς πολιορκητικὰς καὶ προςάγοντος τῇ πόλει, κεραυνῶν πεσόντων, αὗται μὲν ὑπὸ τοῦ θείου πυρὸς κατεφλέχθησαν, τῶν δὲ μισθοφόρων πολλοὶ παραβοηθοῦντες ταῖς μηχαναῖς ὑπὸ τοῦ πυρὸς διεφθάρησαν· ἐν
132 οἷς ἦν καὶ ὁ στρατηγὸς Φάλαικος. ἔνιοι δέ φασιν αὐτὸν προςκόψαντά τινι τῶν μισθοφόρων ὑπὸ τούτου σφαγῆναι. οἱ δὲ περιλειφθέντες τῶν μισθοφόρων ἀνα-

10. Μαλέαν] Μαλαίαν T Bas. 11. Κνωσίους] Κνωσσίους FL Cospus hic et 15.: delendus autem videtur articulus 36. μάλιστ' FT, caeteri μάλιστα 40. πεντεκαίδεκα] vide annotat.

ληφθέντες ὑπὸ Ἠλείων φυγάδων εἰς τὴν Πελοπόννησον ἐκομίσθησαν, καὶ μετὰ τούτων ἐπολέμουν πρὸς Ἠλείους. Ἀρκάδων δὲ συναγωνισαμένων τοῖς Ἠλείοις, καὶ μάχῃ νικησάντων τοὺς φυγάδας, πολλοὶ μὲν τῶν μισθοφόρων ἀνῃρέθησαν, οἱ δὲ περιλειφθέντες εἰς τετρακισχιλίους ἐζωγρήθησαν. διελομένων δὲ τῶν τε Ἀρκάδων καὶ Ἠλείων τοὺς αἰχμαλώτους, οἱ μὲν Ἀρκάδες τοὺς ἑαυτοῖς μερισθέντας ἅπαντας ἐλαφυροπώλησαν, οἱ δ' Ἠλεῖοι διὰ τὴν εἰς τὸ μαντεῖον παρανομίαν ἀπέσφαξαν.

64 οἱ μὲν οὖν τῆς ἱεροσυλίας μετασχόντες τοῦτον τὸν τρόπον ὑπὸ τοῦ δαιμονίου τιμωρίας ἠξιώθησαν. αἱ δ' ἐπισημόταται πόλεις κοινωνήσασαι τῆς παρανομίας ὕστερον ὑπ' Ἀντιπάτρου καταπολεμηθεῖσαι τὴν ἡγεμονίαν ἅμα καὶ τὴν ἐλευθερίαν ἀπέβαλον. αἱ δὲ τῶν ἐν Φωκεῦσιν ἡγεμόνων γυναῖκες περιθέμεναι τοὺς χρυσοῦς ἐκ Δελφῶν ὅρμους οἰκείας τῆς ἀσεβείας τιμωρίας ἔτυχον. ἡ μὲν γὰρ τὸν τῆς Ἑλένης γεγενημένον φορέσασα εἰς ἑταιρικὴν αἰσχύνην ἐνέπεσε καὶ τὸ κάλλος προέβαλε τοῖς ἐνυβρίζειν προαιρουμένοις, ἡ δὲ τὸν τῆς Ἐριφύλης περιθεμένη τῆς οἰκίας ὑπὸ τοῦ πρεσβυτάτου τῶν υἱῶν ὑπὸ μανίας ἐμπυρισθείσης μετὰ ταύτης ζῶσα κατεφλέχθη. οἱ μὲν οὖν τοῦ δαιμονίου καταφρονεῖν τολμήσαντες τὸν εἰρημένον τρόπον ὑπὸ τῶν θεῶν τιμωρίας ἠξιώθησαν. ὁ δὲ τούτῳ τῷ μαντείῳ βοηθήσας Φίλιππος ἀπὸ τούτων τῶν χρόνων ἀεὶ μᾶλλον αὐξόμενος τὸ τελευταῖον διὰ τὴν εἰς τὸ θεῖον εὐσέβειαν ἡγεμὼν ἀπεδείχθη τῆς Ἑλλάδος πάσης, καὶ μεγίστην βασιλείαν τῶν κατὰ τὴν Εὐρώπην περιεποιήσατο. ἡμεῖς δὲ ἀρκούντως διεληλυθότες τὸν ἱερὸν πόλεμον ἐπάνιμεν ἐπὶ τὰς ἑτερογενεῖς πράξεις.

65 Κατὰ γὰρ τὴν Σικελίαν Συρακόσιοι στασιάζοντες πρὸς ἀλλήλους, καὶ τυραννίσι πολλαῖς καὶ ποικίλαις δουλεύειν ἀναγκαζόμενοι, πρέσβεις ἐξέπεμψαν εἰς Κόρινθον, ἀξιοῦντες αὐτοῖς ἀποστεῖλαι στρατηγὸν τὸν ἐπιμελησόμενον τῆς πόλεως καὶ καταλύσοντα τὴν τῶν τυραννεῖν ἐπιβαλομένων πλεονεξίαν. οἱ δὲ κρίνοντες δίκαιον εἶναι τοῖς ἀπογόνοις βοηθεῖν, ἐψηφίσαντο πέμπειν στρατηγὸν Τιμολέοντα Τιμαινέτου, πρωτεύοντα τῶν πολιτῶν ἀνδρείᾳ τε καὶ συνέσει στρατηγικῇ καὶ κα-

132. 52. φυγάδων] συμμάχων F 56. πολλοὶ μὲν] πολλοὶ L 67. τὴν ἐλευθερίαν FL' Bas., caeteri ἐλευθερίαν 72. ἐνυβρίζειν] ὑβρίζειν Bas. προαιρουμένοις] βουλομένοις F 78. τούτῳ non desiderem 81. μεγίστην Stephanus: libri μεγάλην 86. post πολλαῖς delevi καὶ μεγάλαις, quae asterisco notaverat Stephanus: v. ad p. 131. 1. 93. Τιμαινέτου] Timaneti Cospus



θόλου πάσαις ταῖς ἀρεταῖς κεκοσμημένον. ἴδιον δέ τι συνέβη περὶ τὸν ἄνδρα συμπεσεῖν, ὃ συνελάβετο αὐτῷ πρὸς τὴν τῆς στρατηγίας αἵρεσιν. Τιμοφάνης γὰρ ὁ ἀδελφὸς αὐτοῦ προέχων τῶν Κορινθίων πλούτῳ τε καὶ τόλμῃ, πάλαι μὲν ἦν φανερὸς τυραννίδος ὀρεγόμενος, τότε δὲ τοὺς ἀπόρους ἀναλαμβάνων καὶ πανοπλίας κατασκευαζόμενος καὶ τοὺς πονηροτάτους ἔχων μεθ' ἑαυτοῦ κατὰ τὴν ἀγορὰν περιῄει, οὐ προςποιούμενος ὅτι
133 τύραννός ἐστι, τὰ δὲ τῆς τυραννίδος ἔργα διαπραττόμενος. ὁ δὲ Τιμολέων ἀλλοτριώτατος ὢν μοναρχίας, τὸ μὲν πρῶτον ἐπεχείρει πείθειν τὸν ἀδελφὸν ἀποστῆναι τῆς ἐπιβολῆς· ὡς δ' οὐχ ὑπήκουεν, ἀλλ' ἀεὶ καὶ μᾶλλον ἐπετείνετο τῇ τόλμῃ, ἀδυνατῶν αὐτὸν λόγῳ διορθώσασθαι, περιπατῶν κατὰ τὴν ἀγορὰν ἀπέσφαξε. θορύβου δὲ γενομένου, καὶ τῶν πολιτῶν συνδραμόντων διά τε τὸ παράδοξον καὶ τὴν δεινότητα τῆς πράξεως, στάσις ἐγένετο. οἱ μὲν γὰρ ἔφασαν δεῖν ὡς ἐμφύλιον φόνον πεπραχότα τὸν Τιμολέοντα τυγχάνειν τῆς ἐκ τῶν νόμων τιμωρίας, οἱ δὲ τοὐναντίον ἀπεφαίνοντο ἐπαινεῖν τὸν ἄνδρα ὡς τυραννοκτόνον. τῆς δὲ γερουσίας συνεδρευούσης ἐν τῷ βουλευτηρίῳ, καὶ τῆς περὶ τὴν πρᾶξιν ἀμφισβητήσεως ἐπὶ τὸ συνέδριον ἀναπεμφθείσης, οἱ μὲν ἐχθροὶ τοῦ Τιμολέοντος κατηγόρουν, οἱ δὲ χαριέστεροι συνηγοροῦντες συνεβούλευον σώζειν τὸν ἄνδρα. ἀκρίτου δ' ἔτι τῆς ζητήσεως οὔσης κατέπλευσαν ἐκ τῶν Συρακουσῶν οἱ πρέσβεις, καὶ τῇ γερουσίᾳ τὰς ἐντολὰς δηλώσαντες ἠξίουν τὴν ταχίστην ἀποστεῖλαι τὸν στρατηγόν. ἔδοξεν οὖν τῷ συνεδρίῳ πέμπειν τὸν Τιμολέοντα, καὶ πρὸς τὸ κατορθῶσαι τὴν πρᾶξιν ξένας τινὰς καὶ παραδόξους αἱρέσεις αὐτῷ προέθηκαν. διεβεβαιώσαντο γάρ, ἐὰν μὲν καλῶς ἄρξῃ τῶν Συρακοσίων, κρίνειν αὐτὸν τυραννοκτόνον, ἐὰν δὲ πλεονεκτικώτερον, ἀδελφοῦ φονέα. ὁ δὲ Τιμολέων οὐχ οὕτω διὰ τὸν ἐπικρεμασθέντα φόβον ὑπὸ τῆς γερουσίας ὡς διὰ τὴν ἀρετὴν καλῶς καὶ συμφερόντως προέστη τῶν κατὰ τὴν Σικελίαν πραγμάτων. Καρχηδονίους μὲν γὰρ κατεπολέμησε, τὰς δὲ κατεσκαμμένας ὑπὸ τῶν βαρβάρων Ἑλληνίδας πόλεις ἀποκατέστησε, πᾶσαν δὲ Σικελίαν ἠλευθέρωσε, καθόλου δὲ τὰς Συρακούσας καὶ τὰς Ἑλληνίδας πόλεις παραλαβὼν ἐρήμους ἐποίησε

133. 14. τυραννοκτόνα Bas. 16. τῆς περὶ] περὶ Bas. 20. Συρακουσίων Bas. 27. πλεονεκτικώτερον] τὴν αν πλεονεκτικῶς Y 30. τῶν τῆς σικελίας et in marg. γρ. κατὰ τὴν F 32. κατεσκαμμένας] κατασκευασμένας Bas.: eadem om. ἀποκατέστησε — 35. πόλεις

πολυανθρωπίᾳ διενεγκεῖν. ἀλλὰ περὶ μὲν τούτων τὰ κατὰ μέρος μικρὸν ὕστερον ἐν τοῖς οἰκείοις χρόνοις ἀναγράψομεν, νῦν δ' ἐπὶ τὸ συνεχὲς τῆς ἱστορίας μεταβιβάσομεν τὸν λόγον.

66 Ἐπ' ἄρχοντος γὰρ Ἀθήνησιν Εὐβούλου Ῥωμαῖοι κατέστησαν ὑπάτους Μάρκον Φάβιον καὶ Σερούιον Σουλπίκιον. ἐπὶ δὲ τούτων Τιμολέων ὁ Κορίνθιος προκεχειρισμένος ὑπὸ τῶν πολιτῶν ἐπὶ τὴν ἐν Συρακούσαις στρατηγίαν, παρεσκευάζετο πρὸς τὸν εἰς τὴν Σικελίαν ἔκπλουν. ἑπτακοσίους μὲν οὖν ξένους ἐμισθώσατο, στρατιωτῶν δὲ τέτταρας τριήρεις πληρώσας καὶ ταχυναυτούσας τρεῖς, ἐξέπλευσεν ἐκ Κορίνθου. ἐν παράπλῳ δὲ παρὰ Λευκαδίων καὶ Κερκυραίων τρεῖς ναῦς προςλαβόμενος ἐπεραιοῦτο δέκα ναυσὶ τὸν Ἰόνιον καλούμενον πόρον. ἴδιον δέ τι καὶ παράδοξον συνέβη γενέσθαι τῷ Τιμολέοντι κατὰ τὸν πλοῦν, τοῦ δαιμονίου συνεπιλαβομένου τῆς ἐπιβολῆς καὶ προσημαίνοντος τὴν ἐσομένην περὶ αὐτὸν εὐδοξίαν καὶ λαμπρότητα τῶν πράξεων. δι' ὅλης γὰρ τῆς νυκτὸς προηγεῖτο λαμπὰς καιομένη κατὰ τὸν οὐρανὸν μέχρι οὗ συνέβη τὸν στόλον εἰς τὴν Ἰτα- 134
λίαν καταπλεῦσαι. ὁ δὲ Τιμολέων προακηκοὼς ἦν ἐν Κορίνθῳ τῶν τῆς Δήμητρος καὶ Κόρης ἱερειῶν ὅτι κατὰ τὸν ὕπνον αὐταῖς αἱ θεαὶ προήγγειλαν συμπλεύσεσθαι τοῖς περὶ τὸν Τιμολέοντα κατὰ τὸν πλοῦν τὸν εἰς τὴν ἱερὰν αὐτῶν νῆσον. διόπερ ὁ Τιμολέων καὶ οἱ συμπλέοντες περιχαρεῖς ἦσαν, ὡς τῶν θεῶν συνεργουσῶν αὐτοῖς. τὴν δ' ἀρίστην τῶν νεῶν καθιερώσας ταῖς θεαῖς ὁ Τιμολέων ὠνόμασεν αὐτὴν Δήμητρος καὶ Κόρης ἱεράν. καταπλεύσαντος δὲ τοῦ στόλου χωρὶς κινδύνων εἰς τὸ Μεταπόντιον τῆς Ἰταλίας ἐπικατέπλευσε Καρχηδονία τριήρης ἔχουσα πρεσβευτὰς Καρχηδονίους. οὗτοι δ' ἐντυχόντες τῷ Τιμολέοντι διεμαρτύραντο μὴ κατάρχειν πολέμου μηδ' ἐπιβαίνειν τῇ Σικελίᾳ. ὁ δὲ Τιμολέων, ἐπικαλουμένων αὐτὸν τῶν Ῥηγίνων καὶ συμμαχήσειν ἐπαγγελλομένων, ἐξέπλευσεν εὐθέως ἐκ τοῦ Μεταποντίου,

37. μικρὸν ὕστερον om. L 38. δ' F 46. τέτταρας] πέντε QX, caeteri τέσσαρας 48. Κερκυραίων] Κορκυραίων Y Bas. 50. δέκα] καὶ μιᾷ addunt QX Ἰόνιον] Ἰώνιον Bas. 55. καιομένη FLY Bas., caeteri καομένη

134. 56. μέχρι T, caeteri μέχρις 59. προήγγειλαν FL Bas., caeteri προςήγγειλαν 60. τὸν alterum om. F 61. καὶ οἱ — 64. ὁ Τιμολέων om. Bas. 65. τοῦ om. Bas. 66. τὸ Μεταπόντιον] Μεταπόντιον L Bas. 68. τῷ om. Bas. 71. αὐτὸν] αὐτῷ F



σπεύδων φθάσαι τὴν περὶ αὐτὸν φήμην. σφόδρα γὰρ εὐλαβεῖτο μήποτε Καρχηδόνιοι θαλαττοκρατοῦντες κωλύσωσιν αὐτὸν εἰς Σικελίαν διαπλεῦσαι. οὗτος μὲν οὖν κατὰ σπουδὴν ἐτέλει τὸν εἰς Ῥήγιον πλοῦν.

67 Καρχηδόνιοι δὲ βραχὺ πρὸ τούτων τῶν καιρῶν πυθόμενοι τὸ μέγεθος τοῦ κατὰ Σικελίαν ἐσομένου πολέμου, ταῖς μὲν κατὰ Σικελίαν συμμαχίσι πόλεσι φιλανθρώπως προςεφέροντο, καὶ πρὸς τοὺς κατὰ τὴν νῆσον τυράννους τὴν διαφορὰν καταλύσαντες φιλίαν συνέθεντο, μάλιστα δὲ πρὸς Ἱκέταν τὸν τῶν Συρακοσίων δυναστεύοντα διὰ τὸ τοῦτον πλεῖον ἰσχύειν. αὐτοὶ δὲ πολλὴν δύναμιν ναυτικήν τε καὶ πεζικὴν παρασκευασάμενοι διεβίβασαν εἰς Σικελίαν Ἄννωνα στρατηγὸν ἐπιστήσαντες. εἶχον δὲ μακρὰς ναῦς ἑκατὸν καὶ πεντήκοντα, στρατιώτας δὲ πεζοὺς μὲν πεντακιςμυρίους, ἅρματα δὲ τριακόσια, συνωρίδας δὲ ὑπὲρ τὰς δισχιλίας, χωρὶς δὲ τούτων ὅπλα καὶ βέλη παντοδαπὰ καὶ μηχανὰς πολιορκητικὰς παμπληθεῖς καὶ σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων πλῆθος ἀνυπέρβλητον. ἐπὶ πρώτην δὲ τὴν τῶν Ἐντελλίνων πόλιν ἐλθόντες τήν τε χώραν ἐδῄωσαν καὶ τοὺς ἐγχωρίους εἰς πολιορκίαν συνέκλεισαν. οἱ δὲ τὴν πόλιν κατοικοῦντες Καμπανοὶ καταπλαγέντες τὸ μέγεθος τῆς δυνάμεως ἐξέπεμψαν εἰς τὰς ἄλλας πόλεις τὰς ἀλλοτρίως διακειμένας πρὸς Καρχηδονίους περὶ βοηθείας. τῶν μὲν οὖν ἄλλων οὐδεὶς ὑπήκουσεν· οἱ δὲ τὴν Γαλαρίαν πόλιν οἰκοῦντες ἐξέπεμψαν αὐτοῖς στρατιώτας ὁπλίτας χιλίους. τούτοις δ' ὑπαντήσαντες οἱ Φοίνικες, καὶ περιχυθέντες τῷ πλήθει, πάντας κατέκοψαν. οἱ δὲ τὴν Αἴτνην κατοικοῦντες Καμπανοὶ τὸ μὲν πρῶτον παρεσκευάζοντο συμμαχίαν ἐκπέμπειν εἰς τὴν Ἔντελλαν διὰ τὴν συγγένειαν, μετὰ δὲ ταῦτα τὴν τῶν Γαλαρίνων συμφορὰν ἀκούσαντες, ἔκριναν ἡσυχίαν ἄγειν.

68 Τοῦ δὲ Διονυσίου κυριεύοντος τῶν Συρακουσῶν
135 Ἱκέτας ἔχων περὶ αὐτὸν ἀξιόλογον δύναμιν ἐστράτευσεν ἐπὶ τὰς Συρακούσας· καὶ τὸ μὲν πρῶτον χάρακα βαλόμενος περὶ τὸ Ὀλύμπιον διεπολέμει τῷ κρατοῦντι τῆς πόλεως Διονυσίῳ τῷ τυράννῳ. χρονιζούσης δὲ τῆς πο-

73. αὐτὸν] malim αὐτοῦ 74. θαλαττοκρατ.] θαλασσοκρ. omnes 86. παρασκευασάμενοι] κατασκευασάμενοι LY Bas. 87. ἄνωνα F 94. ἐντελίνων F et similiter alibi 98. τὰς alterum om. Bas. 99. περὶ] διὰ Bas. 100. 7. Γαλαρίαν — Γαλαρίνων] Γαλερίαν — Γαλερινῶν libri: vide annotat. 9. Συρακουσιῶν Bas.

135. 12. Ὀλύμπιον FLT Bas., caeteri Ὀλυμπεῖον 13. Διονυσίῳ τῷ τυράννῳ FL, τυράννῳ Διονυσίῳ T Bas., caeteri τυράννῳ τῷ Διονυσίῳ

λιορκίας καὶ τῶν ἐπιτηδείων ἐκλιπόντων, ὁ μὲν Ἱκέτας ἀνέζευξεν εἰς Λεοντίνους· ἐκ ταύτης γὰρ ὡρμᾶτο τῆς πόλεως· ὁ δὲ Διονύσιος ἐπακολουθήσας αὐτοῖς, καὶ καταλαβὼν τὴν οὐραγίαν, συνεστήσατο μάχην. ὁ δ' Ἱκέτας ἐπιστρέψας ἐπὶ τὸν Διονύσιον συνῆψε μάχην, καὶ πλείους τῶν τριςχιλίων μισθοφόρων ἀνελὼν τοὺς λοιποὺς φυγεῖν ἠνάγκασεν. ὀξεῖ δὲ τῷ διωγμῷ χρησάμενος, καὶ συνειςπεσὼν τοῖς φεύγουσιν εἰς τὴν πόλιν, ἐκράτησε τῶν Συρακουσῶν πλὴν τῆς Νήσου. καὶ τὰ μὲν περὶ τὸν Ἱκέταν καὶ Διονύσιον ἐν τούτοις ἦν. Τιμολέων δὲ μετὰ τὴν κατάληψιν τῶν Συρακουσῶν τρισὶν ἡμέραις ὕστερον κατέπλευσεν εἰς τὸ Ῥήγιον, καὶ καθωρμίσθη πλησίον τῆς πόλεως. ἐπικαταπλευσάντων δὲ καὶ τῶν Καρχηδονίων εἴκοσι τριήρεσι, καὶ τῶν Ῥηγίνων συνεργούντων τῷ Τιμολέοντι καὶ κοινὴν ἐκκλησίαν ἐν τῇ πόλει συναγαγόντων καὶ περὶ συλλύσεως δημηγορούντων, οἱ μὲν Καρχηδόνιοι διαλαβόντες τὸν Τιμολέοντα πεισθήσεσθαι τὸν εἰς Κόρινθον ἀπόπλουν ποιήσασθαι, ῥᾳθύμως εἶχον τὰ κατὰ τὰς φυλακάς· ὁ δὲ Τιμολέων οὐδεμίαν ἔμφασιν διδοὺς τοῦ δρασμοῦ αὐτὸς μὲν πλησίον τοῦ βήματος ἔμεινε, λάθρᾳ δὲ παρήγγειλε τὰς ἐννέα ναῦς ἀποπλεῦσαι τὴν ταχίστην. περισπωμένων δὲ τῶν Καρχηδονίων ταῖς ψυχαῖς περὶ τοὺς ἐγκαθέτως δημηγοροῦντας μακρῶς τῶν Ῥηγίνων ἔλαθεν ὁ Τιμολέων διαδρὰς ἐπὶ τὴν ὑπολελειμμένην ναῦν, καὶ ταχέως ἐξέπλευσεν. οἱ δὲ Καρχηδόνιοι καταστρατηγηθέντες ἐπεβάλοντο διώκειν τοὺς περὶ τὸν Τιμολέοντα. ἐκείνων δὲ προειληφότων ἱκανὸν διάστημα, καὶ τῆς νυκτὸς ἐπιλαβούσης, ἔφθασαν οἱ περὶ τὸν Τιμολέοντα ἀποπλεύσαντες εἰς τὸ Ταυρομένιον. ὁ δὲ τῆς πόλεως ταύτης ἡγούμενος διὰ παντὸς πεφρονηκὼς τὰ τῶν Συρακοσίων, Ἀνδρόμαχος, φιλοφρόνως ὑπεδέξατο τοὺς διωκομένους, καὶ πολλὰ συνεβάλετο πρὸς τὴν σωτηρίαν αὐτῶν. μετὰ δὲ ταῦτα ὁ μὲν Ἱκέτας ἀναλαβὼν τῶν στρατιωτῶν τοὺς ἀρίστους πεντακιςχιλίους ἐστράτευσεν ἐπὶ τοὺς Ἀδρανίτας ἀντιπράττοντας αὐτῷ, καὶ πλησίον τῆς πόλεως κατεστρατοπέδευσεν· ὁ δὲ Τιμολέων προςλαβόμενος παρὰ τῶν Ταυρομενίων στρατιώτας ἀνέζευξεν ἐκ τοῦ Ταυρομενίου, τοὺς ἅπαντας ἔχων οὐ πλείους τῶν χιλίων. ἀρχομένης δὲ τῆς νυκτὸς ἀφορμήσας, καὶ διανύσας ἐπὶ τὸ Ἀδρανὸν

31. δημηγορούντων] κατηγορούντων Y Bas. 35. ἔμεινε] ἔμενε LT 37. δὲ om. Bas. 46. διὰ — 47. φιλοφρόνως om. Bas. 55. τῶν om. F Bas. 57. τὸ Ἀδρανὸν] τὸν Ἀδρανὸν T Bas.



δευτεραῖος, ἀνελπίστως ἐπέθετο τοῖς περὶ τὸν Ἱκέταν δειπνοποιουμένοις. παρειςπεσὼν δ' εἰς τὴν παρεμβολήν, καὶ φονεύσας πλείους τῶν τριακοσίων, ζωγρήσας δὲ περὶ ἑξακοσίους, τῆς παρεμβολῆς ἐκράτησε. τούτῳ δὲ τῷ στρατηγήματι ἕτερον ἐπειςάγων παραχρῆμα ἐπὶ τὰς Συρακούσας ἀφώρμησε, καὶ δρομαῖος τὴν ὁδὸν διανύσας ἀπροςδοκήτως προςέπεσε ταῖς Συρακούσαις, καταταχήσας
136 τοὺς ἀπὸ τῆς τροπῆς φεύγοντας. ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

69 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Λυκίσκου Ῥωμαῖοι κατέστησαν ὑπάτους Μάρκον Οὐαλέριον καὶ Μάρκον Ποπίλλιον, Ὀλυμπιὰς δ' ἤχθη ἑκατοστὴ καὶ ἐνάτη, καθ' ἣν ἐνίκα στάδιον Ἀριστόλοχος Ἀθηναῖος. ἐπὶ δὲ τούτων Ῥωμαίοις μὲν πρὸς Καρχηδονίους πρῶτον συνθῆκαι ἐγένοντο. κατὰ δὲ τὴν Καρίαν Ἰδριεὺς ὁ δυνάστης τῶν Καρῶν ἐτελεύτησεν ἄρξας ἔτη ἑπτά, τὴν δὲ ἀρχὴν διαδεξαμένη Ἄδα ἡ ἀδελφὴ καὶ γυνὴ ἐδυνάστευσεν ἔτη τέτταρα. κατὰ δὲ τὴν Σικελίαν Τιμολέων μὲν Ἀδρανίτας καὶ Τυνδαρίτας εἰς συμμαχίαν προςλαβόμενος στρατιώτας οὐκ ὀλίγους παρ' αὐτῶν παρέλαβεν. ἐν δὲ ταῖς Συρακούσαις πολλὴ ταραχὴ κατεῖχε τὴν πόλιν, Διονυσίου μὲν τὴν Νῆσον ἔχοντος, Ἱκέτα δὲ τῆς Ἀχραδινῆς καὶ Νέας πόλεως κυριεύοντος, Τιμολέοντος δὲ τὰ λοιπὰ τῆς πόλεως παρειληφότος, καὶ Καρχηδονίων τριήρεσι μὲν ἑκατὸν καὶ πεντήκοντα καταπεπλευκότων εἰς τὸν μέγαν λιμένα, πεζοῖς δὲ στρατιώταις πεντακιςμυρίοις κατεστρατοπεδευκότων· διόπερ τῶν περὶ τὸν Τιμολέοντα καταπεπληγμένων τὸ πλῆθος τῶν πολεμίων ἄλογός τις καὶ παράδοξος ἐγένετο μεταβολή. πρῶτον μὲν γὰρ Μάμερκος ὁ τῶν Καταναίων τύραννος δύναμιν ἀξιόλογον ἔχων προςέθετο τῷ Τιμολέοντι· ἔπειτα πολλὰ τῶν φρουρίων ὀρεγόμενα τῆς ἐλευθερίας ἀπέκλινε πρὸς αὐτόν· τὸ δὲ τελευταῖον Κορίνθιοι δέκα ναῦς πληρώσαντες χρήματά τε πορίσαντες ἐξαπέστειλαν εἰς τὰς Συρακούσας. ὧν πραχθέντων Τιμολέων μὲν ἐθάῤῥησεν, οἱ δὲ Καρχηδόνιοι φοβηθέντες ἀπέπλευσαν ἐκ τοῦ λιμένος ἀλόγως, καὶ μετὰ πάσης τῆς δυνάμεως εἰς τὴν ἰδίαν ἐπικράτειαν ἀπηλλάγησαν. μονωθέντος δὲ τοῦ Ἱκέτα Τιμολέων περι-

60. τριακοσίων] τετρακοσίων QY
136. 68. Λυκίσκου] Λυκίσσου X, *Silyscum* vocat Cospus
70. Ποπίλλιον Livius, Πομπίλιον QX, *Popilium* Cospus, caeteri Πόπλιον δ'] δὲ T Bas. 71. ἐνάτη] ἐννάτη omnes 76. ἐδυνάστευεν Bas. τέτταρα] vulgo τέσσαρα, δ Bas. 81. Ἱκέτα FLT Bas., caeteri Ἱκέτου
89. Μάμερκος Casaubonus cum aliis: libri Μάρκος

γενόμενος τῶν πολεμίων ἐκράτησε τῶν Συρακουσῶν. εὐθὺς δὲ καὶ τὴν Μεσσήνην μετατιθεμένην πρὸς Καρχηδονίους ἀνεκτήσατο. καὶ τὰ μὲν κατὰ τὴν Σικελίαν ἐν τούτοις ἦν. κατὰ δὲ τὴν Μακεδονίαν Φίλιππος πατρικὴν ἔχθραν διαδεδεγμένος πρὸς Ἰλλυριοὺς καὶ τὴν διαφορὰν ἀμετάθετον ἔχων, ἐνέβαλεν εἰς τὴν Ἰλλυρίδα μετὰ πολλῆς δυνάμεως. πορθήσας δὲ τὴν χώραν καὶ πολλὰ τῶν πολισμάτων χειρωσάμενος μετὰ πολλῶν λαφύρων ἐπανῆλθεν εἰς τὴν Μακεδονίαν. μετὰ δὲ ταῦτα παρελθὼν εἰς τὴν Θετταλίαν καὶ τοὺς τυράννους ἐκ τῶν πόλεων ἐκβαλὼν ἰδίους ταῖς εὐνοίαις ἐποιήσατο τοὺς Θετταλούς· ἤλπιζε γὰρ τούτους ἔχων συμμάχους καὶ τοὺς Ἕλληνας ῥαδίως εἰς εὔνοιαν προτρέψασθαι· ὅπερ καὶ συνέβη γενέσθαι. εὐθὺς γὰρ οἱ πλησιόχωροι 137 τῶν Ἑλλήνων συνενεχθέντες τῇ τῶν Θετταλῶν κρίσει συμμαχίαν προθύμως πρὸς αὐτὸν ἐποιήσαντο.

70 Ἐπ᾿ ἄρχοντος δ᾿ Ἀθήνησι Πυθοδότου Ῥωμαῖοι κατέστησαν ὑπάτους Γάϊον Πλαύτιον καὶ Τίτον Μάλλιον. ἐπὶ δὲ τούτων Τιμολέων καταπληξάμενος Διονύσιον τὸν τύραννον ἔπεισεν αὐτὸν παραδοῦναι τὴν ἀκρόπολιν, καὶ τὴν ἀρχὴν ἀποθέμενον ἀπελθεῖν εἰς Πελοπόννησον ὑπόσπονδον ἔχοντα τὰ ἴδια χρήματα. οὗτος μὲν οὖν δι᾿ ἀνανδρίαν καὶ ταπεινότητα ψυχῆς τήν τε περιβόητον τυραννίδα καὶ δεδεμένην, ὥς ἔφασαν, ἀδάμαντι τὸν εἰρημένον τρόπον ἀπέλιπε καὶ κατεβίωσεν ἀπορούμενος ἐν Κορίνθῳ, τὸν δ᾿ ἴδιον βίον καὶ τὴν μεταβολὴν ἔσχε παράδειγμα τοῖς καυχωμένοις ἀφρόνως ἐπὶ ταῖς εὐτυχίαις. ὁ γὰρ ἔχων τετρακοσίας τριήρεις μετ᾿ ὀλίγον ἐν μικρῷ στρογγύλῳ πλοίῳ κατέπλευσεν εἰς τὴν Κόρινθον, περίβλεπτον ἔχων τὴν τῆς μεταβολῆς ὑπερβολήν. Τιμολέων δὲ παραλαβὼν τὴν νῆσον καὶ φρούρια τὰ Διονυσίῳ πρότερον ὑπακούοντα τὰς μὲν κατὰ τῆς νήσου ἀκροπόλεις καὶ τὰ τυραννεῖα κατέσκαψε, τοῖς δὲ φρουρίοις ἀπέδωκε τὴν ἐλευθερίαν. εὐθὺς δὲ καὶ νομογραφεῖν ἤρξατο, τιθεὶς δημοκρατικοὺς νόμους, καὶ τὰ περὶ τῶν ἰδιωτικῶν συμβολαίων δίκαια καὶ τἄλλα πάντα ἀκριβῶς διέταξε, πλείστην φροντίδα τῆς ἰσότητος ποιούμενος. κατέ-

100. *πολεμίων* FQX, caeteri *πολιτῶν* 1. *μετατιθεμένην*] malim *μετατεθειμένην* 10. *ἐκ τῶν*] *τῶν* FL 13. *εὐθὺς*] *εὐθὺ* T Bas.

137. 14. *Ἑλλήνων*] *ἀλλήλων* F *συνενεχθέντες*] *συναχθέντες* FLQT Bas. 17. *Πυθοδότου* QX, caeteri *Πυθοδώρου* 19. *Μάλλιον*] *Μάλιον* F 29. *τετρακοσίας*] *τριακοσίας* Q 34. *τῆς νήσου*] *τὰς νήσους* L, *τὴν νῆσον* Rhodomannus



στησε δὲ καὶ τὴν κατ᾿ ἐνιαυτὸν ἐντιμοτάτην ἀρχήν, ἣν ἀμφιπολίαν Διὸς Ὀλυμπίου οἱ Συρακόσιοι καλοῦσι· καὶ ᾑρέθη πρῶτος ἀμφίπολος Διὸς Ὀλυμπίου Καλλιμένης, καὶ τὸ λοιπὸν διετέλεσαν οἱ Συρακόσιοι τοὺς ἐνιαυτοὺς ἐπιγράφοντες τούτοις τοῖς ἄρχουσι μέχρι τῶνδε τῶν ἱστοριῶν γραφομένων καὶ τῆς κατὰ τὴν πολιτείαν ἀλλαγῆς· τῶν γὰρ Ῥωμαίων μεταδόντων τοῖς Σικελιώταις τῆς πολιτείας ἡ τῶν ἀμφιπόλων ἀρχὴ ἐταπεινώθη, διαμείνασα ἔτη πλείω τῶν τριακοσίων. καὶ τὰ μὲν κατὰ τὴν Σικελίαν ἐν τούτοις ἦν.

71 Κατὰ δὲ τὴν Μακεδονίαν Φίλιππος τὰς ἐπὶ Θρᾴκῃ πόλεις Ἑλληνίδας εἰς εὔνοιαν προκαλεσόμενος ἐστράτευσεν ἐπὶ Θρᾴκην. Κερσοβλέπτης γὰρ ὁ βασιλεὺς τῶν Θρᾳκῶν διετέλει τὰς ἐφ᾿ Ἑλλησπόντῳ πόλεις ὁμορούσας τῇ Θρᾴκῃ καταστρεφόμενος καὶ τὴν χώραν καταφθείρων. βουλόμενος οὖν ἐμφράξαι τῶν βαρβάρων τὴν ὁρμήν, ἐστράτευσεν ἐπ᾿ αὐτοὺς σὺν πολλῇ δυνάμει. νικήσας δὲ πλείοσι μάχαις τοὺς Θρᾷκας, τοῖς μὲν καταπολεμηθεῖσι βαρβάροις προσέταξε δεκάτας τελεῖν τοῖς Μακεδόσιν, αὐτὸς δ᾿ ἐν τοῖς ἐπικαίροις τόποις κτίσας ἀξιο-
138 λόγους πόλεις ἔπαυσε τοῦ θράσους τοὺς Θρᾷκας. διόπερ αἱ τῶν Ἑλλήνων πόλεις ἀπολυθεῖσαι τῶν φόβων εἰς τὴν συμμαχίαν τοῦ Φιλίππου προθυμότατα κατετάχθησαν. τῶν δὲ συγγραφέων Θεόπομπος ὁ Χῖος ἐν τῇ τῶν Φιλιππικῶν ἱστορίᾳ κατέταξε τρεῖς βίβλους περιεχούσας Σικελικὰς πράξεις· ἀρξάμενος δὲ ἀπὸ τῆς Διονυσίου τοῦ πρεσβυτέρου τυραννίδος διῆλθε χρόνον ἐτῶν πεντήκοντα, καὶ κατέστρεψεν εἰς τὴν ἔκπτωσιν Διονυσίου τοῦ νεωτέρου. εἰσὶ δὲ αἱ βίβλοι τρεῖς, ἀπὸ τῆς μιᾶς τετταρακοστῆς ἄχρι τῆς τρίτης καὶ τετταρακοστῆς.

72 Ἐπ᾿ ἄρχοντος δ᾿ Ἀθήνησι Σωσιγένους Ῥωμαῖοι κατέστησαν ὑπάτους Μάρκον Οὐαλέριον καὶ Γναῖον Ποιτήλιον. ἐπὶ δὲ τούτων Ἀρύμβας ὁ τῶν Μολοττῶν βασιλεὺς ἐτελεύτησεν ἄρξας ἔτη δέκα, ἀπολιπὼν υἱὸν τὸν Πύῤῥου πατέρα Αἰακίδην· τὴν δ᾿ ἀρχὴν διεδέξατο Ἀλέξανδρος ὁ ἀδελφὸς Ὀλυμπιάδος συνεργήσαντος Φιλίππου τοῦ Μακεδόνος. κατὰ δὲ τὴν Σικελίαν Τιμολέων μὲν ἐστράτευσεν ἐπὶ Λεοντίνους· εἰς ταύτην γὰρ τὴν

40. *ἀμφιπολίαν*] *ἀμφίπολιν* X 42. *Καλλιμένης*] *Καλλυμένης* Bas., Cospus 47. *ἡ τῶν* FL Bas., caeteri *ἡ μὲν τῶν* 49. *τὴν Σικελίαν*] *Σικελίαν* FL Bas. 52. *προκαλεσόμενος*] libri *προσκαλεσάμενος*

138. 71. 72. libri *τεσσαρακοστῆς* 74. *Γναῖον* Q, *Μάρτιον Γναῖον* X, caeteri *Μάρκον* 75. *Ποιτήλιον* Livius, *Popilium* Cospus, caeteri *Πόπλιον*

πόλιν Ἱκέτας καταπεφεύγει μετὰ δυνάμεως ἀξιολόγου. τὸ μὲν οὖν πρῶτον προςέβαλε τῇ Νέᾳ καλουμένῃ πόλει· μετὰ δὲ ταῦτα πολλῶν στρατιωτῶν ἐν τῇ πόλει συγκεκλεισμένων, καὶ ῥᾳδίως ἀπὸ τῶν τειχῶν ἀμυνομένων, ἄπρακτος γενόμενος ἔλυσε τὴν πολιορκίαν. παρελθὼν δὲ πρὸς πόλιν Ἔγγυον, τυραννουμένην ὑπὸ Λεπτίνου, προςβολὰς συνεχεῖς ἐποιεῖτο, βουλόμενος τὸν μὲν Λεπτίνην ἐκβαλεῖν ἐκ τῆς πόλεως, τοῖς δ' Ἐγγυΐνοις τὴν ἐλευθερίαν ἀποδοῦναι. περὶ ταῦτα δὲ τοῦ Τιμολέοντος ὄντος Ἱκέτας πανδημεὶ στρατεύσας ἐκ τῶν Λεοντίνων ἐπολιόρκει τὰς Συρακούσας· πολλοὺς δὲ τῶν στρατιωτῶν ἀποβαλὼν ταχέως ἐπανῆλθεν εἰς τοὺς Λεοντίνους. ὁ δὲ Τιμολέων καταπληξάμενος τὸν Λεπτίνην, τοῦτον μὲν ὑπόσπονδον ἐξέπεμψεν εἰς τὴν Πελοπόννησον, ἐνδεικνύμενος τοῖς Ἕλλησι τὰς τῶν καταπολεμηθέντων τυράννων ἐκπτώσεις. οὔσης δὲ καὶ τῆς τῶν Ἀπολλωνιατῶν πόλεως ὑπὸ τὸν Λεπτίνην, παραλαβὼν τὴν Ἀπολλωνίαν, ταύτῃ τε καὶ τῇ τῶν Ἐγγυΐνων ἀπέδωκε τὴν αὐτονο-
73 μίαν. ἀπορούμενος δὲ χρημάτων εἰς τὰς τῶν ξένων μισθοδοσίας, ἐξαπέστειλε στρατιώτας χιλίους μετὰ τῶν ἀξιολογωτάτων ἡγεμόνων εἰς τὴν τῶν Καρχηδονίων ἐπικράτειαν. οὗτοι δὲ πολλὴν χώραν πορθήσαντες, καὶ λαφύρων πλῆθος κομίσαντες, παρέδωκαν τῷ Τιμολέοντι.
ὁ δὲ λαφυροπωλήσας τὴν λείαν καὶ χρημάτων πλῆθος 139
ἀθροίσας, ἔδωκε τοῖς μισθοφόροις εἰς πλείω χρόνον τοὺς μισθούς. ἐκράτησε δὲ καὶ τῆς Ἐντέλλης, καὶ τοὺς τὰ Καρχηδονίων μάλιστα φρονοῦντας πεντεκαίδεκα θανατώσας τοῖς ἄλλοις ἀπένειμε τὴν ἐλευθερίαν. τοῦ δὲ Τιμολέοντος αὐξομένου τῇ τε δυνάμει καὶ τῇ κατὰ τὴν στρατηγίαν δόξῃ, αἱ μὲν Ἑλληνίδες πόλεις αἱ κατὰ τὴν Σικελίαν ἅπασαι προθύμως ὑπετάγησαν τῷ Τιμολέοντι διὰ τὸ πάσαις τὰς αὐτονομίας ἀποδιδόναι, τῶν δὲ Σικελῶν καὶ Σικανῶν καὶ τῶν ἄλλων τῶν ὑπὸ τοὺς Καρχηδονίους τεταγμένων πολλαὶ διεπρεσβεύοντο πόλεις, σπεύδουσαι παραληφθῆναι πρὸς τὴν συμμαχίαν. Καρχηδόνιοι δὲ τοὺς κατὰ τὴν Σικελίαν στρατηγοὺς ὁρῶντες ἀγεννῶς

85. τῶν τειχῶν] τειχῶν Bas. 87. Ἔγγυον] Ἔγυον X, *Engyium* Cospus 90. Ἐγγυΐνοις Wesselingius, Ἐγυινοῖς X, caeteri Ἐγγυηνοῖς 96. τὴν om. F Bas. 99. τὸν Λεπτίνην] Λεπτίνην FT Bas. 100. Ἐγγυΐνων Wesselingius: libri Ἐγγυηνῶν, *Engyinis* Cospus, qui v. 90. praeterierat
3. μισθοδοσίας] μισθαποδοσίας FLQ

139. 19. πόλεις σπεύδουσαι] πόλεις et quod post σπεύδουσαι addunt libri πάλιν asteriscis notavit Stephanus πρὸς LTY Bas., caeteri εἰς



τὸν πόλεμον διοικοῦντας, ἔκριναν ἑτέρους ἀποστέλλειν μετὰ δυνάμεως μεγάλης. εὐθὺς οὖν τῶν πολιτῶν κατέλεγον τοὺς ἀρίστους εἰς τὴν στρατείαν καὶ τῶν Λιβύων τοὺς εὐθέτους ἐστρατολόγουν, χωρὶς δὲ τούτων προχειρισάμενοι χρημάτων πλῆθος μισθοφόρους ἐξενολόγουν Ἴβηρας καὶ Κελτοὺς καὶ Λίγυας· ἐναυπηγοῦντο δὲ καὶ ναῦς μακρὰς καὶ φορτηγοὺς πολλὰς ἤθροιζον καὶ τὴν ἄλλην παρασκευὴν ἀνυπέρβλητον ἐποιοῦντο. 74

Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Νικομάχου Ῥωμαῖοι κατέστησαν ὑπάτους Γάϊον Μάρκιον καὶ Τίτον Μάλλιον Τορκουᾶτον. ἐπὶ δὲ τούτων Φωκίων μὲν ὁ Ἀθηναῖος κατεπολέμησε Κλείταρχον τὸν Ἐρετρίας τύραννον καθεσταμένον ὑπὸ Φιλίππου. κατὰ δὲ τὴν Καρίαν Πιξώδαρος ὁ νεώτερος τῶν ἀδελφῶν ἐξέβαλεν ἐκ τῆς δυναστείας Ἄδαν, καὶ ἐδυνάστευσεν ἔτη πέντε ἕως ἐπὶ τὴν Ἀλεξάνδρου διάβασιν εἰς τὴν Ἀσίαν. Φίλιππος δὲ ἀεὶ μᾶλλον αὐξόμενος ἐπὶ τὴν Πέρινθον ἐστράτευσεν, ἐναντιουμένην μὲν αὐτῷ, πρὸς δὲ Ἀθηναίους ἀποκλίνουσαν. συστησάμενος δὲ πολιορκίαν, καὶ μηχανὰς προςάγων τῇ πόλει καθ' ἡμέραν, ἐκ διαδοχῆς προςέβαλλε τοῖς τείχεσιν. ὀγδοηκονταπήχεις δὲ πύργους κατασκευάσας, ὑπεραίροντας πολὺ τῶν κατὰ τὴν Πέρινθον πύργων, ἐξ ὑπεροχῆς κατεπόνει τοὺς πολιορκουμένους· ὁμοίως δὲ καὶ διὰ τῶν κριῶν σαλεύων τὰ τείχη καὶ διὰ τῆς μεταλλείας ὑπορύττων ἐπὶ πολὺ μέρος τοῦ τείχους κατέβαλεν. ἀμυνομένων δὲ τῶν Περινθίων εὐρώστως, καὶ ταχὺ τεῖχος ἕτερον ἀντοικοδομησάντων, ἀγῶνες [ἕτεροι] θαυμαστοὶ καὶ τειχομαχίαι συνίσταντο. μεγάλης δὲ φιλοτιμίας ἐξ ἀμφο-
140 τέρων συνισταμένης, ὁ μὲν βασιλεὺς πολλοὺς ἔχων καὶ παντοδαποὺς ὀξυβελεῖς διὰ τούτων τοὺς ἐπὶ τῶν ἐπάλξεων διαγωνιζομένους διέφθειρεν, οἱ δὲ Περίνθιοι, πολλοὺς καθ' ἡμέραν ἀποβάλλοντες, συμμαχίαν καὶ βέλη καὶ καταπέλτας παρὰ τῶν Βυζαντίων προςελάβοντο. ἐξισωθέντες οὖν πάλιν τοῖς πολεμίοις ἀνεθάῤῥησαν, καὶ τετολμηκότως τοὺς ὑπὲρ τῆς πατρίδος κινδύνους ὑπέμε-

22. δυνάμεως μεγάλης] δυνάμεων μεγάλων Q 35. Πιξώδαρος Wesselingius, Πιζώδαρος QX, *Pexodarus* Cospus, caeteri Πηξώδορος 39. Πείρινθον saepius F αὐτῷ FLTY Bas., caeteri ἑαυτῷ 43. δὲ πύργους] πύργους δὲ T Bas., interpungentes ante πύργους, F 50. ἕτεροι asterisco notat Stephanus

140. 54. διαγωνιζομένους] ἐπαγωνιζομένους FL 56. καὶ καταπέλτας Wesselingius, καταπέλτας Q, *iaculatores* Cospus, caeteri καὶ πελταστὰς 58. τετολμηκότως LQTY, caeteri τετολμηκότες

νον. οὐ μὴν ὁ βασιλεὺς ἔληγε τῆς φιλοτιμίας, ἀλλὰ διελόμενος τὰς δυνάμεις εἰς πλείω μέρη συνεχῶς ἐκ διαδοχῆς ἐτειχομάχει καὶ καθ᾽ ἡμέραν καὶ νύκτωρ. τριςμυρίους δ᾽ ἔχων στρατιώτας καὶ βελῶν καὶ μηχανῶν πολιορκητικῶν πλῆθος,, ἔτι δὲ τὰς ἄλλας μηχανὰς ἀνυ-
75 περβλήτους, κατεπόνει τοὺς πολιορκουμένους. τῆς δὲ πολιορκίας πολυχρονίου γενομένης, καὶ τῶν κατὰ τὴν πόλιν πολλῶν μὲν ἀναιρουμένων, οὐκ ὀλίγων δὲ τραυματιζομένων, τῶν δ᾽ ἐπιτηδείων ἐκλιπόντων, προςδόκιμος ἦν ἡ τῆς πόλεως ἅλωσις. οὐ μὴν ἡ τύχη γε περιεῖδε τὴν τῶν κινδυνευόντων σωτηρίαν, ἀλλὰ παράδοξον αὐτοῖς κατεσκεύασε βοήθειαν. τῆς γὰρ τοῦ βασιλέως αὐξήσεως διαβεβοημένης κατὰ τὴν Ἀσίαν, ὁ βασιλεὺς ὑφορώμενος τὴν τοῦ Φιλίππου δύναμιν, ἔγραψε πρὸς τοὺς ἐπὶ θαλάττῃ σατράπας βοηθεῖν Περινθίοις παντὶ σθένει. διόπερ οἱ σατράπαι συμφρονήσαντες ἐξέπεμψαν εἰς τὴν Πέρινθον μισθοφόρων πλῆθος καὶ χρήματα δαψιλῆ καὶ σῖτον ἱκανὸν καὶ βέλη καὶ τἄλλα πάντα πρὸς τὴν τοῦ πολέμου χρείαν. ὁμοίως δὲ καὶ Βυζάντιοι τοὺς ἀρίστους τῶν παρ᾽ ἑαυτοῖς ἡγεμόνων καὶ στρατιωτῶν ἐξαπέστειλαν. ἐφαμίλλων δὲ τῶν δυνάμεων γενομένων καὶ τοῦ πολέμου καινοποιηθέντος πάλιν ἡ πολιορκία φιλοτιμίαν ἐλάμβανεν ἀνυπέρβλητον. ὁ μὲν γὰρ Φίλιππος τοῖς κριοῖς τύπτων τὰ τείχη συνεχῶς κατέβαλλε, καὶ διὰ τῶν ὀξυβελῶν ἀνείργων τοὺς ἐπὶ τῶν ἐπάλξεων ἅμα μὲν διὰ τῶν πεπτωκότων τειχῶν ἀθρόοις τοῖς στρατιώταις εἰςέπιπτεν, ἅμα δὲ διὰ τῶν κλιμάκων πρὸς τὰ γεγυμνωμένα τῶν τειχῶν προςέβαινε· διὸ καὶ τῆς μάχης ἐκ χειρὸς οὔσης οἱ μὲν ἀπέθνησκον, οἱ δὲ τραύμασι πολλοῖς περιέπιπτον. τὰ δὲ τῆς νίκης ἔπαθλα προεκαλεῖτο τὰς τῶν ἀγωνιζομένων ἀνδραγαθίας. οἱ μὲν γὰρ Μακεδόνες ἐλπίζοντες εὐδαίμονα πόλιν διαρπάσειν καὶ δωρεαῖς ὑπὸ τοῦ Φιλίππου τιμηθήσεσθαι, διὰ τὴν τοῦ λυσιτελοῦς ἐλπίδα τοῖς δεινοῖς ἐνεκαρτέρουν, οἱ δὲ πολιορκούμενοι
76 τὰ τῆς ἁλώσεως δεινὰ πρὸ ὀφθαλμῶν ἔχοντες, ὑπέμενον εὐψύχως τὸν ὑπὲρ τῆς σωτηρίας κίνδυνον. συνεβάλλετο δὲ τοῖς πολιορκουμένοις ἡ φύσις τῆς πόλεως πολλὰ πρὸς τὴν ὑπὲρ τῶν ὅλων νίκην. ἡ γὰρ Πέρινθος κεῖται μὲν παρὰ θάλατταν ἐπί τινος αὐχένος ὑψηλοῦ χεῤῥονήσου σταδιαῖον ἐχούσης τὸν αὐχένα, τὰς δ᾽ οἰκίας ἔχει πεπυ-

62. καὶ καθ᾽ ἡμέραν] καθημέραν F Bas.: malim μεθ᾽ 69. ἐκλιπόντων] ἐκλειπόντων L Bas. 75. θαλάττῃ] θαλάττης Bas. 79. πάντα] fort. πάντα τὰ 88. ἀθρόοις Poppo: libri ἀθρόως 97. πρὸ] πρὸς Bas.



κνωμένας καὶ τοῖς ὕψεσι διαφερούσας. αὗται δὲ ταῖς
141 οἰκοδομαῖς ἀεὶ κατὰ τὴν εἰς τὸν λόφον ἀνάβασιν ἀλλήλων ὑπερέχουσι, καὶ τὸ σχῆμα τῆς ὅλης πόλεως θεατροειδὲς ἀποτελοῦσι. διόπερ τῶν τειχῶν συνεχῶς καταβαλλομένων οὐδὲν ἠλαττοῦντο· διοικοδομοῦντες γὰρ τοὺς στενωποὺς ταῖς ἀεὶ κατωτάταις οἰκίαις ὥςπερ ὀχυροῖς τισι τείχεσιν ἐχρῶντο. διόπερ ὁ Φίλιππος μετὰ πολλῶν πόνων καὶ κινδύνων τοῦ τείχους κρατήσας ἰσχυρότερον ηὕρισκε τὸ τεῖχος τὸ διὰ τῶν οἰκιῶν αὐτομάτως ἡτοιμασμένον. πρὸς δὲ τούτοις ἐκ τοῦ Βυζαντίου πάντων τῶν πρὸς τὸν πόλεμον χρησίμων ἑτοίμως χορηγουμένων, ἐμέρισε τὰς δυνάμεις εἰς δύο μέρη, καὶ τοὺς μὲν ἡμίσεις τῶν στρατιωτῶν ἀπέλιπεν ἐπὶ τῆς πολιορκίας, ἐπιστήσας αὐτοῖς τοὺς ἀρίστους ἡγεμόνας, τοὺς δ᾽ ἄλλους παραλαβὼν αὐτὸς προςέπεσεν ἄφνω τῷ Βυζαντίῳ καὶ πολιορκίαν ἰσχυρὰν συνεστήσατο. οἱ δὲ Βυζάντιοι τῶν τε στρατιωτῶν καὶ τῶν βελῶν καὶ τῶν ἄλλων τῶν χρησίμων παρὰ τοῖς Περινθίοις ὄντων εἰς πολλὴν ἐνέπιπτον ἀμηχανίαν. καὶ τὰ μὲν περὶ Περινθίους καὶ Βυζαντίους ἐν τούτοις ἦν. τῶν δὲ συγγραφέων Ἔφορος μὲν ὁ Κυμαῖος τὴν ἱστορίαν ἐνθάδε κατέστροφεν εἰς τὴν Περίνθου πολιορκίαν· περιείληφε δὲ τῇ γραφῇ πράξεις τάς τε τῶν Ἑλλήνων καὶ βαρβάρων ἀρξάμενος ἀπὸ τῆς τῶν Ἡρακλειδῶν καθόδου· χρόνον δὲ περιέλαβε σχεδὸν ἐτῶν ἑπτακοσίων καὶ πεντήκοντα, καὶ βίβλους γέγραφε τριάκοντα, προοίμιον ἑκάστῃ προθείς. Δίυλλος δ᾽ ὁ Ἀθηναῖος τῆς δευτέρας συντάξεως ἀρχὴν πεποίηται τῆς Ἐφόρου ἱστορίας τὴν τελευτήν, καὶ τὰς ἑξῆς πράξεις συνείρει τάς τε τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων μέχρι τῆς Φιλίππου τελευτῆς.

Ἐπ᾽ ἄρχοντος δ᾽ Ἀθήνησι Θεοφράστου Ῥωμαῖοι 77
μὲν ὑπάτους κατέστησαν Μάρκον Οὐαλέριον καὶ Αὖλον Κορνήλιον, Ὀλυμπιὰς δ᾽ ἤχθη δεκάτη πρὸς ταῖς ἑκατόν, καθ᾽ ἣν ἐνίκα στάδιον Ἀντικλῆς Ἀθηναῖος. ἐπὶ δὲ τούτων Φιλίππου Βυζάντιον πολιορκοῦντος, Ἀθηναῖοι μὲν ἔκριναν τὸν Φίλιππον λελυκέναι τὴν πρὸς αὐτοὺς

141. 10. ταῖς ἀεὶ κατωτάταις οἰκίαις] τοὺς ὑποκάτω ταῖς οἰκίαις QX 13. τὸ τεῖχος] τεῖχος F 27. περιείληφε] περιειλήφει FL Bas. 30. πεντήκοντα] aut Clementi Strom. I. p. 337. πεντήκοντα aut Diodoro τριάκοντα restituendum monet Clintonus Fast. p. VI. ed. sec. Verba Clementis sunt: ἀπὸ τῆς Ἡρακλειδῶν καθόδου ἐπὶ Εὐαίνετον ἄρχοντα, ἐφ᾽ οὗ φασιν Ἀλέξανδρον εἰς τὴν Ἀσίαν διαβῆναι, ὡς Ἔφορος, ἔτη ἑπτακόσια τριάκοντα πέντε 32. προθείς] προςθείς Bas. 40. Ἀθηναῖος F Bas., caeteri ὁ Ἀθηναῖος

συντεθεῖσαν εἰρήνην· εὐθὺς δὲ καὶ δύναμιν ναυτικὴν ἀξιόλογον ἐξέπεμψαν βοηθήσουσαν τοῖς Βυζαντίοις. ὁμοίως δὲ τούτοις Χῖοι καὶ Κῷοι καὶ Ῥόδιοι καί τινες ἕτεροι τῶν Ἑλλήνων συμμαχίαν ἐξέπεμψαν τοῖς Βυζαντίοις. διόπερ Φίλιππος καταπλαγεὶς τῇ συνδρομῇ τῶν Ἑλλήνων τὴν πολιορκίαν τῶν πόλεων ἔλυσε, καὶ πρὸς Ἀθηναίους καὶ τοὺς ἄλλους Ἕλληνας τοὺς ἐναντιουμένους συνέθετο τὴν εἰρήνην. κατὰ δὲ τὴν Σικελίαν Καρχηδόνιοι μὲν μεγάλας παρασκευὰς εἰς τὸν πόλεμον πεποιημένοι διεβίβασαν τὰς δυνάμεις εἰς τὴν Σικελίαν. εἶχον δὲ σύμπαντας σὺν τοῖς προϋπάρχουσιν ἐν τῇ νήσῳ πεζοὺς μὲν πλείους τῶν ἑπτακισμυρίων, ἱππεῖς δὲ καὶ ἅρματα καὶ συνωρίδας οὐκ ἐλάττους τῶν μυρίων, ναῦς δὲ μακρὰς μὲν διακοσίας, φορτηγοὺς δὲ τὰς τοὺς ἵππους 142
τε καὶ βέλη καὶ σῖτον καὶ τἄλλα κομιζούσας πλείους τῶν χιλίων. Τιμολέων δὲ πυθόμενος τὸ μέγεθος τῆς τῶν πολεμίων δυνάμεως, οὐ κατεπλάγη τοὺς βαρβάρους, καίπερ εἰς ὀλίγους στρατιώτας συνεσταλμένος. ἔχων δὲ πόλεμον πρὸς Ἱκέταν, διελύσατο πρὸς αὐτόν, καὶ προσλαβόμενος τοὺς μετ' αὐτοῦ στρατιώτας οὐ μετρίως ηὔξησε

78 τὴν ἰδίαν δύναμιν. ἔδοξε δ' αὐτῷ τὸν πρὸς τοὺς Φοίνικας ἀγῶνα συστήσασθαι κατὰ τὴν τῶν Καρχηδονίων ἐπικράτειαν, ὅπως τὴν μὲν τῶν συμμάχων χώραν ἀσινῆ διαφυλάξῃ, τὴν δ' ὑπὸ τοὺς βαρβάρους οὖσαν καταφθείρῃ. εὐθὺς οὖν τούς τε μισθοφόρους καὶ Συρακοσίους καὶ τοὺς ἄλλους συμμάχους ἀθροίσας, καὶ κοινὴν ἐκκλησίαν συναγαγών, παρώρμησε τοῖς οἰκείοις λόγοις τὰ πλήθη πρὸς τὸν τῶν ὅλων ἀγῶνα· πάντων δ' ἀποδεξαμένων τοὺς λόγους, καὶ βοώντων ἄγειν τὴν ταχίστην ἐπὶ τοὺς βαρβάρους, προῆγεν, ἔχων τοὺς σύμπαντας οὐ πλείους τῶν μυρίων καὶ δισχιλίων. ἤδη δ' αὐτοῦ κατὰ τὴν Ἀκραγαντίνην ὄντος παραδόξως ἐνέπεσε τῇ στρατιᾷ ταραχὴ καὶ στάσις. τῶν γὰρ μισθοφόρων τις ὄνομα Θράσιος, σεσυληκὼς τὸ ἐν Δελφοῖς ἱερὸν μετὰ τῶν Φωκέων, ἀπονοίᾳ δὲ καὶ θράσει διαφέρων, ἀκόλουθον τοῖς πρότερον τετολμημένοις πρᾶξιν ἐπετελέσατο. τῶν γὰρ

44. ἀξιόλογον om. F Bas. 45. βοηθήσουσαν] βοηθοῦσαν FL Bas. 46. καὶ Κῷοι om. FLT Bas., Cospus, asterisco notavit Stephanus 48. Φίλιππος] ὁ Φίλιππος FT 49. τὴν] τήν τε Bas. 57. διακοσίας] ἑβδομήκοντα Q

142. 59. καὶ τἄλλα om. F 60. πυθόμενος] πειθόμενος Bas. 69. καταφθείρῃ] καταφθείρειν F 72. τοῖς οἰκείοις λόγοις τὰ πλήθη] τὰ πλήθη τοῖς οἰκείοις λόγοις FL 73. τῶν ὅλων] ὑπὲρ praeponit Reiskius: conf. ad p. 54. 22. 77. παραδόξως] παράδοξος X



ἄλλων σχεδὸν ἁπάντων τῶν μετασχόντων τῆς εἰς τὸ μαντεῖον παρανομίας τετευχότων ὑπὸ τοῦ δαιμονίου τῆς προσηκούσης τιμωρίας, καθάπερ μικρῷ πρότερον ἀνεγράψαμεν, μόνος οὗτος διαλεληθὼς τὸ θεῖον ἐπεχείρησε τοὺς μισθοφόρους παρορμᾶν πρὸς ἀπόστασιν. ἔφη γὰρ τὸν Τιμολέοντα παραφρονοῦντα πρὸς ὁμολογουμένην ἀπώλειαν ἄγειν τοὺς στρατιώτας· ἑξαπλασίους γὰρ ὄντας τοὺς Καρχηδονίους καὶ πάσαις ταῖς παρασκευαῖς ἀνυπερβλήτους ὑπάρχοντας ἐπαγγέλλεται νικήσειν, ἐναποκυβεύων ταῖς τῶν μισθοφόρων ψυχαῖς, οὐδὲ τοὺς ὀφειλομένους μισθοὺς πολλοῦ χρόνου διὰ τὴν ἀπορίαν ἀποδεδωκώς. συνεβούλευεν οὖν ἀνακάμπτειν εἰς τὰς Συρακούσας καὶ τοὺς μισθοὺς ἀπαιτεῖν, ἐπὶ δὲ στρατείαν ἀπεγνωσμένην μὴ συνακολουθεῖν. τῶν δὲ μισθοφόρων τοὺς 79
λόγους ἀσμένως δεχομένων, καὶ νεωτερίζειν ἐπιχειρούντων, μόγις πολλὰ δεηθεὶς αὐτῶν καὶ δωρεὰς ἐπαγγελλόμενος κατέπαυσε τὴν ταραχήν. ὅμως δὲ τῷ Θρασίῳ χιλίων συνακολουθησάντων, τὴν μὲν τούτων κόλασιν εἰς ἕτερον ἀνεβάλετο καιρόν, γράψας δὲ πρὸς τοὺς ἐν Συρακούσαις φίλους προσδέξασθαι αὐτοὺς φιλοφρόνως καὶ τοὺς μισθοὺς ἀποδοῦναι τὴν μὲν ταραχὴν πᾶσαν εἰς τέλος κατέσβεσε, τῶν δ' ἀπειθησάντων ἀφείλετο τὴν ἐκ τῆς νίκης εὐδοξίαν. αὐτὸς δὲ τοὺς ἄλλους ταῖς φιλανθρώποις ἐντεύξεσιν εἰς τὴν προϋπάρχουσαν εὔνοιαν ἀπο-
143 καταστήσας προῆγεν ἐπὶ τοὺς πολεμίους οὐ μακρὰν στρατοπεδεύοντας. συναγαγὼν δ' εἰς ἐκκλησίαν τοὺς στρατιώτας, καὶ διὰ τῶν λόγων θάῤῥος παραστήσας τοῖς πλήθεσι, διῆλθε μὲν τὴν τῶν Φοινίκων ἀνανδρίαν, ὑπέμνησε δὲ τῆς Γέλωνος εὐημερίας. πάντων δὲ καθάπερ τινὶ μιᾷ φωνῇ βοώντων ἐπιθέσθαι τοῖς βαρβάροις καὶ κατάρχεσθαι τῆς μάχης, κατὰ τύχην ὑποζυγίων σέλινα κομιζόντων εἰς τὰς στιβάδας, ὁ Τιμολέων ἔφη δέχεσθαι τὸν οἰωνὸν τῆς νίκης· τὸν γὰρ Ἰσθμιακὸν στέφανον ἐκ σελίνου συνίστασθαι. οἱ δὲ στρατιῶται παραγγείλαντος τοῦ Τιμολέοντος ἐκ τῶν σελίνων πλέξαντες στεφάνους καὶ ταῖς κεφαλαῖς περιθέντες προῆγον μετὰ χαρᾶς, ὡς τῶν θεῶν προσημαινόντων αὐτοῖς τὴν νίκην· ὅπερ καὶ συνέβη γενέσθαι. περιεγένοντο γὰρ ἀνελπίστως τῶν πολεμίων οὐ μόνον διὰ τὰς ἰδίας ἀνδραγαθίας ἀλλὰ καὶ

94. συνεβούλευεν] συνεβούλευσεν Bas. 100. ἐπαγγελλόμενος FL Bas., caeteri ἐπαγγελόμενος 1. Θρασίῳ] θρασίᾳ F 6. ἀφείλετο] ἀφείλατο FLY Bas.

143. 11. θάρσος omnes 22. θεῶν] θεοὺς T προσημαινόντων] σημαινόντων FL Bas.

διὰ τὴν τῶν θεῶν συνεργίαν. ὁ μὲν γὰρ Τιμολέων ἐκτάξας τὴν δύναμιν κατέβαινεν ἀπό τινων λόφων ἐπὶ τὸν ποταμόν, καὶ μυρίων ἤδη διαβεβηκότων, ἐξ ἐφόδου τούτοις ἐπέῤῥαξε, τεταγμένος αὐτὸς ἐπὶ μέσης τῆς φάλαγγος. γενομένης δὲ μάχης καρτερᾶς, καὶ τῶν Ἑλλήνων ὑπερεχόντων ταῖς τε ἀρεταῖς καὶ ταῖς εὐχειρίαις, πολὺς ἐγίνετο φόνος τῶν βαρβάρων. ἤδη δὲ φευγόντων τῶν διαβεβηκότων, ἡ πᾶσα δύναμις τῶν Καρχηδονίων περαιωθεῖσα τὸ ῥεῖθρον διωρθώσατο τὴν τῶν ἰδίων ἧτταν.

80 καινοποιηθείσης δὲ τῆς μάχης, καὶ τῶν Φοινίκων τῷ πλήθει περιχεομένων τοὺς Ἕλληνας, ἄφνω πολὺς ἐκ τοῦ περιέχοντος ὄμβρος κατεῤῥάγη καὶ χαλάζης εὐμεγέθους πλῆθος, ἀστραπαί τε καὶ βρονταὶ μετὰ μεγάλων πνευμάτων κατέσκηπτον· καὶ τούτων ἁπάντων θυελλοφορουμένων τοῖς μὲν Ἕλλησι κατὰ νώτου, τοῖς δὲ βαρβάροις κατὰ πρόςωπον, οἱ μὲν περὶ τὸν Τιμολέοντα τὸ σύμπτωμα ῥᾳδίως ὑπέμενον, οἱ δὲ Φοίνικες τὸ μέγεθος τῆς περιστάσεως φέρειν ἀδυνατοῦντες, ἅμα δὲ καὶ τῶν Ἑλλήνων ἐπικειμένων, πρὸς φυγὴν ὥρμησαν. πάντων δ' ἐπὶ τὸν ποταμὸν τρεπομένων, ἀναμὶξ ἱππέων τε καὶ πεζῶν, καὶ τῶν ἁρμάτων ἅμα τούτοις φυρομένων, οἱ μὲν ὑπ' ἀλλήλων συμπατούμενοι καὶ τοῖς τῶν συμμάχων ξίφεσι καὶ λόγχαις περιπειρόμενοι τὴν συμφορὰν ἔσχον ἀβοήθητον, οἱ δ' ὑπὸ τῶν παρα τοῖς πολεμίοις ἱππέων εἰς τὸ τοῦ ποταμοῦ ῥεῖθρον ἀγεληδὸν συνελαυνόμενοι καὶ κατὰ νώτου τὰς πληγὰς λαμβάνοντες ἀπέθνησκον. πολλοὶ δὲ ἄνευ πολεμίας πληγῆς διεφθείροντο σωρευομένων τῶν σωμάτων διά τε τὸν φόβον καὶ τὸ πλῆθος καὶ διὰ τὰς ἐν τῷ ῥείθρῳ δυςχερείας. τὸ δὲ μέγιστον, λάβρων γεγενημένων τῶν ὄμβρων ὁ ποταμὸς βιαιοτέρῳ τῷ ῥεύματι καταφερόμενος πολλοὺς ἐβάπτιζε καὶ μετὰ τῶν ὅπλων διανηχομένους διέφθειρε. τέλος δὲ τῶν Καρχηδονίων οἱ μὲν τὸν ἱερὸν λόχον ἀναπληροῦντες, καὶ τὸν μὲν ἀριθμὸν ὄντες διςχίλιοι καὶ πεντακόσιοι, ταῖς δ' ἀρεταῖς καὶ δόξαις ἔτι δὲ ταῖς οὐσίαις πρωτεύοντες, 144 ἅπαντες ἀγωνισάμενοι λαμπρῶς κατεκόπησαν. τῶν δ' ἄλλων τῶν συστρατευομένων αὐτοῖς ἀπέθανον πλείους

31. ταῖς τε] ταῖς F 37. περιχεομένων Wesselingius, circumvenire coeperunt Cospus, caeteri περιεχομένων 49. ξυμμάχων ξίφεσι περιπειρόμενοι F 53. καὶ om. F 57. ἐν τῷ ῥείθρῳ] ἐκ τῶν ῥείθρων FL δυςχερείας] δυςχωρίας Q λάβρων] λαύρων Bas.

144. 61. ἅπαντες asterisco notavit Stephanus κατεκόπησαν] κατέπεσον Q Bas.



τῶν μυρίων, αἰχμάλωτοι δ' ἐλήφθησαν οὐκ ἐλάττους τῶν μυρίων καὶ πεντακιςχιλίων. τῶν δὲ ἁρμάτων τὰ μὲν πολλὰ συνετρίβη κατὰ τὸν ἀγῶνα, διακόσια δ' ἥλω· τὰ δὲ σκευοφόρα καὶ τὰ ζεύγη καὶ τὰ πλήθη τῶν ἁμαξῶν ὑποχείρια τοῖς Ἕλλησιν ἐγένετο. τῶν δ' ὅπλων τὰ πολλὰ μὲν ὑπὸ τοῦ ποταμοῦ διεφθάρη, ἐπὶ δὲ τὴν τοῦ Τιμολέοντος σκηνὴν χίλιοι μὲν θώρακες, ἀσπίδες δὲ πλείους τῶν μυρίων ἀπηνέχθησαν. τούτων δ' ὕστερον τὰ μὲν ἐν τοῖς ἐν Συρακούσαις ναοῖς ἀνετέθη, τὰ δὲ τοῖς συμμάχοις διεμερίσθη, τινὰ δ' εἰς Κόρινθον Τιμολέων ἀπέστειλε, προςτάξας εἰς τὸ τοῦ Ποσειδῶνος ἱερὸν ἀναθεῖναι.

81 πολλῶν δὲ χρημάτων καταληφθέντων διὰ τὸ καὶ τοὺς Καρχηδονίους ἐσχηκέναι πλῆθος ἐκπωμάτων ἀργυρῶν τε καὶ χρυσῶν, ἔτι δὲ τὸν ἄλλον κόσμον ὑπερβάλλοντα διὰ τὸ μέγεθος τῆς παρ' αὐτοῖς εὐπορίας, ἅπαντα συνεχώρησε τοῖς στρατιώταις ἔχειν ἔπαθλα τῆς ἀνδραγαθίας. τῶν δὲ Καρχηδονίων οἱ διαφυγόντες τὸν ἐν τῇ μάχῃ κίνδυνον μόλις εἰς τὸ Λιλύβαιον διεσώθησαν. τοσαύτη δ' αὐτοὺς κατάπληξις καὶ δέος κατεῖχεν ὥςτε μὴ τολμᾶν εἰς τὰς ναῦς ἐμβαίνειν μηδ' ἀποπλεῖν εἰς τὴν Λιβύην, ὡς διὰ τὴν τῶν θεῶν ἀλλοτριότητα πρὸς αὐτοὺς ὑπὸ τοῦ Λιβυκοῦ πελάγους καταποθησομένους. οἱ δ' ἐν τῇ Καρχηδόνι πυθόμενοι τὸ μέγεθος τῆς συμφορᾶς, συνετρίβησαν ταῖς ψυχαῖς, καὶ συντόμως ὑπελάμβανον ἥξειν ἐπ' αὐτοὺς τὸν Τιμολέοντα μετὰ τῆς δυνάμεως. εὐθὺς δὲ Γέσκωνα τὸν Ἄννωνος πεφυγαδευμένον κατήγαγον καὶ στρατηγὸν ἀπέδειξαν διὰ τὸ δοκεῖν τόλμῃ τε καὶ στρατηγίᾳ διαφέρειν. αὐτοὶ δ' ἔκριναν πολιτικοῖς μὲν σώμασι μὴ διακινδυνεύειν, μισθοφόρους δὲ ἀλλοεθνεῖς ἀθροίζειν, καὶ μάλιστα Ἕλληνας. ὑπακούσεσθαι δ' αὐτοῖς πρὸς τὴν στρατείαν πολλοὺς ὑπελάμβανον διὰ τὸ μέγεθος τῆς μισθοφορᾶς καὶ τὴν εὐπορίαν τῆς Καρχηδόνος. εἰς δὲ τὴν Σικελίαν τοὺς εὐθέτους πρέσβεις ἐξέπεμψαν, προςτάξαντες ἐφ' οἷς ἂν ᾖ δυνατὸν συνθέσθαι τὴν εἰρήνην.

82 Τοῦ δ' ἔτους τούτου διελθόντος Ἀθήνησι μὲν ἦρχε Λυσιμαχίδης, ἐν Ῥώμῃ δὲ ὕπατοι καθειστήκεισαν Κόϊντος Σερουίλιος καὶ Μάρκιος Ῥούτιλος. ἐπὶ δὲ τούτων

66. δ' FL vel T ἐλήφθησαν] διελήφθησαν Bas. 67. οὐκ ἐλάττους LQXY, ad X millia Cospus, caeteri πλείους
74. ἀπηνέχθησαν] ἀνήχθησαν LY Bas. 80. καὶ τοὺς] immo τοὺς 86. δ' F 88. ἀποπλεῖν — 89. θεῶν om. Bas. 94. εὐθὺς] εὐθὺ T Bas. 96. τε καὶ] καὶ Bas. 100. αὐτοῖς] αὐτοὺς FL 1. μισθοφορᾶς] συμφορᾶς FY Bas. 7. Μάρκιος Livius: libri Μάρκος Ῥουτίλλιος Bas., caeteri Ῥουτίλιος

Τιμολέων ἐπανελθὼν εἰς Συρακούσας πρῶτον μὲν τοὺς ἐγκαταλιπόντας μισθοφόρους τοὺς μετὰ Θρασίου πάντας ἐκ τῆς πόλεως ἐξέβαλεν, ὡς προδότας ὄντας. οὗτοι δ' εἰς τὴν Ἰταλίαν διαβάντες, καὶ χωρίον τι παραθαλάττιον ἐν τῇ Βρεττίᾳ καταλαβόμενοι, διήρπασαν. οἱ δὲ Βρέττιοι παροξυνθέντες εὐθὺς μετὰ δυνάμεως πολλῆς 145 ἐστράτευσαν ἐπ' αὐτούς, καὶ τὸ χωρίον ἐκπολιορκήσαντες ἅπαντας κατηκόντισαν. οἱ μὲν οὖν καταλιπόντες τὸν Τιμολέοντα μισθοφόροι τῆς ἰδίας παρανομίας ἔπαθλον τοιαύτης συμφορᾶς ἔτυχον. ὁ δὲ Τιμολέων Ποστούμιον τὸν Τυῤῥηνὸν δώδεκα λῃστρίσι τοὺς πλέοντας λῃζόμενον, καὶ καταπλεύσαντα εἰς Συρακούσας ὡς φίλον, συλλαβὼν ἐθανάτωσεν. ὑπεδέξατο δὲ καὶ τοὺς ὑπὸ Κορινθίων ἐκπεμφθέντας οἰκήτορας φιλοφρόνως, ὄντας τὸν ἀριθμὸν πεντακιςχιλίους. μετὰ δὲ ταῦτα τῶν Καρχηδονίων διαπρεσβευσαμένων καὶ πολλὰ δεηθέντων, συνεχώρησεν αὐτοῖς τὴν εἰρήνην, ὥςτε τὰς μὲν Ἑλληνίδας πόλεις ἁπάσας ἐλευθέρας εἶναι, τὸν δὲ Ἅλυκον καλούμενον ποταμὸν ὅριον εἶναι τῆς ἑκατέρων ἐπικρατείας· μὴ ἐξεῖναι δὲ Καρχηδονίοις βοηθῆσαι τοῖς τυράννοις πολεμοῦσι πρὸς Συρακοσίους. μετὰ δὲ ταῦτα τὸν μὲν Ἱκέταν καταπολεμήσας ἔθαψε, τοὺς δ' ἐν Αἴτνῃ Καμπανοὺς ἐκπολιορκήσας διέφθειρε. καὶ Νικόδημον μὲν τὸν Κεντοριπίνων τύραννον καταπληξάμενος ἐξέβαλεν ἐκ τῆς πόλεως, Ἀπολλωνιάδην δὲ τὸν Ἀγυριναίων δυνάστην παύσας τῆς τυραννίδος τοὺς ἐλευθερωθέντας Συρακοσίους ἐποίησε. καθόλου δὲ πάντας τοὺς κατὰ τὴν νῆσον τυράννους ῥιζολογήσας, καὶ τὰς πόλεις ἐλευθερώσας, εἰς τὴν συμμαχίαν προςεδέξατο. κηρύξαντος δ' αὐτοῦ κατὰ τὴν Ἑλλάδα διότι οἱ Συρακόσιοι διδόασι χώραν καὶ οἰκίας τοῖς βουλομένοις μετέχειν τῆς ἐν Συρακούσαις πολιτείας, πολλοὶ πρὸς τὴν κληρουχίαν Ἕλληνες ἀπήντησαν· τέλος δὲ οἰκήτορες ἀπεδείχθησαν εἰς μὲν τὴν Συρακοσίαν τὴν ἀδιαίρετον τετρακιςμύριοι, εἰς δὲ τὴν Ἀγυριναίαν μύριοι διὰ τὸ μέγεθος καὶ κάλλος τῆς χώρας. εὐθὺς δὲ καὶ τοὺς προϋπάρχοντας νόμους ἐν ταῖς Συρακούσαις, οὓς συνέγραψε Διοκλῆς, διώρθωσε.

8. ἐπανελθὼν] ἐλθὼν L

145. 18. ἔπαθλον] ἐπάθλου Wesselingius 19. Ποστούμιον] Ποστόμιον F Bas. Τυῤῥηνὸν] τύραννον FLQY Bas., Cospus 20. καὶ om. F 21. συλλαβὼν om. Bas. 22. ὑπεδέξατο] ἀπεδέξατο FL Bas. 27. Ἅλυκον Cluverius: libri Λύκον 31. ἔθαψε] ἐθανάτωσε Reiskius: *cum mortem obiisset* interponit Cospus 33. Κεντοριπίνων] Κεντοριππίνων Bas. 35. Ἀργυριναίων] Ἀγυῤῥιναίων Bas. 44. μὲν τὴν] τὴν μὲν Bas. 46. εὐθὺς] εὐθὺ Bas.



καὶ τοὺς μὲν περὶ τῶν ἰδιωτικῶν συμβολαίων ἢ κληρονομιῶν εἴασεν ἀμεταθέτους, τοὺς δὲ περὶ τῶν δημοσίων νενομοθετημένους πρὸς τὴν ἰδίαν ὑπόστασιν ὥς ποτ' ἐδόκει συμφέρειν διώρθωσεν. ἐπιστάτης δ' ἦν καὶ διορθωτὴς τῆς νομοθεσίας Κέφαλος ὁ Κορίνθιος, ἀνὴρ ἐν παιδείᾳ καὶ συνέσει δεδοξασμένος. ἀπὸ δὲ τούτων γενόμενος τοὺς μὲν Λεοντίνους εἰς Συρακούσας μετῴκισεν, εἰς δὲ τὴν Καμαριναίαν οἰκήτορας προσθεὶς ἐπηύξησε τὴν πόλιν. καθόλου δὲ πάντα τὰ κατὰ τὴν Σικελίαν 83 εἰρηνικῶς καταστήσας ἐποίησε τὰς πόλεις ταχὺ λαβεῖν πολλὴν αὔξησιν πρὸς εὐδαιμονίαν. ἐκ πολλοῦ γὰρ χρόνου διὰ τὰς στάσεις καὶ τοὺς ἐμφυλίους πολέμους ἔτι δὲ τὸ πλῆθος τῶν ἐπανισταμένων ἀεὶ τυράννων αἱ μὲν πόλεις ἔρημοι τῶν οἰκητόρων ἦσαν, αἱ δὲ χῶραι διὰ τὴν ἀργίαν ἐξηγρίωντο καὶ καρπῶν ἡμέρων ἄποροι καθειστήκεισαν· τότε δὲ διὰ τὸ πλῆθος τῶν ἐπιπολασάντων οἰκητόρων καὶ διὰ τὴν πολυχρόνιον 146 ἐπιγεγενημένην εἰρήνην ἐξημερωθεῖσαι ταῖς ἐργασίαις πολλοὺς καὶ παντοδαποὺς ἐξήνεγκαν καρπούς. τούτους δ' οἱ Σικελιῶται λυσιτελῶς πιπράσκοντες τοῖς ἐμπόροις ταχὺ προςανέδραμον ταῖς οὐσίαις. τοιγαροῦν διὰ τὴν ἐκ τούτων εὐπορίαν πολλὰ καὶ μεγάλα κατεσκευάσθη κατ' ἐκείνους τοὺς χρόνους ἀναθήματα, ἐν μὲν ταῖς Συρακούσαις ὁ κατὰ τὴν Νῆσον οἶκος ὁ ἑξηκοντάκλινος ὀνομαζόμενος, τῶν κατὰ τὴν Σικελίαν ἔργων ὑπεραίρων τῷ μεγέθει καὶ τῇ κατασκευῇ, ὃν κατεσκεύασε μὲν Ἀγαθοκλῆς ὁ δυνάστης, διὰ δὲ τὸ βάρος τῶν ἔργων ὑπεραίρων τοὺς τῶν θεῶν ναοὺς ἐπισημασίας ἔτυχεν ὑπὸ τοῦ δαιμονίου κεραυνωθείς, οἵ τε παρὰ τὸν μικρὸν λιμένα πύργοι, τὰς μὲν ἐπιγραφὰς ἔχοντες ἐξ ἑτερογενῶν λίθων, σημαίνοντες δὲ τὴν τοῦ κατασκευάσαντος αὐτοὺς προςηγορίαν Ἀγαθοκλέους, ὁμοίως δὲ τούτοις μικρὸν ὕστερον ὑπὸ Ἱέρωνος τοῦ βασιλέως τό τε κατὰ τὴν ἀγορὰν Ὀλύμπιον, καὶ ὁ πλησίον τοῦ θεάτρου βωμός, τὸ μὲν μῆκος ὢν σταδίου, τὸ δ' ὕψος καὶ πλάτος ἔχων τούτῳ κατὰ λόγον. ἐν δὲ ταῖς ἐλάττοσι πόλεσιν, ἐν αἷς ἡ τῶν Ἀγυριναίων καταριθμεῖται, μετασχοῦσα τῆς τότε κληρου-

49. ἰδιωτικῶν Wesselingius, ἰδίων FL, caeteri ἰδιωτῶν 56. μετῴκισεν] κατῴκισεν F, κατῴκησεν L Καμαριναίαν] *Camarinam* Cospus 63. ἀεὶ] αἰεὶ FT 65. ἄποροι] ἄφοροι Stephanus

146. 68. ἐξημερωθεῖσαι] ἐξηρεμωθεῖσαι L Bas. 69. ἐξήνεγκαν] ἐξήνεγκε L Bas. 81. ἔχοντες] ἔχουσι F 83. τούτοις om. Bas. 85. Ὀλύμπιον FLT Bas., caeteri Ὀλυμπεῖον 88. ἐλάττοσι] ἐλάττω T Bas. Ἀγυριναίων] Ἀργυῤῥιναίων Bas.

χίας διὰ τὴν προειρημένην ἐκ τῶν καρπῶν εὐπορίαν, θέατρον μὲν κατεσκεύασε μετὰ τὸ τῶν Συρακοσίων κάλλιστον τῶν κατὰ Σικελίαν, θεῶν τε ναοὺς καὶ βουλευτήριον καὶ ἀγοράν, ἔτι δὲ πύργων ἀξιολόγων κατασκευὰς καὶ τάφους πυραμίδων πολλῶν καὶ μεγάλων διαφόρων ταῖς φιλοτεχνίαις.

84 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Χαρώνδου τὴν ὕπατον ἀρχὴν διεδέξαντο Λεύκιος Αἰμίλιος καὶ Γάϊος Πλώτιος. ἐπὶ δὲ τούτων Φίλιππος ὁ βασιλεὺς τοὺς πλείστους τῶν Ἑλλήνων εἰς φιλίαν προηγμένος ἐφιλοτιμεῖτο καὶ τοὺς Ἀθηναίους καταπληξάμενος ἀδήριτον ἔχειν τὴν ἡγεμονίαν τῆς Ἑλλάδος. διόπερ ἄφνω καταλαβόμενος Ἐλάτειαν πόλιν, καὶ τὰς δυνάμεις εἰς ταύτην ἀθροίσας, διέγνω πολεμεῖν τοῖς Ἀθηναίοις. ἀπαρασκεύων δ' ὄντων αὐτῶν διὰ τὴν συντεθειμένην εἰρήνην ἤλπιζε ῥᾳδίως περιποιήσασθαι τὴν νίκην· ὅπερ καὶ συνετελέσθη. καταληφθείσης γὰρ τῆς Ἐλατείας ἧκόν τινες νυκτὸς ἀπαγγέλλοντες τὴν κατάληψιν τῆς πόλεως, καὶ διότι ταχέως ἥξει Φίλιππος μετὰ τῆς δυνάμεως εἰς τὴν Ἀττικήν. οἱ δὲ στρατηγοὶ τῶν Ἀθηναίων διὰ τὸ παράδοξον τῆς πράξεως καταπλαγέντες τούς τε σαλπιγκτὰς μετεπέμποντο καὶ σημαίνειν προςέταττον δι' ὅλης τῆς νυκτός. τῆς δὲ φήμης εἰς πᾶσαν οἰκίαν διαδοθείσης, ἡ μὲν πόλις ὀρθὴ διὰ τὸν φόβον ἦν, ὁ δὲ δῆμος ἅπας ἅμ' ἡμέρᾳ συνέδραμεν 147 εἰς τὸ θέατρον πρὸ τοῦ συγκαλέσαι τοὺς ἄρχοντας, ὡς ἦν ἔθος. ὡς δ' ἧκον οἱ στρατηγοὶ καὶ τὸν μηνύσαντα παρῆγον κἀκεῖνος εἶπε, σιωπὴ μὲν καὶ φόβος κατεῖχε τὸ θέατρον, καὶ τῶν εἰωθότων δημηγορεῖν οὐδεὶς ἐτόλμα συμβουλεῦσαι· πλεονάκις δὲ τοῦ κήρυκος καλέσαντος τοὺς ἐροῦντας ὑπὲρ τῆς κοινῆς σωτηρίας, οὐδεὶς παρῄει σύμβουλος. ἀπορίας οὖν μεγάλης οὔσης καὶ καταπλήξεως, ἀπέβλεπε τὸ πλῆθος ἐπὶ τὸν Δημοσθένην. ὁ δὲ καταβὰς καὶ τὸν δῆμον παρακαλέσας θαῤῥεῖν, ἀπεφαίνετο δεῖν παραχρῆμα πρέσβεις ἀποστέλλειν εἰς τὰς Θήβας καὶ παρακαλεῖν τοὺς Βοιωτοὺς κοινῇ τὸν ὑπὲρ τῆς ἐλευθερίας ἀγῶνα τίθεσθαι· πρὸς γὰρ τοὺς ἄλλους συμμάχους ὁ καιρὸς οὐ συνεχώρει πέμπειν πρεσβείας περὶ τῆς συμμαχίας. ἐν ἡμέραις γὰρ δυσὶ προσδόκιμος ἦν ὁ βασιλεὺς ἥξειν εἰς τὴν Ἀττικήν, καὶ τῆς ὁδοιπορίας οὔσης διὰ τῆς Βοιωτίας ἡ παρὰ τῶν Βοιωτῶν συμμαχία μόνη κατελείπετο, φανεροῦ γ' ὄντος ὅτι Φίλιππος, φίλος ὢν καὶ σύμμαχος Βοιωτοῖς, τούτους ἐν παρόδῳ πειράσεται παραλαβεῖν εἰς τὸν κατ' Ἀθηναίων πόλεμον.

85 τοῦ δὲ δήμου τὸν λόγον ἀποδεξαμένου, καὶ τοῦ περὶ τῆς πρεσβείας ψηφίσματος ὑπὸ Δημοσθένους γραφέντος, ὁ μὲν δῆμος ἐζήτει τὸν δυνατώτατον εἰπεῖν· ὁ δὲ Δημοσθένης ὑπήκουσε προθύμως πρὸς τὴν χρείαν. τέλος δ' ὀξέως πρεσβεύσας καὶ πείσας ἐπανῆλθεν εἰς τὰς Ἀθήνας. ὁ δὲ δῆμος τῇ τῶν Βοιωτῶν συμμαχίᾳ διπλασιάσας τὴν προϋπάρχουσαν δύναμιν, ἀνεθάῤῥησε ταῖς ἐλπίσιν. εὐθὺς δὲ καὶ στρατηγοὺς κατέστησε τοὺς περὶ Χάρητα καὶ Λυσικλέα, καὶ πανδημεὶ μετὰ τῶν ὅπλων ἐξέπεμψε τοὺς στρατιώτας εἰς τὴν Βοιωτίαν. τῶν δὲ νέων ἁπάντων προθύμως εἰς τὸν ἀγῶνα καταντώντων, οὗτοι μὲν κατὰ σπουδὴν ὁδοιπορήσαντες ἧκον εἰς Χαιρώνειαν τῆς Βοιωτίας· οἱ δὲ Βοιωτοὶ θαυμάσαντες τὴν ὀξύτητα τῆς τῶν Ἀθηναίων παρουσίας, καὶ αὐτοὶ σπουδῆς οὐδὲν ἐλλείποντες ἀπήντησαν μετὰ τῶν ὅπλων, καὶ κοινῇ στρατοπεδεύσαντες ὑπέμενον τὴν τῶν πολεμίων ἔφοδον. Φίλιππος δὲ τὸ μὲν πρῶτον ἐξέπεμψεν ἐπὶ τὸ κοινὸν τῶν Βοιωτῶν πρέσβεις, ὧν ἦν ἐπιφανέστατος Πύθων. οὗτος γὰρ διαβεβοημένος ἐπὶ τῇ τοῦ λόγου δεινότητι, καὶ συγκριθεὶς παρὰ τοῖς Βοιωτοῖς κατὰ τὴν περὶ τῆς συμμαχίας δημηγορίαν πρὸς Δημοσθένην, τῶν μὲν ἄλλων ἐπρώτευσε, τούτου δὲ ἐφάνη καταδεέστερος. καὶ Δημοσθένης δὲ αὐτὸς ὡς μέγα τι κατειργασμένος ἐν τοῖς συγγεγραμμένοις ὑπ' αὐτοῦ λόγοις σεμνύνεται τῇ πρὸς τὸν ῥήτορα τοῦτον δημηγορίᾳ ἐν οἷς λέγει Τότ' ἐγὼ μὲν τῷ Πύθωνι θρασυνομένῳ καὶ πολλῷ ῥέοντι 148 καθ' ὑμῶν οὐχ ὑπεχώρησα. μετὰ δὲ ταῦθ' ὁ Φίλιππος, ἀποτυχὼν τῆς τῶν Βοιωτῶν συμμαχίας, οὐδὲν ἧττον ἔκρινε πρὸς ἀμφοτέρους διαγωνίσασθαι· διὸ καὶ προςαναμείνας τοὺς ἀφυστεροῦντας τῶν συμμάχων ἧκεν εἰς τὴν Βοιωτίαν, ἔχων πεζοὺς μὲν πλείους τῶν τριςμυρίων, ἱππεῖς δὲ οὐκ ἐλάττους τῶν δισχιλίων. ἀμφοτέρων δὲ πρὸς τὴν μάχην εὐτρεπῶν γενομένων, τοῖς μὲν φρονή-

91. μετὰ τὸ LT, caeteri μετὰ 92. κατὰ Σικελίαν] ἐν Σικελίᾳ suprascripto κατὰ F 94. ἀξιολόγων] ἀξιολόγους Q 97. Χαρώνδου] vera forma videtur Χαιρώνδου
5. αὐτῶν om. Bas. 7. συνετελέσθη] συνετέλεσε QX 12. τούς τε] τοὺς L Bas. 13. προςετάττοντο Bas.
147. 16. συνέδραμεν] συνέδραμον T

34. φανεροῦ γ'] φανεροῦ δ' FL Bas. 40. δυνατώτατον] δεινότατον Bas., ut est p. 124. 16. 42. δ' F Bas. 60. ἐπρώτευσε] ἐπρώτευε Q Bas.
148. 66. ὑμῶν Wesselingius: libri ἡμῶν οὐχ ὑπεχώρησα] οὐ συνεχώρησα Q: consentit Diodorus Demosthenis libris melioribus Orat. de Corona p. 272. 70.: caeteri enim οὐκ εἶξα οὐδ' ὑπεχώρησα 71. ἐλάττους L, ἐλάττων Y, ἐλάττω Bas. omisso τῶν, caeteri ἔλαττον

μασι καὶ ταῖς προθυμίαις ἔτι δὲ ταῖς ἀνδραγαθίαις ἐφάμιλλοι καθειστήκεισαν, τῷ δὲ πλήθει καὶ τῇ κατὰ τὴν στρατηγίαν ἀρετῇ προεῖχεν ὁ βασιλεύς. πολλὰς γὰρ καὶ ποικίλας παρατάξεις ἠγωνισμένος, καὶ ἐν ταῖς πλείσταις μάχαις νενικηκώς, μεγάλην εἶχεν ἐμπειρίαν τῶν κατὰ πόλεμον ἔργων. παρὰ δὲ τοῖς Ἀθηναίοις οἱ μὲν ἀγαθώτατοι τῶν στρατηγῶν ἐτετελευτήκεισαν, Ἰφικράτης καὶ Χαβρίας, ἔτι δὲ Τιμόθεος, τῶν δ' ὑπολελειμμένων Χάρης πρωτεύων οὐδὲν διέφερε τῶν τυχόντων ἰδιωτῶν κατὰ τὴν ἐν τῷ στρατηγεῖν ἐνέργειαν καὶ βουλήν.

86 Ἅμα δ' ἡμέρᾳ τῶν δυνάμεων ἐκταττομένων, ὁ μὲν βασιλεὺς τὸν υἱὸν Ἀλέξανδρον, ἀντίπαιδα τὴν ἡλικίαν ὄντα, διάδηλον δὲ τὴν ἀνδρείαν καὶ τὴν ὀξύτητα τῆς ἐνεργείας ἔχοντα, κατέστησεν ἐπὶ θάτερον τῶν κεράτων, παρακαταστήσας αὐτῷ τῶν ἡγεμόνων τοὺς ἀξιολογωτάτους· αὐτὸς δὲ τοὺς ἐπιλέκτους ἔχων μεθ' ἑαυτοῦ τὴν ἡγεμονίαν εἶχε τοῦ ἑτέρου μέρους, καὶ τὰς κατὰ μέρος τάξεις οἰκείως τοῖς παροῦσι καιροῖς διεκόσμησεν. οἱ δ' Ἀθηναῖοι κατ' ἔθνος τὴν διαίρεσιν τῆς τάξεως ποιησάμενοι τοῖς μὲν Βοιωτοῖς τὸ ἕτερον μέρος παρέδωκαν, αὐτοὶ δὲ τοῦ λοιποῦ τὴν ἡγεμονίαν εἶχον. γενομένης δὲ μάχης καρτερᾶς ἐπὶ πολὺν χρόνον, καὶ πολλῶν πιπτόντων παρ' ἀμφοτέροις, μέχρι μέν τινος ὁ ἀγὼν ἀμφιδοξουμένας εἶχε τὰς ἐλπίδας τῆς νίκης. μετὰ δὲ ταῦτα τοῦ Ἀλεξάνδρου φιλοτιμουμένου τῷ πατρὶ τὴν ἰδίαν ἀνδραγαθίαν ἐνδείξασθαι, καὶ φιλοτιμίας ὑπερβολὴν οὐκ ἀπολείποντος, ὁμοίως δὲ καὶ πολλῶν αὐτῷ συναγωνιζομένων ἀνδρῶν ἀγαθῶν, πρῶτος τὸ συνεχὲς τῆς τῶν πολεμίων τάξεως ἔῤῥηξε, καὶ πολλοὺς καταβαλὼν κατεπόνει τοὺς καθ' ἑαυτὸν τεταγμένους. τὸ δ' αὐτὸ καὶ τῶν παραστατῶν αὐτῷ ποιησάντων, τὸ συνεχὲς ἀεὶ τῆς τάξεως παρεῤῥήγνυτο. πολλῶν δὲ σωρευομένων νεκρῶν οἱ περὶ τὸν Ἀλέξανδρον πρῶτοι βιασάμενοι τοὺς καθ' ἑαυτοὺς ἐτρέψαντο. μετὰ δὲ ταῦτα καὶ ὁ βασιλεὺς αὐτὸς προκινδυνεύων, καὶ τῆς νίκης τὴν ἐπιγραφὴν οὐδ' αὐτῷ παραχωρῶν Ἀλεξάνδρῳ, τὸ μὲν πρῶτον ἐξέωσε τῇ βίᾳ τοὺς ἀντιτεταγμένους, ἔπειτα δὲ καὶ φεύγειν συναναγκάσας αἴτιος ἐγένετο τῆς νίκης. τῶν δ' Ἀθηναίων ἔπεσον 149 μὲν ἐν τῇ μάχῃ πλείους τῶν χιλίων, ἥλωσαν δὲ οὐκ

77. παρατάξεις] πράξεις FLY Bas. 87. διάδηλον — ἔχοντα om. Bas. 88. θάτερον] θατέρου Reiskius 92. τάξεις FLQX, πράξεις Y Bas., caeteri παρατάξεις 3. αὐτῷ συναγωνιζ.] ἀγωνιζ. FLT Bas. 6. ἑαυτὸν] αὐτὸν L 7. παραστατῶν] scribe παραστάντων ποιησάντων] ποιούντων L 10. ἑαυτοὺς] αὐτοὺς FLT



ἐλάττους τῶν δισχιλίων. ὁμοίως δὲ καὶ τῶν Βοιωτῶν πολλοὶ μὲν ἀνῃρέθησαν, οὐκ ὀλίγοι δὲ ἐζωγρήθησαν. μετὰ δὲ τὴν μάχην ὁ Φίλιππος τρόπαιον στήσας, καὶ τοὺς νεκροὺς εἰς ταφὴν συγχωρήσας, ἐπινίκια τοῖς θεοῖς ἔθυσε καὶ τοὺς ἀνδραγαθήσαντας κατὰ τὴν ἀξίαν ἐτίμησε.

87 Λέγουσι δέ τινες ὅτι καὶ παρὰ τὸν πότον πολὺν ἐμφορησάμενος ἄκρατον καὶ μετὰ τῶν φίλων τὸν ἐπινίκιον ἄγων κῶμον διὰ μέσων τῶν αἰχμαλώτων ἐβάδιζεν ὑβρίζων διὰ λόγων τὰς τῶν ἀκληρούντων δυστυχίας. Δημάδην δὲ τὸν ῥήτορα κατ' ἐκεῖνον τὸν καιρὸν ἐν τοῖς αἰχμαλώτοις ὄντα χρήσασθαι παῤῥησίᾳ, καὶ λόγον ἀποφθέγξασθαι δυνάμενον ἀναστεῖλαι τὴν τοῦ βασιλέως ἀσέλγειαν. φασὶ γὰρ εἰπεῖν αὐτόν, Βασιλεῦ, τῆς τύχης σοι περιθείσης πρόσωπον Ἀγαμέμνονος αὐτὸς οὐκ αἰσχύνῃ πράττων ἔργα Θερσίτου; τὸν δὲ Φίλιππον τῇ τῆς ἐπιπλήξεως εὐστοχίᾳ κινηθέντα τοσοῦτο μεταβαλεῖν τὴν ὅλην διάθεσιν ὥστε τοὺς μὲν στεφάνους ἀποῤῥῖψαι, τὰ δὲ συνακολουθοῦντα κατὰ τὸν κῶμον σύμβολα τῆς ὕβρεως ἀποτρίψασθαι, τὸν δ' ἄνδρα τὸν χρησάμενον τῇ παῤῥησίᾳ θαυμάσαι καὶ τῆς αἰχμαλωσίας ἀπολύσαντα πρὸς ἑαυτὸν ἀναλαβεῖν ἐντίμως. τέλος δ' ὑπὸ τοῦ Δημάδου καθομιληθέντα ταῖς Ἀττικαῖς χάρισι πάντας ἀπολῦσαι τοὺς αἰχμαλώτους ἄνευ λύτρων, καθόλου δ' ἀποθέμενον τὴν ἐκ τῆς νίκης ὑπερηφανίαν πρέσβεις ἀποστεῖλαι πρὸς τὸν δῆμον τῶν Ἀθηναίων, καὶ συνθέσθαι πρὸς αὐτοὺς φιλίαν τε καὶ συμμαχίαν, εἰς δὲ τὰς Θήβας φρουρὰν ἐγκαταστήσαντα συγχωρῆσαι τὴν εἰρήνην τοῖς Βοιωτοῖς.

88 Οἱ δ' Ἀθηναῖοι μετὰ τὴν ἧτταν Λυσικλέους μὲν τοῦ στρατηγοῦ θάνατον κατέγνωσαν Λυκούργου τοῦ ῥήτορος κατηγορήσαντος. οὗτος γὰρ τῶν τότε ῥητόρων μέγιστον ἔχων ἀξίωμα, καὶ δώδεκα μὲν ἔτη τὰς προσόδους τῆς πόλεως διοικήσας ἐπαινουμένως, βίον δ' ἐζηκὼς ἐπ' ἀρετῇ περιβόητον, πικρότατος ἦν [ἐν τοῖς λόγοις] κατήγορος. γνοίη δ' ἄν τις αὐτοῦ τὴν ἐν τοῖς λόγοις ἀξίαν καὶ πικρίαν ἐν οἷς τοῦ Λυσικλέους κατηγορῶν λέγει, Ἐστρατήγεις, ὦ Λύσικλες, καὶ χιλίων μὲν πολιτῶν

149. 16. τῶν δισχ.] δισχ. Bas. 21. ἔθυσε] ἔθυε F Bas. 26. ἐνεβάδιζεν Bas. 29. ἀποστεῖλαι Bas. 33. Θερσίτου] Θεσίτου Y 34. τοσοῦτο] τοσοῦτον FL Bas. 42. ὑπερηφανείαν F 45. ἐγκαταστήσαντα] eo deducto addit Cospus 48. τῶν τότε] τῶν τε Q 52. ἐν τοῖς λόγοις ut ex sequenti versu illata deleo: omisit etiam Gemistus 53. αὐτοῦ post λόγοις ponit F 55. Λύσικλες] Λυσίκλεις Gemistus

τετελευτηκότων, δισχιλίων δ' αἰχμαλώτων γεγονότων, τροπαίου δὲ κατὰ τῆς πόλεως ἑστηκότος, τῆς δ' Ἑλλάδος ἁπάσης δουλευούσης, καὶ τούτων ἁπάντων γεγενημένων σοῦ ἡγουμένου καὶ στρατηγοῦντος, τολμᾷς ζῆν καὶ τὸ τοῦ ἡλίου φῶς ὁρᾶν καὶ εἰς τὴν ἀγορὰν ἐμβάλλειν, ὑπόμνημα γεγονὼς αἰσχύνης καὶ ὀνείδους τῇ πατρίδι; ἴδιον δέ τι συνέβη γενέσθαι κατὰ τοὺς ὑποκειμένους χρόνους. καθ' ὃν γὰρ καιρὸν ἡ περὶ τὴν Χαιρώνειαν 150
ἐγένετο μάχη, ἑτέρα παράταξις συνέστη κατὰ τὴν Ἰταλίαν τῇ αὐτῇ ἡμέρᾳ καὶ ὥρᾳ, διαπολεμούντων μὲν Ταραντίνων πρὸς Λευκανούς, συναγωνιζομένου δὲ τοῖς Ταραντίνοις Ἀρχιδάμου τοῦ Λακεδαιμονίων βασιλέως, ὅτε συνέβη καὶ αὐτὸν ἀναιρεθῆναι τὸν Ἀρχίδαμον. οὗτος μὲν οὖν ἦρξε τῶν Λακεδαιμονίων ἔτη τρία καὶ εἴκοσι, τὴν δὲ βασιλείαν διαδεξάμενος ὁ υἱὸς Ἆγις ἦρξεν ἔτη ἐννέα. ἅμα δὲ τούτοις πραττομένοις Τιμόθεος ὁ τῆς Ἡρακλείας τῆς ἐν τῷ Πόντῳ τύραννος ἐτελεύτησε δυναστεύσας ἔτη πεντεκαίδεκα, τὴν δὲ τυραννίδα διαδεξάμενος ὁ ἀδελφὸς Διονύσιος ἦρξεν ἔτη δυσὶ πλείω τῶν τριάκοντα.

89 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Φρυνίχου Ῥωμαῖοι κατέστησαν ὑπάτους Τίτον Μάλλιον Τορκουᾶτον καὶ Πόπλιον Δέκιον. ἐπὶ δὲ τούτων Φίλιππος ὁ βασιλεὺς πεφρονηματισμένος τῇ περὶ Χαιρώνειαν νίκῃ, καὶ τὰς ἐπιφανεστάτας πόλεις καταπεπληγμένος, ἐφιλοτιμεῖτο γενέσθαι πάσης τῆς Ἑλλάδος ἡγεμών. διαδοὺς δὲ λόγον ὅτι βούλεται πρὸς Πέρσας ὑπὲρ τῶν Ἑλλήνων πόλεμον ἄρασθαι, καὶ λαβεῖν παρ' αὐτῶν δίκας ὑπὲρ τῆς εἰς τὰ ἱερὰ γενομένης παρανομίας, ἰδίους τοὺς Ἕλληνας ταῖς εὐνοίαις ἐποιήσατο. φιλοφρονούμενος δὲ πρὸς ἅπαντας καὶ ἰδίᾳ καὶ κοινῇ ταῖς πόλεσιν ἀπεφαίνετο βούλεσθαι διαλεχθῆναι περὶ τῶν συμφερόντων. διόπερ ἐν Κορίνθῳ τοῦ κοινοῦ συνεδρίου συναχθέντος διαλεχθεὶς περὶ τοῦ πρὸς Πέρσας πολέμου, καὶ μεγάλας ἐλπίδας ὑποθείς, προετρέψατο τοὺς συνέδρους εἰς πόλεμον. τέλος δὲ τῶν Ἑλλήνων ἑλομένων αὐτὸν στρατηγὸν αὐτοκράτορα τῆς Ἑλλάδος μεγάλας παρασκευὰς ἐποιεῖτο πρὸς τὴν ἐπὶ τοὺς Πέρσας στρατείαν. διατάξας δ' ἑκάστῃ πόλει τὸ πλῆθος τῶν εἰς συμμαχίαν στρατιωτῶν ἐπανῆλθεν εἰς

57. τροπαίου] τρόπαιον Y 62. τῇ om. Bas.

150. 69. οὗτος — 71. ἐννέα om. Cospus 70. τρία καὶ εἴκοσι] εἰκοσιτρία F 73. ἐτελεύτησεν post ἔτη ιε ponit Bas. 74. πεντεκαίδεκα] *decimo quarto* Cospus 75. ἀδελφὸς] υἱὸς FLY Bas., Cospus 78. Μάλλιον] μάλιον F saepius 87. φιλ. τε FL, caeteri φιλ. δὲ



τὴν Μακεδονίαν. καὶ τὰ μὲν περὶ Φίλιππον ἐν τούτοις ἦν.

90 Κατὰ δὲ τὴν Σικελίαν Τιμολέων ὁ Κορίνθιος ἅπαντα τοῖς Συρακοσίοις καὶ τοῖς Σικελιώταις κατωρθωκὼς ἐτελεύτησε, στρατηγήσας ἔτη ὀκτώ. οἱ δὲ Συρακόσιοι μεγάλως ἀποδεδεγμένοι τὸν ἄνδρα διά τε τὴν ἀρετὴν καὶ τὸ μέγεθος τῶν εὐεργεσιῶν, μεγαλοπρεπῶς ἔθαψαν αὐτόν, καὶ κατὰ τὴν ἐκφορὰν ἀθροισθέντος τοῦ πλήθους τόδε τὸ ψήφισμα ἀνηγόρευσεν ὁ δῆμος τῶν Συρακοσίων. Τιμολέοντα τιμᾶν ἐτήσιον· τοῦτον δὲ θάπτειν ἀπὸ διακοσίων μνῶν, τιμᾶσθαι δὲ εἰς τὸν ἅπαντα χρόνον ἀγῶσι μουσικοῖς καὶ ἱππικοῖς καὶ γυμνικοῖς, ὅτι τοὺς βαρβάρους καταπολεμήσας καὶ τὰς μεγίστας τῶν Ἑλληνίδων
151 πόλεων ἀνοικίσας αἴτιος ἐγενήθη τῆς ἐλευθερίας τοῖς Σικελιώταις. περὶ δὲ τοὺς αὐτοὺς καιροὺς Ἀριοβαρζάνης μὲν ἐτελεύτησε βασιλεύσας ἔτη εἴκοσι καὶ ἕξ, τὴν δὲ βασιλείαν διαδεξάμενος Μιθριδάτης ἦρξεν ἔτη πέντε πρὸς τοῖς τριάκοντα. Ῥωμαῖοι δὲ πρὸς Λατίνους καὶ Καμπανοὺς παραταξάμενοι περὶ πόλιν Σούεσσαν ἐνίκησαν, καὶ τῶν ἡττηθέντων μέρος τῆς χώρας ἀφείλοντο. ὁ δὲ κατωρθωκὼς τὴν μάχην Μάλλιος ὁ ὕπατος ἐθριάμβευσεν.

99 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Πυθοδώρου Ῥωμαῖοι μὲν κατέστησαν ὑπάτους Κόϊντον Ποπλίλιον καὶ Τιβέριον Αἰμίλιον Μάμερκον, Ὀλυμπιὰς δ' ἤχθη πρώτη πρὸς ταῖς ἑκατὸν καὶ δέκα, καθ' ἣν ἐνίκα στάδιον Κλεόμαντις Κλειτόριος. ἐπὶ δὲ τούτων Φίλιππος ὁ βασιλεύς, ἡγεμὼν ὑπὸ τῶν Ἑλλήνων καθεσταμένος καὶ τὸν πρὸς Πέρσας πόλεμον ἐνστησάμενος, Ἄτταλον μὲν καὶ Παρμενίωνα προαπέστειλεν εἰς τὴν Ἀσίαν μέρος τῆς δυνάμεως δοὺς καὶ προστάξας ἐλευθεροῦν τὰς Ἑλληνίδας πόλεις, αὐτὸς δὲ σπεύδων μετὰ τῆς τῶν θεῶν γνώμης ἐπανελέσθαι τὸν πόλεμον, ἐπηρώτησε τὴν Πυθίαν εἰ κρατήσει τοῦ βασιλέως τῶν Περσῶν. ἡ δὲ ἔχρησεν αὐτῷ τόνδε τὸν χρησμόν·

Ἔστεπται μὲν ὁ ταῦρος, ἔχει τέλος, ἔστιν ὁ θύσων.

ὁ μὲν οὖν Φίλιππος, σκολιῶς ἔχοντος τοῦ χρησμοῦ, πρὸς τὸ ἴδιον συμφέρον ἐξεδέχετο τὸ λόγιον, ὡς τοῦ μαντείου προλέγοντος τὸν Πέρσην ἱερείου τρόπον τυθήσεσθαι·

4. διά τε τὴν ἀρετὴν om. F 8. vide annotationem 12. ἀνοικίσας] ἐνοικήσας Bas., οἰκίσας Q, caeteri ἐνοικίσας
151. 14. βασιλ. ἔτη] ἔτη βασιλ. L 19. ἀφείλοντο] ἀφείλαντο FL 22. Πυθοδώρου] vide annotat. μὲν om. F 23. Ποπλίλιον Livius: libri Πόπλιον 26. Κλειτόριος] Κλιτόριος L, κλιτώριος F 28. ἐνστησάμενος] ἐπιστάμενος X 36. ἔστιν] ἔστι δ' Gemistus 40. τυθήσεσθαι] τεθήσεσθαι margo Bas.

τὸ δ᾽ ἀληθὲς οὐχ οὕτως εἶχεν, ἀλλὰ τοὐναντίον ἐσήμαινεν ἐν πανηγύρει καὶ θεῶν θυσίαις τὸν Φίλιππον ὥςπερ τὸν ταῦρον ἐστεμμένον σφαγήσεσθαι. οὐ μὴν ἀλλὰ δόξας συμμαχεῖν αὐτῷ τοὺς θεοὺς περιχαρὴς ἦν, ὡς τῆς Ἀσίας ὑπὸ Μακεδονίας ἐσομένης αἰχμαλώτου. εὐθὺς ουν θυσίας μεγαλοπρεπεῖς ἐπετέλει τοῖς θεοῖς, καὶ τῆς θυγατρὸς Κλεοπάτρας τῆς ἐξ Ὀλυμπιάδος συνετέλει γάμους, καὶ ταύτην μὲν Ἀλεξάνδρῳ συνῴκισε τῷ βασιλεῖ τῶν Ἠπειρωτῶν, ἀδελφῷ δὲ ὄντι γνησίῳ τῆς Ὀλυμπιάδος. ἅμα δὲ ταῖς τῶν θεῶν τιμαῖς, βουλόμενος ὡς πλείστους τῶν Ἑλλήνων μετασχεῖν τῆς εὐωχίας, ἀγῶνάς τε μουσικοὺς μεγαλοπρεπεῖς ἐποίει καὶ λαμπρὰς ἑστιάσεις τῶν φίλων καὶ ξένων. διόπερ ἐξ ἁπάσης τῆς Ἑλλάδος μετεπέμπετο τοὺς ἰδιοξένους, καὶ τοῖς ἑαυτοῦ φίλοις παρήγγειλε παραλαμβάνειν τῶν ἀπὸ τῆς ξένης γνωρίμων ὡς πλείστους. σφόδρα γὰρ ἐφιλοτιμεῖτο φιλοφρονεῖσθαι πρὸς τοὺς Ἕλληνας καὶ διὰ τὰς δεδομένας αὐτῷ τῆς ὅλης ἡγεμονίας τιμὰς προςηκούσαις ὁμιλίαις ἀμεί-
92 βεσθαι. τέλος δὲ πολλῶν πανταχόθεν πρὸς τὴν πανή- 152
γυριν συῤῥεόντων, καὶ τῶν ἀγώνων καὶ γάμων συντελουμένων ἐν Αἰγαῖς τῆς Μακεδονίας, οὐ μόνον κατ᾽ ἄνδρα τῶν ἐπιφανῶν ἐστεφάνωσαν αὐτὸν χρυσοῖς στεφάνοις, ἀλλὰ καὶ τῶν ἀξιολόγων πόλεων αἱ πλείους, ἐν αἷς ἦν καὶ ἡ τῶν Ἀθηναίων. ἀναγορευομένου δὲ τοῦ στεφάνου τούτου διὰ τοῦ κήρυκος, τὸ τελευταῖον εἶπεν, ἄν τις ἐπιβουλεύσας Φιλίππῳ τῷ βασιλεῖ καταφύγῃ πρὸς Ἀθηναίους, παραδόσιμον εἶναι τοῦτον. διὰ δὲ τῆς αὐτοματιζούσης φήμης ὥςπερ θείᾳ τινὶ προνοίᾳ διεσήμαινε τὸ δαιμόνιον τὴν ἐσομένην ἐπιβουλὴν εὐθὺς τῷ Φιλίππῳ. ἀκολούθως δὲ τούτοις καὶ ἕτεραί τινες ὥςπερ ἐνθεάζουσαι ἐγένοντο φωναὶ προδηλοῦσαι τὴν τοῦ βασιλέως καταστροφήν. ἐν γὰρ τῷ βασιλικῷ πότῳ Νεοπτόλεμος ὁ τραγῳδός, πρωτεύων τῇ μεγαλοφωνίᾳ καὶ τῇ δόξῃ, προςτάξαντος αὐτῷ τοῦ Φιλίππου προενέγκασθαι τῶν ἐπιτετευγμένων ποιημάτων καὶ μάλιστα τῶν ἀνηκόντων πρὸς τὴν κατὰ τῶν Περσῶν στρατείαν, ὁ μὲν τεχνίτης κρίνας οἰκεῖον ὑποληφθήσεσθαι τὸ ποίημα τῇ

44. συμμαχεῖν] συμμετασχεῖν X 45. Μακεδονίας] libri Μακεδόνας: *in servitutem Macedoniae trahendam* Cospus 53. μεγαλοπρεπεῖς] libri καὶ μεγαλοπρεπεῖς 57. τῆς ξένης FL Bas., caeteri ξένης
152. 63. Αἰγαῖς] Αἰγέαις Q 66. Ἀθηναίων] Ἀθηνῶν L 69. τοῦτον ante παραδόσιμον ponit F 77. προενέγκασθαι] προςενέγκασθαι omnes 78. ἐπιτετευγμένων FLQ, caeteri ἐπιτεταγμένων



διαβάσει τοῦ Φιλίππου, καὶ τὴν εὐδαιμονίαν ἐπιπλῆξαι βουλόμενος τοῦ Περσῶν βασιλέως, καίπερ οὖσαν μεγάλην καὶ περιβόητον, ὅπως μεταπέσοι ποτὲ εἰς τοὐναντίον ὑπὸ τῆς τύχης, ἤρξατο λέγειν τόδε τὸ ποίημα·

φρονεῖτε νῦν αἰθέρος ὑψηλότερον
καὶ μεγάλων πεδίων ἀρούρας,
φρονεῖθ᾽ ὑπερβαλλόμενοι
δόμων δόμους, ἀφροσύνᾳ
πρόσω βιοτὰν τεκμαιρόμενοι.
ὁ δ᾽ ἀμφιβάλλει ταχύπουν
κέλευθον ἕργῳ σκοτίαν,
ἄφνω δ᾽ ἄφαντος προςέβα
μακρὰς ἀφαιρούμενος ἐλπίδας
θνατῶν πολύμοχθος Ἅιδας,

καὶ τὰ τούτων ἐφεξῆς συνεῖρε, πάντα πρὸς τὴν ὁμοίαν φερόμενα διάνοιαν. ὁ δὲ Φίλιππος ἡσθεὶς ἐπὶ τοῖς ἀπηγγελμένοις ὅλος ἦν, καὶ τελείως φερόμενος τῇ διανοίᾳ πρὸς τὴν τοῦ Περσῶν βασιλέως καταστροφήν, ἅμα δὲ καὶ τὸν πυθόχρηστον χρησμὸν ἀνελογίζετο, παραπλησίαν ἔχοντα διάνοιαν τοῖς ὑπὸ τοῦ τραγῳδοῦ ῥηθεῖσι. τέλος δὲ τοῦ πότου διαλυθέντος, καὶ τῶν ἀγώνων κατὰ τὴν ὑστεραίαν τὴν ἀρχὴν λαμβανόντων, τὸ μὲν πλῆθος ἔτι νυκτὸς οὔσης συνέτρεχεν εἰς τὸ θέατρον, ἅμα δ᾽ ἡμέρᾳ
153 τῆς πομπῆς γινομένης σὺν ταῖς ἄλλαις ταῖς μεγαλοπρε-
πέσι κατασκευαῖς, εἴδωλα τῶν δώδεκα θεῶν ἐπόμπευε ταῖς τε δημιουργίαις περιττῶς εἰργασμένα καὶ τῇ λαμπρότητι τοῦ πλούτου θαυμαστῶς κεκοσμημένα· σὺν δὲ τούτοις αὐτοῦ τοῦ Φιλίππου τριςκαιδέκατον ἐπόμπευε θεοπρεπὲς εἴδωλον, σύνθρονον ἑαυτὸν ἀποδεικνύντος τοῦ βασιλέως τοῖς δώδεκα θεοῖς.

Τοῦ δὲ θεάτρου πληρωθέντος αὐτὸς ὁ Φίλιππος ᾔει 93
λευκὸν ἔχων ἱμάτιον καὶ προςτεταχὼς τοὺς δορυφόρους μακρὰν ἀφεστῶτας ἀφ᾽ ἑαυτοῦ συνακολουθεῖν· ἐνεδείκνυτο γὰρ πᾶσιν ὅτι τηρούμενος τῇ κοινῇ τῶν Ἑλλήνων εὐνοίᾳ τῆς τῶν δορυφόρων φυλακῆς οὐκ ἔχει χρείαν. τηλικαύτης δ᾽ οὔσης περὶ αὐτὸν ὑπεροχῆς, καὶ πάντων ἐπαινούντων ἅμα καὶ μακαριζόντων τὸν ἄνδρα, παρά-

83. μεταπέσοι ποτὲ] μεταπέσῃ ποτὲ FL: scribendum videtur μεταπέσοιτο 88. φρονεῖθ᾽ ὑπερβαλλόμενοι Rhodomannus: libri φρονεῖτε ὑπερβαλόμενοι 92. θνατῶν Reiskius: libri θανάτων Ἅιδας] ἀΐδας libri: correxit Rhodomannus 95. ἐφεξῆς] ἑξῆς Bas. συνεῖρε] προςσυνεῖρε FL 5. γινομένης] γενομένης Bas.: eadem om. alterum ταῖς
153. 7. περιττῶς] περὶ τὰ Bas.: „*voluit* περιττά.“ Wessel. 10. θεοπρεπὲς] διαπρεπὲς Q 18. ἔχει] εἶχε Q

δοξος καὶ παντελῶς ἀνέλπιστος ἐφάνη κατὰ τοῦ βασιλέως ἐπιβουλὴ καὶ θάνατος. ἵνα δὲ σαφὴς ὁ περὶ τούτων γένηται λόγος, προεκθησόμεθα τὰς αἰτίας τῆς ἐπιβουλῆς. Παυσανίας ην τὸ μὲν γένος Μακεδὼν ἐκ τῆς Ὀρεστίδος καλουμένης, τοῦ δὲ βασιλέως σωματοφύλαξ καὶ διὰ τὸ κάλλος φίλος γεγονὼς τοῦ Φιλίππου. οὗτος ὁρῶν ὑπὸ τοῦ βασιλέως ἀγαπώμενον ἕτερον Παυσανίαν ὁμώνυμον ἑαυτοῦ, ὀνειδιστικοῖς πρὸς αὐτὸν ἐχρήσατο λόγοις, φήσας ἀνδρόγυνον εἶναι καὶ τοὺς τῶν βουλομένων ἔρωτας ἑτοίμως προςδέχεσθαι. ὁ δὲ τὴν ἐκ τῆς λοιδορίας ὕβριν οὐκ ἐνέγκας, τὸ μὲν παρὸν κατεσιώπησεν, Ἀττάλῳ δέ τινι τῶν φίλων ἀνακοινωσάμενος περὶ τῶν μελλόντων πράττεσθαι, ἑκουσίως καὶ παραδόξως ἑαυτὸν ἐκ τοῦ ζῆν μετέστησε. μετ' ὀλίγας γὰρ ἡμέρας τοῦ Φιλίππου πρὸς Πλευρίαν τὸν τῶν Ἰλλυριῶν βασιλέα διαγωνιζομένου, πρὸ τοῦ βασιλέως στὰς ἁπάσας τὰς φερομένας ἐπ' αὐτὸν πληγὰς ἀνεδέξατο τῷ ἰδίῳ σώματι καὶ μετήλλαξε. διαβοηθείσης δὲ τῆς πράξεως, ὁ μὲν Ἄτταλος, εἷς ὢν τῶν ἐξ αὐλῆς καὶ πολὺ δυναμένων παρὰ τῷ βασιλεῖ, ἐκάλεσεν ἐπὶ δεῖπνον τὸν Παυσανίαν, καὶ πολὺν ἐμφορήσας ἄκρατον παρέδωκεν αὐτοῦ τὸ σῶμα τοῖς ὀρεοκόμοις εἰς ὕβριν καὶ παροινίαν ἑταιρικήν. ὁ δὲ ἀνανήψας ἐκ τῆς μέθης, καὶ τῇ τοῦ σώματος ὕβρει περιαλγὴς γενόμενος, τοῦ Ἀττάλου κατηγόρησεν ἐπὶ τοῦ βασιλέως. ὁ δὲ Φίλιππος παρωξύνθη μὲν ἐπὶ τῇ παρανομίᾳ τῆς πράξεως, διὰ δὲ τὴν πρὸς Ἄτταλον οἰκειότητα καὶ τὴν εἰς τὸ παρὸν αὐτοῦ χρείαν οὐκ ἐβούλετο μισοπονηρεῖν. ἦν γὰρ ὁ Ἄτταλος τῆς μὲν ἐπιγαμηθείσης γυ- 154
ναικὸς ὑπὸ τοῦ βασιλέως Κλεοπάτρας ἀδελφιδοῦς, ἐπὶ δὲ τῆς προαπεσταλμένης δυνάμεως εἰς τὴν Ἀσίαν στρατηγὸς προκεχειρισμένος, ἐν δὲ τοῖς πολεμικοῖς ἀγῶσιν ἀνδρεῖος. διόπερ ὁ βασιλεὺς πραῦναι βουλόμενος τοῦ Παυσανίου τὴν ἐπὶ τῷ πάθει γεγενημένην δικαίαν ὀργήν, δωρεὰς ἀξιολόγους ἀπένειμεν αὐτῷ καὶ κατὰ τὴν
94 σωματοφυλακίαν προῆγεν αὐτὸν ἐντίμως. ὁ δὲ Παυσανίας ἀμετάθετον φυλάττων τὴν ὀργήν, ἔσπευδε μὴ μόνον παρὰ τοῦ πράξαντος λαβεῖν τιμωρίαν, ἀλλὰ καὶ παρὰ τοῦ μὴ τιμωροῦντος αὐτῷ. συνεπελάβετο δὲ ταύτης τῆς προαιρέσεως μάλιστα ὁ σοφιστὴς Ἑρμοκράτης. τοῦ γὰρ Παυσανίου σχολάζοντος αὐτῷ, καὶ κατὰ τὴν διατριβὴν

21. ἀνέλπιστος] ἄπιστος FLQ 28. ἑαυτοῦ] ἑαυτῷ L 30. τῶν om. Bas. 37. στὰς om. F 43. ὀρεοκόμοις] ὀρεωκόμοις Bas., ὠρεοκόμοις L 50. ὁ om. Bas. 154. 56. γεγενημένην om. L



πυθομένου πῶς ἂν τις γένοιτο ἐπιφανέστατος, ὁ σοφιστὴς ἀπεκρίθη, εἰ τὸν τὰ μέγιστα πράξαντα ἀνέλοι· τῇ γὰρ περὶ τούτου μνήμῃ συμπεριληφθήσεσθαι καὶ τὸν τὴν ἀναίρεσιν αὐτοῦ ποιησάμενον. ἀνενέγκας δὲ πρὸς τὴν ἰδίαν ὀργὴν τὸν λόγον, καὶ διὰ τὸν θυμὸν οὐδεμίαν τῆς γνώμης ὑπέρθεσιν ποιησάμενος, ἐν αὐτοῖς τοῖς ὑποκειμένοις ἀγῶσι τὴν ἐπιβουλὴν συνεστήσατο τοιῷδέ τινι τρόπῳ. ἵππους παραστησάμενος ταῖς πύλαις παρῆλθε πρὸς τὰς εἰς τὸ θέατρον εἰςόδους ἔχων κεκρυμμένην Κελτικὴν μάχαιραν. τοῦ δὲ Φιλίππου τοὺς παρακολουθοῦντας φίλους κελεύσαντος προειςελθεῖν εἰς τὸ θέατρον, καὶ τῶν δορυφόρων διεστώτων, ὁρῶν τὸν βασιλέα μεμονωμένον, προςέδραμε, καὶ διὰ τῶν πλευρῶν διανταίαν ἐνέγκας πληγὴν τὸν μὲν βασιλέα νεκρὸν ἐξέτεινεν, αὐτὸς δ' ἐπὶ τὰς πύλας καὶ τοὺς ἡτοιμασμένους πρὸς τὴν φυγὴν ἔθει ἵππους. εὐθὺς δὲ τῶν σωματοφυλάκων οἱ μὲν πρὸς τὸ σῶμα τοῦ βασιλέως ὥρμησαν, οἱ δ' ἐπὶ τὸν τοῦ σφαγέως διωγμὸν ἐξεχύθησαν, ἐν οἷς ὑπῆρχον Λεόννατος καὶ Περδίκκας καὶ Ἄτταλος. ὁ δὲ Παυσανίας προλαβὼν τῆς διώξεως ἔφθασεν ἂν ἐπὶ τὸν ἵππον ἀναπηδήσας, εἰ μὴ τῆς ὑποδέσεως περὶ ἄμπελόν τινα περιπλακείσης ἔπεσεν. οἱ δὲ περὶ τὸν Περδίκκαν καταλαβόντες αὐτὸν ἐκ τῆς γῆς ἀνιστάμενον καὶ συγκεντήσαντες ἀνεῖλον.

Φίλιππος μὲν οὖν μέγιστος γενόμενος τῶν καθ' 95
ἑαυτὸν ἐπὶ τῆς Εὐρώπης βασιλέων, καὶ διὰ τὸ μέγεθος τῆς ἀρχῆς ἑαυτὸν τοῖς δώδεκα θεοῖς σύνθρονον καταριθμήσας, τοιαύτης ἔτυχε τῆς τοῦ βίου καταστροφῆς, ἄρξας ἔτη τέτταρα πρὸς τοῖς εἴκοσι. δοκεῖ δ' οὗτος ὁ βασιλεὺς ἐλαχίστας μὲν εἰς τὴν μοναρχίαν ἀφορμὰς παρειληφέναι, μεγίστην δὲ τῶν παρ' Ἕλλησι μοναρχιῶν κατακτήσασθαι, ηὐξηκέναι δὲ τὴν ἡγεμονίαν οὐχ οὕτω διὰ τῆς ἐν τοῖς ὅπλοις ἀνδραγαθίας ὡς διὰ τῆς ἐν τοῖς λόγοις ὁμιλίας καὶ φιλοφροσύνης. φασὶ δὲ καὶ αὐτὸν τὸν Φίλιππον σεμνύνεσθαι μᾶλλον ἐπὶ τῇ στρατηγικῇ συν-

65. ὁ om. Bas. 67. συμπεριληφθήσεσθαι] συμπεριληφθήσεται FL Bas. 71. ὑποκειμένοις] ἐπικειμένοις F 76. προειςελθεῖν] προςελθεῖν L et qui παρακαλεύσαντος F καὶ om. F 81. ἔθει] ἐνέθεεν FLT Bas., caeteri ἔθεεν 83. σφαγέως] σφαγέντος Y Bas. 84. ἐξεχύθησαν] ἐπεχύθησαν Q ἐν οἷς — Ἄτταλος om. Cospus λεόνατος et περδίκας F, hoc quidem saepius, Λεώνατος Gemistus 87. περιπλακείσης] περιπλακεὶς Y Bas. 88. ἔπεσεν. οἱ δὲ] ἔπεσε. διόπερ οἱ Q 95. τέτταρα] τέσσαρα F 96. ὁ om. Bas. τὴν om. F Bas. 99. τῆς — ἀνδραγαθίας] τὴν — ἀνδραγαθίαν F correctus supra versum

ἔσει καὶ τοῖς διὰ τῆς ὁμιλίας ἐπιτεύγμασιν ἤπερ ἐπὶ τῇ κατὰ τὰς συμμαχίας ἀνδρείᾳ. τῶν μὲν γὰρ κατὰ τοὺς 155 ἀγῶνας κατορθωμάτων μετέχειν ἅπαντας τοὺς στρατευομένους, τῶν δὲ διὰ τῆς ὁμιλίας γινομένων ἐπιτευγμάτων αὐτὸν μόνον λαμβάνειν τὴν ἐπιγραφήν. ἡμεῖς δ' ἐπειδὴ πάρεσμεν ἐπὶ τὴν Φιλίππου τελευτήν, ταύτην μὲν τὴν βίβλον αὐτοῦ περιγράψομεν κατὰ τὴν ἐν ἀρχῇ πρόθεσιν· τῆς δ' ἐχομένης τὴν ἀρχὴν τὴν Ἀλεξάνδρου παράληψιν τῆς βασιλείας ποιησάμενοι πειρασόμεθα περιλαβεῖν ἁπάσας αὐτοῦ τὰς πράξεις ἐν μιᾷ βίβλῳ.

155. 4. τὰς om. F    συμμαχίας] μάχας Reiskius    9. περιγράψομεν] παραγράψομεν FY Bas.    10. τὴν ἀρχὴν] ἀρχῆς FY Bas.

---

156

## ΤΑΔΕ ΕΝΕΣΤΙΝ

# ΕΝ ΤΗΙ ΕΠΤΑΚΑΙΔΕΚΑΤΗΙ

## ΤΩΝ ΔΙΟΔΩΡΟΥ ΒΙΒΛΩΝ

## ΕΙΣ ΔΥΟ ΒΙΒΛΟΥΣ ΔΙΗΙΡΗΜΕΝΗΙ.

## ΕΝ ΤΗΙ ΠΡΩΤΗΙ ΒΙΒΛΩΙ

### Η ΤΩΙ ΠΡΩΤΩΙ ΤΜΗΜΑΤΙ.

α'. Ὡς Ἀλέξανδρος διαδεξάμενος τὴν βασιλείαν κατέστησε τὰ κατὰ τὴν ἀρχήν.

β'. Ὡς τὰ νεωτερίζοντα τῶν ἐθνῶν ἀνεκτήσατο.

γ'. Ὡς Θήβας κατασκάψας καὶ φόβον ἐπιστήσας τοῖς Ἕλλησι στρατηγὸς αὐτοκράτωρ τῆς Ἑλλάδος ᾑρέθη.

δ'. Ὡς διαβὰς εἰς τὴν Ἀσίαν τοὺς σατράπας ἐνίκησε περὶ τὸν ἐν Φρυγίᾳ Γράνικον ποταμόν.

ε'. Ὡς Μίλητον καὶ Ἁλικαρνασσὸν ἐξεπολιόρκησε.

156. inscr. τάδε — τμήματι] τῶν Δ. βίβλων τῆς ἑπτακαιδεκάτης (πέμπτης καὶ δεκάτης X) εἰς δύο διῃρημένης ἡ πρώτη περιέχει τάδε TX Bas.    1. singula capita in L notantur litteris α, β etc., quas ego in editionibus non appositas librorum inde a primo argumentis addidi    4. post ἀνεκτήσατο addit Cospus *Vt Corinthi a consilio Amphictyonum imperator appellatus sit Alexander. De statu imperii Persarum et Darei fortitudine. Montis Idae mira. Alex. expeditio contra Thebanos, quos urbe diruta captivos vendiderit. Transitus eiusdem in Asiam, et quantas copias secum duxit. Pugna ad Granicum inter praefectos Darei et ipsum commissa, in qua victor fuit. Agathoclem in bello Punico Alexandri exemplo classem suam incendisse.*    9. τὸν — Γρανικὸν ποταμὸν] τοῦ Γρανικοῦ ποταμοῦ L: accentum hic et infra mutavi    10. Ἁλικαρνασσὸν] Ἁλικαρνασὸν L    post ἐξεπολιόρκησε addit Cospus *Marmarum facinus impium. Memnonis virtus magna atque obitus. Charidemum, quod audacter nimis loquutus esset, Darei iussu interemptum. Aegrotante graviter Alex. a Philippo Acarnane curatum fuisse.* et 12. post Ἀλεξάνδρου *Clementia et liberalitas summa Alexandri erga matrem, uxorem et liberos Darei captivos.*

ϛ'. Μάχη Δαρείου πρὸς Ἀλέξανδρον ἐν Ἰσσῷ τῆς Κιλικίας καὶ νίκη Ἀλεξάνδρου.

ζ'. Τύρου πολιορκία καὶ Αἰγύπτου παράληψις καὶ πάροδος εἰς Ἄμμωνα τοῦ βασιλέως.

η'. Παράταξις ἐν Ἀρβήλοις Ἀλεξάνδρου πρὸς Δαρεῖον καὶ νίκη Ἀλεξάνδρου.

θ'. Μάχη Ἀντιπάτρου πρὸς Λακεδαιμονίους καὶ νίκη Ἀντιπάτρου.


## ΕΝ ΤΗΙ ΔΕΥΤΕΡΑΙ ΒΙΒΛΩΙ

### Η ΤΩΙ ΔΕΥΤΕΡΩΙ ΤΜΗΜΑΤΙ.


α'. Ἀρβήλων ἅλωσις ὑπ' Ἀλεξάνδρου καὶ κατάληψις πολλῶν χρημάτων.

β'. Ἀνάληψις τῆς δυνάμεως ἐν Βαβυλῶνι καὶ δωρεαὶ τοῖς ἀν- 157 δραγαθήσασι.

γ'. Παρουσία τῶν ἀποσταλέντων μισθοφόρων καὶ συμμάχων.

δ'. Διάταξις καὶ κατασκευὴ τῆς δυνάμεως.

ε'. Ὡς Ἀλέξανδρος παρέλαβε Σοῦσαν καὶ τοὺς ἐν αὐτῇ θησαυρούς.

ϛ'. Ὡς τῶν παρόδων ἐγκρατὴς ἐγένετο καὶ τῶν ὀνομαζομένων Πυλῶν ἐκράτησεν.

ζ'. Ὡς τοὺς ἀκρωτηριασθέντας Ἑλλήνων εὐεργέτησε, καὶ τὴν Περσέπολιν παραλαβὼν διήρπασεν.

η'. Ὡς κωμάσας ἐνέπρησε τὰ βασίλεια.

θ'. Δαρείου θάνατος ὑπὸ Βήσσου.

ι'. Ἀλεξάνδρου στρατεία εἰς τὴν Ὑρκανίαν, καὶ τῶν ἐν αὐτῇ φυομένων παραδόξων ἀπαγγελία.

ια'. Ὡς Ἀλέξανδρος ἐπὶ Μάρδους στρατεύσας κατεπολέμησε τὸ ἔθνος.

ιβ'. Ὡς Θάληστρις ἡ τῶν Ἀμαζονίδων βασιλεύουσα συνέμιξεν Ἀλεξάνδρῳ.

ιγ'. Ὡς ὁ βασιλεὺς ἀνίκητον ἑαυτὸν εἶναι νομίσας ἐζήλωσε τὴν τῶν Περσῶν τρυφήν.


13. *Τύρου* — 14. *βασιλέως*] *Tyri gravissima oppugnatio ibique incredibilis Alexandri virtus. Ballonymi Tyrii regis fortuna admirabilis. Alexandri profectio ad Hammonem, descriptioque locorum ac templi, et oraculum ibi acceptum. Vrbis Alexandriae extructae situs et magnitudo. Legatio Darei ad Alex. quidque ei ab Alex. sit responsum.* 20. 21. *ἐν* — *τμήματι*] *ἡ δευτέρα περιέχει τάδε* TX Bas., omisit hic et supra Cospus, apud quem etiam p. 209. nulla est huius libri in partes duas distinctio: vere, opinor

157. 30. *Σοῦσαν*] *Susa* Cospus 33. *Πυλῶν*] *Susiadas petras* Cospus: v. ad p. 212, 81. 40. *Μάρδους*] *Μαρδοὺς* Bas. 44. *ἑαυτὸν*] *αὐτὸν* L




ιδ'. Στρατεία Ἀλεξάνδρου πρὸς τοὺς ἀφεστηκότας Ἀρείους, καὶ ἅλωσις τῆς Πέτρας.

ιε'. Ἐπιβουλὴ τοῦ βασιλέως καὶ κόλασις τῶν ἐπιθεμένων, ὧν οἱ ἐπιφανέστατοι Παρμενίων καὶ Φιλώτας.

ιϛ'. Στρατεία Ἀλεξάνδρου εἰς τοὺς Παροπαμισάδας, καὶ τὰ πραχθέντα κατ' αὐτήν.

ιζ'. Ἡ γενομένη ἐν Ἀρείοις μονομαχία, καὶ παράληψις τοῦ ἔθνους.

ιη'. Βήσσου τοῦ ἀνελόντος Δαρεῖον θάνατος.

ιθ'. Ὡς Ἀλέξανδρος διὰ τῆς ἀνύδρου πορευθεὶς πολλοὺς ἀπέβαλε τῶν στρατιωτῶν.

κ'. Ὡς τοὺς Βραγχίδας τὸ παλαιὸν ὑπὸ Περσῶν μετοικισθέντας εἰς τὰ ἔσχατα τῆς βασιλείας ὡς προδότας τῶν Ἑλλήνων ἀνεῖλεν Ἀλέξανδρος.

κα'. Ὡς ὁ βασιλεὺς ἐπὶ Σογδιανοὺς καὶ Σκύθας ἐστράτευσεν.

κβ'. Ὡς οἱ πρωτεύοντες Σογδιανῶν ἀπαγόμενοι πρὸς θάνατον παραδόξως ἐσώθησαν.

κγ'. Ὡς Ἀλέξανδρος ἀποστάντας τοὺς Σογδιανοὺς κατεπολέμησε, καὶ κατέσφαξεν αὐτῶν πλείους τῶν δώδεκα μυριάδων.

κδ'. Ὡς Βακτριανοὺς ἐκόλασε καὶ Σογδιανοὺς τὸ δεύτερον ἐχειρώσατο καὶ πόλεις ἔκτισεν εὐκαίρως πρὸς τὰς τῶν ἀφισταμένων κολάσεις.

κε'. Ἀπόστασις τρίτη Σογδιανῶν, καὶ ἅλωσις τῶν εἰς τὴν Πέτραν καταφυγόντων.

κϛ'. Περὶ τοῦ ἐν Βασίστοις κυνηγίου καὶ τοῦ πλήθους τῶν ἐν αὐτῷ θηρίων.

κζ'. Περὶ τῆς εἰς τὸν Διόνυσον ἁμαρτίας καὶ τῆς παρὰ τὸν πότον ἀναιρέσεως Κλείτου.

κη'. Περὶ τῆς Καλλισθένους τελευτῆς.

κθ'. Στρατεία τοῦ βασιλέως εἰς τοὺς καλουμένους Ναύτακας, καὶ φθορὰ τῆς δυνάμεως ὑπὸ πολλῆς χιόνος.

158 λ'. Ὡς Ἀλέξανδρος ἐρασθεὶς Ῥωξάνης τῆς Ὀξυάρτου, ἔγημεν αὐτήν, καὶ τῶν φίλων πολλοὺς ἔπεισε γῆμαι τὰς τῶν ἐπισήμων βαρβάρων θυγατέρας.

λα'. Παρασκευὴ τῆς ἐπὶ [ Ναύτακας τοὺς ] Ἰνδοὺς στρατείας.


46. *Ἀρείους* L, caeteri *Ἀῤῥίους* 47. *Πέτρας*] *πέτρας* p. 221. 12. 50. *Παροπαμισάδας*] *Παροπανισάδας* Y, *Παροπαμισάδους* Bas., omisso *τοὺς* 51. *αὐτὴν*] *αὐτῶν* LQ 52. *Ἀρείοις* L, caeteri *Ἀῤῥίοις* 55. *ὡς Ἀλέξανδρος* — 158. 92. *κατέκοψεν* om. Cospus 62. *πρὸς θάνατον*] *πρὸς τὸν θάνατον* L 64. *Ἀλέξανδρος* et 65. *αὐτῶν* om. L 75. *Κλείτου*] *Κλίτου* T 80. *Ῥοξάνης* omnes

158. 82. *τῶν ἐπισήμων* LT Bas., caeteri *ἐπισήμων* 84. *Ναύτακας τοὺς* om. X Bas., asterisco notavit Stephanus

λβ'. Ἐμβολὴ εἰς τὴν Ἰνδικὴν καὶ ἀναίρεσις ἄρδην τοῦ πρώτου ἔθνους πρὸς κατάπληξιν τῶν ἄλλων.

λγ'. Ὡς τὴν Νυσίαν ὀνομαζομένην πόλιν εὐεργέτησε διὰ τὴν ἀπὸ Διονύσου συγγένειαν.

λδ'. Ὡς Μάσσακα πόλιν ὀχυρὰν ἐκπορθήσας τοὺς μισθοφόρους ἅπαντας λαμπρῶς ἀγωνισαμένους κατέκοψεν.

λε'. Ὡς τὴν Ἄορνον καλουμένην Πέτραν, ἀνάλωτον ἀεὶ γεγενημένην, ἐξεπολιόρκησεν.

λϛ'. Ὡς Ταξίλην μὲν τὸν βασιλέα τῶν Ἰνδῶν προσηγάγετο, Πῶρον δὲ μεγάλῃ παρατάξει νικήσας, καὶ τοῦ σώματος κρατήσας, ἀπέδωκε τὴν βασιλείαν αὐτῷ δι' ἀνδραγαθίαν.

λζ'. Ἀπαγγελία τῶν κατὰ τὴν χώραν παραδόξων ὄφεών τε καὶ τῶν φυομένων καρπῶν.

λη'. Ὡς τὰ πλησιόχωρα τῶν ἐθνῶν τὰ μὲν προσηγάγετο τὰ δὲ κατεπολέμησεν.

λθ'. Ὡς τὴν ὑπὸ Σωπείθην τεταγμένην ἐχειρώσατο.

μ'. Περὶ τῆς εὐνομίας τῶν ἐν ταύτῃ τῇ χώρᾳ πόλεων.

μα'. Περὶ τῆς ἀρετῆς τῶν δωρηθέντων Ἀλεξάνδρῳ κυνῶν.

μβ'. Περὶ τῆς ἀφηγήσεως τοῦ Ἰνδῶν βασιλέως.

μγ'. Ὡς τοῦ Ἀλεξάνδρου βουλομένου διαβῆναι τὸν Γάγγην ποταμὸν καὶ στρατεύειν ἐπὶ τοὺς Γανδαρίδας ὀνομαζομένους οἱ Μακεδόνες οὐχ ὑπήκουσαν.

μδ'. Ὡς ὅρια θέμενος τῆς στρατείας ὁ βασιλεὺς ἐπῆλθε τὰ λοιπὰ τῶν Ἰνδῶν.

με'. Ὡς διὰ τοῦ Ἰνδοῦ ποταμοῦ κατέπλευσεν ἐπὶ τὸν κατὰ μεσημβρίαν Ὠκεανόν, καὶ τοξευθεὶς ἐκινδύνευσεν.|

μϛ'. Περὶ τῆς γενομένης μονομαχίας ἐκ προκλήσεως.

μζ'. Περὶ τῶν καταπολεμηθέντων Ἰνδῶν ἐξ ἀμφοτέρων τῶν μερῶν τοῦ ποταμοῦ μέχρι τοῦ Ὠκεανοῦ.

μη'. Περὶ τῶν παραδόσεων καὶ νομίμων παρὰ τοῖς ἐγχωρίοις καὶ τῶν θηριώδη βίον ἐχόντων.

μθ'. Ὡς οἱ τὸν Ὠκεανὸν πλεύσαντες συνέμιξαν Ἀλεξάνδρῳ παρὰ θάλατταν ἐστρατοπεδευκότι, καὶ τὰ κατὰ|τὸν πλοῦν ἀπήγγειλαν.

90. ὀχυρὰν] ἰσχυρὰν Bas. ἐκπορθήσας] ἐκπολιορκήσας LQ 93. ἄορνον] ἄορνιν L 98. αὐτῷ om. T Bas. ἀνδραγαθίαν] ἀνδραγαθίας L 3. Σωπείθην] Σωπείμην TX, Σωπείνην Bas., Σωποίμην T (sic: sed aut hic aut antea scribendum L) 7. περὶ — βασιλέως] *De Phegeo Indiae rege* Cospus: fortasse scribendum ἀφηγήσεως Φηγέως ex c. 93. 9. Γανδαρίδας] Γαγγαρίδας Bas. Cospus 12. καὶ τοξευθεὶς ἐκινδύνευσεν vulgo post Ἰνδῶν posita v. 15. post Ὠκεανὸν ponit Cospus recte: v. c. 99. 14. κατὰ L, caeteri ἐπὶ 19. παραδόσεων καὶ νομίμων] *de miris et laudandis gentium institutis* Cospus, ut παραδόξων se legisse ostendat: v. c. 104. 20. τῶν θηρ.] τὸν θηρ. Bas.



ν'. Ὡς πάλιν ἐκπλεύσαντες πολλὴν τῆς παραθαλαττίας χώρας παρέπλευσαν.

να'. Ὡς τῶν Περσῶν τρισμυρίους νεανίσκους ἐπιλέξας, καὶ παιδεύσας τὰ πολεμικὰ τῶν ἔργων, ἀντίταγμα κατεσκεύασε τῇ Μακεδονικῇ φάλαγγι.

νβ'. Ὡς Ἅρπαλος διὰ τὴν τρυφὴν καὶ τὰς ὑπερβολὰς τῶν δαπανημάτων διαβληθεὶς ἔφυγεν ἐκ Βαβυλῶνος καὶ τοῦ δήμου τῶν Ἀθηναίων ἱκέτης ἐγένετο.

νγ'. Ὡς διαδρὰς ἐκ τῆς Ἀττικῆς ἀνῃρέθη, καὶ τῶν χρημάτων ἑπτακόσια μὲν τάλαντα παρέθετο τοῖς Ἀθηναίοις, τετρακισχίλια δὲ καὶ μισθοφόρους ὀκτακισχιλίους περὶ Ταίναρον τῆς Λακωνικῆς ἀπέλιπεν.

159 νδ'. Ὡς Ἀλέξανδρος τοὺς γεγηρακότας τῶν Μακεδόνων χρεολυτήσας, καὶ καταναλώσας μύρια τάλαντα, ἀπέλυσεν εἰς τὰς πατρίδας.

νε'. Ὡς στασιαζόντων τῶν Μακεδόνων ἐκόλασε τοὺς αἰτίους.

νϛ'. Ὡς Πευκέστης ἤγαγε πρὸς Ἀλέξανδρον ἐκ τῶν Περσῶν ἐπιλέξας τοξότας καὶ σφενδονήτας μυρίους.

νζ'. Ὡς τὰς τάξεις ὁ βασιλεὺς ἐποίησεν ἀναμίξας τοῖς Μακεδόσι τοὺς Πέρσας.

νη'. Ὡς τοῖς ἐπιγόνοις παισὶ μυρίοις οὖσι τὰς δαπάνας καὶ παιδείας μ[ι]σθοὺς ἅπασιν ἐχορήγει.

νθ'. Ὡς Λεωσθένης ἤρξατο κινεῖν τὸν πρὸς Μακεδόνας πόλεμον.

ξ'. Ὡς Ἀλέξανδρος ἐπὶ Κοσσαίους ἐστράτευσεν.

ξα'. Ὡς πορευομένου τοῦ βασιλέως εἰς Βαβυλῶνα προεῖπον οἱ Χαλδαῖοι τῷ Ἀλεξάνδρῳ τελευτήσειν αὐτόν, ἐὰν εἰς τὴν Βαβυλῶνα εἰσέλθῃ.

ξβ'. Ὡς ὁ βασιλεὺς ἐν ἀρχῇ μὲν κατεπλάγη καὶ παρήλλαξε τὴν Βαβυλῶνα, ὕστερον δὲ ὑπὸ τῶν Ἑλληνικῶν φιλοσόφων πεισθεὶς κατήντησεν εἰς τὴν πόλιν.

21. παραθαλαττίας] παραθαλαττίου L 28. φάλαγγι] *contumacius secum agenti* addit Cospus 33. ὡς — 36. ἀπέλιπεν] *Eundem Athenis aufugisse in Taenaron ad milites suos, ac tandem in Cypro interemptum fuisse* Cospus: multo aliter c. 108.

159. 43. μυρίους] *millia viginti* Cospus, recte: v. p. 246. 17. Arrian. VII. 23. 1. 45. τοὺς Πέρσας] Πέρσας LT 47. μισθοὺς om. T Bas. 49. ὡς — πόλεμον] *Vt Leosthenes Atheniensis bellum Lamiacum concitaverit* Cospus: librorum scripturam Λακεδαιμονίους correxit Wesselingius 53. τῷ Ἀλεξάνδρῳ om. T Bas. 54. Βαβυλῶνα] Βαβυλωνίαν T Bas.

ξγ'. Περὶ τοῦ πλήθους τῶν παραγενομένων πρεσβειῶν.

ξδ'. Περὶ τῆς Ἡφαιστίωνος ταφῆς καὶ τοῦ πλήθους τῶν εἰς αὐτὴν δαπανηθέντων χρημάτων.

ξε'. Περὶ τῶν σημείων τῶν γεγενημένων Ἀλεξάνδρῳ καὶ τῆς τελευτῆς αὐτοῦ.

58. πρεσβειῶν] πρεσβέων L 61. γεγενημένων] γενομένων T 62. αὐτοῦ om. T

---

# ΔΙΟΔΩΡΟΥ ΤΟΥ ΣΙΚΕΛΙΩΤΟΥ

# ΒΙΒΛΙΟΘΗΚΗΣ ΙΣΤΟΡΙΚΗΣ

## ΒΙΒΛΟΣ ΕΠΤΑΚΑΙΔΕΚΑΤΗ.

1 Ἡ μὲν πρὸ ταύτης βίβλος, οὖσα τῆς ὅλης συντάξεως ἑκκαιδεκάτη, τὴν ἀρχὴν ἔσχεν ἀπὸ τῆς Φιλίππου τοῦ Ἀμύντου βασιλείας· περιελήφθησαν δ' ἐν αὐτῇ πράξεις αἱ μὲν τοῦ Φιλίππου πᾶσαι μέχρι τῆς τελευτῆς, αἱ δὲ τῶν ἄλλων βασιλέων τε καὶ ἐθνῶν καὶ πόλεων ὅσαι γεγόνασι κατὰ τοὺς τῆς βασιλείας ταύτης χρόνους, ὄντας ἐτῶν εἴκοσι καὶ τεττάρων. ἐν ταύτῃ δὲ τὰς συνεχεῖς πράξεις ἀναγράφοντες ἀρξόμεθα μὲν ἀπὸ τῆς Ἀλεξάνδρου βασιλείας, περιλαβόντες δὲ τὰ τούτῳ τῷ βασιλεῖ πραχθέντα μέχρι τῆς τελευτῆς συναναγράψομεν καὶ τὰ ἅμα τούτοις συντελεσθέντα ἐν τοῖς γνωριζομένοις μέρεσι τῆς οἰκουμένης. οὕτω γὰρ μάλιστα ὑπολαμβάνομεν τὰς πράξεις εὐμνημονεύτους ἔσεσθαι, κεφαλαιωδῶς τεθείσας καὶ συνεχὲς ἐχούσας ταῖς ἀρχαῖς τὸ τέλος. ἐν ὀλίγῳ δὲ χρόνῳ μεγάλας πράξεις οὗτος ὁ βασιλεὺς κατειργάσατο, καὶ διὰ τὴν ἰδίαν σύνεσίν τε καὶ ἀνδρείαν ὑπερεβάλετο τῷ μεγέθει τῶν ἔργων πάντας τοὺς ἐξ αἰῶνος τῇ μνήμῃ παραδεδομένους βασιλεῖς. ἐν ἔτεσι γὰρ δώδεκα καταστρεψάμενος τῆς μὲν Εὐρώπης οὐκ ὀλίγα, τὴν δὲ Ἀσίαν σχεδὸν ἅπασαν, εἰκότως περιβόητον ἔσχε τὴν δόξαν καὶ τοῖς παλαιοῖς ἥρωσι καὶ ἡμιθέοις ἰσάζουσαν. ἀλλὰ γὰρ οὐκ ἀναγκαῖον ἡμῖν ἐν τῷ προοιμίῳ προλαμβάνειν τι τῶν κατωρθωμένων τούτῳ τῷ βασιλεῖ· αὐταὶ γὰρ αἱ κατὰ

160. inscr. om. L, Δ. (τοῦ Σικελιώτου addit Bas.) ἱστοριῶν ιζ Y Bas. 10. τεττάρων] τεσσάρων omnes 14. συναναγράψομεν] ἀναγράψομεν F 15. τῆς οἰκουμένης] τοῖς οἰκουμένοις L 16. τὰς] libri τάς τε 19. δὲ] γὰρ F 22. τῇ μνήμῃ FL, caeteri addunt τῶν ἔργων 28. τούτῳ om. Bas. et mox αἱ

μέρος πράξεις ἱκανῶς μηνύσουσι τὸ μέγεθος τῆς δόξης αὐτοῦ. Ἀλέξανδρος οὖν γεγονὼς κατὰ πατέρα μὲν ἀφ' Ἡρακλέους, κατὰ δὲ μητέρα τῶν Αἰακιδῶν, οἰκείαν ἔσχε τὴν φύσιν καὶ τὴν ἀρετὴν τῆς τῶν προγόνων εὐδοξίας. 161
ἡμεῖς δὲ τοὺς ἁρμόττοντας τῇ γραφῇ χρόνους παραθέντες ἐπὶ τὰς οἰκείας τῆς ὑποκειμένης ἱστορίας πράξεις τρεψόμεθα.

2 Ἐπ' ἄρχοντος γὰρ Ἀθήνησιν Εὐαινέτου Ῥωμαῖοι κατέστησαν ὑπάτους Λεύκιον Φούριον καὶ Γάϊον Μαίνιον. ἐπὶ δὲ τούτων Ἀλέξανδρος διαδεξάμενος τὴν βασιλείαν πρῶτον μὲν τοὺς φονεῖς τοῦ πατρὸς τῆς ἁρμοζούσης τιμωρίας ἠξίωσε· μετὰ δὲ ταῦτα τῆς ταφῆς τοῦ γονέως τὴν ἐνδεχομένην ἐπιμέλειαν ποιησάμενος κατέστησε τὰ κατὰ τὴν ἀρχὴν πολὺ κάλλιον ἢ πάντες προσεδόκησαν. νέος γὰρ ὢν παντελῶς καὶ διὰ τὴν ἡλικίαν ὑπό τινων καταφρονούμενος, πρῶτον μὲν τὰ πλήθη οἰκείοις λόγοις παρεστήσατο πρὸς εὔνοιαν. ἔφη γὰρ ὄνομα μόνον διηλλάχθαι βασιλέως, τὰς δὲ πράξεις χειρισθήσεσθαι μηδὲν καταδεέστερον τῆς ἐπὶ τοῦ πατρὸς γενομένης οἰκονομίας. ἔπειτα ταῖς πρεσβείαις χρηματίσας φιλανθρώπως παρεκάλεσε τοὺς Ἕλληνας τηρεῖν πρὸς αὐτὸν τὴν πατροπαράδοτον εὔνοιαν. τῶν δὲ στρατιωτῶν πυκνὰς ποιησάμενος ἐξοπλισίας μελέτας τε καὶ γυμνασίας πολεμικάς, εὐπειθῆ κατεσκεύασε τὴν δύναμιν. ἔχων δὲ τῆς βασιλείας ἔφεδρον Ἄτταλον τὸν ἀδελφιδοῦν Κλεοπάτρας τῆς ἐπιγαμηθείσης ὑπὸ Φιλίππου, τοῦτον ἔκρινεν ἐκ τοῦ ζῆν μεταστῆσαι· καὶ γὰρ ἐτύγχανε παιδίον ἐκ τῆς Κλεοπάτρας γεγονὸς τῷ Φιλίππῳ τῆς τελευτῆς τοῦ βασιλέως ὀλίγαις πρότερον ἡμέραις. ὁ δ' Ἄτταλος προαπεσταλμένος ἦν εἰς τὴν Ἀσίαν στρατηγὸς τῶν δυνάμεων μετὰ Παρμενίωνος· εὐεργετικὸς δὲ ὢν καὶ ταῖς ὁμιλίαις ἐκθεραπεύων τοὺς στρατιώτας, μεγάλης ἐτύγχανεν ἀποδοχῆς ἐν τῷ στρατοπέδῳ. εὐλόγως οὖν τοῦτον εὐλαβεῖτο μήποτε τῆς ἀρχῆς ἀντιποιήσηται, συνεργοὺς λαβὼν τῶν Ἑλλήνων τοὺς ἐναντιουμένους αὐτῷ. διόπερ τῶν φίλων προχειρισάμενος Ἑκαταῖον ἐξαπέστειλεν εἰς

30. αὐτοῦ] αυτῶν FL   huc respexit Cedrenus vol. I. p. 150. D.
161. 38. Φούριον Cospus, caeteri Φρούριον   39. Μαίνιον Livius, Μάνιον TY, caeteri Μάνλιον   42. τὴν ἐνδεχομένην FL, caeteri τὴν μὲν ἐνδεχομένην   43. ποιησάμενος post ἀρχὴν ponit F   46. πρῶτον μὲν] πρῶτον FL   49. ἐπὶ] ὑπὸ FL   51. παρεκάλεσε] παρεκαλεῖτο L, προσεκαλεῖτο F   52. πρὸς αὐτὸν τὴν] τὴν πρὸς αὐτὸν omnes   56. ἀδελφιδοῦν Wesselingius: libri ἀδελφὸν   61. ἦν om. Bas.   67. αὐτῷ] ἑαυτῷ FL, unde αὑτῷ Wesselingius



τὴν Ἀσίαν μετὰ τῶν ἱκανῶν στρατιωτῶν, δοὺς ἐντολὰς μάλιστα μὲν ἀγαγεῖν ζῶντα τὸν Ἄτταλον, ἐὰν δὲ τοῦτο μὴ δύνηται κατεργάσασθαι, δολοφονῆσαι τὸν ἄνδρα τὴν ταχίστην. οὗτος μὲν οὖν διαβὰς εἰς τὴν Ἀσίαν, καὶ συμμίξας τοῖς περὶ τὸν Παρμενίωνα καὶ Ἄτταλον, ἐπετήρει τὸν καιρὸν τῆς προκεχειρισμένης πράξεως.

Ὁ δὲ Ἀλέξανδρος πυθόμενος πολλοὺς τῶν Ἑλλήνων 3
μετεώρους εἶναι πρὸς καινοτομίαν, εἰς πολλὴν ἀγωνίαν ἐνέπιπτεν. Ἀθηναῖοι μὲν γὰρ Δημοσθένους δημαγωγοῦντος κατὰ τῶν Μακεδόνων τήν τε Φιλίππου τελευτὴν ἀσμένως ἤκουσαν καὶ τῆς ἡγεμονίας τῶν Ἑλλήνων οὐκ ἐξεχώρουν τοῖς Μακεδόσι· διαπρεσβευσάμενοι δὲ πρὸς Ἄτταλον ἐν ἀποῤῥήτοις συνετίθεντο κοινοπραγίαν, καὶ πολλὰς τῶν πόλεων προετρέποντο τῆς ἐλευθερίας ἀντέχεσθαι· Αἰτωλοὶ δὲ κατάγειν τοὺς ἐξ Ἀκαρνανίας φυγάδας ἐψηφίσαντο διὰ Φιλίππου πεῖραν εἰληφότας τῆς φυγῆς· Ἀμβρακιῶται δὲ πεισθέντες Ἀριστάρχῳ τὴν μὲν ὑπὸ
162 Φιλίππου κατασταθεῖσαν φρουρὰν ἐξέβαλον, τὴν δὲ πόλιν ἐποίησαν δημοκρατεῖσθαι· ὁμοίως δὲ τούτοις Θηβαῖοι τὴν μὲν ἐν τῇ Καδμείᾳ φρουρὰν ἐκβαλεῖν ἐψηφίσαντο, τῷ δ' Ἀλεξάνδρῳ μὴ συγχωρεῖν τὴν τῶν Ἑλλήνων ἡγεμονίαν· Ἀρκάδες δὲ οὔτε Φιλίππῳ συνεχώρησαν τὴν ἡγεμονίαν μόνοι τῶν Ἑλλήνων οὔτ' Ἀλεξάνδρῳ προσέσχον· τῶν δ' ἄλλων Πελοποννησίων Ἀργεῖοι καὶ Ἠλεῖοι καὶ Λακεδαιμόνιοι καί τινες ἕτεροι πρὸς τὴν αὐτονομίαν ὥρμησαν· τῶν δὲ ὑπεροικούντων τὴν Μακεδονίαν ἐθνῶν οὐκ ὀλίγα πρὸς ἀπόστασιν ὥρμα, καὶ πολλὴ ταραχὴ κατεῖχε τοὺς τῇδε κατοικοῦντας βαρβάρους. ἀλλ' ὅμως τηλικούτων πραγμάτων καὶ τοσούτων φόβων κατεχόντων τὴν βασιλείαν Ἀλέξανδρος νέος ὢν παντελῶς ἅπαντα τὰ κατὰ τὴν ἀρχὴν δυσχερῆ παραδόξως καὶ συντόμως κατεστήσατο. οὓς μὲν γὰρ πειθοῖ διὰ τῆς ὁμιλίας προσηγάγετο, οὓς δὲ φόβῳ διωρθώσατο, τινὰς δὲ
βίᾳ χειρωσάμενος ὑπηκόους ἐποιήσατο. πρώτους δὲ Θετ- 4

70. τοῦτο] τοῦτον F   75. ὁ om. T: ἀλ. δὲ Bas.   78. τῶν om. F   81. διαπρεσβευσάμενοι] διαπρεσβευόμενοι F   ἀποῤῥήτοις] ἀποῤῥήτῳ FL   82. κοινοπραγίαν] κοινοπραγίας F
162. 89. τῇ om. L   90. δ' Bas.   92. μόνοι om. Bas.   94. Ἀργεῖοι] Ἀργεῖοι μὲν FL   97. ὥρμα] ὥρμησε F   99. τηλικούτων] μετὰ τηλικούτων F et L vel T   100. κατεχόντων] κατέχων F et L vel T   1. τὰ] τε τὰ Bas.   τὴν ἀρχὴν] ἀρχὴν L   4. ὑπηκόους LT Bas., ἐπηκόους F, caeteri καὶ αὐτοὺς praemittunt, quae asterisco notavit Stephanus

ταλοὺς ὑπομνήσας τῆς ἀρχαίας ἀφ᾽ Ἡρακλέους συγγενείας, καὶ λόγοις φιλανθρώποις ἔτι δὲ μεγάλαις ἐπαγγελίαις μετεωρίσας, ἔπεισε τὴν πατροπαράδοτον ἡγεμονίαν τῆς Ἑλλάδος αὐτῷ συγχωρῆσαι κοινῷ τῆς Θετταλίας δόγματι. μετὰ δὲ τούτους τὰ συνορίζοντα τῶν ἐθνῶν εἰς τὴν ὁμοίαν εὔνοιαν προσαγαγόμενος παρῆλθεν εἰς Πύλας, καὶ τὸ τῶν Ἀμφικτυόνων συνέδριον συναγαγὼν ἔπεισεν ἑαυτῷ κοινῷ δόγματι δοθῆναι τὴν τῶν Ἑλλήνων ἡγεμονίαν. τοῖς δ᾽ Ἀμβρακιώταις διαπρεσβευόμενος καὶ φιλανθρώπως ὁμιλήσας ἔπεισεν αὐτοὺς βραχὺ προειληφέναι τὴν μέλλουσαν ὑπ᾽ αὐτοῦ δίδοσθαι μετὰ προθυμίας αὐτονομίαν. πρὸς δὲ τὴν κατάπληξιν τῶν ἀπειθούντων ἦγε τὴν δύναμιν τῶν Μακεδόνων κεκοσμημένην καταπληκτικῶς. ὀξείαις δὲ ταῖς ὁδοιπορίαις χρησάμενος ἧκεν εἰς τὴν Βοιωτίαν, καὶ πλησίον τῆς Καδμείας καταστρατοπεδεύσας ἐπέστησε τὸν φόβον τῇ πόλει τῶν Θηβαίων. καθ᾽ ὃν δὴ χρόνον Ἀθηναῖοι πυθόμενοι τὴν εἰς Βοιωτίαν πάροδον τοῦ βασιλέως, τῆς προϋπαρχούσης καταφρονήσεως ἀπέστησαν. ἡ γὰρ ὀξύτης τοῦ νεανίσκου καὶ ἡ διὰ τῶν πράξεων ἐνέργεια τοὺς ἀλλοτριοφρονοῦντας μεγάλως ἐξέπληττε. διόπερ Ἀθηναῖοι τὰ μὲν ἀπὸ τῆς χώρας ἐψηφίσαντο κατακομίζειν, τῶν δὲ τειχῶν τὴν ἐνδεχομένην ἐπιμέλειαν ποιεῖσθαι. πρὸς δὲ τὸν Ἀλέξανδρον πρέσβεις ἐξαπέστειλαν, ἀξιοῦντες συγγνώμην ἔχειν, εἰ τὴν ἡγεμονίαν μὴ ταχέως συγχωροῦσιν. ἐν δὲ τοῖς πρέσβεσι καὶ Δημοσθένης ἐκπεμφθεὶς οὐ συνῆλθε μετὰ τῶν ἄλλων πρὸς τὸν Ἀλέξανδρον, ἀλλ᾽ ἐκ τοῦ Κιθαιρῶνος ἀνέκαμψεν εἰς τὰς Ἀθήνας, εἴτε διὰ τὰ πεπολιτευμένα κατὰ Μακεδόνων φοβηθεὶς εἴτε βουλόμενος τῷ βασιλεῖ τῶν Περσῶν ἄμεμπτον αὐτὸν διαφυλάττειν. πολλὰ γὰρ χρήματά φα- 163
σιν αὐτὸν εἰληφέναι παρὰ Περσῶν, ἵνα πολιτεύηται κατὰ Μακεδόνων· περὶ ὧν καὶ τὸν Αἰσχίνην φασὶν ὀνειδίζοντα τῷ Δημοσθένει κατά τινα λόγον τὴν δωροδοκίαν εἰπεῖν, Νῦν μέντοι τὴν δαπάνην ἐπικέκλυκεν αὐτοῦ τὸ βασιλι-

10. αὐτῷ] ἑαυτῷ L, unde αὑτῷ Wesselingius 11. τοὺς συνορίζοντας] scripsi τὰ συνορίζοντα, ut est p. 219. 9. 235. 72. 258. 77. 12. προαγαγόμενος] libri προσαγαγόμενος 14. ἔπεισεν ἑαυτῷ F, caeteri ἔπεισε 17. βραχὺ] βραχεῖ F 22. καταστρατοπεδεύσας] καταστρατοπεδευσάμενος X 23. τὸν φόβον τῇ πόλει] τῇ πόλει τὸν φόβον Bas. 30. τὴν ἐνδεχ. ἐπιμέλειαν] ἐπιμέλειαν τὴν ἐνδεχ. FL 31. πρέσβεις ἐξαπέστειλαν] ἔπεμπον πρεσβείαν F 32. εἰ] εἰς F 34. πρὸς] εἰς L 35. ἀνέκαμψεν] ἀνέκαμπτεν F 163. 39. αὐτὸν om. F 43. ἐπικέκλυκεν] ἐπικέκληκεν Bas., omisso αὐτοῦ



κὸν χρυσίον. ἔσται δὲ οὐδὲ τοῦτο ἱκανόν· οὐδεὶς γὰρ πώποτε πλοῦτος τρόπου πονηροῦ περιεγένετο. ὁ δὲ Ἀλέξανδρος τοῖς πρέσβεσι τῶν Ἀθηναίων φιλανθρώπους ἀποκρίσεις δοὺς ἀπέλυσε τοῦ πολλοῦ φόβου τὸν δῆμον. τοῦ δ᾽ Ἀλεξάνδρου παραγγείλαντος εἰς Κόρινθον ἀπαντᾶν τάς τε πρεσβείας καὶ τοὺς συνέδρους, ἐπειδὴ συνῆλθον οἱ συνεδρεύειν εἰωθότες, διαλεχθεὶς ὁ βασιλεὺς καὶ λόγοις ἐπιεικέσι χρησάμενος ἔπεισε τοὺς Ἕλληνας ψηφίσασθαι στρατηγὸν αὐτοκράτορα τῆς Ἑλλάδος εἶναι τὸν Ἀλέξανδρον καὶ συστρατεύειν ἐπὶ τοὺς Πέρσας ὑπὲρ ὧν εἰς τοὺς Ἕλληνας ἐξήμαρτον. τυχὼν δὲ ταύτης τῆς τιμῆς ὁ βασιλεὺς ἐπανῆλθε μετὰ τῆς δυνάμεως εἰς Μακεδονίαν.

Ἡμεῖς δ᾽ ἐπεὶ τὰ κατὰ τὴν Ἑλλάδα διήλθομεν, μετα- 5
βιβάσομεν τὸν λόγον ἐπὶ τὰς κατὰ τὴν Ἀσίαν πράξεις. μετὰ γὰρ τὴν Φιλίππου τελευτὴν Ἄτταλος τὸ μὲν πρῶτον ἐπεχείρει νεωτερίζειν καὶ πρὸς Ἀθηναίους συνετίθετο κοινοπραγίαν κατ᾽ Ἀλεξάνδρου, ὕστερον δὲ μετανοήσας τὴν μὲν ἀποδοθεῖσαν αὐτῷ παρὰ Δημοσθένους ἐπιστολὴν τηρήσας ἀπέστειλε πρὸς Ἀλέξανδρον, καὶ λόγοις φιλανθρώποις ἐπειρᾶτο τὰς καθ᾽ ἑαυτοῦ διαβολὰς ἀποτρίψασθαι· τοῦ δ᾽ Ἑκαταίου κατὰ τὰς τοῦ βασιλέως ἐντολὰς δολοφονήσαντος τὸν Ἄτταλον, ἡ μὲν κατὰ τὴν Ἀσίαν τῶν Μακεδόνων δύναμις ἐπαύσατο τοῦ μετεωρίζεσθαι πρὸς ἀπόστασιν, τοῦ μὲν Ἀττάλου πεφονευμένου, τοῦ δὲ Παρμενίωνος οἰκειότατα διακειμένου πρὸς τὸν Ἀλέξανδρον, περὶ δὲ τῆς τῶν Περσῶν βασιλείας μέλλοντας ἡμᾶς ἀναγράφειν ἀναγκαῖόν ἐστι βραχὺ τοῖς χρόνοις προαναλαβεῖν τὴν ἱστορίαν. Φιλίππου γὰρ ἔτι βασιλεύοντος ἦρχε τῶν Περσῶν Ὦχος, καὶ προσεφέρετο τοῖς ὑποτεταγμένοις ὠμῶς καὶ βιαίως. μισουμένου δὲ αὐτοῦ διὰ τὴν χαλεπότητα τῶν τρόπων, Βαγώας ὁ χιλίαρχος, εὐνοῦχος μὲν ὢν τὴν ἕξιν, πονηρὸς δὲ καὶ πολεμικὸς τὴν φύσιν, ἀνεῖλε φαρμάκῳ τὸν Ὦχον διά τινος ἰατροῦ, τὸν δὲ νεώτατον τῶν υἱῶν τοῦ βασιλέως Ἀρσὴν εἰσήγαγεν εἰς τὴν βασιλείαν. ἀνεῖλε δὲ καὶ τοὺς ἀδελφοὺς τοῦ βασιλέως, ὄντας νέους παντελῶς, ὅπως μονωθεὶς ὁ νεανίσκος μᾶλλον ὑπήκοος αὐτῷ γένηται. τοῦ δὲ μειρα-

44. ἔσται δὲ οὐδὲ τοῦτο TX Bas., ἔσται δὲ οὐδ᾽ οὕτω L, ἔσται δὲ τούτῳ οὐδ᾽ οὕτω F, caeteri ἔσται δὲ τούτῳ οὐδὲ τοῦτο, quorum τούτῳ asterisco notavit Stephanus 47. δοὺς] διδοὺς F 56. τῆς δυνάμεως FL, caeteri δυνάμεως 59. μεταβιβάσομεν τὸν λόγον] τρεψόμεθα πάλιν FL 66. ἀποτρίψασθαι FL, caeteri ἀποτρίβεσθαι 71. πρὸς τὸν Ἀλ. FL, caeteri πρὸς Ἀλ. 83. ὄντας νέους] νέους ὄντας F

κίου ταῖς γενομέναις παρανομίαις προςκόπτοντος, καὶ φανεροῦ καθεστῶτος ὅτι τιμωρήσεται τὸν αὐθέντην τῶν ἀνομημάτων, φθάσας αὐτοῦ τὰς ἐπιβουλὰς ὁ Βαγώας ἀνεῖλε τὸν Ἀρσὴν μετὰ τῶν τέκνων τρίτον ἔτος ἤδη βασιλεύοντα. ἐρήμου δ' ὄντος τοῦ βασιλέως οἴκου, καὶ [164] μηδενὸς ὄντος τοῦ* κατὰ γένος διαδεξομένου τὴν ἀρχήν, προχειρισάμενος ἕνα τῶν φίλων Δαρεῖον ὄνομα, τούτῳ συγκατεσκεύασε τὴν βασιλείαν. οὗτος δ' ἦν υἱὸς μὲν Ἀρσάνου τοῦ Ὀστάνου, ὃς ἦν ἀδελφὸς Ἀρταξέρξου τοῦ Περσῶν βασιλεύσαντος. ἴδιον δέ τι συνέβη περὶ τὸν Βαγώαν γενέσθαι καὶ μνήμης ἄξιον. χρώμενος γὰρ τῇ συνήθει μιαιφονίᾳ τὸν Δαρεῖον ἐπεβάλετο διὰ φαρμακείας ἀνελεῖν· μηνυθείσης δὲ τῆς ἐπιβουλῆς, ὁ βασιλεὺς ὡς ἐπί τινι φιλανθρωπίᾳ προςκαλεσάμενος τὸν Βαγώαν, καὶ δοὺς τὸ ποτήριον, ἠνάγκασε πιεῖν τὸ φάρμακον.

6 ἠξιώθη δὲ τῆς βασιλείας ὁ Δαρεῖος δοκῶν πολὺ προέχειν ἀνδρείᾳ Περσῶν. Ἀρταξέρξου γάρ ποτε τοῦ βασιλέως πολεμοῦντος πρὸς Καδουσίους, καί τινος τῶν Καδουσίων ἐπ' ἀλκῇ καὶ ἀνδρείᾳ διαβεβοημένου, καὶ προκαλεσαμένου τὸν βουλόμενον Περσῶν μονομαχῆσαι, ἄλλος μὲν οὐδεὶς ἐτόλμησεν ὑπακοῦσαι, μόνος δὲ Δαρεῖος ὑποστὰς τὸν κίνδυνον τὸν προκαλεσάμενον ἀπέκτεινε, καὶ ὑπὸ μὲν τοῦ βασιλέως μεγάλαις ἐτιμήθη δωρεαῖς, παρὰ δὲ τοῖς Πέρσαις τὸ πρωτεῖον τῆς ἀνδρείας ἀπηνέγκατο. διὰ ταύτην δὴ τὴν ἀνδραγαθίαν ἄξιος τῆς βασιλείας νομισθείς, παρέλαβε τὴν ἀρχὴν περὶ τούτους τοὺς χρόνους ἐν οἷς Φιλίππου τελευτήσαντος διεδέξατο τὴν βασιλείαν Ἀλέξανδρος. τοιοῦτον δ' ἄνδρα τῆς τύχης παραδούσης ἀντίπαλον τῇ κατ' Ἀλέξανδρον ἀρετῇ, συνέβη πολλοὺς καὶ μεγάλους ἀγῶνας συστῆναι περὶ τοῦ πρωτείου. ἀλλὰ περὶ μὲν τούτων αἱ κατὰ μέρος πράξεις ἕκαστα δηλώσουσιν· ἡμεῖς δ' ἐπὶ τὸ συνεχὲς τῆς ἱστορίας τρεψόμεθα.

7 Δαρεῖος γὰρ παραλαβὼν τὴν βασιλείαν πρὸ μὲν τῆς Φιλίππου τελευτῆς ἐφιλοτιμεῖτο τὸν μέλλοντα πόλεμον εἰς τὴν Μακεδονίαν ἀποστρέψαι· ἐκείνου δὲ τελευτήσαντος ἀπελύθη τῆς ἀγωνίας, καταφρονήσας τῆς Ἀλεξάνδρου νεότητος. ἐπεὶ δ' ἡ τῶν πράξεων ἐνέργεια καὶ

85. *γενομέναις*] *γινομέναις* F 87. *φθάσας* FLQTXY, caeteri *φωράσας*
164. 93. *μὲν* om. F *Ἀρσάνου*] *Ὀορσάνου* T *τοῦ Ὀστάνου* om. LX Bas., Cospus, asterisco notavit Stephanus
94. *βασιλεύσαντος*] *βασιλεύοντος* F 97. *φαρμακίας* Bas. 6. *προκαλεσαμένου*] *προςκαλεσαμένου* FL 8. *ὑπακοῦσαι*] *ἐπακοῦσαι* FL 9. *ὑπὸ*] *ἀπὸ* F 12. *τῆς* om. F



ὀξύτης ἐποίησε μὲν τὴν τῶν Ἑλλήνων ἡγεμονίαν πᾶσαν ἀναλαβεῖν, καὶ τὴν ἀρετὴν τοῦ νεανίσκου γενέσθαι περιβόητον, τότε δὴ νουθετηθεὶς τοῖς ἔργοις ὁ Δαρεῖος ἐπιμέλειαν μεγάλην ἐποιεῖτο τῶν δυνάμεων, τριήρεις τε πολλὰς κατασκευαζόμενος καὶ πολλὰς δυνάμεις ἀξιολόγους συνιστάμενος, ἡγεμόνας τε τοὺς ἀρίστους προκρί- [165] νων, ἐν οἷς ὑπῆρχε καὶ Μέμνων ὁ Ῥόδιος, διαφέρων ἀνδρείᾳ καὶ συνέσει στρατηγικῇ. τούτῳ δὲ δοὺς ὁ βασιλεὺς μισθοφόρους πεντακιςχιλίους προςέταξε παρελθεῖν ἐπὶ πόλιν Κύζικον, καὶ πειρᾶσθαι ταύτην χειρώσασθαι. οὗτος μὲν οὖν μετὰ τοσούτων στρατιωτῶν προῆγε διὰ τῆς Ἴδης· τὸ δ' ὄρος τοῦτο μυθολογοῦσί τινες τυχεῖν ταύτης τῆς προςηγορίας ἀπὸ τῆς Μελισσέως Ἴδης. μέγιστον δὲ ὑπάρχον τῶν κατὰ τὸν Ἑλλήςποντον ἔχει κατὰ τὸ μέσον ἄντρον θεοπρεπές, ἐν ᾧ φασι κριθῆναι τὰς θεὰς ὑπ' Ἀλεξάνδρου. γενέσθαι δ' ἐν τούτῳ λέγεται καὶ τοὺς Ἰδαίους Δακτύλους, οὓς σίδηρον ἐργάσασθαι πρώτους, μαθόντας τὴν ἐργασίαν παρὰ τῆς τῶν θεῶν μητρός. ἴδιον δέ τι καὶ παράδοξον συμβαίνει γίνεσθαι περὶ τοῦτο τὸ ὄρος. κατὰ γὰρ τὴν τοῦ κυνὸς ἐπιτολὴν ἐπ' ἄκρας τῆς κορυφῆς διὰ τὴν νηνεμίαν τοῦ περιέχοντος ἀέρος ὑπερπετῆ γίνεσθαι τὴν ἄκραν τῆς τῶν ἀνέμων πνοῆς. ὁρᾶσθαι δὲ τὸν ἥλιον ἔτι τῆς νυκτὸς οὔσης ἀνατέλλοντα, τὰς ἀκτῖνας οὐκ ἐν κυκλοτερεῖ σχήματι τετραμμένον, ἀλλὰ τὴν φλόγα κατὰ πολλοὺς τόπους ἔχοντα διεσπαρμένην, ὥστε δοκεῖν πυρὰ πλείω θιγγάνειν τοῦ τῆς γῆς ὁρίζοντος. μετ' ὀλίγον δὲ συνάγεται ταῦτα πρὸς ἓν μέγεθος, ἕως ἂν γένηται τρίπλεθρον διάστημα· καὶ τότε ἤδη τῆς ἡμέρας ἐπιλαβούσης τὸ φαινόμενον τοῦ ἡλίου μέγεθος πληρωθὲν τὴν τῆς ἡμέρας διάθεσιν κατασκευάζει. ὁ δ' οὖν Μέμνων διελθὼν τὴν ὀρεινὴν ἄφνω τῇ πόλει τῶν Κυζικηνῶν προςέπεσε, καὶ παρ' ὀλίγον αὐτῆς ἐκυρίευσεν· ἀποπεσὼν δὲ τῆς ἐπιβολῆς τὴν χώραν αὐτῶν ἐπόρθησε καὶ πολλῶν λαφύρων ἐκυρίευσεν. ἅμα

29. *δὴ* om. Bas. 30. *μεγάλην* L Bas., caeteri *μὲν μεγάλην* 31. *τριήρεις τε* FL, caeteri *τριήρεις δὲ* 32. *πολλὰς δυνάμεις*] scribendum videtur *δυνάμεις*: v. ad l. 522, 60.
165. 39. *τὸ δ' ὄρος* — 42. *Ἑλλήςποντον*] *ἡ δὲ, μέγιστον ὑπάρχων τῶν κατὰ τὴν Ἴδην* L, *ἡ δὲ μέγιστον τῶν ὑπαρχόντων κατὰ τὸν ἑλλήςποντον* et in marg. *γρ. μέγιστον δὲ ὑπάρχονται κατὰ τὴν ἴδην* F, nescio an omissis *τὸ δ' ὄρος* — *Μελισσέως Ἴδης*
47. *γίνεσθαι*] *γίγνεσθαι* L, margo F, qui ipse *γενέσθαι*
53. *τετραμμένον*] *μένοντα* FL 57. *τρίπλεθρον*] *τρίπλευρον* L 61. *τῇ πόλει* asterisco notavit Stephanus *προςέπεσε καὶ παρ'*] *ἐθεάσατο καὶ προςπεσὼν αὐτῇ παρ'* X, *καὶ προςπεσὼν ἀντιπροςέπεσε καὶ παρ'* L 62. *ἀποπεσὼν*] *ἀποτυχὼν* X

δὲ τούτοις πραττομένοις Παρμενίων Γρύνειον μὲν πόλιν ἑλὼν κατὰ κράτος ἐξηνδραποδίσατο· Πιτάνην δὲ πολιορκοῦντος αὐτοῦ Μέμνων ἐπιφανεὶς καὶ καταπληξάμενος τοὺς Μακεδόνας ἔλυσε τὴν πολιορκίαν. μετὰ δὲ ταῦτα Κάλλας μὲν ἔχων Μακεδόνας καὶ μισθοφόρους στρατιώτας ἐν τῇ Τρῳάδι συνῆψε μάχην πρὸς τοὺς Πέρσας, ὄντας πολλαπλασίους, καὶ λειφθεὶς ἀπεχώρησεν εἰς τὸ Ῥοίτειον. καὶ τὰ μὲν κατὰ τὴν Ἀσίαν ἐν τούτοις ἦν.

8 Ἀλέξανδρος δὲ τὰς κατὰ τὴν Ἑλλάδα ταραχὰς καταπαύσας, ἐστράτευσεν ἐπὶ τὴν Θρᾴκην, καὶ πολλὰ μὲν ἔθνη Θρᾴκια ταραττόμενα καταπληξάμενος ὑποταγῆναι κατηνάγκασεν· ἐπῆλθε δὲ καὶ τὴν Παιονίαν καὶ τὴν Ἰλλυρίδα καὶ τὰς ὁμόρους ταύταις χώρας, καὶ πολλοὺς τῶν 166 κατοικούντων βαρβάρων ἀφεστηκότας χειρωσάμενος ὑπηκόους πάντας τοὺς πλησιοχώρους βαρβάρους ἐποιήσατο. περὶ ταῦτα δ' ὄντος αὐτοῦ παρῆσάν τινες ἀπαγγέλλοντες πολλοὺς τῶν Ἑλλήνων νεωτερίζειν καὶ πολλὰς τῆς Ἑλλάδος πόλεις πρὸς ἀπόστασιν ὡρμηκέναι, μάλιστα δὲ Θηβαίους. ἐπὶ δὲ τούτοις ὁ βασιλεὺς παροξυνθείς, ἐπανῆλθεν εἰς τὴν Μακεδονίαν, σπεύδων τὰς κατὰ τὴν Ἑλλάδα παῦσαι ταραχάς. Θηβαίων δὲ τὴν ἐν τῇ Καδμείᾳ φρουρὰν ἐκβαλεῖν φιλοτιμουμένων, καὶ πολιορκούντων τὴν ἄκραν, ἧκεν ὁ βασιλεὺς ἄφνω πρὸς τὴν πόλιν, καὶ κατεστρατοπέδευσε πλησίον τῶν Θηβῶν μετὰ πάσης τῆς δυνάμεως. οἱ δὲ Θηβαῖοι πρὸ μὲν τῆς τοῦ βασιλέως παρουσίας τὴν Καδμείαν τάφροις βαθείαις καὶ σταυρώμασι πυκνοῖς περιέλαβον, ὥςτε μήτε βοήθειαν αὐτοῖς δύνασθαι μήτ' ἀγορὰν εἰςπέμψαι. πρὸς δὲ Ἀρκάδας καὶ Ἀργείους ἔτι δὲ Ἠλείους πρεσβεύσαντες ἠξίουν βοηθεῖν. ὁμοίως δὲ καὶ πρὸς Ἀθηναίους περὶ συμμαχίας ἐπρέσβευσαν, καὶ παρὰ Δημοσθένους ὅπλων πλῆθος ἐν δωρεαῖς λαβόντες τοὺς ἀνόπλους καθώπλιζον. τῶν δ' ἐπὶ τὴν βοήθειαν παρακεκλημένων οἱ μὲν ἐν Πελοποννήσῳ στρατιώτας ἐξέπεμψαν ἐπὶ τὸν Ἰσθμὸν καὶ διατρίβοντες ἐκαραδόκουν, προσδοκίμου τοῦ βασιλέως ὄντος. Ἀθηναῖοι δ' ἐψηφίσαντο μὲν βοηθεῖν τοῖς Θηβαίοις πεισθέντες ὑπὸ Δημοσθένους, οὐ μέντοι γε τὴν δύναμιν ἐξέπεμψαν, κα-

65. Γρύνειον] libri Γρύνιον ἐξηνδραποδίσατο] ἐξηνδραπόδισε FL 72. Ῥοίτειον] libri Ῥοίτιον 76. καταπληξάμενος] ἐκπληξάμενος L
166. 86. τὴν om. F 88. ἐκβαλεῖν FL, caeteri ἐκβάλλειν καὶ] δὲ καὶ F 91. τῆς om. F 94. περιέλαβον Wesselingius: libri περιέβαλον ὥςτε — 95. δύνασθαι] ὅπως — δύνηται FL 98. ἐπρέσβευσαν FL, caeteri ἐπρέσβευον 99. δωρεαῖς FL, caeteri δωρεᾷ 100. τῶν] ὄντων F 2. ἐπὶ τὸν Ἰ.] εἰς τὸν Ἰ. FL



ραδοκοῦντες τὴν ῥοπὴν τοῦ πολέμου. ὁ δὲ τῆς ἐν τῇ Καδμείᾳ φρουρᾶς ἡγούμενος Φιλώτας, ὁρῶν τοὺς Θηβαίους μεγάλας παρασκευὰς ποιουμένους πρὸς τὴν πολιορκίαν, καὶ τὰ τείχη φιλοτιμότερον κατεσκεύασε καὶ βελῶν παντοδαπῶν πλῆθος ἡτοιμάσατο. ἐπεὶ δ' ὁ βα- 9 σιλεὺς ἀνελπίστως ἐκ τῆς Θρᾴκης ἧκε μετὰ πάσης τῆς δυνάμεως, αἱ μὲν συμμαχίαι τοῖς Θηβαίοις δισταζομένην εἶχον τὴν παρουσίαν, ἡ δὲ τῶν πολεμίων δύναμις ὁμολογουμένην καὶ φανερὰν ἐποιεῖτο τὴν ὑπεροχήν. τότε δὲ συνεδρεύσαντες οἱ ἡγεμόνες προεβουλεύσαντο περὶ τοῦ πολέμου, καὶ πᾶσιν ἔδοξεν ὑπὲρ τῆς αὐτονομίας διαγωνίζεσθαι. τοῦ δὲ πλήθους ἐπικυρώσαντος τὴν γνώμην, ἅπαντες μετὰ πολλῆς προθυμίας εἶχον ἑτοίμως διακινδυνεύειν. ὁ δὲ βασιλεὺς τὸ μὲν πρῶτον ἡσυχίαν ἦγε, διδοὺς μετανοίας χρόνον εἰς τὸ βουλεύσασθαι, καὶ νομίζων μὴ τολμήσειν μίαν πόλιν πρὸς τηλικαύτην δύναμιν παρατάξασθαι. εἶχε γὰρ ὁ Ἀλέξανδρος κατὰ τοῦτον τὸν καιρὸν πεζοὺς μὲν πλείους τῶν τριςμυρίων, ἱππεῖς δ' οὐκ ἐλάττους τῶν τριςχιλίων, πάντας δ' ἐνηθληκότας τοῖς πολεμικοῖς κινδύνοις καὶ συνεστρατευμένους Φιλίππῳ καὶ σχεδὸν ἐν πάσαις ταῖς μάχαις ἀηττήτους γεγονό-
167 τας· ὧν δὴ ταῖς ἀρεταῖς καὶ προθυμίαις πεποιθὼς Ἀλέξανδρος ἐπεβάλετο καταλῦσαι τὴν τῶν Περσῶν ἡγεμονίαν. εἰ μὲν οὖν οἱ Θηβαῖοι τοῖς καιροῖς εἴξαντες διεπρεσβεύοντο πρὸς τοὺς Μακεδόνας ὑπὲρ εἰρήνης καὶ συνθέσεως, ἡδέως ἂν ὁ βασιλεὺς προςεδέξατο τὰς ἐντεύξεις, καὶ πάντα ἂν ἀξιούμενος συνεχώρησεν· ἐπεθύμει γὰρ τὰς κατὰ τὴν Ἑλλάδα ταραχὰς ἀποτριψάμενος ἀπερίσπαστον ἔχειν τὸν πρὸς τοὺς Πέρσας πόλεμον· νῦν δὲ δόξας ὑπὸ τῶν Θηβαίων καταφρονεῖσθαι διέγνω τὴν πόλιν ἄρδην ἀνελεῖν καὶ τῷ φόβῳ τούτῳ τὰς ὁρμὰς τῶν ἀφίστασθαι τολμώντων ἀποτρέψαι. διόπερ τὴν δύναμιν ἑτοίμην κατασκευάσας πρὸς τὸν κίνδυνον ἐκήρυξε τὸν βουλόμενον Θηβαίων ἀπιέναι πρὸς αὐτὸν καὶ μετέχειν τῆς κοινῆς τοῖς Ἕλλησιν εἰρήνης. οἱ δὲ Θηβαῖοι

9. καὶ τὰ] τὰ Bas. 10. ἡτοιμάσατο FL, caeteri ἡτοιμάζετο 13. ἧκεν post ἀνελπίστως ponit F 20. εἶχον ἑτοίμως] invertit F 21. τὸ μὲν πρῶτον FL, τότε μὲν TX Bas., caeteri τότε μὲν πρῶτον, quorum postremum asterisco notavit Stephanus ἦγε] εἶχε F 22. χρόνον] χρόνους FL 23. τολμήσειν] τολμῆσαι FL 24. γὰρ] δὲ FL 26. τῶν τριςχιλίων] τριςχιλίων T Bas.
167. 31. τῶν om. Bas. 32. οἱ om. Bas. 33. ὑπὲρ] περὶ FL 37. ἀποτριψ.] ἀποτρεψ. L, ἀποστρεψ. F 41. ἀποτρέψαι] ἀποστρέψαι L 43. Θηβαίων] Θηβαῖον L

διαφιλοτιμηθέντες ἀντεκήρυξαν ἀπό τινος ὑψηλοῦ πύργου τὸν βουλόμενον μετὰ τοῦ μεγάλου βασιλέως καὶ Θηβαίων ἐλευθεροῦν τοὺς Ἕλληνας καὶ καταλύειν τὸν τῆς Ἑλλάδος τύραννον παρεῖναι πρὸς αὐτούς. ὅθεν Ἀλέξανδρος περιαλγὴς γενόμενος εἰς ὑπερβάλλουσαν ὀργὴν προῆλθε, καὶ πάσῃ τιμωρίᾳ τοὺς Θηβαίους μετελθεῖν ἔκρινεν. οὗτος μὲν οὖν ἀποθηριωθεὶς τὴν ψυχὴν μηχανάς τε πολιορκητικὰς συνεστήσατο καὶ τἄλλα πρὸς τὸν κίνδυνον παρεσκευάζετο.

10 οἱ δ' Ἕλληνες πυθόμενοι τὸ μέγεθος τῶν περὶ τοὺς Θηβαίους κινδύνων, ἐδυσφόρουν ἐπὶ ταῖς προσδοκωμέναις περὶ αὐτῶν συμφοραῖς. οὐ μὴν βοηθεῖν γ' ἐτόλμων τῇ πόλει διὰ τὸ προπετῶς καὶ ἀβούλως εἰς ὁμολογουμένην ἀπώλειαν ἑαυτὴν δεδωκέναι. οἱ δὲ Θηβαῖοι ταῖς μὲν εὐτολμίαις προθύμως ἀνεδέχοντο τοὺς κινδύνους, φήμαις δέ τισι μάντεων καὶ θεῶν σημείοις ἠποροῦντο. πρῶτον μὲν γὰρ ἐν τῷ τῆς Δήμητρος ἱερῷ λεπτὸν ἀράχνης ὕφασμά τι διαπεπετασμένον ὤφθη, τὸ μὲν μέγεθος ἔχον ἱματίου, κύκλῳ δὲ περιφαῖνον ἶριν τῇ κατ' οὐρανὸν ἐοικυῖαν. περὶ οὗ τὸ μὲν ἐν Δελφοῖς χρηστήριον ἔδωκεν αὐτοῖς τόνδε τὸν χρησμόν,

σημεῖον τόδε πᾶσι θεοὶ φαίνουσι βροτοῖσι,
Βοιωτοῖς δὲ μάλιστα καὶ οἳ περιναιετάουσι.

τὸ δὲ πάτριον τῶν Θηβαίων μαντεῖον τοῦτον ἐξήνεγκε τὸν χρησμόν,

ἱστὸς ὑφαινόμενος ἄλλῳ κακόν, ἄλλῳ ἄμεινον.

τοῦτο μὲν οὖν τὸ σημεῖον ἐγένετο τρισὶ μησὶν ἀνωτέρω τῆς Ἀλεξάνδρου παρουσίας ἐπὶ τὰς Θήβας. ὑπ' αὐτὴν δὲ τὴν ἔφοδον τοῦ βασιλέως οἱ κατὰ τὴν ἀγορὰν ἀνδριάντες ἐφάνησαν ἱδρῶτας ἀφιέντες καὶ μεστοὶ σταλαγμῶν μεγάλων. χωρὶς δὲ τούτων ἧκόν τινες τοῖς ἄρχουσιν ἀπαγγέλλοντες τὴν ἐν Ὀγχηστῷ λίμνην μυκήματι παραπλήσιον φωνὴν ἀφιέναι, τῇ δὲ Δίρκῃ κατὰ τὴν ἐπιφάνειαν τοῦ ὕδατος αἱματοειδῆ φρίκην ἐπιτρέχειν. ἕτεροι δὲ ἧκον ἐκ Δελφῶν μηνύοντες ὅτι ὁ ἀπὸ Φωκέων 168 ναός, ὃν ἱδρύσαντο Θηβαῖοι, ᾑματωμένην ἔχων τὴν ὀροφὴν ὁρᾶται. οἱ δὲ περὶ τὴν τῶν σημείων διάκρισιν ἀσχολούμενοι σημαίνειν ἔφασαν τὸ μὲν ὕφασμα θεῶν ἀπὸ τῆς πόλεως χωρισμόν, τὸ δὲ τῆς ἴριδος χρῶμα πραγμάτων ποικίλων χειμῶνα, τὸν δὲ τῶν ἀνδριάντων ἱδρῶτα ὑπερβάλλουσαν κακοπάθειαν, τὸ δ' ἐν πλείοσι τόποις φαινόμενον αἷμα φόνον πολὺν κατὰ τὴν πόλιν ἐσόμενον. συμβουλεύον οὖν τῶν θεῶν φανερῶς σημαινόντων τὴν ἐσομένην τῇ πόλει συμφορὰν μὴ συγκαταβαίνειν εἰς τὸ διὰ μάχης κρίνειν τὸν πόλεμον, ἑτέραν δὲ διάλυσιν ζητεῖν διὰ λόγων ἀσφαλεστέραν. οὐ μὴν οἱ Θηβαῖοί γε ταῖς ψυχαῖς ἐμαλακύνοντο, τοὐναντίον δὲ τοῖς θυμοῖς προαχθέντες ἀνεμίμνησκον ἀλλήλους τὴν ἐν Λεύκτροις εὐημερίαν καὶ τῶν ἄλλων παρατάξεων ἐν αἷς θαυμαστῶς ταῖς ἰδίαις ἀνδραγαθίαις ἀνελπίστους νίκας περιεποιήσαντο. οἱ μὲν οὖν Θηβαῖοι τοῖς παραστήμασιν ἀνδρειότερον μᾶλλον ἢ φρονιμώτερον χρησάμενοι προέπεσον εἰς πανδήμον τῆς πατρίδος ὄλεθρον.

11 ὁ δὲ βασιλεὺς ἐν τρισὶ ταῖς πάσαις ἡμέραις ἑτοιμασάμενος τὰ πρὸς τὴν πολιορκίαν καὶ τὰς δυνάμεις, διείλετο τὴν στρατιὰν εἰς τρία μέρη, καὶ τὸ μὲν τοῖς χαρακώμασι τοῖς πρὸ τῆς πόλεως κατεσκευασμένοις προσβάλλειν ἔταξε, τὸ δὲ τοῖς Θηβαίοις ἀντιτάττεσθαι, τὸ δὲ τρίτον ἐφεδρεύειν τῷ πονοῦντι μέρει τῆς δυνάμεως καὶ διαδέχεσθαι τὴν μάχην. οἱ δὲ Θηβαῖοι τοὺς μὲν ἱππεῖς ἐντὸς τοῦ χαρακώματος ἔταξαν, τοὺς δ' ἐλευθερωθέντας οἰκέτας καὶ τοὺς φυγάδας καὶ τοὺς μετοίκους τοῖς πρὸς τὰ τείχη βιαζομένοις ἀντέταξαν, αὐτοὶ δὲ τοῖς μετὰ τοῦ βασιλέως Μακεδόσι πολλαπλασίοις οὖσι συνάπτειν μάχην πρὸ τῆς πόλεως ἡτοιμάζοντο. τέκνα δὲ καὶ γυναῖκες συνέτρεχον εἰς τὰ ἱερά, καὶ τοὺς θεοὺς ἱκέτευον σῶσαι τὴν πόλιν ἐκ τῶν κινδύνων. ὡς δ' ἤγγισαν οἱ Μακεδόνες καὶ τοῖς τεταγμένοις μέρεσιν ἕκαστοι προσέπεσον, αἱ μὲν σάλπιγγες ἐσήμαινον τὸ πολεμικόν, αἱ δὲ παρ' ἀμφοτέροις δυνάμεις ὑφ' ἕνα καιρὸν συνηλάλαξαν καὶ τὰ κοῦφα τῶν βελῶν ἐπὶ τοὺς πολεμίους ἔβαλον. ταχὺ δὲ τούτων ἐξαναλωθέντων, καὶ πάντων εἰς τὴν ἀπὸ τοῦ ξίφους μάχην συμπεσόντων, μέγας ἀγὼν συνίστατο. οἱ μὲν γὰρ Μακεδόνες διὰ τὸ πλῆθος τῶν ἀνδρῶν καὶ τὸ βάρος τῆς φάλαγγος δυσυπόστατον εἶχον τὴν βίαν, οἱ δὲ Θηβαῖοι ταῖς τῶν σωμάτων ῥώμαις ὑπερέχοντες καὶ τοῖς ἐν τοῖς γυμνασίοις συνεχέσιν ἀθλήμασιν, ἔτι δὲ τῷ παραστήματι τῆς ψυχῆς

46. τοῦ μεγάλου βασιλέως] τοῦ βασιλέως τοῦ μεγάλου Bas. 51. οὗτος] οὕτως L 55. πυθόμενοι] πυθανόμενοι FL 58. γ' om. F 64. ἔχον om. Bas. 75. ὑπ' αὐτὴν] ἐπ' αὐτὴν L 77. μεγάλων post σταλαγμῶν ponunt FLT Bas., ante μεστοὶ caeteri 168. 82. ὁ om. Bas. 84. δ' ἐπὶ libri: δὲ περὶ Reiskius: conf. ad p. 233. 9. 303. 67. τὴν om. Bas.

94. οἱ] ὁ ed. Steph. tacente F, om. Bas. 95. τοῖς θυμοῖς om. L 4. τὰ πρὸς] πρὸς FL καὶ τὰς] τὰς FL: ita τὴν στρατιὰν delendum 5. διείλετο] διείλατο FL στρατιὰν F, στρατειὰν Bas., caeteri στρατείαν 14. τοῦ om. Bas. 19. ἐσήμαινον] ἐσημαίνοντο Bas. 22. ἔβαλον] ἔβαλλον T Bas. 23. ἀπὸ servarunt FLY Bas. 24. συμπεσόντων] ἐμπεσόντων F

πλεονεκτοῦντες ἐνεκαρτέρουν τοῖς δεινοῖς. διὸ καὶ παρ' ἀμφοτέροις πολλοὶ μὲν κατετιτρώσκοντο, οὐκ ὀλίγοι δ' ἔπιπτον ἐναντίας λαμβάνοντες πληγάς. ὁμοῦ δ' ἦν κατὰ τὰς ἐν τοῖς ἀγῶσι συμπλοκὰς μυγμὸς καὶ βοὴ καὶ παρακελευσμός, παρὰ μὲν τοῖς Μακεδόσι μὴ καταισχῦναι τὰς προγεγενημένας ἀνδραγαθίας, παρὰ δὲ τοῖς Θηβαίοις μὴ περιιδεῖν τέκνα καὶ γονεῖς ὑπὲρ ἀνδραποδισμοῦ κινδυνεύοντας καὶ τὴν πατρίδα πανοίκιον ὑπὸ τοὺς Μακεδόνων θυμοὺς ὑποπεσοῦσαν, μνησθῆναι δὲ τῆς ἐν Λεύ- 169
κτροις καὶ ἐν Μαντινείᾳ μάχης καὶ τῶν παρὰ πᾶσι περιβοήτων ἀνδραγαθημάτων. ἐπὶ πολὺν μὲν οὖν χρόνον ἰσόῤῥοπος ἦν ἡ μάχη διὰ τὴν ὑπερβολὴν τῆς τῶν ἀγω-
12 νιζομένων ἀνδρείας· μετὰ δὲ ταῦτα ὁ Ἀλέξανδρος ὁρῶν τοὺς μὲν Θηβαίους ἑτοίμως ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιζομένους, τοὺς δὲ Μακεδόνας κάμνοντας τῇ μάχῃ, προςέταξε τοὺς ἐπὶ τῆς ἐφεδρείας τεταγμένους διαδέξασθαι τὸν ἀγῶνα. οἱ μὲν οὖν Μακεδόνες ἄφνω προςπεσόντες τοῖς Θηβαίοις κατακόποις βαρεῖς ἐπέκειντο τοῖς πολεμίοις καὶ πολλοὺς ἀνῄρουν. οὐ μὴν οἱ Θηβαῖοι τῆς νίκης ἐξεχώρουν, τοὐναντίον δὲ τῇ φιλοτιμίᾳ προαχθέντες πάντων τῶν δεινῶν κατεφρόνουν. ἐπὶ τοσοῦτο δὲ ταῖς ἀνδραγαθίαις προέβησαν ὥςτε βοᾶν ὅτι Μακεδόνες ὁμολογοῦσιν ἥττους εἶναι Θηβαίων, καὶ τῶν ἄλλων πάντων εἰωθότων ἐν ταῖς διαδοχαῖς τῶν πολεμίων δεδιέναι τοὺς ἀκεραίους τῶν ἐφεδρευόντων οὗτοι μόνοι τότε θρασύτεροι πρὸς τοὺς κινδύνους ὑπῆρξαν ὅθ' οἱ πολέμιοι διαδοχὴν ἐξέπεμψαν τοῖς καταπονουμένοις ὑπὸ τῆς κακοπαθείας. ἀνυπερβλήτου δὲ τῆς φιλοτιμίας γινομένης, ὁ βασιλεὺς κατανοήσας τινὰ πυλίδα καταλελειμμένην ὑπὸ τῶν φυλάκων, ἐξαπέστειλε Περδίκκαν μετὰ στρατιωτῶν ἱκανῶν καταλαβέσθαι ταύτην καὶ παρειςπεσεῖν εἰς τὴν πόλιν. τούτου δὲ ταχὺ τὸ προσταχθὲν ποιήσαντος, οἱ μὲν Μακεδόνες διὰ τῆς πυλίδος παρειςέπεσον εἰς τὴν πόλιν, οἱ δὲ Θηβαῖοι καταπεπονηκότες μὲν τὴν πρώτην φάλαγγα τῶν Μακεδόνων, ἀντιταχθέντες δ' εὐρώστως τῇ δευτέρᾳ, εὐέλπιδες ἦσαν περὶ τῆς νίκης· ὡς δὲ κατενόησαν μέρος τῆς πόλεως κατειλημμένον, εὐθὺς ἀνεχώρησαν ἐντὸς τῶν τειχῶν. ἅμα δὲ τούτοις πραττομένοις οἱ μὲν

35. καταισχῦναι] καταισχύνειν FL 38. τοὺς — θυμοὺς] τοῦ — θυμοῦ L. et qui τῶν M. F
169. 45. ὑπὲρ] περὶ L 47. ἐφεδρείας] ἐφεδρίας Bas.
53. τοσοῦτο] τοσοῦτον F 55. ἄλλων πάντων] ἄλλων ἤδη πάντων FL 56. τῶν πολεμίων] πολεμίων Bas.
58. ὑπῆρξαν] ἀντῆρξαν F ὅθ'] ὅτε F 67. μὲν om. Bas.



τῶν Θηβαίων ἱππεῖς ὁμοίως τοῖς πεζοῖς συνέτρεχον εἰς τὴν πόλιν, καὶ πολλοὺς μὲν τῶν ἰδίων συμπατοῦντες διέφθειρον, αὐτοὶ δὲ τεταραγμένως εἰςίππευον εἰς τὴν πόλιν, ἐν δὲ ταῖς διεξόδοις καὶ τάφροις τοῖς οἰκείοις ὅπλοις περιπίπτοντες ἐτελεύτων. οἱ δὲ τὴν Καδμείαν φρουροῦντες ἐκχυθέντες ἐκ τῆς ἀκροπόλεως ἀπήντων τοῖς Θηβαίοις, καὶ τεταραγμένοις ἐπιπεσόντες πολὺν ἐποίουν φόνον.

Τῆς δὲ πόλεως τοῦτον τὸν τρόπον καταλαμβανομέ- 13
νης πολλαὶ καὶ ποικίλαι περιστάσεις ἐντὸς τῶν τειχῶν ἐγίνοντο. οἱ μὲν γὰρ Μακεδόνες διὰ τὴν ὑπερηφανίαν τοῦ κηρύγματος πικρότερον ἢ πολεμικώτερον προςεφέροντο τοῖς Θηβαίοις, καὶ μετὰ πολλῆς ἀπειλῆς ἐπιφερόμενοι τοῖς ἠτυχηκόσιν ἀφειδῶς ἀνῄρουν πάντας τοὺς περιτυγχάνοντας. οἱ δὲ Θηβαῖοι τὸ φιλελεύθερον τῆς ψυχῆς διαφυλάττοντες τοσοῦτον ἀπεῖχον τοῦ φιλοζωεῖν ὥςτ' ἐν ταῖς ἀπαντήσεσι συμπλέκεσθαι καὶ τὰς παρὰ τῶν πολεμίων ἐπισπᾶσθαι πληγάς· ἑαλωκυίας γὰρ τῆς πόλεως οὐδεὶς Θηβαίων ἑωράθη δεηθεὶς τῶν Μακεδόνων φείσασθαι τοῦ ζῆν, οὐδὲ προςέπιπτον τοῖς τῶν κρατούντων γόνασιν ἀγεννῶς. ἀλλ' οὔτε τὸ τῆς ἀρετῆς πάθος
170 ἠλεεῖτο παρὰ τοῖς πολεμίοις οὔτε τὸ τῆς ἡμέρας μῆκος ἤρκει πρὸς τὴν ὠμότητα τῆς τιμωρίας, πᾶσα δὲ ἡ πόλις ἐξεφορεῖτο παίδων ὁμοῦ καὶ παρθένων ἑλκομένων καὶ τὸ τῆς τεκούσης οἰκτρὸν ἐπιβοωμένων ὄνομα· καθόλου δὲ τῶν οἴκων σὺν ὅλαις ταῖς συγγενείαις ἁρπαζομένων πάνδημος ὑπῆρχε τῆς πόλεως ἀνδραποδισμός. τῶν δ' ὑπολελειμμένων Θηβαίων οἱ μὲν κατατετρωμένοι τὰ σώματα καὶ λιποψυχοῦντες συνεπλέκοντο τοῖς πολεμίοις συναποθνήσκοντες τῇ τῶν ἐχθρῶν ἀπωλείᾳ, οἱ δὲ κλάσματι δόρατος ἐρειδόμενοι συνήντων τοῖς ἐπιφερομένοις, καὶ διαγωνιζόμενοι τὸν ὕστατον ἀγῶνα προετίμων τὴν ἐλευθερίαν τῆς σωτηρίας. πολλοῦ δὲ φόνου γενομένου, καὶ τῆς πόλεως κατὰ πάντα τόπον νεκρῶν πληρουμένης, οὐκ ἦν ὅςτις ἰδὼν οὐκ ἂν ἠλέησε τὰς τύχας τῶν ἀκληρούντων. καὶ γὰρ τῶν Ἑλλήνων Θεσπιεῖς καὶ Πλαταιεῖς ἔτι δ' Ὀρχομένιοι καί τινες ἄλλοι τῶν ἀλλοτρίως διακειμένων πρὸς τοὺς Θηβαίους, συστρατευόμενοι τῷ βασιλεῖ, συνέπεσον εἰς τὴν πόλιν, καὶ τὴν ἰδίαν ἔχθραν ἐν

74. τεταραγμένως] τεταραγμένοι F 79. τεταραγμένοις] τεταραγμένοι L 84. ὑπερηφανίαν] περιφάνειαν FL
93. φείσασθαι om. L
170. 97. ἡ om. F παίδων] παιδίων TY margo Bas.
99. καθόλου Rhodomannus: libri καθόλων 1. δ' F 3. λιποψυχοῦντες F Bas., caeteri λειποψυχοῦντες

τοῖς τῶν ἠτυχηκότων ἀκληρήμασιν ἐναπεδείκνυντο. διὸ καὶ πάθη πολλὰ καὶ δεινὰ κατὰ τὴν πόλιν ὁρᾶν ἦν γινόμενα· Ἕλληνες γὰρ ὑφ' Ἑλλήνων ἀνηλεῶς ἀνῃροῦντο καὶ συγγενεῖς ὑπὸ τῶν κατὰ γένος προσηκόντων ἐφονεύοντο, μηδεμίαν ἐντροπὴν τῆς ὁμοφώνου διαλέκτου παρεχομένης. τέλος δὲ τῆς νυκτὸς ἐπικαταλαβούσης αἱ μὲν οἰκίαι διηρπάγησαν, τέκνα δὲ καὶ γυναῖκες καὶ οἱ γεγηρακότες εἰς τὰ ἱερὰ καταπεφευγότες μετὰ τῆς ἐσχά-
14 της ὕβρεως ἀπήγοντο. τῶν δὲ Θηβαίων ἀνῃρέθησαν μὲν ὑπὲρ τοὺς ἑξακισχιλίους, αἰχμάλωτα δὲ σώματα συνήχθη πλείω τῶν τρισμυρίων, χρημάτων δὲ ἄπιστον πλῆθος διεφορήθη. ὁ δὲ βασιλεὺς τοὺς μὲν τελευτήσαντας τῶν Μακεδόνων ἔθαψε, πλείους ὄντας τῶν πεντακοσίων. τοὺς δὲ συνέδρους τῶν Ἑλλήνων συναγαγὼν ἐπέτρεψε τῷ κοινῷ συνεδρίῳ πῶς χρηστέον τῇ πόλει τῶν Θηβαίων. προτεθείσης οὖν βουλῆς τῶν ἀλλοτρίως διακειμένων τοῖς Θηβαίοις τινὲς ἐπεχείρουν συμβουλεύειν ἀπαραιτήτοις τιμωρίαις δεῖν περιβαλεῖν αὐτούς· ἀπεδείκνυον δ' αὐτοὺς τὰ τῶν βαρβάρων πεφρονηκότας κατὰ τῶν Ἑλλήνων· καὶ γὰρ ἐπὶ Ξέρξου συμμαχοῦντας τοῖς Πέρσαις ἐστρατευκέναι κατὰ τῆς Ἑλλάδος, καὶ μόνους τῶν Ἑλλήνων ὡς εὐεργέτας τιμᾶσθαι παρὰ τοῖς βασιλεῦσι τῶν Περσῶν, καὶ πρὸ τῶν βασιλέων τοῖς πρεσβεύουσι τῶν Θηβαίων τίθεσθαι θρόνους. πολλὰ δὲ καὶ ἄλλα τοιαῦτα διελθόντες παρώξυναν τὰς τῶν συνέδρων ψυχὰς κατὰ τῶν Θηβαίων, καὶ πέρας ἐψηφίσαντο τὴν μὲν πόλιν κατασκάψαι, τοὺς δ' αἰχμαλώτους ἀποδόσθαι, τοὺς δὲ φυγάδας τῶν Θηβαίων ἀγωγίμους ὑπάρχειν ἐξ ἁπάσης τῆς Ἑλλάδος, καὶ μηδένα τῶν Ἑλλήνων ὑποδέχεσθαι Θηβαῖον. ὁ δὲ βασιλεὺς ἀκολούθως τῇ τοῦ συνεδρίου γνώμῃ τὴν μὲν πόλιν κατασκάψας πολὺν ἐπέ- 171
στησε φόβον τοῖς ἀφισταμένοις τῶν Ἑλλήνων, τοὺς δ' αἰχμαλώτους λαφυροπωλήσας ἤθροισεν ἀργυρίου τάλαντα τετρακόσια καὶ τετταράκοντα.

15 Μετὰ δὲ ταῦτα εἰς τὰς Ἀθήνας ἐξαπέστειλε τοὺς ἐξαιτήσοντας τῶν ῥητόρων δέκα τοὺς κατ' αὐτοῦ πεπολιτευμένους, ὧν ὑπῆρχον ἐπιφανέστατοι Δημοσθένης καὶ Λυκοῦργος. συναχθείσης οὖν ἐκκλησίας, καὶ τῶν πρεσβευτῶν εἰσαχθέντων εἰς τὸ πλῆθος, ὁ μὲν δῆμος ἀκούσας τῶν λόγων εἰς πολλὴν ἀγωνίαν καὶ ἀπορίαν ἐνέπε-

22. καταπεφευγότες] διαφευγότες L 26. ἄπιστον F, caeteri ἄπληστον 34. δ' om. Bas. 35. κατὰ τῶν Ἑ.] οὐ τῶν Ἑ. L et qui πεφρονηκότες F 37. ὡς om. L
171. 50. τετταράκοντα] τεσσαράκοντα omnes



σεν. ἅμα μὲν γὰρ ἔσπευδε τὸ τῆς πόλεως ἀξίωμα τηρεῖν, ἅμα δὲ διὰ τὴν Θηβαίων ἀπώλειαν ἐκπεπληγμένος τὸ δεινὸν περίφοβος καθειστήκει, νουθετούμενος τοῖς τῶν πλησιοχώρων ἀτυχήμασι. πολλῶν δὲ λόγων γινομένων κατὰ τὴν ἐκκλησίαν, Φωκίων μὲν ὁ χρηστός, ἀντιπολιτευόμενος τοῖς περὶ τὸν Δημοσθένην, ἔφη δεῖν τοὺς ἐξαιτουμένους μιμήσασθαι τὰς Λεὼ κόρας καὶ τὰς Ὑακινθίδας, καὶ τὸν θάνατον ἑκουσίως ὑπομεῖναι ἕνεκα τοῦ μηδὲν ἀνήκεστον παθεῖν τὴν πατρίδα, καὶ τὴν ἀνανδρίαν καὶ δειλίαν ὠνείδιζε τῶν μὴ βουλομένων ὑπὲρ τῆς πόλεως τελευτᾶν. ὁ δὲ δῆμος τοῦτον μὲν τοῖς θορύβοις ἐξέβαλε, προσάντως ἀκούων τοὺς λόγους. Δημοσθένους δὲ λόγον πεφροντισμένον διελθόντος, ὁ δῆμος εἰς συμπάθειαν τῶν ἀνδρῶν προαχθεὶς φανερὸς ἦν σῴζειν βουλόμενος τοὺς ἄνδρας. ἐπὶ τελευτῆς δὲ Δημάδης, πεπεισμένος ὑπὸ τῶν περὶ Δημοσθένην, ὥς φασι, πέντε ταλάντοις ἀργυρίου, συνεβούλευε μὲν σῴζειν τοὺς κινδυνεύοντας, παρανέγνω δὲ ψήφισμα γεγραμμένον φιλοτέχνως· περιεῖχε γὰρ παραίτησιν τῶν ἀνδρῶν καὶ ἐπαγγελίαν τοῦ κολάζειν κατὰ τοὺς νόμους, ἂν ὦσιν ἄξιοι τιμωρίας. ὁ μὲν οὖν δῆμος ἀποδεξάμενος τὴν ἐπίνοιαν τοῦ Δημάδου τό τε ψήφισμα ἐκύρωσε, καὶ τὸν Δημάδην μεθ' ἑτέρων ἀπέστειλε πρεσβευτὴν πρὸς τὸν βασιλέα, δοὺς ἐντολὴν καὶ περὶ τῶν Θηβαίων φυγάδων ἀξιῶσαι τὸν Ἀλέξανδρον συγχωρῆσαι τῷ δήμῳ τοὺς πεφευγότας Θηβαίους ὑποδέχεσθαι. ὁ δὲ Δημάδης πρεσβεύσας, καὶ τῇ τοῦ λόγου δεινότητι πάντα κατεργασάμενος, ἔπεισε τὸν Ἀλέξανδρον ἀπολῦσαι τοὺς ἄνδρας τῶν ἐγκλημάτων καὶ τἄλλα πάντα συγχωρῆσαι τοῖς Ἀθηναίοις.

Μετὰ δὲ ταῦτα ὁ μὲν βασιλεὺς ἐπανελθὼν μετὰ τῆς 16
δυνάμεως εἰς τὴν Μακεδονίαν συνήγαγε τοὺς ἡγεμόνας τῶν στρατιωτῶν καὶ τοὺς ἀξιολογωτάτους τῶν φίλων, καὶ προέθηκε βουλὴν περὶ τῆς εἰς τὴν Ἀσίαν διαβάσεως, πότε χρὴ στρατεύειν καὶ τίνι τρόπῳ χειριστέον τὸν πόλεμον. τῶν δὲ περὶ τὸν Ἀντίπατρον καὶ Παρμενίωνα συμβουλευόντων πρότερον παιδοποιήσασθαι, καὶ τότε τοῖς τηλικούτοις ἐγχειρεῖν ἔργοις, δραστικὸς ὢν καὶ πρὸς

60. μὲν γὰρ] μὲν Bas. 64. ἀντιπολιτευόμενος] ἀντεπολιτεύετο L, ἀντιπολιτεύετο μὲν F 65. ἔφη] ἔφη γὰρ FL Λεὼ κόρας Wesselingius: libri Λεωκόρας 72. εἰς συμπάθειαν] συμπάθειαν Bas. 77. παρανέγνω] παραγαγὼν F correctus supra versum, παρέγνω Bas. 79. κατὰ] παρὰ Bas. 82. Δημάδην] Δημάδη F 89. τἄλλα πάντα] τῶν ἄλλων πάντων FL, τἄλλα ἅπαντα Bas. 94. εἰς τὴν om. X 96. χειριστέον] χρηστέων Bas.

πᾶσαν πράξεως ἀναβολὴν ἀλλοτρίως διακείμενος, ἀντεῖπε 172 τούτοις. αἰσχρὸν γὰρ ὑπάρχειν ἀπεφαίνετο τὸν ὑπὸ τῆς Ἑλλάδος ἡγεμόνα καθεσταμένον τοῦ πολέμου καὶ πατρικὰς ἀνικήτους δυνάμεις παρειληφότα καθῆσθαι γάμους ἐπιτελοῦντα καὶ τέκνων γενέσεις ἀναμένοντα. διδάξας οὖν αὐτοὺς περὶ τοῦ συμφέροντος, καὶ παρορμήσας διὰ τῶν λόγων πρὸς τοὺς ἀγῶνας, θυσίας μεγαλοπρεπεῖς τοῖς θεοῖς συνετέλεσεν ἐν Δίῳ τῆς Μακεδονίας καὶ σκηνικοὺς ἀγῶνας Διὶ καὶ Μούσαις, οὓς Ἀρχέλαος ὁ προβασιλεύσας πρῶτος κατέδειξε. τὴν δὲ πανήγυριν ἐφ' ἡμέρας ἐννέα συνετέλεσεν, ἑκάστῃ τῶν Μουσῶν ἐπώνυμον ἡμέραν ἀναδείξας. σκηνὴν δὲ κατασκευασάμενος ἑκατοντάκλινον τούς τε φίλους καὶ τοὺς ἡγεμόνας ἔτι δὲ τοὺς ἀπὸ τῶν πόλεων πρέσβεις παρέλαβεν ἐπὶ τὴν εὐωχίαν. λαμπραῖς δὲ παρασκευαῖς χρησάμενος, καὶ πολλοὺς μὲν ἑστιάσας, πάσῃ δὲ τῇ δυνάμει διαδοὺς ἱερεῖα καὶ τἄλλα τὰ πρὸς τὴν εὐωχίαν ἀνήκοντα, προσανέλαβε τὸ στρατόπεδον.

17 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Κτησικλέους Ῥωμαῖοι μὲν ὑπάτους κατέστησαν Γάϊον Σουλπίκιον καὶ Λεύκιον Παπίριον. Ἀλέξανδρος δὲ μετὰ τῆς δυνάμεως πορευθεὶς ἐπὶ τὸν Ἑλλήσποντον διεβίβασε τὴν δύναμιν ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν. αὐτὸς δὲ μακραῖς ναυσὶν ἑξήκοντα καταπλεύσας πρὸς τὴν Τρῳάδα χώραν πρῶτος τῶν Μακεδόνων ἀπὸ τῆς νεὼς ἠκόντισε μὲν τὸ δόρυ, πήξας δ' εἰς τὴν γῆν καὶ αὐτὸς ἀπὸ τῆς νεὼς ἀφαλλόμενος παρὰ τῶν θεῶν ἀπεφαίνετο τὴν Ἀσίαν δέχεσθαι δορίκτητον. καὶ τοὺς μὲν τάφους τῶν ἡρώων Ἀχιλλέως τε καὶ Αἴαντος καὶ τῶν ἄλλων ἐναγίσμασι καὶ τοῖς ἄλλοις τοῖς πρὸς εὐδοξίαν ἀνήκουσιν ἐτίμησεν, αὐτὸς δὲ τὸν ἐξετασμὸν τῆς ἀκολουθούσης δυνάμεως ἀκριβῶς ἐποιήσατο. εὑρέθησαν δὲ πεζοὶ Μακεδόνες μὲν μύριοι καὶ δισχίλιοι, σύμμαχοι δὲ ἑπτακισχίλιοι, μισθοφόροι δὲ πεντακισχίλιοι, καὶ τούτων ἁπάντων Παρμενίων εἶχε τὴν ἡγεμονίαν. Ὀδρύσαι δὲ καὶ Τριβαλλοὶ καὶ Ἰλλυριοὶ συνηκολούθουν πεντακισχίλιοι, τοξοτῶν δὲ καὶ τῶν Ἀγριάνων καλουμένων χίλιοι, ὥστε τοὺς ἅπαντας εἶναι

172. 2. καθεσταμένον] καθιστάμενον FL 10. ἡμέρας] ἡμέραις L recte fortasse 14. ἀπὸ om. FL 17. τἄλλα] τὰ ἄλλα F — ἀνήκοντα] ἥκοντα FL 21. τῆς δυνάμεως] δυνάμεως Bas. 24. καταπλεύσας] πλεύσας L 28. δορύκτητον omnes 31. ἀνήκουσιν FL, caeteri ἥκουσιν 33. δισχίλιοι FLQT Cospus, caeteri τρισχίλιοι 37. πεντακισχίλιοι] ἑπτακισχίλιοι FLQ τῶν Ἀγριάνων] Ταγριάνων L, ἀγριάνων Bas.



πεζοὺς τρισμυρίους. ἱππεῖς δ' ὑπῆρχον Μακεδόνες μὲν χίλιοι καὶ πεντακόσιοι, Φιλώτου τοῦ Παρμενίωνος ἡγουμένου, Θετταλοὶ δὲ χίλιοι καὶ πεντακόσιοι, ὧν ἡγεῖτο Κάλλας ὁ Ἁρπάλου, τῶν δ' ἄλλων Ἑλλήνων οἱ πάντες ἑξακόσιοι, ὧν ἡγεῖτο Ἐρίγυιος, Θρᾷκες δὲ πρόδρομοι καὶ Παίονες ἐνακόσιοι, Κάσσανδρον ἔχοντες ἡγεμόνα, ὥστε
173 σύμπαντας ὑπάρχειν ἱππεῖς τετρακισχιλίους καὶ πεντακοσίους. οἱ μὲν οὖν μετ' Ἀλεξάνδρου διαβάντες εἰς τὴν Ἀσίαν τοσοῦτοι τὸ πλῆθος ἦσαν. οἱ δ' ἐπὶ τῆς Εὐρώπης ἀπολελειμμένοι στρατιῶται, ὧν Ἀντίπατρος εἶχε τὴν ἡγεμονίαν, πεζοὶ μὲν ὑπῆρχον μύριοι καὶ δισχίλιοι, ἱππεῖς δὲ χίλιοι καὶ πεντακόσιοι. τοῦ δὲ βασιλέως ἀναζεύξαντος ἐκ τῆς Τρῳάδος, καὶ καταντήσαντος πρὸς τὸ τέμενος τῆς Ἀθηνᾶς, ὁ μὲν θύτης Ἀλέξανδρος, κατανοήσας πρὸ τοῦ νεὼ κειμένην εἰκόνα χαμαὶ τοῦ Φρυγίας ποτὲ σατραπεύσαντος Ἀριοβαρζάνου, καί τινων οἰωνῶν αἰσίων ἄλλων ἐπιγενομένων, προσῆλθε τῷ βασιλεῖ, καὶ νικήσειν αὐτὸν ἱππομαχίᾳ μεγάλῃ διεβεβαιοῦτο, καὶ μάλιστ', ἂν τύχῃ περὶ τὴν Φρυγίαν ἀγωνισάμενος. προσετίθει δὲ καὶ διότι ταῖς ἰδίαις χερσὶν ἀποκτενεῖ μαχόμενος ἐν παρατάξει στρατηγὸν ἐπιφανῆ τῶν πολεμίων. ταῦτα γὰρ αὐτῷ προσημαίνειν τοὺς θεούς, καὶ μάλιστα τὴν Ἀθηνᾶν, ἣν καὶ συνεργήσειν τοῖς εὐημερήμασιν.

18 ὁ δ' Ἀλέξανδρος ἀποδεξάμενος τὴν τοῦ μάντεως πρόρρησιν, τῇ μὲν Ἀθηνᾷ λαμπρὰν ἐπετέλεσε θυσίαν, καὶ τὸ μὲν ἴδιον ὅπλον ἀνέθηκε τῇ θεῷ, τῶν δ' ἐν τῷ νεῷ κειμένων ὅπλων τὸ κράτιστον ἀναλαβὼν καὶ τούτῳ καθοπλισθείς, ἐχρήσατο κατὰ τὴν πρώτην μάχην, ἣν διὰ τῆς ἰδίας ἀνδραγαθίας κρίνας περιβόητον ἔσχε τὴν νίκην. ἀλλὰ ταῦτα μὲν ὕστερον ἡμέραις ὀλίγαις ἐπράχθη. οἱ δὲ τῶν Περσῶν σατράπαι καὶ στρατηγοὶ τοῦ μὲν κωλῦσαι τῶν Μακεδόνων τὴν διάβασιν ὑστέρησαν, ἀθροισθέντες δὲ ἐβουλεύοντο πῶς χρὴ διαπολεμεῖν

40. πεντακόσιοι] φ' margo T, caeteri ὀκτακόσιοι Φιλώτου — 42. ὀκτακόσιοι om. Cospus 42. πεντακόσιοι] φ' margo T, caeteri ὀκτακόσιοι ὧν — 43. ἑξακόσιοι om. X 43. δ' F οἱ πάντες FL, caeteri πάντες 44. Ἐρίγυιος Blancardus, *Eurygyus* Cospus, sed *Erigyius* corrigi iubet fol. 93. r. monitus, opinor, locis qui sunt infra Θρᾷκες — ἐννακόσιοι] *Thessali, Thraces antecursores et Paeones mille et nongenti* Cospus 45. Κάσσανδρον] Κάσανδρον F Bas.
173. 51. χίλιοι Rhodomannus: libri μύριοι καὶ χίλιοι, *ad duo millia* Cospus 54. Ἀλέξανδρος] vide annotationem 55. κειμένην TX Bas., caeteri κατακειμένην 57. ἐπιγενομ.] ἐπιγινομ. FL 59. Φρυγίαν] Φρυγανίαν Bas. 60. διότι] ὅτι F 61. ἀποκτενεῖ] ἀποκτείνει F Bas. 67. θυσίαν] τὴν θυσίαν F

τοῖς περὶ Ἀλέξανδρον. Μέμνων μὲν οὖν ὁ Ῥόδιος, διαβεβοημένος ἐπὶ συνέσει στρατηγικῇ, συνεβούλευσε κατὰ στόμα μὲν μὴ διακινδυνεύειν, τὴν δὲ χώραν φθείρειν, καὶ τῇ σπάνει τῶν ἀναγκαίων εἴργειν τοὺς Μακεδόνας τῆς εἰς τοὔμπροσθεν πορείας· διαβιβάζειν δὲ καὶ δυνάμεις εἰς τὴν Μακεδονίαν ναυτικάς τε καὶ πεζικάς, καὶ τὸν ὅλον πόλεμον εἰς τὴν Εὐρώπην μεταγαγεῖν. ὁ δ' ἀνὴρ οὗτος ἄριστα μὲν συνεβούλευεν, ὡς ἐκ τῶν ἀποτελεσμάτων ἐγενήθη φανερόν, οὐ μὴν ἔπεισε τοὺς ἄλλους ἡγεμόνας, ὡς ἀνάξια συμβουλεύων τῆς Περσῶν μεγαλοψυχίας. διόπερ ἐπικρατούσης τῆς τοῦ διαγωνίζεσθαι γνώμης, οὗτοι μὲν τὰς πανταχόθεν δυνάμεις μεταπεμψάμενοι, καὶ πολλαπλάσιοι γενόμενοι τῶν Μακεδόνων, προῆγον ἐπὶ Φρυγίας τῆς ἐφ' Ἑλλήςποντον. κατεστρατοπέδευσαν δὲ παρὰ τὸν Γράνικον ποταμόν, προβαλλόμενοι τὸ ῥεῖθρον τοῦ προειρημένου ποταμοῦ.

19 Ὁ δ' Ἀλέξανδρος πυθόμενος τὴν συνδρομὴν τῶν
βαρβαρικῶν δυνάμεων, προῆγε, καὶ σύντομον τὴν πο- 174
ρείαν ποιησάμενος ἀντεστρατοπέδευσε τοῖς πολεμίοις, ὥςτε ἀνὰ μέσον ῥεῖν τῶν παρεμβολῶν τὸν Γράνικον. οἱ μὲν οὖν βάρβαροι τὴν ὑπώρειαν κατειλημμένοι τὴν ἡσυχίαν ἦγον, κεκρικότες τοῖς πολεμίοις ἐπιθέσθαι κατὰ τὴν διάβασιν τοῦ ποταμοῦ· καὶ διεσπασμένης τῆς τῶν Μακεδόνων φάλαγγος ῥᾳδίως προτερήσειν ὑπελάμβανον ἐν τῇ μάχῃ. ὁ δὲ Ἀλέξανδρος τεθαῤῥηκὼς ἅμ' ἡμέρᾳ περαιώσας τὴν δύναμιν ἔφθασε τοὺς πολεμίους ἐκτάξας τὴν δύναμιν ἡρμοσμένως πρὸς τὸν ἀγῶνα. οἱ δὲ βάρβαροι πρὸς ὅλην τὴν τάξιν τῶν Μακεδόνων ἔστησαν τὸ πλῆθος τῶν ἱππέων, καὶ διὰ τούτων προκρίνειν τὴν μάχην διεγνώκεισαν. τὸ μὲν οὖν εὐώνυμον μέρος εἶχε Μέμνων ὁ Ῥόδιος καὶ Ἀρσαμένης ὁ σατράπης ἔχοντες τοὺς ἰδίους ἱππεῖς. μετὰ δὲ τούτους Ἀρσίτης ἐτέτακτο τοὺς ἐκ Παφλαγονίας ἔχων ἱππεῖς, ἔπειτα Σπιθροβάτης ὁ Ἰωνίας σατράπης Ὑρκανῶν ἱππέων ἡγούμενος· τὸ δὲ δεξιὸν κέρας ἐπεῖχον χίλιοι μὲν Μῆδοι, διςχίλιοι δὲ οἱ μετὰ Ῥεομίθρους ἱππεῖς καὶ Βακτριανοὶ τούτοις ἴσοι· τὸν δὲ μέσον τόπον ἐπεῖχον οἱ τῶν ἄλλων ἐθνῶν

76. μὲν om. F 77. συνεβούλευσε] συνεβούλευε L 87. πανταχόθεν FLQY Bas., caeteri πανταχοῦ 88. γενόμενοι] γινόμενοι omnes 90. Γρανικὸν] Γραννικὸν Bas.

174. 94. σύντομον] σύντονον Wesselingius 99. διεσπασμένης FL, caeteri διεσπαρμένης 4. ἡρμοσμένως] ἡρμοσμένην FL 6. προκρίνειν Reiskius: προςκινεῖν L Bas., caeteri προκινεῖν 9. Ἀρσίτης] Ἀρσείτης F 13. Ῥεομίθρους Freinshemius: libri Ἀῤῥεομίθρους



ἱππεῖς, πολλοὶ μὲν τὸν ἀριθμὸν ὄντες, ἐπίλεκτοι δὲ ταῖς ἀρεταῖς· οἱ δὲ πάντες ἱππεῖς ὑπῆρχον πλείους τῶν μυρίων. οἱ δὲ πεζοὶ τῶν Περσῶν ἦσαν μὲν οὐκ ἐλάττους τῶν δέκα μυριάδων, ὄπισθεν δ' ἐπιτεταγμένοι τὴν ἡσυχίαν ἦγον, ὡς τῶν ἱππέων ἱκανῶν ὄντων καταπονῆσαι τοὺς Μακεδόνας. τῶν δ' ἱππέων παρ' ἀμφοτέροις προθύμως εἰς τὸν κίνδυνον συμπεσόντων, τὸ μὲν εὐώνυμον μέρος ἐπέχοντες οἱ τῶν Θετταλῶν ἱππεῖς Παρμενίωνος ἡγουμένου τεθαῤῥηκότως ἐδέχοντο τὴν ἐπιφορὰν τῶν καθ' ἑαυτοὺς τεταγμένων· Ἀλέξανδρος δὲ τοὺς ἀρίστους τῶν ἱππέων ἔχων κατὰ τὸ δεξιὸν κέρας μεθ' ἑαυτοῦ πρῶτος ἐφίππευσε τοῖς Πέρσαις, καὶ συμπλακεὶς
20 τοῖς πολεμίοις πολὺν ἐποίει φόνον. τῶν δὲ βαρβάρων εὐρώστως ἀγωνιζομένων καὶ τοὺς ἑαυτῶν θυμοὺς ταῖς τῶν Μακεδόνων ἀρεταῖς ἀντιταττόντων, ἡ τύχη συνήγαγεν εἰς ἕνα τόπον τοὺς ἀρίστους εἰς τὴν ὑπὲρ τῆς νίκης κρίσιν. ὁ γὰρ τῆς Ἰωνίας σατράπης Σπιθροβάτης, γένει μὲν ὢν Πέρσης, Δαρείου δὲ τοῦ βασιλέως γαμβρός, ἀνδρείᾳ δὲ διαφέρων, μετὰ μεγάλης δυνάμεως ἱππέων ἐπέῤῥαξε τοῖς Μακεδόσιν. ἔχων δὲ συναγωνιστὰς τεταγμένους τετταράκοντα συγγενεῖς ἀρεταῖς διαφόρους ἐνέκειτο τοῖς ἀνθεστηκόσι, καὶ θρασέως ἀγωνιζόμενος οὓς μὲν ἀνῄρει τῶν ἀνθισταμένων οὓς δὲ κατε-
175 τραυμάτιζε. δυςυποστάτου δὲ τῆς περὶ αὐτὸν οὔσης βίας ὁ Ἀλέξανδρος ἐπιστρέψας τὸν ἵππον ἐπὶ τὸν σατράπην ἐφίππευσε τῷ βαρβάρῳ. ὁ δὲ Πέρσης νομίσας παρὰ τῶν θεῶν αὐτῷ δεδόσθαι τὸν τῆς μονομαχίας καιρόν, εἰ συμβήσεται διὰ τῆς ἰδίας ἀνδραγαθίας ἐλευθερωθῆναι τῶν μεγίστων φόβων τὴν Ἀσίαν καὶ τὴν περιβόητον Ἀλεξάνδρου τόλμαν ταῖς ἰδίαις χερσὶ καταλυθῆναι καὶ τὴν τῶν Περσῶν δόξαν μὴ καταισχυνθῆναι, φθάνει βαλὼν τὸ σαυνίον ἐπὶ τὸν Ἀλέξανδρον, καὶ οὕτω μετὰ

19. δέκα] δώδεκα FL ὄπισθεν FL, caeteri ὄπισθε ἐπιτεταγμένοι] ἑστῶτες τεταγμένοι FL 20. ἦγον] εἶχον suprascripto ἦ F καταπονῆσαι] καταπονήσειν FL 22. συμπεσόντων] ἐμπεσόντων F 25. ἑαυτοὺς] αὐτοὺς F 26. ἔχων κατὰ τὸ δεξιὸν κ.] κατὰ τὸ δεξιὸν κ. ἔχων T Bas. 29. ἐποίει F, caeteri ἐποιεῖτο 30. εὐρώστως om. F 34. σπιθρωβάτης F 36. μετὰ] καὶ μετὰ F 38. διαφόρους] διαφέροντας F

175. 43. τῷ βαρβάρῳ] τὸν βάρβαρον F 47. Ἀλεξάνδρου — 48. καὶ τὴν in margine supplet alia manu F: sic et 49. φθάνει — 50. Ἀλέξανδρον, quae dum margo restituit totum locum apponit defectum iis quae v. 48. et 50. om. X Bas. 48. καταλυθῆναι] διαλυθῆναι Bas. καὶ τὴν τῶν Π. — καταισχ. om. LX Bas., Cospus 50. καὶ οὕτω — 51. Ἀλεξάνδρου om. TX Bas., Cospus

σφοδρᾶς εἰςπεσὼν ῥύμης, καὶ βιαίως τὸ δόρυ ὠσάμενος διαῤῥήξας τε τήν τε ἀσπίδα Ἀλεξάνδρου καὶ τὴν δεξιὰν ἐπωμίδα, διήλασε διὰ τοῦ θώρακος. ὁ δὲ βασιλεὺς τὸ μὲν βέλος τῷ βραχίονι περιελκόμενον ἀπέῤῥιψε, τῷ δ' ἵππῳ προςβαλὼν τὰ κέντρα καὶ τῇ ῥύμῃ τῆς φορᾶς συνεργῷ χρησάμενος εἰς μέσον τοῦ σατράπου τὸ στῆθος ἐνήρεισε τὸ ξυστόν. οὗ συντελεσθέντος αἱ μὲν πλησίον τάξεις παρ' ἀμφοτέροις διὰ τὴν ὑπερβολὴν τῆς ἀνδρείας ἀνεβόησαν, τῆς δ' ἐπιδορατίδος περὶ τὸν θώρακα συντριβείσης, καὶ τοῦ θραύσματος ἀποπηδήσαντος, ὁ μὲν Πέρσης σπασάμενος τὸ ξίφος ἐπὶ τὸν Ἀλέξανδρον ἐπεφέρετο· ὁ δὲ βασιλεὺς διαλαβὼν τὸ ξυστὸν ἔφθασεν ἐνερεῖσαι τῷ προσώπῳ, καὶ διήλασε τὴν πληγήν. καθ' ὃν δὴ χρόνον ὁ ἀδελφὸς τοῦ πεσόντος Ῥωσάκης προςιππεύσας κατήνεγκε τῷ ξίφει κατὰ τῆς κεφαλῆς Ἀλεξάνδρου οὕτως ἐπικίνδυνον πληγὴν ὥςτε τὸ μὲν κράνος διαπτύξαι, τοῦ δὲ χρωτὸς βραχέως ἐπιψαῦσαι. κατὰ δὲ τὴν αὐτὴν διαίρεσιν ἐπιφέροντος ἄλλην πληγὴν τοῦ Ῥωσάκου, Κλεῖτος ὁ μέλας ἐπικαλούμενος προςελάσας τὸν ἵππον ἀπέκοψε τὴν χεῖρα τοῦ βαρβάρου.

21 περὶ δ' ἀμφοτέρων τῶν πεσόντων οἱ συγγενεῖς ἀθρόοι συστραφέντες τὸ μὲν πρῶτον ἠκόντιζον ἐπὶ τὸν Ἀλέξανδρον, ἔπειτα δὲ καὶ συστάδην μαχόμενοι πάντα κίνδυνον ὑπέμενον ὑπὲρ τοῦ φονεῦσαι τὸν βασιλέα. ὁ δὲ καίπερ πολλοῖς καὶ μεγάλοις κινδύνοις συνεχόμενος, ὅμως οὐκ ἐνικᾶτο τοῖς πλήθεσι τῶν πολεμίων, ἀλλὰ δύο μὲν ἔχων εἰς τὸν θώρακα πληγάς, μίαν δὲ εἰς τὸ κράνος, τρεῖς δ' εἰς τὸ καθαιρεθὲν ὅπλον ἐκ τοῦ νεὼ τῆς Ἀθηνᾶς, ὅμως οὐκ ἐνεδίδου, ἀλλὰ τῷ παραστήματι τῆς ψυχῆς ἐπαιρόμενος παντὸς δεινοῦ κατεξανίστατο. μετὰ δὲ ταῦτα καὶ τῶν ἄλλων ἐπιφανῶν ἡγεμόνων παρ' αὐτὸν ἐν τοῖς Πέρσαις ἔπεσον πλείους, ὧν ἦσαν ἐπιφανέστατοι Ἀτιζύης καὶ Φαρνάκης ὁ τῆς Δαρείου γυναικὸς ἀδελφός, ἔτι δὲ Μιθροβουζάνης ὁ Καππαδοκῶν ἡγούμενος. διὸ καὶ πολ- 176
λῶν ἡγεμόνων ἀναιρεθέντων, καὶ τῶν Περσικῶν τάξεων

51. ῥύμης L, caeteri ῥώμης 54. μὲν om. Bas. 56. ῥύμῃ Reiskius: libri ῥώμῃ 57. τὸ om. Bas. 58. τὸ ξυστὸν Y Bas., caeteri τὸν ξυστὸν 60. δ' Bas. 64. τὸ ξυστὸν Bas., caeteri τὸν ξυστὸν 66. ῥωσάκκης F: sic et 71. 67. Ἀλεξάνδρου servarunt FL Cospus 77. πάντα] παρὰ τὸν L et qui in marg. γρ. πάντα κινδ. F 83. ἀλλὰ τῷ] τῷ δὲ FL 85. ταῦτα καὶ] ταῦτα T Bas. ἐπιφανῶν om. Cospus 86. ἐν τοῖς] ἐν τοῖς ἐν F 87. Ἀτιζύης] Ἀτυζύης FL, Ἀτιξύης T Cospus, caeteri Ἀτυξύης 88. Μιθροβουζάνης Y Cospus, μιθρωβαρζάνης F, caeteri Μιθροβαρζάνης



ἁπασῶν ὑπὸ τῶν Μακεδόνων ἡττωμένων, πρῶτον μὲν οἱ κατὰ τὸν Ἀλέξανδρον τεταγμένοι φυγεῖν ἠναγκάσθησαν· μετὰ δὲ ταῦτα καὶ τῶν ἄλλων τραπέντων, ὁ μὲν βασιλεὺς ὁμολογούμενον τῆς ἀνδραγαθίας τὸ πρωτεῖον ἀπηνέγκατο, καὶ τῆς ὅλης νίκης ἔδοξε μάλιστα αἴτιος γεγονέναι· μετὰ δὲ τοῦτον οἱ τῶν Θετταλῶν ἱππεῖς ἄριστα ταῖς ἴλαις χρώμενοι καὶ διαφόρως ἀγωνισάμενοι μεγάλην ἐπ' ἀνδρείᾳ δόξαν ἔσχον. μετὰ δὲ τὴν τῶν ἱππέων τροπὴν οἱ πεζοὶ συμβαλόντες ἀλλήλοις ὀλίγον χρόνον ἠγωνίσαντο· οἱ γὰρ βάρβαροι διὰ τὴν τῶν ἱππέων τροπὴν καταπλαγέντες, καὶ ταῖς ψυχαῖς ἐνδόντες, πρὸς φυγὴν ὥρμησαν. ἀνῃρέθησαν δὲ τῶν Περσῶν οἱ πάντες πεζοὶ μὲν πλείους τῶν μυρίων, ἱππεῖς δ' οὐκ ἐλάττους δισχιλίων, ἐζωγρήθησαν δ' ὑπὲρ τοὺς δισμυρίους. μετὰ δὲ τὴν μάχην ὁ βασιλεὺς τοὺς τετελευτηκότας ἔθαψε μεγαλοπρεπῶς, σπεύδων διὰ ταύτης τῆς τιμῆς τοὺς στρατιώτας προθυμοτέρους κατασκευάσαι πρὸς τοὺς ἐν ταῖς μάχαις κινδύνους. αὐτὸς δὲ ἀναλαβὼν τὴν δύναμιν προῆγε διὰ τῆς Λυδίας, καὶ τὴν μὲν τῶν Σαρδιανῶν πόλιν καὶ τὰς ἀκροπόλεις ἔτι δὲ τοὺς ἐν αὐταῖς θησαυροὺς παρέλαβε Μιθρήνους τοῦ σατράπου παραδόντος ἑκουσίως.

22 Εἰς δὲ τὴν Μίλητον συμπεφευγότων τῶν διασωθέντων ἐκ τῆς μάχης Περσῶν μετὰ Μέμνονος τοῦ στρατηγοῦ, ὁ μὲν βασιλεὺς πλησίον τῆς πόλεως στρατοπεδεύσας καθ' ἡμέραν συνεχεῖς προςβολὰς τοῖς τείχεσιν ἐκ διαδοχῆς ἐποιεῖτο. οἱ δὲ πολιορκούμενοι τὸ μὲν πρῶτον ῥᾳδίως ἀπὸ τῶν τειχῶν ἠμύνοντο, πολλῶν μὲν στρατιωτῶν ἠθροισμένων εἰς τὴν πόλιν, βελῶν δὲ καὶ τῶν ἄλλων τῶν εἰς τὴν πολιορκίαν χρησίμων δαψιλῆ χορηγίαν ἔχοντες. ἐπεὶ δὲ ὁ βασιλεὺς φιλοτιμότερον ταῖς τε μηχαναῖς ἐσάλευε τὰ τείχη καὶ τὴν πολιορκίαν ἐνεργεστάτην ἐποιεῖτο κατὰ γῆν ἅμα καὶ κατὰ θάλατταν οἵ τε Μακεδόνες διὰ τῶν πιπτόντων τειχῶν εἰςεβιάζοντο, τηνικαῦτα κατισχυόμενοι πρὸς φυγὴν ἐτράποντο. εὐθὺς δ' οἱ Μιλήσιοι μεθ' ἱκετηριῶν τῷ βασιλεῖ προςπίπτοντες παρέδωκαν σφᾶς αὐτοὺς καὶ τὴν πόλιν. τῶν δὲ βαρ-

176, 94. ὁμολογούμενον] ὁμολογουμένως F 95. πρωτεῖον Stephanus: libri πρώτιστον 96. αἴτιος] πρωταίτιος FL 100. συμβαλόντες] συμβαλλόντες Bas. 1. ἱππέων] ἰδίων FL 6. τοὺς om. Bas. 9. κατασκευάσαι] κατασκευάσασθαι FL 10. προῆγε] προήγετο F 13. Μιθρήνους F, Μιθράνους L, caeteri Μιθρίννους: v. ad p. 210. 63. Μιθράνης est etiam Dioni Chrys. Or. LXXIII. initio. 16. ἐκ] διὰ F 28. ἐτράποντο FL, caeteri ἐτρέποντο

βάρων οἱ μὲν ὑπὸ τῶν Μακεδόνων ἀνῃρέθησαν, οἱ δὲ
τῆς πόλεως ἐκπίπτοντες ἔφευγον· οἱ δ' ἄλλοι πάντες
ἥλωσαν. ὁ δ' Ἀλέξανδρος τοῖς μὲν Μιλησίοις φιλαν-
θρώπως προσηνέχθη, τοὺς δ' ἄλλους ἅπαντας ἐξηνδρα-
ποδίσατο. τῆς δὲ ναυτικῆς δυνάμεως οὔσης ἀχρήστου
καὶ δαπάνας μεγάλας ἐχούσης, κατέλυσε τὸ ναυτικὸν
πλὴν ὀλίγων νεῶν, αἷς ἐχρῆτο πρὸς τὴν παρακομιδὴν
τῶν πολιορκητικῶν ὀργάνων, ἐν αἷς ἦσαν αἱ παρ' Ἀθη-
23 ναίων νῆες συμμαχίδες εἴκοσιν. ἔνιοι δὲ λέγουσι τὸν Ἀλέ- 177
ξανδρον στρατηγικῶς ἐπινοῆσαι τὴν τοῦ στόλου κατά-
λυσιν. προσδοκίμου γὰρ ὄντος τοῦ Δαρείου, καὶ μελ-
λούσης μεγάλης παρατάξεως συντελεῖσθαι, νομίσαι τοὺς
Μακεδόνας ἐκθυμότερον ἀγωνιεῖσθαι παραιρεθείσης τῆς
κατὰ τὴν φυγὴν ἐλπίδος. τὸ δ' αὐτὸ πρᾶξαι κατὰ τὴν
ἐπὶ Γρανίκῳ μάχην· κατὰ νώτου γὰρ λαβεῖν τὸν ποτα-
μόν, ὅπως μηδεὶς ἐπιβάληται φεύγειν, προδήλου τῆς
ἀπωλείας οὔσης τῶν διωκομένων ἐν τῷ τοῦ ποταμοῦ
ῥείθρῳ. καὶ γὰρ κατὰ τοὺς ὕστερον χρόνους Ἀγαθο-
κλέα τὸν Συρακοσίων βασιλέα μιμησάμενον τὴν Ἀλεξάν-
δρου στρατηγίαν ἀνέλπιστον καὶ μεγάλην νίκην περι-
ποιήσασθαι. διαβάντα γὰρ αὐτὸν εἰς Λιβύην μετ' ὀλί-
γης δυνάμεως, καὶ τὰς ναῦς ἐμπρήσαντα, παρελέσθαι
μὲν τῶν στρατιωτῶν τὰς ἐκ τοῦ φεύγειν ἐλπίδας, συν-
αναγκάσαι δὲ γενναίως ἀγωνίσασθαι, καὶ διὰ τοῦτο
Καρχηδονίων ἀντιταχθέντων πολλαῖς μυριάσι νικῆσαι.
μετὰ δὲ τὴν ἅλωσιν τῆς Μιλήτου τὸ πλῆθος τῶν Περ-
σῶν καὶ τῶν μισθοφόρων ἔτι δ' οἱ πρακτικώτατοι τῶν
ἡγεμόνων συνέδραμον εἰς τὴν Ἁλικαρνασσόν. αὕτη δὲ
ἡ πόλις μεγίστη τῶν κατὰ τὴν Καρίαν ἦν, βασίλεια μὲν
ἐσχηκυῖα τὰ Καρῶν, ἀκροπόλεσι δὲ καλαῖς κεκοσμημένη.
κατὰ δὲ τὸν αὐτὸν καιρὸν Μέμνων μὲν τήν τε γυναῖκα
καὶ τὰ τέκνα πρὸς Δαρεῖον ἔπεμψε, καὶ τούτῳ παραθέ-
μενος ἅμα μὲν ὑπέλαβε τῆς ἀσφαλείας αὐτῶν καλῶς πε-
προνοῆσθαι, ἅμα δὲ τὸν βασιλέα καλοὺς ὁμήρους ἔχοντα
προθυμότερον ἐμπιστεύσειν αὐτῷ τὴν τῶν ὅλων ἡγεμο-
νίαν· ὅπερ καὶ συνέβη γενέσθαι. εὐθὺς γὰρ ὁ Δαρεῖος

35. ἅπαντας] πάντας F 39. ἐν αἷς] αἵ τινες FL παρ'] παρὰ τῶν F
177. 44. νομίσαι] νομίσας F 47. νώτου] νῶτον FL 50. Ἀγαθοκλέα] Ἀγαθοκλῆν F 51. τὸν] τῶν Bas. 61. Ἁλικαρνασσὸν] Ἁλικαρνασὸν T Bas., haec quidem semper 62. βασίλεια] βασιλέα F τὰ Καρῶν] τὴν Κάρην L, τὸν Κάρην F 63. καλαῖς] καλῶς Q 65. ἔπεμψε] ἀπέπεμψε FL 67. πεπρονοῆσθαι] προνοεῖσθαι FL, πεπρονοεῖσθαι Bas. 68. ἐμπιστεύσειν] ἐμπιστεύειν Y Bas. 70. ὁ Δαρεῖος om. F



ἔπεμψεν ἐπιστολὰς πρὸς τοὺς κατὰ θάλατταν οἰκοῦντας,
προστάττων ἅπαντας ὑπακούειν τῷ Μέμνονι. διόπερ
οὗτος παραλαβὼν τὴν τῶν ὅλων ἡγεμονίαν παρεσκευά-
ζετο πάντα τὰ χρήσιμα πρὸς πολιορκίαν ἐν τῇ πόλει 24
τῶν Ἁλικαρνασσίων. ὁ δὲ βασιλεὺς Ἀλέξανδρος τὰ μὲν
πολιορκητικὰ τῶν ὀργάνων καὶ σῖτον κατὰ θάλατταν
ἐκόμισεν ἐπὶ τὴν Ἁλικαρνασσόν, αὐτὸς δὲ μετὰ πάσης
τῆς δυνάμεως προῆγεν ἐπὶ τῆς Καρίας, καὶ τὰς ἐν τῇ
παρόδῳ πόλεις προσηγέτο ταῖς φιλανθρωπίαις· μάλιστα
δ' εὐεργέτει τὰς Ἑλληνίδας πόλεις, ποιῶν αὐτὰς αὐτο-
νόμους καὶ ἀφορολογήτους, προσεπιλέγων ὅτι τῆς τῶν
Ἑλλήνων ἐλευθερώσεως ἕνεκα τὸν πρὸς Πέρσας πόλεμον
ἐπανῄρηται. ὄντι δ' αὐτῷ κατὰ τὴν ὁδοιπορίαν ἀπήν-
τησέ τι γύναιον, ὄνομα μὲν Ἄδα, γένει δὲ προσήκουσα
τῇ Καρῶν ἀρχῇ. ἐντυχούσης δ' αὐτῆς περὶ τῆς προγο-
νικῆς δυναστείας, καὶ δεηθείσης βοηθῆσαι, ταύτην μὲν
ἐκέλευσε παραλαβεῖν τὴν τῆς Καρίας ἀρχήν, τοὺς δὲ
Κᾶρας ἰδίους ἐποιήσατο ταῖς εὐνοίαις διὰ τὴν τῆς γυ-
ναικὸς ταύτης εὐεργεσίαν. εὐθὺς γὰρ αἱ πόλεις ἅπασαι
πρεσβείας ἀποστέλλουσαι χρυσοῖς στεφάνοις ἐτίμησαν τὸν
178 βασιλέα καὶ πάντα συμπράττειν ἐπηγγείλαντο. ὁ δ' Ἀλέ-
ξανδρος πλησίον τῆς πόλεως στρατοπεδεύσας συνεστή-
σατο πολιορκίαν ἐνεργὸν καὶ καταπληκτικήν. τὸ μὲν
γὰρ πρῶτον τοῖς τείχεσι προσβολὰς συνεχεῖς ἐκ διαδο-
χῆς ἐποιεῖτο καὶ διημέρευεν ἐν τοῖς κινδύνοις· μετὰ δὲ
ταῦτα παντοδαπὰς μηχανὰς ἐπιστήσας καὶ τὰς πρὸ τῆς
πόλεως τάφρους τρισὶ χελώναις ἀναπληρώσας διὰ τῶν
κριῶν ἐσάλευε τοὺς πύργους καὶ τὰ μεταξὺ μεσοπύργια.
καταβαλὼν δὲ μέρος τι τοῦ τείχους τὸ λοιπὸν ἤδη διὰ
τῆς ἐκ χειρὸς μάχης ἐβιάζετο διὰ τοῦ πτώματος εἰς τὴν
πόλιν εἰσπεσεῖν. Μέμνων δὲ τὸ μὲν πρῶτον τοὺς προσ-
βάλλοντας τοῖς τείχεσι Μακεδόνας ῥᾳδίως ἠμύνετο, πολ-
λῶν ὄντων ἐν τῇ πόλει στρατιωτῶν· κατὰ δὲ τὰς τῶν
ὀργάνων προσβολὰς μετὰ πολλῶν στρατιωτῶν ἐκχεόμε-
νος ἐκ τῆς πόλεως νυκτὸς πῦρ ἐνέβαλε ταῖς μηχαναῖς.
μεγάλων δ' ἀγώνων πρὸ τῆς πόλεως συνισταμένων, οἱ
μὲν Μακεδόνες ταῖς ἀρεταῖς πολὺ προεῖχον, οἱ δὲ Πέρ-
σαι τῷ πλήθει καὶ ταῖς παρασκευαῖς ἐπλεονέκτουν· συν-

71. κατὰ] παρὰ F 72. οὗτος FLQ, caeteri οὕτως 79. τῆς Καρίας] Καρίας F 89. δὲ om. Bas. 91. πρεσβείας] πρέσβεις FL 92. ἀποστέλλουσαι] ἀποστείλασαι F 93. ἐπηγγείλοντο Bas.
178. 4. τὴν πόλιν εἰσπεσεῖν] πόλιν εἰσελθεῖν subscripto πεσεῖν F 5. προσβάλλοντας FL, caeteri προσβαλόντας 7. κατὰ] πρὸς FL 8. μετὰ] καὶ μετὰ FL

ἤργουν γὰρ αὐτοῖς οἱ ἀπὸ τῶν τειχῶν συναγωνιζόμενοι, καὶ τοῖς ὀξυβελέσι καταπέλταις οὓς μὲν ἀπέκτεινον τῶν πολεμίων οὓς δὲ κατετίτρωσκον.

25 ὁμοῦ δὲ αἵ τε σάλπιγγες ἐσήμαινον παρ' ἀμφοτέροις τὸ πολεμικὸν καὶ βοὴ πανταχόθεν ἐγίνετο, συνεπισημαινομένων τῶν στρατιωτῶν τὰς παρ' ἑκατέρων ἀνδραγαθίας. οἱ μὲν γὰρ τὴν ἐν ταῖς μηχαναῖς αἱρομένην εἰς ὕψος φλόγα κατέπαυον, οἱ δ' εἰς χεῖρας συμπλεκόμενοι πολὺν ἐποίουν φόνον, ἄλλοι δ' ἐντὸς τῶν πιπτόντων τειχῶν ἀντῳκοδόμουν ἕτερα τείχη πολὺ τῶν προϋπαρχόντων βαρύτερα ταῖς παρασκευαῖς. τῶν δ' ἡγεμόνων τῶν περὶ τὸν Μέμνονα προκινδυνευόντων, καὶ μεγάλας διδόντων δωρεὰς τοῖς ἀνδραγαθοῦσιν, ἀνυπέρβλητος φιλοτιμία παρ' ἀμφοτέροις ἐγίνετο περὶ τῆς νίκης. διὸ καὶ παρῆν ὁρᾶν τοὺς μὲν τραύμασιν ἐναντίοις περιπίπτοντας καὶ κατὰ τὰς λιποψυχίας ἀποφερομένους ἐκ τῆς μάχης, τοὺς δὲ περιβαίνοντας τὰ πίπτοντα σώματα καὶ περὶ τῆς τούτων ἀναιρέσεως μεγάλους ἀγῶνας συνισταμένους, ἄλλους δὲ διὰ τὴν ὑπερβολὴν τῶν δεινῶν ἐνδιδόντας ἤδη, καὶ διὰ τῆς ὑπὸ τῶν ἡγεμόνων παρακλήσεως πάλιν θαῤῥοῦντας καὶ νεαροὺς ταῖς ψυχαῖς γινομένους. τέλος δὲ πρὸς αὐταῖς ταῖς πύλαις ἔπεσόν τινες τῶν Μακεδόνων, καὶ σὺν αὐτοῖς Νεοπτόλεμος ἡγεμών, ἀνὴρ ἐπιφανής. μετὰ δὲ ταῦτα δύο μὲν πύργων εἰς ἔδαφος καθῃρημένων καὶ δυοῖν μεσοπυργίων ἐῤῥιμμένων, τῶν μὲν Περδίκκου στρατιωτῶν τινες μεθυσθέντες προπετῶς νυκτὸς προςέβαλλον τοῖς τῆς ἀκροπόλεως τείχεσιν· οἱ δὲ περὶ τὸν Μέμνονα συννοήσαντες τὴν ἀπειρίαν τῶν προςβαλλόντων, καὶ ἐπεξελθόντες καὶ τῷ πλήθει πολὺ προέχοντες, ἐτρέψαντο τοὺς Μακεδόνας καὶ πολλοὺς ἀνῄρουν. γνωσθέντος δὲ τοῦ συμβεβηκότος ἐξεβοήθουν πολλοὶ τῶν Μακεδόνων· καὶ μεγάλης μάχης γενομένης, καὶ τῶν περὶ τὸν Ἀλέξαν- 179
δρον ἐπιφανέντων, οἱ μὲν Πέρσαι βιασθέντες συνεκλείσθησαν εἰς τὴν πόλιν, ὁ δὲ βασιλεὺς τοὺς πεσόντας πρὸ τοῦ τείχους Μακεδόνας διακηρυκευσάμενος ᾔτησεν ὑποσπόνδους. Ἐφιάλτης μὲν οὖν καὶ Θρασύβουλος οἱ Ἀθηναῖοι συμμαχοῦντες τοῖς Πέρσαις συνεβούλευον μὴ διδόναι τοὺς νεκροὺς πρὸς ταφήν· ὁ δὲ Μέμνων συνεχώρησε.

26 Μετὰ δὲ ταῦτα Ἐφιάλτης βουλευομένων τῶν ἡγεμόνων συνεβούλευε μὴ περιμένειν ἕως ἂν ἁλούσης τῆς πόλεως αἰχμάλωτοι καταστῶσιν, ἀλλ' αὐτοὺς τοὺς ἡγεμόνας προκινδυνεύοντας τῶν μισθοφόρων ἐπιθέσθαι τοῖς πολεμίοις. ὁ δὲ Μέμνων ὁρῶν τὸν Ἐφιάλτην πρὸς ἀρετὴν ὁρμώμενον, καὶ μεγάλας ἔχων ἐλπίδας ἐν αὐτῷ διὰ τὴν ἀνδρείαν καὶ τὴν τοῦ σώματος ῥώμην, συνεχώρησεν αὐτῷ πράττειν ὃ βούλοιτο. ὁ δὲ διςχιλίους τῶν μισθοφόρων ἐπιλέκτους ἀναλαβών, καὶ τοῖς ἡμίσεσι διαδοὺς δᾷδας ἡμμένας, τοὺς δὲ ἄλλους ἀντιτάξας τοῖς πολεμίοις, ἄφνω τὰς πύλας πάσας ἀνεπέτασεν. ἅμα δ' ἡμέρᾳ μετὰ τούτων ἐκχυθείς, τοῖς μὲν μηχανήμασιν ἐνῆκε πῦρ· καὶ παραχρῆμα πολλὴν συνέβη γενέσθαι φλόγα. τῶν δ' ἄλλων ἐν βαθείᾳ φάλαγγι πεπυκνωμένων αὐτὸς προηγεῖτο, καὶ τοῖς ἐκβοηθοῦσι Μακεδόσιν ἐπέῤῥαξεν. ὁ δὲ βασιλεὺς κατανοήσας τὸ γινόμενον, τοὺς μὲν προμάχους τῶν Μακεδόνων πρώτους ἔταξε, τοὺς δ' ἐφέδρους ἔστησε τοὺς ἐπιλέκτους· ἐπὶ δὲ τούτοις τρίτους ἐπέταξεν ἑτέρους τοὺς ταῖς ἀνδραγαθίαις ὑπεράγοντας· αὐτὸς δὲ πρὸ πάντων τούτων ἡγούμενος ὑπέστη τοὺς πολεμίους, δόξαντας διὰ τὸ βάρος ἀκαταγωνίστους εἶναι. ἐξέπεμψε δὲ καὶ τοὺς κατασβέσοντας τὴν φλόγα καὶ βοηθήσοντας ταῖς μηχαναῖς. ἅμα δὲ παρ' ἀμφοτέροις τῆς τε βοῆς ἐξαισίου γινομένης καὶ τῶν σαλπίγγων σημαινουσῶν τὸ πολεμικόν, μέγας ἀγὼν συνέστη διὰ τὰς ἀρετὰς τῶν ἀγωνιζομένων καὶ τὴν ὑπερβολὴν τῆς φιλοτιμίας. τὸ μὲν οὖν πῦρ ἐκώλυσαν οἱ Μακεδόνες ἐπινεμηθῆναι, κατὰ δὲ τὴν μάχην ἐπλεονέκτουν οἱ περὶ τὸν Ἐφιάλτην. οὗτος γὰρ πολὺ προέχων τῶν ἄλλων τῇ τοῦ σώματος ῥώμῃ πολλοὺς ἀνῄρει τῶν εἰς χεῖρας ἐρχομένων. οἵ τε ἐφεστῶτες ἐπὶ τῷ προςφάτως ἀντικατασκευασθέντι τείχει

15. ἀπέκτεινον] ἀπέκτενον F: conf. ad p. 21. 14., ubi quod erat ἀπέκταινον, ei conferendum κατακταίνων apud Leonem p. 97. 8. ed. Bonn. 17. ὁμοῦ] ὅμως F 19. τὰς — ἀνδραγαθίας L, caeteri ταῖς — ἀνδραγαθίαις 21. αἱρομένην] αἱρουμένην F δ' F 23. πιπτόντων] πεπτωκότων F 25. παρασκευαῖς] immo κατασκευαῖς 26. διδόντων] διαδόντων L, διαδιδόντων F δωρεὰς post μεγάλας ponit F 28. ἐγίγνετο F 30. λιποψυχίας F, caeteri λειποψυχίας 34. ὑπὸ om. Bas. 40. δυοῖν] δυεῖν L τῶν μὲν] τῶν μερῶν μὲν τοῦ X 45. προέχοντες] περιέχοντες L ἐτρέψαντο — καὶ om. F, ἔτρεψαν Bas.



179. 54. πρὸς ταφὴν] εἰς ταφὴν L 58. ἀλλ' F, caeteri ἀλλὰ 66. δὲ ἄλλους L, caeteri om. δὲ 67. πάσας] πάντας Bas., om. FL 69. πολλὴν συνέβη om. F 74. τοὺς δ' ἐφέδρους] πρὸς τοὺς ἐφέδρους δὲ FL, qui Μακεδόνων ἔταξε πρώτους, ἐφέδρους δὲ voluisse videntur: τούτοις δ' ἐφέδρους Reiskius 75. ἐπέταξεν] ὑπέταξεν F 76. ὑπεράγοντας] ὑπερέχοντας FLQ πρὸ πάντων FLTX Bas., caeteri πάντων 78. δόξαντας — ἀκαταγωνίστους εἶναι] δόξαντας — ἀκαταγωνίστους, σι super αντας et οις super ους posito, F 83. ἀγωνιζομένων X Bas., caeteri συναγωνιζομένων

πολλοὺς ἀνῄρουν πυκνοῖς τοῖς βέλεσι χρώμενοι· ἑκατὸν γὰρ πηχῶν τὸ ὕψος πύργος ξύλινος κατεσκεύαστο, πλήρης καταπελτῶν ὀξυβελῶν. πολλῶν δὲ Μακεδόνων πιπτόντων, καὶ τῶν ἄλλων ἀναχωρούντων διὰ τὸ πλῆθος τῶν βελῶν, τοῦ τε Μέμνονος πολλαπλασίοις στρατιώταις ἐπιβοηθοῦντος, καὶ αὐτὸς ὁ βασιλεὺς εἰς πολλὴν ἀμηχα-
27 νίαν ἐνέπιπτεν. ἔνθα δὴ τῶν ἐκ τῆς πόλεως κατισχυόντων παραδόξως ὁ κίνδυνος παλίντροπον τὴν μάχην ἔσχεν. οἱ γὰρ πρεσβύτατοι τῶν Μακεδόνων, διὰ μὲν τὴν ἡλικίαν ἀπολελυμένοι τῶν κινδύνων, συνεστρατευμένοι δὲ 180
Φιλίππῳ καὶ πολλὰς μάχας κατωρθωκότες, ὑπὸ τῶν καιρῶν εἰς ἀλκὴν προεκλήθησαν. φρονήματι δὲ καὶ ταῖς κατὰ πόλεμον ἐμπειρίαις πολὺ προέχοντες, τοῖς μὲν φυγομαχοῦσι νεωτέροις πικρῶς ὠνείδισαν τὴν ἀνανδρίαν, αὐτοὶ δὲ συναθροισθέντες καὶ συνασπίσαντες ὑπέστησαν τοὺς δοκοῦντας ἤδη νενικηκέναι. τέλος δὲ τόν τε Ἐφιάλτην καὶ πολλοὺς ἄλλους ἀνελόντες τοὺς λοιποὺς ἠνάγκασαν εἰς τὴν πόλιν συμφυγεῖν. οἱ δὲ Μακεδόνες τῆς νυκτὸς ἐπιλαβούσης τοῖς φεύγουσι συνεισέπεσον ἐντὸς τῶν τειχῶν· τοῦ δὲ βασιλέως κελεύσαντος σημῆναι τὸ ἀνακλητικόν, ἀνεχώρησαν εἰς τὸ στρατόπεδον. οἱ δὲ περὶ τὸν Μέμνονα στρατηγοὶ καὶ σατράπαι συνελθόντες ἔγνωσαν τὴν μὲν πόλιν ἐκλιπεῖν, εἰς δὲ τὴν ἀκρόπολιν τοὺς ἀρίστους τῶν στρατιωτῶν καταστήσαντες μετὰ τῆς ἁρμοζούσης χορηγίας τὸν λοιπὸν ὄχλον καὶ τὰ χρήματα ἀπεκόμισαν εἰς τὴν Κῶν. ὁ δ' Ἀλέξανδρος ἅμ' ἡμέρᾳ γνοὺς τὸ γεγενημένον, τὴν μὲν πόλιν κατέσκαψε, τῇ δ' ἀκροπόλει περιέθηκε τεῖχος καὶ τάφρον ἀξιόλογον· αὐτὸς δὲ μέρος τῆς δυνάμεως μετὰ στρατηγῶν ἐξέπεμψεν εἰς τὴν μεσόγειον, προστάξας τὰ συνεχῆ τῶν ἐθνῶν χειροῦσθαι. οὗτοι μὲν οὖν ἐνεργῶς πολεμήσαντες, πᾶσαν τὴν χώραν μέχρι τῆς μεγάλης Φρυγίας καταστρεψάμενοι, διέθρεψαν τοὺς στρατιώτας ἐκ τῆς πολεμίας. ὁ δ' Ἀλέξανδρος τὴν παραθαλαττίαν πᾶσαν μέχρι Κιλικίας χειρωσάμενος πολλὰς πόλεις κατεκτήσατο, καὶ φρούρια καρτερὰ φιλοτιμότερον πολιορκήσας τῇ βίᾳ κατεπόνησεν, ἐν οἷς ἑνὸς παραδόξως ἐκράτησε, περὶ οὗ διὰ τὴν ἰδιότητα τῆς περιπετείας οὐκ
28 ἄξιον παραλιπεῖν. τῆς γὰρ Λυκίας περὶ τὰς ἐσχατιὰς πέτραν μεγάλην ὀχυρότητι διαφέρουσαν ᾤκουν οἱ Μαρ-

93. *Μακεδόνων*] *τῶν Μακεδόνων* F
180. 5. *ἀνανδρείαν* Bas. 7. *ἄλλους* om. Bas. 16. *τὸν λοιπὸν*] libri *καὶ τὸν λοιπὸν* 17. *Κῶν*] *Κῶ* FL
19. *περιέθηκε*] *προέθηκε* FL 23. *οὖν* F 24. *διέθρεψαν* L, caeteri *διέτρεψαν* 32. *Λυκίας*] *Κιλικίας* Cospus



μαρεῖς ὀνομαζόμενοι, οἵτινες παριόντος Ἀλεξάνδρου τὸ χωρίον ἐπέθεντο τοῖς κατὰ τὴν οὐραγίαν Μακεδόσι, καὶ συχνοὺς ἀνελόντες πολλὰ τῶν σωμάτων καὶ τῶν ὑποζυγίων ἀφήρπασαν. ἐπὶ δὲ τούτοις ὁ βασιλεὺς παροξυνθείς, συνεστήσατο πολιορκίαν καὶ πᾶσαν εἰσεφέρετο σπουδὴν βίᾳ κρατῆσαι τοῦ χωρίου. οἱ δὲ Μαρμαρεῖς, ἀνδρείᾳ διαφέροντες καὶ τῇ τῶν τόπων ἐρυμνότητι πιστεύοντες, ὑπέμενον εὐρώστως τὴν πολιορκίαν, ἐπὶ μὲν οὖν ἡμέρας δύο συνεχεῖς ἐγίνοντο προσβολαί, καὶ φανερὸς ἦν ὁ βασιλεὺς οὐκ ἀποστησόμενος ἕως ἂν ἕλῃ τὴν πέτραν. οἱ δὲ πρεσβύτεροι τῶν Μαρμαρέων τὸ μὲν πρῶτον συνεβούλευον τοῖς νέοις παυσαμένοις τῆς βίας ἐφ' οἷς ἦν δυνατὸν συλλυθῆναι πρὸς τὸν βασιλέα· οὐ πειθομένων δ' αὐτῶν, ἀλλὰ πάντων φιλοτιμουμένων συναποθανεῖν τῇ τῆς πατρίδος ἐλευθερίᾳ, παρεκάλεσαν αὐτοὺς τέκνα μὲν καὶ γυναῖκας καὶ τοὺς γεγηρακότας ἀνελεῖν, αὐτοὺς δὲ τοὺς δυναμένους διὰ τῆς ἀλκῆς σώζεσθαι νυκτὸς διὰ μέσων τῶν πολεμίων διεκπεσεῖν καὶ καταφυγεῖν εἰς τὴν πλησίον ὀρεινήν. συγκαταθεμένων
181 δὲ τῶν νέων, καὶ προσταξάντων κατ' οἰκίαν ἑκάστους μετὰ τῆς συγγενείας ἀπολαύσαντας τῶν προσηνεστάτων βρωτῶν τε καὶ ποτῶν ὑπομεῖναι τὸ δεινόν, ἔδοξε τοῖς νέοις οὖσιν ὡς ἑξακοσίοις τοῦ μὲν φονεύειν τοὺς προσήκοντας ἀποσχέσθαι, τὰς δ' οἰκίας ἐμπρῆσαι καὶ διὰ τῶν πυλῶν ἐκχυθέντας εἰς τὴν ὀρεινὴν ἀποχωρῆσαι. οὗτοι μὲν οὖν τὰ δεδογμένα συντελέσαντες ταῖς ἰδίαις ἑστίαις ἑκάστους ἐποίησαν ἐνταφῆναι· αὐτοὶ δὲ διὰ μέσων τῶν περιεστρατοπεδευκότων ἔτι νυκτὸς οὔσης διεκπεσόντες ἔφυγον εἰς τὴν πλησίον ὀρεινήν. ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Νικοκράτους ἐν Ῥώμῃ 29
τὴν ὕπατον ἀρχὴν διεδέξαντο Καίσων Οὐαλέριος καὶ Λεύκιος Παπίριος. ἐπὶ δὲ τούτων Δαρεῖος χρημάτων πλῆθος ἐξέπεμψε τῷ Μέμνονι καὶ τοῦ πολέμου παντὸς ἀπέδειξε στρατηγόν. ὁ δὲ μισθοφόρων πλῆθος ἀθροίσας καὶ τριακοσίας ναῦς πληρώσας ἐνεργῶς διῴκει τὰ κατὰ τὸν πόλεμον. Χίον μὲν οὖν προσηγάγετο· πλεύσας δ'

42. *ἐγίγνοντο* F 52. *μέσων*] *μέσον* F *διεκπεσεῖν* FL, caeteri *διεκφυγεῖν*
181. 54. *κατ' οἰκίαν ἑκάστους*] invertit F 57. *μὲν* om. F 58. *ἀποσχέσθαι* FLX, caeteri *ἀπέχεσθαι* *τὰς δ' οἰκίας*] *τοὺς δ' οἴκους πάντας* F 59. *ἐκχυθέντας*] *ἐκχυθέντες* FL 62. *μέσων*] *μέσον* FL 67. *διεδέξαντο*] *διεδέξατο* T Bas. *Οὐαλέριος*] *Οὐαλλέριος* T Bas.
72. *ἐνεργῶς*] *ἐν ωρᾳ* suprascripto *εργῶς* F

ἐπὶ Λέσβον Ἄντισσαν μὲν καὶ Μήθυμναν καὶ Πύῤῥαν καὶ Ἔρεσον ῥαδίως ἐχειρώσατο, τὴν δὲ Μυτιλήνην μεγάλην οὖσαν καὶ παρασκευαῖς μεγάλαις καὶ πλήθει τῶν ἀμυνομένων ἀνδρῶν κεχορηγημένην πολλὰς ἡμέρας πολιορκήσας, καὶ πολλοὺς τῶν στρατιωτῶν ἀποβαλών, μόλις εἷλε κατὰ κράτος. εὐθὺς δὲ τῆς περὶ τὸν στρατηγὸν ἐνεργείας διαβοηθείσης, αἱ πλείους τῶν Κυκλάδων νήσων διεπρεσβεύοντο. προςπεσούσης δὲ φήμης εἰς τὴν Ἑλλάδα διότι Μέμνων μετὰ τοῦ στόλου μέλλει πλεῖν ἐπ' Εὐβοίας, αἱ μὲν κατὰ τὴν νῆσον ταύτην πόλεις περίφοβοι καθειστήκεισαν, οἱ δὲ τὰ τῶν Περσῶν αἱρούμενοι τῶν Ἑλλήνων, ἐν οἷς ὑπῆρχον καὶ Σπαρτιᾶται, μετέωροι ταῖς ἐλπίσιν ἐγίνοντο πρὸς καινοτομίαν. ὁ δὲ Μέμνων χρήμασι διαφθείρων πολλοὺς τῶν Ἑλλήνων ἔπεισε κοινωνεῖν τῶν Περσικῶν ἐλπίδων. οὐ μὴν ἡ τύχη εἴασεν ἐπὶ πλεῖον προελθεῖν τὴν τἀνδρὸς ἀρετήν· ὁ γὰρ Μέμνων περιπεσὼν ἀῤῥωστίᾳ καὶ πάθει παραβόλῳ συσχεθεὶς μετήλλαξε, καὶ τῇ τούτου τελευτῇ συνετρίβη καὶ τὰ τοῦ Δαρείου πράγματα.

30 Προσεδόκησε μὲν γὰρ ὁ βασιλεὺς μεταθήσεσθαι τὸν πάντα πόλεμον ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην· ὡς δ' ἤκουσε τὴν Μέμνονος τελευτήν, συνήγαγε τῶν φίλων συνέδριον, καὶ προέθηκε βουλὴν πότερον δεῖ στρατηγοὺς καὶ στρατιὰν καταπέμπειν ἐπὶ θάλατταν ἢ τὸν βασιλέα μετὰ πάσης τῆς δυνάμεως καταβάντα διαγωνίζεσθαι τοῖς Μακεδόσιν. ἔνιοι μὲν οὖν ἔφασαν δεῖν αὐτὸν τὸν βασιλέα παρατάττεσθαι, καὶ τὸ πλῆθος τῶν Περσῶν ἀπεφαίνοντο προθυμότερον ἀγωνιεῖσθαι. Χαρίδημος δ' Ἀθηναῖος, ἀνὴρ θαυμαζόμενος ἐπ' ἀνδρείᾳ καὶ δεινότητι στρατηγίας, συνεστρατεύσατο μὲν Φιλίππῳ τῷ βασιλεῖ καὶ πάντων τῶν ἐπιτηδευμάτων ἀρχηγὸς καὶ σύμ- 182 βουλος γεγονὼς ἦν, συνεβούλευε δὲ τῷ Δαρείῳ μὴ προπετῶς ἀποκυβεῦσαι περὶ τῆς βασιλείας, ἀλλ' αὐτὸν μὲν τὸ βάρος καὶ τὴν τῆς Ἀσίας ἀρχὴν συνέχειν, ἐπὶ δὲ τὸν πόλεμον ἀποστέλλειν στρατηγὸν πεῖραν δεδωκότα τῆς ἰδίας ἀρετῆς. δύναμιν δ' ἱκανὴν εἶναι δέκα μυριάδων,

75. Ἔρεσον Cospus, caeteri Ἔρεσσον Μιτυλήνην Cospus, caeteri Μιτυλήνην καὶ Λέσβον 79. εὐθὺς] εὐθὺ F 82. φήμης] τῆς φήμης F 87. libri ἐγίγνοντο 90. προελθεῖν] ἐλθεῖν FL τἀνδρὸς] τοῦ ἀνδρὸς F 98. τῶν] τε τῶν F 100. θάλατταν] θαλάττης FL τῆς δυνάμεως FL, caeteri δυνάμεως 2. τὸν βασιλέα] βασιλέα F 3. ἀπεφαίνοντο] ἀπέφαινον FL

182. 8. συνεβούλευε δὲ F, caeteri συνεβούλευέ τε 12. ἀρετῆς Rhodomannus: libri ἀρχῆς: prudentia Cospus εἶναι δέκα] τῶν δέκα FL



ἧς τὸ τρίτον Ἕλληνας ποιῆσαι μισθοφόρους, καὶ δι' ἐμφάσεως αὐτὸς ἀνεδέχετο κατορθώσειν τὴν ἐπιβολὴν ταύτην. τὸ μὲν οὖν πρῶτον ὁ βασιλεὺς συγκατετίθετο τοῖς λεγομένοις, μετὰ δὲ ταῦτα τῶν φίλων γενναιότερον ἀντειπόντων καὶ τὸν Χαρίδημον εἰς ὑποψίαν ἀγόντων ὅτι τῆς στρατηγίας ὀρέγεται τυχεῖν, ὅπως τοῖς Μακεδόσι προδῷ τὴν Περσῶν ἡγεμονίαν, ὁ μὲν Χαρίδημος παροργισθεὶς καὶ προχειρότερον ὀνειδίσας τὴν Περσῶν ἀνανδρίαν ἐποίησεν ἐπὶ πλεῖον προςκόψαι τὸν βασιλέα τοῖς λόγοις. τοῦ θυμοῦ δὲ τὸ συμφέρον ἀφαιρουμένου, ὁ μὲν Δαρεῖος ἐπιλαβόμενος τῆς τοῦ Χαριδήμου ζώνης κατὰ τὸν τῶν Περσῶν νόμον παρέδωκε τοῖς ὑπηρέταις καὶ προςέταξεν ἀποκτεῖναι. ὁ δὲ Χαρίδημος ἀπαγόμενος ἐπὶ τὸν θάνατον ἀνεβόησε μεταμελήσειν ταῦτα ταχὺ τῷ βασιλεῖ καὶ τῆς ἀδίκου τιμωρίας αὐτοῦ σύντομον ἕξειν τὴν κόλασιν ἐπιδόντα τὴν κατάλυσιν τῆς βασιλείας. Χαρίδημος μὲν οὖν μεγάλων ἐλπίδων ἐκπεσών, διὰ παῤῥησίαν ἄκαιρον τοιαύτην ἔσχε τὴν τοῦ βίου καταστροφήν. ὁ δὲ βασιλεὺς ἀνέντος τοῦ θυμοῦ τὴν ψυχὴν μετενόησε, καὶ κατεμέμψατο ἑαυτὸν ὡς τὰ μέγιστα ἡμαρτηκότα. ἀλλ' οὐ γὰρ ἦν δυνατὸν τὸ γεγονὸς διὰ τῆς βασιλικῆς ἐξουσίας ἀγένητον κατασκευάσαι. διόπερ ὀνειροπολούμενος ταῖς Μακεδόνων ἀρεταῖς, καὶ τὴν ἐνέργειαν τὴν Ἀλεξάνδρου πρὸ ὀφθαλμῶν λαμβάνων, ἐζήτει στρατηγὸν ἀξιόχρεων τὸν διαδεξόμενον τὴν τοῦ Μέμνονος ἡγεμονίαν· οὐ δυνάμενος δ' εὑρεῖν, αὐτὸς ἠναγκάζετο καταβαίνειν εἰς τὸν ὑπὲρ τῆς βασιλείας κίνδυνον.

31 εὐθὺς οὖν μετεπέμπετο τὰς πανταχόθεν δυνάμεις καὶ προςέταξεν ἀπαντᾶν εἰς Βαβυλῶνα, καὶ τῶν φίλων καὶ τῶν συγγενῶν ἐπελέγετο τοὺς εὐθέτους, ὧν τοῖς μὲν τὰς ἁρμοζούσας ἡγεμονίας κατεμέριζε, τοὺς δὲ μεθ' ἑαυτοῦ κινδυνεύειν προςέταττεν. ὡς δ' ὁ τῆς στρατείας ἀφωρισμένος χρόνος προςεγένετο, κατήντησαν ἅπαντες εἰς τὴν Βαβυλῶνα. ὁ δ' ἀριθμὸς ἦν τῶν στρατιωτῶν πεζοὶ μὲν πλείους τῶν τετταράκοντα μυριάδων, ἱππεῖς δὲ οὐκ

15. κατορθώσειν] κατορθῶσαι FL ἐπιβολὴν] ἐπιβουλὴν F 22. ἀνανδρείαν Bas. πλεῖον] πλείω F Bas. 23. θυμοῦ δὲ FLT, caeteri δὲ θυμοῦ ἀφαιρουμένου] ἀναιρουμένου, φ super ν posito, F 27. τὸν om. F 29. αδίκου τιμωρίας] ἀδίκου τιμωρίας (sic) L, τῆς αὐτοῦ τιμωρίας ἀδίκου F 30. ἐπιδόντα] ἐπιδόντος Bas. 31. ἐλπίδων om. Bas. 32. τὴν τοῦ] τοῦ FL 34. 35. ἑαυτὸν — ἡμαρτηκότα] ἑαυτοῦ — ἡμαρτηκότος FL 36. ἀγένητον] ἀγίννητον Bas. 40. διαδεξάμενον τὴν Μέμνονος Bas.

47. τοὺς] τοῖς F 48. μεθ' ἑαυτοῦ] μετ' αὐτοῦ LT, μετ' ἑαυτοῦ Bas. 49. στρατείας] στρατιᾶς F

ἐλάττους τῶν δέκα μυριάδων. Δαρεῖος μὲν οὖν μετὰ
τοσαύτης δυνάμεως ἀναζεύξας ἐκ Βαβυλῶνος προῆγεν· ἐπὶ
Κιλικίας, ἔχων μεθ' ἑαυτοῦ τήν τε γυναῖκα καὶ τὰ τέκνα,
υἱὸν καὶ δύο θυγατέρας, καὶ τὴν μητέρα. Ἀλέξανδρος 183
δὲ πρὸ μὲν τῆς Μέμνονος τελευτῆς, πυνθανόμενος Χίον
καὶ τὰς ἐν Λέσβῳ πόλεις κεχειρῶσθαι, τὴν δὲ Μυτιλή-
νην κατὰ κράτος ἡλωκυῖαν, πρὸς δὲ τούτοις τὸν Μέ-
μνονα τριακοσίαις τριήρεσι καὶ πεζικῇ δυνάμει μέλλοντα
στρατεύειν ἐπὶ Μακεδονίαν, τῶν δ' Ἑλλήνων τοὺς
πλείους ἑτοίμους εἶναι πρὸς ἀπόστασιν, οὐ μετρίως ἠγω-
νία. ὡς δ' ἧκόν τινες ἀπαγγέλλοντες τὴν τοῦ Μέμνο-
νος τελευτήν, ἀπελύθη τῆς πολλῆς ἀγωνίας. μετ' ὀλίγον
δ' εἰς ἀῤῥωστίαν βαρυτέραν ἐμπεσὼν καὶ χαλεπῷ πάθει
συνεχόμενος συνεκάλεσε τοὺς ἰατρούς. τῶν μὲν οὖν
ἄλλων ἕκαστος δυςχερῶς εἶχε πρὸς τὴν θεραπείαν, Φί-
λιππος δ' Ἀκαρνὰν τὸ γένος παραβόλοις καὶ συντόμοις
ἰατρείαις χρώμενος ἐπηγγείλατο διὰ φαρμακείας λύσειν
τὴν νόσον. ἀσμένως δὲ τοῦ βασιλέως ὑπακούσαντος
διὰ τὸ λέγεσθαι Δαρεῖον μετὰ τῆς δυνάμεως ἐκ Βαβυ-
λῶνος ὡρμηκέναι, ὁ μὲν ἰατρὸς δοὺς φάρμακον πιεῖν,
καὶ συνεργὸν λαβὼν τὴν φύσιν τοῦ κάμνοντος καὶ τὴν
τύχην, εὐθὺς ἀπήλλαξε τῆς νόσου τὸν Ἀλέξανδρον. οὗ-
τος μὲν οὖν παραδόξως ἐκφυγὼν τὸν κίνδυνον, καὶ τὸν
ἰατρὸν τιμήσας μεγαλοπρεπῶς, κατέταξεν αὐτὸν εἰς τοὺς
εὐνουστάτους τῶν φίλων.

32 Ἡ δὲ μήτηρ τοῦ βασιλέως ἔγραψε πρὸς τὸν Ἀλέ-
ξανδρον τά τε ἄλλα τῶν χρησίμων καὶ διότι φυλάξα-
σθαι προςήκει τὸν Λυγκηστὴν Ἀλέξανδρον. οὗτος δ'
ὢν ἀνδρείᾳ διαφέρων καὶ φρονήματος πλήρης, καὶ συμ-
παρακολουθῶν τῷ βασιλεῖ μετὰ τῶν ἄλλων φίλων, ἐπι-
στεύετο. πολλῶν δὲ καὶ ἄλλων εὐλόγων συνδραμόντων
πρὸς ταύτην τὴν διαβολήν, συλληφθεὶς καὶ δεθεὶς εἰς
φυλακὴν παρεδόθη, ὡς τευξόμενος δικαστηρίου. ὁ δὲ
Ἀλέξανδρος πυθόμενος τὸν Δαρεῖον ὀλίγων ἡμερῶν ὁδὸν

55. μεθ' ἑαυτοῦ] μετ' αὐτοῦ FL 56. τὰ τέκνα om. L Cospus

183. 62. πλείους] πλείστους L 63. εἶναι] γε F 64. τοῦ Μέμνονος FL, caeteri Μέμνονος 66. δ' F 70. ἰατρείαις FLQ, caeteri θεραπείαις 71. λύσειν] λύειν TX Bas. 74. πιεῖν] τοῦ πιεῖν L 75. τύχην FLQXY, caeteri τέχνην 76. οὗτος] οὕτως L 77. τὸν ἰατρὸν] τοῦτον Bas. 82. Λυγκηστὴν Wesselingius, Λυγκίστην FLQTXY Cospus, caeteri Λυκίστην 83. διαφέρων L, τε διαφέρων F, caeteri διάφορος 86. εὐλόγων] λόγων QXY Bas., Cospus 87. δεθεὶς] δεηθεὶς Bas.



ἀπέχειν, Παρμενίωνα μὲν μετὰ τῆς δυνάμεως ἀπέστειλε
προκαταληψόμενον τὰς παρόδους καὶ τὰς ὀνομαζομένας
πύλας· οὗτος δ' ἐπιβαλὼν τοῖς τόποις, καὶ τοὺς προκα-
τειληφότας τὰς δυςχωρίας βαρβάρους βιασάμενος, κύριος
ἐγένετο τῶν παρόδων. Δαρεῖος δὲ βουλόμενος εὔζωνον
ποιῆσαι τὴν δύναμιν, τὰ μὲν σκευοφόρα καὶ τὸν περιτ-
τὸν ὄχλον εἰς Δαμασκὸν τῆς Συρίας ἀπέθετο· τὸν δ'
Ἀλέξανδρον πυθόμενος τὰς δυςχωρίας προκατειληφέναι,
καὶ νομίσας αὐτὸν μὴ τολμᾶν ἐν τῷ πεδίῳ διαγωνίζε-
σθαι, προῆγεν ἐπ' αὐτὸν σύντονον τὴν ὁδοιπορίαν
ποιούμενος. οἱ δ' ἐγχώριοι τῆς μὲν τῶν Μακεδόνων
ὀλιγότητος καταφρονήσαντες, τὸ δὲ πλῆθος τῆς τῶν Περ-
σῶν στρατιᾶς καταπεπληγμένοι, καταλιπόντες τὸν Ἀλέ-
ξανδρον προςέθεντο τῷ Δαρείῳ, καὶ τάς τε τροφὰς καὶ
184 τὴν ἄλλην παρασκευὴν μετὰ πολλῆς προθυμίας ἐχορή-
γουν τοῖς Πέρσαις, καὶ διὰ τῆς ἰδίας κρίσεως προεσή-
μαινον τοῖς βαρβάροις τὴν νίκην. ὁ δ' Ἀλέξανδρος τὴν
μὲν Ἰσσὸν πόλιν ἀξιόλογον καταπληξάμενος ἐχειρώσατο·
τῶν δὲ κατασκόπων ἀπαγγειλάντων αὐτῷ τριάκοντα στα- 33
δίους ἀπέχειν τὸν Δαρεῖον, καὶ συντεταγμένῃ τῇ δυνά-
μει προςιέναι καταπληκτικῶς, ὑπολαβὼν παρὰ τῶν θεῶν
αὐτῷ δεδόσθαι τὸν καιρὸν ὥςτε μιᾷ παρατάξει νικήσαντα
καταλῦσαι τὴν Περσῶν ἡγεμονίαν, τοὺς μὲν στρατιώτας
τοῖς οἰκείοις λόγοις παρεκάλεσεν ἐπὶ τὸν περὶ τῶν ὅλων
ἀγῶνα, τὰ δὲ τάγματα τῶν στρατιωτῶν καὶ τὰς τῶν ἱπ-
πέων ἴλας οἰκείως τοῖς ὑποκειμένοις τόποις διατάξας
τοὺς μὲν ἱππεῖς ἐπέστησε πρὸ πάσης τῆς στρατιᾶς, τὴν
δὲ τῶν πεζῶν φάλαγγα κατόπιν ἐφεδρεύειν προςέταξεν·
αὐτὸς δὲ προηγούμενος τοῦ δεξιοῦ μέρους ἀπήντα τοῖς
πολεμίοις, ἔχων μεθ' ἑαυτοῦ τοὺς κρατίστους τῶν ἱπ-
πέων· τὸ δ' εὐώνυμον μέρος ἐπεῖχον οἱ τῶν Θετταλῶν
ἱππεῖς, πολὺ τῶν ἄλλων διαφέροντες ταῖς τε ἀνδραγα-
θίαις καὶ ταῖς ἐμπειρίαις. ὡς δ' αἱ δυνάμεις ἐντὸς βέ-
λους ἐγένοντο, τοῖς μὲν περὶ τὸν Ἀλέξανδρον ἐπέῤῥιψαν
οἱ βάρβαροι τοσοῦτον πλῆθος βελῶν ὥςτε διὰ τὴν πυ-
κνότητα τῶν βαλλομένων ἀλλήλοις συγκρουόντων ἀσθε-
νεστέρας γίνεσθαι τὰς πληγάς. τῶν δὲ σαλπιγκτῶν παρ'

90. μὲν om. Bas. 98. προκατειληφέναι] κατειληφέναι X Bas. 100. σύντονον Wesselingius: libri σύντομον

184. 10. Ἰσσὸν] ἴσσον Bas. 13. τὸν om. Bas. 19. ἴλας FL, caeteri εἴλας hic et postea 20. οἰκείως] ἐν οἰκείοις FL 21. πρὸ] παρὰ Bas. 28. ἐγένοντο] ἐγίνοντο F Bas. 30. βελῶν] βέλος Bas. 31. γίνεσθαι] γενέσθαι Bas. 32. σαλπιγκτῶν] σαλπίγγων X, σαλπιστῶν FL παρ'] κρουομένων καὶ παρ' X

ἀμφοτέροις τὸ πολεμικὸν σημαινόντων, οἱ Μακεδόνες πρῶτοι συναλαλάξαντες βοὴν ἐξαίσιον ἐποίησαν· μετὰ δὲ ταῦτα τῶν βαρβάρων ἀντιφθεγξαμένων, συνήχησε μὲν ἡ σύνεγγυς ὀρεινὴ πᾶσα, τὸ δὲ μέγεθος τῆς βοῆς ὑπερῆρε τὴν προγεγενημένην κραυγήν, ὡς ἂν πεντήκοντα μυριάδων μιᾷ φωνῇ συνηχουσῶν. ὁ δ' Ἀλέξανδρος πάντη τὴν ὄψιν βάλλων καὶ σπεύδων κατιδεῖν τὸν Δαρεῖον, ἅμα τῷ κατανοῆσαι παραχρῆμα μετὰ τῶν περὶ αὐτὸν ἱππέων ἐπ' αὐτὸν ἐφέρετο τὸν βασιλέα, σπεύδων οὐχ οὕτω καταπροτερῆσαι τῶν Περσῶν ὡς τὸ δι' αὑτοῦ περιποιήσασθαι τὴν νίκην. ἅμα δὲ τούτῳ καὶ τῶν ἄλλων ἁπάντων ἱππέων συμπεσόντων ἀλλήλοις, καὶ πολλοῦ φόνου γινομένου, ἡ μὲν μάχη διὰ τὰς τῶν ἀγωνιζομένων ἀρετὰς ἀμφίδοξον εἶχε τὴν τῶν ὅλων κρίσιν· ἐταλαντεύετο γὰρ δεῦρο κἀκεῖσε, τῆς τροπῆς ἐναλλὰξ γινομένης. οὔτε γὰρ ἀκοντίσας οὔτε πατάξας οὐδεὶς ἄπρακτον ἔσχε τὴν πληγήν, ὡς ἂν διὰ τὸ πλῆθος ἑτοίμου τοῦ σκοποῦ κειμένου. διὸ καὶ πολλοὶ τραύμασιν ἐναντίοις περιτυγχάνοντες ἔπιπτον, οἱ δὲ καὶ μέχρι τῆς ἐσχάτης ἀναπνοῆς θυμομαχοῦντες τὸ ζῆν πρότερον ἢ τὴν ἀρετὴν ἐξέλειπον.

34 οἱ δὲ ἑκάστης τάξεως ἡγεμόνες τῶν ὑποτεταγμένων προαγωνιζόμενοι διὰ τῆς ἰδίας ἀρετῆς τοὺς πολλοὺς ἀνδραγαθεῖν προετρέποντο· διὸ καὶ παρῆν ὁρᾶν πολλὰς μὲν διαθέσεις τραυμάτων γινομένας, ποικίλους δὲ καὶ μεγάλους ἀγῶνας συνισταμένους ὑπὲρ τῆς νίκης. Ὀξάθρης δ' ὁ Πέρσης, ἀδελφὸς μὲν ὢν Δαρείου, κατὰ δὲ τὴν 185 ἀνδρείαν ἐπαινούμενος, ὡς εἶδε τὸν Ἀλέξανδρον ἀκατασχέτως ἱέμενον ἐπὶ τὸν Δαρεῖον, ἐφιλοτιμήθη τῆς αὐτῆς τύχης κοινωνῆσαι τἀδελφῷ. ἀναλαβὼν οὖν τοὺς ἀρίστους τῶν ἱππέων τῶν μεθ' ἑαυτοῦ τεταγμένων, μετὰ τούτων ἐπέῤῥαξε τοῖς περὶ τὸν Ἀλέξανδρον· καὶ νομίσας τὸ φιλάδελφον τῆς ψυχῆς οἴσειν αὐτῷ περιβόητον παρὰ Πέρσαις δόξαν, προεμάχετο τοῦ Δαρείου τεθρίππου, καὶ μετ' ἐμπειρίας εὐτόλμως τοῖς πολεμίοις συμπλεκόμενος πολλοὺς ἀπέκτεινε. τῶν δὲ περὶ τὸν Ἀλέξανδρον ὑπερβαλλομένων ταῖς ἀνδραγαθίαις, περὶ μὲν τὸ τοῦ Δαρείου τέθριππον ταχὺ νεκρῶν ἐσωρεύθη πλῆθος· πάντες γὰρ ἐφιέμενοι τοῦ βασιλέως ψαῦσαι πρὸς ἀλλήλους ἐκθυμότατα διηγωνίζοντο καὶ τοῦ ζῆν οὐδεμίαν ἐποιοῦντο φειδώ. ἔπεσον δ' ἐν τῷ κινδύνῳ τούτῳ πολλοὶ τῶν παρὰ Πέρσαις ἐπιφανῶν ἡγεμόνων, ἐν οἷς ὑπῆρχον Ἀτιζύης καὶ Ῥεομίθρης καὶ ὁ τῆς Αἰγύπτου σατράπης Τασιάκης. ὁμοίως δὲ πολλῶν καὶ παρὰ τοῖς Μακεδόσι πεσόντων, συνέβη καὶ αὐτὸν τὸν Ἀλέξανδρον τρωθῆναι τὸν μηρόν, περιχυθέντων αὐτῷ τῶν πολεμίων. οἱ δὲ τὸν τοῦ Δαρείου τεθρίππου ζυγὸν ἐπέχοντες ἵπποι, τραυματιζόμενοι πυκνῶς καὶ διὰ τὸ πλῆθος τῶν περὶ αὐτοὺς σωρευομένων νεκρῶν πτυρόμενοι, τὰ μὲν χαλινὰ διεσείοντο, παρ' ὀλίγον δὲ καὶ αὐτὸν τὸν Δαρεῖον εἰς τοὺς πολεμίους ἐξήνεγκαν. διὸ καὶ κινδυνεύων ἐσχάτως ὁ βασιλεὺς αὐτὸς ἥρπασε τοὺς ῥυτῆρας, συναναγκαζόμενος λῦσαι τὴν σεμνότητα τῆς προστασίας καὶ τὸν παρὰ Πέρσαις τοῖς βασιλεῦσι κείμενον νόμον ὑπερβῆναι. προσήχθη δὲ καὶ τέθριππον ἕτερον ὑπὸ τῶν ὑπηρετῶν τῷ Δαρείῳ, καὶ κατὰ τὴν εἰς τοῦτο μετάβασιν ταραχῆς γενομένης, ὁ μὲν Δαρεῖος, ἐπικειμένων τῶν πολεμίων, εἰς ἔκπληξιν καὶ δέος ἐνέπιπτεν· οἱ δὲ Πέρσαι τὸν βασιλέα κατανοήσαντες ταραττόμενον εἰς φυγὴν ὥρμησαν. τὸ δ' αὐτὸ καὶ τῶν ἐχομένων ἱππέων ποιησάντων ταχὺ πάντες ἐτράπησαν. τῆς δὲ φυγῆς οὔσης ἐν τόποις στενοῖς καὶ τραχέσι, συμπίπτοντες ἀλλήλους συγκατεπάτουν, καὶ πολλοὶ χωρὶς πολεμίας πληγῆς ἀπέθνησκον. ἔκειντο γὰρ ὁμοῦ σωρευθέντες, οἱ μὲν ἄνευ τῶν ὅπλων, οἱ δὲ τηροῦντες τὰς πανοπλίας· τινὲς δὲ γεγυμνωμένα τὰ ξίφη διαφυλάξαντες τοὺς περὶ ταῦτα ἀναπειρομένους ἀνῄρουν· οἱ δὲ πλεῖστοι εἰς τὰ πεδία διεκπεσόντες, διὰ τούτων ἀπὸ κράτους ἐλαύνοντες τοὺς ἵππους εἰς τὰς συμμαχίδας πόλεις κατέφευγον. ἡ δὲ τῶν Μακεδόνων φάλαγξ καὶ τὸ τῶν Περσῶν πεζὸν στράτευμα βραχὺν χρόνον ἐν τῇ μάχῃ διέμεινε· προηττημένων γὰρ τῶν ἱππέων οἱονεί τις προαγὼν ἐγεγόνει τῆς ὅλης νίκης. πάντων δὲ τῶν

34. βοὴν] βολὴν Bas. 35. τῶν om. Bas. 36. συνεγγὺς Bas. saepius 38. πεντήκοντα μυριάδων] *quadringentorum millium* Cospus 39. πάντη] παντὶ F 43. καταπροτερῆσαι] προτερῆσαι Bas. τῶν Περσῶν] τὸν Πέρσην Reiskius 46. γινομένου] γενομένου L 52. πολλοὶ Cospus, caeteri πολλοῖς 53. οἱ δὲ om. Bas. 55. ἐξέλειπον] ἐξέλιπον F Bas. 56. ἑκάστης] ἑκάστης τῆς F 58. προετρέποντο] προετρέψαντο TY Bas.

185. 63. ἱέμενον] ἱέμενον omnes 65. τἀδελφῷ] τῷ ἀδελφῷ F 66. ἑαυτοῦ] αὐτοῦ F 69. τοῦ] μὲν τοῦ F

71. τῶν δὲ] τῶν F 73. τὸ τοῦ Δ. FL, caeteri τὸν τοῦ Δ. 76. τῷ κινδύνῳ FX, caeteri κινδύνῳ 78. Ἀτιζύης] Ἀντιξύης libri Ῥεομίθρης] *Arrheomithres* Cospus 79. Τασιάκης] Στασιάκης FL 90. τοῖς om. Bas. 100. συγκατεπάτουν] συνεπάτουν T Bas. recte, opinor

3. ξίφη] ξίφη καὶ F 4. ἀναπειρομένους] ἀναπειρωμένους L Bas. 7. κατέφευγον] κατέφυγον F 8. πεζὸν om. Bas.

βαρβάρων ταχὺ τραπέντων, καὶ τοσούτων μυριάδων ἐν στενοῖς τόποις τὴν φυγὴν ποιουμένων, ταχὺ πᾶς ὁ συνεχὴς τόπος νεκρῶν ἐπληρώθη.

35 νυκτὸς δ' ἐπιλαβούσης 186 οἱ μὲν Πέρσαι ῥᾳδίως διεσπάρησαν εἰς πολλοὺς τόπους, οἱ δὲ Μακεδόνες παυσάμενοι τοῦ διωγμοῦ πρὸς ἁρπαγὴν ὥρμησαν, καὶ μάλιστα περὶ τὰς βασιλικὰς σκηνὰς διὰ τὸ πλῆθος τῆς πολυτελείας ἠσχολοῦντο. διόπερ πολὺς μὲν ἄργυρος, οὐκ ὀλίγος δὲ χρυσός, παμπληθεῖς δὲ καὶ πολυτελεῖς ἐσθῆτες ἐκ τῆς βασιλικῆς γάζης διεφοροῦντο. ὁμοίως δὲ καὶ τῶν τοῦ βασιλέως φίλων καὶ συγγενῶν καὶ τῶν ἄλλων ἡγεμόνων οὐκ ὀλίγος διηρπάγη πλοῦτος. οὐ μόνον γὰρ αἱ τῆς βασιλικῆς οἰκίας ἀλλὰ καὶ αἱ τῶν συγγενῶν καὶ φίλων γυναῖκες ἐφ' ἁρμάτων ὀχούμεναι καταχρύσων συνηκολούθουν κατά τι πάτριον ἔθος τῶν Περσῶν. ἑκάστη δὲ τούτων διὰ τὴν ὑπερβολὴν τοῦ πλούτου καὶ τῆς τρυφῆς περιήγετο πλῆθος πολυδαπάνου κατασκευῆς καὶ γυναικείου κόσμου. πάθος δ' ἦν δεινότατον περὶ τὰς αἰχμαλωτιζομένας γυναῖκας. αἱ γὰρ πρότερον διὰ τρυφὴν ἐπ' ἀπήναις πολυτελέσι μόγις κατακομιζόμεναι καὶ γυμνὸν μέρος τοῦ σώματος οὐδὲν φαίνουσαι τότε μονοχίτωνες καὶ τὰς ἐσθῆτας περιῤῥήττουσαι μετ' ὀδυρμῶν ἐκ τῶν σκηνῶν ἐξεπήδων, ἐπιβοώμεναι θεοὺς καὶ προσπίπτουσαι τοῖς τῶν κρατούντων γόνασι. περιαιρούμεναι δὲ ταῖς χερσὶ τρεμούσαις τὸν τοῦ σώματος κόσμον καὶ τὰς κόμας ἀνειμέναι διὰ τόπων τραχέων ἔθεον, καὶ πρὸς ἀλλήλας συντρέχουσαι βοηθοὺς ἐπεκαλοῦντο τὰς παρ' ἑτέρων ἐπικουρίας δεομένας. ἦγον δ' αὐτὰς οἱ μὲν ἀπὸ τῆς κόμης ἐπισπώμενοι τὰς ἠτυχηκυίας, οἱ δὲ τὰς ἐσθῆτας περιῤῥηγνύντες καὶ γυμνοῖς τοῖς σώμασιν ἐπιβάλλοντες τὰς χεῖρας καὶ ταῖς στάθμαις τῶν δοράτων τύπτοντες καὶ τὰ τιμιώτατα καὶ περιβόητα τῶν βαρβάρων ταῖς τῆς τύχης δωρεαῖς ὑβρίζοντες. οἱ δὲ ἐπιεικέστατοι τῶν Μακεδόνων τὴν μεταβολὴν τῆς τύχης ὁρῶντες συμπαθεῖς ἐγίνοντο, καὶ τὰς τῶν ἀκληρούντων συμφορὰς ἠλέουν, αἷς τὰ μὲν προσήκοντα καὶ μεγάλα μακρὰν ἀπήρτητο, τὰ δ' ἀλλόφυλα καὶ πολέμια παρῆν σύνεγγυς καὶ πρὸς ἀτυχῆ καὶ ἐπονείδιστον αἰχμαλωσίαν παρώρμητο. μάλιστα δὲ τοὺς παρόντας εἰς δάκρυα καὶ συμπάθειαν ἤγαγεν ἡ Δαρείου μήτηρ καὶ γυνὴ καὶ δύο θυγατέρες ἐπίγαμοι καὶ υἱὸς παῖς τὴν ἡλικίαν. ἐπὶ γὰρ τούτων ἡ μεταβολὴ τῆς τύχης καὶ τὸ μέγεθος τῶν ἀνελπίστων ἀκληρημάτων ἐν ὄψει κείμενον εὐλόγως τοὺς ὁρῶντας ἐποίει συμπάσχειν τοῖς ἠτυχηκόσι. περὶ μὲν γὰρ Δαρείου πότερον ζῇ καὶ περίεστιν ἢ καὶ μετὰ τῆς τῶν ἄλλων 187 φθορᾶς ἀπόλωλεν οὐκ ἐγίνωσκον· ἑώρων δὲ τὴν σκηνὴν διαρπάζοντας ἐνόπλους πολεμίους ἄνδρας, ἀγνοοῦντας μὲν τὰς ἡλωκυίας, πολλὰ δὲ διὰ τὴν ἄγνοιαν ἀπρεπῆ πράττοντας, καὶ τὸ σύνολον ὅλην τὴν Ἀσίαν αἰχμάλωτον μεθ' ἑαυτῶν γεγενημένην· καὶ ταῖς μὲν τῶν σατραπῶν γυναιξὶ προσπιπτούσαις καὶ δεομέναις βοηθεῖν οὐχ οἷον συνεπιλαβέσθαι τινὸς ἴσχυον, ἀλλὰ καὶ αὐταὶ ταύτας ἠξίουν συνεπικουρῆσαι τοῖς ἑαυτῶν ἀκληρήμασιν. οἱ δὲ τοῦ βασιλέως παῖδες, καταλαβόμενοι τὴν τοῦ Δαρείου σκηνὴν τἀκείνου λουτρὰ καὶ δεῖπνα παρεσκευάζοντο, καὶ λαμπάδων πολλὴν πυρὰν ἅψαντες προσεδέχοντο τὸν Ἀλέξανδρον, ὅπως ἀπὸ τοῦ διωγμοῦ γενόμενος καὶ καταλαβὼν ἑτοίμην πᾶσαν τὴν παρασκευὴν τοῦ Δαρείου οἰωνίσηται τὴν ὅλην τῆς Ἀσίας ἡγεμονίαν. κατὰ δὲ τὴν μάχην ἐτελεύτησαν τῶν βαρβάρων πεζοὶ μὲν πλείους τῶν δέκα μυριάδων, ἱππεῖς δ' οὐκ ἐλάττους τῶν μυρίων, τῶν δὲ Μακεδόνων πεζοὶ μὲν εἰς τριακοσίους, ἱππεῖς δὲ περὶ ἑκατὸν καὶ πεντήκοντα. ἡ μὲν οὖν ἐν Ἰσσῷ τῆς Κιλικίας μάχη τοιοῦτον ἔσχε τὸ τέλος.

37 Τῶν δὲ βασιλέων Δαρεῖος μὲν κατὰ κράτος ἡττώμενος εἰς φυγὴν ὥρμησε, καὶ μεταλαμβάνων ἄλλον ἐξ ἄλλου τῶν ἀρίστων ἵππων ἀπὸ κράτους ἤλαυνε, διαφυγεῖν σπεύδων τὰς Ἀλεξάνδρου χεῖρας καὶ τῶν ἄνω σατραπειῶν ἅψασθαι προαιρούμενος. Ἀλέξανδρος δὲ μετὰ τῆς ἑταιρικῆς ἵππου καὶ τῶν ἄλλων ἀρίστων ἱππέων ἐποιεῖτο τὸν διωγμόν, σπεύδων ἐγκρατὴς γενέσθαι τοῦ Δαρείου. διανύσας δὲ σταδίους διακοσίους ἀνέκαμψεν εἰς τὴν παρεμβολὴν περὶ μέσας νύκτας. τοῖς δὲ λουτροῖς θεραπεύσας τὸν ἐκ τῆς κακοπαθείας κόπον ἐτρέπετο πρὸς ἄνεσιν καὶ δειπνοποιίαν. πρὸς δὲ τὴν γυναῖκα καὶ τὴν μητέρα τοῦ Δαρείου προσελθών τις ἀπήγγειλεν ὅτι πάρεστιν Ἀλέξανδρος ἀπὸ τοῦ διωγμοῦ τὸν

οἷς οις
12. στενοῖς τόποις] στενῷ τόπῳ F
186. 22. γάζης FLQT, caeteri σκηνῆς 25. ἀλλὰ καὶ αἱ FL, caeteri ἀλλὰ καὶ 30. κατασκευῆς] fort. παρασκευῆς 32. ἐπ' ἀπήναις] ἐν ἀπήναις FLQ 39. ἀνειμέναι] ἀνιμέναι T, ἀνιεμέναι Bas. 42. αὐτὰς om. T Bas. 44. περιῤῥηγνύντες] περιρηγνύντες omnes 49. ἐγίνοντο] ἐγένοντο F

187. 62. ἐνόπλους] ἐν ὅπλοις FL 68. οἷον] ὅσον FL 69. συνεπικουρῆσαι] ἐπικουρῆσαι FL
ους ους
77. πλείους — ἐλάττους] πλείω — ἐλάττω F 78. δέκα FL, ιβ Bas., caeteri δώδεκα 84. ἐξ] ἐπ' Bas. 91. περὶ] κατὰ FL 92. ἐκ] διὰ FL

Δαρεῖον ἐσκυλευκώς. ἔνθα δὴ κραυγῆς μεγάλης καὶ κλαυθμοῦ περὶ τὰς γυναῖκας γενομένου, καὶ τοῦ πλήθους τῶν αἰχμαλώτων διὰ τὴν ἀπαγγελίαν συμπενθοῦντος καὶ πολὺν ὀδυρμὸν προϊεμένου, πυθόμενος ὁ βασιλεὺς τὸ περὶ τὰς γυναῖκας πάθος, ἐξέπεμψεν ἕνα τῶν φίλων Λεόννατον καταπαύσοντα τὴν ταραχὴν καὶ παραμυθησόμενον τὰς περὶ τὴν Σισύγγαμβριν, καὶ δηλώσοντα διότι Δαρεῖος μὲν ζῇ, ὁ δ' Ἀλέξανδρος ἐπιμέλειαν αὐτῶν ποιήσεται τὴν προςήκουσαν, καὶ διότι πρωὶ βούλεται προςαγορεῦσαί τε αὐτὰς καὶ διὰ τῶν ἔργων ἀποδείξασθαι τὴν ἰδίαν φιλανθρωπίαν. αἱ μὲν οὖν αἰχμαλώτιδες, προςπεσούσης αὐταῖς παραδόξου καὶ παντελῶς ἀπηλ- 188
πισμένης εὐτυχίας, τόν τε Ἀλέξανδρον ὡς θεὸν προςεδέξαντο καὶ τῶν ὀδυρμῶν ἀπηλλάγησαν. ὁ δὲ βασιλεὺς ἅμ' ἡμέρᾳ λαβὼν ἕνα τῶν φίλων τὸν μάλιστα τιμώμενον Ἡφαιστίωνα παρῆλθε πρὸς τὰς γυναῖκας. ἐχόντων δ' ἀμφοτέρων ἐσθῆτας μὲν ὁμοίας, τῷ μεγέθει δὲ καὶ κάλλει προέχοντος τοῦ Ἡφαιστίωνος, ἡ Σισύγγαμβρις τοῦτον ὑπολαβοῦσα εἶναι τὸν βασιλέα, προςεκύνησε· διανευόντων δ' αὐτῇ τῶν παρεστώτων καὶ τῇ χειρὶ δεικνύντων τὸν Ἀλέξανδρον, ἡ μὲν Σισύγγαμβρις αἰδεσθεῖσα τὴν ἄγνοιαν πάλιν ἐξ ἀρχῆς προςεκύνει τὸν Ἀλέξανδρον. ὁ δὲ βασιλεὺς ὑπολαβὼν εἶπε Μηδὲν φροντίσῃς, ὦ μῆτερ· καὶ γὰρ καὶ οὗτος Ἀλέξανδρός ἐστιν. οὐ μὴν ἀλλὰ τὴν πρεσβῦτιν μητέρα προςαγορεύσας διὰ τῆς φιλανθρωποτάτης προςηγορίας προεσήμαινε τοῖς προητυχηκόσι τὴν μέλλουσαν ἔσεσθαι φιλανθρωπίαν. διαβεβαιωσάμενος δ' αὐτὴν ὑπάρξειν δευτέραν μητέρα, τοῖς ἔργοις εὐθὺς ἐκύρωσε τὴν διὰ τῶν λόγων ἐπαγγε-
38 λίαν. περιέθηκε γὰρ αὐτῇ κόσμον τε βασιλικὸν καὶ τὸ προγεγονὸς ἀξίωμα ταῖς προςηκούσαις τιμαῖς ἀποκατέστησε. τὴν μὲν γὰρ θεραπείαν αὐτῇ πᾶσαν τὴν δοθεῖσαν ὑπὸ Δαρείου παρέδωκεν, ἰδίαν δ' ἄλλην οὐκ ἐλάττονα τῆς προϋπαρχούσης προςεδωρήσατο, καὶ τῆς μὲν τῶν παρθένων ἐκδόσεως βέλτιον τῆς Δαρείου κρίσεως

98. ἀπαγγελίαν] ἐπαγγελίαν Bas., ἀγγελίαν FL 1. Λεόννατον] Λεοννάτον L Bas., Leonnatum Cospus, caeteri Λεονάτον 3. Σισύγγαμβριν ineptum est inventum librariorum nomen ad graeci vocabuli speciem deformantium: verum est Σισύγαμβιν διότι] ὅτι F 6. τε om. F

188. 11. ἕνα τῶν Bas., caeteri ἕνα τὸν 21. καὶ γὰρ om. L Bas., asterisco notavit Stephanus: καὶ γὰρ οὗτος infra p. 250. 5. 26. μητέρα] μητέραν F 31. ἀποκατέστησε] ἀπεκατέστησε F



ἐπηγγείλατο προνοήσεσθαι, τὸν παῖδα δὲ θρέψειν ὡς υἱὸν ἴδιον καὶ βασιλικῆς τιμῆς ἀξιώσειν. προςκαλεσάμενος δ' αὐτὸν καὶ φιλήσας, ὡς εἶδεν ἀδεῶς βλέψαντα καὶ μηδὲν ὅλως καταπλαγέντα, πρὸς τοὺς περὶ τὸν Ἡφαιστίωνα εἶπεν ὅτι ὁ παῖς ὢν ἓξ ἐτῶν καὶ τὴν ἀρετὴν ὑπὲρ τὴν ἡλικίαν προφαίνων πολλῷ βελτίων ἔσται τοῦ πατρός. περὶ δὲ τῆς Δαρείου γυναικὸς καὶ τῆς περὶ αὐτὴν σεμνότητος πρόνοιαν ἕξειν ἔφησεν, ὅπως μηδὲν ἀνάξιον πάθῃ τῆς προγεγενημένης εὐδαιμονίας. πολλὰ δὲ καὶ ἄλλα πρὸς ἔλεον καὶ φιλανθρωπίαν διαλεχθεὶς ἐποίησε τὰς γυναῖκας διὰ τὸ μέγεθος τῆς ἀνελπίστου χαρᾶς εἰς ἀκατάσχετα προπεσεῖν δάκρυα. ἐπὶ δὲ πᾶσι τοῖς προειρημένοις δοὺς τὴν δεξιάν, οὐ μόνον ὑπὸ τῶν εὖ παθόντων ἐπαίνων ἐτύγχανεν, ἀλλὰ καὶ παρὰ πᾶσι τοῖς συστρατευομένοις περιβόητον ἔσχε τὴν ὑπερβολὴν τῆς ἐπιεικείας. καθόλου δ' ἔγωγε νομίζω πολλῶν καὶ καλῶν ἔργων ὑπ' Ἀλεξάνδρου συντετελεσμένων μηδὲν τούτων μεῖζον ὑπάρχειν μηδὲ μᾶλλον ἄξιον ἀναγραφῆς καὶ μνήμης ἱστορικῆς εἶναι. αἱ μὲν γὰρ τῶν πόλεων πολιορκίαι καὶ παρατάξεις καὶ τἄλλα τὰ κατὰ τὸν πόλεμον προτερήματα τὰ πλείονα διὰ τύχην ἢ δι' ἀρετὴν ἐπιτυγχάνεται· ὁ δ' ἐν ταῖς ἐξουσίαις εἰς τοὺς
189 ἐπταικότας ἔλεος μεριζόμενος διὰ μόνης τῆς φρονήσεως γίνεται. οἱ πλεῖστοι γὰρ διὰ τὴν εὐτυχίαν ἐπαίρονται μὲν ταῖς εὐπραξίαις, ὑπερήφανοι δ' ἐν ταῖς εὐτυχίαις γινόμενοι τῆς ἀνθρωπίνης καὶ κοινῆς ἀσθενείας ἐπιλανθάνονται· διὸ καὶ τοὺς πλείστους ὁρᾶν ἔστι τὴν εὐτυχίαν ὥςπερ τι βαρὺ φορτίον φέρειν ἀδυνατοῦντας. Ἀλέξανδρος μὲν οὖν, καίπερ πολλαῖς γενεαῖς προγεγονὼς τοῦ καθ' ἡμᾶς βίου, τυγχανέτω καὶ παρὰ τῶν μεταγενεστέρων δικαίου καὶ πρέποντος ταῖς ἰδίαις ἀρεταῖς ἐπαίνου.

35. προνοήσεσθαι] προνοήσασθαι FL παῖδα δὲ] δὲ παῖδα F 36. θρέψειν] θρέφειν L, θρέψει Bas., τρέφειν F 38. ἀδεῶς] ἀτενῶς FL 41. ἔσται FL. caeteri ἐστὶ 47. προπεσεῖν F, caeteri προςπεσεῖν 52. καθόλου δ' ἔγωγε] καθόλου δὲ γέγονεν ἔργον τοῦτο μέγα καὶ περιβόητον· ἐγὼ δὲ QX 56. τἄλλα F Florileg. Vatic. post Exc. Vaticana p. ed. nostrae 145. 9., caeteri τὰ ἄλλα 57. τὸν] deest Exc. 59. εἰς] πρὸς eadem

189. 62. γινόμενοι F Floril., caeteri γιγνόμενοι 64. καὶ τοὺς πλείστους TX Bas., νῦν καὶ τοὺς πλ. Floril., καὶ νῦν καὶ τοὺς πλείστους L, caeteri καὶ νῦν τοὺς πλείστους, quorum νῦν Stephanus asterisco notavit, om. Cospus 65. ὥςπερ τι] ὥςπερ Bas., Floril. 69. ἀρεταῖς] ἱστορίαις TXY Bas. et γρ. margo F

39 Δαρεῖος δὲ διανύσας εἰς Βαβυλῶνα καὶ τοὺς ἀπὸ τῆς ἐν Ἰσσῷ μάχης διασωζομένους ἀναλαβών, οὐκ ἔπεσε τῷ φρονήματι, καίπερ μεγάλῃ περιπεπτωκὼς συμφορᾷ, ἀλλὰ πρὸς τὸν Ἀλέξανδρον ἔγραψεν ἀνθρωπίνως φέρειν τὴν εὐτυχίαν, καὶ τοὺς αἰχμαλώτους ἀλλάξασθαι χρημάτων πλῆθος λαβόντα· προςετίθει δὲ καὶ τῆς Ἀσίας τὴν ἐντὸς Ἅλυος χώραν καὶ πόλεις συγχωρήσειν, ἐὰν βουληθῇ γενέσθαι φίλος. ὁ δ᾽ Ἀλέξανδρος συναγαγὼν τοὺς φίλους, καὶ τὴν μὲν ἀληθινὴν ἐπιστολὴν ἀποκρυψάμενος, ἑτέραν δὲ γράψας ῥέπουσαν πρὸς τὸ ἑαυτῷ συμφέρον προςήνεγκε τοῖς συνέδροις, καὶ τοὺς πρέσβεις ἀπράκτους ἐξαπέστειλε. διόπερ ὁ Δαρεῖος ἀπογνοὺς τὴν διὰ τῶν ἐπιστολῶν σύνθεσιν παρασκευὰς μεγάλας ἐποιεῖτο πρὸς τὸν πόλεμον, καὶ τοὺς μὲν κατὰ τὴν τροπὴν ἀποβεβληκότας τὰς πανοπλίας καθώπλιζεν, ἄλλους δ᾽ ἐπιλεγόμενος εἰς στρατιωτικὰς τάξεις κατέγραφε· τὰς δ᾽ ἐκ τῶν ἄνω σατραπειῶν δυνάμεις, ἃς ἀπολελοιπὼς ἦν διὰ τὴν ὀξύτητα τῆς στρατείας, μετεπέμπετο. καὶ τέλος τοσαύτην εἰςηνέγκατο σπουδὴν εἰς τὴν κατασκευὴν τῆς δυνάμεως ὥςτε διπλασίαν γενέσθαι τῆς ἐν Ἰσσῷ παραταξαμένης. ὀγδοήκοντα μὲν γὰρ μυριάδες πεζῶν, εἴκοσι δ᾽ ἱππέων ἠθροίσθησαν, καὶ χωρὶς ἁρμάτων δρεπανηφόρων πλῆθος. ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

40 Ἐπ᾽ ἄρχοντος δ᾽ Ἀθήνησι Νικηράτου Ῥωμαῖοι κατέστησαν ὑπάτους Μάρκον Ἀτίλιον καὶ Μάρκον Οὐαλέριον, Ὀλυμπιὰς δ᾽ ἤχθη δευτέρα πρὸς ταῖς ἑκατὸν καὶ δέκα, καθ᾽ ἣν ἐνίκα Γρύλλος Χαλκιδεύς. ἐπὶ δὲ τούτων Ἀλέξανδρος μετὰ τὴν ἐν Ἰσσῷ νίκην τοὺς μὲν τελευτήσαντας ἔθαψεν, ἐν οἷς καὶ τῶν πολεμίων τοὺς ἐν ταῖς ἀνδραγαθίαις θαυμασθέντας· μετὰ δὲ ταῦτα τοῖς θεοῖς μεγαλοπρεπεῖς θυσίας συντελέσας, καὶ τοὺς ἐν τῇ μάχῃ κατ᾽ ἀρετὴν διαφόρους γενομένους τιμήσας ταῖς ἀξίαις ἑκάστους δωρεαῖς, ἐφ᾽ ἡμέρας τινὰς ἀνέλαβε τὴν δύναμιν. ἔπειτα προάγων ἐπ᾽ Αἰγύπτου, καὶ καταντήσας εἰς τὴν Φοινίκην, τὰς μὲν ἄλλας πόλεις παρέλαβεν ἑτοίμως τῶν ἐγχωρίων προςδεξαμένων αὐτόν· οἱ δὲ Τύριοι, βου- 190
λομένου τοῦ βασιλέως τῷ Ἡρακλεῖ τῷ Τυρίῳ θῦσαι, προπετέστερον διεκώλυσαν αὐτὸν τῆς εἰς τὴν πόλιν εἰςόδου. τοῦ δ᾽ Ἀλεξάνδρου χαλεπῶς ἐνεγκόντος καὶ διαπειλησαμένου πολεμήσειν τὴν πόλιν, οἱ Τύριοι τεθαῤῥηκότως ὑπέμενον τὴν πολιορκίαν, ἅμα μὲν Δαρείῳ χαριζόμενοι καὶ τὴν πρὸς αὐτὸν εὔνοιαν βεβαίαν τηροῦντες, καὶ νομίζοντες μεγάλας δωρεὰς ἀντὶ ταύτης τῆς χάριτος ἀντιλήψεσθαι παρὰ τοῦ βασιλέως, ἐπισπώμενοι μὲν τὸν Ἀλέξανδρον εἰς πολυχρόνιον καὶ ἐπικίνδυνον πολιορκίαν, διδόντες δ᾽ ἄνεσιν τῷ Δαρείῳ πρὸς τὰς παρασκευάς, ἅμα δὲ καὶ πιστεύοντες τῇ τε ὀχυρότητι τῆς νήσου καὶ ταῖς ἐν αὐτῇ παρασκευαῖς, ἔτι δὲ τοῖς ἀπογόνοις αὐτῶν Καρχηδονίοις. ὁ δὲ βασιλεὺς ὁρῶν κατὰ θάλατταν μὲν δυςπολιόρκητον οὖσαν τὴν πόλιν διά τε τὴν παρασκευὴν τῶν κατὰ τὸ τεῖχος ἔργων καὶ τὴν ὑπάρχουσαν ἐν αὐτῇ δύναμιν ναυτικήν, κατὰ δὲ γῆν σχεδὸν ἀπραγμάτευτον οὖσαν διὰ τὸ τέτταρσι σταδίοις διείργεσθαι τῆς ἠπείρου, ὅμως ἔκρινε συμφέρειν πάντα κίνδυνον καὶ πόνον ὑπομένειν ὑπὲρ τοῦ μὴ καταφρονηθῆναι τὴν τῶν Μακεδόνων δύναμιν ὑπὸ μιᾶς καὶ τῆς τυχούσης πόλεως. εὐθὺς οὖν καθαιρῶν τὴν παλαιὰν λεγομένην Τύρον, καὶ πολλῶν μυριάδων κομιζουσῶν τοὺς λίθους χῶμα κατεσκεύαζε δίπλεθρον τῷ πλάτει. πανδημεὶ δὲ προςλαβόμενος τοὺς κατοικοῦντας τὰς πλησίον πόλεις ταχὺ διὰ τῆς πολυχειρίας ἠνύετο τὰ τῶν ἔργων.

41 Οἱ δὲ Τύριοι τὸ μὲν πρῶτον προςπλέοντες τῷ χώματι κατεγέλων τοῦ βασιλέως, εἰ τοῦ Ποσειδῶνος ἑαυτὸν δοκεῖ περιέσεσθαι. μετὰ δὲ ταῦτα παραδόξως τοῦ χώματος αὐξομένου, τέκνα μὲν καὶ γυναῖκας καὶ τοὺς γεγηρακότας εἰς Καρχηδόνα διακομίζειν ἐψηφίσαντο, τοὺς δ᾽ ἀκμάζοντας ταῖς ἡλικίαις ἐπέλεξαν πρὸς τὴν τειχομαχίαν, καὶ ναυμαχίαν ἑτοίμως κατεσκεύαζον, ἔχοντες τριήρεις ὀγδοήκοντα. τέλος δὲ τῶν τέκνων καὶ γυναικῶν μέρος μὲν ἔφθασαν ὑπεκθέμενοι πρὸς τοὺς Καρχηδονίους, καταταχούμενοι δ᾽ ὑπὸ τῆς πολυχειρίας καὶ ταῖς ναυσὶν οὐκ ὄντες ἀξιόμαχοι, συνηναγκάσθησαν ὑπομεῖναι πανδημεὶ τὴν πολιορκίαν. ἔχοντες δὲ πολλὴν δαψίλειαν καταπελτῶν καὶ τῶν ἄλλων μηχανῶν τῶν πρὸς πολιορκίαν χρησίμων, ἑτέρας πολλαπλασίους κατεσκεύασαν ῥᾳδίως διὰ

71. διασωζομένους] ἀνασωζομένους F 73. ἀλλὰ] καὶ L προς] πρὸς μὲν FL 77. συγχωρήσειν Reiskius et vertit Cospus: libri συνεχώρησεν 96. Νικηράτου] vide annot. 97. Ἀτίλιον] Ἀττίλιον Cospus 99. Γρύλλος margo F, Πρύαλος FLQ, caeteri Γρύλος
190. 12. τῆς εἰς] εἰς Bas. 13. ἐνεγκόντος FL, caeteri ἐνέγκαντος

14. τεθαῤῥηκότως FLQY, caeteri τεθαῤῥηκότες ὑπέμενον] ἐπέμενον F 20. τῷ Δαρείῳ FLT, caeteri Δαρείῳ 23. παρα αὐτῶν F, caeteri αὐτῶν 25. παρασκευὴν] κατασκευὴν F κατὰ] περὶ F 29. ὑπὲρ] ὑπὸ Bas. 32. καθαιρῶν] καθαίρων L Bas. 45. ἑτοίμως κατεσκεύαζον] ἑτοίμους παρεσκευασμένους L, et qui ἑτοίμως F 46. τέκνων καὶ γυναικῶν] γυναικῶν καὶ τέκνων F 48. δ᾽ F

τῶν ἐν τῇ Τύρῳ μηχανοποιῶν καὶ τῶν ἄλλων τεχνιτῶν παντοδαπῶν ὄντων. διὰ δὲ τούτων τῶν ὀργάνων, παντοδαπῶν καὶ ξένων ταῖς ἐπινοίαις κατασκευαζομένων, ἅπας μὲν ὁ περίβολος τῆς πόλεως ἐπληρώθη τῶν μηχανῶν, μάλιστα δὲ κατὰ τὸν τόπον τοῦτον ἐν ᾧ τὸ χῶμα συνήγγιζε τῷ τείχει. ὡς δ' εἰς τὴν ἄφεσιν τοῦ βέλους διέτεινε τὸ κατασκευαζόμενον ὑπὸ τῶν Μακεδόνων ἔργον, καὶ παρὰ τῶν θεῶν τινα προεσημαίνετο τοῖς κινδυνεύουσιν. ἐκ μὲν γὰρ τοῦ πελάγους ὁ κλύδων προσεπέλασε τοῖς ἔργοις κῆτος ἄπιστον τὸ μέγεθος, ὃ προσ- 191
πεσὸν τῷ χώματι κακὸν μὲν οὐδὲν εἰργάσατο, τῷ δ' ἑτέρῳ μέρει τοῦ σώματος προσανακεκλιμένον ἐπὶ πολὺν χρόνον ἔμενε, καὶ πολλὴν κατάπληξιν παρείχετο τοῖς θεωμένοις τὸ παράδοξον· πάλιν δ' εἰς τὸ πέλαγος νηξάμενον εἰς δεισιδαιμονίαν ἀμφοτέρους προηγάγετο. ἑκάτεροι γὰρ ὡς τοῦ Ποσειδῶνος αὐτοῖς βοηθήσειν μέλλοντος διέκρινον τὸ σημεῖον, ῥέποντες ταῖς γνώμαις πρὸς τὸ ἴδιον συμφέρον. ἐγίνετο δὲ καὶ ἄλλα σημεῖα παράδοξα, δυνάμενα διατροπὴν καὶ φόβον τοῖς ὄχλοις παρασχέσθαι. κατὰ γὰρ τὰς τροφὰς παρὰ τοῖς Μακεδόσιν οἱ διακλώμενοι τῶν ἄρτων αἱματοειδῆ τὴν πρόσοψιν εἶχον. ἑωρακέναι δέ τις ἔφησεν ὄψιν καθ' ἣν ὁ Ἀπόλλων ἔλεγε μέλλειν ἑαυτὸν ἐκλιπεῖν τὴν πόλιν. τοῦ δὲ πλήθους ὑπονοήσαντος ὅτι πεπλακὼς εἴη τὸν λόγον χαριζόμενος Ἀλεξάνδρῳ, καὶ διὰ τοῦτο τῶν νεωτέρων ὁρμησάντων ἐπὶ τὸ λιθοβολῆσαι τὸν ἄνθρωπον, οὗτος μὲν διὰ τῶν ἀρχόντων κλαπεὶς καὶ καταφυγὼν εἰς τὸ τοῦ Ἡρακλέους ἱερὸν διέφυγε τὴν τιμωρίαν διὰ τὴν ἱκεσίαν· οἱ δὲ Τύριοι δεισιδαιμονήσαντες χρυσαῖς σειραῖς προσέδησαν τὸ τοῦ Ἀπόλλωνος ξόανον τῇ βάσει, ἐμποδίζοντες, ὡς ᾤοντο, τοῦ θεοῦ τὸν ἐκ τῆς πόλεως χωρισμόν.

42 μετὰ δὲ ταῦτα οἱ μὲν Τύριοι τὴν αὔξησιν τοῦ χώματος εὐλαβηθέντες, ἐπλήρωσαν πολλὰ τῶν ἐλαττόνων σκαφῶν ὀξυβελῶν τε καταπελτῶν καὶ τοξοτῶν καὶ σφενδονητῶν ἀνδρῶν, καὶ προσπλεύσαντες τοῖς ἐργαζομένοις τὸ χῶμα πολλοὺς μὲν κατέτρωσαν, οὐκ ὀλίγους δὲ ἀπέκτειναν. εἰς ἀνόπλους γὰρ καὶ πυκνοὺς πολλῶν καὶ παντοίων βελῶν φερομένων, οὐδεὶς ἡμάρτανεν, ἑτοίμων καὶ ἀφυλά-

55. ὄντων om. T Bas. παντοδαπῶν T Bas., caeteri τῶν παντοδαπῶν 59. τὴν ἄφεσιν τοῦ βέλους] neuter articulus est p. 192, 29. 60. διέτεινε] διετείνετο F et L vel T
191. 65. δ' F 66. σώματος] χώματος F 78. ἐκλιπεῖν] ἐκλείπειν F 82. διὰ τῶν] ὑπὸ τῶν L 85. προσέδησαν FL, caeteri περιέδησαν 90. ὀξυβελῶν τε καταπ.] scribebatur ὀξυβελῶν τε καὶ καταπ.



κτων τῶν σκοπῶν κειμένων. συνέβαινε γὰρ οὐ μόνον κατὰ πρόσωπον τὰ φερόμενα βέλη προσπίπτειν, ἀλλὰ καὶ πρὸς τὰ νῶτα τῶν ἀντιπροσώπων ὄντων ἐν στενῷ χώματι διικνεῖσθαι, καὶ μηδένα δύνασθαι διαφυλάξασθαι τοὺς ἐξ ἀμφοτέρων τῶν μερῶν κατατιτρώσκοντας. ὁ δὲ Ἀλέξανδρος τὸ παράλογον τῆς συμφορᾶς βουλόμενος ὀξέως διορθώσασθαι, πληρώσας πάσας τὰς ναῦς καὶ καθηγούμενος αὐτὸς ἔπλει κατὰ σπουδὴν ἐπὶ τὸν λιμένα τῶν Τυρίων, καὶ τὴν ἐπάνοδον τῶν Φοινίκων ὑπετέμνετο. οἱ δὲ βάρβαροι φοβηθέντες μήποτε κυριεύσας τῶν λιμένων καταλάβηται τὴν πόλιν ἔρημον οὖσαν στρατιωτῶν, κατὰ πολλὴν σπουδὴν ἀνέπλεον εἰς τὴν Τύρον. ἀμφοτέρων δὲ διὰ τὴν ὑπερβολὴν τῆς φιλοτιμίας ταῖς εἰρεσίαις πυκναῖς χρωμένων, καὶ τῶν Μακεδόνων ἤδη πλησιαζόντων τοῖς λιμέσιν, οἱ Φοίνικες παρ' ὀλίγον μὲν ἦλθον τοῦ πάντες ἀπολέσθαι, παρειςπεσόντες δ' ὅμως τῇ βίᾳ καὶ τὰς τελευταίας ναῦς ἀποβαλόντες διεσώθησαν εἰς τὴν πόλιν. ὁ δὲ βασιλεὺς μεγάλης ἐπιβολῆς ἀποτυχών, πάλιν προσεκαρτέρει τῷ χώματι, καὶ τῷ πλήθει τῶν νεῶν παρείχετο τοῖς ἐργαζομένοις τὴν ἀσφάλειαν.
192 τῶν δ' ἔργων πλησιαζόντων τῇ πόλει, καὶ τῆς ἁλώσεως προσδοκωμένης, ἀργέστης ἄνεμος μέγας ἐπεγένετο καὶ τοῦ χώματος πολὺ μέρος ἐλυμήνατο. ὁ δ' Ἀλέξανδρος εἰς ἀμηχανίαν ἐμπίπτων διὰ τὴν αὐτόματον τῶν ἔργων φθορὰν μετεμέλετο μὲν ἐπὶ τῇ τῆς πολιορκίας ἐπιβολῇ, ὅμως δὲ τῇ φιλοτιμίᾳ προαγόμενος, ἐκ τῆς ὀρεινῆς ἐκκόπτων ὑπερμεγέθη δένδρα παρεκόμιζε, καὶ σὺν αὐτοῖς τοῖς κλάδοις ἐγχώσας ἐνέφραξε τὴν βίαν τοῦ κλύδωνος· ταχὺ δ' ἀποκαταστήσας τὰ πεπονηκότα τοῦ χώματος, καὶ τῇ πολυχειρίᾳ προκόψας εἰς βέλους ἄφεσιν, ἐπέστησε τὰς μηχανὰς ἐπ' ἄκρον τὸ χῶμα. καὶ τοῖς μὲν πετροβόλοις κατέβαλλε τὰ τείχη, τοῖς δ' ὀξυβελέσιν ἀνεῖργε τοὺς ἐπὶ τῶν ἐπάλξεων ἐφεστῶτας· συνηγωνίζοντο δὲ τούτοις οἵ τε τοξόται καὶ σφενδονῆται, καὶ πολλοὺς τῶν ἐν τῇ πόλει παραβοηθοῦντας κατετίτρωσκον.

43 οἱ δὲ Τύριοι ἁλιεῖς ἔχοντες τεχνίτας καὶ μηχανοποιούς, κατεσκεύασαν φιλότεχνα βοηθήματα. πρὸς μὲν γὰρ τὰ καταπελτικὰ βέλη τροχοὺς κατεσκεύασαν διειλημμένους πυκνοῖς διαφρά-

ετο
5. ὑπετέμνοντο F 8. Τύρον FLX, caeteri Τύρον πόλιν, urbem Cospus
192. 19. ἀργέστης] ἀργέτης X 22. φθορὰν] φορὰν Bas. 31. ἀνεῖργε] εἶργε Bas. 33. παραβοηθοῦντας] παραβοηθούντων F

γμασι· τούτους δὲ διά τινος μηχανῆς δινεύοντες τὰ μὲν
συνέτριβον τὰ δὲ παρέσυρον τῶν βελῶν, πάντων δὲ τὴν
ἐκ τῆς βίας φορὰν ἐξέλυον· τοὺς δ' ἐκ τῶν πετροβόλων
φερομένους λίθους δεχόμενοι μαλακαῖς τισι καὶ συνενδι-
δούσαις κατασκευαῖς ἐπράϋνον τὴν ἐκ τῆς ὀργανικῆς βίας
δύναμιν. ὁ δὲ βασιλεὺς ἅμα τῇ κατὰ τὸ χῶμα προςβο-
λῇ παντὶ τῷ στόλῳ περιέπλει τὴν πόλιν καὶ τὰ τείχη
περιεσκέπτετο, καὶ φανερὸς ἦν πολιορκήσων τὴν πόλιν
κατὰ γῆν ἅμα καὶ κατὰ θάλατταν. τῶν δὲ Τυρίων ἀν-
ταναχθῆναι μὲν τῷ στόλῳ μηκέτι τολμώντων, τρισὶ δὲ
ναυσὶν ὁρμούντων πρὸ τοῦ λιμένος, ὁ βασιλεὺς ἐπιπλεύ-
σας αὐταῖς, καὶ πάσας συντρίψας, ἐπανῆλθεν ἐπὶ τὴν
ἰδίαν στρατοπεδείαν. οἱ δὲ Τύριοι βουλόμενοι διπλα-
σιάσαι τὴν ἀπὸ τῶν τειχῶν ἀσφάλειαν, ἀποστήσαντες
πέντε πήχεις ἕτερον τεῖχος ᾠκοδόμουν δέκα πηχῶν τὸ
πλάτος, καὶ τὴν ἀνὰ μέσον τῶν τειχῶν σύριγγα λίθων
καὶ χώματος ἐπλήρουν. ὁ δ' Ἀλέξανδρος τὰς τριήρεις
ζευγνύων καὶ μηχανὰς παντοδαπὰς αὐταῖς ἐπιστήσας
κατέβαλεν ἐπὶ πλέθρον τοῦ τείχους· καὶ διὰ τοῦ πτώ-
ματος εἰςέπιπτον εἰς τὴν πόλιν. οἱ δὲ Τύριοι τοὺς εἰς-
βιαζομένους πυκνοῖς βέλεσι βάλλοντες μόγις ἀπετρίψαντο,
καὶ τὸ πεπτωκὸς μέρος τοῦ τείχους ἀνῳκοδόμησαν νυ-
κτὸς ἐπιλαβούσης. μετὰ δὲ ταῦτα τοῦ χώματος συνάψαν-
τος τῷ τείχει, καὶ τῆς πόλεως χεῤῥονήσου γενομένης, 193
πολλοὺς καὶ μεγάλους ἀγῶνας συνέβαινε γίνεσθαι κατὰ
τὴν τειχομαχίαν. οἱ μὲν γὰρ τὸ δεινὸν ἔχοντες ἐν
ὀφθαλμοῖς, καὶ τὴν ἐκ τῆς ἁλώσεως συμφορὰν ἀναλογι-
ζόμενοι, ταῖς ψυχαῖς οὕτω παρέστησαν πρὸς τὸν κίνδυ-
νον ὥςτε τοῦ θανάτου καταφρονῆσαι. τῶν γὰρ Μακε-
δόνων προςαγαγόντων πύργους ὑψηλοὺς ἴσους τοῖς τεί-
χεσι, καὶ διὰ τούτων τὰς ἐπιβάθρας ἐπιβαλλόντων καὶ
θρασέως ταῖς ἐπάλξεσιν ἐπιβαινόντων, οἱ μὲν Τύριοι διὰ
τὴν ἐπίνοιαν τῶν ὀργανοποιῶν πολλὰ πρὸς τὴν τειχο-
μαχίαν εἶχον βοηθήματα. χαλκευσάμενοι γὰρ εὐμεγέθεις
τριόδοντας παρηγκιστρωμένους τούτοις ἔτυπτον ἐκ χει-
ρὸς τοὺς ἐπὶ τῶν πύργων καθεστῶτας. ἐμπηγνυμένων

39. δινεύοντες Rhodomannus: libri διανεύοντες: subter mare immittentes Cospus hic et 194. 31. 40. πάντων] πᾶσαν FL
ω
47. πολιορκήσειν F 49. ὁρμούντων] ὁρμώντων Bas. 61. εἰςβιαζομένους] βιαζομένους T Bas. μόγις FL, caeteri μόλις 62. ἀπετρίψαντο Wesselingius, ἀπεστρέψαντο FLQ, ἐπετρέψαντο Bas., caeteri ἀπετρέψαντο

193. 65. πολλοὺς καὶ μεγάλους] πολλοὺς μεγάλους Bas.
66. συνέβαινε γίνεσθαι] συνέβαλε γενέσθαι L 69. οὕτω] οὕτως F 70. προςαγαγόντων] προςαγόντων LT Bas.



δὲ εἰς τὰς ἀσπίδας τούτων, καὶ κάλους ἐχόντων προςδε-
δεμένους, εἷλκον πρὸς ἑαυτοὺς ἐπιλαμβανόμενοι τῶν κά-
λων. ἀναγκαῖον οὖν ἦν ἢ προΐεσθαι τὰ ὅπλα, καὶ γυ-
μνουμένους τὰ σώματα κατατιτρώσκεσθαι πολλῶν φερο-
μένων βελῶν, ἢ τηροῦντας τὰ ὅπλα διὰ τὴν αἰσχύνην
πίπτειν ἀφ' ὑψηλῶν πύργων καὶ τελευτᾶν. ἄλλοι δ'
ἁλιευτικὰ δίκτυα τοῖς ἐπὶ τῶν ἐπιβαθρῶν διαμαχομένοις
ἐπιῤῥιπτοῦντες, καὶ τὰς χεῖρας ἀχρήστους ποιοῦντες, κα-
τέσπων καὶ περιεκύλιον ἀπὸ τῆς ἐπιβάθρας ἐπὶ τὴν γῆν. 44
ἕτερον δ' ἐπενόησαν εὕρεμα φιλότεχνον κατὰ τῆς τῶν
Μακεδόνων ἀνδρείας, δι' οὗ τοὺς ἀρίστους τῶν πολε-
μίων ἀμηχάνοις καὶ δειναῖς περιέβαλον τιμωρίαις. κατα-
σκευάσαντες γὰρ ἀσπίδας χαλκᾶς καὶ σιδηρᾶς, καὶ ταύ-
τας πληρώσαντες ἄμμου, φλογὶ πολλῇ συνεχῶς ὑπέκαιον
καὶ διάπυρον κατεσκεύαζον τὴν ἄμμον. ταύτην δὲ διά
τινος μηχανῆς τοῖς θρασύτατα μαχομένοις ἐπεῤῥίπτουν,
καὶ ταῖς ἐσχάταις συμφοραῖς περιέβαλλον τοὺς ὑποπε-
σόντας. διὰ γὰρ τῶν θωράκων καὶ τῶν ὑποδυτῶν παρ-
εισπίπτουσα ἡ ἄμμος, καὶ διὰ τὴν ὑπερβολὴν τῆς θερ-
μασίας λυμαινομένη τὰς σάρκας, ἀβοήθητον ἐποίει τὸ
ἀτύχημα. διὸ καὶ παραπλησίως τοῖς βασανιζομένοις πᾶ-
σαν δηητικὴν φωνὴν προϊέμενοι, τοὺς μὲν ἐπικουρήσον-
τας οὐκ εἶχον, αὐτοὶ δὲ διὰ τὴν δεινότητα τοῦ πάθους
εἰς μανιώδεις διαθέσεις ἐμπίπτοντες ἐτελεύτων, ἐλεεινῷ
καὶ ἀμηχάνῳ πάθει περιπίπτοντες. ἅμα δὲ καὶ πῦρ ἐπ-
εῤῥίπτουν καὶ σαυνία καὶ λίθους ἐπέβαλλον οἱ Φοίνικες
καὶ τῷ πλήθει τῶν βελῶν κατεπόνουν τὰς ἀρετὰς τῶν
ἀνθισταμένων, καὶ ταῖς μὲν δρεπανηφόροις κεραίαις τὰς
τῶν κριῶν ὁρμιστηρίας ὑποτέμνοντες ἄχρηστον τὴν τῶν
194 ὀργάνων βίαν ἐποίουν, ταῖς δὲ πυρφόροις μύδρους με-
γάλους διαπύρους ἐπέβαλλον εἰς τὸ πλῆθος τῶν πολε-
μίων, καὶ διὰ τὴν πυκνότητα τῶν ἀνδρῶν οὐχ ἡμάρτα-
νον τῶν σκοπῶν, τοῖς δὲ κόραξι καὶ ταῖς σιδηραῖς χερ-
σὶν ἀνήρπαζον τοὺς τοῖς θωρακίοις ἐφεστῶτας. τῇ δὲ
πολυχειρίᾳ πάσας τὰς μηχανὰς ἐνεργεῖς ποιοῦντες πολ-
λοὺς τῶν βιαζομένων ἀπέκτεινον. ἀνυπερβλήτου δὲ τῆς 45
ἐκπλήξεως οὔσης καὶ τῆς ἐν τοῖς ἀγῶσι δεινότητος ἀνυ-

84. ὑψηλῶν πύργων] ὑψηλοῦ πύργον Q 91. περιέβαλον] περιέβαλλον F 96. θρασύτατα] θρασυτάτως FL
2. δηητικὴν Rhodomannus: libri δεκτικὴν προϊέμενοι] προϊεμένοις FL τοὺς ἐπικουρήσαντας Bas. 7. ἐπέβαλον Bas.
ι
10. ὁρμηστηρίας F, caeteri ὁρμητηρίας

194. 17. ἐνεργεῖς] ἀνεργεῖς Bas., ἀνενεργεῖς FL βιαζομένων] διαγωνιζομένων F ἀπέκτεινον] ἀπέκτενον Bas.

ποστάτου γινομένης, οὐδ᾽ ὣς ἔληγον τῆς τόλμης οἱ Μακεδόνες, ἀλλὰ τοὺς ἀεὶ πίπτοντας ὑπερβαίνοντες οὐκ ἐνουθετοῦντο ταῖς τῶν ἄλλων συμφοραῖς. ὁ δ᾽ Ἀλέξανδρος ἐπιστήσας τοὺς πετροβόλους καταπέλτας καὶ λίθους μεγάλους ἀφιεὶς ἐσάλευε τὰ τείχη, τοῖς δ᾽ ὀξυβελέσιν ἀπὸ τῶν πύργων τῶν ξυλίνων ἐκβάλλων βελῶν παντοδαπῶν πλῆθος δεινῶς κατετίτρωσκε τοὺς ἐφεστῶτας τοῖς τείχεσιν. ἀντιμηχανώμενοι δὲ πρὸς ταῦτα οἱ Τύριοι πρὸ μὲν τῶν τειχῶν μαρμαρίνους τροχοὺς ἵστανον, καὶ διά τινων ὀργάνων τούτους δινεύοντες τὰ φερόμενα βέλη καταπελτικὰ συνέτριβον, καὶ εἰς τὰ πλάγια μέρη παράγοντες ἀπράκτους ἐποίουν τὰς τῶν ἀφιεμένων πληγάς. πρὸς δὲ τούτοις βύρσας καὶ διπλᾶς διφθέρας πεφυκωμένας καταῤῥάπτοντες, εἰς ταύτας ἀπεδέχοντο τὰς ἀπὸ τῶν πετροβόλων πληγάς· καὶ μαλακῆς τῆς ἐνδόσεως γινομένης ἐξελύετο τῶν φερομένων πετρῶν ἡ βία. καθόλου δὲ οἱ Τύριοι πάντα τρόπον εὐρώστως ἀμυνόμενοι καὶ κατευποροῦντες τοῖς βοηθήμασι κατεθάῤῥησαν τῶν πολεμίων, καὶ τὸ τεῖχος καὶ τὰς ἐντὸς τῶν πύργων στάσεις ἀπολιπόντες ἐπ᾽ αὐτὰς ὠθοῦντο τὰς ἐπιβάθρας, καὶ ταῖς τῶν πολεμίων ἀνδραγαθίαις ἀντέταττον τὰς ἑαυτῶν ἀρετάς. διὸ καὶ συμπλεκόμενοι τοῖς πολεμίοις καὶ τὴν μάχην ἐκ χειρὸς συνιστάμενοι μέγαν ἀγῶνα τὸν ὑπὲρ τῆς πατρίδος συνίσταντο· καί τινες πελέκεσι τῶν ἀπαντώντων τὸ προςπεσὸν μέρος τοῦ σώματος ἀπέκοπτον· ἔνθα δὴ τῶν παρὰ τοῖς Μακεδόσιν ἡγεμόνων τις, ὄνομα μὲν Ἄδμητος, διαφέρων δὲ ἀνδρείᾳ καὶ σώματος ῥώμῃ, τεθαῤῥηκὼς τὴν βίαν τῶν Τυρίων ὑπέστη, καὶ πληγεὶς πελέκει μέσην τὴν κεφαλὴν παραχρῆμα κατέστρεψε τὸν βίον ἡρωικῶς. ὁ δ᾽ Ἀλέξανδρος ὁρῶν τῇ μάχῃ τῶν Τυρίων κατισχυομένους τοὺς Μακεδόνας, ἀνεκαλέσατο τῇ σάλπιγγι τοὺς στρατιώτας νυκτὸς ἤδη γενομένης. καὶ τὸ μὲν πρῶτον ἔκρινε λῦσαι τὴν πολιορκίαν, καὶ τὴν στρατείαν ἐπὶ τὴν Αἴγυπτον ποιεῖσθαι· μετανοήσας δὲ πάλιν, καὶ νομίσας αἰσχρὸν εἶναι παραχωρῆσαι Τυρίοις τῆς κατὰ τὴν πολιορκίαν δόξης, καὶ τῶν φίλων ἕνα μό- 195

20. γινομένης] γενομένης FL 24. ἐπὶ τοὺς] τοὺς Reiskius 25. ἀφιεὶς] ἐφ᾽ οἷς F 26. ἐκβάλλων] ἐμβάλλων F 28. τοῖς] ἐπὶ τοῖς L 37. γινομένης] γενομένης F 42. ὠθοῦντο] scribendum ἐωθοῦντο 50. τεθαῤῥηκὼς] τὸ θράσος καὶ L, τὸ θράσος F in margine correctus 51. μέσην τὴν FL Bas., caeteri μέσην 52. δ᾽ F Bas. σας 57. μετανοήσας] μετανοηθεὶς F 58. εἶναι] ἐστὶ F 58. κατὰ τὴν πολιορκίαν] ἐν τῇ πολιορκίᾳ F et de quo ad πολιορκίαν nihil varietatis allatum, L



νον ὁμογνωμονοῦντα λαβὼν Ἀμύνταν τὸν Ἀνδρομένους, πάλιν πρὸς τὴν πολιορκίαν ἐτρέπετο.

46 παρακαλέσας δὲ τοὺς Μακεδόνας ἑαυτοῦ μὴ λειφθῆναι κατ᾽ ἀνδρείαν, ἁπάσας τὰς ναῦς πολεμικῶς κατασκευάσας προςέβαλλε τοῖς τείχεσιν ἐκθύμως κατὰ γῆν ἅμα καὶ κατὰ θάλατταν. κατανοήσας δὲ περὶ τὰ νεώρια τὸ τεῖχος ἀσθενέστερον ὑπάρχον, τούτῳ προςήγαγε τὰς τριήρεις ἐξευγμένας καὶ φερούσας τὰς ἀξιολογωτάτας μηχανάς. ἐνταῦθα δὲ ἐτόλμησεν ἐπιτελέσασθαι πρᾶξιν οὐδὲ αὐτοῖς τοῖς ὁρῶσι πιστευομένην· ἐπιβάθραν γὰρ ἀπὸ τοῦ ξυλίνου πύργου τοῖς τῆς πόλεως τείχεσιν ἐπιβαλών, διὰ ταύτης μόνος ἐπέβη τῷ τείχει, οὔτε τὸν ἀπὸ τῆς τύχης φθόνον εὐλαβηθεὶς οὔτε τὴν τῶν Τυρίων δεινότητα καταπλαγείς, ἀλλὰ τὴν καταγωνισαμένην τοὺς Πέρσας δύναμιν ἔχων θεωρὸν τῆς ἰδίας ἀνδραγαθίας τοῖς μὲν ἄλλοις Μακεδόσιν ἀκολουθεῖν προςέταξεν, αὐτὸς δὲ καθηγούμενος τῶν εἰς χεῖρας βιαζομένων τοὺς μὲν τῷ δόρατι τοὺς δὲ τῇ μαχαίρᾳ τύπτων ἀπέκτεινεν· ἐνίους δ᾽ αὐτῇ τῇ περιφερείᾳ τῆς ἀσπίδος ἀνατρέπων ἐπισχεῖν τοῦ πολλοῦ θράσους ἐποίησε τοὺς πολεμίους. ἅμα δὲ τούτοις πραττομένοις καθ᾽ ἕτερον μέρος ὁ κριὸς τύπτων κατέβαλε πολὺ μέρος τοῦ τείχους· διὰ δὲ τοῦ πτώματος εἰςπεσόντων τῶν Μακεδόνων, καὶ τῶν περὶ τὸν Ἀλέξανδρον διὰ τῆς ἐπιβάθρας διαβάντων ἐπὶ τὸ τεῖχος, ἡ μὲν πόλις κατείληπτο, οἱ δὲ Τύριοι πρὸς ἀλκὴν τραπέντες καὶ παρακαλέσαντες ἀλλήλους, ἐνέφραξαν τοὺς στενωπούς, καὶ μαχόμενοι πλὴν ὀλίγων ἅπαντες κατεκόπησαν, ὄντες πλείους τῶν ἑπτακιςχιλίων. ὁ δὲ βασιλεὺς τέκνα μὲν καὶ γυναῖκας ἐξηνδραποδίσατο, τοὺς δὲ νέους ἅπαντας, ὄντας οὐκ ἐλάττους τῶν διςχιλίων, ἐκρέμασε. σώματα δ᾽ αἰχμάλωτα τοσαῦτα τὸ πλῆθος εὑρέθη ὥςτε τῶν πλείστων εἰς Καρχηδόνα κεκομισμένων τὰ ὑπολειφθέντα γενέσθαι πλείω τῶν μυρίων καὶ τριςχιλίων. Τύριοι μὲν οὖν γενναιότερον μᾶλλον ἢ φρονιμώτερον ὑποστάντες τὴν πολιορκίαν τοσαύταις περιέπεσον συμφοραῖς, πολιορκηθέντες μῆνας ἑπτά. ὁ δὲ βασιλεὺς τοῦ μὲν Ἀπόλλωνος τὰς χρυσᾶς σειρὰς καὶ τὰ δεσμὰ περιελόμενος παρήγγειλεν ὀνομάζειν τὸν θεὸν τοῦτον Ἀπόλλω φιλαλέξανδρον· τῷ δὲ Ἡρακλεῖ μεγαλοπρεπεῖς θυσίας συντελέσας,

195. 64. προςέβαλλε] προςεβάλετο FL 67. ὑπάρχον FL, caeteri ὑπάρχειν 69. ἐνταῦθα] ἐν ταύταις omnes ἐτόλμησεν FLY, caeteri ἐτόλμα 70. αὐτοῖς servarunt FLY Bas. 72. ἐπιβαλὼν] ἐπιβάλλων FL 83. μέρος τοῦ τείχους] invertit F 92. ἅπαντας FL, caeteri πάντας 98. τοσαύταις] τοιαύταις F

καὶ τοὺς ἀνδραγαθήσαντας τιμήσας, ἔτι δὲ τοὺς τετελευτηκότας μεγαλοπρεπῶς θάψας, τῆς μὲν Τυρίων πόλεως κατέστησε βασιλέα τὸν ὀνομαζόμενον Βαλλώνυμον, περὶ 196 οὗ τὰ κατὰ μέρος οὐκ ἄξιον παραλιπεῖν διὰ τὸ τῆς περιπετείας παράδοξον.

47 Τοῦ γὰρ προϋπάρχοντος βασιλέως Στράτωνος διὰ τὴν πρὸς Δαρεῖον φιλίαν ἐκπεσόντος ἐκ τῆς ἀρχῆς, ὁ Ἀλέξανδρος ἔδωκεν ἐξουσίαν Ἡφαιστίωνι καταστῆσαι βασιλέα τῆς Τύρου τῶν ἰδιοξένων ὃν ἂν προαιρῆται. τὸ μὲν οὖν πρῶτον οὗτος εὐδοκήσας τῷ ξένῳ παρ' ᾧ τὴν ἐπισταθμίαν ἐπεποίητο κεχαρισμένως, τοῦτον ἐπεβάλετο κύριον ἀναγορεῦσαι τῆς πόλεως· ὁ δὲ πλούτῳ μὲν καὶ δόξῃ διαφέρων τῶν πολιτῶν, οὐδεμίαν δὲ συγγένειαν ἔχων πρὸς τοὺς γεγονότας βασιλεῖς, οὐκ ἐδέξατο τὴν δωρεάν. τοῦ δὲ Ἡφαιστίωνος ἐπιτρέψαντος αὐτῷ τὴν ἐκλογὴν ποιήσασθαι ἐκ τοῦ γένους τῶν βασιλέων, ἔφησεν εἶναί τινα τῆς βασιλικῆς οἰκίας ἀπόγονον, τὰ μὲν ἄλλα σώφρονα καὶ ἀγαθὸν ἄνδρα, πένητα δὲ καθ' ὑπερβολήν. συγχωρήσαντος δὲ τοῦ Ἡφαιστίωνος τούτῳ τὴν δυναστείαν, ὁ λαβὼν τὴν ἐπιτροπὴν κατήντησεν ἐπὶ τὸν ὠνομασμένον μετὰ βασιλικῆς ἐσθῆτος, καὶ κατέλαβεν αὐτὸν ἔν τινι κήπῳ μισθοῦ μὲν ἀντλοῦντα, ῥάκεσι δὲ τοῖς τυχοῦσιν ἐσθῆτι χρώμενον. δηλώσας δὲ τὴν περιπέτειαν καὶ περιθεὶς τὴν βασιλικὴν στολὴν καὶ τὸν ἄλλον τὸν ἁρμόζοντα κόσμον, ἀνήγαγεν αὐτὸν εἰς τὴν ἀγορὰν καὶ ἀπέδειξε βασιλέα τῶν Τυρίων. ἀσμένως δὲ τοῦ πλήθους προσδεξαμένου καὶ τὸ παράδοξον τῆς τύχης θαυμάσαντος, οὗτος μὲν φίλος γενόμενος Ἀλεξάνδρῳ τὴν βασιλείαν ἔσχε παράδειγμα τοῖς ἀγνοοῦσι τὴν τῆς τύχης παράδοξον μεταβολήν.

Ἡμεῖς δ' ἐπεὶ τὰ περὶ τὸν Ἀλέξανδρον διήλθομεν,
48 μεταληψόμεθα τὴν διήγησιν. κατὰ γὰρ τὴν Εὐρώπην Ἆγις μὲν ὁ τῶν Λακεδαιμονίων βασιλεὺς τῶν ἐκ τῆς ἐν Ἰσσῷ μάχης διασωθέντων μισθοφόρων ἀναλαβὼν ὀκτακισχιλίους νεωτέρων πραγμάτων ἀντείχετο, χαριζόμενος Δαρείῳ. προσλαβὼν δὲ παρὰ τούτου καὶ ναῦς καὶ χρημάτων πλῆθος ἔπλευσεν εἰς Κρήτην, καὶ τῶν πόλεων τὰς πλείους χειρωσάμενος ἠνάγκασε τὰ Περσῶν αἱρεῖσθαι.

5. τῆς — πόλεως] τῇ — πόλει Bas. 6. Βαλλώνυμον] vide annotat.

196. 13. τῷ ξένῳ] τῶν ξένων F 14. κεχαρισμένως] κεχαρισμένος Bas. 15. ἐπεβάλετο] ἐπέβαλε Bas. 19. οὗ ους δ' Bas. 31. τοῦ πλήθους προσδεξαμένου] τὸ πλῆθος προσδεξάμενος F 33. γενόμενος] γινόμενος F 35. δ' F



Ἀμύντας δ' ὁ φυγὼν ἐκ Μακεδονίας καὶ πρὸς Δαρεῖον ἀναβὰς συνηγωνίσατο μὲν τοῖς Πέρσαις ἐν τῇ Κιλικίᾳ, διασωθεὶς δ' ἐκ τῆς ἐν Ἰσσῷ παρατάξεως μετὰ τετρακισχιλίων μισθοφόρων, καὶ πρὸ τῆς Ἀλεξάνδρου παρουσίας διανύσας εἰς Τρίπολιν τῆς Φοινίκης, ἐπέλεξεν ἐκ τοῦ παντὸς στόλου τὰς ἀρκούσας ναῦς εἰς τὸν πλοῦν τοῖς ἰδίοις στρατιώταις, τὰς δ' ἄλλας ἐνέπρησε. διαπλεύσας δ' εἰς τὴν Κύπρον, καὶ προσλαβόμενος στρατιώτας 197 καὶ ναῦς, διέπλευσεν εἰς τὸ Πηλούσιον. τῆς δὲ πόλεως ἐγκρατὴς γενόμενος ἀπέφαινεν ἑαυτὸν ὑπὸ Δαρείου τοῦ βασιλέως ἀπεστάλθαι στρατηγὸν διὰ τὸ τὸν ἡγούμενον τῆς Αἰγύπτου σατράπην συναγωνιζόμενον ἐν Ἰσσῷ τῆς Κιλικίας πεπτωκέναι. ἀναπλεύσας δ' εἰς Μέμφιν, τὸ μὲν πρῶτον πρὸ τῆς πόλεως παραταξάμενος τοῖς ἐγχωρίοις ἐνίκησε· μετὰ δὲ ταῦτα πρὸς ἁρπαγὴν τῶν στρατιωτῶν τραπέντων ἐπεξελθόντες οἱ ἐκ τῆς πόλεως ἐπέθεντο τοῖς ἀτάκτως διαρπάζουσι τὰς ἐπὶ τῆς χώρας κτήσεις, καὶ τόν τε Ἀμύνταν ἀπέκτειναν καὶ τοὺς μετ' αὐτοῦ πάντας ἄρδην ἀνεῖλον. Ἀμύντας μὲν οὖν μεγάλαις ἐπιβολαῖς ἐγχειρήσας, καὶ παρ' ἐλπίδα σφαλείς, τοιοῦτον ἔσχε τοῦ βίου τὸ τέλος. ὁμοίως δὲ τούτῳ καὶ τῶν ἄλλων ἡγεμόνων καὶ στρατηγῶν τινες ἐκ τῆς ἐν Ἰσσῷ μάχης μετὰ στρατιωτῶν διασωθέντες ἀντείχοντο τῶν Περσικῶν ἐλπίδων. οἱ μὲν γὰρ πόλεις ἐπικαίρους καταλαμβανόμενοι διεφύλαττον ταύτας τῷ Δαρείῳ, οἱ δ' ἔθνη προσαγόμενοι καὶ δυνάμεις περὶ αὐτοὺς κατασκευαζόμενοι τὰς ἁρμοζούσας χρείας τοῖς ὑποκειμένοις καιροῖς παρείχοντο. οἱ δὲ σύνεδροι τῶν Ἑλλήνων ἐψηφίσαντο πέμψαι πρέσβεις πεντεκαίδεκα στέφανον φέροντας χρυσοῦν παρὰ τῆς Ἑλλάδος ἀριστεῖον Ἀλεξάνδρῳ καὶ συνησθησομένους τῇ κατὰ Κιλικίαν νίκῃ. Ἀλέξανδρος δὲ στρατεύσας ἐπὶ Γάζαν φρουρουμένην ὑπὸ Περσῶν, καὶ δίμηνον προσεδρεύσας, εἷλε κατὰ κράτος τὴν πόλιν.

Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Ἀριστοφάνους ἐν Ῥώμῃ 49
κατεστάθησαν ὕπατοι Σπούριος Ποστούμιος καὶ Τίτος

45. ὁ φυγὼν L et qui δ' F, caeteri φυγὼν 47. ἐν τῇ Κιλικίᾳ om. Bas. 48. τετρακισχιλίων] τρισχιλίων QX

197. 59. ἀναπλεύσας] ἀνακάμψας FLQ 60. παραταξάμενος FL, παρατάξασθαι X, caeteri παραταξαμένοις τοῖς ἐγχωρίοις ἐνίκησε] ἐνίκησε τοὺς ἐγχωρίους X 62. οἱ ἐκ Reiskius: libri ἐκ 66. ἐγχειρήσας] ἐγχειρίσας L 67. ἐλπίδα] ἐλπίδας FL τὸ τέλος] τέλος F Bas. 72. ταύτας] αὐτὰς FL 73. αὐτοὺς] αὑτοὺς FL κατασκευαζόμενοι] παρασκευαζόμενοι F 83. Σπούριος] Σπόριος F Ποστούμιος] Ποστόμιος FTY Bas.

*Οὐετούριος.* ἐπὶ δὲ τούτων Ἀλέξανδρος ὁ βασιλεὺς τὰ
περὶ τὴν Γάζαν διοικήσας Ἀμύνταν μὲν μετὰ δέκα νεῶν
εἰς Μακεδονίαν ἐξέπεμψε, προστάξας τῶν νέων τοὺς
εὐθέτους ἐπιλέξαι πρὸς στρατείαν· αὐτὸς δὲ μετὰ πά-
σης τῆς δυνάμεως παρῆλθεν εἰς Αἴγυπτον, καὶ παρέ-
λαβε πάσας τὰς ἐν αὐτῇ πόλεις χωρὶς κινδύνων. οἱ γὰρ
Αἰγύπτιοι, τῶν Περσῶν ἠσεβηκότων εἰς τὰ ἱερὰ καὶ
βιαίως ἀρχόντων, ἄσμενοι προσεδέξαντο τοὺς Μακεδό-
νας. καταστήσας δὲ τὰ κατὰ τὴν Αἴγυπτον προῆλθεν
εἰς Ἄμμωνος, βουλόμενος χρήσασθαι τῷ θεῷ. κατὰ μέ-
σην δὲ τὴν ὁδὸν ἀπήντησαν αὐτῷ πρέσβεις παρὰ Κυρη-
ναίων στέφανον κομίζοντες καὶ μεγαλοπρεπῆ δῶρα, ἐν
οἷς ἦγον ἵππους πολεμιστὰς τριακοσίους καὶ πέντε τέ-
θριππα τὰ κράτιστα. ὁ δὲ τούτους μὲν ἀποδεξάμενος
φιλίαν καὶ συμμαχίαν συνέθετο πρὸς αὐτούς, αὐτὸς δὲ
μετὰ τῶν συναποδημούντων προῆγεν ἐπὶ τὸ ἱερόν· καὶ
διανύσας ἐπὶ τὴν ἔρημον καὶ ἄνυδρον, ὑδρευσάμενος 198
διῄει τὴν χώραν ἔχουσαν ἄμμου μέγεθος ἀέριον. ἐν
ἡμέραις δὲ τέτταρσιν ἐξαναλωθέντων τῶν κομιζομένων
ὑδάτων εἰς δεινὴν σπάνιν παρεγένοντο. εἰς ἀθυμίαν
οὖν πάντων ἐμπεσόντων ἄφνω πολὺς ὄμβρος ἐξ οὐρα-
νοῦ κατεῤῥάγη, τὴν ὑπάρχουσαν τῶν ὑγρῶν ἔνδειαν πα-
ραδόξως διορθούμενος· διὸ καὶ τὸ συμβὰν ἔδοξεν ἀνελ-
πίστως σωθεῖσι θεῶν προνοίᾳ γεγονέναι. ὑδρευσάμενοι
δ' ἔκ τινος κοιλάδος, ἐπὶ τέτταρας ἡμέρας ἔχοντες ἀρκοῦ-
σαν τὴν βοήθειαν, καὶ διελθόντες ἡμέρας τέτταρας, διεξ-
έπεσον τὴν ἄνυδρον. ἀδήλου δὲ τῆς ὁδοῦ καθεστώσης
διὰ τὸ πλῆθος τῆς ἄμμου οἱ καθηγούμενοι τῆς ὁδοῦ
προσήγγειλαν τῷ βασιλεῖ διότι κόρακες δεξιοὶ κλάζοντες
τὴν τρίβον τῆς ἐπὶ τὸ ἱερὸν φερούσης ἀτραποῦ προση-
μαίνουσιν. οἰωνισάμενος δὲ τὸ συμβαῖνον ὁ Ἀλέξανδρος,
καὶ διαλαβὼν δέχεσθαι τὸν θεὸν ἀσμένως τὴν παρου-
σίαν αὐτοῦ, προῆγε κατὰ σπουδήν. καὶ τὸ μὲν πρῶτον
κατήντησεν ἐπὶ τὴν πικρὰν καλουμένην λίμνην, μετὰ δὲ
ταῦτα πορευθεὶς σταδίους ἑκατὸν παρήλλαξε τὰς ἐπικα-

85. διοικήσας] διοικησάμενος FL 87. τοὺς] τὰς F πρὸς] πρὸς τὴν L 93. Ἄμμωνος] *Hammonis* constanter Cospus 95. ἀπήντησαν] ὑπήντησαν F 97. ἵππους] ἵππους τε F 99. συνέθετο] ἔθετο Bas. 100. συναποδημούντων] συνεπιδημούντων FL
189. 4. ἐξαναλωθέντων] ἀναλωθέντων Bas. 7. 8. τὴν — διορθούμενος] καὶ τὴν — διωρθώσατο FL 8. συμβὰν] σύμπαν F 12. τέτταρας F, caeteri τέσσαρας 20. ἐπὶ] εἰς F 22. διεξέπεσον] διεξέπεσαν FT Bas. 22. ἐπικαλουμένας] ὀνομαζομένας FL



λουμένας Ἄμμωνος πόλεις· ἐντεῦθεν δὲ ὁδοιπορήσας
μίαν ἡμέραν συνήγγισε τῷ τεμένει.

50

Ἡ δὲ περὶ τὸ ἱερὸν τοῦτο χώρα περιέχεται ὑπὸ ἐρή-
μου καὶ ἀνύδρου τῆς ἀμμώδους, πάσης φιλανθρωπίας
ἐστερημένης. αὐτὴ δ' ἐπὶ μῆκος καὶ πλάτος ἐπὶ στα-
δίους πεντήκοντα παρήκουσα πολλοῖς μὲν καὶ καλοῖς
ὕδασι ναματιαίοις διαῤῥεῖται, δένδρων δὲ παντοδαπῶν
καὶ μάλιστα καρπίμων πλήθει· καὶ τὸν μὲν ἀέρα τῇ κρά-
σει παραπλήσιον ἔχει ταῖς ἐαριναῖς ὥραις, τόποις δὲ
καυματώδεσι περιεχομένη μόνη παρηλλαγμένην παρέχεται
τοῖς ἐνδιατρίβουσι τὴν εὐκρασίαν. τὸ μὲν οὖν τέμενος
φασὶν ἱδρύσασθαι Δαναὸν τὸν Αἰγύπτιον· τὴν δ' ἱερὰν
τοῦ θεοῦ χώραν περιοικοῦσι κατὰ μὲν τὴν μεσημβρίαν
καὶ δύσιν Αἰθίοπες, κατὰ δὲ τὴν ἄρκτον Λιβύων νομα-
δικὸν ἔθνος, καὶ τὸ πρὸς τὴν μεσόγειον ἀνῆκον τὸ τῶν
Νασαμώνων ὀνομαζομένων ἔθνος. τῶν δ' Ἀμμωνίων
κωμηδὸν οἰκούντων κατὰ μέσην αὐτῶν τὴν χώραν ἀκρό-
πολις ὑπάρχει τριπλοῖς ὠχυρωμένη τοῖς τείχεσι· καὶ ταύ-
της ὁ μὲν πρῶτος περίβολος ἔχει τῶν ἀρχαίων δυναστῶν
βασίλεια, ὁ δ' ἕτερος τὴν γυναικωνῖτιν αὐλὴν καὶ τὰς
τῶν τέκνων καὶ γυναικῶν καὶ συγγενῶν οἰκήσεις καὶ
φυλακτήρια τῶν τόπων, ἔτι δὲ τὸν τοῦ θεοῦ σηκὸν καὶ
τὴν ἱερὰν κρήνην, ἀφ' ἧς τὰ τῷ θεῷ προσφερόμενα
199 τυγχάνει τῆς ἁγνείας, ὁ δὲ τρίτος τὰς τῶν δορυφόρων
καταλύσεις καὶ τὰ φυλακτήρια τῶν τὸν τύραννον δορυ-
φορούντων. καθίδρυται δὲ τῆς ἀκροπόλεως ἐκτὸς οὐ
μακρὰν ἕτερος ναὸς Ἄμμωνος πολλοῖς καὶ μεγάλοις δέν-
δρεσι σύσκιος. τούτου δὲ πλησίον ὑπάρχει κρήνη διὰ
τὸ συμβεβηκὸς ὀνομαζομένη Ἡλίου κρήνη· αὕτη δὲ τὸ
ὕδωρ ἔχει συμμεταβαλλόμενον ἀεὶ ταῖς ἡμεριναῖς ὥραις
παραδόξως. ἅμ' ἡμέρᾳ γὰρ ἐξίησι τὴν πηγὴν χλιαράν,

22. ἐντεῦθεν δὲ] ἐντεῦθεν Bas. 25. τοῦτο om. Bas. 26. ἐρήμου καὶ ἀνύδρου] invertit F ἀμμώδους L, ἀμμώδους F: caeteri ἄμμου 27. ἐστερημένης] ἐστερημένη omnes praeter Cospum αὐτὴ] *ipsa* Cospus, caeteri αὕτη ἐπὶ] ἐστὶ L 30. πλήθει FL, caeteri πληθύει 35. δ' F 36. χώραν περιοικοῦσι] invertit F 37. ἄρκτον] μεσημβρίαν τε καὶ δύσιν addit L et omisso τε F 38. καὶ τὸ] καὶ Bas. μεσόγειον] μεσογείαν FL 39. Νασαμώνων] Νασαμόνων Bas., ἀσαμώνων F ὀνομαζομένων L, caeteri ὀνομαζόμενον 40. αὐτῶν] αὐτὴν FL 42. ταύτης] ταῦτα F 45. καὶ γυναικῶν καὶ συγγενῶν] invertit F 46. δὲ om. Bas.
199. 52. δένδρεσι FL, caeteri δένδροις 54. ἀεὶ] αἰεὶ omnes 55. ἡμεριναῖς] τῆς ἡμέρας LQ ἅμ' ἡμέραν γενέσθαι notatum ex F 56. χλιαρὰν] χλιερὸν L

προϊούσης δὲ τῆς ἡμέρας τῇ προσθέσει τῶν ὡρῶν ἀνάλογον καταψύχεται, τοῦ μεσημβρινοῦ δὲ καύματος ἀκμάζει τῇ ψυχρότητι· πάλιν δὲ ἀνάλογον ἀπολήγει πρὸς τὴν ἑσπέραν, καὶ τῆς νυκτὸς ἐπιλαβούσης ἀναθερμαίνεται μέχρι μέσων νυκτῶν, καὶ τὸ λοιπὸν ἀπολήγει, μέχρι ἂν ἅμα τῷ φωτὶ πρὸς τὴν ἐξ ἀρχῆς ἀποκατασταθῇ τάξιν. τὸ δὲ τοῦ θεοῦ ξόανον ἐκ σμαράγδων καί τινων ἄλλων περιέχεται, καὶ τὴν μαντείαν ἰδιάζουσαν παντελῶς ποιεῖται. ἐπὶ νεὼς γὰρ περιφέρεται χρυσῆς ὑπὸ ἱερέων ὀγδοήκοντα· οὗτοι δ' ἐπὶ τῶν ὤμων φέροντες τὸν θεὸν προάγουσιν αὐτομάτως ὅπου ποτ' ἂν ἄγῃ τὸ τοῦ θεοῦ νεῦμα τὴν πορείαν. συνακολουθεῖ δὲ πλῆθος παρθένων καὶ γυναικῶν παιᾶνας ᾀδουσῶν κατὰ πᾶσαν τὴν ὁδὸν καὶ πατρίῳ καθυμνουσῶν ᾠδῇ τὸν θεόν.

51 Τοῦ δ' Ἀλεξάνδρου διὰ τῶν ἱερέων εἰσαχθέντος εἰς τὸν νεὼν καὶ τὸν θεὸν κατανοήσαντος, ὁ μὲν προφητεύων ἀνὴρ πρεσβύτερος τὴν ἡλικίαν προσελθὼν αὐτῷ Χαῖρε, εἶπεν, ὦ παῖ· καὶ ταύτην παρὰ τοῦ θεοῦ ἔχε τὴν πρόσρησιν. ὁ δ' ὑπολαβὼν Δέχομαι, φησίν, ὦ πάτερ, καὶ τὸ λοιπὸν κεκλήσομαι σός. ἀλλ' εἴ μοι δίδως τὴν ἁπάσης γῆς ἀρχήν. τοῦ δ' ἱερέως προσελθόντος τῷ σηκῷ, καὶ τῶν ἀνδρῶν τῶν αἰρόντων τὸν θεὸν κινηθέντων τεταγμένοις τισὶ τῆς φωνῆς συμβόλοις, ὁ μὲν ἀνεῖπε βεβαίως αὐτῷ διδόναι τὸν θεὸν τὴν αἴτησιν, ὁ δ' Ἀλέξανδρος ὑπολαβὼν Τὸ λοιπόν, εἶπεν, ὦ δαῖμον, ἀπόφηναί μοι τῶν ζητουμένων, εἰ πάντας ἤδη μετελήλυθα τοὺς γενομένους φονεῖς τοῦ πατρός, ἤ τινες διαλελήθασιν. ὁ δὲ προφήτης ἀνεβόησεν Εὐφήμει· οὐδένα γὰρ ἀνθρώπων ὑπάρχειν τὸν δυνησόμενον ἐπιβουλεῦσαι τῷ γεννήσαντι αὐτόν· τοὺς δὲ τοῦ Φιλίππου φονεῖς ἅπαντας τετευχέναι τιμωρίας. τεκμήρια δ' ἔσεσθαι τῆς ἐκ τοῦ θεοῦ γενέσεως τὸ μέγεθος τῶν ἐν ταῖς πράξεσι κατορθωμάτων· καὶ γὰρ πρότερον ἀήττητον αὐτὸν γε- 200 γονέναι καὶ μετὰ ταῦτ' ἔσεσθαι διὰ παντὸς ἀνίκητον.

61. *μέσων νυκτῶν*] *μεσονυκτίου* Q 62. *μέχρι* Bas., caeteri *μέχρις* 66. *ἱερέων* L Bas., caeteri *ἱερῶν* 68. *ὅπου*] immo *ὅποι* *ἄγῃ* FL, caeteri *ἄγοι* 69. *πορείαν*] *προθυμίαν* FL 70. 71. *ᾀδουσῶν — καθυμνουσῶν* Wesselingius: libri *ᾀδόντων — καθυμνούντων*, unde duci potest etiam *ᾆδον* et *καθυμνοῦν* 77. *ἔχε* F, caeteri *ἔσχε* *δέχομαι*] *δέχομαι ναὶ* FL 78. *καὶ τὸ λοιπὸν*] *τὸ λοιπὸν καὶ* F 79. *γῆς*] *τῆς γῆς* est p. 233. 87. 80. *τῶν ἀνδρῶν τῶν αἰρόντων*] *τῶν αἰρόντων ἀνδρῶν* F 89. *τῷ γεννήσαντι*] *τὸν γεννήσαντα* L et correctus supra versum F



ὁ δ' Ἀλέξανδρος ἡσθεὶς ἐπὶ τοῖς κεχρησμῳδημένοις, καὶ τὸν θεὸν μεγαλοπρεπέσιν ἀναθήμασι τιμήσας, ἐπανῆλθεν εἰς τὴν Αἴγυπτον.

Κρίνας δ' ἐν ταύτῃ πόλιν μεγάλην κτίσαι, προσέ- 52
ταξε τοῖς ἐπὶ τὴν ἐπιμέλειαν ταύτην καταλειπομένοις ἀνὰ μέσον τῆς τε λίμνης καὶ τῆς θαλάττης οἰκίσαι τὴν πόλιν. διαμετρήσας δὲ τὸν τόπον καὶ ῥυμοτομήσας φιλοτέχνως τὴν πόλιν ἀφ' ἑαυτοῦ προσηγόρευσεν Ἀλεξάνδρειαν, εὐκαιρότατα μὲν κειμένην πλησίον τοῦ Φάρου λιμένος, τῇ δ' εὐστοχίᾳ τῆς ῥυμοτομίας ποιήσας διαπνεῖσθαι τὴν πόλιν τοῖς ἐτησίοις ἀνέμοις, καὶ τούτων πνεόντων μὲν διὰ τοῦ μεγίστου πελάγους, καταψυχόντων δὲ τὸν κατὰ τὴν πόλιν ἀέρα, πολλὴν τοῖς κατοικοῦσιν εὐκρασίαν καὶ ὑγίειαν κατεσκεύασε. καὶ τὸν μὲν περίβολον αὐτῆς ὑπεστήσατο τῷ τε μεγέθει διαφέροντα καὶ κατὰ τὴν ὀχυρότητα θαυμάσιον· ἀνὰ μέσον γὰρ οὖσα τῆς τε λίμνης καὶ τῆς θαλάττης δύο μόνον ἀπὸ τῆς γῆς ἔχει προσόδους στενὰς καὶ παντελῶς εὐφυλάκτους. τὸν δὲ τύπον ἀποτελοῦσα χλαμύδι παραπλήσιον ἔχει πλατεῖαν μέσην σχεδὸν τὴν πόλιν τέμνουσαν καὶ τῷ τε μεγέθει καὶ κάλλει θαυμαστήν· ἀπὸ γὰρ πύλης ἐπὶ πύλην διήκουσα τετταράκοντα μὲν σταδίων ἔχει τὸ μῆκος, πλέθρου δὲ τὸ πλάτος, οἰκιῶν δὲ καὶ ἱερῶν πολυτελέσι κατασκευαῖς πᾶσα κεκόσμηται. προσέταξε δ' ὁ Ἀλέξανδρος καὶ βασίλεια κατασκευάσαι θαυμαστὰ κατὰ τὸ μέγεθος καὶ βάρος τῶν ἔργων. οὐ μόνον δ' ὁ Ἀλέξανδρος ἀλλὰ καὶ οἱ μετ' αὐτὸν βασιλεύσαντες Αἰγύπτου μέχρι τοῦ
201 καθ' ἡμᾶς βίου σχεδὸν ἅπαντες πολυτελέσι κατασκευαῖς ηὔξησαν τὰ βασίλεια. καθόλου δὲ ἡ πόλις τοσαύτην ἐπίδοσιν ἔλαβεν ἐν τοῖς ὕστερον χρόνοις ὥστε παρὰ πολλοῖς αὐτὴν πρώτην ἀριθμεῖσθαι τῶν κατὰ τὴν οἰκου-

200. 94. *ἡσθεὶς ἐπὶ* FLY, caeteri *ἡσθεὶς* 97. *ἐν ταύτῃ*] *ἐνταῦθα* L 99. *καταλειπομένοις*] *παρακαταλειπομένοις* L, *παραλειπομένοις*, suprascripto *κατά*, F 99. *θαλάττης* F, caeteri *θαλάσσης* 1. *ἑαυτοῦ*] *αὐτοῦ* F 3. *τῇ δ' εὐστοχίᾳ* FL, caeteri *εὐστοχίᾳ δὲ* 7. *ὑγίειαν*] *ὑγείαν* FL 8. *τῷ τε*] *τῷ* Bas. 10. *οὖσα* — 12. *ἀποτελοῦσα* Rhodomannus et Wesselingius: libri *ὢν* et *ἀποτελῶν* *τῆς τε* FLQ, caeteri *μεγάλης* *τῆς* om. Bas. *θαλάσσης* F 11. *ἔχει προσόδους στενὰς* FL, caeteri *ὁδοὺς στενὰς ἔχει* 14. *τῷ τε*] *τῷ* F Bas. *κάλλει* FLQY Bas., Cospus, caeteri *πλάτει*, quod supra versum ponit F 15. *ἐπὶ*] *εἰς* F *τετταράκοντα* F, *μ* Bas., caeteri *τεσσαράκοντα* 16. *τὸ πλάτος*] *πλάτος* F 18. *ὁ* om. Bas. *καὶ* om. F 20. *ὁ* om. Bas. 21. *μετ' αὐτὸν*] *μετὰ ταῦτα* FL: conf. ad I. p. 144. 27. 201. 23. *τὰ* Bas., caeteri *αὐτὰ τὰ* 25. *αὐτὴν* om. FL

μένην. καὶ γὰρ κάλλει καὶ μεγέθει καὶ προσόδων πλήθει καὶ τῶν πρὸς τρυφὴν ἀνηκόντων πολὺ διαφέρει τῶν ἄλλων. τὸ δὲ τῶν κατοικούντων οἰκητόρων αὐτὴν πλῆθος ὑπερβάλλει τοὺς ἐν ταῖς ἄλλαις πόλεσιν οἰκήτορας· καθ' ὃν γὰρ ἡμεῖς παρεβάλομεν χρόνον εἰς Αἴγυπτον ἔφασαν οἱ τὰς ἀναγραφὰς ἔχοντες τῶν κατοικούντων εἶναι τοὺς ἐν αὐτῇ διατρίβοντας ἐλευθέρους πλείους τῶν τριάκοντα μυριάδων, ἐκ δὲ τῶν προσόδων τῶν κατ' Αἴγυπτον λαμβάνειν τὸν βασιλέα πλείω τῶν ἑξακισχιλίων ταλάντων. ὁ δ' οὖν βασιλεὺς Ἀλέξανδρος ἐπιστήσας τινὰς τῶν φίλων ἐπὶ τὴν κατασκευὴν τῆς Ἀλεξανδρείας καὶ διοικήσας ἅπαντα τὰ κατὰ τὴν Αἴγυπτον, ἐπανῆλθε μετὰ τῆς δυνάμεως εἰς τὴν Συρίαν.

53 Δαρεῖος δὲ πυθόμενος αὐτοῦ τὴν παρουσίαν, συνηθροίκει μὲν τὰς πανταχόθεν δυνάμεις καὶ πάντα τὰ πρὸς τὴν παράταξιν χρήσιμα κατεσκεύαστο. τὰ μὲν γὰρ ξίφη καὶ τὰ ξυστὰ πολὺ μείζω τῶν προγεγενημένων ἐποίησε διὰ τὸ δοκεῖν διὰ τούτων πολλὰ τὸν Ἀλέξανδρον ἐν τῇ περὶ Κιλικίαν μάχῃ πεπλεονεκτηκέναι· κατεσκεύασε δὲ καὶ ἅρματα δρεπανηφόρα διακόσια πρὸς κατάπληξιν καὶ φόβον τῶν πολεμίων εὐθέτως ἐπινενοημένα. τούτων γὰρ ἑκάστου παρ' ἑκάτερον τῶν σειροφόρων ἵππων ἐξέκειτο προσηλωμένα τῷ ζυγῷ ξῦστρα παραμήκη τρισπίθαμα, τὴν ἐπιστροφὴν τῆς ἀκμῆς ἔχοντα πρὸς τὴν 202
κατὰ πρόσωπον ἐπιφάνειαν, πρὸς δὲ ταῖς κατάκλεισι τῶν ἀξόνων ἐπ' εὐθείας ἄλλα δύο, τὴν μὲν τομὴν ὁμοίαν ἔχοντα πρὸς τὴν κατὰ πρόσωπον ἐπιφάνειαν τοῖς πρότερον, τὸ δὲ μῆκος μείζω καὶ πλατύτερα· συνήρμοστο δὲ ταῖς τούτων ἀρχαῖς δρέπανα. πᾶσαν δὲ τὴν δύναμιν ἔν τε ὅπλοις ἐπισήμοις καὶ ἡγεμόνων ἀρεταῖς κοσμήσας, ἀνέζευξεν ἐκ τῆς Βαβυλῶνος ἔχων πεζοὺς μὲν περὶ ὀγδοήκοντα μυριάδας, ἱππεῖς δ' οὐκ ἐλάττους τῶν εἴκοσι

28. τρυφὴν FL, caeteri τροφην 29. τῶν κατοικούντων οἰκητόρων αὐτὴν] κατοικοῦν FL 31. ἡμεῖς παρεβάλομεν χρόνον FLY Bas., caeteri δὴ καιρὸν ἡμεῖς παρεβάλομεν 35. ἐκ δὲ FL, caeteri ἔκ τε 37. βασιλεὺς Ἀλέξανδρος] invertit F 39. τῆς δυνάμεως] δυνάμεως F 43. χρήσιμα] χρησίμως L et qui κατεσκεύαζε F 47. πεπλεονεκτηκέναι] νενικηκέναι L et correctus in marg. F

202. 54. κατακλίσεσι] κατακλείσεσι Reiskius et ante eum Bosius Obs. crit. p. 169., quibus ita accessi ut scriberem κατάκλεισι, restituendum etiam Hesychio, quem ibidem tractat Bosius, ut docent Eustathius et scholia minora ad locum Homeri unde glossam κληῖσι, κατακλήσεσι duxit Hesychius, Odyss. σ, 294. 55. πρὸς τὴν] πρὸς Bas. 56. πρότερον] προτέροις F: conf. ad I. p. 348. 15. 60. ἐκ τῆς] ἐκ F



μυριάδων. κατὰ δὲ τὴν ὁδοιπορίαν δεξιὸν μὲν ἔχων τὸν Τίγριν, ἀριστερὸν δὲ τὸν Εὐφράτην, προῆγε διὰ χώρας εὐδαίμονος καὶ δυναμένης τοῖς κτήνεσι δαψιλῆ χορτάσματα παρέχεσθαι, τῷ δὲ πλήθει τῶν στρατιωτῶν ἱκανὰς τροφὰς χορηγῆσαι. ἔσπευδε γὰρ περὶ τὴν Νίνον ποιήσασθαι τὴν παράταξιν, εὐθετωτάτων ὄντων τῶν περὶ αὐτὴν πεδίων καὶ πολλὴν εὐρυχωρίαν παρεχομένων τῷ μεγέθει τῶν ἠθροισμένων ὑπ' αὐτοῦ δυνάμεων. καταστρατοπεδεύσας δὲ περὶ κώμην τὴν ὀνομαζομένην Ἄρβηλα, τὰς δυνάμεις ἐνταῦθα καθ' ἡμέραν ἐξέταττε καὶ τῇ συνεχεῖ διατάξει καὶ μελέτῃ κατεσκεύασεν εὐπειθεῖς. μάλιστα γὰρ ἠγωνία μήποτε πολλῶν καὶ ἀσυμφώνων ἐθνῶν ἠθροισμένων ταῖς διαλέκτοις ταραχή τις γένηται κατὰ τὴν παράταξιν.

Περὶ δὲ διαλύσεως καὶ πρότερον μὲν ἐξέπεμψε πρε- 54
σβευτὰς πρὸς Ἀλέξανδρον, ἐκχωρῶν αὐτῷ τῆς ἐντὸς Ἅλυος ποταμοῦ χώρας, καὶ προσεπηγγέλλετο δώσειν ἀργυρίου τάλαντα δισχίλια. ὡς δ' οὐ προσεῖχεν αὐτῷ, πάλιν ἐξέπεμψεν ἄλλους πρέσβεις, ἐπαινῶν μὲν αὐτὸν ἐπὶ τῷ καλῶς κεχρῆσθαι τῇ τε μητρὶ καὶ τοῖς ἄλλοις αἰχμαλώτοις, ἀξιῶν δὲ φίλον γενέσθαι καὶ λαβεῖν τὴν ἐντὸς Εὐφράτου χώραν καὶ τάλαντ' ἀργυρίου τρισχίλια καὶ τὴν ἑτέραν τῶν ἑαυτοῦ θυγατέρων γυναῖκα, καθόλου δὲ γενόμενον γαμβρὸν καὶ τάξιν υἱοῦ λαβόντα καθάπερ κοινωνὸν γενέσθαι τῆς ὅλης βασιλείας. ὁ δ' Ἀλέξανδρος εἰς τὸ συνέδριον παραλαβὼν πάντας τοὺς φίλους καὶ περὶ τῶν προτιθεμένων αἱρέσεων ἀνακοινωσάμενος, ἠξίου τὴν ἰδίαν γνώμην ἕκαστον μετὰ παῤῥησίας ἀποφήνασθαι. τῶν μὲν οὖν ἄλλων οὐδεὶς ἐτόλμα συμβουλεῦσαι διὰ τὸ μέγεθος τῆς ὑποκειμένης ζητήσεως, Παρμενίων δὲ πρῶτος εἶπεν, Ἐγὼ μὲν ὢν Ἀλέξανδρος ἔλαβον ἂν τὰ διδόμενα καὶ τὴν σύνθεσιν ἐποιησάμην. ὁ δ' Ἀλέξανδρος ὑπολαβὼν εἶπε, Κἀγώ, εἰ Παρμενίων

64. προῆγε FLQ, caeteri προῆγεν 66. δὲ F, caeteri τε τροφὰς] τρυφὰς Bas. 67. περὶ] ἐπὶ FL 68. περὶ αὐτὴν] αὐτῆς F 70. ὑπ'] ὑπὸ F 72. ἐξέταττε] ἐξέτασσεν F 75. καὶ — διαλέκτοις] ἠθροισμένων καὶ ταῖς διαλέκτοις ἀσυμφώνων FL 78. καὶ πρότερον] πρότερον L, πρῶτον F ἐξέπεμψε] ἔπεμψε FL 80. προσεπηγγέλλετο Bas., προσήγγελλε L, προσεπήγγελε F, caeteri προσεπηγγέλετο 81. δισχίλια] πεντακισχίλια FL 84. τῇ τε] τῇ T Bas.
χίλια
86. τάλαντ' Bas. τρισχίλια] τρισμύρια F: vide annotationem 87. ἑτέραν] ὑστέραν F 90. πάντας] ἅπαντας F 93. ἀποφήνασθαι] ἀποφαίνεσθαι FL 96. ἐγώ] ὡς ἐγὼ FL 97. ἐποιησάμην] ἂν ἐποιησάμην FL 98. ὑπολαβὼν εἶπε] εἶπεν ὑπολαβὼν F εἰ Παρμενίων ἦν] Παρμενίων ὢν FL

ἣν, ἔλαβον ἄν. καθόλου δὲ καὶ ἄλλοις μεγαλοψύχοις λόγοις χρησάμενος, καὶ τοὺς μὲν λόγους τῶν Περσῶν ἀποδοκιμάσας, προτιμήσας δὲ τὴν εὐδοξίαν τῶν προτεινομένων δωρεῶν, τοῖς μὲν πρέσβεσιν ἀπόκρισιν ἔδωκεν ὡς οὔθ' ὁ κόσμος δυοῖν ἡλίων ὄντων τηρῆσαι δύ- 203 ναται τὴν ἰδίαν διακόσμησίν τε καὶ τάξιν οὔθ' ἡ οἰκουμένη δύο βασιλέων ἐχόντων τὴν ἡγεμονίαν ἀταράχως καὶ ἀστασιάστως διαμένειν ἂν δύναιτο. διόπερ ἀπαγγέλλειν αὐτοὺς ἐκέλευσε τῷ Δαρείῳ, εἰ μὲν τῶν πρωτείων ὀρέγεται, διαμάχεσθαι πρὸς αὐτὸν περὶ τῆς τῶν ὅλων μοναρχίας· εἰ δὲ δόξης καταφρονῶν προκρίνει τὴν λυσιτέλειαν καὶ τὴν ἐκ τῆς ῥαστώνης τρυφήν, αὐτὸς μὲν Ἀλεξάνδρῳ ποιείτω τὸ προςταττόμενον, ἄλλων δὲ ἄρχων βασιλευέτω, συγχωρουμένης αὐτῷ τῆς ἐξουσίας ὑπὸ τῆς Ἀλεξάνδρου χρηστότητος. τὸ δὲ συνέδριον διαλύσας καὶ τὴν δύναμιν ἀναλαβών, προῆγεν ἐπὶ τὴν τῶν πολεμίων στρατοπεδείαν. ἅμα δὲ τούτοις πραττομένοις τῆς τοῦ Δαρείου γυναικὸς ἀποθανούσης, ὁ Ἀλέξανδρος ἔθαψεν αὐτὴν μεγαλοπρεπῶς.

55 Δαρεῖος δὲ τῶν ἀποκρίσεων ἀκούσας, καὶ τὴν διὰ τῶν λόγων σύνθεσιν ἀπογνούς, τὴν μὲν δύναμιν καθ' ἡμέραν συνέταττε καὶ πρὸς τὴν ἐν τοῖς κινδύνοις εὐηκοΐαν ἑτοίμην κατεσκεύαζε· τῶν δὲ φίλων Μαζαῖον μὲν μετὰ στρατιωτῶν ἐπιλέκτων ἐξαπέστειλε παραφυλάξοντα τὴν διάβασιν τοῦ ποταμοῦ καὶ τὸν πόρον προκαταληψόμενον, ἑτέρους δ' ἐξέπεμψε τὴν χώραν πυρπολήσοντας δι' ἧς ἀναγκαῖον ἦν διελθεῖν τοὺς πολεμίους· ἐνόμιζε γὰρ τῷ μὲν ῥεύματι τοῦ ποταμοῦ προβλήματι χρῆσθαι πρὸς τὴν ἔφοδον τῶν Μακεδόνων. τούτων δ' ὁ μὲν Μαζαῖος ὁρῶν ἀδιάβατον ὄντα τὸν ποταμὸν διά τε τὸ βάθος καὶ τὴν σφοδρότητα τοῦ ῥεύματος, τῆς μὲν τούτου φυλακῆς ἠμέλησε, τοῖς δὲ τὴν χώραν πυρπολοῦσι συνεργήσας καὶ πολλὴν γῆν διαφθείρας ὑπέλαβεν ἀνεπίβατον ἔσεσθαι τοῖς πολεμίοις διὰ τὴν σπάνιν τῆς τροφῆς. ὁ δ' Ἀλέξανδρος παραγενόμενος πρὸς τὴν διάβασιν τοῦ Τίγρεως ποταμοῦ, καὶ τὸν πόρον ἀπό τινων ἐγχωρίων μαθών, διεβίβασε τὴν δύναμιν οὐ μόνον ἐπιπόνως ἀλλὰ καὶ παντελῶς ἐπικινδύνως. τοῦ γὰρ πόρου τὸ μὲν βάθος ἦν ὑπὲρ τῶν μαστῶν, ἡ δὲ τοῦ ῥεύματος ὀξύτης πολλοὺς τῶν διαβαινόντων παρέσυρε καὶ τὴν βάσιν τῶν σκελῶν παρῃρεῖτο, τό τε ῥεῦμα τοῖς ὅπλοις ἐμπίπτον πολλούς τε παρέφερε καὶ τοῖς ἐσχάτοις κινδύνοις περιέβαλλεν. ὁ δ' Ἀλέξανδρος πρὸς τὴν σφοδρότητα τοῦ ῥεύματος ἀντιμηχανώμενος παρήγγειλε πᾶσι τὰς χεῖρας ἀλλήλοις συμπλέκειν, καὶ τὴν ὅλην τῶν σωμάτων πυκνότητα ποιεῖν ζεύγματι παραπλησίαν. παραβόλου δὲ γενομένης τῆς διαβάσεως καὶ τῶν Μακεδόνων μόγις διασωθέντων, τὴν μὲν ἡμέραν ταύτην προσανέλαβε τὴν δύναμιν, τῇ δ' ὑστεραίᾳ συντεταγμένην ἔχων τὴν στρατιὰν προῆγεν ἐπὶ τοὺς πολεμίους, καὶ σύνεγγυς γενόμενος τῶν Περσῶν κατεστρατοπέδευσεν.

56 204 Ἀναλογιζόμενος δὲ τὸ πλῆθος τῆς τῶν Περσῶν δυνάμεως καὶ τὸ μέγεθος τῶν ἐπικειμένων κινδύνων, ἔτι δὲ τὴν περὶ τῶν ὅλων [ἀγώνων] κρίσιν ἐν χερσὶν οὖσαν, διηγρύπνησε τὴν νύκτα συνεχόμενος τῇ περὶ τοῦ μέλλοντος φροντίδι· ὑπὸ δὲ τὴν ἑωθινὴν φυλακὴν τραπεὶς εἰς ὕπνον οὕτως ἐκοιμήθη βαθέως ὥςτε τῆς ἡμέρας ἐπιγενομένης μὴ δύνασθαι διεγερθῆναι. τὸ μὲν οὖν πρῶτον οἱ φίλοι τὸ συμβὰν ἡδέως ἑώρων, νομίζοντες τὸν βασιλέα πρὸς τὸν ὑποκείμενον κίνδυνον εὐτονώτερον ἔσεσθαι τετευχότα πολλῆς ἀνέσεως· ὡς δ' ὁ μὲν χρόνος προέβαινεν, ὁ δ' ὕπνος συνεῖχε τὸν βασιλέα, Παρμενίων πρεσβύτατος ὢν τῶν φίλων ἀφ' ἑαυτοῦ πρόςταγμα διέδωκε τοῖς πλήθεσιν ἑτοιμάζεσθαι τὰ πρὸς τὴν μάχην. οὐκ ἀνιεμένου δ' αὐτοῦ, προσελθόντες οἱ φίλοι μόγις διήγειραν τὸν Ἀλέξανδρον. θαυμαζόντων δ' ἐπὶ τῷ συμβεβηκότι πάντων, καὶ τὴν αἰτίαν ἀκοῦσαι βουλομένων, ἔφησεν ὁ Ἀλέξανδρος Δαρεῖον εἰς ἕνα τόπον ἠθροικότα τὰς δυνάμεις ἀπολελυκέναι πάσης ἀγωνίας αὐτόν. μιᾷ γὰρ ἡμέ-

100. χρησάμενος καὶ] χρησάμενος L 1. ἀποδοκιμάσας] ἀπεδοκίμασε F 2. προτεινομένων] προςγενομένων FL πρέσβεσιν] πρέσβευσιν Bas. 3. οὔθ'] οὐδὲ FL δυοῖν] δυεῖν L 203. 4. δύναται] δύναιτ' ἂν FL 7. ἐκέλευσε] ἐκέλευε L et qui ante αὐτοὺς ponit F 8. μὲν] μὲν οὖν Bas. πρωτείων FL, caeteri προτέρων 10. προκρίνειν F 12. τὸ προςταττόμενον] τὰ προςταττόμενα FL 23. παραφυλάξαντα et mox πυρπολήσαντας F 28. χρῆσθαι] χρήσασθαι L 30. διά τε FL, caeteri διὰ 33. γῆν — ἀνεπίβατον FLQ, caeteri χώραν — ἄβατον 35. πρὸς] εἰς L

36. Τίγρεως] Τίγριδος F ἀπό] ὑπό omnes 37. διεβίβασε] διεβίβαξε F correctus supra versum 39. τῶν μαστῶν] τὸν μαστὸν F 40. ἡ δὲ τοῦ ῥ. ὀ. FL, caeteri τοῦ δὲ ῥ. ἡ ὀ. 41. τό τε] τὸ F 45. ἀντιμηχανώμενος FLQ, caeteri ἀντιμαχόμενος 48. μόγις FL, caeteri μόλις 54. ἀναλογιζόμενος] ἀναλογισάμενος FL 204. 55. ἐπικειμένων] προκειμένων FL 56. ὅλων Wesselingius: libri ὅλων ἀγώνων 58. ὑπὸ] ἐπὶ L 60. ἐπιγενομένης FLQY, caeteri γενομένης τὴν om. Bas. 67. τὰ om. Bas. 71. ὁ om. Bas. Δαρεῖον] ὡς Δαρεῖον F 72. 73. ἀπολελυκέναι πάσης] ἀπολῦσαι τῆς FL

ρᾳ κριθέντα περὶ τῶν ὅλων παύσεσθαι τῶν πόνων καὶ πολυχρονίων κινδύνων. οὐ μὴν ἀλλὰ παρακαλέσας τοὺς ἡγεμόνας τοῖς οἰκείοις λόγοις καὶ πρὸς τοὺς ἐπιφερομένους κινδύνους εὐθαρσεῖς καταστήσας, προῆγε τὴν δύναμιν συντεταγμένην ἐπὶ τοὺς βαρβάρους, τῆς τῶν πεζῶν
57 φάλαγγος τὰς τῶν ἱππέων ἴλας προτάξας. ἐπὶ μὲν οὖν τὸ δεξιὸν κέρας ἔταξε τὴν βασιλικὴν ἴλην, ἧς εἶχε τὴν ἡγεμονίαν Κλεῖτος ὁ μέλας ὀνομαζόμενος, ἐχομένους δὲ ταύτης τοὺς ἄλλους φίλους, ὧν ἡγεῖτο Φιλώτας ὁ Παρμενίωνος, ἑξῆς δὲ τὰς ἄλλας ἱππαρχίας ἑπτὰ τεταγμένας ὑπὸ τὸν αὐτὸν ἡγεμόνα. ὄπισθεν δὲ τούτων ὑπετάγη τὸ τῶν ἀργυρασπίδων πεζῶν τάγμα, διαφέρον τῇ τε τῶν ὅπλων λαμπρότητι καὶ τῇ τῶν ἀνδρῶν ἀρετῇ· καὶ τούτων ἡγεῖτο Νικάνωρ ὁ Παρμενίωνος. ἐχομένην δὲ τούτων ἔστησε τὴν Ἐλιμιῶτιν καλουμένην στρατιάν, ἧς Κοῖνος ἡγεῖτο, ἑξῆς δὲ τὴν τῶν Ὀρεστῶν καὶ Λυγκηστῶν τάξιν ἔστησε, Περδίκκου τὴν στρατηγίαν ἔχοντος. καὶ τὴν μὲν ἐχομένην στρατηγίαν Μελέαγρος εἶχε, τὴν δὲ συνεχῆ ταύτης Πολυσπέρχων, τεταγμένων ὑπ' αὐτὸν τῶν ὀνομαζομένων Στυμφαίων. Φίλιππος δ' ὁ Βαλάκρου τὴν συνεχῆ ταύτης στρατηγίαν ἐπλήρου, καὶ τῆς μετὰ ταύτην Κράτερος ἡγεῖτο. τῶν δὲ προειρημένων ἱππέων τὴν συνεχῆ τάξιν ἀπεπλήρουν οἱ ἀπὸ Πελοποννήσου καὶ Ἀχαΐας συστρατεύσαντες ἱππεῖς. καὶ Φθιῶται καὶ Μαλιεῖς ἔτι δὲ Λοκροὶ καὶ Φωκεῖς, ὧν ἡγεῖτο Ἐρίγυιος ὁ Μυτιληναῖος. ἑξῆς δ' εἱστήκεισαν Θετταλοί, Φί- 205
λιππον μὲν ἔχοντες ἡγεμόνα, ἀνδρείᾳ δὲ καὶ τῇ τῶν ἰλῶν ἱππασίᾳ πολὺ προέχοντες τῶν ἄλλων. ἐχομένους

73. κριθέντα περὶ τῶν ὅλων] περὶ τῶν ὅλων κριθέντων FL
74. παύσεσθαι FL, caeteri παύσασθαι τῶν πόνων] πόνων T Bas. 76. τοὺς om. Bas. 79. προτάξας post (78.) βαρβάρους ponunt FL ἴλας semper L, caeteri εἴλας 81. ἔταξε
ἔταξε] ἔστησε F βασιλικὴν ἴλην FL, caeteri εἴλην 83. φίλους] ἑτέρους L, unde ἑταίρους Wesselingius 87. πεζῶν τάγμα] ἄγημα FLQ τῇ τε] τῇ F 90. Ἐλιμιῶτιν] Ἐλικιῶτιν X, ἐλιμιώτην F 91. τῶν om. F 92. καὶ Λυγκηστῶν] om L vel T vel uterque, X Bas., Cospus, asterisco notavit Stephanus, caeteri καὶ Λυγκιστῶν τάξιν] σύνταξιν FLQ 94. Πολυσπέρχων] Πολυπέρχων Bas. semper, Polypercon Cospus 97. μετὰ ταύτην FL, caeteri μετ' αὐτὴν Κράτερος] libri Κρατερὸς 99. ἀπεπλήρουν] ἐπλήρουν FL 100. συστρατεύσαντες om. FL 1. Λοκροὶ καὶ Φωκεῖς] invertit F 2. εἱστήκεισαν] ἑστήκεσαν F

205. 3. ἀνδρείᾳ δὲ καὶ F, ἀνδρείᾳ καὶ L Bas., caeteri ἀνδρείᾳ καὶ δὲ 4. τῇ — ἱππασίᾳ] ταῖς — ἱππασίαις FL



δὲ τούτων τοὺς ἐκ Κρήτης τοξότας ἔταξε καὶ τοὺς ἐκ τῆς Ἀχαΐας μισθοφόρους. ἐφ' ἑκατέρου δὲ τοῦ κέρατος ἐπικάμπιον ἐποίησε τὴν τάξιν, ὅπως μὴ δύνωνται κυκλοῦν οἱ πολέμιοι τῷ πλήθει τῶν στρατιωτῶν τὴν ὀλιγότητα τῶν Μακεδόνων. πρὸς δὲ τὰς τῶν δρεπανηφόρων ἁρμάτων ἐπιφορὰς μηχανώμενος ὁ βασιλεὺς παρήγγειλε τοῖς ἐν τῇ φάλαγγι πεζοῖς, ὅταν πλησιάζῃ τὰ τέθριππα, συνασπίσαι καὶ ταῖς σαρίσαις τὰς ἀσπίδας τύπτειν, ὅπως διὰ τὸν ψόφον πτυρόμενα τὴν εἰς τοὐπίσω ποιῆται φοράν, τοῖς δὲ βιαζομένοις διδόναι διαστήματα, δι' ὧν ποιήσονται τὴν διέξοδον ἀκίνδυνον τοῖς Μακεδόσιν· αὐτὸς δὲ τοῦ δεξιοῦ μέρους ἡγούμενος, καὶ λοξὴν τὴν τάξιν ποιούμενος, δι' ἑαυτοῦ τὴν ὅλην κρίσιν τοῦ κινδύνου ποιεῖσθαι διεγνώκει.

Ὁ δὲ Δαρεῖος κατὰ τὰς τῶν ἐθνῶν περιοχὰς τὴν 58
ἔκταξιν πεποιημένος, κατά τε τὸν Ἀλέξανδρον τεταγμένος, προῆγεν ἐπὶ τοὺς πολεμίους. ὡς δ' ἐπλησίαζον ἀλλήλαις αἱ δυνάμεις, οἱ μὲν σαλπιγκταὶ παρ' ἀμφοτέροις ἐσήμαινον τὸ πολεμικόν, οἱ δ' ἄνδρες μετὰ πολλῆς βοῆς ἀλλήλοις ἐπεφέροντο. καὶ πρῶτον τὰ δρεπανηφόρα τῶν ἁρμάτων ἀπὸ κράτους ἐλαυνόμενα πολλὴν ἔκπληξιν καὶ φόβον τοῖς Μακεδόσιν ἐπέστησε. καὶ γὰρ Μαζαῖος ὁ τῶν ἱππέων ἡγούμενος πυκναῖς ταῖς ἴλαις σὺν τοῖς δρεπανηφόροις ἐπήλαυνε, καταπληκτικωτέραν ποιῶν τὴν ἐπιφορὰν τῶν δρεπανηφόρων. τῆς δὲ φάλαγγος συνασπιζούσης κατὰ τὰς τοῦ βασιλέως παραγγελίας, καὶ ταῖς σαρίσαις πάντων τυπτόντων τὰς ἀσπίδας, συνέβαινε ψόφον πολὺν γίνεσθαι. διόπερ τὰ πολλὰ τῶν ἁρμάτων πτυρομένων τῶν ἵππων ἐστρέφετο, καὶ τὴν ῥύμην ἀκατάσχετον ποιοῦντα πρὸς τοὺς ἰδίους βιαίως ἀνέστρεφε· τῶν δ' ἄλλων προσπεσόντων τῇ φάλαγγι, καὶ τῶν Μακεδόνων ποιούντων ἀξιόλογα διαστήματα, διὰ τούτων

5. ἔταξε] ἔπηξε Bas. 6. ἐφ' om. Bas. 7. τὴν τάξιν] libri τάξιν 13. σαρίσαις FT et 34. F, caeteri σαρίσσαις τύπτειν] κτυπεῖν FLQ 15. ποιῆται] ποιήσηται FL 21. τὴν ἔκταξιν] τὰς τάξεις Q et qui in marg. γρ. τὴν ἔκταξιν F 22. κατά τε] καὶ κατὰ F 26. πολλῆς om. L Bas. 27. δρεπανηφόρα] δρεπανικὰ FLQ 29. ὁ om. Bas. 30. σὺν om. F 31. καταπληκτικωτέραν] κα-
αν
ταπληκτικώτερον F 32. δρεπανηφόρων] τεθρίππων FL συνασπιζούσης FL, caeteri συνασπιζομένης 33. κατὰ — παραγγελίας καὶ FL, caeteri καὶ κατὰ — παραγγελίας 35. γίνεσθαι F supra versum, γενέσθαι FL, caeteri γίγνεσθαι 36. ἐστρέφετο] ἐπέστρεφε FL

φερόμενα τὰ μὲν συνηκοντίσθη τὰ δὲ διεξέπεσεν, ἔνια
δὲ τῇ βίᾳ τῆς ῥύμης φερόμενα καὶ ταῖς τῶν σιδή-
ρων ἀκμαῖς ἐνεργῶς χρώμενα πολλὰς καὶ ποικίλας δια-
θέσεις θανάτων ἀπειργάζετο. τοιαύτη γὰρ ἦν ἡ ὀξύτης
καὶ βία τῶν κεχαλκευμένων πρὸς ἀπώλειαν ὅπλων ὥςτε
πολλῶν μὲν βραχίονας σὺν αὐταῖς ταῖς ἀσπίσιν ἀποκό-
πτεσθαι, οὐκ ὀλίγων δὲ τραχήλους παρασύρεσθαι, καὶ
τὰς κεφαλὰς πίπτειν ἐπὶ τὴν γῆν βλεπόντων ἔτι τῶν ὀμ-
μάτων καὶ τῆς τοῦ προςώπου διαθέσεως διαφυλαττομέ- 206
νης, ἐνίων δὲ τὰς πλευρὰς ἐπικαιρίοις τομαῖς ἀναῤῥητ-
59 τόντων καὶ θανάτους ὀξεῖς ἐπιφερόντων. ὡς δ' ἤγγι-
σαν ἀλλήλαις αἱ δυνάμεις, καὶ διὰ τῶν τόξων καὶ σφεν-
δονῶν ἔτι δὲ τῶν ἀκοντιζομένων σαυνίων τὰ ῥιπτούμενα
βέλη παρανήλωτο, πρὸς τὴν ἐκ χειρὸς μάχην κατήντησαν.
καὶ πρῶτον τῶν ἱππέων συστησαμένων ἀγῶνα καὶ τῶν
Μακεδόνων τῷ δεξιῷ κέρατι διαγωνιζομένων, ὁ μὲν Δα-
ρεῖος τοῦ λαιοῦ κέρατος ἡγούμενος συναγωνιστὰς εἶχε
τοὺς συγγενεῖς ἱππεῖς, ἐπιλέκτους ταῖς ἀρεταῖς καὶ ταῖς
εὐνοίαις, χιλίους ἐν μιᾷ περιειλημμένους ἴλῃ. οὗτοι δὲ
θεατὴν ἔχοντες τῆς ἰδίας ἀνδραγαθίας τὸν βασιλέα τὸ
πλῆθος τῶν ἐπ' αὐτὸν φερομένων βελῶν προθύμως ἐξε-
δέχοντο. συνῆσαν δὲ τούτοις οἵ τε μηλοφόροι, * ταῖς ἀν-
δραγαθίαις καὶ πολλοὶ κατὰ τὸ πλῆθος, πρὸς δὲ τούτοις
Μάρδοι καὶ Κοσσαῖοι, ταῖς τε τῶν σωμάτων ὑπεροχαῖς
καὶ ταῖς λαμπρότησι τῶν ψυχῶν θαυμαζόμενοι. συνη-
γωνίζοντο δὲ τούτοις οἵ τε περὶ τὰ βασίλεια διατρίβον-
τες καὶ τῶν Ἰνδῶν οἱ κράτιστοι κατ' ἀνδρείαν. οὗτοι
μὲν οὖν μετὰ πολλῆς βοῆς ἐπιῤῥάξαντες τοῖς πολεμίοις

40. φερόμενα] libri τὰ φερόμενα 41. συνηκοντίσθη TXY Bas., caeteri διηκοντίσθη 43. χρώμενα] χρησάμενα XY Bas. ἦν om. Bas. 46. μὲν] ὤμων F 48. παρασύρεσθαι] αἴρεσθαι F et in margine γρ. παρασύρεσθαι
ἠν ἠν
49. τὴν γῆν] τῆς γῆς F

206. 51. ἀναῤῥηττόντων] ἀναριπτούντων L, ἀναῤῥιπτόντων F: structura requirit monente Wesselingio ἀναῤῥήττεσθαι et ἐπιφέρεσθαι 53. ὡς δ' om. F 54. τόξων καὶ σφενδονῶν] τοξοτῶν καὶ σφενδονητῶν FL 55. τὰ] τὰ μὲν F παρανήλωτο] κατανάλωσαν Q, κατηνάλωσαν F πρὸς] πρὸς δὲ F 56. πρῶτον] πρώτων Q 61. χιλίους] μυρίους suprascribit F 64. μηλοφόροι] μισθοφόροι FL
ὀν
63. ἐπ' αὐτὸν φερομένων] ἐπ' αὐτῷ ἐρχομένων F 65. πολλοὶ post μηλοφόροι ponunt libri praeter Bas., quicum posui ante κατὰ: iam autem priori loco deest ἐπίλεκτοι vel tale quid 66. Κοσσαῖοι FL, caeteri Κισσαῖοι 71. ἐπιῤῥήξαντες F



ἐκθύμως ἠγωνίζοντο καὶ τῷ πλήθει κατεπόνουν τοὺς
Μακεδόνας. Μαζαῖος δὲ τὸ δεξιὸν ἔχων κέρας, καὶ μετὰ
τῶν ἀρίστων ἱππέων διαγωνιζόμενος, εὐθὺς κατὰ τὴν
πρώτην ἔφοδον τῶν ἀνθεστώτων ἀνεῖλεν οὐκ ὀλίγους·
διςχιλίους δὲ Καδουσίους καὶ χιλίους τῶν Σκυθῶν ἱπ-
πεῖς ἐπιλέκτους ἐξέπεμψε, προςτάξας περιιππεῦσαι τὸ
κέρας τὸ τῶν πολεμίων, καὶ προςελάσαντας τῇ παρεμβο-
λῇ τῆς ἀποσκευῆς κυριεῦσαι. ὧν ὀξέως ποιησάντων τὸ
προςταχθὲν, καὶ παρειςπεσόντων εἰς τὴν στρατοπεδείαν
τῶν Μακεδόνων, τῶν αἰχμαλώτων τινὲς ἁρπάσαντες
ὅπλα συνήργουν τοῖς Σκύθαις, καὶ διήρπαζον τὰς ἀπο-
σκευάς· βοὴ δ' ἦν καὶ ταραχὴ διὰ τὸ παράδοξον καθ'
ὅλην τὴν παρεμβολήν. αἱ μὲν οὖν ἄλλαι τῶν αἰχμαλω-
τίδων πρὸς τοὺς βαρβάρους ἀπεχώρουν, ἡ δὲ μήτηρ τοῦ
Δαρείου Σισύγαμβρις παρακαλουσῶν αὐτὴν τῶν αἰχμα-
λωτίδων οὐ προςέσχεν, ἀλλ' ἐφ' ἡσυχίας ἔμεινε φιλο-
φρόνως, οὔτε τῷ παραλόγῳ τῆς τύχης πιστεύσασα οὔτε
τὴν πρὸς Ἀλέξανδρον εὐχαριστίαν λυμαινομένη. τέλος
δὲ οἱ Σκύθαι πολλὴν τῆς ἀποσκευῆς διαρπάσαντες ἀφίπ-
πευσαν πρὸς τοὺς περὶ τὸν Μαζαῖον, καὶ τὴν εὐημε-
ρίαν ἀπήγγειλαν. ὁμοίως δὲ καὶ τῶν περὶ Δαρεῖον τε-
ταγμένων ἱππέων τινὲς καταπονήσαντες τῷ πλήθει τοὺς
ἀνθεστῶτας Μακεδόνας φεύγειν ἠνάγκασαν. δευτέρου 60
δὲ προτερήματος τοῖς Πέρσαις γενομένου, ὁ μὲν Ἀλέξαν-
δρος σπεύδων δι' ἑαυτοῦ τὴν ἧτταν διορθώσασθαι τῶν
ἰδίων, μετὰ τῆς βασιλικῆς ἴλης καὶ τῶν ἄλλων τῶν ἐπι-
φανεστάτων ἱππέων ἐπ' αὐτὸν ἤλαυνε τὸν Δαρεῖον. ὁ
δὲ τῶν Περσῶν βασιλεὺς δεξάμενος τὴν ἐπιφορὰν τῶν
πολεμίων, αὐτὸς μὲν ἐφ' ἅρματος ἀγωνιζόμενος ἠκόντι-
σεν εἰς τοὺς ἐπιφερομένους· πολλῶν δ' αὐτῷ συναγωνι-
207 ζομένων, καὶ τῶν βασιλέων ἐπ' ἀλλήλους ἱεμένων, ὁ μὲν
Ἀλέξανδρος ἀκοντίσας ἐπὶ τὸν Δαρεῖον τούτου μὲν
ἥμαρτε, τοῦ δὲ παρεστῶτος ἡνιόχου τοῦ βασιλέως κατα-
τυχὼν κατέβαλε. τῶν δὲ περὶ τὸν Δαρεῖον ἀναβοησάν-
των, οἱ ποῤῥώτερον ἀφεστηκότες ὑπέλαβον αὐτὸν τὸν
βασιλέα πεπτωκέναι· καὶ τούτων τῆς φυγῆς ἀρξαμένων

74. διαγωνιζόμενος] ἀγωνιζόμενος Bas. 84. διὰ] καὶ F 87. Σισύγαμβρις L, ἡ σισύγαμβρις F, caeteri Σισύγγαμβρις 89. παραλόγῳ] παραδόξῳ QX, παραδοξολόγῳ Q, παραδόξῳ λόγῳ Bas. 93. τὸν om. Bas. 99. διορθ. τῶν ἰδίων] τῶν ἰδίων διορθ. FL 99. τῆς om. Bas. 100. τῶν ἄλλων om. Bas., asterisco notavit Stephanus 3. ἠκόντισεν] ἠκόντιζεν Bas., ἠκόντιζε F εἰς om. FL

207. 4. ἱεμένων Bas., caeteri ἱεμένων

οἱ συνεχεῖς συνείποντο, καὶ τὸ συνεστὸς τῷ Δαρείῳ σύνταγμα κατ' ὀλίγον ἀεὶ παρεῤῥήγνυτο. διὸ καὶ τῆς ἑτέρας πλευρᾶς παραγυμνωθείσης τῶν συναγωνιζομένων καὶ αὐτὸς καταπλαγεὶς πρὸς φυγὴν ὥρμησε. τούτων δὲ οὕτω φευγόντων, καὶ τοῦ κονιορτοῦ τῶν ἱππέων πρὸς ὕψος αἰρομένου, καὶ τῶν περὶ τὸν Ἀλέξανδρον ἐκ ποδὸς ἑπομένων, διὰ τὸ πλῆθος καὶ τὴν πυκνότητα τοῦ κονιορτοῦ συνιδεῖν μὲν οὐκ ἦν τὸν Δαρεῖον ὅποι ποιεῖται τὴν φυγήν, στεναγμὸς δὲ τῶν πιπτόντων ἀνδρῶν καὶ κτύπος τῶν ἵππων, ἔτι δὲ τῶν μαστίγων συνεχὴς ψόφος ἐγίνετο. ἅμα δὲ τούτοις πραττομένοις Μαζαῖος ὁ τοῦ δεξιοῦ κέρατος ἡγούμενος πλείστους ἔχων καὶ κρατίστους ἱππεῖς βαρὺς ἐπέκειτο τοῖς κατ' αὐτὸν τεταγμένοις· Παρμενίων δὲ μετὰ τῶν Θετταλῶν ἱππέων καὶ τῶν ἄλλων τῶν μετ' αὐτοῦ κινδυνευόντων ὑπέστη τοὺς πολεμίους. τὸ μὲν οὖν πρῶτον λαμπρῶς ἀγωνιζόμενος διὰ τὰς ἀρετὰς τῶν Θετταλῶν ἐπροτέρει· τῶν δὲ περὶ τὸν Μαζαῖον τῷ τε πλήθει καὶ βάρει τοῦ συστήματος ἐγκειμένων, κατεπονεῖτο τὸ τῶν Μακεδόνων ἱππικόν. πολλοῦ δὲ φόνου γινομένου, καὶ τῆς τῶν βαρβάρων βίας δυσυποστάτου γινομένης, ὁ Παρμενίων ἐξέπεμψέ τινας τῶν περὶ αὐτὸν ἱππέων πρὸς τὸν Ἀλέξανδρον, λέγων κατὰ τάχος βοηθῆσαι. ὀξέως δὲ τούτων τὸ παραγγελθὲν πραττόντων, καὶ τὸν Ἀλέξανδρον πυθομένων πολὺ τῆς τάξεως ἀπεσπάσθαι κατὰ τὸν διωγμόν, οὗτοι μὲν ἐπανῆλθον ἄπρακτοι· ὁ δὲ Παρμενίων ταῖς τῶν Θετταλῶν ἴλαις χρώμενος ἐμπειρότατα, καὶ πολλοὺς καταβαλών, μόγις ἐτρέψατο τοὺς βαρβάρους, μάλιστα καταπλαγέντας τῇ κατὰ τὸν
61 Δαρεῖον φυγῇ. ὁ δὲ Δαρεῖος τῇ στρατηγίᾳ διαφέρων, καὶ συνεργὸν ἔχων τὸ πλῆθος τοῦ κονιορτοῦ, τὴν ἀποχώρησιν οὐχ ὁμοίαν τοῖς ἄλλοις βαρβάροις ἐποιεῖτο, εἰς τοὐναντίον δὲ μέρος ὁρμήσας, καὶ κρυπτομένην ἔχων διὰ τὸν ἐξαιρόμενον κονιορτὸν τὴν ἰδίαν ἀποχώρησιν, ἀκινδύνως αὐτός τε διέφυγε τούς τε μεθ' ἑαυτοῦ πάντας εἰς τὰς κατόπιν κειμένας τῶν Μακεδόνων κώμας διέσωσε. τέλος δὲ πάντων τῶν βαρβάρων πρὸς φυγὴν

10. συνεστὸς F, συνεστὼς LQ, caeteri συνεχὲς 14. οὕτω] οὕτως omnes 17. μὲν om. Bas. 18. ὅποι] οὗ FL, ὅπου Bas. 19. ἵππων vertit Rhodomannus: libri ἱππέων 27. ἐπροτέρει Wesselingius: ἐπροετέρει Bas., caeteri προετέρει 28. τὸν om. F 29. κατεπονεῖτο] κατεπόνει Bas. 33. λέγων TXY Bas., *qui dicerent* Cospus, caeteri ἀξιῶν 35. ἀπεσπάσθαι] ἐπεσπάσθαι FL 38. μόγις FL, caeteri μόλις 41. σύνεργον Bas. 46. τούς τε] καὶ τοὺς FL 47. ἑαυτοῦ] αὐτοῦ FL



ὁρμησάντων, καὶ τῶν Μακεδόνων τοὺς ἐσχάτους ἀεὶ κτεινόντων, ταχὺ πᾶς ὁ πλησίον τοῦ πεδίου τόπος νεκρῶν ἐπληρώθη. διὸ καὶ τῶν βαρβάρων ἐν ταύτῃ τῇ μάχῃ κατεκόπησαν οἱ πάντες ἱππεῖς τε καὶ πεζοὶ πλείους τῶν ἐννέα μυριάδων· τῶν δὲ Μακεδόνων ἀνῃρέθησαν μὲν εἰς πεντακοσίους, τραυματίαι δ' ἐγένοντο παμπληθεῖς, ἐν οἷς καὶ τῶν ἐπιφανεστάτων ἡγεμόνων Ἡφαιστίων μὲν εἰς τὸν βραχίονα ξυστῷ βληθεὶς ἐτρώθη, τῶν σωματοφυλάκων ἡγούμενος, τῶν δὲ στρατηγῶν Περδίκκας καὶ Κοῖνος· ἔτι δὲ Μενίδας καί τινες ἕτεροι τῶν ἐπιφανῶν ἡγεμόνων. ἡ μὲν οὖν περὶ Ἄρβηλα γενομένη παράταξις τοιοῦτον ἔσχε τὸ πέρας.

62 Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Ἀριστοφῶντος ἐν Ῥώμῃ διεδέξαντο τὴν ὑπατικὴν ἀρχὴν Γάϊος Δομέτιος καὶ Αὖλος Κορνήλιος. ἐπὶ δὲ τούτων εἰς τὴν Ἑλλάδα τῆς περὶ Ἄρβηλα μάχης διαδοθείσης, πολλαὶ τῶν πόλεων, ὑφορώμεναι τὴν αὔξησιν τῶν Μακεδόνων, ἔγνωσαν, ἕως ἔτι τὰ Περσῶν πράγματα διαμένει, τῆς ἐλευθερίας ἀντέχεσθαι. βοηθήσειν γὰρ αὐτοῖς Δαρεῖον, καὶ χρημάτων τε πλῆθος χορηγήσειν πρὸς τὸ δύνασθαι ξενικὰς μεγάλας δυνάμεις συνίστασθαι, καὶ τὸν Ἀλέξανδρον μὴ δυνήσεσθαι διαιρεῖν τὰς δυνάμεις. εἰ δὲ περιόψονται τοὺς Πέρσας καταπολεμηθέντας, μονωθήσεσθαι τοὺς Ἕλληνας καὶ μηκέτι δυνήσεσθαι φροντίσαι τῆς ἑαυτῶν ἐλευθερίας. προεκαλέσατο δὲ πρὸς τὴν ἀπόστασιν τοὺς Ἕλληνας καὶ ὁ περὶ τὴν Θρᾴκην νεωτερισμὸς κατὰ τοὺς ὑποκειμένους καιροὺς γενόμενος. Μέμνων γὰρ ὁ καθεσταμένος στρατηγὸς τῆς Θρᾴκης, ἔχων δύναμιν καὶ φρονήματος ὢν πλήρης, ἀνέσεισε μὲν τοὺς βαρβάρους, ἀποστάτης δὲ γενόμενος τοῦ Ἀλεξάνδρου, καὶ ταχὺ μεγάλης δυνάμεως κυριεύσας, φανερῶς ἀνεκαλύψατο πρὸς τὸν πόλεμον. διόπερ Ἀντίπατρος πᾶσαν ἀναλαβὼν τὴν δύναμιν προῆλθε διὰ Μακεδονίας εἰς Θρᾴκην, καὶ διεπολέμει πρὸς τὸν Μέμνονα. τούτου δὲ περὶ ταῦτ' ὄντος, οἱ Λακεδαιμόνιοι καιρὸν ἔχειν ὑπολαβόντες τοῦ παρασκευάσασθαι τὰ πρὸς τὸν

59. Κοῖνος Y Cospus, Κόινος Bas., Κόνος L, Κόννος FQ, caeteri Κοίνος Μενίδας LQ, caeteri Μινίδας 59. 60. γενομένη F, post οὖν ponit Bas. 61. πέρας] τέλος FLQ 63. Δομέτιος] Δομέττιος omnes, Domitius Cospus 68. διαμένει F, διαμείνει L, caeteri διαμένῃ 69. τε] δὲ Bas. χορηγήσειν] παρασχεῖν L 73. 74. μονωθήσεσθαι τοὺς Ἕλληνας καὶ μηκέτι δυνήσεσθαι FLQ, caeteri μονωθέντας μὴ δυνήσεσθαι (δύνασθαι Y Bas.) ἑαυτῶν] αὐτῶν Bas. 80. ἀποστάτης γενόμενος Ἀλεξάνδρου F 82. ὁ Ἀντίπατρος ἅπασαν F

πόλεμον, παρεκάλουν τοὺς Ἕλληνας συμφρονῆσαι περὶ τῆς ἐλευθερίας. Ἀθηναῖοι μὲν οὖν, παρὰ πάντας τοὺς ἄλλους Ἕλληνας ὑπ' Ἀλεξάνδρου προτιμώμενοι, τὴν ἡσυχίαν ἦγον· Πελοποννησίων δ' οἱ πλείους καὶ τῶν ἄλλων τινὲς συμφρονήσαντες ἀπεγράψαντο πρὸς τὸν πόλεμον, καὶ κατὰ δύναμιν τῶν πόλεων καταγράφοντες τῶν νέων τοὺς ἀρίστους κατέλεξαν στρατιώτας πεζοὺς μὲν οὐκ ἐλάττους τῶν δισμυρίων, ἱππεῖς δὲ περὶ δισχιλίους. τὴν δ' ἡγεμονίαν ἔχοντες Λακεδαιμόνιοι πανδημεὶ πρὸς τὸν ὑπὲρ τῶν ὅλων κίνδυνον ὥρμησαν, Ἄγιδος τοῦ βασιλέως
63 τὴν πάντων ἔχοντος ἡγεμονίαν. Ἀντίπατρος δὲ πυθόμενος τὴν τῶν Ἑλλήνων συνδρομήν, τὸν μὲν ἐν τῇ Θρᾴκῃ πόλεμον ὥς ποτ' ἦν δυνατὸν διέλυσεν, εἰς δὲ τὴν Πελοπόννησον ἧκε μετὰ πάσης τῆς δυνάμεως. προσλαβόμενος δὲ καὶ παρὰ τῶν συμμαχούντων Ἑλλήνων στρατιώτας ἤθροισε τοὺς ἅπαντας οὐκ ἐλάττους τῶν τετρακισμυρίων. γενομένης δὲ παρατάξεως μεγάλης ὁ μὲν Ἄγις μαχόμενος ἔπεσεν, οἱ δὲ Λακεδαιμόνιοι πολὺν μὲν ἐκθύμως χρόνον ἀγωνιζόμενοι διεκαρτέρουν· τῶν δὲ συμμάχων βιασθέντων, καὶ αὐτοὶ τὴν ἀναχώρησιν εἰς τὴν Σπάρτην ἐποιήσαντο. ἀνῃρέθησαν δ' ἐν τῇ μάχῃ τῶν μὲν Λακεδαιμονίων καὶ τῶν συμμάχων πλείους τῶν πεν- 209
τακισχιλίων καὶ τριακοσίων, τῶν δὲ μετ' Ἀντιπάτρου τρισχίλιοι καὶ πεντακόσιοι. ἴδιον δέ τι συνέβη καὶ περὶ τὴν τοῦ Ἄγιδος τελευτὴν γενέσθαι. ἀγωνισάμενος γὰρ λαμπρῶς καὶ πολλοῖς τραύμασιν ἐναντίοις περιπεσών, ὑπὸ τῶν στρατιωτῶν εἰς τὴν Σπάρτην ἀπεκομίσθη· περικατάληπτος δὲ γενόμενος καὶ τὰ καθ' ἑαυτὸν ἀπογνούς, τοῖς μὲν ἄλλοις στρατιώταις προσέταξεν ἀπιέναι τὴν ταχίστην, καὶ διασώζειν αὐτοὺς εἰς τὴν τῆς πατρίδος χρείαν, αὐτὸς δὲ καθοπλισθεὶς καὶ εἰς γόνυ διαναστὰς ἠμύνατο τοὺς πολεμίους, καί τινας καταβαλὼν καὶ συνακοντισθείς, κατέστρεψε τὸν βίον, ἄρξας ἔτη ἐννέα. ἡμεῖς δὲ διεληλυθότες τὰ πραχθέντα κατὰ τὴν Εὐρώπην ἐν μέρει τὰ κατὰ τὴν Ἀσίαν συντελεσθέντα διέξιμεν.

89. ἄλλους Ἕλληνας] Ἕλληνας FL 1. διέλυσεν] κατέλυσεν FTY 4. ἅπαντας] πάντας Bas.
209. 16. ἀπεκομίσθη] ἀπεκόμιζε T, ἀντεκομίσθη Bas.
19. αὐτοὺς] αὑτοὺς L 24. διέξειμεν F

---

### ΤΗΣ ΕΠΤΑΚΑΙΔΕΚΑΤΗΣ

## ΤΩΝ ΔΙΟΔΩΡΟΥ ΒΙΒΛΩΝ

### Η ΔΕΥΤΕΡΑ ΒΙΒΛΟΣ Η ΤΟ ΔΕΥΤΕΡΟΝ ΤΜΗΜΑ.

---

Δαρεῖος μὲν γὰρ ἡττηθεὶς ἐν τῇ περὶ Ἄρβηλα παρατά- 64
ξει τὴν φυγὴν ἐπὶ τὰς ἄνω σατραπείας ἐποιήσατο, σπεύδων τῷ διαστήματι τῶν τόπων λαβεῖν ἀναστροφὴν καὶ χρόνον ἱκανὸν εἰς παρασκευὴν δυνάμεως. τὸ μὲν οὖν πρῶτον εἰς Ἐκβάτανα τῆς Μηδίας διανύσας, ἐνταῦθα διέτριβε, καὶ τοὺς μὲν ἐκ τῆς φυγῆς ἀνασωζομένους ἀνεδέχετο, τοὺς δὲ ἀνόπλους καθώπλιζε. μετεπέμπετο δὲ καὶ στρατιώτας ἐκ τῶν πλησιοχώρων ἐθνῶν, καὶ πρὸς τοὺς ἐν Βάκτροις καὶ ταῖς ἄνω σατραπείαις σατράπας καὶ στρατηγοὺς διεπέμπετο, παρακαλῶν διαφυλάττειν τὴν πρὸς αὐτὸν εὔνοιαν. Ἀλέξανδρος δὲ μετὰ τὴν νίκην θάψας τοὺς τετελευτηκότας ἐπέβαλε τοῖς Ἀρβήλοις, καὶ πολλὴν μὲν εὗρεν ἀφθονίαν τῆς τροφῆς, οὐκ ὀλίγον δὲ κόσμον καὶ γάζαν βαρβαρικήν, ἀργυρίου δὲ τάλαντα τρισχίλια. συλλογισάμενος δὲ τὴν μέλλουσαν ἔσεσθαι φθορὰν τοῦ περιέχοντος ἀέρος διὰ τὸ πλῆθος τῶν νεκρῶν, εὐθὺς ἀνέζευξε, καὶ κατήντησε μετὰ πάσης τῆς δυνάμεως εἰς Βαβυλῶνα. τῶν δ' ἐγχωρίων προθύμως ὑποδεξαμένων αὐτὸν καὶ κατὰ τὰς ἐπισταθμίας λαμπρῶς ἑστιώντων τοὺς Μακεδόνας, ἀνέλαβε τὴν δύναμιν ἐκ τῆς προγεγενημένης ταλαιπωρίας. πλείους δὲ τῶν τριάκοντα ἡμερῶν ἐνδιέτριψε τῇ πόλει διά τε τὴν δαψίλειαν τῶν ἐπιτηδείων καὶ τὴν φιλοξενίαν τῶν ἐγχωρίων. μετὰ

26. 27. τῆς ἑπτακ. τῶν Δ. βίβλων] Δ. τοῦ Σικελιώτου τῆς ΙΖ. Bas. 27. — 30. ἡ δευτέρα — τμῆμα] εἰς (ἐς L) δύο διῃρημένης τὸ δεύτερον L Bas., εἰς δύο διῃρημένης τὸ τέλος τῆς α' F: videtur omnis divisio tollenda esse, ut monitum est ad libri initium.
31. μὲν γὰρ om. TX Bas., asterisco notavit Stephanus
36. μηδείας F Bas. 39. ἐθνῶν om. L

δὲ ταῦτα τὴν μὲν ἄκραν παρέδωκε τηρεῖν Ἀγάθωνι τῷ Πυδναίῳ, συστήσας αὐτῷ Μακεδόνας στρατιώτας ἑπτακοσίους· Ἀπολλόδωρον δὲ τὸν Ἀμφιπολίτην καὶ Μένητα τὸν Πελλαῖον ἀπέδειξε στρατηγοὺς τῆς τε Βαβυλῶνος καὶ τῶν σατραπειῶν μέχρι Κιλικίας. δοὺς δὲ αὐτοῖς ἀργυ- [210] ρίου τάλαντα χίλια προςέταξε ξενολογεῖν στρατιώτας ὡς πλείστους. Μιθρήνῃ δὲ τῷ παραδόντι τὴν ἐν Σάρδεσιν ἄκραν Ἀρμενίαν ἔδωκεν. ἐκ δὲ τῶν ληφθέντων χρημάτων τῶν μὲν ἱππέων ἑκάστῳ ἓξ μνᾶς ἐδωρήσατο, τῶν δὲ συμμάχων πέντε, τῶν δ' ἐκ τῆς φάλαγγος Μακεδόνων δύο, τοὺς δὲ ξένους διμήνοις μισθοφοραῖς ἐτίμησε πάντας.

65 Τοῦ δὲ βασιλέως ἀναζεύξαντος ἐκ τῆς Βαβυλῶνος καὶ κατὰ τὴν πορείαν ὄντος, ἧκον πρὸς αὐτὸν παρὰ μὲν Ἀντιπάτρου πεμφθέντες ἱππεῖς μὲν Μακεδόνες πεντακόσιοι, πεζοὶ δὲ ἑξακιςχίλιοι, ἐκ δὲ Θρᾴκης ἱππεῖς μὲν ἑξακόσιοι, Τραλλεῖς δὲ τριςχίλιοι καὶ πεντακόσιοι, ἐκ δὲ Πελοποννήσου πεζοὶ μὲν τετρακιςχίλιοι, ἱππεῖς δὲ βραχὺ λείποντες τῶν χιλίων, ἐκ δὲ τῆς Μακεδονίας τῶν φίλων τοῦ βασιλέως υἱοὶ πεντήκοντα πρὸς τὴν σωματοφυλακίαν ὑπὸ τῶν πατέρων ἀπεσταλμένοι. ὁ δὲ βασιλεὺς τούτους παραλαβὼν προῆγε, καὶ κατήντησεν ἑκταῖος εἰς τὴν Σιττακηνὴν ἐπαρχίαν. τῆς δὲ χώρας ταύτης πολλὴν ἀφθονίαν ἐχούσης τῶν ἐπιτηδείων πάντων, ἐν ταύτῃ πλείους ἡμέρας ἔμεινεν, ἅμα μὲν σπεύδων ἐκ τῆς κατὰ τὴν ὁδοιπορίαν ταλαιπωρίας ἀναλαβεῖν τὴν δύναμιν, ἅμα δὲ τῆς στρατιωτικῆς τάξεως διανοούμενος ἐπιμεληθῆναι καὶ τὰς ἡγεμονίας ἀναβιβάσαι καὶ τὴν δύναμιν ἰσχυροποιῆσαι τῷ τε πλήθει καὶ ταῖς ἀρεταῖς τῶν ἡγεμόνων. συντελέσας δὲ τὰ δεδογμένα, καὶ μετὰ πολλῆς ἐπιμελείας περὶ τῶν ἀριστείων κρίσιν ποιησάμενος, καὶ πολλοὺς ἀπὸ τῆς μεγάλης ἡγεμονίας ἐπὶ μεγάλας ἐξουσίας ἀναβιβάσας, πάντας τοὺς ἡγεμόνας εἰς ἀξίωμα μεῖζον καὶ στοργὴν ἰσχυρὰν πρὸς ἑαυτὸν προήγαγεν. ἐπεμελήθη δὲ καὶ τῆς ἰδιωτικῆς τῶν στρατιωτῶν διατάξεως, καὶ

57. *Πυδναίῳ*] *Δυαίῳ* X 58. *στρατιώτας* om. L
60. *Βαβυλῶνος*] *Βαβυλωνίας* L

210. 62. *ξενοστρατολογεῖν* F, punctis positis super litteris *στρατο* 63. *Μιθρήνῃ* FL, *Mithrinnem* Cospus, caeteri *Μιθρίνῃ* 67. *διμήνοις*] *διμηναίοις* L, *διμηνύοις* F, *διμήνου* Y 71. *μὲν* om. F 73. *Τραλλεῖς* Valesius ad Dionis Exc. p. 90., *Τραλεεῖς* F, caeteri *Τραλλεεῖς* 77. *υἱοὶ*] *υἱεῖς* L 80. *Σιττακηνὴν* L, *σιττακίαν* F, caeteri *Σιτακινὴν* 89. *ἀριστείων*] *ἀριστειῶν* FLQ, caeteri *ἀρίστων* 90. *ἐπὶ* — *ἀξίωμα* om. X 93. *διατάξεως*] *τάξεως* Bas.



πολλὰ πρὸς τὴν εὐχρηστίαν ἐπινοησάμενος ἐπὶ τὸ κρεῖττον διωρθώσατο. κατασκευάσας δὲ πᾶσαν τὴν στρατιὰν εὐνοίᾳ τε πρὸς τὸν ἡγούμενον διαφέρουσαν καὶ πρὸς τὰ παραγγελλόμενα πειθαρχοῦσαν, ἔτι δὲ ταῖς ἀνδραγαθίαις ὑπερβάλλουσαν, ἐπὶ τοὺς ὑπολειπομένους ἀγῶνας ὥρμησεν. εἰς δὲ τὴν Σουσιανὴν καταντήσας ἀκινδύνως παρέλαβε τὰ περιβόητα ἐν Σούσοις βασίλεια, ἑκουσίως Ἀβουλήτου τοῦ σατράπου παραδόντος αὐτῷ τὴν πόλιν, ὡς μέν ἔνιοι γεγράφασι, προστάξαντος Δαρείου τοῖς πεπιστευμένοις ὑπ' αὐτοῦ· τοῦτο δὲ πρᾶξαι τὸν βασιλέα [211] τῶν Περσῶν, ὅπως ὁ μὲν Ἀλέξανδρος εἰς περισπασμοὺς ἀξιολόγους καὶ παραλήψεις ἐπιφανεστάτων πόλεων καὶ θησαυρῶν μεγάλων ἐμπεσὼν ἐν ἀσχολίαις ὑπάρχῃ, ὁ δὲ Δαρεῖος τῇ φυγῇ λαμβάνῃ χρόνον εἰς τὴν τοῦ πολέμου παρασκευήν.

66 Ὁ δ' Ἀλέξανδρος παραλαβὼν τὴν πόλιν καὶ τοὺς ἐν τοῖς βασιλείοις θησαυροὺς εὗρεν ἀσήμου χρυσοῦ καὶ ἀργύρου πλείω τῶν τετρακιςμυρίων ταλάντων. ταῦτα δ' ἐκ πολλῶν χρόνων οἱ βασιλεῖς ἄθικτα διετήρησαν, πρὸς τὰ παράλογα τῆς τύχης ἀπολείποντες αὐτοῖς καταφυγάς. χωρὶς δὲ τούτων ὑπῆρχεν ἐνακιςχίλια τάλαντα χρυσοῦ, χαρακτῆρα δαρεικὸν ἔχοντα. ἴδιον δέ τι συνέβη γενέσθαι τῷ βασιλεῖ κατὰ τὴν παράληψιν τῶν χρημάτων. καθίσαντος γὰρ αὐτοῦ ἐπὶ τὸν βασιλικὸν θρόνον, καὶ τούτου μείζονος ὄντος ἢ κατὰ τὴν συμμετρίαν τοῦ σώματος, τῶν παίδων τις ἰδὼν τοὺς πόδας ἀπολείποντας πολὺ τοῦ κατὰ τὸν θρόνον ὑποβάθρου, βαστάσας τὴν Δαρείου τράπεζαν ὑπέθηκε τοῖς ποσὶν αἰωρουμένοις. ἁρμοστῆς δὲ γενομένης, ὁ μὲν βασιλεὺς ἀπεδέξατο τὴν τοῦ πράξαντος εὐστοχίαν· τῶν δὲ παρεστώτων τις τῷ θρόνῳ εὐνοῦχος κινηθεὶς τὴν ψυχὴν τῇ μεταβολῇ τῆς τύχης ἐδάκρυσεν. ὃν ἰδὼν ὁ Ἀλέξανδρος ἤρετο, Τί κακὸν ἰδὼν γεγονὸς κλαίεις; ὁ δὲ εὐνοῦχος ἔφησε, Νῦν μὲν σός εἰμι δοῦλος, πρότερον δὲ Δαρείου, καὶ φύσει φιλοδέσποτος ὤν, ἤλγηκα ἰδὼν τὸ παρ' ἐκείνῳ μάλιστα τιμώμενον νῦν ἄτιμον γεγονὸς σκεῦος. ὁ δὲ βασιλεὺς διὰ τῆς ἀποκρίσεως λαβὼν ἔννοιαν τῆς ὅλης κατὰ τὴν

94. *ἐπινοησάμενος*] *ἐποίησε* Q 95. *ἐπὶ*] *καὶ πρὸς* Q 96. *τὴν* om. F *εὐνοίᾳ*] *εὐνοίαν* FL 3. *Ἀβουλήτου*] *Ἀβουλεύτου* QXY Bas., Cospus

211. 7. *ἐπιφανεστάτων* Reiskius: libri *ἐπιφανεστάτας τῶν*: urbes insignes Cospus 14. *δ'* F 16. *ἀπολείποντες* FL, caeteri *ἀπολιπόντες* *αὐτοῖς*] *αὑτοῖς* L 17. libri *ἐννακιςχ.* 20. *καθίσαντος*] *καθήσαντος* T Bas. 25. *αἰωρουμ.*] *ἐωρουμ.* T Bas. 32. *ἐκείνῳ*] *ἐκείνου* L 28. *τῇ μεταβολῇ τῆς τύχης*] *τῆς μεταβολῆς τῇ τύχῃ* Bas.

Περσικὴν βασιλείαν μεταβολῆς, ὑπέλαβεν ἑαυτὸν ὑπερήφανόν τι πεποιηκέναι καὶ τῆς πρὸς τὰς αἰχμαλώτιδας ἐπιεικείας ἀλλοτριώτατον. διόπερ προςκαλεσάμενος τὸν θέντα τὴν τράπεζαν ἐπέταξεν ἆραι πάλιν. ἐνταῦθα παρεστὼς Φιλώτας, Ἀλλ' οὐχ ὕβρις ἐστίν, εἶπε, τὸ μὴ ὑπὸ σοῦ προςταχθὲν ἀλλὰ δαίμονός τινος ἀγαθοῦ προνοίᾳ καὶ βουλήσει. ὁ δὲ βασιλεὺς οἰωνισάμενος τὸ ῥηθέν, προςέταξεν ἐᾶν κειμένην ὑπὸ τῷ θρόνῳ τὴν τράπεζαν.

67 Μετὰ δὲ ταῦτα τὴν μὲν Δαρείου μητέρα καὶ τὰς θυγατέρας καὶ τὸν υἱὸν ἀπέλιπεν ἐν Σούσοις, καὶ παρακατέστησε τοὺς διδάξοντας τὴν Ἑλληνικὴν διάλεκτον, αὐτὸς δὲ μετὰ τῆς δυνάμεως ἀναζεύξας τεταρταῖος ἐπὶ τὸν Τίγριν ποταμὸν ἀφίκετο. ὃς ῥέων ἀπὸ τῆς Οὐξίων ὀρεινῆς 212 τὸ μὲν πρῶτον φέρεται διὰ χώρας τραχείας καὶ χαράδραις μεγάλαις διειλημμένης ἐπὶ σταδίους χιλίους· ἔπειτα διαῤῥεῖ χώραν πεδιάδα, πραϋνόμενος ἀεὶ μᾶλλον· καὶ διελθὼν σταδίους ἑξακοσίους ἐξίησιν εἰς τὴν κατὰ Πέρσας θάλατταν. διαβὰς δὲ τὸν Τίγριν προῆγεν ἐπὶ τὴν Οὐξίων χώραν, οὖσαν πάμφορον καὶ δαψιλέσιν ὕδασι διαῤῥεομένην καὶ πολλοὺς καὶ παντοδαποὺς ἐκφέρουσαν καρπούς· διὸ καὶ τῆς ὡρίμου ξηραινομένης ὀπώρας παντοδαπὰ πλάσματα χρήσιμα πρὸς ἀπόλαυσιν οἱ τὸν Τίγριν πλέοντες ἔμποροι κατάγουσιν εἰς τὴν Βαβυλωνίαν. καταλαβὼν δὲ τὰς παρόδους φυλαττομένας ὑπὸ Μαδέτου, συγγενοῦς μὲν ὄντος Δαρείου, δύναμιν δὲ ἔχοντος ἀξιόλογον, κατεσκέψατο τὴν ὀχυρότητα τῶν τόπων. ἀπαροδεύτων δ' ὄντων κρημνῶν, τῶν ἐγχωρίων τις ἀνήρ, Οὔξιος μὲν τὸ γένος, ἔμπειρος δὲ τῶν τόπων. ἐπηγγείλατο τῷ βασιλεῖ διά τινος στενῆς ἀτραποῦ καὶ παραβόλου ἄξειν τοὺς στρατιώτας, ὥςτε ὑπερδεξίους γενέσθαι τῶν πολεμίων. ὁ δ' Ἀλέξανδρος προςδεξάμενος τοὺς λόγους, τούτῳ μὲν συναπέστειλε τοὺς ἱκανοὺς στρατιώτας, αὐτὸς δὲ τὴν δίοδον κατασκευάσας ἐφ' ὧν ἦν ἐνδεχόμενον προςέβαλε τοῖς ἐπὶ τῶν παρόδων ἐφεστηκόσιν. ἐκ διαδοχῆς δὲ ἐνεργῶς τοῦ κινδύνου συνεστῶτος, καὶ τῶν βαρβάρων περισπωμένων περὶ τὸν ἀγῶνα, παραδόξως οἱ πεμφθέντες ἐφάνησαν ὑπερδέξιοι τοῖς τὴν πάροδον φυ-

39. ἆραι πάλιν] invertit F 43. τὴν om. Bas.
49. 55. 60. Τίγιν] Πασίτιγριν Stephauus

212. 54. θάλατταν] θάλασσαν omnes 59. πλάσματα] * ματα Bas. 62. Μαδέτου] Madete Cospus, Μαδέου LQ, Μαδέου τοῦ F, caeteri Μέτου 64. τῶν τόπων] τοῦ τόπου Q Bas. 72. τοῖς ἐπὶ] ἐπὶ τοῖς FL 73. ἐνεργῶς] ἐναργῶς FL



λάττουσι. καταπλαγέντων δὲ τῶν βαρβάρων καὶ πρὸς φυγὴν ὁρμησάντων, ἐγκρατὴς ἐγένετο τῆς διεξόδου καὶ ταχέως πασῶν τῶν κατὰ τὴν Οὐξιανὴν πόλεων.

68 Ἐντεῦθεν δ' ἀναζεύξας προῆγεν ἐπὶ τὴν Περσίδα, καὶ πεμπταῖος ἧκεν ἐπὶ τὰς Σουσιάδας καλουμένας πέτρας. ταύτας δὲ προκατειληφὼς ἦν ὁ Ἀριοβαρζάνης μετὰ στρατιωτῶν πεζῶν μὲν διςμυρίων καὶ πεντακιςχιλίων, ἱππέων δὲ τριακοσίων. ὁ δὲ βασιλεὺς δόξας τῇ βίᾳ κρατήσειν τῆς πύλης, προῆγε διὰ τόπων στενῶν καὶ τραχέων οὐδενὸς παρενοχλοῦντος. οἱ δὲ βάρβαροι μέχρι μέν τινος εἴων αὐτὸν διαπορεύεσθαι τὰς παρόδους, ἐπεὶ δ' εἰς μέσας τὰς δυςχωρίας ἧκον, ἄφνω τὴν ἐπίθεσιν ἐποιοῦντο, καὶ πολλοὺς μὲν ἁμαξιαίους λίθους ἐπεκύλιον, οἳ προςπίπτοντες ἄφνω τοῖς Μακεδόσιν ἀθρόοι πολλοὺς διέφθειρον, οὐκ ὀλίγοι δ' ἀπὸ τῶν κρημνῶν ἀκοντίζοντες εἰς πεπυκνωμένους οὐκ ἀπετύγχανον τῶν σκοπῶν· ἄλλοι δ' ἐκ χειρὸς τοῖς λίθοις βάλλοντες τοὺς βιαζομένους τῶν Μακεδόνων ἀνέστελλον. πολλὰ δ' αὐτοῖς τῆς δυςχωρίας συνεργούσης ἐπλεονέκτουν, καὶ συχνοὺς μὲν ἀπέκτεινον, οὐκ ὀλίγους δὲ κατετίτρωσκον. ὁ δ' Ἀλέξανδρος τῇ δεινότητι τοῦ πάθους ἀδυνατῶν βοηθεῖν, καὶ 213 θεωρῶν μηδένα τῶν πολεμίων μήτε τεθνηκότα μήθ' ὅλως τετρωμένον, τῶν δὲ ἰδίων ἀπολωλότας μὲν πολλούς, κατατετρωμένους δὲ σχεδὸν ἅπαντας τοὺς προςβαλόντας, ἀνεκαλέσατο τῇ σάλπιγγι τοὺς στρατιώτας ἀπὸ τῆς μάχης. ἀναχωρήσας δὲ ἀπὸ τῶν παρόδων σταδίους τριακοσίους κατεστρατοπέδευσε, καὶ παρὰ τῶν ἐγχωρίων ἐπυνθάνετο μή τις ἑτέρα ἐστὶ διεκβολή. πάντων δ' ἀποφαινομένων δίοδον μὲν μηδεμίαν ἄλλην ὑπάρχειν, περίοδον δὲ εἶναι πολλῶν ἡμερῶν, αἰσχρὸν εἶναι νομίσας ἀτάφους ἀπολιπεῖν τοὺς τετελευτηκότας, καὶ τὴν αἴτησιν τῶν νεκρῶν οὖσαν ὁρῶν ἀσχήμονα καὶ περιέχουσαν ἥττης ὁμολόγησιν, προςέταξεν ἀπαγαγεῖν ἅπαντας τοὺς αἰχμαλώτους. ἐν δὲ τούτοις ἧκεν ἀπαγόμενος ἀνὴρ δίγλωτ-

79. πόλεων T Bas., caeteri addunt ἐγκρατὴς ὑπῆρξεν, quae asterisco notavit Stephanus 80. ἐντεῦθεν δ'] ἐντεῦθεν Bas. 82. πέτρας] πυλῶν p. 157. 33., ubi v. annotationem 88. δ' F 90. λίθους T Bas., caeteri addunt τοῖς μεγέθεσιν, quae asterisco notavit Stephanus 91. ἀθρόοι servarunt FL 92. τῶν κρημνῶν] τοῦ κρημνοῦ Q 99. τῇ δεινότητι] τὴν δεινότητα FL

213. 100. μήθ' FL, caeteri μήτε 3. προςβαλόντας FL, caeteri προςβάλλοντας 4. ἀναχωρήσας] ἀποχωρήσας FL 5. τριακοσίους] τετρακοσίους FL, τριάκοντα Wessel. 11. ὁρῶν om. FL 12. ἀπαγαγεῖν] ἀναγαγεῖν FL 13. ἀπαγόμενος] ὑπαγόμενος F supra versum correctus

τος, εἰδὼς τὴν Περσικὴν διάλεκτον· οὗτος δὲ ἑαυτὸν ἀπεφαίνετο Λύκιον μὲν εἶναι τὸ γένος, αἰχμάλωτον δὲ γενόμενον ποιμαίνειν κατὰ τὴν ὑποκειμένην ὀρεινὴν ἔτη πλείω· δι' ἣν αἰτίαν ἔμπειρον γενέσθαι τῆς χώρας, καὶ δύνασθαι τὴν δύναμιν ἀγαγεῖν διὰ τῆς καταδένδρου καὶ κατόπιν ποιῆσαι τῶν τηρούντων τὰς παρόδους. ὁ δὲ βασιλεὺς μεγάλαις δωρεαῖς τιμήσειν ἐπαγγειλάμενος τὸν ἄνδρα, τούτου καθηγουμένου διῆλθεν ἐπιπόνως τὴν ὀρεινὴν νυκτός, πολλὴν μὲν πατήσας χιόνα, πᾶσαν δὲ κρημνώδη χώραν περάσας, χαράδραις βαθείαις καὶ πολλαῖς φάραγξι διειλημμένην. ἐπιφανεὶς δὲ ταῖς προφυλακαῖς τῶν πολεμίων, τοὺς μὲν πρώτους κατέκοψε, τοὺς δ' ἐπὶ τῆς δευτέρας φυλακῆς τεταγμένους ἐζώγρησε, τοὺς δὲ τρίτους τρεψάμενος ἐκράτησε τῶν παρόδων, καὶ τοὺς πλείστους τῶν περὶ τὸν Ἀριοβαρζάνην ἀπέκτεινε.

69 Μετὰ δὲ ταῦτα ἐπὶ τὴν Περσέπολιν προάγων κατὰ τὴν ὁδὸν ἐπιστολὴν ἐκομίσατο παρὰ τοῦ κυριεύοντος τῆς πόλεως Τιριδάτου. ἐν ταύτῃ δ' ἦν γεγραμμένον, ἐὰν παραγενόμενος φθάσῃ τοὺς ἐπιβαλλομένους διατηρῆσαι Δαρείῳ τὴν Περσέπολιν, κύριος ἔσται ταύτης ὑπ' αὐτοῦ παραδοθείσης. διόπερ ὁ Ἀλέξανδρος κατὰ σπουδὴν ἦγε τὴν δύναμιν, καὶ τὸν Ἀράξην ποταμὸν ζεύξας διεβίβασε τοὺς στρατιώτας. προάγοντος δὲ τοῦ βασιλέως θέαμα παράδοξον καὶ δεινὸν ὤφθη, μισοπονηρίαν μὲν περιέχον κατὰ τῶν πραξάντων, ἔλεον δὲ καὶ συμπάθειαν ἐπιφέρον πρὸς τοὺς ἀνήκεστα πεπονθότας. ἀπήντησαν γὰρ αὐτῷ μεθ' ἱκετηριῶν Ἕλληνες ὑπὸ τῶν πρότερον βασιλέων ἀνάστατοι γεγονότες, ὀκτακόσιοι μὲν σχεδὸν τὸν ἀριθμὸν ὄντες, ταῖς δ' ἡλικίαις οἱ πλεῖστοι μὲν γεγηρακότες, ἠκρωτηριασμένοι δὲ ἅπαντες, οἱ μὲν χεῖρας, οἱ δὲ πόδας, οἱ δὲ ὦτα καὶ ῥῖνας· τῶν δ' ἐπιστήμας ἢ τέχνας εἰδότων καὶ ἐν παιδείᾳ προκεκοφότων τὰ μὲν ἄλλα τῶν ἀκρωτηρίων ἀπέκοπτον, αὐτὰ δὲ μόνα τὰ συν- 214
εργοῦντα πρὸς τὰς ἐπιστήμας ἀπελέλειπτο· ὥστε πάντας ὁρῶντας τὰ τῆς ἡλικίας ἀξιώματα καὶ τὰς περιεχούσας τὰ σώματα συμφορὰς ἐλεεῖν τὰς τύχας τῶν ἀκληρούντων, μάλιστα δὲ αὐτὸν τὸν Ἀλέξανδρον συμπαθῆ γενέσθαι τοῖς ἠτυχηκόσι καὶ μὴ δύνασθαι κατασχεῖν τὰ δάκρυα. ἀναβοησάντων δὲ ἅμα πάντων καὶ τὸν Ἀλέξανδρον ἀξιούντων ἀμῦναι ταῖς ἰδίαις συμφοραῖς, ὁ μὲν βασιλεὺς προσκαλεσάμενος τοὺς προεστηκότας ἐπηγγείλατο πολλὴν πρόνοιαν ποιήσασθαι, καὶ τῆς αὐτοῦ μεγαλοψυχίας ἀξίως τιμήσας φροντίδα ποιήσασθαι τῆς ἐπ' οἶκον ἀνακομιδῆς. οἱ δὲ συνελθόντες καὶ βουλευσάμενοι προέκριναν τὴν αὐτόθι μονὴν τῆς εἰς οἶκον ἀνακομιδῆς. ἀνασωθέντας μὲν γὰρ αὐτοὺς διασπαρήσεσθαι κατ' ὀλίγους, καὶ περιιόντας ἐν ταῖς πόλεσιν ἐπονείδιστον ἕξειν τὴν ἐκ τῆς τύχης ἐπήρειαν· μετ' ἀλλήλων δὲ βιοῦντας, τὴν ὁμοίαν συμφορὰν ἔχοντας, παραμύθιον ἕξειν τῆς ἰδίας ἀκληρίας τὴν τῶν ἄλλων τῆς ἀκληρίας ὁμοιότητα. διὸ καὶ πάλιν ἐντυχόντες τῷ βασιλεῖ, καὶ τὴν ἰδίαν κρίσιν δηλώσαντες, ἐδέοντο πρὸς ταύτην τὴν ὑπόστασιν οἰκείαν παρέχεσθαι τὴν βοήθειαν. ὁ δὲ Ἀλέξανδρος συγκαταθέμενος τοῖς δεδογμένοις τρισχιλίας μὲν ἑκάστῳ δραχμὰς ἐδωρήσατο καὶ στολὰς ἀνδρείας πέντε καὶ γυναικείας ἴσας, ζεύγη δὲ βοϊκὰ δύο καὶ πρόβατα πεντήκοντα καὶ πυρῶν μεδίμνους πεντήκοντα· ἐποίησε δὲ καὶ ἀτελεῖς αὐτοὺς παντὸς βασιλικοῦ φόρου, καὶ τοῖς ἐπιστάταις προσέταξε φροντίζειν ὅπως μηδ' ὑφ' ἑνὸς ἀδικῶνται. Ἀλέξανδρος μὲν οὖν ἀκολούθως τῇ καθ' αὑτὸν ἐπιεικείᾳ τοιαύταις εὐεργεσίαις τὰς τῶν ἠτυχηκότων συμφορὰς διωρθώσατο.

70 Τὴν δὲ Περσέπολιν, μητρόπολιν οὖσαν τῆς Περσῶν βασιλείας, ἀπέδειξε τοῖς Μακεδόσι πολεμίαν τῶν κατὰ τὴν Ἀσίαν πόλεων, καὶ τοῖς στρατιώταις ἔδωκεν εἰς διαρπαγὴν χωρὶς τῶν βασιλείων. πλουσιωτάτης δ' οὔσης τῶν ὑπὸ τὸν ἥλιον, καὶ τῶν ἰδιωτικῶν οἴκων πεπληρωμένων ἐκ πολλῶν χρόνων παντοίας εὐδαιμονίας, οἱ Μακεδόνες ἐπῄεσαν τοὺς μὲν ἄνδρας πάντας φονεύοντες, τὰς δὲ κτήσεις διαρπάζοντες, πολλὰς μὲν τοῖς πλήθεσιν ὑπαρχούσας, κατασκευῆς δὲ καὶ κόσμου παντοίου γεμούσας. ἔνθα δὴ πολὺς μὲν ἄργυρος διεφορεῖτο,

15. Λύκιον μὲν] μὲν Λύκιον Y    εἶναι] ὄντα F    21. ἐπαγγειλάμενος] ἐπαγγελλόμενος FL    29. πλείστους] πλείους FL    31. προάγων] προαγαγὼν L    33. Τιριδάτου] libri Τηριδάτου    34. ἐπιβαλλομένους] ἐπικαλουμένους F    36. ἔσται] ἔσεσθαι FL: quo recepto scribendum κύριον    43. πρότερον] προτέρων L    46. μὲν om. Bas.    ἅπαντες FL, caeteri πάντες    48. καὶ om. F    49. ἀπέκοπτον] ἀπέκοπτεν F: scribe ἀπεκέκοπτο    214. 50. μόνον] μόνα F    53. τύχας F, et vertit Cospus, caeteri ψυχὰς

56. ἅμα πάντων LT, caeteri ἅμ' ἁπάντων    59. ποιήσασθαι] ποιήσεσθαι F: fortasse scribendum τοὺς προεστηκότας καὶ τῆς αὐτοῦ — τιμήσας ἐπηγγείλατο πολλὴν πρόνοιαν vel φροντίδα ποιήσεσθαι τῆς    61. ποιήσασθαι] ποιήσειν Y Bas.    65. περιιόντας Stephanus: libri περιόντας    66. ἕξειν] libri μὲν ἕξειν    72. τὴν βοήθειαν] βοήθειαν FLT    συγκαταθέμενος] συνθέμενος FL    79. καθ' αὑτὸν FL, caeteri κατ' αὐτὸν    83. πολεμίαν] μάλιστα π. vel πολεμιωτάτην Reiskius: *prae omnibus aliis maxime semper* Cospus    86. οἴκων om. Bas.    88. οἱ] οἱ μὲν F

οὐκ ὀλίγος δὲ χρυσὸς διηρπάζετο, πολλαὶ δὲ καὶ πολυτελεῖς ἐσθῆτες, αἱ μὲν θαλαττίαις πορφύραις αἱ δὲ χρυσοῖς ἐνυφάσμασι πεποικιλμέναι, τοῖς κρατοῦσιν ἔπαθλα καθίσταντο. τὰ δὲ μεγάλα καὶ κατὰ πᾶσαν τὴν οἰκουμένην περιβόητα βασίλεια πρὸς ὕβριν καὶ παντελῆ φθορὰν ἀπεδέδεικτο. οἱ δὲ Μακεδόνες ἐνημερεύσαντες ταῖς ἁρπαγαῖς τὴν ἄπληστον τοῦ πλείονος ἐπιθυμίαν οὐκ ἐδύναντο πληρῶσαι. τοσαύτη γὰρ ἦν τῆς πλεονεξίας ὑπερ- 215
βολὴ κατὰ τὰς τούτων ἁρπαγὰς ὥςτε καὶ πρὸς ἀλλήλους διαμάχεσθαι, καὶ πολλοὺς μὲν ἀναιρεῖν τῶν τὰ πολλὰ τῆς ἁρπαγῆς ἐξιδιοποιουμένων· τινὲς δὲ τὰ πολυτελέστατα τῶν εὑρισκομένων τοῖς ξίφεσι διακόπτοντες τὰς ἰδίας ἀπεκόμιζον μερίδας· ἔνιοι δὲ τὰς τῶν ἐπιβαλλόντων τοῖς ἀμφιςβητουμένοις χεῖρας ἀπέκοπτον συνεκφερόμενοι τοῖς θυμοῖς. τὰς δὲ γυναῖκας σὺν αὐτοῖς τοῖς κόσμοις πρὸς βίαν ἀπῆγον, τὴν αἰχμαλωσίαν δουλαγωγοῦντες. ἡ μὲν οὖν Περσέπολις ὅσῳ τῶν ἄλλων πόλεων ὑπερεῖχεν εὐδαιμονίᾳ, τοσοῦτον ὑπερεβάλετο τὰς ἄλλας τοῖς ἀτυχήμασιν.

71 Ὁ δ' Ἀλέξανδρος παρελθὼν εἰς τὴν ἄκραν παρέλαβε τοὺς ἐν αὐτῇ θησαυρούς. οὗτοι δέ, ἀπὸ Κύρου τοῦ πρώτου Περσῶν βασιλεύσαντος μέχρι τῶν ὑποκειμένων καιρῶν ἠθροισμένων τῶν προςόδων, ἔγεμον ἀργύρου τε καὶ χρυσοῦ. εὑρέθησαν γὰρ ἐν αὐτοῖς δώδεκα μυριάδες ταλάντων, εἰς ἀργυρίου λόγον ἀγομένου τοῦ χρυσίου. βουλόμενος δὲ τῶν χρημάτων ἃ μὲν μεθ' ἑαυτοῦ κομίζειν πρὸς τὰς εἰς τὸν πόλεμον χρείας, ἃ δ' εἰς Σοῦσα καταθέσθαι καὶ φυλάττειν ἐν ταύτῃ τῇ πόλει, μετεπέμψατο ἐκ Βαβυλῶνος καὶ Μεσοποταμίας ἔτι δὲ ἐκ Σούσων ἡμιόνων πλῆθος τῶν μὲν ἀχθοφόρων τῶν δὲ ζευγιτῶν, πρὸς δὲ τούτοις καμήλους ἀχθοφόρους τριςχιλίας, καὶ διὰ τούτων πάντα ἀπεκόμισεν εἰς τοὺς προκριθέντας τόπους. σφόδρα γὰρ ἀλλοτρίως ἔχων πρὸς τοὺς ἐγχωρίους ἠπίστει τε αὐτοῖς καὶ τὴν Περσέπολιν εἰς τέλος ἔσπευδε καταφθεῖραι. οὐκ ἀνοίκειον δ' εἶναι νομίζομεν περὶ τῶν ἐν ταύτῃ τῇ πόλει βασιλείων διὰ

94. θαλαττίαις] θαλασσίαις omnes χρυσαῖς ἐν ὑφάσμασι F
215. 3. μὲν om. Bas. 4. πολυτελέστατα FL, caeteri πολυτελέστερα 7. ἀμφιςβητουμένοις FL, caeteri ἀμφιςβητοῦσι 10. αἰχμαλωσίαν] αἰχμάλωτον τύχην FL 12. ὑπερεβάλετο] ὑπερεβάλλετο L et fortasse F δ' Bas. 15. οὗτοι] τούτων F, γρ. οὗτοι margo 16. μέχρις F 18. ἔγεμον om. F χρυσοῦ L, caeteri χρυσίου 19. δώδεκα] ιβ Bas. 22. σοῦσσα et mox σουσῶν F 23. ταύτῃ] αὐτῇ omnes 26. τριςχιλίας QTY Bas. et F supra versum, caeteri τριςχιλίους



τὴν πολυτέλειαν τῆς κατασκευῆς βραχέα διελθεῖν. οὔσης γὰρ ἄκρας ἀξιολόγου περιείληφεν αὐτὴν τριπλοῦν τεῖχος, οὗ τὸ μὲν πρῶτον ἀναλήμματι πολυδαπάνῳ κατεσκεύαστο καὶ τὸ ὕψος εἶχε πηχῶν ἑκκαίδεκα ἐπάλξεσι κεκοσμημένον. τὸ δὲ δεύτερον τὴν μὲν ἄλλην κατασκευὴν ὁμοίαν ἔχει τῷ προειρημένῳ, τὸ δ' ὕψος διπλάσιον. ὁ δὲ τρίτος περίβολος τῷ σχήματι μέν ἐστι τετράπλευρος, τὸ δὲ τούτου τεῖχος ὕψος ἔχει πηχῶν ἑξήκοντα, λίθῳ σκληρῷ καὶ πρὸς διαμονὴν αἰώνιον εὖ πεφυκότι κατεσκευασμένον. ἑκάστη δὲ τῶν πλευρῶν ἔχει πύλας χαλκᾶς, καὶ παρ' αὐτὰς σταυροὺς χαλκοῦς εἰκοσιπήχεις, οὓς μὲν πρὸς τὴν ἐκ τῆς θέας κατάπληξιν ἃς δὲ πρὸς ἀσφάλειαν ἡρμοσμένας. ἐν δὲ τῷ πρὸς ἀνατολὰς μέρει τῆς ἄκρας τέτταρα πλέθρα διεστηκὸς ὄρος ἐστὶ τὸ καλούμενον βασιλικόν, ἐν ᾧ τῶν βασιλέων ὑπῆρχον οἱ τάφοι. πέτρα γὰρ ἦν κατεξαμμένη, καὶ κατὰ μέσον οἴκους ἔχουσα πλείονας, ἐν οἷς σηκοὶ τῶν τετελευτηκότων ὑπῆρχον,
216 πρόςβασιν μὲν οὐδεμίαν ἔχοντες χειροποίητον, ὑπ' ὀργάνων δέ τινων χειροποιήτων ἐξαιρομένων τῶν νεκρῶν δεχόμενοι τὰς ταφάς. κατὰ δὲ τὴν ἄκραν ταύτην ἦσαν καταλύσεις βασιλικαὶ καὶ στρατηγικαὶ πλείους πολυτελεῖς ταῖς κατασκευαῖς καὶ θησαυροὶ πρὸς τὴν τῶν χρημάτων παραφυλακὴν εὐθέτως κατεσκευασμένοι.

72 Ὁ δ' Ἀλέξανδρος ἐπινίκια τῶν κατορθωμάτων ἐπιτελῶν θυσίας τε μεγαλοπρεπεῖς τοῖς θεοῖς συνετέλεσε καὶ τῶν φίλων λαμπρὰς ἑστιάσεις ἐποιήσατο. καὶ δή ποτε τῶν ἑταίρων εὐωχουμένων, καὶ τοῦ μὲν πότου προβαίνοντος, τῆς δὲ μέθης προϊούσης, κατέσχε λύττα ἐπὶ πολὺ τὰς ψυχὰς τῶν οἰνωμένων. ὅτε δὴ καὶ μία τῶν παρουσῶν γυναικῶν, ὄνομα μὲν Θαῒς, Ἀττικὴ δὲ τὸ γένος, εἶπε κάλλιστον Ἀλεξάνδρῳ τῶν κατὰ τὴν Ἀσίαν πεπραγμένων ἔσεσθαι, ἐὰν κωμάσας μετ' αὐτῶν ἐμπρήσῃ τὰ βασίλεια καὶ τὰ Περσῶν περιβόητα γυναικῶν χεῖρες ἐν βραχεῖ καιρῷ ποιήσωσιν ἄφαντα. τούτων δὲ ῥηθέντων εἰς ἄνδρας νέους καὶ διὰ τὴν μέθην ἀλόγως μετεωριζο-

32. τὴν om. F 35. ἀναλήμματι] ἀναλώματι L et supra versum F 36. ἐπάλξεσι] πύργων ταῖς ἐπάλξεσι LQ, εἶχεν ἑξκαίδεκα πύργων ταῖς ἐπάλξεσι, et in margine πηχῶν F 40. τούτου τεῖχος] τοῦ τείχους FL, τοῦτο τεῖχος Bas. 42. αἰώνιον F, αἰωνίαν caeteri: etiam vol. I. p. 4. 49. αἰωνίαις in αἰωνίοις mutandum esse constans evincit usus Diodori κατασκευασμένον F 44. εἰκοσιπήχεις] εἰκοσαπήχεις FL 46. ἡρμοσμένας asterisco notavit Stephanus
216. 52. ὑπ'] ὑπὸ FT 57. παραφυλακὴν] φυλακὴν FL 64. λύττα] λύσσα omnes 65. δὴ] δὲ F 71. μετεωριζομένους] μετεωριζομένων F

μένους, ὡς εἰκός, ἄγειν τις ἀνεβόησε, καὶ δᾳ̃δας ἅπτειν καὶ τὴν εἰς τὰ τῶν Ἑλλήνων ἱερὰ παρανομίαν ἀμύνασθαι παρεκελεύετο. συνεπευφημούντων δὲ καὶ ἄλλων, καὶ λεγόντων μόνῳ τὴν πρᾶξιν ταύτην προςήκειν Ἀλεξάνδρῳ, καὶ τοῦ βασιλέως συνεξαρθέντος τοῖς λόγοις, πάντες ἀνεπήδησαν ἐκ τοῦ πότου, καὶ τὸν ἐπινίκιον κῶμον ἄγειν Διονύσῳ παρήγγειλαν. ταχὺ δὲ πλήθους λαμπάδων ἀθροισθέντος, καὶ γυναικῶν μουσουργῶν εἰς τὸν πότον παρειλημμένων, μετ᾽ ᾠδῆς καὶ αὐλῶν καὶ συρίγγων προῆγεν ὁ βασιλεὺς ἐπὶ τὸν κῶμον, καθηγουμένης τῆς πράξεως Θαΐδος τῆς ἑταίρας. αὕτη δὲ μετὰ τὸν βασιλέα πρώτη τὴν δᾳ̃δα καιομένην ἠκόντισεν εἰς τὰ βασίλεια· καὶ τῶν ἄλλων ταὐτὰ πραξάντων ταχὺ πᾶς ὁ περὶ τὰ βασίλεια τόπος κατεφλέχθη διὰ τὸ μέγεθος τῆς φλογός, καὶ τὸ πάντων παραδοξότατον, τὸ Ξέρξου τοῦ Περσῶν βασιλέως γενόμενον ἀσέβημα περὶ τὴν ἀκρόπολιν τῶν Ἀθηναίων μία γυνὴ πολῖτις τῶν ἀδικηθέντων ἐν παιδιᾷ πολλοῖς ὕστερον ἔτεσι μετῆλθε τοῖς αὐτοῖς πάθεσιν.

73 Ἀλέξανδρος δὲ ἀπὸ τούτων γενόμενος τὰς κατὰ τὴν Περσίδα πόλεις ἐπῆλθε, καὶ τὰς μὲν βίᾳ χειρωσάμενος, τὰς δὲ διὰ τὴν ἰδίαν ἐπιείκειαν προςαγαγόμενος, ἀνέζευξεν ἐπὶ τὸν Δαρεῖον. οὗτος δ᾽ ἐπεβάλετο μὲν ἀθροίζειν τὰς ἐκ τῆς Βακτριανῆς καὶ τῶν ἄνω σατραπειῶν δυνάμεις, καταταχούμενος δὲ καὶ μετὰ τρισμυρίων Περσῶν τε καὶ μισθοφόρων Ἑλλήνων τὴν φυγὴν εἰς τὰ Βάκτρα ποιούμενος ὑπὸ Βήσσου τοῦ Βάκτρων σατράπου κατὰ τὴν ἀναχώρησιν συλληφθεὶς ἐδολοφονήθη. ἄρτι δ᾽ αὐτοῦ τετελευτηκότος Ἀλέξανδρος μετὰ τῶν ἱππέων ἐπιδιώκων, καὶ τὸν Δαρεῖον τετελευτηκότα καταλαβών, τῆς βα- 217
σιλικῆς ταφῆς ἠξίωσεν. ὡς δ᾽ ἔνιοι γεγράφασιν, ἔμπνουν ἔτι καταλαβών, τοῖς μὲν ἀτυχήμασιν αὐτοῦ συνήλγησε, παρακληθεὶς δ᾽ ὑπὸ τοῦ Δαρείου μετελθεῖν τὸν φόνον, καὶ καθομολογήσας, ἐδίωξε τὸν Βῆσσον. ἐκείνου δὲ πολὺ προειληφότος, καὶ συμφυγόντος εἰς τὴν Βακτριανήν,

79. ἀθροισθέντος] ἀθροισθέντων F  83. αὕτη δὲ] αὐτὴ Bas.  90. πολῖτις] πολίτης Bas.  ἀδικηθέντων QTY Bas., et qui suprascribit εισῶν F, caeteri ἀδικηθεισῶν  96. προςαγαγόμενος] προςαγόμενος omnes  97. ἐπεβάλετο] ἐπελάβετο L  98. ἄνω] libri ἄλλων  99. Ἑλλήνων] στρατιωτῶν addit F  100. τὰ om. Bas.  1. βήσου hic et infra saepius F

217. 4. καταλαβὼν] λαβὼν Q  5. γεγράφασιν] γράφουσιν X  7. δ᾽ F  9. πολὺ] πολλοῦ FL  καὶ συμφυγόντος om. L



ἐπανῆλθεν ἀπογνοὺς τὸν τῶν πολεμίων διωγμόν. καὶ τὰ μὲν κατὰ τὴν Ἀσίαν ἐν τούτοις ἦν. κατὰ δὲ τὴν Εὐρώπην Λακεδαιμόνιοι μὲν ἐπταικότες μεγάλῃ παρατάξει, διὰ τὴν συμφορὰν ἠναγκάσθησαν διαπρεσβεύεσθαι πρὸς Ἀντίπατρον· ἐκείνου δὲ ἐπὶ τὸ κοινὸν τῶν Ἑλλήνων συνέδριον τὴν ἀπόκρισιν ἀποστείλαντος, οἱ μὲν σύνεδροι συνήχθησαν εἰς Κόρινθον, καὶ πολλῶν ῥηθέντων λόγων πρὸς ἑκάτερον μέρος ἔδοξεν αὐτοῖς ἀκέραιον τὴν κρίσιν ἐπὶ τὸν Ἀλέξανδρον ἀναπέμψαι. ὁ μὲν οὖν Ἀντίπατρος ὁμήρους ἔλαβε τοὺς ἐπιφανεστάτους τῶν Σπαρτιατῶν πεντήκοντα· οἱ δὲ Λακεδαιμόνιοι πρέσβεις ἐξέπεμψαν εἰς τὴν Ἀσίαν, ἀξιοῦντες αὐτοῖς δοῦναι συγγνώμην ἐπὶ τοῖς ἠγνοημένοις.

74 Τοῦ δ᾽ ἔτους τούτου διεληλυθότος Ἀθήνησι μὲν ἦρχε Κηφισοφῶν, ἐν Ῥώμῃ δὲ κατεστάθησαν ὕπατοι Γάϊος Οὐαλέριος καὶ Μάρκος Κλώδιος. ἐπὶ δὲ τούτων Βῆσσος μὲν μετὰ τὴν Δαρείου τελευτὴν μετὰ Ναβαρζάνου καὶ Βαρξάεντος καὶ πολλῶν ἄλλων διαφυγὼν τὰς Ἀλεξάνδρου χεῖρας διήνυσε μὲν εἰς τὴν Βακτριανήν, ἀποδεδειγμένος δὲ ταύτης σατράπης ὑπὸ Δαρείου, καὶ τοῖς πλήθεσι γεγονὼς γνώριμος διὰ τὴν ἀρχήν, παρεκάλει τὰ πλήθη τῆς ἐλευθερίας ἀντέχεσθαι. ἀπεδείκνυε δὲ τὴν χώραν αὐτοῖς πολλὰ συνεργήσειν οὖσαν δυςείςβολον καὶ πλῆθος ἱκανὸν ἔχουσαν ἀνδρῶν εἰς κατάκτησιν τῆς αὐτονομίας· ἐπαγγελλόμενος δὲ καθηγήσεσθαι τοῦ πολέμου, καὶ τὸ πλῆθος πείσας, ἀνέδειξεν ἑαυτὸν βασιλέα. οὗτος μὲν οὖν στρατιώτας τε κατέγραφε καὶ πλῆθος ὅπλων κατεσκεύαζε καὶ τἄλλα φιλοτίμως πρὸς τὴν κατεπείγουσαν χρείαν παρεσκευάζετο. Ἀλέξανδρος δ᾽ ὁρῶν τοὺς Μακεδόνας τέλος τῆς στρατείας τὴν Δαρείου τελευτὴν τάττοντας καὶ μετεώρους ὄντας πρὸς τὴν εἰς τὴν πατρίδα ἐπάνοδον, τούτους μὲν ἀθροίσας εἰς ἐκκλησίαν, καὶ λόγοις οἰκείοις παρορμήσας, εὐπειθεῖς πρὸς τὴν ὑπολειπομένην στρατείαν παρεσκεύασε· τοὺς δ᾽ ἀπὸ τῶν Ἑλληνίδων πόλεων συμμαχήσαντας συναγαγών, καὶ περὶ τῶν πεπραγμένων ἐπαινέσας, ἀπέλυσε μὲν τῆς στρατείας, ἐδωρήσατο δὲ τῶν μὲν ἱππέων ἑκάστῳ τά-

26. Κλώδιος] Claudius Cospus  27. μετὰ om. F  28. Ναβαρζάνου Rhodomannus: libri Ναβάρνου  Βαρξάεντος] verum videtur Βαρζαέντου  29. διήνυσε] διήνυ Bas.  30. ἀποδεδειγμ.] ἀποδεδεγμ. Bas.  33. τὴν] τήν τε FL Bas.  34. δυςείςβολον] δυςέμβολον FL  36. καθηγήσεσθαι FL, caeteri καθηγήσασθαι  37. post πλῆθος om. ἱκανῶς FL  39. τε om. F  κατέγραφε] κατέγραψε omnes  40. τἄλλα F, caeteri τὰ ἄλλα

λαντον, τῶν δὲ πεζῶν μνᾶς δέκα, χωρὶς δὲ τούτων τούς τε ὀφειλομένους μισθοὺς ἀπέλυσε καὶ τοὺς κατὰ τὴν ἀνακομιδὴν μέχρι τῆς εἰς τὰς πατρίδας καθόδου προςέθηκε· τῶν δ' ἑλομένων ἐν τῇ στρατιᾷ τῇ μετὰ τοῦ βασιλέως μένειν ἔδωκεν ἑκάστῳ τρία τάλαντα. μεγάλαις 218 δὲ δωρεαῖς ἐτίμησε τοὺς στρατιώτας ἅμα μὲν φύσει μεγαλόψυχος ὤν, ἅμα δὲ τῇ διώξει τοῦ Δαρείου πολλῶν χρημάτων κεκυριευκώς. παρὰ μὲν γὰρ τῶν γαζοφυλακούντων παρέλαβεν ὀκτακιςχιλίων ταλάντων ἀριθμόν, χωρὶς δὲ τούτων τὰ νεμηθέντα τοῖς στρατιώταις σὺν τῷ κόσμῳ καὶ τοῖς ἐκπώμασιν ὑπῆρχε μύρια καὶ τριςχίλια τάλαντα, τὰ δὲ διακλαπέντα καὶ ἁρπαχθέντα πλείω τῶν εἰρημένων ὑπενοεῖτο.

75 Ὁ δ' Ἀλέξανδρος ἀναζεύξας ἐπὶ τὴν Ὑρκανίαν τριταῖος κατεστρατοπέδευσε πλησίον πόλεως τῆς ὀνομαζομένης Ἑκατονταπύλου. εὐδαίμονος δ' αὐτῆς οὔσης, καὶ πάντων τῶν πρὸς ἀπόλαυσιν ἀνηκόντων πολλῆς ἀφθονίας ὑπαρχούσης, ἐνταῦθα τὴν δύναμιν ἀνέλαβεν ἐπί τινας ἡμέρας. διελθὼν δὲ σταδίους ἑκατὸν καὶ πεντήκοντα κατεστρατοπέδευσε πλησίον πέτρας μεγάλης· ὑπὸ δὲ τὴν ῥίζαν αὐτῆς ἄντρον ὑπῆρχε θεοπρεπές, ἐξ οὗ μέγας ποταμὸς ἐξέπιπτεν ὁ καλούμενος Στιβοίτης· οὗτος δὲ λάβρῳ τῷ ῥεύματι φερόμενος ἐπὶ τρεῖς σταδίους σχίζεται διπλοῦς περί τινα πέτραν μαστοειδῆ, ἔχουσαν ὑφ' αὑτὴν χάσμα γῆς παμμέγεθες· εἰς δὲ τοῦτο καταράττων μετὰ πολλοῦ ψόφου, καὶ γιγνόμενος ἀφρώδης διὰ τῆς πρὸς τὴν πέτραν πληγῆς, φέρεται ὑπὸ γῆν σταδίους τριακοσίους, ἔπειτα πάλιν ἀνοίγει τὰς ἐκβολάς. ὁ δ' Ἀλέξανδρος μετὰ τῆς δυνάμεως ἐμβαλὼν εἰς τὴν τῶν Ὑρκανῶν χώραν πάσας τὰς ἐν αὐτῇ πόλεις ἐχειρώσατο μέχρι τῆς Κασπίας καλουμένης θαλάττης, ἣν Ὑρκανίαν τινὲς ὀνομάζουσιν. ἐν ταύτῃ δέ φασι πολλοὺς μὲν καὶ μεγάλους ὄφεις γεννᾶσθαι, ἰχθῦς δὲ παντοδαποὺς πολὺ τῇ χρόᾳ τῶν παρ' ἡμῖν διαλλάττοντας. διεξιὼν δὲ τὴν Ὑρκανίαν κατήντησε πρὸς τὰς καλουμένας εὐδαίμονας καὶ πρὸς ἀλήθειαν οὔσας κώμας· πολὺ γὰρ τοῖς καρ-

54. ἑλομένων] ἑλομένων μὲν Bas., ἑλομένων μένειν LY, haud dubie omisso mox μένειν, ut consentiens iis F

218. 58. τῇ om. Bas. 59. γὰρ om. F 67. Ἑκατονταπύλου] *Hecatompylo* Cospus 76. περί — ἔχουσαν] περί τινι πέτρᾳ μαστοειδεῖ, ἐχούσῃ L et qui μαστοειδῆ F 77. ὑφ' αὑτὴν] ὑπ' αὐτὴν omnes 80. σταδίους] ὑπὸ σταδίους FL, quod male ἐπὶ σταδίους corrigit Wessel. 86. μὲν post πολλοὺς ponunt FL Bas., post μεγάλους caeteri ὄφις F 87. χρόᾳ F, χροᾷ L, χροιῷ Bas., caeteri χροιᾷ



ποῖς ἡ χώρα τούτων ὑπεράγει τῶν παρὰ τοῖς ἄλλοις. τῶν μὲν γὰρ ἀμπέλων φασὶν ἑκάστην μετρητὴν φέρειν οἴνου, τῶν δὲ συκίνων δένδρων ἔνια καρποφορεῖν ἰσχάδων ξηρῶν μεδίμνους δέκα. τὸν δ' ἐν τῷ θερισμῷ παραλειφθέντα σῖτον ἐπὶ τὴν γῆν πεσόντα βλαστάνειν ἄσπορον ὄντα καὶ πρὸς τὸ τέλος ἄγειν δαψιλῆ καρπόν. ἔστι δὲ καὶ δένδρον παρὰ τοῖς ἐγχωρίοις παραπλήσιον δρυῒ κατὰ τὴν ἐπιφάνειαν, ἀπὸ δὲ τῶν φύλλων ἀπολεῖβον μέλι· καὶ τοῦτό τινες συνάγοντες δαψιλῆ τὴν ἀπόλαυσιν αὐτοῦ ποιοῦνται. ἔστι δὲ καὶ ζῷον κατὰ τὴν χώραν ἐπτερωμένον, ὃ καλεῖται μὲν ἀνθρηδών, λειπόμενον 219 δὲ μεγέθει μελίττης μεγίστην ἔχει τὴν ἐπιφάνειαν· ἐπινεμόμενον γὰρ τὴν ὀρεινὴν ἄνθη παντοῖα δρέπεται, καὶ ταῖς κοιλάσι πέτραις καὶ τοῖς κεραυνοβόλοις τῶν δένδρων ἐνδιατρῖβον κηροπλαστεῖ, καὶ κατασκευάζει χύμα διάφορον τῇ γλυκύτητι, τοῦ παρ' ἡμῖν μέλιτος οὐ πολὺ λειπόμενον.

76 Ἀλέξανδρος δὲ τὴν Ὑρκανίαν καὶ τὰ συνορίζοντα τῶν ἐθνῶν ταύτῃ τῇ χώρᾳ προσηγάγετο· καὶ πολλοὶ τῶν συμπεφευγότων ἡγεμόνων τῷ Δαρείῳ παρέδωκαν αὑτούς· οἷς ἐπιεικῶς προσενεχθεὶς μεγάλην δόξαν ἐπιεικείας ἀπηνέγκατο. εὐθὺς γὰρ οἱ Δαρείῳ συνεστρατευμένοι τῶν Ἑλλήνων, ὄντες περὶ χιλίους καὶ πεντακοσίους, ἀνδρείᾳ τε διαφέροντες, παρέδοσαν ἑαυτοὺς Ἀλεξάνδρῳ· καὶ συγγνώμης ἀξιωθέντες κατετάχθησαν εἰς τὰς τάξεις ἐπὶ ταῖς αὐταῖς μισθοφοραῖς. ὁ δὲ Ἀλέξανδρος ἐπελθὼν τὴν παραθαλάττιον τῆς Ὑρκανίας ἐνέβαλεν εἰς τὴν χώραν τῶν ὀνομαζομένων Μάρδων. οὗτοι γὰρ ἀλκῇ διαφέροντες ὑπερεφρόνησαν τὴν αὔξησιν τοῦ βασιλέως, καὶ οὐδεμιᾶς ἐντεύξεως ἢ τιμῆς ἠξίωσαν αὐτόν. προκαταλαβόμενοι δὲ τὰς εἰςβολὰς στρατιώταις ὀκτακιςχιλίοις τεθαῤῥηκότως τὴν τῶν Μακεδόνων ἔφοδον ὑπέμενον.

ὑπερ
91. ὑπεράγει] παράγει F, ὑπερπαράγει L 93. συκίνων] συκήνων Bas. 95. παραλειφθ.] παραληφθ. FL 99. ἀπολεῖβον] ὀπέθλιβον F correctus in margine 2. ἀνθρηδὼν] ἀρθρηδὼν FLQ

219. 3. ἐπιφάνειαν quum ex 218. 99. repetitum videatur, correctio anceps est: ὁμοιότητα desiderabat Reiskius: *apc aliquantulum minor, caetera multum consimilis* Cospus 6. ἐνδιατρίβον F, ἐνδιατρίβων caeteri 13. εὐθὺ F 14. συνεστρατευμένοι FL, caeteri συστρατευόμενοι 16. συγγνώμης] συγγνωμῶν FL 18. μισθοφοραῖς] μισθοφορίαις F ἐπελθὼν] παρελθὼν L, ἀπελθὼν F 21. ὑπερεφρόνησαν] περιεφρόνησαν FL 22. τιμῆς] τιμῶν F 24. τεθαῤῥηκότως] τεθαῤῥηκότες L

ὁ δὲ βασιλεὺς ἐπιμένων αὐτοῖς καὶ συνάψας μάχην, τοὺς πλείους μὲν κατέκοψε, τοὺς δὲ λοιποὺς εἰς τὰς δυςχωρίας κατεδίωξε. πυρπολοῦντος δ' αὐτοῦ τὴν χώραν, καὶ τῶν τοὺς βασιλικοὺς ἵππους ἀγόντων παίδων βραχὺ τοῦ βασιλέως χωρισθέντων, ἐπιβαλόντες τινὲς τῶν βαρβάρων ἀφήρπασαν τὸν ἄριστον τῶν ἵππων. οὗτος δ' ἐδόθη δῶρον μὲν ὑπὸ Δημαράτου τοῦ Κορινθίου, συνηγώνιστο δὲ τῷ βασιλεῖ πάντας τοὺς κατὰ τὴν Ἀσίαν ἀγῶνας. γυμνὸς δ' ὢν ἔτι τὸν πωλοδαμαστὴν μόνον προςεδέχετο, τυχὼν δὲ τῆς βασιλικῆς σκευῆς οὐδὲ τοῦτον ἔτι προςίετο, μόνῳ δὲ Ἀλεξάνδρῳ παρίστατο καὶ συγκαθίει τὸ σῶμα πρὸς τὴν ἀνάβασιν. ὁ δὲ βασιλεὺς διὰ τὴν ἀρετὴν τοῦ ζῴου δυςφορήσας, τὴν μὲν χώραν δενδροτομεῖν προςέταξε, διὰ δὲ τῶν ὁμοφώνων τοῖς ἐγχωρίοις κηρύττειν ὡς ἂν μὴ τὸν ἵππον ἀποδῶσι, τήν τε χώραν εἰς τέλος ὄψονται κατεφθαρμένην τούς τ' ἐνοικοῦντας πανδημεὶ κατεσφαγμένους. τῶν δ' ἀπειλῶν ὀξέως ἐπιτελουμένων, καταπλαγέντες οἱ βάρβαροι τὸν ἵππον ἀποκατέστησαν, καὶ μετ' αὐτοῦ πολυτελέστατα δῶρα προςεκόμισαν· πρὸς δὲ τούτοις καὶ πεντήκοντ' ἄνδρας ἀπέστειλαν, δεόμενοι τυχεῖν συγγνώμης. ὁ δ' Ἀλέξανδρος τοὺς μὲν ἀξιολογωτάτους τῶν ἀνδρῶν ἔλαβεν ὁμήρους.

77 Ἐπανελθόντος δ' αὐτοῦ πάλιν εἰς τὴν Ὑρκανίαν, 220 ἧκε πρὸς αὐτὸν ἡ βασίλισσα τῶν Ἀμαζόνων, ὄνομα μὲν Θάληστρις, βασιλεύουσα δὲ τῆς μεταξὺ τοῦ Φάσιδος καὶ Θερμώδοντος χώρας. ἦν δὲ τῷ τε κάλλει καὶ τῇ τοῦ σώματος ῥώμῃ διαφέρουσα καὶ παρὰ τοῖς ὁμοεθνέσι θαυμαζομένη κατ' ἀνδρείαν, καὶ τὸ μὲν πλῆθος τῆς στρατιᾶς ἐπὶ τῶν ὅρων τῆς Ὑρκανίας ἀπολελοιπυῖα, μετὰ δὲ τριακοσίων Ἀμαζονίδων κεκοσμημένων πολεμικοῖς ὅπλοις παραγενομένη. τοῦ δὲ βασιλέως θαυμάζοντος τό τε παράδοξον τῆς παρουσίας καὶ τὸ ἀξίωμα τῶν γυναικῶν, καὶ τὴν Θάληστριν ἐρομένου τίνα χρείαν ἔχουσα πάρεστιν, ἀπεφαίνετο παιδοποιίας ἕνεκεν ἥκειν. ἐκεῖνον μὲν γὰρ τῶν ἁπάντων ἀνδρῶν διὰ τὰς πράξεις ἄριστον ὑπάρχειν, αὐτὴν δὲ τῶν γυναικῶν ἀλκῇ τε καὶ ἀνδρείᾳ διαφέρειν. εἰκὸς οὖν τὸ γεννηθὲν ἐκ δυοῖν γονέων πρωτευόντων ὑπερέξειν ἀρετῇ τῶν ἄλλων ἀνθρώπων. καὶ πέρας ἡσθεὶς ὁ βασιλεὺς καὶ προςδεξάμενος τὴν ἔντευξιν αὐτῆς, καὶ συμπεριενεχθεὶς ἡμέρας τρειςκαίδεκα, τιμήσας τε ἀξιολόγοις δώροις, ἐξαπέστειλεν εἰς τὴν οἰκείαν. μετὰ δὲ ταῦτα δόξας ἤδη κεκρατηκέναι τῆς ἐπιβολῆς καὶ τὴν βασιλείαν ἀδήριτον ἔχειν, ἤρξατο ζηλοῦν τὴν Περσικὴν τρυφὴν καὶ τὴν πολυτέλειαν τῶν Ἀσιανῶν βασιλέων. καὶ πρῶτον μὲν περὶ τὴν αὐλὴν εἶχε ῥαβδούχους Ἀσιαγενεῖς, ἔπειτα τοὺς ἐπιφανεστάτους τῶν ἀνδρῶν δορυφορεῖν ἔταξεν, ἐν οἷς ἦν καὶ ὁ Δαρείου ἀδελφὸς Ὀξάθρης. εἶτα τό τε Περσικὸν διάδημα περιέθετο καὶ τὸν διάλευκον ἐνεδύσατο χιτῶνα καὶ τὴν Περσικὴν ζώνην καὶ τἄλλα πλὴν τῶν ἀναξυρίδων καὶ τοῦ κάνδυος. διέδωκε δὲ καὶ τοῖς ἑταίροις περιπορφύρους στολάς, καὶ τοῖς ἵπποις Περσικὰς σκευὰς περιέθηκε. πρὸς δὲ τούτοις τὰς παλλακίδας ὁμοίως τῷ Δαρείῳ περιῆγε, τὸν μὲν ἀριθμὸν οὔσας οὐκ ἐλάττους πλήθει τῶν κατὰ τὸν ἐνιαυτὸν ἡμερῶν, κάλλει δὲ διαπρεπεῖς, ὡς ἂν ἐξ ἁπασῶν τῶν κατὰ τὴν Ἀσίαν γυναικῶν ἐπιλελεγμένας. αὗται δὲ ἑκάστης νυκτὸς περιῄεσαν τὴν κλίνην τοῦ βασιλέως, ἵνα τὴν ἐκλογὴν αὐτὸς ποιήσηται τῆς μελλούσης αὐτῷ συνιέναι. τούτοις μὲν οὖν τοῖς ἐθισμοῖς Ἀλέξανδρος σπανίως ἐχρῆτο, τοῖς δὲ προϋπάρχουσι κατὰ τὸ πλεῖστον ἐνδιέτριβε, φοβούμενος τὸ προςκόπτειν τοῖς Μακεδόσιν. ὅμως δὲ πολλῶν αὐτῷ μεμψιμοιρούντων, τούτους μὲν 78 ταῖς δωρεαῖς ἐθεράπευεν, αὐτὸς δὲ πυθόμενος τὸν μὲν Δαρείου σατράπην Σατιβαρζάνην ἀνῃρηκέναι μὲν τοὺς κατειλεγμένους ὑπ' αὐτοῦ στρατιώτας, συμφρονεῖν δὲ Βήσσῳ καὶ κεκρικέναι μετ' ἐκείνου διαπολεμεῖν Μακεδό-

25. ἐπιμένων] ὑπομένων F: praeteriit Cospus, qui *praelio cum eis congressus* 33. τῷ om. Bas. 34. ἔτι] ἐπὶ Bas., om. FL, asterisco notavit Stephanus πωλοδαμαστημμόνον Bas. 37. συγκαθίει] συγκαθιεὶς F, συγκαθείη Bas. 41. ἂν — ἀποδῶσι] εἰ — ἀποδώσειεν L 42. τούς τ'] τοὺς δ' T Bas. 45. ἀποκατέστησαν] ἀπεκατέστησαν F καὶ μετ' αὐτοῦ] μετ' αὐτοῦ δὲ καὶ FL 46. καὶ om. F 48. ἀξιολογωτάτους] ἀξιολόγους L

220. 53. τῷ τε om. Bas. 58. παραγενομένη] παραγεγενημένη L 62. ἥκειν om. FL

63. γὰρ om. F 64. αὐτὴν] αὑτὴν omnes 65. γεννηθὲν] γεννώμενον FL 66. δυοῖν] δυεῖν L 69. τρειςκαίδεκα] τριςκαίδεκα F Bas. τιμήσας τε] τιμήσας T Bas. 70. οἰκείαν] οἰκίαν F 74. ῥαβδούχους εἶχεν F 77. Ὀξάρθρης Bas. 78. ἐνεδύσατο] ἐνέδυ F 79. ἀναξυρίδων] βασιλικῶν ὑποδημάτων T 80. τοῦ κάνδυος] ἐσθῆτος Περσικῆς T 81. περιπορφύρους FL, caeteri παραπορφύρους τοῖς ἵπποις] τοὺς ἵππους FT 82. παλακίδας F 83. ὁμοίως] ὁμοίας Bas. 89. συνιέναι] συνεῖναι Schaeferus Melet. p. 63. 90. ἐχρῆτο] ἐχρήσατο FL προϋπάρχουσιν] ὑπάρχουσιν Bas. 95. μὲν Δαρείου] Ἀρείας Reiskius 96. κατειλεγμένους] κατελεγμένους FL, καταλελεγμένους Y 97. κεκρικέναι] κρίναι F 98. ἐκείνου FL, caeteri αὐτοῦ

σιν, ἐστράτευσεν ἐπ' αὐτόν. ὁ δὲ Σατιβαρζάνης τὴν
100 μὲν δύναμιν ἤθροισεν εἰς Χορτάκανα, πόλιν ἐπιφανεστά- 221
την τῶν ἐν τούτοις τοῖς τόποις καὶ φυσικῇ διαφέρουσαν ὀχυρότητι. τοῦ δὲ βασιλέως ἐπιστάντος κατεπλάγη τό τε μέγεθος τῆς δυνάμεως καὶ τὰς διαβεβοημένας τῶν Μακεδόνων ἀνδραγαθίας. διόπερ αὐτὸς μὲν μετὰ δισχιλίων ἱππέων ἐξίππευσε πρὸς Βῆσσον, παρακαλέσων βοηθεῖν κατὰ τάχος· τοῖς δ' ἄλλοις παρήγγειλε καταφυγεῖν εἰς ὄρος τὸ καλούμενον *, ἔχον πολλὰς δυσχωρίας καὶ φυγὰς εὐθέτους τοῖς μὴ τολμῶσι κατὰ στόμα διακινδυνεύειν. ὧν πραξάντων τὸ παραγγελθέν, ὁ βασιλεὺς τῇ συνήθει φιλοτιμίᾳ χρησάμενος καὶ τοὺς καταφυγόντας εἴς τινα πέτραν ὀχυρὰν καὶ μεγάλην πολιορκήσας ἐνεργῶς, ἠνάγκασεν ἑαυτοὺς παραδοῦναι. μετὰ δὲ ταῦτα πάσας τὰς κατὰ τὴν σατραπείαν ταύτην πόλεις ἐν τριάκονθ' ἡμέραις κατακτησάμενος, προῆγεν ἐκ τῆς Ὑρκανίας, καὶ διανύσας εἰς τὰ βασίλεια τῆς Δραγγηνῆς, ἐνταῦθα διέτριβε καὶ τὴν δύναμιν ἀνελάμβανε.

79 Κατὰ δὲ τούτους τοὺς καιροὺς περιέπεσε πράξει μοχθηρᾷ καὶ τῆς ἰδίας χρηστότητος ἀλλοτρίᾳ. τῶν γὰρ φίλων τις τοῦ βασιλέως ὄνομα Δίμνος, μεμψιμοιρήσας τῷ βασιλεῖ περί τινων καὶ τῷ θυμῷ προπεσών, ἐπιβουλὴν συνεστήσατο κατ' αὐτοῦ. ἔχων δ' ἐρώμενον Νικόμαχον, τοῦτον ἔπεισε κοινωνῆσαι τῆς ἐπιβουλῆς. οὗτος δὲ νέος ὢν παντελῶς ἀνεκοινώσατο τὴν πρᾶξιν τῷ ἀδελφῷ Κεβαλίνῳ. ὁ δὲ φοβηθεὶς μὴ φθάσῃ τις τῶν συνειδότων καὶ δηλώσῃ τὴν ἐπιβουλὴν τῷ βασιλεῖ, αὐτὸς ἔκρινε μηνῦσαι. παρελθὼν οὖν ἐπὶ τὴν αὐλήν, καὶ συντυχὼν Φιλώτᾳ καὶ διαλεχθείς, παρεκελεύετο τὴν ταχίστην ἀπαγγεῖλαι τῷ βασιλεῖ τὴν πρᾶξιν. ὁ δὲ Φιλώτας εἴτε καὶ διὰ τὸ κοινωνεῖν τῆς ἐπιβουλῆς εἴτε καὶ διὰ ῥαθυμίαν τὸν ῥηθέντα λόγον ἀργῶς ἐδέξατο, καὶ παρελθὼν πρὸς τὸν Ἀλέξανδρον, καὶ πολλῆς καὶ παντοδαπῆς κοινολογίας μετασχών, οὐδὲν τῶν ὑπὸ Κεβαλίνου ῥηθέντων ἀπήγγειλεν. ἐξελθὼν δὲ πρὸς τὸν Κεβαλῖνον εἶπεν ὅτι καιρὸν ἐπιτήδειον οὐκ ἔσχε διασαφῆσαι, ἐπηγγέλλετο δὲ

221. 3. τό τε] τὸ Bas. δυνάμεως TX Bas., caeteri addunt τοῦ βασιλέως, quae asterisco notavit Stephanus 6. βοηθεῖν] βοηθήσειν F 7. post καλούμενον lacunam habent LTX, crucem vel asteriscum Bas. et Steph. 12. τινὰ] τὴν F 13. ἑαυτοὺς] αὐτοὺς ἑαυτῷ F 17. Δραγγηνῆς] Δραγγήνης FL, caeteri Δραγγινῆς 24. δ' F 25. οὗτος] „lacuna hic est usque ad medium c. 81. in T“ Wessel. 33. ἀργῶς] ἀεργῶς Bas. 35. Κεβαλίνου] Κεφαλίνου Bas.



τῇ ὑστεραίᾳ συντεύξεσθαι μόνῳ τῷ βασιλεῖ καὶ πάντα δηλώσειν τὰ ῥηθέντα. τὸ δὲ αὐτὸ πράξαντος τοῦ Φιλώτου καὶ τῇ ὑστεραίᾳ, ὁ Κεβαλῖνος εὐλαβηθεὶς μὴ δι' ἑτέρων μηνύσεως γενομένης αὐτὸς κινδυνεύσῃ, τὸν μὲν Φιλώταν παρέπεμψε, τῶν δὲ βασιλικῶν τινι παίδων προσελθὼν καὶ τὰ κατὰ μέρος ἀπαγγείλας, ἠξίωσε τὴν ταχίστην ἀπαγγεῖλαι τῷ βασιλεῖ. ὁ δὲ τὸν μὲν Κεβαλῖνον εἰς τὴν ὁπλοθήκην εἰσαγαγὼν ἀπέκρυψεν, αὐτὸς δὲ τῷ βασιλεῖ μεταξὺ λουομένῳ προσελθὼν ἀπήγγειλε τὰ
222 ῥηθέντα, καὶ διότι τὸν Κεβαλῖνον παρ' ἑαυτῷ φυλάττει. ὁ δὲ βασιλεὺς καταπλαγείς, εὐθὺς τόν τε Δίμνον συνέλαβε, καὶ μαθὼν ἅπαντα μετεπέμψατο τόν τε Κεβαλῖνον καὶ τὸν Φιλώταν. ἀνακρινομένων δ' ἁπάντων καὶ τῆς πράξεως ἐξεταζομένης, ὁ μὲν Δίμνος ἑαυτὸν κατέσφαξε, τοῦ δὲ Φιλώτου ῥαθυμίαν μὲν ἑαυτοῦ προσομολογήσαντος, τὴν δ' ἐπιβουλὴν ἀπαρνουμένου, τὴν κρίσιν ὑπὲρ
τούτου τοῖς Μακεδόσιν ἐπέτρεψε. πολλῶν δὲ ῥηθέντων 80
λόγων οἱ Μακεδόνες κατέγνωσαν τοῦ Φιλώτου καὶ τῶν καταιτιαθέντων θάνατον· ἐν οἷς ὑπῆρχε Παρμενίων ὁ πρῶτος εἶναι δοκῶν τῶν Ἀλεξάνδρου φίλων, τότε δὲ οὐ παρών, ἀλλὰ δόξας διὰ τοῦ ἰδίου υἱοῦ Φιλώτου πεποιῆσθαι τὴν ἐπιβουλήν. ὁ μὲν οὖν Φιλώτας, βασανισθεὶς πρότερον καὶ ὁμολογήσας τὴν ἐπιβουλήν, κατὰ τὸ τῶν Μακεδόνων ἔθος μετὰ τῶν συγκαταγνωσθέντων ἐθανατώθη. ὁμοίως δὲ τούτῳ καὶ ὁ Λυγκηστὴς Ἀλέξανδρος, αἰτίαν ἔχων ἐπιβεβουλευκέναι τῷ βασιλεῖ, τριέτη μὲν χρόνον ἐν φυλακῇ τηρούμενος διετέλεσε, διὰ τὴν πρὸς Ἀντίγονον οἰκειότητα τετευχὼς ἀναβολῆς, τότε δ' εἰς τὴν τῶν Μακεδόνων κρίσιν παραχθείς, καὶ κατὰ τὴν ἀπολογίαν ἀπορηθεὶς λόγων, ἐθανατώθη. ὁ δ' Ἀλέξανδρος ἐκπέμψας τινὰς ἐπὶ δρομάδων καμήλων, καὶ φθάσας τὴν φήμην τῆς περὶ τὸν Φιλώταν τιμωρίας, τὸν πατέρα τοῦ Φιλώτου Παρμενίωνα ἐδολοφόνησε, τεταγμένον μὲν τῆς Μηδίας ἄρχοντα, πεπιστευμένον δὲ τοὺς βασιλικοὺς θησαυροὺς ἐν Ἐκβατάνοις, ἔχοντας ταλάντων ὀκτωκαίδεκα μυριάδας. ὁ δ' Ἀλέξανδρος, ἐπιλεξάμενος ἐκ τῶν Μα-

38. τῇ ὑστεραίᾳ] τὴν ὑστεραίαν FL 39. μόνῳ] καὶ μόνῳ F 40. τὸ δὲ FL, caeteri τοῦτο δὲ 42. ἑτέρων FLQ Bas., caeteri ἑτέρου κινδυνεύσῃ] κινδυνεύσει Bas. 44. τὰ κατὰ] κατὰ Bas.
222. 56. τούτου FL, caeteri τούτων 64. τὸ om. Bas. 66. Λυγκηστὴς] libri Λυγκιστὴς 68. τριετεὶ F, caeteri τριετῆ μὲν F, μὲν οὖν caeteri χρόνον] χρόνῳ F 70. τὴν om. Bas. 75. Μηδίας] μηδείας F Bas. 76. τοὺς] τοῦ Bas. βασιλικοὺς FLY, caeteri βασιλέως 78. μυριάδας] μυριάδων FY Bas.

κεδόνων τοὺς ἀλλοτρίας κατ' αὐτοῦ προϊεμένους φωνὰς καὶ τοὺς ἠγανακτηκότας ἐπὶ τῷ τοῦ Παρμενίωνος θανάτῳ, πρὸς δὲ τούτοις τοὺς ἐν ταῖς ἀποσταλείσαις εἰς Μακεδονίαν ἐπιστολαῖς ἀλλότριόν τι γεγραφότας τοῖς οἰκείοις περὶ τῶν τῷ βασιλεῖ συμφερόντων, εἰς ἓν κατέλεξε σύστημα, καὶ προςηγόρευσεν ἀτάκτων τάγμα, ὅπως μὴ διὰ τὰς τούτων ἀκαίρους φωνὰς καὶ παῤῥησίας τὸ λοιπὸν πλῆθος τῶν Μακεδόνων συνδιαφθείρηται.

81 Ἀπὸ δὲ τούτων γενόμενος καὶ τὰ κατὰ τὴν Δραγγηνὴν καταστήσας, ἀνέζευξε μετὰ τῆς δυνάμεως ἐπὶ τοὺς πρότερον μὲν Ἀριμασποὺς νῦν δ' Εὐεργέτας ὀνομαζομένους διὰ τοιαύτας τινὰς αἰτίας· Κῦρος ὁ τὴν Μήδων ἀρχὴν μεταστήσας εἰς Πέρσας ἔν τινι στρατείᾳ περιληφθεὶς ἐν ἐρήμῳ χώρᾳ καὶ πάσῃ σπάνει τῶν ἀναγκαίων, ἦλθε μὲν ἐπὶ τοὺς ἐσχάτους κινδύνους, διὰ τὴν ἔνδειαν τῆς τροφῆς ἀναγκαζομένων τῶν στρατιωτῶν ἀλλήλους σαρκοφαγεῖν, τῶν δ' Ἀριμασπῶν τριςμυρίας ἁμάξας σίτου γεμούσας παρακομισάντων σωθεὶς παραδόξως 224 ἀτελείαις τε καὶ ἄλλαις δωρεαῖς ἐτίμησε τὸ ἔθνος, καὶ τὴν προϋπάρχουσαν προςηγορίαν ἀφελόμενος προςηγόρευσεν Εὐεργέτας. τότε δὲ Ἀλέξανδρος εἰς τὴν τούτων χώραν στρατεύσας, καὶ τῶν ἐγχωρίων φιλοφρόνως αὐτὸν προςδεξαμένων, ἐτίμησε τὸ ἔθνος ταῖς ἁρμοζούσαις δωρεαῖς. τὸ δ' αὐτὸ καὶ τῶν ὁμόρων τῶν ὀνομαζομένων Κεδρωσίων ποιησάντων, καὶ τούτους ταῖς πρεπούσαις χάρισιν ἠμείψατο. ἀμφοτέρων δὲ τῶν εἰρημένων ἐθνῶν τὴν στρατηγίαν Τιριδάτῃ παρέδωκε. περὶ ταῦτα δὲ αὐτοῦ διατρίβοντος ἧκόν τινες ἀπαγγέλλοντες ὅτι Σατιβαρζάνης ἐκ τῆς Βακτριανῆς μετὰ δυνάμεως πολλῆς ἱππικῆς παραγενόμενος εἰς τὸ τῶν Ἀρείων ἔθνος ἀπέστησε τοὺς ἐγχωρίους ἀπ' Ἀλεξάνδρου. ὁ δὲ βασιλεὺς ἀκούσας τὸ γεγονός, ἀπέστειλεν ἐπ' αὐτὸν μέρος τῆς δυνάμεως, στρατηγοὺς ἐπιστήσας Ἐρίγυιον καὶ Στασάνορα, αὐτὸς δὲ τὴν Ἀραχωσίαν καταστρεψάμενος ὀλίγαις ἡμέραις ὑπήκοον ἐποίησε.

82 Τοῦ δ' ἐνιαυσίου χρόνου διεληλυθότος Ἀθήνησι μὲν

79. προϊεμένους] malim προειμένους 84. ἓν] ἕνα Bas. 88. Δραγγηνὴν] δραγγύνην F, caeteri Δραγγινὴν 94. ἐπὶ — κινδύνους] καὶ — κινδύνους ὑπέστη L et omisso κινδύνους F 223. 98. σωθεὶς παραδόξως] εὐθὺς παραδόξως σωθεὶς FL 99. ἐτίμησε] ἐπιτιμήσας L 1. ὁ Ἀλέξανδρος F 2. στρατεύσας FL, caeteri στρατοπεδεύσας 7. Τιριδάτῃ Bas., Cospus, caeteri Τηριδάτῃ 9. Σατιβαρζάνης] σατιβαρσάνης F hic et 224. 79. 14. ἐπιστήσας om X Ἐρίγυιον] Ἐρύγιον Bas. 15. Ἀραχωσίαν] Ἀραχερσέαν Y 17. ἐνιαυσίου] ἐνιαυσιαίου F



ἦρχεν Εὐθύκριτος, ἐν Ῥώμῃ δὲ τὴν ὑπατικὴν ἀρχὴν διεδέξαντο Λεύκιος Πλώτιος καὶ Λεύκιος Παπίριος, Ὀλυμπιὰς δ' ἤχθη τρίτη πρὸς ταῖς ἑκατὸν δέκα. ἐπὶ δὲ τούτων Ἀλέξανδρος ἐστράτευσεν ἐπὶ τοὺς ὀνομαζομένους Παροπαμισάδας. ἡ δὲ τούτων χώρα κεῖται μὲν ὑπ' αὐτὰς τὰς ἄρκτους, χιονοβολεῖται δὲ πᾶσα καὶ τοῖς ἄλλοις ἔθνεσι δυςεπίβατός ἐστι διὰ τὴν ὑπερβολὴν τοῦ ψύχους. ἡ πλείστη δὲ πεδιὰς οὖσα καὶ ἄξυλος πολλαῖς κώμαις διείληπται. αὗται δὲ τὰς τῶν οἰκιῶν στέγας ἔχουσιν ἐκ πλίνθων εἰς ὀξὺ συνηγμένων ἐχούσας καμάραν· κατὰ δὲ μέσην τὴν ὀροφὴν ἀπολελειμμένης διαυγείας, διὰ ταύτης ὁ καπνὸς ἐκφέρεται. καὶ πανταχόθεν τῆς οἰκοδομίας περιεχούσης οἱ κατοικοῦντες πολλῆς σκέπης τυγχάνουσιν. οἱ δ' ἐγχώριοι διὰ τὸ πλῆθος τῆς χιόνος τὸ πλεῖον μέρος τοῦ ἐνιαυτοῦ ταῖς οἰκίαις ἐνδιατρίβουσι, παρεσκευασμένας ἔχοντες τὰς ἰδίας τροφάς· τὰς δ' ἀμπέλους καὶ τὰ καρποφόρα τῶν δένδρων περιχώσαντες καὶ τὴν τοῦ χειμῶνος ὥραν ἐάσαντες, πάλιν ἀναστέλλουσι τὴν γῆν κατὰ τὸν τοῦ βλαστοῦ καιρόν. ἅπασα δ' ἡ τῆς χώρας φύσις οὔτε χλωρὰν οὔθ' ἥμερον ἔχει πρόςοψιν, ἀλλὰ λευκὴν καὶ ἀνταυγῆ τὴν χιόνα καὶ τὸν ἐν αὐτῇ πηγνύμενον κρύσταλλον· διόπερ οὔτ' ὀρνέου προςκαθίζοντος οὔτε θηρίου διοδεύοντος ἄξενα καὶ ἀνεπίβατα πάντα τὰ μέρη τῆς χώρας ὑπῆρχεν. ἀλλ' ὅμως ὁ βασιλεὺς τούτων ἁπάντων ἀντιπραττόντων τῇ στρατιᾷ τῇ συνήθει τόλμῃ καὶ καρτερίᾳ τῶν Μακεδόνων 224 περιεγίνετο τῆς τοπικῆς δυςτραπελίας. διὸ δὴ πολλοὶ τῶν στρατιωτῶν καὶ τῶν ἐκτὸς τῆς τάξεως συνακολουθούντων ἐξαδυνατοῦντες ἀπελείποντο· ἔνιοι δὲ διὰ τὴν τῆς χιόνος ἀνταύγειαν καὶ σκληρότητα τῆς ἀναβαλλομένης ἀνακλάσεως ἐφθείροντο. σαφὲς δ' οὐδὲν ἐκ διαστήματος ἦν ἰδεῖν, ἀλλὰ μόνῳ τῷ καπνῷ δηλουμένων τῶν κωμῶν ἐλάμβανον οἱ Μακεδόνες οὗ κατοικοῦσιν ἐφιστάμενοι. τούτῳ δὲ τῷ τρόπῳ τῶν κωμῶν ἁλισκομένων,

19. Πλώτιος] Πλάτιος FLQX, Plautius Cospus παπείριος F 21. δέκα] excidisse olympionicae nomen monuit Wessel. 22. Παροπαμισάδας] Παροπανίαδας TX, παραπανισάδας F, Paropamissadas Cospus 27. διείληπται] διείληπτο FL αὗται] αὐτὰς FL 28. συνηγμένων] συνηγμένας Y 29. ἐχούσας] ἐχουσῶν FL μέσην τὴν] τὴν μέσην FL 31. καὶ πανταχόθεν] πανταχόθεν οὖν FL 44. χώρας] γῆς ἐκείνης FLQ 47. δυςτραπελείας omnes 224. 49. διὰ τὴν] τὴν Bas.: Suidas v. ἀνταυγεῖς κόρας ita scribit: δι' ἀνταύγειαν χιόνος καὶ σκληρότητα τῆς ἀναβαλλομένης ἀνακλάσεως ἐφθείροντο 53. οὗ κατοικοῦσιν ἐφιστάμενοι Cospus reddere videtur verbis *citra ullum certamen*

καὶ τῶν στρατιωτῶν τῷ πλήθει τῆς ὠφελείας διορθουμένων τὴν κακοπάθειαν, ταχὺ πάντων τῶν ἐγχωρίων ὁ βασιλεὺς ἐκυρίευσε.

83 Μετὰ δὲ ταῦτα παρελθὼν πλησίον τοῦ Καυκάσου κατεστρατοπέδευσεν, ὅ τινες Παροπάμισον ὄρος προσαγορεύουσι. τὸ δ᾽ ὄρος τοῦτο κατὰ πλάτος διελθὼν ἐν ἡμέραις ἑκκαίδεκα πόλιν ἔκτισε κατὰ τὴν εἰςβολὴν τὴν φέρουσαν εἰς τὴν Μηδικήν, ἣν ὠνόμασεν Ἀλεξάνδρειαν. κατὰ δὲ μέσον τὸν Καύκασον ἔστι πέτρα δέκα σταδίων ἔχουσα τὴν περίμετρον, τεττάρων δὲ σταδίων τὸ ὕψος, ἐν ᾗ καὶ τὸ Προμηθέως σπήλαιον ἐδείκνυθ᾽ ὑπὸ τῶν ἐγχωρίων καὶ ἡ τοῦ μυθολογηθέντος ἀετοῦ κοίτη καὶ τὰ τῶν δεσμῶν σημεῖα. ὁ δ᾽ Ἀλέξανδρος καὶ ἄλλην πόλιν ἔκτισεν, ἡμέρας ὁδὸν ἀπέχουσαν τῆς Ἀλεξανδρείας. κατῴκισε δ᾽ εἰς αὐτὰς τῶν μὲν βαρβάρων ἑπτακιςχιλίους, τῶν δ᾽ ἐκτὸς τάξεως συνακολουθούντων τριςχιλίους καὶ τῶν μισθοφόρων τοὺς βουλομένους. αὐτὸς δὲ ἀναλαβὼν τὴν δύναμιν προῆγεν εἰς τὴν Βακτριανήν, ἀκούων τὸν Βῆσσον διάδημά τε ἀνειληφέναι καὶ δυνάμεις ἀθροίζειν. καὶ τὰ μὲν περὶ Ἀλέξανδρον ἐν τούτοις ἦν. οἱ δ᾽ εἰς τὴν Ἀρείαν ἀπεσταλμένοι στρατηγοὶ καταλαβόντες τοὺς ἀφεστηκότας δυνάμεις ἀξιολόγους ἠθροικότας, καὶ στρατηγὸν ἔχοντας Σατιβαρζάνην, ἄνδρα στρατηγίᾳ καὶ ἀνδρείᾳ διαφέροντα, κατεστρατοπέδευσαν πλησίον τῶν πολεμίων. γινομένων δὲ πολλάκις ἀκροβολισμῶν, μέχρι μέν τινος μάχαι κατ᾽ ὀλίγους ἐγίνοντο· μετὰ δὲ ταῦτα παρατάξεως γενομένης, καὶ τῶν βαρβάρων ἰσόμαχον ποιούντων τὸν κίνδυνον, ὁ τῶν ἀποστατῶν στρατηγὸς Σατιβαρζάνης ἀφελὼν ταῖς χερσὶ τὸ περὶ τὴν κεφαλὴν κράνος, καὶ δείξας αὐτὸν ὃς ἦν, προεκαλέσατο τὸν βουλόμενον τῶν στρατηγῶν μονομαχῆσαι. ὑπακούσαντος δὲ τοῦ Ἐριγυίου, καὶ γενομένης μάχης ἡρωϊκῆς, συνέβη νικῆσαι τὸν Ἐρίγυιον. οἱ δὲ βάρβαροι διὰ τὸν τοῦ στρατηγοῦ θάνατον καταπλαγέντες, καὶ λαβόντες τὴν ἀσφάλειαν, παρέδωκαν ἑαυτοὺς τῷ βασιλεῖ. Βῆσσος δὲ ἑαυτὸν ἀναδεδειχὼς βασιλέα τοῖς θεοῖς ἔθυσε,

59. Παροπάμισον] προπάνισον F, Παροπάνισον TX, Paropamissus Cospus 61. ἓξ καὶ δέκα F 62. Μηδικὴν] Ἰνδικὴν Reiskius 64. δέκα] καὶ praeponit F punctis superpositis 68. ἄλλην πόλιν — ἀπέχουσαν FL, caeteri ἄλλας πόλεις — ἀπεχούσας 70. αὐτὰς] ταύτας FL 71. τάξεως FL, caeteri τάξεων 74. Βακτριανὴν] Βακτρίαν, οὗ ἦν FL 75. ἀνειληφέναι] εἰληφέναι Bas. 79. στρατηγίᾳ FLQ, caeteri στρατηγικὸν 83. γενομένης] γινομένης L 86. αὐτὸν] αὑτὸν L 88. Ἐριγυίου] Ἐρυγυίου Bas., hic et 89., ἐρυγίου et ἐρύγιον F 92. ἑαυτὸν] αὐτὸν F



καὶ τοὺς φίλους παραλαβὼν εἰς τὴν εὐωχίαν κατὰ τὸν
225 πότον διηνέχθη πρός τινα τῶν ἑταίρων, ὄνομα Βαγωδάραν. τῆς δὲ φιλοτιμίας ἐπὶ πλέον προελθούσης, ὁ μὲν Βῆσσος παροξυνθεὶς ἐπιβάλετο τὸν Βαγωδάραν ἀνελεῖν, καὶ ὑπὸ τῶν φίλων πεισθεὶς μετενόησεν. ὁ δὲ τὸν κίνδυνον ἐκφυγὼν νυκτὸς ἔφυγε πρὸς τὸν Ἀλέξανδρον. τῇ δὲ τούτου σωτηρίᾳ καὶ ταῖς δοθησομέναις ὑπ᾽ Ἀλεξάνδρου δωρεαῖς προκληθέντες οἱ μέγιστοι τῶν ἡγεμόνων συνεφρόνησαν, καὶ συλλαβόντες τὸν Βῆσσον ἀπήγαγον πρὸς τὸν Ἀλέξανδρον. ὁ δὲ βασιλεὺς τούτους μὲν ἐτίμησεν ἀξιολόγοις δωρεαῖς, τὸν δὲ Βῆσσον παρέδωκε τῷ ἀδελφῷ τοῦ Δαρείου καὶ τοῖς ἄλλοις συγγενέσιν εἰς τιμωρίαν. οἱ δὲ πᾶσαν ὕβριν καὶ αἰκίαν προςενεγκάμενοι, καὶ τὸ σῶμα κατὰ λεπτὸν συγκόψαντες, τὰ μέλη διεσφενδόνησαν.

* * *

84 Ἐπὶ δὲ τούτοις γενομένων τῶν ὅρκων, ἡ μὲν βασίλισσα τὴν μεγαλοψυχίαν τοῦ Ἀλεξάνδρου θαυμάσασα δῶρά τε κράτιστα ἐξέπεμψε καὶ πᾶν τὸ προςταττόμενον ποιήσειν ἐπηγγείλατο. * οἱ δὲ μισθοφόροι παραχρῆμα κατὰ τὰς ὁμολογίας ἐκ τῆς πόλεως ἀπελθόντες, καὶ σταδίους ὀγδοήκοντα προελθόντες, ἀνεπικωλύτως κατεστρατοπέδευσαν, οὐδεμίαν ἔννοιαν λαμβάνοντες τοῦ μέλλοντος. ὁ δ᾽ Ἀλέξανδρος ἀμετάθετον ἔχων τὴν πρὸς τοὺς μισθοφόρους ἀλλοτριότητα, διεσκευασμένην ἔχων τὴν δύναμιν ἐπηκολούθησε τοῖς βαρβάροις· καὶ προςπεσὼν αὐτοῖς ἄφνω πολὺν ἐποίει φόνον. οἱ δὲ μισθοφόροι τὸ μὲν πρῶτον ἐβόων παρὰ τοὺς ὅρκους αὐτοὺς πολεμεῖσθαι, καὶ τοὺς ἀσεβουμένους ὑπ᾽ αὐτοῦ θεοὺς ἐπεκαλοῦντο· ὁ δ᾽ Ἀλέξανδρος μεγάλῃ τῇ φωνῇ πρὸς αὐτοὺς ἀνεβόησεν ὅτι συνεχώρησεν αὐτοῖς ἐκ τῆς πόλεως ἀπελθεῖν, οὐ φίλους εἶναι διὰ παντὸς Μακεδόνων. οἱ δὲ μισθοφόροι τὸ μέγεθος τῶν κινδύνων οὐ καταπλαγέντες συνεφράξαντο, καὶ τὴν ὅλην τάξιν ποιήσαντες κυκλοτερῆ τά τε τέκνα καὶ τὰς γυναῖκας εἰς μέσον ἀπέλαβον,

225. 95. Βαγωδάραν] βαγωδάρηνᾶν F, et 97. βαγωδαρηνᾶν λλεῖν a pr. manu 96. πλέον] πλεῖον FL 97. παροξυνθεὶς] παρορμηθεὶς FLQ 4. δωρεαῖς] δώροις L 10. ad hunc versum margo Bas. „videntur hic non pauca deesse", regina autem Bessi uxor Cospus, lacunam non animadvertens 13. post ἐπηγγείλατο lacunae signa posuit Stephanus, tria folia vacua relinquuntur in F 15. ὀγδοήκοντα LTX Cospus, π Bas., caeteri ὀκτακοσίους 18. δ᾽ F 23. αὐτοὺς] αὑτοὺς FL 25. τῇ om. F. 29. τε om. F Bas.

ὥςτε πανταχόθεν τοῖς προςμαχομένοις ἀσφαλῶς ἀντιτάττεσθαι. ἀπονοηθέντων δ' αὐτῶν καὶ διὰ τὴν τόλμαν καὶ διὰ τὴν ἐν τοῖς ἀγῶσιν ἀρετὴν ἰσχυρὰν μάχην συστησαμένων, καὶ τῶν Μακεδόνων φιλοτιμουμένων μὴ λειφθῆναι τῆς τῶν βαρβάρων ἀνδραγαθίας, μεγάλην κατάπληξιν εἶχεν ὁ κίνδυνος. ἐκ χειρὸς γὰρ τῆς μάχης οὔσης, καὶ συμπλεκομένων τῶν ἀγωνιζομένων ἀλλήλοις, πολλαὶ καὶ παντοῖαι διαθέσεις θανάτων καὶ τραυμάτων ἐγίνοντο. οἱ γὰρ Μακεδόνες ταῖς σαρίσαις ἀναῤῥήττοντες τὰς τῶν βαρβάρων πέλτας τὰς ἀκμὰς τοῦ σιδή- [226] ρου τοῖς πνεύμοσιν ἐνήρειδον· οἱ δὲ μισθοφόροι τὰς λόγχας ἀκοντίζοντες εἰς ἀθρόους τοὺς πολεμίους οὐχ ἡμάρτανον, σύνεγγυς κειμένου τοῦ σκοποῦ. διὸ καὶ πολλῶν μὲν ταυματιζομένων, οὐκ ὀλίγων δὲ τελευτώντων, αἱ γυναῖκες τὰ τῶν πεσόντων ὅπλα λαμβάνουσαι συνηγωνίζοντο τοῖς ἀνδράσιν. ἡ γὰρ ὀξύτης τοῦ κινδύνου καὶ τὸ τῆς ἐνεργείας δεινὸν ἠνάγκαζεν αὐτὰς παρὰ φύσιν τρέπεσθαι πρὸς ἀλκήν. διὸ καὶ τινὲς μὲν αὐτῶν καθοπλισθεῖσαι συνήσπιζον τοῖς ἰδίοις ἀνδράσι, τινὲς δὲ ἄνευ ὅπλων ἐμπίπτουσαι τῶν ἀσπίδων ἐπελαμβάνοντο καὶ πολλὰ τοὺς πολεμίους ἐνεπόδιζον. τέλος δὲ πάντες μετὰ τῶν γυναικῶν ἀγωνισάμενοι καὶ κατακοπέντες ὑπὸ τοῦ πλήθους, τὸν ἔνδοξον θάνατον τῆς ἀγεννοῦς φιλοζωίας ἠλλάξαντο. ὁ δ' Ἀλέξανδρος τόν τε ἀχρεῖον καὶ ἄνοπλον ὄχλον καὶ τῶν γυναικῶν τὰς ὑπολειφθείσας ἀπάγων τοὺς ἱππεῖς συνεπέστησε.

85 Πολλὰς δὲ καὶ ἄλλας πόλεις ἐκπολιορκήσας καὶ τοὺς ἀντιταττομένους ἀνελών, προῆγεν ἐπὶ τὴν πέτραν τὴν Ἄορνον καλουμένην. εἰς γὰρ ταύτην οἱ περιλειφθέντες τῶν ἐγχωρίων διὰ τὴν ὑπερβολὴν τῆς ὀχυρότητος κατεπεφεύγεισαν. λέγεται γὰρ τὸ παλαιὸν Ἡρακλέα ταύτην τὴν πέτραν ἐπιβαλόμενον πολιορκεῖν ἀποστῆναι διά τινας ἐπιγενομένους μεγάλους σεισμοὺς καὶ διοσημείας. ὁ δ' Ἀλέξανδρος πυθόμενος περὶ τούτων, ἔτι μᾶλλον παρωξύνθη πολιορκῆσαι τὸ ὀχύρωμα καὶ διαμιλληθῆναι τῇ τοῦ θεοῦ δόξῃ. ἡ δὲ πέτρα τὸν μὲν περίβολον εἶχε σταδίων ἑκατόν, τὸ δ' ὕψος ἑκκαίδεκα, τὴν δ' ἐπιφάνειαν ὁμαλὴν καὶ πάντῃ περιφερῆ. καὶ τὸ μὲν πρὸς μεσημβρίαν μέρος αὐτῆς προςέκλυζεν ὁ Ἰνδὸς ποταμός, μέγιστος ὢν τῶν κατὰ τὴν Ἰνδικήν, τὰ δ' ἄλλα μέρη περιείχετο φάραγξι βαθείαις καὶ κρημνοῖς ἀπροςίτοις. τοῦ δ' Ἀλεξάνδρου κατασκεψαμένου τὴν δυςχωρίαν, καὶ τὴν ἐκ βίας ἅλωσιν ἀπογνόντος, ἧκέ τις πρὸς αὐτὸν πρεσβύτης μετὰ δυοῖν υἱῶν. οὗτος δ' ὢν πένης παντελῶς καὶ πολὺν χρόνον ἐντεθραμμένος τοῖς τόποις, κατῴκει μὲν ἔν τινι σπηλαίῳ τρεῖς στιβάδας ἔχοντι κατὰ τὴν πέτραν ἐντετμημένας, ἐν αἷς ὁ γέρων μετὰ τῶν υἱῶν ἐναυλιζόμενος ἐμπειρίαν περιεπεποίητο τῶν τόπων. οὗτος οὖν προςελθὼν τῷ βασιλεῖ, καὶ τὰ περὶ ἑαυτὸν δηλώσας, ἐπηγγείλατο καθηγήσεσθαι διὰ τῆς δυςχωρίας καὶ ποιήσειν αὐτὸν ὑπερδέξιον γενέσθαι τῶν κατειλημμένων τὴν πέτραν βαρβάρων. ὁ δὲ Ἀλέξανδρος ἐπαγγειλάμενος μεγάλας δωρεὰς δώσειν, καὶ τῷ πρεσβύτῃ χρησάμενος ὁδηγῷ, πρῶτον μὲν τὴν πάροδον τὴν εἰς τὴν πέτραν φέρουσαν κατελάβετο, καὶ μηδεμιᾶς οὔσης ἄλλης ἐξόδου συνέκλεισε τοὺς βαρβάρους εἰς ἀβοήθητον πολιορκίαν·
[227] ἔπειτα τῇ πολυχειρίᾳ χώσας τὴν φάραγγα καὶ τὴν ῥίζαν τῆς πέτρας, προςελθὼν ἐνεργῆ πολιορκίαν συνεστήσατο, συνεχῶς ἐφ' ἡμέρας ἑπτὰ καὶ τὰς ἴσας νύκτας ἐκ διαδοχῆς τὰς προςβολὰς ποιούμενος. τὸ μὲν οὖν πρῶτον οἱ βάρβαροι διὰ τὰς τῶν τόπων ὑπεροχὰς ἐπροτέρουν καὶ πολλοὺς ἀνῄρουν τῶν προπετῶς βιαζομένων· τοῦ δὲ χώματος συντελεσθέντος, καὶ τῶν ὀξυβελῶν καταπελτῶν καὶ τῶν ἄλλων ὀργάνων ἐπισταθέντων, πρὸς δὲ τούτοις τοῦ βασιλέως φανεροῦ καθεστῶτος ὡς οὐκ ἀποστήσεται τῆς πολιορκίας, οἱ μὲν Ἰνδοὶ κατεπλάγησαν, ὁ δ' Ἀλέξανδρος ἐμφρόνως προϊδόμενος τὸ μέλλον, ἐξέλιπε τὴν ἐν τῇ παρόδῳ κατειλημμένην φυλακήν, διδοὺς ἔξοδον τοῖς βουλομένοις ἐκ τῆς πέτρας ἀναχωρεῖν. οἱ δὲ βάρβαροι φοβηθέντες τάς τε τῶν Μακεδόνων ἀρετὰς καὶ τὴν τοῦ βασιλέως φιλοτιμίαν, νυκτὸς ἐξέλιπον τὴν πέ-

31. προςμαχομένοις] προμαχομένοις FLQ, caeteri μαχομένοις 39. ἐγίγνοντο omnes σαρίσαις F, μακροῖς δόρασιν T, caeteri σαρίσσαις 40. ἀναῤῥήττοντες] ἀναῤῥήσσοντες omnes 226. 41. πνεύμοσιν X, caeteri πνεύμασιν 46. συνηγωνίζοντο] „συνησπίζοντο X, in quo multa hic confusa" WESSEL. 56. δ' F 61. ἄορνον] ἄορνιν LQ Bas. et qui post καλουμένην ponit F 63. καταπεφεύγεσαν F τὸ Stephanus: libri τὸν 64. ἐπιβαλλόμενον F 70. ἓξ καὶ δέκα F

77. δυοῖν] δυεῖν LT 78. ὢν] ἦν L 79. μὲν] δ' F, δὲ L: Suidas v. προστιβάδες sine nomine affert verba: ὁ δὲ κατῴκει ἐν σπηλαίῳ προστιβάδας ἐντετμημένας ἔχοντι κατὰ τὴν πέτραν, mendo sui libri ludificatus 82. περιεπεποίητο FL, caeteri περιεποιεῖτο 83. ἑαυτὸν] αὐτὸν F 89. κατελάβετο] κατέλαβε FL 90. ἐξόδου] διεξόδου FL 227. 92. τὴν φ.] τὸν φ. Bas. ῥίζαν] δυχωρίαν F in margine correctus 94. ἐφ' L, caeteri ἐπὶ 96. ἐπροτέρουν Wesselingius, ἐπροετέρουν Bas., caeteri προετέρουν 2. δ' F Bas. προϊδόμενος] προειδόμενος Bas. 3. τῇ om. Bas. 4. κατειλημμένην] καταλελειμμένην omnes: quod ut stet, ἐξέλιπε in ἐξήγαγε mutandum erit collata annotat. ad p. 402. 20. 6. τε om. F

86 τραν. ὁ δ' Ἀλέξανδρος τοῖς κενοῖς τοῦ πολέμου καταστρατηγήσας τοὺς Ἰνδοὺς χωρὶς κινδύνου ἐκυρίευσε τῆς πέτρας. καὶ τῷ μὲν ὁδηγήσαντι τὰς ὡμολογημένας δωρεὰς ἀπέδωκεν, αὐτὸς δὲ ἀνέζευξε μετὰ τῆς δυνάμεως. καθ' ὃν καιρὸν Ἀφρίκης τις Ἰνδός, ἔχων μὲν στρατιώτας δισμυρίους, ἐλέφαντας δὲ πεντεκαίδεκα, διέτριβε περὶ τὸν τόπον. τοῦτον δέ τινες ἀνελόντες καὶ τὴν κεφαλὴν αὐτοῦ πρὸς Ἀλέξανδρον ἐνέγκαντες διὰ ταύτης τῆς εὐεργεσίας περιεποιήσαντο τὰς ἰδίας σωτηρίας. ὁ δὲ βασιλεὺς τούτους τε προσηγάγετο καὶ τῶν ἐλεφάντων πλανωμένων κατὰ τὴν χώραν ἐκυρίευσεν. αὐτὸς δὲ παρελθὼν ἐπὶ τὸν Ἰνδὸν ποταμόν, καὶ καταλαβὼν τάς τε τριακοντόρους κατεσκευασμένας καὶ τὸν πόρον ἐζευγμένον, τριάκοντα μὲν ἡμέρας ἀνέλαβε τὴν δύναμιν, καὶ τοῖς θεοῖς μεγαλοπρεπεῖς συντελέσας θυσίας διεβίβασε τὴν στρατιάν, καὶ περιέπεσε παραδόξῳ περιπετείᾳ. Ταξίλου γὰρ τοῦ βασιλέως προτετελευτηκότος υἱὸς αὐτοῦ Μῶφις διαδεξάμενος τὴν ἀρχὴν διεπέμψατο μὲν καὶ πρότερον πρὸς Ἀλέξανδρον ἐν τῇ Σογδιανῇ διατρίβοντα, ἐπαγγελλόμενος αὐτῷ συστρατεύσειν ἐπὶ τοὺς ἀντιταττομένους τῶν Ἰνδῶν, καὶ τότε πρέσβεις ἀποστείλας ἔφησεν αὐτῷ παραδιδόναι τὴν βασιλείαν. ἀποσχόντος δὲ τετταράκοντα σταδίους τοῦ βασιλέως ἐκτάξας τὴν δύναμιν ὡς εἰς πόλεμον καὶ τοὺς ἐλέφαντας κοσμήσας, ἀπήντα μετὰ τῶν φίλων. ὁ δὲ Ἀλέξανδρος ὁρῶν προσιοῦσαν μεγάλην δύναμιν ἐκτεταγμένην πολεμικῶς, καὶ δόξας τὸν Ἰνδὸν ἐπιβούλως πεποιῆσθαι τὰς ἐπαγγελίας, ὅπως ἀπαρασκεύοις τοῖς Μακεδόσιν ἐπίθηται, τοῖς μὲν σαλπιγκταῖς παρεκελεύσατο σημαίνειν τὸ πολεμικόν, τοὺς δὲ στρατιώτας ἐκτάξας ἀπήντα τοῖς Ἰνδοῖς. ὁ δὲ Μῶφις ὁρῶν τὴν ταραχὴν τῶν Μακεδόνων καὶ τὸ γεγονὸς συλλογιζόμενος, τὴν μὲν δύναμιν κατέλιπεν, αὐτὸς δὲ μετ' ὀλίγων προϊπ- 228
πεύσας καὶ τὴν ἄγνοιαν τῶν Μακεδόνων διορθωσάμενος παρέδωκεν ἑαυτόν τε καὶ τὴν δύναμιν τῷ βασιλεῖ. ἡσθεὶς δὲ ὁ Ἀλέξανδρος τήν τε βασιλείαν ἀπέδωκεν αὐτῷ καὶ τὸ λοιπὸν διετέλει τούτῳ φίλῳ καὶ συμμάχῳ χρώμενος, καὶ μετωνόμασεν αὐτὸν Ταξίλην. ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

9. κενοῖς] καινοῖς Bas. 11. ὡμολογημένας] ὁμολογουμένας F 13. Ἀφρίκης] *Aphices* Cospus 15. πεντεκαίδεκα] ἑπτακαίδεκα FL, *tredecim* Cospus 19. τούτους] τούς Bas. 21. καὶ κατ. τάς τε] κατ. τε τὰς F 32. τετταράκοντα F, τεσσαράκοντα caeteri, μ Bas. 37. Ἰνδὸν] κίνδυνον Bas. 38. τὰς] καὶ τὰς F ἀπαρασκεύοις Stephanus: libri ἀπαρασκεύως 39. σαλπιγκταῖς] σαλπιγγηταῖς Bas. 42. τῶν om. Bas.



87 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Χρέμητος Ῥωμαῖοι κατέστησαν ὑπάτους Πόπλιον Κορνήλιον καὶ Αὖλον Ποστούμιον. ἐπὶ δὲ τούτων Ἀλέξανδρος ἐν τῇ Ταξίλου χώρᾳ προσαναλαβὼν τὴν δύναμιν ἐστράτευσεν ἐπὶ Πῶρον τὸν τῶν πλησιοχώρων Ἰνδῶν βασιλέα. οὗτος δ' εἶχε πεζοὺς μὲν πλείους τῶν πεντακισμυρίων, ἱππεῖς δὲ περὶ τρισχιλίους, ἅρματα δὲ πλείω τῶν χιλίων, ἐλέφαντας δὲ ἑκατὸν καὶ τριάκοντα. ἐπεποίητο δὲ καὶ ἕτερον τῶν πλησιοχώρων βασιλέα σύμμαχον, ὃς ὠνομάζετο Ἐμβίσαρος, εἶχε δὲ δύναμιν οὐ πολὺ λειπομένην τῆς τοῦ Πώρου. ὁ δ' Ἀλέξανδρος ἀκούσας τοῦτον τὸν βασιλέα τετρακοσίους ἀπέχειν σταδίους, ἔκρινε πρὸ τῆς τούτου παρουσίας ἐπιβαλεῖν τῷ Πώρῳ. ἐγγίσαντος δὲ αὐτοῦ τοῖς Ἰνδοῖς ὁ Πῶρος πυθόμενος πλησίον εἶναι τοὺς πολεμίους, εὐθὺς ἐξέταξε τὴν δύναμιν, καὶ τοὺς μὲν ἱππεῖς ἐπὶ τὰ κέρατα διεμέρισε, τοὺς δ' ἐλέφαντας καταπληκτικῶς κεκοσμημένους κατὰ μέτωπον ἐν ἴσοις διαστήμασιν ἔστησεν. ἀνὰ μέσον δὲ τῶν θηρίων τοὺς λοιποὺς ὁπλίτας ἔταξεν, οἷς συντεταγμένον ἦν παραβοηθεῖν τοῖς θηρίοις καὶ διακωλύειν ἐκ τῶν πλαγίων εἰσακοντίζειν. ἡ μὲν οὖν ὅλη σύνταξις αὐτῶν ὑπῆρχε πόλει παραπλήσιος τὴν πρόσοψιν· ἡ μὲν γὰρ τῶν ἐλεφάντων στάσις τοῖς πύργοις, οἱ δὲ ἀνὰ μέσον τούτων στρατιῶται τοῖς μεσοπυργίοις ὡμοίωντο. ὁ δ' Ἀλέξανδρος κατανοήσας τὴν τῶν πολεμίων τάξιν, πρὸς ταύτην τὴν διακόσμησιν οἰκείως ἐξέταξε τὴν δύναμιν. 88 γενομένης δὲ μάχης τὸ μὲν πρῶτον τοῖς ἱππεῦσιν ἅπαντα σχεδὸν τὰ ἅρματα τῶν Ἰνδῶν διεφθάρη· μετὰ δὲ ταῦτα τῶν ἐλεφάντων ταῖς τε τῶν σωμάτων ὑπεροχαῖς καὶ ταῖς ἀλκαῖς δεόντως χρωμένων, οἱ μὲν ὑπὸ τῶν θηρίων συμπατούμενοι μετὰ τῶν ὅπλων θραυομένων τῶν ὀστῶν ἀπώλλυντο, οἱ δὲ ταῖς προνομαίαις περιλαμβανόμενοι καὶ πρὸς ὕψος ἐξαρθέντες πάλιν πρὸς τὴν γῆν ἠράττοντο καὶ δεινοῖς θανάτοις περιέπιπτον· πολλοὶ δὲ τοῖς ὀδοῦσι συγκεντούμενοι καὶ δι' ὅλων τῶν σωμάτων τιτρωσκόμενοι παραχρῆμα τοῦ ζῆν ἐστερίσκοντο. τῶν δὲ Μακεδόνων εὐρώστως ὑπομενόντων τὸ δεινόν, καὶ τοὺς ἀνὰ μέσον τῶν θηρίων ταῖς σαρίσαις ἀναιρούντων, ἰσόρροπος ἦν ἡ μάχη. μετὰ δὲ

228. 60. Ἐμβίσαρος] *Sabisarus* Cospus hic et 230. 71. 61. δ' F 64. ἐγγίσαντος] ἐπιστάντος F, illud γρ. in margine ponens 72. οὖν om. Bas. 80. τῶν — ταῦτα om. Bas. 81. τε om. F 84. προνομαίαις] προνομαῖς FLT 85. ἐξαρθέντες] ἐπαρθέντες L 90. τοὺς ἀνὰ μέσον] τινὰ F, illud γρ. in margine ponens 91. σαρίσαις F, caeteri σαρίσσαις

ταῦτα τῶν θηρίων συνακοντιζομένων καὶ διὰ τὸ πλῆθος τῶν τραυμάτων περιωδύνων γινομένων, οἱ μὲν περιβεβηκότες αὐτοῖς Ἰνδοὶ κρατεῖν τῆς ὁρμῆς τῶν ζῴων οὐκ ἴσχυον· ἐκνεύοντα γὰρ εἰς τοὺς ἰδίους ταῖς ὁρμαῖς ἀκατασχέτως ἐφέρετο καὶ τοὺς φίλους συνεπάτει. ταραχῆς 229
δὲ πολλῆς γενομένης, ὁ Πῶρος συνιδὼν τὸ γινόμενον, καὶ τεταγμένος ἐπὶ τοῦ κρατίστου τῶν ἐλεφάντων, ἤθροισε περὶ αὐτὸν τετταράκοντα τῶν θηρίων τὰ μήπω τεταραγμένα, καὶ τῷ βάρει τῶν ἐλεφάντων ἐπιβαλὼν τοῖς πολεμίοις πολὺν ἐποίει φόνον, ἅτε καὶ τῇ ῥώμῃ τοῦ σώματος πολὺ προέχων τῶν συστρατευομένων· τὸ γὰρ μῆκος ἦν πηχῶν πέντε, τὸ δ᾽ εὖρος ὑπῆρχεν ὁ θώραξ αὐτοῦ διπλάσιος τῶν ἄλλων τῶν εὐρωστίᾳ διαφερόντων. διόπερ τὰ βαλλόμενα σαυνία τοιαύτην εἶχε δύναμιν ὥστε μὴ πολὺ λείπεσθαι τῶν καταπελτικῶν βελῶν. τῶν δ᾽ ἀντιτεταγμένων Μακεδόνων καταπεπληγμένων τὴν ἀνδραγαθίαν τοῦ Πώρου, ὁ Ἀλέξανδρος μεταπεμψάμενος τοὺς τοξότας καὶ τὰ ψιλικὰ τῶν ταγμάτων προσέταξεν ἅπαντας βάλλειν ἐπὶ τὸν Πῶρον. ταχὺ δὲ τῶν στρατιωτῶν πραξάντων τὸ παραγγελθέν, καὶ βελῶν ἅμα πολλῶν ἐνεχθέντων ἐπὶ τὸν Ἰνδόν, καὶ πάντων ἐπιτυγχανόντων διὰ τὸ μέγεθος τοῦ σκοποῦ, ὁ μὲν Πῶρος ἡρωικῶς ἀγωνισάμενος, καὶ διὰ τὸ πλῆθος τῶν τραυμάτων γενόμενος ἔξαιμος, ἐλιποψύχησε καὶ περικλασθεὶς περὶ τὸ θηρίον πρὸς τὴν γῆν κατηνέχθη. διαδοθείσης δὲ φήμης ὅτι τετελεύτηκεν ὁ βασιλεύς, τὸ λοιπὸν πλῆθος τῶν Ἰνδῶν

89 πρὸς φυγὴν ὥρμησεν. ἐν δὲ τῇ φυγῇ πολλοῦ φόνου γενομένου, ὁ μὲν Ἀλέξανδρος ἐπιφανεῖ μάχῃ νικήσας ἀνεκαλέσατο τῇ σάλπιγγι τοὺς στρατιώτας. ἔπεσον δ᾽ ἐν τῇ μάχῃ τῶν Ἰνδῶν πλείους τῶν μυρίων καὶ δισχιλίων, ἐν οἷς ὑπῆρχον καὶ δύο υἱοὶ τοῦ Πώρου καὶ οἱ στρατηγοὶ καὶ οἱ ἐπιφανέστατοι τῶν ἡγεμόνων. ζῶντες δὲ ἄνδρες ἑάλωσαν ὑπὲρ τοὺς ἐνακισχιλίους, ἐλέφαντες δὲ ὀγδοήκοντα· αὐτὸς δὲ ὁ Πῶρος ἔμπνους ὢν παρεδόθη τοῖς Ἰνδοῖς πρὸς τὴν θεραπείαν. τῶν δὲ Μακεδόνων ἔπεσον

94. περιβεβηκότες] περιβεβληκότες L  95. οὐκ ἴσχυον] οὐκ ἀντίσχυον FL: voluisse videntur οὐ κατίσχυον: conf. ad p. 292. 93.
229. 97. συνεπάτει] συνεπάτουν FL  98. γενομένης] γινομένης Bas.  γινόμενον] γιγνόμενον Y Bas.  100. αὐτὸν] ἑαυτὸν F  τετταράκοντα F, caeteri τεσσαράκοντα
11. ψιλικὰ] ψιλὰ L  ταγμάτων] τεταγμένων L
14. ἐπὶ] τῶν ἐπὶ F  18. ἐλιποψ. Bas., caeteri ἐλειποψ. καὶ περικλ.] περικλ. γὰρ Q  19. θηρίον] θωράκιον T, vulgata in margine ascripta, θηρίον θωράκιον Y
22. φόνου γενομένου] invertit F  27. οἱ prius om. Bas.
28. libri ἐννακισχιλ.



μὲν ἱππεῖς διακόσιοι καὶ ὀγδοήκοντα, πεζοὶ δὲ πλείους τῶν ἑπτακοσίων. ὁ δὲ βασιλεὺς τοὺς μὲν τετελευτηκότας ἔθαψε, τοὺς δὲ ἀνδραγαθήσαντας κατὰ τὴν ἀξίαν ἐτίμησεν, αὐτὸς δὲ Ἡλίῳ ἔθυσεν, ὡς δεδωκότι τὰ πρὸς ἀνατολὴν μέρη καταστρέψασθαι. τῆς δὲ πλησίον ὀρεινῆς ἐχούσης πολλὴν μὲν ἐλάτην εὔτροφον, οὐκ ὀλίγην δὲ κέδρον καὶ πεύκην, ἔτι δὲ τῆς ἄλλης ὕλης ναυπηγησίμου πλῆθος ἄφθονον, κατεσκεύασε ναῦς ἱκανάς. διενοεῖτο γὰρ ἐπὶ τὸ τέρμα τῆς Ἰνδικῆς παραγενόμενος καὶ πάντας τοὺς ἐγχωρίους καταστρεψάμενος διὰ τοῦ ποταμοῦ καταπλεῖν εἰς τὸν Ὠκεανόν. ἔκτισε δὲ δύο πόλεις, τὴν μὲν πέραν τοῦ ποταμοῦ καθ᾽ ὃν τόπον αὐτὸς διέβη, τὴν δ᾽ ἄλλην ἐν ᾧ τόπῳ τὸν Πῶρον ἐνίκησε. ταχὺ δὲ τῶν ἔργων κατασκευασθέντων διὰ τὴν πολυχειρίαν, τὸν μὲν Πῶρον θεραπευθέντα βασιλέα κατέστησε διὰ τὴν ἀρετὴν ἧς πρότερον ἦρχε χώρας· τὴν δὲ δύναμιν ἐπὶ τριάκοντα ἡμέρας ἀνέλαβε, πολλῆς ἀφθονίας οὔσης τῶν ἐπιτηδείων. 90

230 Ἴδιον δέ τι κατὰ τὴν ὀρεινὴν τὴν πλησίον ὑπῆρχε. χωρὶς γὰρ τῆς πρὸς ναυπηγίαν ὕλης εἶχεν ἡ χώρα πολλοὺς καὶ παρηλλαγμένους τοῖς μεγέθεσιν ὄφεις, ὄντας ἑκκαιδεκαπήχεις, πιθήκων τε γένη πολλὰ καὶ τοῖς μεγέθεσι διαλλάττοντα, ὧν τὴν τέχνην τῆς θήρας αὐτὸ τὸ ζῷον ὑφηγεῖτο. μιμητικὸν γὰρ ὑπάρχον πάσης πράξεως βίᾳ μὲν οὐ ῥᾳδίως χειροῦται διά τε τὴν ἰσχὺν τῶν σωμάτων καὶ διὰ τὴν τῆς ψυχῆς ἀγχίνοιαν· τῶν δὲ κυνηγῶν οἱ μὲν μέλιτι τοὺς ὀφθαλμοὺς ἀλείφονται, οἱ δὲ βλεπόντων τῶν θηρίων ὑποδοῦνται, τινὲς δὲ ταῖς κεφαλαῖς κάτοπτρα περιτιθέασι· καὶ τοῖς μὲν ὑποδήμασι παραθέντες δεσμοὺς ἀπολείπουσιν, ἀντὶ δὲ τοῦ μέλιτος ἰξὸν ὑποβάλλουσι, τοῖς δὲ κατόπτροις ἐπίσπαστρα καθάπτουσι. διόπερ ὅταν βούλωνται τὰ ζῷα τὰς πράξεις τῶν ὁραθέντων ἐπιτελεῖν, ἀδυνατεῖ, τῶν μὲν βλεφάρων κεκολλημένων, τῶν δὲ ποδῶν δεδεμένων, τῶν δὲ σωμάτων κατεχομένων· ὅθεν εὐχείρωτα πρὸς τὴν θήραν γίνεται. ὁ δὲ Ἀλέξανδρος τὸν ὑστερηκότα τῆς τοῦ Πώρου συμμαχίας

31. μὲν om. F  36. καταστρέψασθαι] περικαταστρέψασθαι F  42. τοῦ ποταμοῦ] τῶν ποταμῶν FLQY, τὸν ποταμὸν Bas.
230. 51. κατὰ F, caeteri καὶ κατὰ  τὴν alterum om. F
54. ἑξκαίδεκα πήχεις F  55. πολλὰ Wesselingius: libri πολλῶν  διαλλάττοντα FL, caeteri διαλλαττόντων
58. διά τε] διὰ Bas.  65. ἐπίσπαστρα] ἐπίσπαστα L
68. ὅθεν — 69. γίνεται om. TX Bas., Cospus

βασιλέα ὄνομα Ἐμβίσαρον καταπληξάμενος ἠνάγκασε ποιεῖν τὸ προςταττόμενον· αὐτὸς δὲ μετὰ τῆς δυνάμεως περάσας τὸν ποταμὸν προῆγε διὰ χώρας ἀρετῇ διαφερούσης. δένδρων γὰρ εἶχε γένη διαλλάττοντα καὶ τὸ μὲν ὕψος ἔχοντα πηχῶν ἑβδομήκοντα, τὸ δὲ πάχος μόγις ὑπὸ τεττάρων ἀνδρῶν περιλαμβανόμενα, τριῶν δὲ πλέθρων σκιὰν ποιοῦντα. εἶχε δὲ καὶ ἡ χώρα ὄφεων πλῆθος, μικρῶν μὲν τοῖς μεγέθεσι, ταῖς δὲ ποικιλίαις ἐξηλλαγμένων. οἱ μὲν γὰρ χαλκοειδεῖς ῥάβδους ἐπέφαινον, οἱ δὲ τὴν λόφην δασεῖαν εἶχον τριχώδη, διὰ δὲ τῶν δηγμάτων ὀξεῖς θανάτους ἀπειργάζοντο. τὸν δὲ πληγέντα πόνοι δεινοὶ συνεῖχον καὶ ῥύσις ἱδρῶτος αἱματοειδοῦς κατεῖχε. διόπερ οἱ Μακεδόνες, δεινῶς ὑπὸ τῶν δηγμάτων ἀπαλλάττοντες, τὰς κλίνας ἀπὸ τῶν δένδρων ἐξήρτων καὶ τὸ πλεῖστον τῆς νυκτὸς διηγρύπνουν. μετὰ δὲ ταῦτα παρὰ τῶν ἐγχωρίων μαθόντες τὴν ἀντιφάρμακον ῥίζαν, ἀπελύθησαν τῶν δεινῶν.

91 Προϊόντος δ' αὐτοῦ μετὰ τῆς δυνάμεως ἧκόν τινες ἀπαγγέλλοντες ὅτι Πῶρος ὁ βασιλεύς, ἀνεψιὸς ὢν τοῦ καταπεπολεμημένου Πώρου, τὴν βασιλείαν ἀπολιπὼν 231 πέφευγεν εἰς τὸ τῶν Γανδαριδῶν ἔθνος. ὁ δ' Ἀλέξανδρος παροξυνθεὶς Ἡφαιστίωνα μὲν ἐξέπεμψεν εἰς τὴν τούτου χώραν μετὰ δυνάμεως, καὶ προςέταξε τὴν βασιλείαν παραδοῦναι τῷ μεθ' ἑαυτοῦ Πώρῳ. αὐτὸς δ' εἰς τὸ τῶν Ἀδρηστῶν καλουμένων ἔθνος στρατεύσας, καὶ τῶν πόλεων ἃς μὲν βίᾳ χειρωσάμενος ἃς δὲ πειθοῖ προςαγαγόμενος, εἰς τὴν τῶν Καθαίων χώραν παρεγένετο. παρὰ δὲ τούτοις νόμιμον ἦν τὰς γυναῖκας τοῖς ἀνδράσι συγκατακαίεσθαι. τοῦτο δ' ἐκυρώθη τὸ δόγμα παρὰ τοῖς βαρβάροις διὰ μίαν γυναῖκα φαρμάκοις ἀνελοῦσαν τὸν ἄνδρα. ὁ δ' ουν βασιλεὺς τὴν μεγίστην καὶ ὀχυρωτάτην πόλιν μετὰ πολλῶν κινδύνων ἐκπολιορκήσας ἐνέπρησεν. ἄλλην δ' ἀξιόλογον πολιορκοῦντος αὐτοῦ, καὶ μεθ' ἱκετηριῶν δεηθέντων τῶν Ἰνδῶν, ἀπέλυσε τῶν κινδύνων

71. Ἐμβίσαρον] Σαβαρσάνην FLQ, Σαβισάρην Q Bas., *Sabisarum* Cospus, Σασαβισάρην Y, Σασαβισάρνην T, margo F 77. περιλαμβανόμενα] περιλαμβανόμενον Q Bas. 78. ποιοῦντα] ποιούντων T Bas. 80. ἐπέφαινον TX Bas., caeteri addunt ἐξομοιοῦσθαι, quod asterisco notavit Stephanus 82. διὰ δὲ L, caeteri διά τε 85. ὑπο τῶν δηγμ. om. TX Bas. ἀπαλλάττοντες] πάσχοντες F 86. ἀπὸ] ὑπὲρ FL 90. δ' F
231. 93. Γανδαριδῶν] Γανδαριτῶν T, Γαγγαριδῶν Bas., Cospus constanter 97. Ἀδρηστῶν L, ἀδρεστῶν F, caeteri Ἀνδρεστῶν 98. καλουμένων Stephanus: libri καλούμενον 99. προςαγαγόμενος] προςαγόμενος Bas. 100. Καθαίων Wesselingius: libri Καθαρῶν 4. δ' οὖν] δ' F



αὐτούς. μετὰ δὲ ταῦτ' ἐστράτευσεν ἐπὶ τὰς ὑπὸ Σωπείθην τεταγμένας πόλεις, εὐνομουμένας καθ' ὑπερβολήν. τά τε γὰρ ἄλλα πρὸς δόξαν πολιτεύονται καὶ τὸ κάλλος παρ' αὐτοῖς τιμιώτατον νενόμισται. διόπερ ἐκ νηπίου παρ' αὐτοῖς τὰ βρέφη διακρίνεται, καὶ τὰ μὲν ἄρτια καὶ τὴν φύσιν ἔχοντα πρὸς εὐπρέπειαν καὶ ἰσχὺν εὔθετον τρέφεται, τὰ δὲ καταδεῆ τοῖς σώμασιν ἀνάξια τροφῆς ἡγούμενοι διαφθείρουσιν. ἀκολούθως δὲ τούτοις καὶ τοὺς γάμους ποιοῦνται προικὸς μὲν καὶ τῆς ἄλλης πολυτελείας ἀφροντιστοῦντες, κάλλους δὲ καὶ τῆς τοῦ σώματος ὑπεροχῆς μόνον φροντίζοντες. διόπερ οἱ πλεῖστοι τῶν ἐν ταύταις ταῖς πόλεσι κατοικούντων διαφέρουσι τῶν ἄλλων ἀξιώμασι. παρὰ δὲ πάντας ὁ βασιλεὺς Σωπείθης περίβλεπτος ὢν ἐπὶ τῷ κάλλει, καὶ τῷ μήκει τοὺς τέτταρας πήχεις ὑπεράγων, προῆλθε μὲν ἐκ τῆς πόλεως τῆς ἐχούσης τὰ βασίλεια, παραδοὺς δ' αὑτὸν καὶ τὴν βασιλείαν Ἀλεξάνδρῳ, πάλιν ταύτην ἀπέλαβε διὰ τὴν τοῦ κρατοῦντος ἐπιείκειαν. ὁ δὲ Σωπείθης μετὰ πολλῆς προθυμίας τὴν μὲν δύναμιν ἅπασαν ἐπί τινας ἡμέρας λαμπρῶς εἱστίασε· τῷ δ' Ἀλεξάνδρῳ πολλὰ καὶ μεγάλα δῶρα παραστήσας κύνας ἔδωκεν ἑκατὸν καὶ πεντήκοντα τοῖς μεγέθεσι καὶ ταῖς ἀλκαῖς καὶ τοῖς ἄλλοις 232 προτερήμασι θαυμαζομένους, οὓς ἔφασαν ταῖς τίγρεσιν ἐπιμεμῖχθαι. βουλόμενος δὲ τὸν Ἀλέξανδρον διὰ τῶν ἔργων λαβεῖν πεῖραν τῆς τῶν κυνῶν ἀρετῆς, εἰςήγαγεν εἴς τι περίφραγμα λέοντα τέλειον, καὶ τῶν δοθέντων κυνῶν δύο τοὺς εὐτελεστάτους προέβαλε τῷ λέοντι· τούτων δὲ κατισχυομένων ὑπὸ τοῦ θηρίου δύο ἑτέρους ἀφῆκε. τῶν δὲ τεττάρων περιγινομένων τοῦ λέοντος, πεμφθείς τις ὑπ' αὐτοῦ μετὰ μαχαίρας ἀφῄρει τὸ δεξιὸν σκέλος ἑνὸς τῶν κυνῶν. τοῦ δὲ βασιλέως ἀναβοήσαντος, καὶ τῶν σωματοφυλάκων προςδραμόντων καὶ τῆς τοῦ Ἰνδοῦ χειρὸς ἐπιλαβομένων, ὁ μὲν Σωπείθης τρεῖς ἀντὶ τούτου δώσειν ἐπηγγείλατο, ὁ δὲ κυνηγὸς ἐπιλαβόμενος τοῦ σκέλους ἔτεμνεν ἡσυχῇ κατ' ὀλίγον. ὁ δὲ κύων οὔτε κλαγγὴν οὔτε μυγμὸν προέμενος, ἀλλὰ τοὺς ὀδόντας ἐμπεπρικώς, ἔμενεν ἕως ὅτου γενόμενος ἔξαιμος ἐναπέθανε τῷ θηρίῳ.

Ἅμα δὲ τούτοις πραττομένοις ἧκεν Ἡφαιστίων μετὰ 93

25. προῆλθε] προῆγε FL τῆς alterum om. Bas. 30. εἱστίασε] ἡστίασε Bas. 32. ἔδωκε post πεντήκοντα ponit F
232. 38. προέβαλε] προςέβαλε FL 40. περιγινομένων] περιγενομένων FL 45. τούτου] τούτων F 47. ἔτεμνεν] ἔτεμεν L

τῆς συναπεσταλμένης δυνάμεως πολλὴν τῆς Ἰνδικῆς καταπεπολεμηκώς, τοῦτον μὲν οὖν διὰ τὰς ἀνδραγαθίας ἐπήνεσεν· αὐτὸς δὲ εἰς τὴν Φηγέως δυναστείαν ἐμβαλών, καὶ τῶν ἐγχωρίων ἀσμένως τὴν τῶν Μακεδόνων παρουσίαν προςδεξαμένων, καὶ τοῦ Φηγέως μετὰ δώρων πολλῶν ἀπαντήσαντος, τήν τε βασιλείαν ἔχειν συνεχώρησε καὶ ξενισθεὶς μετὰ τῆς δυνάμεως ἐπὶ δύο ἡμέρας λαμπρῶς ἐπὶ τὸν Ὕπανιν ποταμὸν προῆγεν, οὗ τὸ μὲν πλάτος ἦν σταδίων ἑπτά, τὸ δὲ βάθος ἓξ ὀργυιῶν, τὸ δὲ ῥεῦμα σφοδρὸν καὶ δυςδιάβατον. ἀκούσας δὲ τοῦ Φηγέως περὶ τῆς πέραν τοῦ Ἰνδοῦ ποταμοῦ χώρας ὅτι δώδεκα μὲν ἡμερῶν ἔχει δίοδον ἔρημον, μετὰ δὲ ταύτην εἶναι ποταμὸν τὸν ὀνομαζόμενον Γάγγην, τὸ μὲν πλάτος τριάκοντα καὶ δυοῖν σταδίων, τὸ δὲ βάθος μέγιστον τῶν κατὰ τὴν Ἰνδικήν, πέραν δὲ τούτου κατοικεῖν τό τε τῶν Πραισίων καὶ Γανδαριδῶν ἔθνος, τούτων δὲ βασιλεύειν Ξανδράμην, ἔχοντα διςμυρίους μὲν ἱππεῖς, πεζῶν δὲ εἴκοσι μυριάδας, ἅρματα δὲ διςχίλια, ἐλέφαντας δὲ πολεμικῶς κεκοσμημένους τετρακιςχιλίους, ἀπιστήσας δὲ τοῖς λεγομένοις, προςεκαλέσατο τὸν Πῶρον, καὶ περὶ τῶν προςαγγελλομένων τἀκριβὲς διεπυνθάνετο. ὁ δὲ τἄλλα μὲν ὑπάρχειν ἅπαντα ἀληθῆ διεβεβαιοῦτο, τὸν δὲ βασιλέα τῶν Γανδαριδῶν ἔφησεν εὐτελῆ παντελῶς εἶναι καὶ ἄδοξον, ὡς ἂν κουρέως υἱὸν νομιζόμενον εἶναι. εὐ- 233
πρεπῆ γὰρ ὄντα τὸν τούτου πατέρα μεγάλως ὑπὸ τῆς βασιλίσσης ἀγαπηθῆναι· καὶ τοῦ βασιλέως διὰ τῆς γυναικὸς δολοφονηθέντος εἰς τοῦτον περιστῆναι τὴν βασιλείαν. ὁ δ' Ἀλέξανδρος, καίπερ ὁρῶν δυςεπίτευκτον τὴν ἐπὶ τοὺς Γανδαρίδας στρατείαν οὖσαν, ὅμως οὐκ ἀφίστατο τῆς φιλοτιμίας, ἀλλὰ πιστεύων ταῖς τῶν Μακεδόνων ἀρεταῖς καὶ τοῖς χρησμοῖς, ἐλπίδας εἶχε κρατήσειν τῶν βαρβάρων· τὴν μὲν γὰρ Πυθίαν ἀνίκητον αὐτὸν ὠνομακέναι, τὸν δ' Ἄμμωνα συγκεχωρηκέναι τὴν ἁπάσης τῆς γῆς ἐξουσίαν.

94 Ὁρῶν δὲ τοὺς στρατιώτας ταῖς συνεχέσι στρατείαις

53. τοῦτον] καὶ τοῦτον F omisso οὖν  ... τὰς] τῆς Bas.  60. Ὕπανιν L, ὕπασιν F, caeteri Ὕφασιν  ... οὗ τὸ μὲν πλάτος] οὗτος δὲ τὸ πλάτος μὲν L et omisso μὲν F  68. κατοικεῖν] κἀκεῖν Y  Πραισίων Wesselingius, Βρεσίων L, ταβραισίων caeteri  70. δὲ prius om. Bas.  75. ὑπάρχειν ἅπαντα] ἅπαντα ὑπάρχειν L, πάντα ὑπάρχειν F  76. εὐτελῆ] πανευτελῆ F  77. εἶναι] τὸν F

233. 78. εὐπρεπῆ] ἐκπρεπῆ FL  84. πιστεύων Rhodomannus, confisus Cospus, libri πρωτεύων  87. τῆς γῆς ἐξουσίαν] τῆς ἡγεμονίας F, et in marg. γρ. τῆς γῆς  89. στρατείαις] στρατιαῖς L



καταπεπονημένους καὶ σχεδὸν ὀκταέτη χρόνον ἐν πόνοις καὶ κινδύνοις τεταλαιπωρηκότας, ὑπέλαβεν ἀναγκαῖον εἶναι τὰ πλήθη τοῖς ἁρμόζουσι λόγοις προτρέψασθαι πρὸς τὴν ἐπὶ τοὺς Γανδαρίδας στρατείαν. πολλὴ μὲν γὰρ φθορὰ τῶν στρατιωτῶν ἐγεγόνει, καὶ λύσις οὐδεμία τῶν πολέμων ἠλπίζετο· καὶ τῶν μὲν ἵππων διὰ τὴν συνέχειαν τῆς ὁδοιπορίας τὰς ὁπλὰς ὑποτετρῖφθαι συνέβαινε, τῶν δὲ ὅπλων τὰ πλεῖστα κατεξάνθαι, καὶ τὸν μὲν Ἑλληνικὸν ἱματισμὸν ἐκλελοιπέναι, συναναγκάζεσθαι δὲ βαρβαρικοῖς ὑφάσμασι χρῆσθαι συντεμόντας τὰ τῶν Ἰνδῶν περιβλήματα. κατὰ τύχην δὲ καὶ χειμῶνες ἄγριοι κατεῤῥάγησαν ἐφ' ἡμέρας ἑβδομήκοντα καὶ βρονταὶ συνεχεῖς καὶ κεραυνοὶ κατέσκηπτον. ἃ δὴ λογιζόμενος ἐναντιοῦσθαι ταῖς ἰδίαις ἐπιβολαῖς, μίαν εἶχεν ἐλπίδα τῆς ἐπιθυμίας, εἰ τοὺς στρατιώτας διὰ τῆς εὐεργεσίας εἰς εὔνοιαν μεγάλην προσαγάγοιτο. διόπερ λεηλατεῖν μὲν αὐτοῖς συνεχώρησε τὴν παραποταμίαν χώραν, γέμουσαν παντοίας ὠφελείας. ἐν αἷς δ' ἡμέραις ἡ δύναμις περὶ τὴν προνομὴν ἠσχολεῖτο, συναγαγὼν τὰς γυναῖκας τῶν στρατιωτῶν καὶ τοὺς ἐξ αὐτῶν γεγονότας παῖδας, ταύταις μὲν συνεστήσατο κατὰ μῆνα διδόναι σῖτον, τοῖς δὲ παισὶν ἐπιφορὰς ταγματικὰς ἀπένειμε κατὰ τοὺς τῶν πατέρων συλλογισμούς. ὡς δ' ἐπανῆλθον οἱ στρατιῶται πολλῶν πλῆθος ἀγαθῶν ἐκ τῆς προνομῆς εὑρηκότες, συνῆγε πάντας εἰς ἐκκλησίαν. διελθὼν δὲ λόγον πεφροντισμένον περὶ τῆς ἐπὶ τοὺς Γανδαρίδας στρατείας, καὶ τῶν Μακεδόνων οὐδαμῶς συγκαταθεμένων, ἀπέστη τῆς ἐπιβολῆς.

95 Κρίνας δ' ἐπὶ ταύτης τοὺς ὅρους θέσθαι τῆς στρα-
234 τείας, πρῶτον μὲν τῶν δώδεκα θεῶν βωμοὺς πεντήκοντα πηχῶν ᾠκοδόμησεν, ἔπειτα τριπλασίαν τῆς προϋπαρχούσης στρατοπεδείαν περιβαλόμενος ὤρυξε τάφρον τὸ μὲν πλάτος πεντήκοντα ποδῶν, τὸ δὲ βάθος τετταράκοντα· τὴν δ' ἀναβολὴν ἐντὸς τῆς τάφρου σωρεύσας τεῖχος ἀξιόλογον ᾠκοδόμησε. προςέταξε δὲ τοῖς μὲν πεζοῖς κατασκηνώσεις ἑκάστῳ δύο στιβάδας πενταπήχεις οἰκοδομῆσαι, τοῖς δ' ἱππεῦσι πρὸς ταύταις καὶ δύο φάτνας

90. libri ὀκταετῆ  3. συνεχεῖς] συχνεῖς Bas.  6. διὰ τῆς L, caeteri διὰ τὰς  ... προσαγάγοιτο] libri προςαγάγοιτο  8. παραποταμίαν FLQ, caeteri cum marg. F πολεμίαν  9. ἐν αἷς δ'] ἐν δ' αἷς Bas.  περὶ Wesselingius: libri ἐπὶ: conf. ad p. 168. 84.  18. Μακεδόνων] στρατιωτῶν FLQ  20. θέσθαι τοὺς ὅρους F

234. 23. στρατοπεδείαν] στρατοπεδείας F  24. μὲν om. F  25. τετταράκοντα F, caeteri τεσσαράκοντα, μ Bas.  28. τοῖς δ' ἱππεῦσι] ἱππεῦσι δὲ F

τῶν εἰθισμένων διπλασίας, ἀκολούθως δὲ καὶ τἄλλα τὰ καταλείπεσθαι μέλλοντα τοῖς μεγέθεσιν αὐξῆσαι. ταῦτα δὲ πράττειν ἤμελλεν, ἅμα μὲν ἡρωικὴν βουλόμενος ποιήσασθαι στρατοπεδείαν, ἅμα δὲ τοῖς ἐγχωρίοις ἀπολιπεῖν σημεῖα μεγάλων ἀνδρῶν ἀποφαίνοντα ῥώμας σωμάτων ὑπερφυεῖς. ἀπὸ δὲ τούτων γενόμενος μετὰ πάσης τῆς δυνάμεως ταῖς αὐταῖς ὁδοῖς πορευθεὶς ἀνέκαμψεν ἐπὶ τὸν Ἀκεσίνην ποταμόν· καταλαβὼν δὲ τὰ σκάφη νεναυπηγημένα, καὶ ταῦτα καταρτίσας, ἕτερα προσεναυπηγήσατο. κατὰ δὲ τοῦτον τὸν χρόνον ἧκον ἐκ τῆς Ἑλλάδος σύμμαχοι καὶ μισθοφόροι διὰ τῶν στρατηγῶν ἡγμένοι πεζοὶ μὲν πλείους τρισμυρίων, ἱππεῖς δ' οὐ πολὺ λείποντες τῶν ἑξακισχιλίων, ἐκομίσθησαν δὲ καὶ πανοπλίαι διαπρεπεῖς πεζοῖς μὲν δισμυρίοις καὶ πεντακισχιλίοις, φαρμάκων δ' ἰατρικῶν ἑκατὸν τάλαντα. ταῦτα μὲν οὖν διέδωκε τοῖς στρατιώταις. τῆς δὲ ναυτικῆς παρασκευῆς συντελεσθείσης, καὶ διακοσίων μὲν ἀφράκτων ἡτοιμασμένων, ὀκτακοσίων δὲ ὑπηρετικῶν, τὰς μὲν παρὰ τὸν ποταμὸν κτισθείσας πόλεις ὠνόμασε, τὴν μὲν διὰ τὸ τῷ πολέμῳ κρατῆσαι Νίκαιαν, τὴν δ' ἀπὸ τοῦ τελευτήσαντος ἵππου κατὰ τὴν πρὸς Πῶρον μάχην Βου-
96 κεφάλαν, αὐτὸς δὲ μετὰ τῶν φίλων ἐμβὰς εἰς τὰς ναῦς τὸν διὰ τοῦ ποταμοῦ πλοῦν ἐπὶ τὸν Ὠκεανὸν τὸν κατὰ μεσημβρίαν ἐποιεῖτο. τὸ δὲ πολὺ μέρος τῆς δυνάμεως παρὰ τὸν ποταμὸν ὡδοιπόρει προηγουμένου Κρατεροῦ καὶ Ἡφαιστίωνος. ὡς δ' ἦλθον ἐπὶ τὴν Ἀκεσίνου καὶ Ὑδάσπου συμβολήν, ἐκβιβάσας τοὺς στρατιώτας προῆγεν ἐπὶ τοὺς ὀνομαζομένους Σίβους. τούτους δέ φασιν ἀπογόνους εἶναι τῶν μεθ' Ἡρακλέους ἐπὶ τὴν Ἄορνον πέτραν στρατευσάντων, καὶ τῆς μὲν πολιορκίας ἀποτυχόντων, ἐν τούτῳ δὲ τῷ τόπῳ κατοικισθέντων ὑφ' Ἡρακλέους. τοῦ δ' Ἀλεξάνδρου καταστρατοπεδεύσαντος πλησίον ἐπιφανεστάτης πόλεως, προῆλθον οἱ τῇ δόξῃ πρωτεύοντες τῶν πολιτῶν. ἐντυχόντες δὲ τῷ βασιλεῖ καὶ

29. ἠθισμένων Bas. 32. ἤμελλεν] ἔμελλεν F deleto βουλόμενος scribendum fortasse πράττων 34. ἀπολείπειν F 35. ῥώμας — ὑπερφυεῖς TY Bas., ῥώμη — ὑπερφυεῖς FL, caeteri ῥώμην — ὑπερφυῆ 37. ὁδοῖς πορευθεὶς] ὁδοιπορίαις L, οἰδοπορίαις F 38. νεναυπηγημένα] ἐναυπηγημένα Bas. 39. καταρτίσας] καταρτήσας FL 50. διὰ τὸ τῷ FL, caeteri διὰ τῷ 51. Νίκαιαν] Νικαίαν omnes 52. Πῶρον] πώρον F Βουκεφάλαν] Bucephaleam Cospus 55. ποταμοῦ] Ἰνδοῦ ποταμοῦ p. 158. 14. 57. ὡδοιπόρει] ὡδοιπόρουν FL 58. Κρατεροῦ omnes 60. Σίβους Salmasius aliique: libri Ἴβους 62. ἄορνον] ἄορνιν FL μὲν om. F 66. τῇ om. Bas.



τὴν συγγένειαν ἀνανεωσάμενοι, πάντα ποιήσειν ἔφασαν
235 μετὰ προθυμίας, ὡς ἂν συγγενεῖς ὄντες, καὶ δῶρα προσεκόμισαν μεγαλοπρεπῆ. ὁ δὲ Ἀλέξανδρος ἀποδεξάμενος αὐτῶν τὴν εὔνοιαν, καὶ τὰς πόλεις ἀποδείξας ἐλευθέρας, προῆγεν ἐπὶ τὰ συνορίζοντα τῶν ἐθνῶν. καταλαβὼν δὲ τοὺς ὀνομαζομένους Ἀγαλασσεῖς ἠθροικότας πεζοὺς μὲν τετρακισμυρίους, ἱππεῖς δὲ τρισχιλίους, συνάψας αὐτοῖς μάχην καὶ νικήσας, τοὺς μὲν πλείστους κατέκοψε, τοὺς δὲ λοιποὺς συμφυγόντας εἰς τὰς πλησίον πόλεις ἐκπολιορκήσας ἐξηνδραποδίσατο. τῶν δὲ ἄλλων ἐγχωρίων συναθροισθέντων, δισμυρίους μὲν καταφυγόντας εἰς πόλιν μεγάλην κατὰ κράτος εἷλε· τῶν δ' Ἰνδῶν διαφραξάντων τοὺς στενωπούς, καὶ ἀπὸ τῶν οἰκιῶν μαχομένων εὐρώστως, βιαζόμενος ἀπέβαλε τῶν Μακεδόνων οὐκ ὀλίγους. διὰ δὲ τὴν ὀργὴν ἐμπρήσας τὴν πόλιν συγκατέκαυσε τοὺς πλείστους· τῶν δ' ἐγχωρίων τῶν ὑπολειπομένων εἰς τρισχιλίους συμφυγόντας εἰς τὴν ἀκρόπολιν καὶ μεθ' ἱκετηριῶν δεηθέντας ἀπέλυσεν. αὐτὸς δὲ πά- 97
λιν μετὰ τῶν φίλων ἐμβὰς εἰς τὰς ναῦς διὰ τοῦ ποταμοῦ τὸν πλοῦν ἐποιεῖτο μέχρι τῆς συμβολῆς τῶν προειρημένων ποταμῶν καὶ τοῦ Ἰνδοῦ. μεγάλων δὲ ῥείθρων εἰς ἕνα τόπον συῤῥαττόντων ἴλιγγες πολλαὶ καὶ φοβεραὶ συνίσταντο, καὶ τὰ σκάφη συστρέφουσαι διέφθειρον. τῆς δὲ τοῦ ῥεύματος βίας ὀξείας καὶ σφοδρᾶς οὔσης, καὶ τῆς τῶν κυβερνητῶν τέχνης κατισχυομένης, δύο μὲν μακραὶ ναῦς κατέδυσαν, τῶν δὲ ἄλλων πλοίων οὐκ ὀλίγα πρὸς τὴν γῆν ἐξέπεσε. τῆς δὲ ναυαρχίδος καταῤῥάκτῃ μεγάλῳ περιπεσούσης, ὁ βασιλεὺς εἰς τὸν ἔσχατον ἦλθε κίνδυνον. διὸ καὶ τοῦ θανάτου πρὸ ὀφθαλμῶν ὄντος, ὁ μὲν Ἀλέξανδρος ἀποθέμενος τὴν ἐσθῆτα γυμνῷ τῷ σώματι τῆς ἐνδεχομένης ἀντείχετο βοηθείας· οἱ δὲ φίλοι παρενήχοντο, σπεύδοντες ὑποδέξασθαι περιτρεπομένης τῆς νεὼς τὸν βασιλέα. πολλῆς δὲ ταραχῆς περὶ τὴν ναῦν οὔσης, καὶ τῶν μὲν ἀνδρῶν ἀντιταττομένων τῇ τοῦ ῥεύματος βίᾳ, τοῦ δὲ ποταμοῦ κατισχύοντος πᾶσαν ἀνθρωπίνην ἐπίνοιάν τε καὶ δύναμιν, μόγις ὁ Ἀλέξαν-

235. 74. πεζοὺς] στρατιώτας F, illud γρ. in margine ponens 77. συμφυγόντας] συμφευγόντας F τὰς πλησίον FLT Bas., Cospus, caeteri τὰ σπήλαια καὶ εἰς praeponunt, quae asterisco notavit Stephanus 85. τῶν alterum om. Bas. 87. δεηθέντας] δεηθέντων F 93. συστρέφουσαι] στρέφουσαι FL 95. τέχνης] τύχης Bas. 99. ἦλθε post κίνδυνον ponit F κίνδυνον] κινδύνου L 1. γυμνῷ] γυμνὸς FL 3. ὑποδέξασθαι] δέξασθαι T Bas. 7. μόγις] μόλις FL

δρος μετὰ τῶν νεῶν εἰς τὴν γῆν ἐξέπεσε. σωθεὶς δὲ παραδόξως τοῖς θεοῖς ἔθυσεν, ὡς μεγίστους ἐκπεφευγὼς κινδύνους καὶ πρὸς ποταμὸν ὁμοίως Ἀχιλλεῖ διαγωνισάμενος.

98 Μετὰ δὲ ταῦτα στρατεύσας ἐπὶ Ὀξυδράκας καὶ τοὺς ὀνομαζομένους Μαλλούς, ἔθνη πολυάνθρωπα καὶ μάχιμα, κατέλαβε τοὺς ἐγχωρίους ἠθροικότας πεζοὺς μὲν πλείους τῶν ὀκτακισμυρίων, ἱππεῖς δὲ μυρίους, ἅρματα δ' ἑπτακόσια. οὗτοι πρὸ μὲν τῆς Ἀλεξάνδρου 236 παρουσίας ἐπολέμουν ἀλλήλοις, ὡς δ' ὁ βασιλεὺς ἤγγισε τῇ χώρᾳ, συνεφρόνησαν, καὶ μυρίας παρθένους δόντες καὶ λαβόντες διὰ τῆς ἐπιγαμίας ταύτης διηλλάγησαν. οὐ μὴν συγκατέβησαν εἰς παράταξιν, ἀλλὰ πάλιν στασιάσαντες ὑπὲρ τῆς ἡγεμονίας εἰς τὰς σύνεγγυς πόλεις ἀπεχώρησαν. ὁ δ' Ἀλέξανδρος τῇ πρώτῃ πόλει πλησιάσας, ἐξ ἐφόδου διενοεῖτο πολιορκεῖν ταύτην. ἔνθα δὴ τῶν τερατοσκόπων τις Δημοφῶν ὄνομα προσελθὼν αὐτῷ διά τινων οἰωνῶν ἔφη προδηλοῦσθαι τῷ βασιλεῖ μέγαν κίνδυνον ἐκ τραύματος ἐσόμενον ἐν τῇ πολιορκίᾳ. διόπερ ἠξίου τὸν Ἀλέξανδρον ἀφεῖναι μὲν ταύτην τὴν πόλιν ἐπὶ τοῦ παρόντος, ἐφ' ἑτέρας δὲ πράξεις ἐπιβάλλειν τὸν νοῦν. ὁ δὲ βασιλεὺς τούτῳ μὲν ἐπέπληξεν ὡς ἐμποδίζοντι τὴν ἀρετὴν τῶν ἀγωνιζομένων, αὐτὸς δὲ διατάξας τὰ περὶ τὴν πολιορκίαν πρῶτος ἡγεῖτο πρὸς τὴν πόλιν, φιλοτιμούμενος αὐτὴν διὰ τῆς βίας χειρώσασθαι. τῶν δὲ μηχανικῶν ὀργάνων ὑστερούντων, πρῶτος διακόψας πυλίδα καὶ παρεισπεσὼν εἰς τὴν πόλιν, πολλοὺς μὲν κατέβαλε, τοὺς δὲ λοιποὺς τρεψάμενος συνεδίωξεν εἰς τὴν ἀκρόπολιν. τῶν δὲ Μακεδόνων περὶ τὴν τειχομαχίαν ἔτι διατριβόντων, ἁρπάσας κλίμακα καὶ τοῖς τῆς ἄκρας τείχεσι προσερείσας καὶ τὴν πέλτην ὑπὲρ τῆς κεφαλῆς ἔχων προσανέβαινε. τῆς δὲ κατὰ τὴν ἐνέργειαν ὀξύτητος φθανούσης τοὺς προμαχομένους τῶν βαρβάρων, ταχέως ἐπέβη τῷ τείχει. τῶν δ' Ἰνδῶν εἰς χεῖρας μὲν ἐλθεῖν οὐ τολμώντων, ἐκ διαστήματος δὲ ἀκοντιζόντων καὶ τοξευόντων, ὁ μὲν βασιλεὺς ὑπὸ τοῦ πλήθους τῶν βελῶν κατεπονεῖτο, οἱ δὲ Μακεδόνες δύο κλίμακας προσθέντες, διὰ τούτων προσανέβαινον ἀθρόοι, καὶ συν-

12. στρατεύσας] στρατοπεδεύσας F Ὀξυδράκας Cospus, συρακούσσας F, caeteri Συρακούσας, quod notavit Stephanus
16. δ' F
236. 17. ἀλλήλοις] ἀλλήλους F 23. δ' Bas.
28. ἠξίου FL, caeteri ἠξίουν 31. ἐμποδίζοντι] ἐμποδὼν γινομένῳ πρὸς FLQ 48. δύο κλίμακας] κλίμακας L
49. ἀθρόοι om. Bas., asterisco notavit Stephanus



τριβεισῶν ἀμφοτέρων ἐπὶ τὴν γῆν κατηνέχθησαν. 99 ὁ δὲ βασιλεὺς ἐρημωθεὶς πάσης βοηθείας ἐτόλμησεν ἐπιτελέσαι πρᾶξιν παράδοξον καὶ μνήμης ἀξίαν. τὸ γὰρ ἀπὸ τοῦ τείχους ἀπελθεῖν ἄπρακτον πρὸς τοὺς ἰδίους ἀνάξιον κρίνας ὑπάρχειν τῆς ἰδίας εὐπραξίας, καθήλατο μετὰ τῶν ὅπλων μόνος εἰς τὴν πόλιν. συνδραμόντων δ' ἐπ' αὐτὸν τῶν Ἰνδῶν ὑπέστη τεθαῤῥηκότως τὴν τῶν βαρβάρων ἐπιφοράν· προβαλλόμενος δ' ἐκ τῶν δεξιῶν δένδρον τι παρ' αὐτὸ τὸ τεῖχος ἐῤῥιζωμένον, ἐκ δὲ τῶν εὐωνύμων αὐτὸ τὸ τεῖχος, ἠμύνετο τοὺς Ἰνδούς, τούτῳ τῷ θυμῷ παραστὰς ὡς ἂν τις βασιλεὺς τηλικούτων ἤδη κατειργασμένων ἀνδραγαθήσειε τὴν ἐσχάτην τοῦ βίου καταστροφὴν εὐκλεεστάτην γενέσθαι φιλοτιμούμενος. πολ- 237 λὰς μὲν γὰρ εἰς τὸ κράνος ἐλάμβανε πληγάς, οὐκ ὀλίγας δὲ εἰς τὴν πέλτην ἐδέχετο· τέλος δὲ τοξευθεὶς ὑπὸ τὸν μαστὸν ἔπεσεν εἰς τὸ γόνυ, κατισχυθεὶς ὑπὸ τῆς πληγῆς. εὐθὺς δ' ὁ μὲν τοξεύσας Ἰνδὸς καταφρονήσας προσέδραμε, καὶ καταφέροντος αὐτοῦ πληγὴν ὁ Ἀλέξανδρος ὑπέθηκε τῇ λαγόνι τὸ ξίφος, καὶ καιρίου γενομένου τοῦ τραύματος ὁ μὲν βάρβαρος ἔπεσεν, ὁ δὲ βασιλεὺς ἐπιλαβόμενος τοῦ πλησίον κλάδου καὶ διαναστάς, προεκαλεῖτο τῶν Ἰνδῶν τοὺς βουλομένους διαγωνίσασθαι. κατὰ δὲ τοῦτον τὸν χρόνον Πευκέστης, εἷς τῶν ὑπασπιστῶν, δι' ἑτέρας κλίμακος προσαναβὰς πρῶτος ὑπερήσπισε τὸν βασιλέα· μετὰ δὲ τοῦτον ἕτεροι πλείους ἐπιφανέντες, καὶ καταπληξάμενοι τοὺς βαρβάρους, διέσωσαν τὸν Ἀλέξανδρον. τῆς δὲ πόλεως ἁλούσης κατὰ κράτος, οἱ μὲν Μακεδόνες διὰ τὸν ὑπὲρ τοῦ βασιλέως θυμὸν πάντας τοὺς περιτυχόντας ἀνῄρουν, καὶ τὴν πόλιν νεκρῶν ἐπλήρωσαν. ἐπὶ πολλὰς δὲ ἡμέρας τοῦ βασιλέως ἀσχοληθέντος περὶ τὴν θεραπείαν, οἱ κατὰ τὴν Βακτριανὴν καὶ Σογδιανὴν κατοικισθέντες Ἕλληνες ἐκ πολλοῦ μὲν τὸν ἐν τοῖς βαρβάροις κατοικισμὸν χαλεπῶς ἔφερον, τότε δὲ φήμης προσπεσούσης αὐτοῖς ὅτι τρωθεὶς ὁ βασιλεὺς τετελεύτη-

54. εὐπραξίας] εὐδοξίας FL 55. μόνος om. Bas., asterisco notavit Stephanus 55. καθήλατο] καθήλλατο Bas.
56. τεθαῤῥηκότως] τεθαῤῥηκὼς L et qui ότως supra ponit F
57. προβαλλόμενος] προβαλόμενος F 58. δένδρον τι παρ' αὐτὸ] δένδρον ὃ ἦν παρὰ τὸ FL 59. ἠμύνετο τοὺς Ἰνδούς.] ἠμύνετο. τοὺς δ' Ἰνδοὺς κατέπληξε FL 63. τὸ om. Bas.
237. 65. τέλος T Bas., τὸ δὲ τέλος F, caeteri τὸ τέλος
66. τὸ om. Bas. εὐθὺ F 75. ὑπερήσπισε] ὑπερεφάνη πρὸς L et correctus in marg. F 76. ἐπιφανέντες] ἀναφανέντες L 81. ἐπλήρωσαν FLTY, caeteri ἐπλήρουν

κεν, ἀπέστησαν ἀπὸ τῶν Μακεδόνων. ἀθροισθέντες δὲ εἰς τρισχιλίους, κατὰ τὴν εἰς οἶκον ἀνακομιδὴν πολλὰ πονήσαντες ὕστερον ὑπὸ τῶν Μακεδόνων κατεκόπησαν μετὰ τὴν Ἀλεξάνδρου τελευτήν.

**100** Ὁ δὲ Ἀλέξανδρος διασωθεὶς ἐκ τοῦ τραύματος, καὶ θύσας τοῖς θεοῖς σωτήρια, μεγάλας ἑστιάσεις τῶν φίλων ἐποιεῖτο. παρὰ δὲ τὸν πότον ἴδιόν τι συνέβη γενέσθαι καὶ μνήμης ἄξιον. ἐν γὰρ τοῖς ἑταίροις παραληφθείς τις Μακεδών, ὄνομα Κόραγος, ῥώμῃ σώματος διαφέρων καὶ πολλάκις ἐν ταῖς μάχαις ἠνδραγαθηκώς, παροξυνθεὶς ὑπὸ τῆς μέθης προεκαλέσατο μονομαχῆσαι Διώξιππον τὸν Ἀθηναῖον, ἀθλητὴν ἄνδρα καὶ ταῖς ἐπιφανεστάταις νίκαις ἐστεφανωμένον. τῶν δὲ παρακεκλημένων ἐπὶ τὸν πότον, ὡς εἰκός, συνεπιλαβομένων τῆς φιλοτιμίας, καὶ τοῦ μὲν Διωξίππου συγκαταθεμένου, τοῦ δὲ βασιλέως ἡμέραν τῆς μάχης τάξαντος, ὡς ὁ τῆς μονομαχίας χρόνος ἧκε, πολλαὶ μυριάδες ἀνδρῶν συνήχθησαν ἐπὶ τὴν θέαν. καὶ τῶν μὲν Μακεδόνων ὁμοεθνῶν ὄντων τῷ Κοράγῳ, καὶ τοῦ βασιλέως συμφιλοτιμουμένου, τῶν δὲ Ἑλλήνων τῷ Διωξίππῳ συναγωνιώντων, προῆλθεν εἰς τὸν ἀγῶνα ὁ μὲν Μακεδὼν πολυτελέσιν ὅπλοις κεκοσμημένος, ὁ δ' Ἀθηναῖος γυμνὸς ὑπαληλιμμένος, ἔχων πῖλον σύμμετρον. ἀμφοτέρων δὲ τῇ τε τοῦ σώματος ῥώ- 238 μῃ καὶ τῇ τῆς ἀλκῆς ὑπεροχῇ θαυμαζομένων, οἱονεί τις θεομαχία μέλλουσα γίνεσθαι προσεδοκήθη. ὁ μὲν γὰρ Μακεδὼν διά τε τὴν φύσιν τοῦ σώματος καὶ τὴν λαμπρότητα τῶν ὅπλων μεγάλην ἐπιφέρων κατάπληξιν Ἄρει παρεμφερὴς ὑπελαμβάνετο, ὁ δὲ Διώξιππος ὑπερέχων τε τῇ ῥώμῃ, καὶ διὰ τὴν ἐκ τῆς ἀθλήσεως μελέτην, ἔτι δὲ διὰ τὴν περὶ τὸ ῥόπαλον ἰδιότητα, τὴν πρόσοψιν Ἡρακλεωτικὴν εἶχεν. ὡς δ' ἐπῆγον ἀλλήλοις, ὁ μὲν Μακεδὼν ἐκ συμμέτρου διαστήματος λόγχην ἠκόντισεν, ὁ δ' ἕτερος βραχὺ παρεγκλίνας τὴν ἐπιφερομένην πληγὴν ἐξένευσεν. εἶθ' ὁ μὲν τὴν Μακεδονικὴν σάρισαν προβεβλημένος ἐπεπορεύετο, ὁ δ' ἐγγίσαντος αὐτοῦ τῷ ῥοπάλῳ πατάξας τὴν σάρισαν ἀπέθραυσεν. ὁ δὲ δυσὶν ἐλαττώμασι περιπεσὼν ἐπὶ τὴν ἀπὸ τοῦ ξίφους μάχην κατήντησε. μέλλοντος δ' αὐτοῦ σπᾶσθαι τὴν μάχαιραν, ἔφθασε προπηδήσας, καὶ τῇ μὲν εὐωνύμῳ κατέλαβε τὴν ἕλκουσαν τὸ ξίφος χεῖρα, τῇ δ' ἄλλῃ κινήσας ἐκ τῆς βάσεως τὸν ἀντίπαλον ὑπέσυρε τὰ σκέλη. ῥιφέντος δ' ἐπὶ τὴν γῆν, ἐπιβὰς ἐπὶ τὸν τράχηλον τῷ ποδὶ καὶ τὸ ῥόπαλον **101** ἀνατεινάμενος ἀνέβλεψε πρὸς τοὺς θεωμένους. ἀναβοήσαντος δὲ τοῦ πλήθους διά τε τὸ παράδοξον καὶ τὴν ὑπερβολὴν τῆς ἀνδραγαθίας, ὁ μὲν βασιλεὺς προσέταξεν ἀφεῖναι, καὶ τὴν θέαν διαλύσας ἀπηλλάγη, δυσφορῶν ἐπὶ τῇ τοῦ Μακεδόνος ἥττῃ. ὁ δὲ Διώξιππος ἀφεὶς τὸν πεπτωκότα καὶ περιβόητον νίκην ἀπενεγκάμενος, ἀπῄει ταινιούμενος ὑπὸ τῶν ὁμοφύλων, ὡς κοινὴν πᾶσι τοῖς Ἕλλησι παρεσχημένος εὐδοξίαν. οὐ μὴν ἡ τύχη γε εἴασεν ἐπὶ πολὺν χρόνον καυχήσασθαι τὸν ἄνδρα τῇ νίκῃ. ὅ τε γὰρ βασιλεὺς ἀλλοτριώτερον ἀεὶ διετέθη πρὸς αὐτόν, οἵ τε φίλοι τοῦ Ἀλεξάνδρου καὶ πάντες οἱ περὶ τὴν αὐλὴν Μακεδόνες, φθονοῦντες αὐτοῦ τῇ ἀρετῇ, ἔπεισαν μὲν τὸν ἐπὶ τῆς διακονίας τεταγμένον ὑποβαλεῖν ὑπὸ τὸ προσκεφάλαιον χρυσοῦν ποτήριον, αὐτοὶ δὲ κατὰ τὸν ἑξῆς πότον καταιτιασάμενοι κλοπὴν καὶ ποτήριον εὑρηκέναι προσποιηθέντες, εἰς αἰσχύνην καὶ ἀδοξίαν ἤγαγον τὸν Διώξιππον. ὁ δὲ θεωρῶν τὴν ἐπ' αὐτὸν συνδρομὴν τῶν Μακεδόνων, τότε μὲν ἐξῆλθεν ἐκ τοῦ πότου, μετ' ὀλίγον δὲ ἐπὶ τὴν ἰδίαν κατάλυσιν παραγενόμενος, καὶ γράψας πρὸς τὸν Ἀλέξανδρον ἐπιστολὴν περὶ τῶν καθ' αὐτοῦ μεμηχανημένων, ταύτην μὲν ἐνετείλατο τοῖς ἰδίοις δοῦναι τῷ βασιλεῖ, αὑτὸν δ' ἐκ τοῦ ζῆν μετέστησεν, ἀβούλως μὲν εἰς τὴν μονομαχίαν συγκαταβάς, πολὺ δ' ἀφρονεστέραν τὴν τοῦ βίου καταστροφὴν ποιησάμενος. διὸ καὶ πολλοὶ τῶν καταμεμφομένων αὐτοῦ τὴν 239 ἄνοιαν ἐπιπλήττοντες ἔφασαν χαλεπὸν εἶναι δύναμιν μὲν σώματος ἔχειν μεγάλην, νοῦν δὲ μικρόν. ὁ δὲ βασιλεὺς ἀναγνοὺς τὴν ἐπιστολὴν χαλεπῶς ἤνεγκεν ἐπὶ τῇ τἀνδρὸς τελευτῇ, καὶ πολλάκις ἐπεζήτησε τὴν ἀρετὴν αὐτοῦ, καὶ παρόντι μὲν οὐ χρησάμενος, ἀπόντα

**94.** ἰδιόν τι] ἴδιον L  **98.** μέθης] μάχης F  **2.** συγκαταθεμένου FL, caeteri συγκατατιθεμένου  **3.** τῆς μάχης] τῇ μάχῃ FL  **6.** μὲν om. F  **8.** συναγωνιώντων] συναγωνιζόντων Bas.  **8.** προῆλθεν] προῆλθον F

α λει

**10.** ὑπαληλιμμένος] ὑπηλιμμένος F, i. e. ὑπηλειμμένος, caeteri ὑπαληλειμμένος  πῖλον] serto Cospus, ῥόπαλον Hemsterhusius

[ **238.** **17.** τε om. F  **24.** σάρισαν T, σάρεισαν F et **26.** σάρισαν F, caeteri σάρισσαν

**31.** ὑπέσυρε] ἐπέσυρε Q Bas.  **32.** τὴν γῆν] γῆν FL

**33.** ἀνατεινάμενος] ἀνατεινόμενος Bas.  **34.** πρὸς FL, caeteri ἐπὶ  θεωμένους] θεωρουμένους L  **37.** ἀφεῖναι] ἀφιέναι FL  **38.** τῇ om. Bas.  **41.** ὁμοφύλων] ὁμοφώνων FLQ Bas.  **45.** ἀεὶ om. FL  **49.** χρυσοῦν ποτήριον post ὑποβαλεῖν ponit F  **56.** περὶ τῶν] ὑπὲρ τῶν L  καθ' αὐτοῦ] κατ' αὐτοῦ Bas.  **58.** αὑτὸν] ἑαυτὸν F, αὐτὸν Bas.

**239.** **64.** χαλεπῶς FL, caeteri χαλεπῶς μὲν  **65.** ἐπεζήτησε] ἂν ἐζήτησε F

δὲ ἐπιποθήσας ὅτε οὐδὲν ὄφελος, ἔγνω τὴν καλοκἀγαθίαν τἀνδρὸς ἐκ τῆς τῶν διαβαλόντων κακίας.

102 Ὁ δ' οὖν Ἀλέξανδρος τὴν μὲν στρατιὰν προςέταξεν ἐπὶ τὸν ποταμὸν ἀντιπαράγειν ταῖς ναυσίν, αὐτὸς δὲ τὸν διὰ τοῦ ποταμοῦ κατὰ τὸν Ὠκεανὸν πλοῦν ποιούμενος κατῆρεν εἰς τὴν χώραν τῶν ὀνομαζομένων Σαμβαστῶν. οὗτοι δὲ τῷ τε πλήθει τῶν ἀνδρῶν καὶ ταῖς ἀρεταῖς οὐδενὸς τῶν Ἰνδικῶν ἐθνῶν λείπονται· οἰκοῦντες δὲ πόλεις δημοκρατουμένας, καὶ τὴν ἔφοδον τῶν Μακεδόνων πυνθανόμενοι, στρατιώτας ἤθροισαν πεζοὺς μὲν ἑξακιςμυρίους, ἱππεῖς δὲ ἑξακιςχιλίους, ἅρματα δὲ πεντακόσια. τοῦ δὲ στόλου πλέοντος, τῷ ξένῳ καὶ παραδόξῳ τῆς παρουσίας πτοηθέντες, καὶ τὴν διαβεβοημένην δόξαν τῶν Μακεδόνων καταπλαγέντες, ἔτι δὲ τῶν πρεσβυτέρων συμβουλευσάντων μὴ διαγωνίζεσθαι, πεντήκοντα τοὺς ἐπιφανεστάτους πρεσβευτὰς ἐξαπέστειλαν, ἀξιοῦντες φιλανθρώπως αὐτοῖς προσενεχθῆναι. ὁ δὲ βασιλεὺς ἐπαινέσας τοὺς ἄνδρας, καὶ συγχωρήσας τὴν εἰρήνην, δωρεαῖς τε μεγάλαις καὶ τιμαῖς ἡρωικαῖς ὑπὸ τῶν ἐγχωρίων ἐτιμήθη. μετὰ δὲ ταῦτα τοὺς παρὰ τὸν ποταμὸν ἐξ ἀμφοτέρων τῶν μερῶν κατοικοῦντας, ὀνομαζομένους δὲ Σόδρας καὶ Μασσανούς, προςηγάγετο. περὶ δὲ τούτους τοὺς τόπους ἔκτισε πόλιν Ἀλεξάνδρειαν κατὰ τὸν ποταμόν, μυρίους καταλέξας οἰκήτορας. μετὰ δὲ ταῦτα εἰς τὴν Μουσικάνου τοῦ βασιλέως χώραν καταντήσας, τόν τε δυνάστην ὑποχείριον λαβὼν ἀπέκτεινε καὶ τὸ ἔθνος ὑποχείριον ἐποίησεν. ἑξῆς δ' εἰς τὴν Πορτικάνου δυναστείαν ἐμβαλὼν δύο μὲν ἐξ ἐφόδου πόλεις ἐξεπολιόρκησε, καὶ τοῖς στρατιώταις ἐφεὶς διαρπάσαι τὰς οἰκίας ἐνέπρησεν· αὐτὸν δὲ τὸν Πορτικᾶνον εἰς χωρίον ὀχυρὸν καταφυγόντα χειρωσάμενος ἀπέκτεινε μαχόμενον. τὰς δὲ πόλεις ἁπάσας τὰς ὑπὸ τοῦτον τεταγμένας ἐκπολιορκήσας κατέσκαψε, καὶ πολὺν φόβον τοῖς πλησιοχώροις ἐπέστησεν. ἑξῆς δὲ τήν τε Σάμβου βασιλείαν ἐξεπόρθησε καὶ τὰς πλείστας πόλεις ἐξανδραποδισάμενος καὶ κατασκάψας κατέκοψε τῶν βαρβάρων ὑπὲρ τὰς ὀκτὼ μυριάδας. τὸ μὲν οὖν ἔθνος τῶν ὀνομαζομένων Βραχμάνων τοιαύταις περιέπεσε συμφοραῖς· τῶν δὲ λοι-

68. διαβαλλόντων F 71. ταῖς ναυσὶν] τὰς ναῦς FL
80. πλέοντος] immo προςπλέοντος 84. πρεσβευτὰς] πρεσβύτας Q Bas. ἐξαπέστειλαν] ἀπέστειλαν FL 86. ἄνδρας] πρέσβεις FLQ 90. δὲ om. T Bas. 92. πόλιν Ἀλεξάνδρειαν] invertit F, Ἀλέξανδρος πόλιν L 93. Μουσικάνου τοῦ] τοῦ Μουσικάνου Bas. 97. εἰςβαλὼν] ἐπιβαλὼν L, suprascripto μ F 4. Σάμβου] σάμου F



πῶν μεθ' ἱκετηριῶν δεηθέντων, τοὺς αἰτιωτάτους κολάσας τοὺς λοιποὺς ἀπέλυσε τῶν ἐγκλημάτων. ὁ δὲ βασιλεὺς Σάμβος μετὰ τριάκοντα ἐλεφάντων φυγὼν εἰς τὴν
240 πέραν τοῦ Ἰνδοῦ χώραν διέφυγε τὸν κίνδυνον. τῆς δ' 103
ἐσχάτης τῶν Βραχμάνων πόλεως, ἣν ὀνομάζουσιν Ἀρματήλια, πεφρονηματισμένης ἐπ' ἀνδρείᾳ καὶ δυςχωρίαις, ἀπέστειλεν ὀλίγους τῶν ψιλῶν, προςτάξας ἐξάπτεσθαι τῶν πολεμίων, καὶ ἐὰν ἐπεξίωσιν, ὑποφεύγειν. οὗτοι μὲν οὖν, ὄντες πεντακόσιοι καὶ προςμαχόμενοι τοῖς τείχεσι, κατεφρονήθησαν. ἐπεξελθόντων δ' ἐκ τῆς πόλεως στρατιωτῶν τριςχιλίων, προςποιηθέντες καταπεπλῆχθαι πρὸς φυγὴν ὥρμησαν. ὁ δὲ βασιλεὺς μετ' ὀλίγων ὑποστὰς τοὺς διώκοντας τῶν βαρβάρων, καὶ μάχην καρτερὰν συστησάμενος, οὓς μὲν ἀπέκτεινε τῶν βαρβάρων οὓς δ' ἐζώγρησε. τῶν δὲ μετὰ τοῦ βασιλέως οὐκ ὀλίγοι τρωθέντες εἰς τοὺς ἐσχάτους ἦλθον κινδύνους. ὁ γὰρ τῶν βαρβάρων σίδηρος κεχρισμένος ἦν φαρμάκου θανασίμου δυνάμει, ᾗ πεποιθότες κατέβησαν εἰς τὴν διὰ τῆς μάχης κρίσιν. κατεσκεύαστο δὲ ἡ τοῦ φαρμάκου δύναμις ἔκ τινων ὄφεων θηρευομένων καὶ τούτων εἰς τὸν ἥλιον νεκρῶν τιθεμένων. τῆς δ' ἐκ τοῦ καύματος θερμασίας τηκούσης τὴν τῆς σαρκὸς φύσιν ἱδρῶτας ἐκπίπτειν συνέβαινε καὶ διὰ τῆς νοτίδος συνεκκρίνεσθαι τὸν τῶν θηρίων ἰόν. διὸ καὶ τοῦ τρωθέντος εὐθὺς ἐνάρκα τὸ σῶμα, καὶ μετ' ὀλίγον ὀξεῖαι συνηκολούθουν ὀδύναι, καὶ σπασμὸς καὶ τρόμος τὸν ὅλον ὄγκον κατεῖχεν, ὅ τε χρὼς ψυχρὸς καὶ πελιδνὸς ἐγίνετο, καὶ διὰ τῶν ἐμέτων ἐξέπιπτε χολή, πρὸς δὲ τούτοις ἀπὸ τοῦ τραύματος μέλας ἀφρὸς ἀπέῤῥει καὶ σηπεδὼν ἐγεννᾶτο. αὕτη δὲ γενομένη ταχέως ἐπέτρεχε τοῖς κυρίοις τόποις τοῦ σώματος, καὶ δεινοὺς θανάτους ἀπειργάζετο. διὸ συνέβαινε τὰ ἴσα τοῖς μεγάλα τραύματ' εἰληφόσι καὶ τοῖς

9. ἱκετηριῶν FLQ, caeteri ἱκετηρίας 10. ἀπέλυσε] ἀπέλυσεν ἐν εἰρήνῃ ἀφεὶς Q
240. 15. Ἀρματήλια] Ἅρματα LXY Bas., Cospus 16. δυςχωρίαις] δυςχωρίᾳ TY Bas., ἐν δυςχωρίαις FL 17. ψιλῶν] φίλων omnes 18. ἐπεξίωσιν L, caeteri ὑπεξίωσιν πεντακόσιοι] quinquaginta Cospus 22. ὀλίγων Rhodomannus: libri ὀλίγον 27. ὁ γὰρ τῶν βαρβάρων] ἐπεὶ καὶ ὁ ἐν τοῖς βέλεσι FLQ 28. ᾗ] τούτοις γὰρ L, τούτοις F (γρ. ᾗ)
29. κατεσκεύαστο] κατεσκευάζετο FL 33. ἐκπίπτειν FLQ, caeteri ἐκπέμπειν 34. συνεκκρίνεσθαι FL, caeteri ἐκκρίνεσθαι τὸν om. Bas. 38. πελιδνὸς] πελιὸς Q Bas.
43. συνέβαινε τὰ ἴσα] ταυτὰ συνέβαινε L, ταυτὸ συνέβαινε F τραύματ' F, caeteri τραύματα 44. καὶ τοῖς] τοῖς καὶ F

μικρὰν καὶ τὴν τυχοῦσαν ἀμυχὴν ἀναδεξαμένοις. τοιαύτη δ' ἀπωλείᾳ τῶν τρωθέντων ἀπολλυμένων, ἐπὶ μὲν τοῖς ἄλλοις οὐχ οὕτως ὁ βασιλεὺς ἐλυπήθη, ἐπὶ δὲ Πτολεμαίῳ τῷ ὕστερον μὲν βασιλεύσαντι, τότε δὲ ἀγαπωμένῳ μεγάλως ἠχθέσθη. ἴδιον δέ τι καὶ παράδοξον συνέβη γενέσθαι περὶ τὸν Πτολεμαῖον, ὅ τινες εἰς θεῶν πρόνοιαν ἀνέπεμπον. ἀγαπώμενος γὰρ ὑφ' ἁπάντων διά τε τὴν ἀρετὴν καὶ ὑπερβολὴν τῆς εἰς πάντας εὐεργεσίας, οἰκείας τοῦ φιλανθρώπου βοηθείας ἔτυχεν. ὁ γὰρ βασιλεὺς εἶδεν ὄψιν κατὰ τὸν ὕπνον καθ' ἣν ἔδοξεν ὁρᾶν δράκοντα βοτάνην ἐν τῷ στόματι κρατεῖν καὶ δεῖξαι ταύτης τὴν 241 φύσιν καὶ τὴν δύναμιν καὶ τὸν τόπον ἐν ᾧ φύεται. ἐγερθεὶς οὖν ὁ Ἀλέξανδρος καὶ τὴν βοτάνην ἀναζητήσας καὶ τρίψας, τό τε σῶμα τοῦ Πτολεμαίου κατέπλασε, καὶ πιεῖν δοὺς ὑγιῆ κατέστησε. γνωσθείσης δὲ τῆς εὐχρηστίας, καὶ οἱ λοιποὶ τυχόντες τῆς ὁμοίας θεραπείας διεσώθησαν. τὴν δὲ πόλιν τῶν Ἁρματηλίων, οὖσαν ὀχυρὰν καὶ μεγάλην, ἐπεβάλετο μὲν πολιορκεῖν, τῶν δ' ἐγχωρίων ἀπαντησάντων μεθ' ἱκετηριῶν καὶ παραδόντων ἑαυτούς, ἀπέλυσεν αὐτοὺς τῆς τιμωρίας.

**104** Αὐτὸς δὲ καταπλεύσας εἰς τὸν Ὠκεανὸν μετὰ τῶν φίλων, καὶ δύο νήσους ἐνταῦθα κατιδών, εὐθὺς ἐν αὐταῖς τοῖς θεοῖς μεγαλοπρεπῶς ἔθυσε· καὶ πολλὰ μὲν ἐκπώματα καὶ μεγάλα χρυσᾶ κατεπόντισε ταῖς σπονδαῖς συναφιείς, βωμοὺς δὲ Τηθύος καὶ Ὠκεανοῦ κατασκευάσας ὑπέλαβε τετελευτηκέναι τὴν προκεχειρισμένην στρατείαν. ἀναζεύξας δ' ἐντεῦθεν εἰς τοὐπίσω διὰ τοῦ ποταμοῦ παρέπλευσεν εἰς Ταύαλα, πόλιν ἐπίσημον. αὕτη δὲ τὴν πολιτείαν εἶχε διατεταγμένην ὁμοίως τῇ Σπάρτῃ. ἀπὸ δύο γὰρ οἴκων ἐν αὐτῇ διεδέχοντο δύο βασιλεῖς, ἀεὶ τῶν κατὰ πόλεμον ἡγούμενοι πραττομένων. τῶν δὲ γερόντων ἀρχεῖον τῶν ὅλων προειστήκει. ὁ δ' οὖν Ἀλέ-

47. τῷ ὕστερον] ὕστερον Bas. 49. δὲ Rhodomannus: libri γὰρ 52. πάντας LQ Cospus, τοὺς πάντας F, caeteri τούτους 53. τοῦ Wesselingius: libri τῆς 54. εἶδεν] ἰδεῖν F
241. 57. ὁ om. Bas. 62. Ἁρματηλίων] *Harmata* Cospus 64. ἱκετηριῶν TY Bas., caeteri ἱκετηρίας 67. κατιδὼν] εὑρὼν FLQ εὐθὺς om. FL 68. ἔθυσε post αὐταῖς ponunt FL καὶ πολλὰ μὲν ἐκπώματα καὶ μεγάλα FL, caeteri καὶ μεγάλα μὲν καὶ πολλὰ ἐκπώματα: conf. ad p. 243. 87. 71. ὑπέλαβε] ὑπελάμβανε FL 73. εἰς] ἐς F
74. τέβαλα (sic) et in marg. γρ. ταῦαλα F, ταῦλα L, caeteri τὰ Ὕαλα 75. ὁμοίως] ὁμοίαν Bas. 76. ἀεὶ] αἰεὶ omnes 77. τῶν δὲ Wesselingius: libri δὲ τῶν, iungentes cum πραττομένων, quod quum antecedentibus iungendum esse vidisset Wesselingius, post πόλεμον ponebat



ξανδρος τὰ πεπονηκότα τῶν σκαφῶν ἐνέπρησε, τὸν δὲ λοιπὸν στόλον παραδοὺς Νεάρχῳ καὶ τισιν ἄλλοις τῶν φίλων προσέταξε τὴν παραλίαν πᾶσαν παραπλεῦσαι δι' Ὠκεανοῦ, καὶ πάντα κατασκεψαμένους ἀπαντᾶν ἐπὶ τὰς ἐκβολὰς τοῦ Εὐφράτου ποταμοῦ. αὐτὸς δὲ ἀναλαβὼν τὴν δύναμιν ἐπῆλθε πολλὴν χώραν, καὶ τοὺς μὲν ἐναντιουμένους κατεπολέμησε, τοὺς δὲ πειθαρχοῦντας φιλανθρώπως προσεδέχετο. τοὺς μὲν γὰρ Ἀρβίτας ὀνομαζομένους καὶ τοὺς τὴν Κεδρωσίαν οἰκοῦντας χωρὶς κινδύνων προσηγάγετο. μετὰ δὲ ταῦτα πολλὴν μὲν ἄνυδρον, οὐκ ὀλίγην δὲ ἔρημον διελθὼν ἐπὶ τὰ Ὠρείτιδος ὅρια κατήντησεν. εἰς τρία δὲ μέρη τὴν δύναμιν διελόμενος, τοῦ μὲν πρώτου μέρους ἀπέδειξεν ἡγεμόνα Πτολεμαῖον, τοῦ δὲ δευτέρου Λεόννατον. καὶ τὴν μὲν παραθαλαττίαν λεηλατεῖν προσέταξε Πτολεμαῖον, τὴν μεσόγειον δὲ κατασῦραι Λεόννατον, τὴν δ' ὑπώρειαν καὶ τὴν ὀρεινὴν αὐτὸς ἐπόρθησεν. ἅμα δ' ὑφ' ἕνα καὶ τὸν αὐτὸν καιρὸν πολλῆς χώρας δῃουμένης, ἔγεμε πᾶς τόπος πυ- 242 ρὸς καὶ διαρπαγῆς καὶ πολλῶν φόνων. διόπερ ταχέως οἱ μὲν στρατιῶται πολλῆς λείας ἐκυρίευσαν, τῶν δ' ἀναιρεθέντων σωμάτων ἀριθμὸς ἐγένετο πολλῶν μυριάδων. τῇ δὲ τῶν ἐθνῶν τούτων ἀπωλείᾳ πάντες οἱ πλησιόχωροι περίφοβοι γενόμενοι προσεχώρησαν τῷ βασιλεῖ. ὁ δ' Ἀλέξανδρος παρὰ θάλατταν ἐφιλοτιμήθη κτίσαι πόλιν, λιμένα μὲν εὑρὼν ἄκλυστον, πλησίον δ' αὐτοῦ τόπον εὔθετον, ἔκτισεν ἐν αὐτῷ πόλιν Ἀλεξάνδρειαν. εἰς δὲ τὴν τῶν Ὠρειτῶν χώραν διὰ τῶν παρόδων παρεισελθὼν ταχέως ἅπασαν ὑπήκοον ἐποιήσατο. οἱ δὲ Ὠρεῖται τὰ μὲν ἄλλα παραπλήσια τοῖς Ἰνδοῖς ἔχουσιν, ἓν δὲ ἐξηλλαγμένον καὶ παντελῶς ἄπιστον. τῶν γὰρ τελευτησάντων παρ' αὐτοῖς τὰ σώματα φέρουσιν οἱ συγγενεῖς γυμνοὶ λόγχας ἔχοντες· εἰς δὲ τοὺς ἐπὶ τῆς χώρας δρυμοὺς θέντες τὸ σῶμα, τὸν μὲν περικείμενον τῷ νεκρῷ

83. ἐπὶ] εἰς FL 87. μὲν γὰρ om. Bas. Ἀρβίτας Is. Vossius: Ἀβρίτας Q Bas., *Orbitas* Cospus, caeteri Ἀμβρίτας
88. Κεδρωσίαν] *Gedrosiam* Cospus, qui p. 242. 20. *Cedrossiam* κινδύνων] κινδύνου FL 90. Ὠρίτιδος Wesselingius post Berkelium, *Oridis* Cospus, Νεωτερίδας L, caeteri Νεωτερίδος 91. εἰς τρία δὲ — τοῦ μὲν L, caeteri εἰς τρία — καὶ τοῦ μὲν 93. Λεόννατον] Λεωνάτον F, Λεοννάτον caeteri hic et infra 94. Πτολεμαῖον] Πτολεμαίῳ L 95. τὴν δὲ μεσόγειον F 97. καὶ Bas., caeteri καὶ κατὰ
242. 4. ἐφιλοτιμήθη] φιλοτιμηθεὶς Reiskius 7. Ἀλεξάνδρειαν] Ἀλεξάνδραν X 8. *Oritarum* Cospus, caeteri Νεωριτῶν et mox Νεωρῖται, nisi quod Νεωρειτῶν et Νεωρεῖται FL
14. θέντες] τιθέντες Bas. 15. τῷ νεκρῷ] τῶν νεκρῶν Bas.

κόσμον περιαιροῦνται, τὸ δὲ σῶμα τοῦ τετελευτηκότος καταλείπουσι βορὰν τοῖς θηρίοις· τὰς δ' ἐσθῆτας διελόμενοι θύουσι τοῖς κατὰ γῆν ἥρωσι καὶ τῶν οἰκείων ὑποδοχὴν ποιοῦνται. μετὰ δὲ ταῦθ' ὁ Ἀλέξανδρος προῆγεν ἐπὶ τὴν Κεδρωσίαν, παρὰ θάλατταν τὴν πορείαν ποιούμενος, καὶ κατήντησεν εἰς ἔθνος ἄξενον καὶ παντελῶς θηριῶδες. τούς τε γὰρ ὄνυχας οἱ τῇδε κατοικοῦντες ἐκ γενετῆς αὔξουσι μέχρι γήρως καὶ τὸ τρίχωμα πεπιλωμένον ἐῶσι, τὸ δὲ χρῶμα διὰ τὴν τοῦ ἡλίου θερμότητα κατακεκαυμένον ἔχουσι, καὶ δορὰς θηρίων περιβέβληνται. σιτοῦνται δὲ τὰ ἐκβαλλόμενα κήτη σαρκοφαγοῦντες, καὶ τὰς οἰκήσεις κατασκευάζουσι τοὺς μὲν τοίχους ἀνοικοδομοῦντες, τὰς δ' ὀροφὰς ἐκ τῶν τοῦ κήτους πλευρῶν, ἐξ ὧν ὀκτωκαιδεκαπήχεις δοκοὶ κατηρτίζοντο· ἀντὶ δὲ τῶν κεράμων ταῖς φολίσι τῶν ζῴων τὰς στέγας κατεκάλυπτον. ὁ δ' Ἀλέξανδρος διελθὼν τοῦτο τὸ ἔθνος ἐπιπόνως διὰ σπάνιν τροφῆς ἐνέβαλεν εἰς χώραν ἔρημον καὶ πάντων τῶν εἰς τὸ ζῆν χρησίμων σπανίζουσαν. πολλῶν δὲ διὰ τὴν ἔνδειαν διαφθειρομένων, ἥ τε δύναμις τῶν Μακεδόνων ἠθύμησε καὶ ὁ Ἀλέξανδρος ἐνέπεσεν οὐκ εἰς τὴν τυχοῦσαν λύπην τε καὶ φροντίδα· δεινὸν γὰρ ἐφαίνετο τοὺς ἀρετῇ καὶ τοῖς ὅπλοις ἅπαντας ὑπερβαλομένους ἐν ἐρήμῳ χώρᾳ πάντων σπανίζοντας ἀκλεῶς ἀπόλλυσθαι. διόπερ εὐζώνους ἄνδρας ἐξέπεμψεν εἰς τὴν Παρθυαίαν καὶ Δραγγηνὴν καὶ Ἀρείαν καὶ τὰς ἄλλας τὰς πλησιοχώρους τῇ ἐρήμῳ, προστάξας ταχέως ἀγαγεῖν ἐπὶ τὰς ἐμβολὰς τῆς Καρμανίας δρομάδας καμήλους καὶ τὰ νωτοφορεῖν εἰωθότα τῶν φορτίων, γεμίσαντας σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων. οὗτοι μὲν οὖν ὀξέως διανύσαντες πρὸς τοὺς σατράπας τούτων τῶν ἐπαρχιῶν ἐποίησαν παρακομισθῆναι πολλὴν ἀγορὰν ἐπὶ 243 τὸν ὡρισμένον τόπον. ὁ δ' Ἀλέξανδρος τὸ μὲν πρῶτον διὰ τὴν ἀβοήθητον ἔνδειαν πολλοὺς ἀπέβαλε τῶν στρατιωτῶν. μετὰ δὲ ταῦτα κατὰ τὴν πορείαν ὄντος αὐτοῦ

17. βορὰν FLT Bas., caeteri praemittunt εἰς, quod asterisco notavit Stephanus 19. ὑποδοχὴν] ἀποδοχὴν Q Bas. 20. Κεδρωσίαν] Γεδρωσίαν F 24. πεπιλ. — 25. χρῶμα om. Bas. 24. ἐῶσι QTXY, promittunt Cospus, caeteri ἔχουσι 25. χρῶμα] τρίχωμα TY Cospus 29. ἀνοικοδομοῦντες] συνοικοδομοῦντες FL τὰς δ' ὀροφὰς] τοὺς δ' ὀρόφους LQX 35. πολλῶν FL, caeteri τῶν πολλῶν 37. ἠθύμησε] ἠσθένησε FL 40. ὑπερβαλομένους] ὑπερβαλλομένους FL 42. Δραγγηνὴν] δραστίνην F, caeteri Δραγγίνην Ἀρείαν F, caeteri Ἀρίαν 43. τὰς ἄλλας om F 46. φορτίων] ζώων Wesselingius



τῶν Ὡρειτῶν τινες ἐπιθέμενοι τοῖς περὶ τὸν Λεόννατον τεταγμένοις, καὶ συχνοὺς καταβαλόντες, ἀπέφυγον εἰς τὴν ἑαυτῶν χώραν.

106 Μόγις δὲ περάσας τὴν ἔρημον ἧκεν εἰς χώραν οἰκουμένην καὶ πάντων τῶν χρησίμων εὐποροῦσαν. ἐν ταύτῃ δὲ προσαναλαβὼν τὴν δύναμιν ἐφ' ἑπτὰ μὲν ἡμέρας προῆγε κεκοσμημένῃ τῇ δυνάμει πανηγυρικῶς, καὶ Διονύσῳ κῶμον ἤγαγεν ἑορτάζων καὶ μέθῃ καὶ πότοις χρώμενος κατὰ τὴν ὁδοιπορίαν. ἀπὸ τούτων δὲ γενόμενος, ἀκούσας τε ὅτι πολλοὶ τῶν βιαίως καὶ ὑβριστικῶς κεχρημένων ταῖς ἐξουσίαις παρανενομήκασι, πολλοὺς τῶν τε σατραπῶν καὶ στρατηγῶν τιμωρίας ἠξίωσε. τῆς δ' εἰς τοὺς παρανενομηκότας ἡγεμόνας μισοπονηρίας διαβοηθείσης, πολλοὶ τῶν στρατηγῶν, συνειδότες ἑαυτοῖς ὕβρεις καὶ παρανομίας, εἰς φόβον ἐνέπιπτον· καὶ τινὲς μὲν μισθοφόρους ἔχοντες ἀφίσταντο τοῦ βασιλέως, τινὲς δὲ χρήματα συσκευασάμενοι δρασμοὺς ἐποιοῦντο. ταῦτα δὲ πυνθανόμενος ὁ βασιλεὺς πρὸς πάντας τοὺς κατὰ τὴν Ἀσίαν στρατηγοὺς καὶ σατράπας ἔγραψεν, ἐπειδὰν ἀναγνῶσι τὴν ἐπιστολήν, παραχρῆμα πάντας τοὺς μισθοφόρους ἀπολῦσαι. κατὰ δὲ τοῦτον τὸν καιρὸν τοῦ βασιλέως διατρίβοντος ἔν τινι παραθαλαττίῳ πόλει ὀνομαζομένῃ Σαλμοῦντι, καὶ σκηνικοὺς ἀγῶνας ἐν τῷ θεάτρῳ ποιοῦντος, κατέπλευσαν οἱ δι' Ὠκεανοῦ πλεῖν τὴν παραθαλάττιον ἀπεσταλμένοι. καὶ παραχρῆμα εἰς τὸ θέατρον παρελθόντες τόν τε Ἀλέξανδρον ἠσπάσαντο καὶ περὶ τῶν πεπραγμένων ἀπήγγειλαν. οἱ δὲ Μακεδόνες ἡσθέντες τῇ παρουσίᾳ τῶν ἀνδρῶν κρότῳ μεγάλῳ τὸ γεγονὸς ἐπεσημήναντο, καὶ πᾶν τὸ θέατρον μεστὸν ἦν χαρᾶς ἀνυπερβλήτου. οἱ δὲ καταπεπλευκότες ἀπήγγελλον ἀμπώτεις τε καὶ πλήμας παραδόξους γίνεσθαι κατὰ τὸν Ὠκεανόν, καὶ κατὰ μὲν τὰς ἀμπώτεις παραδόξους νήσους τε ὁρᾶσθαι πολλὰς καὶ μεγάλας ἐπ' ἄκρας τῆς

243. 52. Ὡρειτῶν Q, Ὀρειτῶν QXY Bas., Oritas Cospus, ὀρείων F, caeteri Ὀρειείων 53. τὸν om. F 58. ταύτῃ] αὐτῇ F 59. κεκοσμημένῃ] κεκοσμημένος Bas. 60. ἑορτάζων καὶ μέθῃ] ἑορτάζων δὲ μέθῃ L 61. χρώμενος T Bas., caeteri addunt ἦν, quod asterisco notavit Stephanus 62. ἀκούσας τε] ἀκούσας Bas. 70. συσκευασάμενοι] συνεσκευασμένοι F 76. πόλει] πόλει τῇ L 78. πλεῖν om. Bas. 80. τόν τε] τὸν F 82. τῇ παρουσίᾳ] τὴν παρουσίαν F 85. πλήμας] πλημμύρας FLQ (μ) παραδόξους] παραδόξως L 87. ἀμπώτεις] ἀναπώτεις F παραδόξους] παραδόξως Wesselingius, nisi delendum sit πολλὰς καὶ μεγάλας F, caeteri μεγάλας καὶ πολλὰς

*παραθαλαττίου χώρας, κατὰ δὲ τὰς πλήμας ἅπαντας τοὺς προειρημένους τόπους κατακλύζεσθαι, πολλοῦ καὶ βιαίου πνεύματος φερομένου πρὸς τὴν χέρσον, τῆς δ' ἐπιφανείας ἀφρῷ πολλῷ λευκαινομένης· τὸ δὲ παραδοξότατον, κήτεσι πολλοῖς καὶ τὸ μέγεθος ἀπίστοις συγκεκυρηκέναι. ταῦτα δὲ φοβηθέντας αὐτοὺς τὸ μὲν πρῶτον ἀπελπίσαι τὸ ζῆν, ὡς αὐτίκα μάλα μετὰ τῶν σκαφῶν διαφθαρησομένους, μετὰ δὲ ταῦτα ἐξ ἁπάντων μιᾶς φωνῆς γινομένης καὶ διὰ τῶν ὅπλων πολλοῦ συντελουμένου ψόφου, πρὸς δὲ τούτοις τῶν σαλπίγγων ἐνιεμένων,* 244 *τῷ παραδόξῳ πτοηθῆναι τὰ θηρία καὶ δῦναι πρὸς βυθόν.*

**107** *Ὁ δὲ βασιλεὺς περὶ τούτων διακούσας, τοῖς μὲν ἡγουμένοις τοῦ στόλου παρήγγειλεν ἐπὶ τὸν Εὐφράτην καταπλεῦσαι, αὐτὸς δὲ μετὰ τῆς δυνάμεως πολλὴν χώραν διελθὼν συνῆψε τοῖς Σουσιανοῖς ὅροις. περὶ δὲ τοὺς καιροὺς τούτους Κάλανος ὁ Ἰνδός, ἐν φιλοσοφίᾳ μεγάλην ἔχων προκοπὴν καὶ τιμώμενος ὑπ' Ἀλεξάνδρου, παράδοξον ἐποιήσατο τὴν τοῦ βίου καταστροφήν. βεβιωκὼς γὰρ ἔτη τρία πρὸς τοῖς ἑβδομήκοντα, καὶ πάντα τὸν χρόνον ἀπείρατος γεγονὼς ἀῤῥωστίας, ἔκρινεν ἑαυτὸν ἐκ τοῦ ζῆν μεταστῆσαι, ὡς τὸ τέλειον τῆς εὐδαιμονίας παρά τε τῆς φύσεως καὶ τῆς τύχης ἀπειληφώς. καταπειραθεὶς δ' ὑπ' ἀῤῥωστίας, καὶ καθ' ἡμέραν ἀεὶ μᾶλλον βαρυνόμενος, ἠξίωσε τὸν βασιλέα πυρὰν αὐτῷ μεγάλην κατασκευάσαι καὶ προσαναβάντος ἐπὶ ταύτην αὐτοῦ προστάξαι τοῖς ὑπηρέταις πῦρ ἐνεῖναι. ὁ δ' Ἀλέξανδρος τὸ μὲν πρῶτον αὐτὸν ἀποτρέπειν ἐπειρᾶτο ταύτης τῆς ἐπιβολῆς, ὡς δ' οὐχ ὑπήκουσεν, ὡμολόγησε συντελέσειν περὶ ὧν ἠξιωκὼς ἦν. διαγγελθείσης δὲ τῆς πράξεως, ἡ μὲν πυρὰ κατεσκευάσθη, τὸ δὲ πλῆθος κατήντησεν ἐπὶ τὴν παράδοξον θέαν. ὁ δὲ Κάλανος ἀκολουθήσας τοῖς ἰδίοις δόγμασι τεθαῤῥηκότως ἐπέστη τῇ πυρᾷ, καὶ μετὰ ταύτης καταφλεχθεὶς ἐτελεύτησε. τῶν δὲ παρόντων οἱ μὲν μανίαν αὐτοῦ κατέγνωσαν, οἱ δὲ κενοδοξίαν ἐπὶ καρτερίᾳ, τινὲς δὲ τὴν εὐψυχίαν καὶ τὴν τοῦ θανάτου καταφρόνησιν ἐθαύμασαν. ὁ δὲ βασιλεὺς τοῦτον μὲν ἔθαψε πολυτελῶς, αὐτὸς δὲ παρελθὼν εἰς Σοῦσα*

89. *πλήμας*] *πλημμύρας* FLQ 97. *γινομένης* F, caeteri *γιγνομένης*

244. 99. *τούτοις*] *πρὸς* L 5. *Σουσιανοῖς*] *Susianae* Cospus 6. 23. *Κάλανος*] *Κάρανος* FTY 13. *δ'* om. Bas. 16. *αὐτοῦ*] *αὐτὸν* Bas. 28. *ἐθαύμασαν*] *ἐθαύμαζον* FL 29. *αὐτὸς*] *αὖθις* L 30. *Σοῦσα* FL Cospus, caeteri *Σοῦσαν*



*τὴν μὲν πρεσβυτέραν τῶν Δαρείου θυγατέρων Στάτειραν ἔγημε, τὴν δὲ νεωτέραν Ἡφαιστίωνι συνῴκισε Δρυπῆτιν· ἔπεισε δὲ καὶ τοὺς ἐπιφανεστάτους τῶν φίλων γῆμαι, καὶ συνῴκισεν αὐτοῖς τὰς εὐγενεστάτας παρθένους Περσίδας.*

**108** *Κατὰ τοῦτον τὸν καιρὸν ἧκον εἰς τὰ Σοῦσα τρισμύριοι τῶν Περσῶν, νέοι μὲν παντελῶς ταῖς ἡλικίαις, ἐπιλελεγμένοι δὲ ταῖς τῶν σωμάτων εὐπρεπείαις τε καὶ ῥώμαις. κατὰ δέ τινας ἐντολὰς τοῦ βασιλέως ἠθροισμένοι, χρόνον ἱκανὸν ἐπιστάτας καὶ διδασκάλους ἐσχηκότες τῶν πολεμικῶν ἔργων, πάντες δὲ Μακεδονικαῖς πανοπλίαις πολυτελῶς κεκοσμημένοι, παρεμβολὴν μὲν ἐποιήσαντο πρὸ τῆς πόλεως· ἐπιδειξάμενοι δὲ τῷ βασιλεῖ τὴν ἐν τοῖς ὅπλοις ἄσκησιν καὶ μελέτην, ἐτιμήθησαν* 245 *διαφερόντως. τῶν γὰρ Μακεδόνων πρὸς τὴν τοῦ Γάγγου ποταμοῦ διάβασιν ἀντειπόντων καὶ πολλάκις ἐν ταῖς ἐκκλησίαις καταβοώντων καὶ τὴν ἐξ Ἄμμωνος γένεσιν διασυρόντων, τοῦτο τὸ σύστημα κατεσκεύασεν ἐκ μιᾶς μὲν ἡλικίας τῶν Περσῶν καὶ ὁμοίας συνεστηκός, δυνάμενον δὲ ἀντίταγμα γενέσθαι τῇ Μακεδονικῇ φάλαγγι. καὶ τὰ μὲν περὶ Ἀλέξανδρον ἐν τούτοις ἦν. Ἅρπαλος δὲ τῶν ἐν Βαβυλῶνι θησαυρῶν καὶ τῶν προσόδων τὴν φυλακὴν πεπιστευμένος, ἐπειδὴ τάχιστα ὁ βασιλεὺς εἰς τὴν Ἰνδικὴν ἐστράτευσεν, ἀπέγνω τὴν ἐπάνοδον αὐτοῦ· δοὺς δ' ἑαυτὸν εἰς τρυφήν, καὶ πολλῆς χώρας ἀποδεδειγμένος σατράπης, τὸ μὲν πρῶτον εἰς ὕβρεις γυναικῶν καὶ παρανόμους ἔρωτας βαρβάρων ἐξετράπη, καὶ πολλὰ τῆς γάζης ἀκρατεστάταις ἡδοναῖς κατηνάλωσεν· ἀπὸ δὲ τῆς Ἐρυθρᾶς θαλάττης πολὺ διάστημα κομίζων ἰχθύων πλῆθος, καὶ δίαιταν πολυδάπανον ἐνιστάμενος, ἐβλασφημεῖτο. μετὰ δὲ ταῦτ' ἐκ τῶν Ἀθηνῶν τὴν ἐπιφανεστάτην τῶν ἑταιρῶν ὄνομα Πυθονίκην μετεπέμψατο, καὶ ζῶσάν τε αὐτὴν βασιλικαῖς δωρεαῖς ἐτίμησε καὶ μεταλλάξασαν ἔθαψε πολυτελῶς καὶ τάφον κατὰ τὴν Ἀττικὴν κατεσκεύασε πολυδάπανον. μετὰ δὲ ταῦτα ἄλλην ἑταίραν Ἀττικὴν ὄνομα Γλυκέραν μεταπεμψάμενος ἐν ὑπερβαλλούσῃ τρυφῇ καὶ πολυδαπάνῳ διαιτήματι διεξῆγεν· εἰς*

30. *τῶν Δ. θυγατέρων* FTY, caeteri *τοῦ Δ. θυγατέρα* 32. *συνῴκισε*] *συνῴκησε* FL *δρυπίτην* F

245. 48. *τοῦτο*] *τούτων* FL 49. *τῶν Περσῶν* malim post *σύστημα* poni 50. *δυνάμενον*] *δυναμένους* FL 55. *ἑαυτὸν εἰς*] *αὐτὸν εἰς τὴν* F 59. *κατηνάλωσεν* FL, caeteri *κατανάλωσεν* 60. *θαλάττης* F, caeteri *θαλάσσης*

63. *Πυθονίκην*] *Ποθυνίκην* Bas., Cospus 67. *ὄνομα Γλυκέραν* FL, caeteri *ἢ ὄνομα Γλυκέρα*

δὲ τὰ παράλογα τῆς τύχης καταφυγὰς πορίζόμενος, εὐεργέτει τὸν τῶν Ἀθηναίων δῆμον. τοῦ δ' Ἀλεξάνδρου μετὰ τὴν ἐξ Ἰνδῶν ἐπάνοδον πολλοὺς τῶν σατραπῶν κατηγορηθέντας ἀνελόντος, φοβηθεὶς τὴν τιμωρίαν, καὶ συσκευασάμενος ἀργυρίου μὲν τάλαντα πεντακισχίλια, μισθοφόρους δ' ἀθροίσας ἑξακισχιλίους, ἀπῆρεν ἐκ τῆς Ἀσίας καὶ κατέπλευσεν εἰς τὴν Ἀττικήν. οὐδενὸς δ' αὐτῷ προσέχοντος, τοὺς μὲν μισθοφόρους ἀπέλιπε περὶ Ταίναρον τῆς Λακωνικῆς, αὐτὸς δὲ μέρος τῶν χρημάτων ἀναλαβὼν ἱκέτης ἐγένετο τοῦ δήμου. ἐξαιτούμενος δὲ ὑπ' Ἀντιπάτρου καὶ Ὀλυμπιάδος, καὶ πολλὰ χρήματα διαδοὺς τοῖς ὑπὲρ αὐτοῦ δημηγοροῦσι ῥήτορσι, διέδρα καὶ κατῆρεν εἰς Ταίναρον πρὸς τοὺς μισθοφόρους. ἐκεῖθεν δὲ πλεύσας εἰς Κρήτην ὑπὸ Θίβρωνος ἑνὸς τῶν φίλων ἐδολοφονήθη. οἱ δ' Ἀθηναῖοι τῶν τοῦ Ἁρπάλου χρημάτων λόγον ἀναζητοῦντες, Δημοσθένην καὶ ἄλλους τινὰς τῶν ῥητόρων κατεδίκασαν, ὡς εἰληφότας τῶν Ἁρπάλου χρημάτων.

109 Ὁ δὲ Ἀλέξανδρος τῶν Ὀλυμπίων ὄντων ἐκήρυξεν 246 ἐν Ὀλυμπίᾳ τοὺς φυγάδας πάντας εἰς τὰς πατρίδας κατιέναι πλὴν τῶν ἱεροσύλων καὶ φονέων. αὐτὸς δ' ἐπιλέξας τοὺς πρεσβυτάτους τῶν πολιτῶν ἀπέλυσε τῆς στρατείας, ὄντας ὡς μυρίους. πυνθανόμενος δὲ πολλοὺς αὐτῶν εἶναι καταδανείους, ἐν ἡμέρᾳ μιᾷ τὰ δάνεια βραχὺ λείποντα τῶν μυρίων ταλάντων διέλυσε. τῶν δὲ ἀπολειπομένων Μακεδόνων ἀπειθούντων, καὶ κατὰ τὴν ἐκκλησίαν καταβοώντων, παροξυνθεὶς κατηγόρησεν αὐτῶν τεθαῤῥηκότως. καταπληξάμενος δὲ τὸ πλῆθος ἐτόλμησεν αὐτὸς καταβὰς ἀπὸ τοῦ βήματος τοὺς αἰτιωτάτους τῆς ταραχῆς ταῖς ἰδίαις χερσὶ παραδοῦναι τοῖς ὑπηρέταις πρὸς τὴν τιμωρίαν. ἐπὶ πολὺ δὲ τῆς διαφορᾶς αὐξομένης, ὁ μὲν βασιλεὺς ἐκ τῶν ἐκλελεγμένων Περσῶν ἡγεμόνας κατέστησε, καὶ τούτους προῆγεν ἐπὶ τὸ πρωτεῖον· οἱ δὲ Μακεδόνες μετανοήσαντες καὶ πολλὰ μετὰ δακρύων δεηθέντες μόγις ἔπεισαν τὸν Ἀλέξανδρον αὐτοῖς διαλλαγῆναι.

110 Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Ἀντικλέους Ῥωμαῖοι κατέστησαν ὑπάτους Λεύκιον Κορνήλιον καὶ Κόϊντον

70. καταφυγὰς] καταφυγὴν F 74. συσκευασάμενος] συνεσκευασμένος FL 76. ἀπῆρεν — καὶ] ἀπάρας F 84. Θίβρωνος F Bas., Cospus, caeteri Θίμβρωνος 89. ὁ δὲ Ἀ.] Ἀ. δὲ F

246. 94. καταδανείους] ὑπὸ δανεία F 1. αἰτιωτάτους FL, caeteri αἰτίους 2. πολὺ om. Bas. 3. αὐξομένης FL, caeteri αὐξανομένης



Ποπλίλιον. ἐπὶ δὲ τούτων Ἀλέξανδρος τὸν τῶν ἀπολελυμένων ἀριθμὸν ἀνεπλήρωσεν ἐκ τῶν Περσῶν, καὶ χιλίους αὐτῶν εἰς τοὺς περὶ τὴν αὐλὴν ἔταξεν ὑπασπιστάς, καὶ τὸ σύνολον οὐχ ἧττους εἰς πίστιν τῶν Μακεδόνων ὑπέλαβεν. ἧκε δὲ κατὰ τοῦτον τὸν καιρὸν καὶ Πευκέστης, ἄγων Πέρσας τοξότας καὶ σφενδονήτας δισμυρίους· καταμίξας δὲ τούτους τοῖς προϋπάρχουσι στρατιώταις, τῇ καινότητι τῆς καινοτομίας κατεσκεύασε τὴν ὅλην δύναμιν κεκραμένην καὶ ἁρμόζουσαν τῇ ἰδίᾳ προαιρέσει. τῶν δὲ Μακεδόνων ἐκ τῶν αἰχμαλωτίδων γεγεννηκότων υἱούς, τὸν ἀριθμὸν τῶν παίδων ἀκριβῶς ἐσκέψατο. ὄντων δ' αὐτῶν σχεδὸν μυρίων, ἅπασι τὰς ἁρμοζούσας πρὸς τροφὴν ἐλευθέριον συντάξεις ἀπομερίσας, τούτοις μὲν παιδευτὰς ἐπέστησε τοὺς διδάξοντας τὴν ἁρμόζουσαν παιδείαν. αὐτὸς δὲ ἀναλαβὼν τὴν δύναμιν προῆγεν ἐκ τῶν Σούσων· καὶ διαβὰς τὸν Τίγριν ἐν ταῖς Κάραις καλουμέναις κώμαις κατεστρατοπέδευσεν. ἑξῆς δ' ἐν ἡμέραις τέτταρσι τὴν Σιττακηνὴν διανύσας ἧκεν εἰς τὰ καλούμενα Σάμβανα. ἐνταῦθα δὲ μείνας ἡμέρας ἑπτὰ καὶ προσαναλαβὼν τὴν δύναμιν, τριταῖος εἰς τοὺς Κέλωνας προσαγορευομένους ἧκεν, ἐν ᾧ μέχρι τοῦ νῦν διαμένει γένος Βοιώτιον, κατὰ μὲν τὴν Ξέρξου στρατείαν ἀνάστατον γεγονός, μεμνημένον δ' ἔτι τῶν πατρίων νόμων. ὄντες 247 γὰρ οὗτοι δίφωνοι, τῇ μὲν ἑτέρᾳ διαλέκτῳ ἐξωμοιώθησαν τοῖς ἐγχωρίοις, τῇ δ' ἑτέρᾳ πλείστας τῶν Ἑλληνικῶν λέξεων διετήρουν, καὶ τῶν ἐπιτηδευμάτων ἔνια διεφύλαττον. τέλος δὲ προσμείνας ἡμέρας ἀνέζευξε, καὶ παρεγκλίνας τὴν ὑποκειμένην ὁδὸν θέας ἕνεκεν ἦλθεν εἰς τὴν ὀνομαζομένην Βαγιστάνην, θεοπρεπεστάτην τε χώραν οὖσαν καὶ πλήρη καρπίμων δένδρων καὶ τῶν ἄλλων ἁπάντων τῶν πρὸς ἀπόλαυσιν ἀνηκόντων. μετὰ δὲ ταῦτα παρελθὼν εἴς τινα χώραν δυναμένην ἐκτρέφειν ἀγέλας παμπληθεῖς ἵππων, ἐν ᾗ τὸ παλαιὸν ἔφασαν ἑκκαίδεκα μυριάδας ἵππων γεγονέναι φορβάδων, κατὰ δὲ

11. Ποπλίλιον Livius, Ποπίλλιον FT, caeteri Ποπίλιον τὸν Stephanus: libri εἰς τὸν 14. οὐχ ἧττους εἰς πίστιν] εἰς πίστιν οὐχ ἧττους F et L (?) 16. πευκέτης F 24. τούτοις] αὐτοῖς L 27. Τίγριν] Πασιτιγριν Palmerius

29. Σίταν] Σίτταν Q, Σίττα FL, om. Cospus: Σιττακηνὴν scripsi cum Wesselingio, quod primum in Σιττακίαν, hinc in Σίττα et Σίταν abierat: v. ad p. 210. 80. 33. μέχρι τοῦ FL, caeteri μέχρι Βοιώτιον] an Ευβοϊκόν? 35. ἔτι] ὅτι F

247. 40. παρεγκλίνας] προσεγκλίνας FL 41. Βαγιστάνην Wesselingius: libri Βαγιστάμην 42. τε] δὲ Bas. 43. τῶν πρὸς] πρὸς Bas. 46. ἵππων] τῶν ἵππων Bas. 46. ἑξκαίδεκα F

τὴν Ἀλεξάνδρου παρουσίαν ἓξ μόναι μυριάδες ἠριθμήθησαν, ἐνταῦθα διαμείνας ἡμέρας τριάκοντα ἑβδομαῖος διήνυσεν εἰς Ἐκβάτανα τῆς Μηδίας. ταύτης δέ φασι διακοσίων μὲν καὶ πεντήκοντα σταδίων τὴν περίμετρον ὑπάρχειν, βασίλεια δ' ἔχειν τῆς ὅλης Μηδίας καὶ θησαυροὺς πολλῶν χρημάτων. ἔνθα δὴ χρόνον τινὰ τὴν δύναμιν ἀναλαβών, ἀγῶνάς τε θυμελικοὺς ἐποίει καὶ πότους συνεχεῖς τῶν φίλων. ἐν οἷς Ἡφαιστίων ἀκαίροις μέθαις χρησάμενος, καὶ περιπεσὼν ἀῤῥωστίᾳ, τὸν βίον ἐξέλιπεν· ὁ δὲ βασιλεὺς χαλεπῶς ἐνέγκας τὸ συμβάν, τὸ σῶμα τοῦ τετελευτηκότος Περδίκκᾳ παρέδωκεν εἰς Βαβυλῶνα κομίσαι, βουλόμενος ἐπιφανεστάτην αὐτοῦ ποιήσασθαι τὴν ταφήν.

111 Ἅμα δὲ τούτοις πραττομένοις κατὰ τὴν Ἑλλάδα ταραχαὶ συνίσταντο καὶ πραγμάτων καινῶν κινήσεις, ἐξ ὧν ὁ Λαμιακὸς πόλεμος κληθεὶς ἔλαβε τὴν ἀρχήν, ἐκ τοιαύτης τινὸς αἰτίας. τοῦ βασιλέως προςτάξαντος τοῖς σατράπαις ἅπασιν ἀπομίσθους ποιῆσαι τοὺς μισθοφόρους, καὶ τούτων τὸ πρόςταγμα συντελεσάντων, πολλοὶ τῆς στρατείας ἀπολελυμένοι ξένοι διέτρεχον καθ' ὅλην τὴν Ἀσίαν πλανώμενοι καὶ τὰς ἀναγκαίας τροφὰς ἐκ τῶν προνομῶν ποριζόμενοι. μετὰ δὲ ταῦτα πανταχόθεν διῇραν ἐπὶ Ταίναρον τῆς Λακωνικῆς. ὁμοίως δὲ καὶ τῶν Περσικῶν σατραπῶν καὶ τῶν ἄλλων ἡγεμόνων οἱ περιλειφθέντες χρήματά τε καὶ στρατιώτας ἀθροίζοντες ἔπλεον ἐπὶ Ταίναρον καὶ κοινὴν δύναμιν ἤθροιζον. τὸ δὲ τελευταῖον Λεωσθένην τὸν Ἀθηναῖον, ἄνδρα ψυχῆς λαμπρότητι διάφορον καὶ μάλιστα ἀντικείμενον τοῖς Ἀλεξάνδρου πράγμασιν, εἵλοντο στρατηγὸν αὐτοκράτορα. οὗτος δὲ τῇ βουλῇ διαλεχθεὶς ἐν ἀποῤῥήτοις πεντήκοντα μὲν ἔλαβε τάλαντα πρὸς τὴν μισθοδοσίαν, ὅπλων δὲ πλῆθος ἱκανὸν εἰς τὰς κατεπειγούσας χρείας, πρὸς δὲ Αἰτωλοὺς 248 ἀλλοτρίως ἔχοντας πρὸς τὸν βασιλέα περὶ συμμαχίας διεπρεσβεύσατο, καὶ πάντα τὰ πρὸς τὸν πόλεμον παρεσκευάζετο. Λεωσθένης μὲν οὖν προορώμενος τὸ

49. διαμείνας] δὲ μείνας F ἑβδομαῖος] ἑβδόμη X 50. ταύτης] ταύτην FL 56. τῶν φίλων. ἐν οἷς Ἡφαιστίων ἀκαίροις FL, caeteri ἐν οἷς καιροῖς τῶν φίλων Ἡφαιστίων 62. ἅμα] ὁμοίως F 63. καινῶν] πολλῶν LQ, et qui in marg. γρ. καινῶν F 66. τοῖς σατράπαις ἅπασιν] ἅπασι τοῖς σατράπαις F 67. πρόςταγμα FL, caeteri σύνταγμα 69. ξένοι asterisco notavit Stephanus 71. διῇραν TY Bas., caeteri ἀπῇραν 76. Λεωσθένην] Λεωσθένη FL 77. διάφορον] διαφέροντα F o μάλιστ' Bas., caeteri μάλιστα 78. εἵλαντο F 248. 82. εἰς FL, caeteri πρὸς



μέγεθος τοῦ πολέμου περὶ ταῦτα διέτριβεν. ὁ δ' Ἀλέξανδρος τῶν Κοσσαίων ἀπειθούντων ἐστράτευσεν ἐπ' αὐτοὺς εὐζώνῳ τῇ δυνάμει. τοῦτο δὲ τὸ ἔθνος ἀλκῇ διαφέρον κατοικεῖ μὲν τῆς Μηδίας τὴν ὀρεινήν, πεποιθὸς δὲ τῇ τῶν τόπων δυςχωρίᾳ καὶ ταῖς κατὰ πόλεμον ἀρεταῖς οὐδέποτε δεσπότην ἔπηλυν προςεδέδεκτο, ἀλλὰ καὶ κατὰ τὴν τῶν Περσῶν βασιλείαν διέμεινεν ἀνάλωτον, καὶ τότε πεφρονηματισμένον οὐ κατεπλάγη τὴν τῶν Μακεδόνων ἀρετήν. ὁ δὲ βασιλεὺς προκαταλαβόμενος τὰς παρόδους καὶ τῆς Κοσσαίας τὴν πλείστην πορθήσας, καὶ κατὰ πάσας τὰς συμπλοκὰς προτερῶν, πολλοὺς μὲν ἀπέκτεινε τῶν βαρβάρων, πολλαπλασίους δ' ἐξώγρησεν. οἱ δὲ Κοσσαῖοι πάντῃ νικώμενοι καὶ διὰ τὸ πλῆθος τῶν ἑαλωκότων χαλεπῶς φέροντες ἠναγκάσθησαν τῆς τῶν αἰχμαλώτων σωτηρίας τὴν δουλείαν ἀλλάξασθαι. διὸ καὶ τὰ καθ' ἑαυτοὺς ἐπιτρέψαντες ἐτύγχανον εἰρήνης σὺν τῷ ποιεῖν τὸ προσταττόμενον τῷ βασιλεῖ. ὁ δ' Ἀλέξανδρος ἐν ἡμέραις ταῖς πάσαις τετταράκοντα καταπολεμήσας τὸ ἔθνος, καὶ πόλεις ἀξιολόγους ἐν ταῖς δυςχωρίαις κτίσας, ἀνελάμβανε τὴν δύναμιν.

112 [Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Σωσικλέους ἐν Ῥώμῃ κατεστάθησαν ὕπατοι Λεύκιος Κορνήλιος Λέντλος καὶ Κόιντος Ποπίλιος. ἐπὶ δὲ τούτων] Ἀλέξανδρος καταπεπολεμηκὼς τὸ τῶν Κοσσαίων ἔθνος ἀνέζευξε μετὰ τῆς δυνάμεως, καὶ προῆγεν ἐπὶ τῆς Βαβυλῶνος, ἀεὶ δὲ κατὰ τὰς στρατοπεδείας διαλείπων καὶ τὴν δύναμιν ἀναλαμβάνων ἡσυχῇ προῆγεν. ἀπέχοντος δὲ αὐτοῦ τριακοσίους σταδίους τῆς Βαβυλῶνος, οἱ Χαλδαῖοι καλούμενοι, μεγίστην μὲν δόξαν ἐν ἀστρολογίᾳ περιπεποιημένοι, διὰ δέ τινος αἰωνίου παρατηρήσεως προλέγειν εἰωθότες τὰ μέλλοντα, προεχειρίσαντο μὲν ἐξ ἑαυτῶν τοὺς πρεσβυτάτους καὶ μεγίστην ἐμπειρίαν ἔχοντας, διὰ δὲ τῆς τῶν ἄστρων μαντείας γνόντες τὴν μέλλουσαν γίνεσθαι τοῦ βασιλέως τελευτὴν ἐν Βαβυλῶνι, προςέταξαν μηνῦσαι τῷ βασιλεῖ τὸν κίνδυνον καὶ παρασκευάσασθαι μηδενὶ

92. προςεδέδεκτο] προςέδεκτο Bas. 93. τῶν Περσῶν] Περσῶν FT 99. πάντῃ] ες super η ponit F 2. καὶ τὰ] καὶ τὸ FL 3. κατ' αὐτοὺς F 5. Ἀλέξανδρος] βασιλεὺς L τετταράκοντα F, τεσσαράκοντα caeteri, μ̄ Bas. 9. Σωσικλέους T, cum lacuna F, ἐπ' — Σωσικλέους om. Corpus 11. Ποπίλιος] Ποπίλλιος FT Bas.: totum capitis initium suppositum esse monuit Wesselingius 14. αἰεὶ F 16. τριακοσίους σταδίους] invertit F 20. ἑαυτῶν] αὐτῶν Bas. 22. γίνεσθαι F, caeteri γίγνεσθαι 23. ἐν Βαβυλῶνι post βασιλέως ponit F

τρόπῳ τὴν εἰς τὴν πόλιν εἴςοδον ποιήσασθαι. δύνασθαι δ' αὐτὸν ἐκφυγεῖν τὸν κίνδυνον, ἐὰν ἀναστήσῃ τὸν καθῃρημένον ὑπὸ Περσῶν τοῦ Βήλου τάφον καὶ τὴν βεβουλευμένην ὁδὸν ἐπιστήσας παρέλθῃ τὴν πόλιν. τῶν δὲ ἀποσταλέντων Χαλδαίων ὁ προκριθείς, ὄνομα Βελεφάντης, τῷ μὲν βασιλεῖ συνελθεῖν εἰς λόγους οὐκ ἐτόλμησε διὰ τὸν φόβον, Νεάρχῳ δ' ἑνὶ τῶν Ἀλεξάνδρου φίλων κατ' ἰδίαν ἐντυχὼν καὶ τὰ κατὰ μέρος ἀπαγγείλας, ἠξίου δηλῶσαι τῷ βασιλεῖ. ὁ δ' Ἀλέξανδρος ἀκούσας 249 παρὰ τοῦ Νεάρχου τὴν τῶν Χαλδαίων πρόῤῥησιν κατεπλάγη, καὶ μᾶλλον ἀεὶ τὴν ἀγχίνοιαν τῶν ἀνδρῶν καὶ δόξαν ἀναλογιζόμενος ἐταράττετο τὴν ψυχήν. τέλος δὲ τοὺς πολλοὺς τῶν φίλων ἀποστείλας εἰς τὴν πόλιν αὐτὸς εἰς ἄλλην ἀτραπὸν παρήλλαξε τὴν Βαβυλῶνα, καὶ καταστρατοπεδεύσας ἀπὸ σταδίων διακοσίων ἡσυχίαν εἶχε. πάντων δὲ θαυμαζόντων ἧκον πρὸς αὐτὸν ἄλλοι τε πλείους τῶν Ἑλλήνων καὶ τῶν φιλοσόφων οἱ περὶ τὸν Ἀνάξαρχον. οὗτοι δὲ μαθόντες τὴν αἰτίαν, καὶ τοῖς ἐκ φιλοσοφίας λόγοις χρησάμενοι ἐνεργῶς, τοσοῦτον μετέθηκαν αὐτὸν ὥςτε καταφρονῆσαι μὲν πάσης μαντικῆς, μάλιστα δὲ τῆς παρὰ Χαλδαίοις προτιμωμένης. διόπερ ὁ βασιλεύς, ὡςπερεὶ τετρωμένος τὴν ψυχὴν καὶ τοῖς τῶν φιλοσόφων λόγοις ὑγιασθείς, εἰς τὴν Βαβυλῶνα μετὰ τῆς δυνάμεως εἰςῆλθε. τῶν δὲ ἐγχωρίων, καθάπερ καὶ πρότερον, φιλανθρώπως ὑποδεχομένων τοὺς στρατιώτας ἅπαντες ὥρμησαν πρὸς ἄνεσιν καὶ τρυφήν, πολλῆς τῶν ἐπιτηδείων παρεσκευασμένης δαψιλείας. ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

113 Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Ἀγησίου Ῥωμαῖοι κατέστησαν ὑπάτους Γάϊον Ποιτήλιον καὶ Παπίριον, Ὀλυμπιὰς δ' ἤχθη τετάρτη πρὸς ταῖς ἑκατὸν καὶ δέκα, καθ' ἣν ἐνίκα στάδιον Μικίνας Ῥόδιος. κατα δὲ τοῦτον τὸν χρόνον ἐξ ἁπάσης σχεδὸν τῆς οἰκουμένης ἧκον πρέσβεις, οἱ μὲν συγχαίροντες ἐπὶ τοῖς κατορθώμασιν, οἱ δὲ στεφανοῦντες, ἄλλοι δὲ φιλίας καὶ συμμαχίας τιθέμενοι,

26. δ' F 28. τὴν β.] β. Bas. 32. δ' ἑνὶ] δέ τινι FL 33. τὰ om. Bas.
249. 39. εἰς om. Bas. παρήλλαξε] μεταπαρήλλαξε FLQ 44. λόγοις χρησάμενοι] invertit F 47. Χαλδαίοις] τοῖς Χαλδαίοις L 48. ὥςπερ] ὡςπερεὶ F 49. ὑγιασθεὶς] ὑπαχθεὶς TY Bas. 50. δ' Bas. 52. ἅπαντες] πάντες F 56. Ἀγησίου] Συναγησίου Bas. 57. Ποιτήλιον Livius: Ποπίλιον FLQ Cospus, caeteri Πόπλιον παπείριον F 59. στάδιον om. T Bas., asterisco notavit Stephanus Μικίνας] Μηκίνας FL 61. τῆς om. Bas.



πολλοὶ δὲ δωρεὰς μεγαλοπρεπεῖς κομίζοντες, τινὲς δὲ ὑπὲρ τῶν ἐγκαλουμένων ἀπολογούμενοι. χωρὶς γὰρ τῶν ἀπὸ τῆς Ἀσίας ἐθνῶν καὶ πόλεων ἔτι δὲ δυναστῶν πολλοὶ καὶ τῶν ἐκ τῆς Εὐρώπης καὶ Λιβύης κατήντησαν, ἐκ μὲν Λιβύης Καρχηδόνιοι καὶ Λιβυφοίνικες καὶ πάντες οἱ τὴν παράλιον οἰκοῦντες μέχρι τῶν Ἡρακλείων στηλῶν, ἐκ δὲ τῆς Εὐρώπης αἵ τε τῶν Ἑλλήνων πόλεις ἐξέπεμψαν καὶ Μακεδόνες, ἔτι δ' Ἰλλυριοὶ καὶ τῶν περὶ τὸν Ἀδρίαν οἰκούντων οἱ πλείους, τά τε Θρᾴκια γένη καὶ τῶν πλησιοχώρων Γαλατῶν, ὧν τότε πρῶτον τὸ γένος ἐγνώσθη παρὰ τοῖς Ἕλλησιν. ὁ δὲ Ἀλέξανδρος ἀπογραφὴν λαβὼν τῶν πρέσβεων διέταξε τοῖς μὲν πρώτοις διδόναι τὰς ἀποκρίσεις, καὶ τοῖς ἑξῆς ἅπασι. καὶ πρώτοις μὲν ἐχρημάτισε τοῖς ὑπὲρ τῶν ἱερῶν παραγεγενημένοις, δευτέροις δὲ τοῖς περὶ τῶν δωρεῶν ἥκουσιν, ἑξῆς δὲ τοῖς ἀμφιςβητήσεις ἔχουσι πρὸς τοὺς ὁμόρους, τετάρτοις δὲ τοῖς περὶ τῶν ἰδιωτικῶν ἥκουσι, πέμπτοις δὲ τοῖς ἀντιλέγουσι περὶ τῆς καθόδου τῶν φυγάδων. τοῖς μὲν οὖν Ἠλείοις πρώτοις ἐχρημάτισεν, εἶτ' Ἀμμωνιεῦσι 250 καὶ Δελφοῖς καὶ Κορινθίοις ἔτι δὲ Ἐπιδαυρίοις καὶ τοῖς ἄλλοις, κατὰ τὴν δόξαν τῶν ἱερῶν προκρίνων τὰς ἐντεύξεις. πάσαις δὲ ταῖς πρεσβείαις φιλοτιμηθεὶς κεχαρισμένας δοῦναι τὰς ἀποκρίσεις εὐαρεστουμένας ἀπέλυσε κατὰ τὸ δυνατόν.

114 Ἀπολύσας δὲ τὰς πρεσβείας περὶ τὴν ταφὴν ἐγίνετο τοῦ Ἡφαιστίωνος. τοσαύτην δὲ σπουδὴν ἐποιήσατο πρὸς τὴν τῆς ἐκφορᾶς ἐπιμέλειαν ὥςτε μὴ μόνον τὰς προγεγενημένας παρ' ἀνθρώποις ταφὰς ὑπερβαλέσθαι, ἀλλὰ καὶ τοῖς ἐσομένοις μηδεμίαν ὑπέρθεσιν καταλιπεῖν. καὶ γὰρ ἠγάπησεν αὐτὸν τῶν ἐν στοργῇ φίλων δοξαζομένων καὶ μετὰ τὴν τελευτὴν ἐτίμησεν αὐτὸν ἀνυπερβλήτως. ζῶντα μὲν γὰρ προετίμησε πάντων τῶν φίλων, καίπερ Κρατέρου φιλίαν ἔχοντος ἐνάμιλλον. ἐπεὶ γάρ τις τῶν ἑταίρων εἶπε μηδὲν καταδεέστερον Ἡφαιστίωνος τὸν Κράτερον στέργεσθαι, ἐπεφθέγξατο Κράτερον μὲν εἶναι φιλοβασιλέα, Ἡφαιστίωνα δὲ φιλαλέξανδρον. τῆς δὲ Δαρείου μητρὸς κατὰ τὴν πρώτην ἔντευξιν διὰ τὴν ἄγνοιαν προςκυνούσης τὸν Ἡφαιστίωνα ὡς ὄντα βασιλέα, καὶ

68. Λιβυφοίνικες] Λιβοφοίνικες F Bas., Cospus ἐξέπεμψαν] ἔπεμψαν FL δ' F 71. Ἰλλύριοι Bas. 80. ὁμόρους] ὁμήρους Cospus, qui mox om. Ἠλείοις
250. 93. ὑπερβαλέσθαι] ὑπερβάλλεσθαι F τοῖς ἐσομένοις] ταῖς ἐσομέναις FL 94. τῶν] ταῖς τῶν Bas.: μάλιστα τῶν Reiskius 97. Κρατεροῦ libri et infra 100. Κρατερὸν μὲν FL, caeteri Κρατερὸν μὲν γὰρ

μετὰ τὴν ἐπίγνωσιν διατρεπομένης, εἶπεν ὁ βασιλεύς, Μηδὲν φροντίσῃς, ὦ μῆτερ· καὶ γὰρ οὗτος Ἀλέξανδρος. καθόλου γὰρ ὁ Ἡφαιστίων τοσαύτης ἐξουσίας καὶ φιλικῆς ἐκοινώνει παῤῥησίας ὡς τῆς Ὀλυμπιάδος ἀλλοτρίως ἐχούσης πρὸς αὐτὸν διὰ τὸν φθόνον, καὶ κατὰ τὰς ἐπιστολὰς ἐπιτιμώσης αὐτῷ σκληρότερον καὶ ἀπειλούσης, τά τε ἄλλα γράψαι πρὸς αὐτὴν ἐπιπληκτικῶς καὶ κατὰ τὴν ἐπιστολὴν ἐπὶ τελευτῆς θεῖναι ταῦτα· Καὶ πρὸς ἡμᾶς παύου διαβαλλομένη καὶ μὴ χαλέπαινε μηδὲ ἀπείλει· εἰ δὲ μή, μετρίως ἡμῖν μελήσει. οἶδας γὰρ ὅτι Ἀλέξανδρος κρείττων ἁπάντων. ὁ δ᾽ οὖν βασιλεὺς τὰ πρὸς τὴν ἐκφορὰν παρασκευαζόμενος, ταῖς μὲν πλησίον πόλεσι προσέταξε κατὰ δύναμιν συμβάλλεσθαι πρὸς τὸν τῆς ἐκφορᾶς κόσμον. πᾶσι δὲ τοῖς κατὰ τὴν Ἀσίαν οἰκοῦσι προσέταξε τὸ παρὰ τοῖς Πέρσαις ἱερὸν πῦρ καλούμενον ἐπιμελῶς σβέσαι, μέχρι ἂν τελέσῃ τὴν ἐκφοράν· τοῦτο δὲ εἰώθεισαν οἱ Πέρσαι ποιεῖν κατὰ τὰς τῶν βασιλέων τελευτάς. τὸ δὲ πλῆθος χαλεπὸν οἰωνὸν ἐτίθετο τὸ πρόσταγμα, καὶ τὸ θεῖον ὑπελάμβανον προσημαίνειν τὸν τοῦ βασιλέως θάνατον. ἐγένετο δὲ καὶ ἄλλα σημεῖα παράδοξα προδηλοῦντα τὴν Ἀλεξάνδρου τελευτήν, περὶ ὧν μικρὸν ὕστερον ἐροῦμεν, ὅταν τὸν περὶ τῆς ἐκφορᾶς λόγον ἀποδῶμεν.

115 Τῶν γὰρ ἡγεμόνων καὶ φίλων ἕκαστος στοχαζόμενος τῆς τοῦ βασιλέως ἀρεσκείας κατεσκεύαζεν εἴδωλα δι᾽ ἐλέφαντος καὶ χρυσοῦ καὶ τῶν ἄλλων τῶν θαυμαζομένων παρ᾽ ἀνθρώποις, αὐτὸς δὲ τοὺς ἀρχιτέκτονας ἀθροίσας καὶ λεπτουργῶν πλῆθος τοῦ μὲν τείχους καθεῖλεν ἐπὶ δέκα σταδίους, την δ᾽ ὀπτὴν πλίνθον ἀναλεξάμενος, καὶ τὸν δεχόμενον τὴν πυρὰν τόπον ὁμαλὸν κατασκευάσας, 251 ᾠκοδόμησε τετράπλευρον πυράν, σταδιαίας οὔσης ἑκάστης πλευρᾶς. εἰς τριάκοντα δὲ δόμους διελόμενος τὸν τόπον, καὶ καταστρώσας τὰς ὀροφὰς φοινίκων στελέχεσι, τετράγωνον ἐποίησε πᾶν τὸ κατασκεύασμα. μετὰ δὲ ταῦτα περιετίθει τῷ περιβόλῳ παντὶ κόσμον, οὗ τὴν μὲν κρηπῖδα χρυσαῖ πεντηρικαὶ πρῷραι συνεπλήρουν, οὖσαι τὸν ἀριθμὸν διακόσιαι τετταράκοντα, ἐπὶ δὲ τῶν ἐπωτίδων ἔχουσαι δύο μὲν τοξότας εἰς γόνυ κεκαθικότας τετραπήχεις, ἀνδριάντας δὲ πενταπήχεις καθωπλισμένους, τοὺς δὲ μεταξὺ τόπους φοινικίδες ἀνεπλήρουν πιληταί. ὑπεράνω δὲ τούτων τὴν δευτέραν ἐπανεῖχον χώραν δᾷδες πεντεκαιδεκαπήχεις, κατὰ μὲν τὴν λαβὴν ἔχουσαι χρυσοῦς στεφάνους, κατὰ δὲ τὴν ἐκφλόγωσιν ἀετοὺς διαπεπετακότας τὰς πτέρυγας καὶ κάτω νεύοντας, παρὰ δὲ τὰς βάσεις δράκοντας ἀφορῶντας τοὺς ἀετούς. κατὰ δὲ τὴν τρίτην περιφορὰν κατεσκεύαστο ζῴων παντοδαπῶν πλῆθος κυνηγουμένων. ἔπειτα ἡ μὲν τετάρτη χώρα κενταυρομαχίαν χρυσῆν εἶχεν, ἡ δὲ πέμπτη λέοντας καὶ ταύρους ἐναλλὰξ χρυσοῦς. τὸ δ᾽ ἀνώτερον μέρος ἐπεπλήρωτο Μακεδονικῶν καὶ βαρβαρικῶν ὅπλων, ὧν μὲν τὰς ἀνδραγαθίας, ὧν δὲ τὰς ἥττας σημαινόντων. ἐπὶ πᾶσι δὲ ἐφειστήκεισαν Σειρῆνες διάκοιλοι καὶ δυνάμεναι λεληθότως δέξασθαι τοὺς ἐν αὐταῖς ὄντας καὶ ᾄδοντας ἐπικήδειον θρῆνον τῷ τετελευτηκότι. τὸ δ᾽ ὕψος ἦν ὅλου τοῦ κατασκευάσματος πήχεις πλείους τῶν ἑκατὸν τριάκοντα. καθόλου δὲ τῶν τε ἡγεμόνων καὶ τῶν στρατιωτῶν ἁπάντων καὶ τῶν πρέσβεων ἔτι δὲ τῶν ἐγχωρίων φιλοτιμηθέντων εἰς τὸν τῆς ἐκφορᾶς κόσμον, φασὶ τὸ πλῆθος τῶν ἀναλωθέντων χρημάτων γεγονέναι πλείω τῶν μυρίων καὶ δισχιλίων ταλάντων. ἀκολούθως δὲ ταύτῃ τῇ μεγαλοπρεπείᾳ καὶ τῶν ἄλλων γενομένων κατὰ τὴν ἐκφορὰν τιμῶν τὸ τελευταῖον προσέταξεν ἅπασι θύειν Ἡφαιστίωνι θεῷ παρέδρῳ. καὶ γὰρ κατὰ τύχην ἧκεν εἷς τῶν φίλων Φίλιππος, χρησμὸν φέρων παρ᾽ Ἄμμωνος θύειν Ἡφαιστίωνι θεῷ. διόπερ γενόμενος περιχαρὴς ἐπὶ τῷ καὶ τὸν θεὸν κεκυρωκέναι τὴν αὐτοῦ γνώμην, πρῶτος τὴν θυσίαν ἐπετέλεσε, καὶ τὸ πλῆθος λαμπρῶς ὑπεδέξατο, μύρια τὸν ἀριθμὸν θύσας ἱερεῖα παντοδαπά.

Μετὰ δὲ τὴν ἐκφορὰν εἰς ἀνέσεις καὶ πανηγυρικὸν 116
βίον ἐκτραπέντος τοῦ βασιλέως, δοκοῦντος ἰσχύειν τότε πλεῖστον καὶ μάλιστ᾽ εὐδαιμονεῖν, ἡ πεπρωμένη συνῄρει τὸν ὑπὸ τῆς φύσεως αὐτῷ συγκεχωρημένον τοῦ ζῆν χρόνον. εὐθὺς δὲ καὶ τὸ θεῖον ἐσήμαινε τὴν τελευτὴν αὐτοῦ, πολλῶν καὶ παραδόξων οἰωνῶν καὶ σημείων συντελουμένων. τοῦ γὰρ βασιλέως ἀλειφομένου, καὶ τῆς βασιλι-

4. εἶπεν ὁ βασιλεὺς] εἶπε F, εἶπεν Bas. 17. κατὰ] κατὰ τὴν F 21. μέχρι] μέχρις F εἰώθεισαν L, et vertit Cospus, caeteri εἰώθασιν 30. ἐλέφαντος] κατεσκευασμένα addunt FL 34. ἀναλεξάμενος] ἀναδεξάμενος FL 251. 37. δὲ om. Bas. 39. πᾶν om. Bas. 41. πρῷραι] πλῶραι F 42. τετταράκοντα F, caeteri τεσσαράκοντα, μ̄ Bas.

49. διαπεπετακότας] διαπεπτακότας T Bas. 50. κάτω νεύοντας] κατανεύοντας Bas. 51. δράκοντας] δράκοντα Bas. τοὺς] περὶ τοὺς FL 56. ἐπεπλήρωτο] ἀπεπεπλήρωτο L, ἀποπεπλήρωτο F 60. ἐπικήδειον] ἐπικήδιον omnes 70. παρέδρῳ Blancardus: libri προέδρῳ 72. καὶ τὸν θεὸν κεκυρωκέναι] τῷ θεῷ κυρώσαντι Q 74. τὸ πλῆθος] τὰ πλήθη FL 75. ἱερεῖα] ἱερὰ Bas. 78. μάλιστ᾽ Bas., caeteri μάλιστα

κῆς ἐσθῆτος καὶ διαδήματος ἐπί τινος θρόνου τεθέντος, 252
τῶν ἐγχωρίων τις δεδεμένος ἐλύθη τὰς πέδας αὐτομάτως, καὶ λαθὼν τοὺς φύλακας διῆλθε διὰ τῶν τῆς αὐλῆς θυρῶν ἀνεπικωλύτως. προςελθὼν δὲ τῷ θρόνῳ καὶ τὴν βασιλικὴν ἐνδυσάμενος ἐσθῆτα καὶ τὸ διάδημα περιθέμενος, ἐκάθισεν ἐπὶ τοῦ θρόνου καὶ τὴν ἡσυχίαν ηγε. γνωσθείσης δὲ τῆς πράξεως ὁ βασιλεὺς καταπλαγεὶς τὸ παράδοξον προςῆλθε τῷ θρόνῳ, καὶ χωρὶς καταπλήξεως ἡσυχῇ τὸν ἄνθρωπον ἀνέκρινε τίς ὢν καὶ τί βουλόμενος τοῦτο ἔπραξε. τοῦ δὲ εἰπόντος μηδὲν ἁπλῶς γινώσκειν, τοῖς μάντεσι προςαναθέμενος περὶ τοῦ σημείου, τοῦτον μὲν κατὰ τὴν ἐκείνων κρίσιν ἀπέκτεινεν, ὅπως τὰ σημαινόμενα δυςχερῆ εἰς ἐκεῖνον τρέπηται, αὐτὸς δὲ ἀναλαβὼν τὴν ἐσθῆτα, καὶ θεοῖς ἀποτροπαίοις θύσας, ἐν ἀγωνίᾳ καθειστήκει, καὶ τῆς τῶν Χαλδαίων προῤῥήσεως ἐμνημόνευσε, καὶ τοὺς μὲν συμπείσαντας φιλοσόφους παρελθεῖν εἰς τὴν Βαβυλῶνα κατεμέμφετο, τὴν δὲ τέχνην τῶν Χαλδαίων καὶ τὴν τῶν ἀνδρῶν ἀγχίνοιαν ἐθαύμαζε, καθόλου δὲ τοὺς ταῖς εὑρεσιλογίαις κατασοφιζομένους τὴν δύναμιν τῆς πεπρωμένης ἐβλασφήμει. μετ' ὀλίγον δὲ ἄλλο σημεῖον αὐτῷ περὶ τῆς βασιλείας τὸ δαιμόνιον ἐπέστησε. βουλομένου γὰρ αὐτοῦ θεάσασθαι τὴν περὶ τὴν Βαβυλῶνα λίμνην, καὶ πλέοντος μετὰ τῶν φίλων ἔν τισιν ἀκάτοις, ἐφ' ἡμέρας μέν τινας ἀποσχισθείσης τῆς νεὼς ἀπὸ τῶν ἄλλων σκαφῶν ἐπλανήθη μόνος, ὥςτε καὶ τὴν σωτηρίαν ἀπογνῶναι. ἔπειτα διά τινος αὐλῶνος στενοῦ καὶ συμπεπυκασμένου δένδρεσι διαπλέοντος, καὶ τῶν μὲν ὑπερκειμένων, τοῦ δὲ διαδήματος ὑπὸ τούτων ἀρθέντος, καὶ πάλιν εἰς τὴν λίμνην πεσόντος, εἷς τῶν ἐρετῶν προςνηξάμενος καὶ βουλόμενος ἀσφαλῶς σῶσαι τὸ διάδημα, προςέθετο τῇ κεφαλῇ, καὶ προςενήξατο τῷ πλοίῳ. τρεῖς δὲ ἡμέρας καὶ τὰς ἴσας νύκτας διαπλανηθεὶς διεσώθη, καὶ τὸ διάδημα περιθέμενος ἀνελπίστως, πάλιν τοῖς μάντεσι προς-
117 ανέφερε περὶ τῶν προςημαινομένων. τούτων δὲ παρακελευομένων θυσίας ἐπιτελεῖν τοῖς θεοῖς μεγαλοπρεπεῖς μετὰ πάσης σπουδῆς, παρεκλήθη πρός τινα τῶν φίλων Μήδιον τὸν Θετταλὸν ἐπὶ κῶμον ἐλθεῖν· κἀκεῖ

252. 87. ἐνδυσάμενος] ἐνδὺς FL 89. τοῦ θρόνου] τὸν θρόνον FY Bas. 99. ἐμνημόνευσε] ἐμνημόνευε FL 1. Βαβυλῶνα] Βαβυλωνίαν QY 3. εὑρεσιλ. L, caeteri εὑρησιλ. 6. ἐπέστησε] ἔστησε FL 7. Βαβυλῶνα F, caeteri Βαβυλωνίαν 10. ἐπλανήθη] ἐπλάνη Bas. 15. ἐρετῶν] ὑπηρετῶν FL 22. πάλιν post τούτων δὲ om. FLT Bas., asterisco notavit Stephanus



πολὺν ἄκρατον ἐμφορηθείς, ἐπὶ τελευτῆς Ἡρακλέους μέγα ποτήριον πληρώσας ἐξέπιεν. ἄφνω δὲ ὥςπερ ὑπό τινος πληγῆς ἰσχυρᾶς πεπληγμένος ἀνεστέναξε μέγα βοήσας,
253 καὶ ὑπὸ τῶν φίλων ἀπηλλάττετο χειραγωγούμενος. εὐθὺς δ' οἱ μὲν περὶ τὴν θεραπείαν ἐκδεξάμενοι κατέκλιναν αὐτὸν καὶ προςήδρευον ἐπιμελῶς. τοῦ δὲ πάθους ἐπιτείνοντος, καὶ τῶν ἰατρῶν συγκληθέντων, βοηθῆσαι μὲν οὐδεὶς ἠδυνήθη, πολλοῖς δὲ πόνοις καὶ δειναῖς ἀλγηδόσι συσχεθείς, ἐπειδὴ τὸ ζῆν ἀπέγνω, περιελόμενος τὸν δακτύλιον ἔδωκε Περδίκκᾳ. τῶν δὲ φίλων ἐπερωτώντων Τίνι τὴν βασιλείαν ἀπολείπεις; εἶπε Τῷ κρατίστῳ, καὶ προςεφθέγξατο, ταύτην τελευταίαν φωνὴν προϊέμενος, ὅτι μέγαν ἀγῶνα αὐτῷ ἐπιτάφιον συστήσονται πάντες οἱ πρωτεύοντες τῶν φίλων. οὗτος μὲν οὖν τὸν προειρημένον τρόπον ἐτελεύτησε, βασιλεύσας ἔτη δώδεκα καὶ μῆνας ἑπτά, πράξεις δὲ μεγίστας κατεργασάμενος οὐ μόνον τῶν πρὸ αὐτοῦ βασιλευσάντων, ἀλλὰ καὶ τῶν ὕστερον ἐσομένων μέχρι τοῦ καθ' ἡμᾶς βίου.

Ἐπεὶ δέ τινες τῶν συγγραφέων περὶ τῆς τελευτῆς τοῦ βασιλέως τούτου διαπεφωνήκασιν, ἀποφαινόμενοι διὰ φαρμάκου θανασίμου γεγονέναι τὸν θάνατον, ἀναγκαῖον ἡγούμεθα δεῖν μὴ παραλιπεῖν αὐτῶν τοὺς λό- 118
γους. φασὶ γὰρ Ἀντίπατρον ἐπὶ τῆς Εὐρώπης στρατηγὸν ὑπ' αὐτοῦ καταλειφθέντα διενεχθῆναι πρὸς Ὀλυμπιάδα τὴν μητέρα τοῦ βασιλέως, καὶ τὸ μὲν πρῶτον καταφρονεῖν αὐτῆς διὰ τὸ μὴ προςδέχεσθαι τὸν Ἀλέξανδρον τὰς κατ' αὐτοῦ διαβολάς· ὕστερον δ' ἀεὶ τῆς ἔχθρας αὐξομένης, τοῦ βασιλέως διὰ τὸ πρὸς τὸ θεῖον εὐσεβὲς πάντα βουλομένου τῇ μητρὶ χαρίζεσθαι, πολλὰς ἐμφάσεις διδόναι τῆς πρὸς αὐτὸν ἀλλοτριότητος· πρὸς δὲ τούτοις τῆς Παρμενίωνος καὶ Φιλώτου σφαγῆς φρίκην ἐμποιούσης τοῖς φίλοις, διὰ τοῦ ἰδίου υἱοῦ τεταγμένου περὶ τὸν κύαθον δοῦναι πιεῖν θανάσιμον φάρμακον τῷ βασιλεῖ. μετὰ δὲ τὴν τελευτὴν πλεῖστον ἰσχύσαντος τῶν κατὰ τὴν Εὐρώπην, καὶ μετὰ ταῦτα Κασσάνδρου τοῦ υἱοῦ διαδεξαμένου τὴν βασιλείαν, πολλοὺς συγγραφεῖς μὴ τολμᾶν γράψαι περὶ τῆς φαρμακείας. φανερὸν δὲ γεγονέναι Κάσσανδρον δι' αὐτῶν τῶν πράξεων ἀλλοτριώτατα διακείμενον τοῖς Ἀλεξάνδρου πράγμασι. τήν τε γὰρ

29. μέγα βοήσας καὶ] καὶ μέγα (?) βοήσας L, καὶ μεγάλα βοήσας FQ 253. 39. συστήσονται] ποιήσασθαι F in marg. correctus 53. προςδέχεσθαι LX, caeteri παραδέχεσθαι 55. ἀεὶ] αἰεὶ omnes 56. βουλομένου] βουλόμενος F 57. τῆς — ἀλλοτριότητος] τῇ — ἀλλοτριότητι F 63. Κασάνδρου F Bas. et mox Κάσανδρον

Ὀλυμπιάδα φονεύσαντα ἄταφον ῥῖψαι καὶ τὰς ὑπ' ἐκείνου κατασκαφείσας Θήβας οἰκίσαι μετὰ πολλῆς σπουδῆς. μετὰ δὲ τὴν τοῦ βασιλέως τελευτὴν καὶ Σισύγαμβρις ἡ Δαρείου μήτηρ, πολλὰ καταθρηνήσασα τήν τε Ἀλεξάνδρου τελευτὴν καὶ τὴν ἑαυτῆς ἐρημίαν, ἐπὶ τῆς ἐσχάτης τοῦ βίου γραμμῆς ἐγκαρτερήσασα πεμπταία κατέστρεψε 254 τὸν βίον, ἐπιλύπως μὲν οὐκ ἀκλεῶς δὲ προεμένη τὸ ζῆν. ἡμεῖς δὲ ἐπὶ τὴν Ἀλεξάνδρου τελευτὴν παρόντες κατὰ τὴν ἐν ἀρχῇ τῆς βίβλου πρόθεσιν τὰς τῶν διαδεξαμένων πράξεις ἐν ταῖς ἑπομέναις βίβλοις πειρασόμεθα διεξιέναι.

68. φονεύσαντα] φονεύσας F 69. κατασκαφείσας] κατασκαφθείσας Bas. 71. καὶ om. Bas. Σισύγαμβρις] Σισίγαμβρις FT Bas., *Sisyngambris* Cospus, caeteri Σισίγγαμβρις
254. 75. οὐκ ἀκλεῶς] οὐ καλῶς QX

255 ΤΑΔΕ ΕΝΕΣΤΙΝ

# ΕΝ ΤΗΙ ΟΚΤΩΚΑΙΔΕΚΑΤΗΙ

## ΤΩΝ ΔΙΟΔΩΡΟΥ ΒΙΒΛΩΝ.

αʹ. Ἡ γενομένη ταραχὴ καὶ στάσις μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν ἐν ταῖς δυνάμεσι.

βʹ. Περδίκκου παράληψις τῆς κατὰ τὴν βασιλείαν ἐπιμελείας καὶ διαίρεσις τῶν σατραπειῶν.

γʹ. Ἀπόστασις τῶν ἐν ταῖς ἄνω σατραπείαις Ἑλλήνων, καὶ ἀποστολὴ στρατηγοῦ Πύθωνος ἐπ' αὐτούς.

δʹ. Ἀπαγγελία τῆς κατὰ τὴν Ἀσίαν θέσεως καὶ τῶν ἐν αὐτῇ σατραπειῶν.

εʹ. Ὡς Πύθων κατεπολέμησε τοὺς ἀποστάντας Ἕλληνας.

ϛʹ. Ὡς Ἀθηναῖοι πόλεμον ἐξήνεγκαν πρὸς Ἀντίπατρον τὸν ὀνομασθέντα Λαμιακόν.

ζʹ. Ὡς Λεωσθένης ἀναδειχθεὶς στρατηγὸς καὶ συστησάμενος δύναμιν, ἐνίκησε μάχῃ τὸν Ἀντίπατρον καὶ συνέκλεισεν εἰς πόλιν Λαμίαν.

ηʹ. Λεωσθένους τοῦ στρατηγοῦ τελευτὴ καὶ ἐπιτάφιος.

θʹ. Παράληψις τῶν σατραπειῶν ὑπὸ τῶν μεμερισμένων αὐτάς.

ιʹ. Ἱππομαχία τῶν Ἑλλήνων πρὸς Λεόννατον καὶ νίκη τῶν Ἑλλήνων.

ιαʹ. Ὡς Ἀντίπατρος Λεοννάτου σφαγέντος ἐν τῇ μάχῃ παρέλαβε τὴν Λεοννάτου δύναμιν.

ιβʹ. Ὡς Κλεῖτος ὁ τῶν Μακεδόνων ναύαρχος ἐνίκησε δυσὶ ναυμαχίαις τοὺς Ἕλληνας.

ιγʹ. Ὡς Περδίκκας Ἀριαράθην τὸν βασιλέα παρατάξει μεγάλῃ νικήσας, ἐζώγρησε τὸν βασιλέα μετὰ καὶ πολλῶν ἄλλων.

255. inscr. τῶν Δ.] Δ. Bas. 5. ἀπόστασις — αὐτοὺς dittographia sunt illorum ὡς Πύθων κατεπολέμησε — Ἕλληνας et loco praepostero ponuntur 6. Πύθωνος W constanter, aliquoties F, caeteri Πίθωνος 8. ἀπαγγελία] ἐπαγγελία W 16. Λαμίαν] Λαμιανόν Bas. 19. μεμερισμένων] μερισάντων W

ιδ'. Ὡς Κράτερος βοηθήσας Ἀντιπάτρῳ ἐνίκησε τοὺς Ἕλληνας καὶ κατέλυσε τὸν Λαμιακὸν πόλεμον.

ιε'. Περὶ τῶν ὑπ' Ἀντιπάτρου πραχθέντων πρὸς Ἀθηναίους καὶ τοὺς ἄλλους Ἕλληνας.

ιϛ'. Περὶ τῶν πραχθέντων ἐν τῷ κατὰ Κυρήνην πολέμῳ Πτολεμαίῳ. 256

ιζ'. Ὡς Περδίκκας ἐμβαλὼν εἰς τὴν Πισιδίαν Λαρανδεῖς μὲν ἐξηνδραποδίσατο, Ἰσαυρεῖς δὲ πολιορκήσας ἠνάγκασεν ἑαυτούς τε κατασφάξαι καὶ τὴν πόλιν ἐμπρῆσαι.

ιη'. Ἀντιπάτρου καὶ Κρατέρου στρατεία εἰς Αἰτωλίαν.

ιθ'. Κατακομιδὴ τοῦ Ἀλεξάνδρου σώματος ἐκ Βαβυλῶνος εἰς Ἀλεξάνδρειαν καὶ τῆς κατὰ τὴν ἁρμάμαξαν πολυτελείας ἀπαγγελία.

κ'. Ὡς Εὐμένης παρατάξει νικήσας Κράτερον κατέσφαξεν ἐν τῇ μάχῃ καὶ Νεοπτόλεμον.

κα'. Ὡς Περδίκκας εἰς Αἴγυπτον στρατεύσας ὑπὸ τῶν φίλων ἀνῃρέθη.

κβ'. Ὡς τῶν βασιλέων ἐπιμελητὴς ᾑρέθη Πύθων, καὶ μετ' αὐτοῦ Ἀῤῥιδαῖος, ὕστερον δ' Ἀντίπατρος.

κγ'. Ὡς Ἀντίπατρος ἡγεμὼν κατασταθεὶς τῶν ὅλων ἐμερίσατο τὰς σατραπείας ἐξ ἀρχῆς ἔν τινι παραδείσῳ τῆς Συρίας.

κδ'. Ὡς Ἀντίγονος ὑπ' Ἀντιπάτρου κατασταθεὶς στρατηγὸς κατεπολέμησε τὸν Εὐμένη.

κε'. Περὶ Εὐμένους καὶ τῶν περὶ αὐτὸν γενομένων παραδόξων μεταβολῶν.

κϛ'. Ὡς Πτολεμαῖος τήν τε Φοινίκην καὶ τὴν κοίλην Συρίαν προσεκτήσατο.

κζ'. Ὡς Ἀντίγονος Ἀλκέταν ἐνίκησεν ἐπιφανεῖ παρατάξει.

κη'. Ἀντιπάτρου θάνατος καὶ τῆς βασιλικῆς δυνάμεως παράληψις ὑπὸ Πολυσπέρχοντος.

κθ'. Ὡς Ἀντίγονος μετεωρισθεὶς ἐπί τε τῇ Ἀντιπάτρου τελευτῇ καὶ τοῖς ὑφ' αὐτοῦ κατειργασμένοις ἀντεποιήσατο τῆς βασιλείας.

256. 34. *πολέμῳ*] *τόπῳ* omnes 38. *ἠνάγκασεν*] *συνηνάγκασεν* QWY *ἑαυτούς*] *αὐτοὺς* QW *τε* om. QW Bas. *κατασφάξαι καὶ τὴν πόλιν ἐμπρῆσαι*] *καταφλέξαι τὴν πόλιν σὺν τοῖς φιλτάτοις* QW 44. *νικήσας Κρατερὸν*] *νικήσας καταπατηθέντος καὶ ἀποθανόντος Κρατεροῦ* QW 45. *καὶ Νεοπτόλεμον* om. T Bas., asterisco notavit Stephanus 48. *βασιλέων* Rhodomannus: libri *βασιλείων* 50. *ἐμερίσατο* W, caeteri *ἐπεμερίσατο* 61. *Πολυσπέρχοντος*] *Πολυπέρχοντος* Bas. hic et infra



λ'. Εὐμένους αὔξησις παράδοξος καὶ παράληψις τῆς τε τῶν βασιλέων ἐπιμελείας καὶ τῆς Μακεδονικῆς δυνάμεως.

λα'. Κασσάνδρου αὔξησις καὶ πόλεμος πρὸς Πολυσπέρχοντα τὸν ἐπιμελητὴν τῶν βασιλέων καὶ κοινοπραγία πρὸς Ἀντίγονον.

λβ'. Ὡς Εὐμένης ἐν Κιλικίᾳ τοὺς ἀργυράσπιδας παραλαβὼν εἰς τὰς ἄνω σατραπείας ἀπῆλθε καὶ δύναμιν ἀξιόλογον παρεσκευάσατο.

λγ'. Περὶ τῆς Εὐμένους ἀγχινοίας καὶ στρατηγίας καὶ τῶν ὑπ' αὐτοῦ πραχθέντων μέχρι τῆς τελευτῆς.

λδ'. Τὰ συμβάντα περὶ Κάσσανδρον κατὰ τὴν Ἀττικὴν καὶ Νικάνορα τὸν φρουροῦντα τὴν Μουνυχίαν.

λε'. Φωκίωνος τοῦ χρηστοῦ προσαγορευθέντος θάνατος.

λϛ'. Ὡς Πολυσπέρχων Μεγαλοπολίτας πολιορκήσας, καὶ πολλὰ παθὼν καὶ δράσας, ἄπρακτος ἐπανῆλθεν.

λζ'. Ὡς Κλεῖτος ὁ Πολυσπέρχοντος ναύαρχος ἐνίκησε ναυμαχίᾳ Νικάνορα τὸν Κασσάνδρου ναύαρχον.

λη'. Ὡς Ἀντίγονος ἐπιφανῶς νικήσας ναυμαχίᾳ τὸν Κλεῖτον ἐθαλαττοκράτησεν.

λθ'. Ὡς Εὐμένης ὑπὸ Σελεύκου περὶ τὴν Βαβυλῶνα συγκλεισθεὶς εἰς τοὺς ἐσχάτους κινδύνους ἐσώθη διὰ τὴν ἰδίαν ἀγχίνοιαν.

μ'. Ὡς Πολυσπέρχων καταφρονηθεὶς ὑπὸ τῶν Ἑλλήνων καὶ ταπεινωθεὶς διεπολέμει πρὸς Κάσσανδρον.

65. *Εὐμένους*] *Εὐμένου* Bas. 66. *βασιλέων* Rhodomannus: libri *βασιλείων* *Μακεδονικῆς δυνάμεως*] *Μακεδονικῶν δυνάμεων* W, ex quo nihil ad *τῆς* annotatum 68. *Κασάνδρου* Bas. constanter 76. *τὰ* W, *διὰ τὰ* caeteri, cum praecedentibus iungentes 77. *Μουνυχίαν* TW, caeteri *Μουνιχίαν*

## ΔΙΟΔΩΡΟΥ ΤΟΥ ΣΙΚΕΛΙΩΤΟΥ 257

## ΒΙΒΛΙΟΘΗΚΗΣ ΙΣΤΟΡΙΚΗΣ

### ΒΙΒΛΟΣ ΟΚΤΩΚΑΙΔΕΚΑΤΗ.

1 Πυθαγόρας ὁ Σάμιος καί τινες ἕτεροι τῶν παλαιῶν φυσικῶν ἀπεφήναντο τὰς ψυχὰς τῶν ἀνθρώπων ὑπάρχειν ἀθανάτους· ἀκολούθως δὲ τῷ δόγματι τούτῳ καὶ προγινώσκειν αὐτὰς τὰ μέλλοντα καθ' ὃν ἂν καιρὸν ἐν τῇ τελευτῇ τὸν ἀπὸ τοῦ σώματος χωρισμὸν ποιῶνται. τούτοις δὲ ἔοικε συμφωνεῖν καὶ ὁ ποιητὴς Ὅμηρος, παρειςάγων τὸν Ἕκτορα κατὰ τὸν τῆς τελευτῆς καιρὸν προλέγοντα τῷ Ἀχιλλεῖ τὸν μέλλοντα συντόμως αὐτῷ συνακολουθήσειν θάνατον. ὁμοίως δὲ καὶ κατὰ τοὺς νεωτέρους χρόνους ἐπὶ πολλῶν καταστρεφόντων τὸν βίον ἱστορεῖται γεγονέναι τὸ προειρημένον, καὶ μάλιστ' ἐπὶ τῆς Ἀλεξάνδρου τοῦ Μακεδόνος τελευτῆς. οὗτος γὰρ ἐν Βαβυλῶνι μεταλλάττων τὸν βίον κατὰ τὴν ἐσχάτην ἀναπνοὴν ἐρωτηθεὶς ὑπὸ τῶν φίλων τίνι τὴν βασιλείαν ἀπολείπει εἶπε Τῷ ἀρίστῳ· προορῶμαι γὰρ ἐπιτάφιον μέγαν ἀγῶνα γενησόμενόν μοι τῶν φίλων. ὅπερ καὶ πρὸς ἀλήθειαν ἐξέβη· οἱ γὰρ ἐπιφανέστατοι τῶν φίλων ὑπὲρ τοῦ πρωτείου διενεχθέντες πολλοὺς πολέμους καὶ μεγάλους ἀγῶνας συνεστήσαντο μετὰ τὴν Ἀλεξάνδρου τελευτήν. τὰς δὲ συντελεσθείσας ὑπ' αὐτῶν πράξεις ἡ βίβλος αὕτη περιέχουσα ποιήσει φανερὸν τὸ ῥηθὲν τοῖς φιλαναγνωστοῦσιν. ἡ μὲν γὰρ πρὸ ταύτης βίβλος τὰς Ἀλεξάνδρου πράξεις ἁπάσας περιείληφε μέ-

257. inscr. Δ. — ὀκτωκαιδ.] om. W, Δ. Σ. ἱστοριῶν ιη λόγος Bas. 5. τῷ om. Bas. προγινώσκειν F, caeteri προγιγνώσκειν 12. δὲ καὶ] δὲ V et fortasse F καταστρεφόντων] καταστραφέντων F 14. μάλιστ' F, caeteri μάλιστα 16. ὑπὸ] παρὰ FVW 22. συνεστήσαντο] συνέστησαν F 25. post ταύτης delevi συντελεσθεῖσα



χρι τῆς τελευτῆς· αὕτη δὲ τὰ τοῖς διαδεξαμένοις τὴν τούτου βασιλείαν πεπραγμένα περιέχουσα τελευτὴν μὲν ἔχει τὸν προηγούμενον ἐνιαυτὸν τῆς Ἀγαθοκλέους τυραννίδος, περιείληφε δ' ἔτη ἑπτά.

Ἐπ' ἄρχοντος γὰρ Ἀθήνησι Κηφισοδώρου Ῥωμαῖοι 2
μὲν κατέστησαν ὑπάτους Λεύκιον Φούριον καὶ Δέκιμον Ἰούνιον. ἐπὶ δὲ τούτων Ἀλεξάνδρου τοῦ βασιλέως
258 τετελευτηκότος ἄπαιδος ἀναρχία καὶ πολλὴ στάσις ἐγένετο περὶ τῆς ἡγεμονίας. ἡ μὲν γὰρ τῶν πεζῶν φάλαγξ Ἀῤῥιδαῖον τὸν Φιλίππου μὲν υἱόν, ψυχικοῖς δὲ πάθεσι συνεχόμενον ἀνιάτοις, προῆγεν ἐπὶ τὴν βασιλείαν. οἱ δὲ μέγιστον ἔχοντες ἀξίωμα τῶν φίλων καὶ σωματοφυλάκων συνεδρεύσαντες καὶ προςλαβόμενοι τὸ τῶν ἱππέων τῶν ἑταίρων ὀνομαζομένων σύστημα, τὸ μὲν πρῶτον διαγωνίζεσθαι τοῖς ὅπλοις πρὸς τὴν φάλαγγα διέγνωσαν, καὶ πρέσβεις ἀπέστειλαν πρὸς τοὺς πεζοὺς ἐκ τῶν ἀξίωμα ἐχόντων ἀνδρῶν, ὧν ἦν ἐπιφανέστατος Μελέαγρος, ἀξιοῦντες πειθαρχεῖν αὐτοῖς. ὁ δὲ Μελέαγρος ὡς ἧκε πρὸς τοὺς πεζοὺς φαλαγγίτας, τῆς μὲν πρεσβείας οὐδεμίαν ἐποιήσατο μνείαν, τοὐναντίον δ' ἐπαινέσας αὐτοὺς ἐπὶ τοῖς δεδογμένοις παρώξυνε κατὰ τῶν ἐναντιουμένων. διόπερ οἱ Μακεδόνες ἡγεμόνα καταστήσαντες ἑαυτῶν τὸν Μελέαγρον προῆγον πρὸς τοὺς ἀντιλέγοντας μετὰ τῶν ὅπλων. τῶν δὲ σωματοφυλάκων ἀποχωρησάντων ἐκ τῆς Βαβυλῶνος καὶ παρασκευαζομένων εἰς πόλεμον, οἱ χαριέστατοι τῶν ἀνδρῶν ἔπεισαν αὐτοὺς ὁμονοῆσαι. εὐθὺς δὲ βασιλέα κατέστησαν τὸν Φιλίππου υἱὸν Ἀῤῥιδαῖον, καὶ μετωνόμασαν Φίλιππον, ἐπιμελητὴν δὲ τῆς βασιλείας Περδίκκαν, ᾧ καὶ ὁ βασιλεὺς τὸν δακτύλιον τελευτῶν ἐδεδώκει, τοὺς δὲ ἀξιολογωτάτους τῶν φίλων καὶ σωματοφυλάκων παραλαβεῖν τὰς σατραπείας καὶ ὑπακούειν τῷ τε βασιλεῖ καὶ τῷ Περδίκκᾳ.

Οὗτος δὲ παραλαβὼν τὴν τῶν ὅλων ἡγεμονίαν καὶ 3
συνεδρεύσας μετὰ τῶν ἡγεμόνων Πτολεμαίῳ μὲν τῷ Λάγου τὴν Αἴγυπτον ἔδωκε, Λαομέδοντι δὲ τῷ Μυτιληναίῳ

27. τοῖς διαδεξαμένοις] δεδεξαμένοις Bas. 31. Κηφισοδώρου] κηφησιδώρου F 32. Φούριον] libri Φρούριον Δέκιμον V, caeteri Δέκιον

258. 37. προῆγεν] προςῆγεν X 40. ἑταίρων] ἑτέρων Bas. 45. αὐτοῖς] αὐτοὺς V 46. post πεζοὺς delevit Wesselingius praeeunte Castellione ἐκ τῶν ἀξίωμα ἐχόντων ἀνδρῶν, ὧν ἦν ἐπιφανέστατος: potest etiam ipsum πεζοὺς abesse 47. φαλαγγίτας FTYW, Φαλαγγίας Q, caeteri Φαλαγγίτης 54. εἰς om. Bas. 55. αὐτοὺς] αὐτὸν FQTVWY εὐθὺς] εὐθὺ FT Bas. 59. ἐδεδώκει] δεδώκει T

Συρίαν, Φιλώτᾳ δὲ Κιλικίαν, καὶ Πύθωνι μὲν Μηδίαν, Εὐμένει δὲ Παφλαγονίαν καὶ Καππαδοκίαν καὶ πάσας τὰς συνοριζούσας ταύταις χώρας, ἃς Ἀλέξανδρος οὐκ ἐπῆλθεν ἐκκλεισθεὶς ὑπὸ τῶν καιρῶν, ὅτε διεπολέμει πρὸς Δαρεῖον, Ἀντιγόνῳ δὲ Παμφυλίαν καὶ Λυκίαν καὶ τὴν μεγάλην καλουμένην Φρυγίαν, μετὰ δὲ ταῦτα Ἀσάνδρῳ μὲν Καρίαν, Μελεάγρῳ δὲ Λυδίαν, Λεοννάτῳ δὲ τὴν ἐφ' Ἑλλησπόντῳ Φρυγίαν. αὗται μὲν οὖν αἱ σατραπεῖαι τοῦτον τὸν τρόπον ἐμερίσθησαν. κατὰ δὲ τὴν Εὐρώπην Λυσιμάχῳ μὲν ἐδόθη Θρᾴκη καὶ τὰ συνορίζοντα τῶν ἐθνῶν παρὰ τὴν Ποντικὴν θάλατταν, ἡ δὲ Μακεδονία καὶ τὰ πλησιόχωρα τῶν ἐθνῶν Ἀντιπάτρῳ προςωρίσθη· τὰς δὲ κατὰ τὴν Ἀσίαν παραλελειμμένας σατρα- 259
πείας ἔδοξε μὴ κινεῖν, ἀλλ' ἐὰν ὑπὸ τοὺς αὐτοὺς ἡγεμόνας τεταγμένας. τούτων δὲ τὴν συνορίζουσαν σατραπείαν τοῖς περὶ Ταξίλην βασιλεῦσι συνεχώρησε· τὴν δὲ παρὰ τὸν Καύκασον κειμένην, ὀνομαζομένην δὲ Παροπαμισαδῶν, προςώρισεν Ὀξυάρτῃ τῷ Βακτριανῷ [βασιλεῖ], οὗ τὴν θυγατέρα Ῥωξάνην γεγαμηκὼς ἦν Ἀλέξανδρος. καὶ Σιβυρτίῳ μὲν ἔδωκεν Ἀραχωσίαν καὶ Κεδρωσίαν, Στασάνορι δὲ τῷ Σολίῳ τὴν Ἀρείαν καὶ Δραγγηνήν, Φιλίππῳ δὲ προςώρισε Βακτριανὴν καὶ Σογδιανήν, Φραταφέρνῃ δὲ Παρθυαίαν καὶ Ὑρκανίαν, καὶ Πευκέστῃ μὲν Περσίδα, Τληπολέμῳ δὲ Καρμανίαν, Ἀτροπάτῃ δὲ Μηδίαν, Ἄρχωνι δὲ τὴν Βαβυλωνίαν, Ἀρκεσιλάῳ δὲ Μεσοποταμίαν. Σέλευκον δ' ἔταξεν ἐπὶ τὴν ἱππαρχίαν τῶν ἑταίρων, οὖσαν ἐπιφανεστάτην. ταύτης γὰρ Ἡφαιστίων μὲν πρῶτος ἡγήσατο, μετὰ δὲ τοῦτον Περδίκκας, τρίτος δ' ὁ προειρημένος Σέλευκος. ὁμοίως δὲ καὶ Ταξίλην καὶ Πῶρον κυρίους εἶναι τῶν ἰδίων βασιλειῶν, καθάπερ αὐτὸς Ἀλέξανδρος ἦν τεταχώς. ἐπὶ δὲ τὴν κατακομιδὴν τοῦ σώματος καὶ τὴν κατασκευὴν τῆς ἁρμαμάξης τῆς μελλούσης κομίζειν τὸ σῶμα τοῦ τετελευτηκότος βασιλέως

67. Εὐμένει] Εὐμενεῖ V 72. Ἀσάνδρῳ Wesselingius: libri Κασσάνδρῳ vel Κασάνδρῳ 77. θάλατταν F, caeteri θάλασσαν 259. 83. παρὰ] περὶ W 84. Παροπαμισαδῶν] Παροπανισαδῶν TV, παροπανισάδων F, παροπαμισάδων Bas. 85. Βακτριανῷ] Βακτριανῶν FW βασιλεῖ delet Wesselingius 87. Σιβυρτίῳ] συβυρτίῳ F Κεδρωσίαν] Γεδρωσίαν FVW 88. τῷ om. Bas. Σολίῳ] Σολιώτῃ FVW Ἀρείαν] ἀρίαν Bas. Δραγγηνήν] δραγγεινὴν F, caeteri Δραγγινὴν 89. Σογδιανὴν T, caeteri Σαρδιανὴν 90. Φραταφέρνῃ] fortasse praestat Φραταφέρνει 91. Ἀτροπάτῃ Bongarsius: libri Ἀτράπῃ 94. ἑταίρων] ἑτέρων Bas. 95. μὲν πρῶτος W, πρῶτος F, caeteri πρῶτος μὲν 99. ἦν τεταχὼς] τεταγμένος καὶ τεταχὼς X



εἰς Ἄμμωνα ἔταξαν Ἀῤῥιδαῖον. Κράτερος δὲ τῶν ἐπιφανεστάτων ὑπάρχων ἔτυχε προαπεσταλμένος εἰς Κιλικίαν ὑπὸ Ἀλεξάνδρου μετὰ τῶν ἀπολυθέντων τῆς στρατείας, ὄντων μυρίων. ἅμα δ' εἰληφὼς ἦν ἐντολὰς ἐγγράπτους, ἃς ἔδωκε μὲν ὁ βασιλεὺς αὐτῷ συντελέσαι, μεταλλάξαντος δὲ Ἀλεξάνδρου τοῖς διαδόχοις ἔδοξε μὴ συντελεῖν τὰ βεβουλευμένα. ὁ γὰρ Περδίκκας παραλαβὼν ἐν τοῖς ὑπομνήμασι τοῦ βασιλέως τήν τε συντέλειαν τῆς Ἡφαιστίωνος πυρᾶς, πολλῶν δεομένην χρημάτων, τάς τε λοιπὰς αὐτοῦ ἐπιβολὰς πολλὰς καὶ μεγάλας οὔσας καὶ δαπάνας ἀνυπερβλήτους ἐχούσας, ἔκρινε συμφέρειν ἀκύρους ποιῆσαι. ἵνα δὲ μὴ δόξῃ [πάνυ] διὰ τῆς ἰδίας γνώμης καθαιρεῖν τι τῆς Ἀλεξάνδρου δόξης, διὰ τοῦτο ἐπὶ τὸ κοινὸν τῶν Μακεδόνων πλῆθος ἀνήνεγκε τὴν περὶ τούτων βουλήν. ἦν δὲ τῶν ὑπομνημάτων τὰ μέγιστα καὶ μνήμης ἄξια τάδε. χιλίας μὲν ναῦς μακρὰς μείζους τριήρων ναυπηγήσασθαι κατὰ τὴν Φοινίκην καὶ Συρίαν καὶ Κιλικίαν καὶ Κύπρον πρὸς τὴν στρατείαν τὴν ἐπὶ Καρχηδονίους καὶ τοὺς ἄλλους τοὺς παρὰ θάλατταν κατοικοῦντας τῆς τε Λιβύης καὶ Ἰβηρίας καὶ τῆς
260 ὁμόρου χώρας παραθαλαττίου μέχρι Σικελίας· ὁδοποιῆσαι δὲ τὴν παραθαλάττιον τῆς Λιβύης μέχρι στηλῶν Ἡρακλείων· ναοὺς τε κατασκευάσαι πολυτελεῖς ἕξ, ἀπὸ ταλάντων χιλίων καὶ πεντακοσίων ἕκαστον· ἀκολούθως δὲ τῷ τηλικούτῳ στόλῳ λιμένας καὶ νεώρια κατασκευάσαι κατὰ τοὺς ἐπικαίρους τῶν τόπων· πρὸς δὲ τούτοις πόλεων συνοικισμοὺς καὶ σωμάτων μεταγωγὰς ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην καὶ κατὰ τοὐναντίον ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν, ὅπως τὰς μεγίστας ἠπείρους ταῖς ἐπιγαμίαις καὶ ταῖς οἰκειώσεσιν εἰς κοινὴν ὁμόνοιαν καὶ συγγενικὴν φιλίαν καταστήσῃ. τοὺς δὲ προειρημένους ναοὺς ἔδει κατασκευασθῆναι ἐν Δήλῳ καὶ Δελφοῖς καὶ Δωδώνῃ, κατὰ δὲ τὴν Μακεδονίαν ἐν Δίῳ μὲν τοῦ Διός, ἐν Ἀμφιπόλει δὲ τῆς Ταυροπόλου, ἐν Κύῤῥῳ δὲ τῆς Ἀθηνᾶς· ὁμοίως δὲ καὶ ἐν Ἰλίῳ ταύτης τῆς θεᾶς κατασκευασθῆναι ναὸν ὑπερβολὴν ἑτέρῳ μὴ καταλείποντα. τοῦ δὲ πατρὸς Φιλίππου τάφον πυραμίδι παραπλήσιον

6. ἦν om. Bas. ἐγγράπτους] τὰς ἐγγράπτους Bas. ἔδωκε μὲν] ἔδωκεν Bas. 11. δεομένην] δεομένης FV 15. πάνυ om. T Bas., asterisco notavit Stephanus γνώμης] δόξης Bas. 16. διὰ τοῦτο om. TVW Bas., asterisco notavit Stephanus 21. στρατείαν] στρατηγείαν Bas. 260. 26. κατασκευάσαι] κατασκευάσας Bas., κατασκευάσασθαι FW Bas. 29. κατασκευάσαι] κατασκευάσας Bas. 38. Κύῤῥῳ lac. Gronovius: libri Κύρνῳ 40. καταλιπόντα F

μιᾷ τῇ μεγίστῃ κατὰ τὴν Αἴγυπτον, ἃς ἐν τοῖς ἑπτά τινες μεγίστοις ἔργοις καταριθμοῦσιν. ἀναγνωσθέντων δὲ τῶν ὑπομνημάτων, οἱ Μακεδόνες, καίπερ ἀποδεδεγμένοι καλῶς τὸν Ἀλέξανδρον, ὅμως ὑπερόγκους καὶ δυςεφίκτους τὰς ἐπιβολὰς ὁρῶντες, ἔκριναν μηδὲν τῶν εἰρημένων συντελεῖν. Περδίκκας δὲ τὸ μὲν πρῶτον τοὺς ταραχώδεις τῶν στρατιωτῶν καὶ μάλιστα ἀλλοτρίως ἔχοντας τὰ πρὸς αὐτὸν ἀπέκτεινεν, ὄντας τριάκοντα. μετὰ δὲ ταῦτα καὶ Μελέαγρον ἐν τῇ στάσει καὶ πρεσβείᾳ προδότην γεγενημένον, ἐπιλαβόμενος οἰκείας διαβολῆς καὶ κατηγορίας, ὡς ἐπιβουλὴν κατ' αὐτοῦ πεποιημένον, ἐκόλασεν. μετὰ δὲ ταῦτα ἐν ταῖς ἄνω σατραπείαις τῶν κατοικισθέντων Ἑλλήνων ἀποστάντων, καὶ δύναμιν ἀξιόλογον συστησαμένων, ἕνα τῶν ἐπιφανῶν ἀνδρῶν ἐξέπεμψε Πύθωνα διαπολεμήσοντα πρὸς αὐτούς.

5 Ἡμεῖς δὲ πρὸς τὰς μελλούσας ἱστορεῖσθαι πράξεις οἰκεῖον εἶναι νομίζομεν ἐκθεῖναι πρότερον τάς τε αἰτίας τῆς ἀποστάσεως καὶ τῆς ὅλης Ἀσίας τὴν θέσιν καὶ τῶν σατραπειῶν τὰ μεγέθη καὶ τὰς ἰδιότητας. οὕτω γὰρ μάλιστα εὐπαρακολούθητος τοῖς ἀναγινώσκουσιν ἡ διήγησις ἔσται, πρὸ ὀφθαλμῶν τεθείσης τῆς ὅλης τοποθεσίας καὶ τῶν διαστημάτων. ἀπὸ τοίνυν τοῦ κατὰ Κιλικίαν Ταύρου συνεχὲς ὄρος δι' ὅλης τῆς Ἀσίας διήκει μέχρι τοῦ Καυκάσου καὶ τοῦ πρὸς ἀνατολὰς Ὠκεανοῦ. τοῦτο δὲ παντοδαποῖς ἀναστήμασι λόφων διειλημμένον ἰδίας καθ' ἕκαστον ἔχει προςηγορίας. τοῦτον δὲ τὸν τρόπον εἰς δύο μέρη διαιρουμένης τῆς Ἀσίας, τὸ μὲν πρὸς τὰς ἄρκτους αὐτῆς νένευκε, τὸ δὲ πρὸς τὴν μεσημβρίαν. ἀκολούθως δὲ τούτοις τοῖς κλίμασι τῶν ποταμῶν τὰς ῥύσεις ἐχόντων ἀντιπροςώπους, οἱ μὲν εἰς τὴν Κασπίαν θάλατταν, οἱ δὲ εἰς τὸν Εὔξεινον Πόντον, ἔνιοι δ' εἰς τὸν ὑπὸ τὰς ἄρκτους Ὠκεανὸν ἐξερεύγονται. οἱ δ' ἀντικείμενοι τούτοις, οἱ μὲν εἰς τὸν κατὰ τὴν Ἰνδικήν, οἱ 261 δ' ἐπὶ τὸν συνεχῆ τῆς ἠπείρου ταύτης κείμενον Ὠκεανὸν ἐκβάλλουσιν, ἔνιοι δ' εἰς τὴν καλουμένην ἐρυθρὰν θάλατταν καταφέρονται. ὁμοίως δὲ τούτοις διειλημμένων

42. κατὰ] τῶν κατὰ Schaeferus ad E. Orest. v. 910. Pors. ed. 3. 45. ἀποδεδεγμένοι] ἀποδεδειγμένοι Bas. 52. ἐπιλαβόμενος Stephanus: ἐπιβαλόμενος Bas., caeteri ἐπιβαλλόμενος 55. ἀποστάντων] ἁπάντων Bas. 60. οἰκεῖον] οἰκεῖόν τε F 62. οὕτω] οὕτως F 64. πρὸ] πρὸς W
ης
69. καθ'] πρὸς FW 70. διαιρουμένων F 76. τὰς] τοὺς Bas. 77. εἰς τὸν Y Bas., caeteri εἰς τὴν ἐπὶ τὸν] ἐπὶ τὴν Bas.



τῶν σατραπειῶν, αἱ μὲν ἐπὶ τὴν ἄρκτον, αἱ δ' ἐπὶ τὴν μεσημβρίαν ἔχουσι τὰς κλίσεις. καὶ πρώτη μὲν τῶν πρὸς τὴν ἄρκτον ἐστραμμένων κεῖται παρὰ τὸν Τάναϊν ποταμὸν Σογδιανὴ καὶ Βακτριανή, καὶ τούτων ἐχομένη Ἀρεία καὶ Παρθυαία, δι' ἧς συμβαίνει περιέχεσθαι τὴν Ὑρκανίαν θάλατταν, οὖσαν καθ' αὑτήν· μετὰ δὲ ταῦτα Μηδία, πολλὰς μὲν ἔχουσα τόπων προςηγορίας, μεγίστη δ' οὖσα πασῶν τῶν σατραπειῶν· ἑξῆς δ' Ἀρμενία καὶ Λυκαονία καὶ Καππαδοκία, πᾶσαι τὸν ἀέρα δυςχείμερον ἔχουσαι· ταύταις δὲ συνορίζουσαι κατ' εὐθεῖαν μὲν ἥ τε μεγάλη Φρυγία καὶ ἡ ἐφ' Ἑλληςπόντῳ κειμένη, ἐκ δὲ τῶν πλαγίων Λυδία καὶ Καρία, ὑπερδέξιος δὲ τῆς Φρυγίας καὶ παράλληλος ἡ Πισιδική, καὶ ταύτης ἐχομένη Λυκία. ἐν δὲ τοῖς παρὰ θάλατταν τόποις τούτων τῶν σατραπειῶν αἱ τῶν Ἑλλήνων πόλεις καθίδρυνται, ὧν τὰς προςηγορίας γράφειν οὐκ ἀναγκαῖον πρὸς τὴν ὑποκειμένην ὑπόθεσιν. αἱ μὲν οὖν πρὸς τὴν ἄρκτον ἐστραμμέναι σατραπεῖαι τὸν εἰρημένον τρόπον καθίδρυνται.
τῶν δὲ πρὸς μεσημβρίαν ἐστραμμένων πρώτη μὲν παρὰ 6
τὸν Καύκασόν ἐστιν Ἰνδική, βασιλεία μεγάλη καὶ πολυάνθρωπος, οἰκουμένη δ' ὑπὸ πλειόνων Ἰνδικῶν ἐθνῶν, ὧν ἐστι μέγιστον τὸ τῶν Γανδαριδῶν ἔθνος, ἐφ' οὓς διὰ τὸ πλῆθος τῶν παρ' αὐτοῖς ἐλεφάντων οὐκ ἐπεστράτευσεν ὁ Ἀλέξανδρος. ὁρίζει δὲ τὴν χώραν ταύτην καὶ τὴν ἑξῆς Ἰνδικὴν ποταμὸς ὁ μέγιστος ὢν τῶν περὶ τοὺς τόπους καὶ τὸ πλάτος ἔχων σταδίων τριάκοντα. ἐχομένη δὲ ταύτης ἡ λοιπὴ τῆς Ἰνδικῆς, ἣν κατεπολέμησεν ὁ Ἀλέξανδρος, ποταμίοις ὕδασι κατάῤῥυτος καὶ κατὰ τὴν εὐδαιμονίαν ἐπιφανεστάτη, καθ' ἣν ὑπῆρχε σὺν ἄλλαις πλείοσι βασιλείαις ἥ τε τοῦ Πώρου καὶ Ταξίλου δυναστεία, δι' ἧς συμβαίνει ῥεῖν τὸν Ἰνδὸν ποταμόν, ἀφ' οὗ τὴν προςηγορίαν ἔσχεν ἡ χώρα. ἐχομένη δὲ τῆς Ἰνδικῆς ἀφώριστο σατραπείας Ἀραχωσία καὶ Κεδρωσία καὶ Καρμανία· πρὸς δὲ ταύταις Περσίς, ἐν ᾗ τὴν Σουσιανὴν καὶ Σιττακηνὴν κεῖσθαι συμβέβηκεν· ἑξῆς δὲ Βα-

261, 81. τῶν σατραπειῶν] σατραπειῶν Bas. 82. δ'
ῶν ων
F 83. τῆς — ἐστραμμένης F 90. πᾶσαι] ἅπασαι F 91. συνορίζουσαι] συνορίζουσι FW 99. ἐστραμμέναι] ἱδρυμέναι FQVW 4. Γανδαριδῶν] Τυνδαρίδων FTVX 7. καὶ τὴν] τὴν Bas. 8. τῶν om. F 9. σταδίων] σταδίους W 10. ὁ om. Bas. 11. ποταμίοις Reiskius: libri παραποταμίοις 14. Ταξίλου] ταξιλίου F 16. ἐχομένη] ἐχομένης FQV 18. Σιττακηνὴν] Σιτακηνὴν W, Σιτακινὴν Bas., caeteri Σιττακινὴν

βυλωνία μέχρι τῆς κατὰ τὴν Ἀραβίαν ἀοικήτου· ἐκ δὲ θατέρου μέρους, ἀφ' οὗ ποιούμεθα τὴν ἀνάβασιν, Μεσοποταμία περιειλημμένη δυσὶ ποταμοῖς, τῷ τε Εὐφράτῃ καὶ Τίγριδι, δι' οὓς τέτευχε ταύτης τῆς προσηγορίας· ἐχομένη δὲ τῆς Βαβυλωνίας Συρία ἡ ἄνω καλουμένη, καὶ αἱ συνεχεῖς ταύτῃ παραθαλάττιοι Κιλικία καὶ Παμφυλία, καὶ ἡ κοίλη Συρία, καθ' ἣν ἡ Φοινίκη περιείληπται· παρὰ δὲ τὰ πέρατα τῆς κοίλης Συρίας καὶ τὴν συνεχῶς κειμένην ἔρημον, καθ' ἣν ὁ Νεῖλος φερόμενος ὁρίζει Συρίαν τε καὶ τὴν Αἴγυπτον, ἀπεδέδεικτο σατραπεία πασῶν ἀρίστη καὶ προσόδους ἔχουσα μεγάλας Αἴγυπτος. πᾶσαι 262
δ' αὗται καυματώδεις εἰσίν, ὡς ἀντιπεπονθότος τοῦ κατὰ μεσημβρίαν ἀέρος τῷ πρὸς ἄρκτους καθήκοντι. αἱ μὲν οὖν ὑπ' Ἀλεξάνδρου καταπολεμηθεῖσαι σατραπεῖαι τὸν εἰρημένον τρόπον κείμεναι διεμερίσθησαν τοῖς ἀξιολογωτάτοις τῶν ἀνδρῶν.

7 Οἱ δ' ἐν ταῖς ἄνω καλουμέναις σατραπείαις κατοικισθέντες Ἕλληνες ὑπ' Ἀλεξάνδρου, ποθοῦντες μὲν τὴν Ἑλληνικὴν ἀγωγὴν καὶ δίαιταν, ἐν δὲ ταῖς ἐσχατιαῖς τῆς βασιλείας ἐξεῤῥιμμένοι, ζῶντος μὲν τοῦ βασιλέως ὑπέμενον διὰ τὸν φόβον, τελευτήσαντος δ' ἀπέστησαν. συμφρονήσαντες δὲ καὶ ἑλόμενοι στρατηγὸν Φίλωνα τὸν Αἰνιᾶνα δύναμιν ἀξιόλογον συνεστήσαντο. πεζοὺς μὲν γὰρ εἶχον πλείους τῶν δισμυρίων, ἱππεῖς δὲ τρισχιλίους, πάντας δὲ τῶν κατὰ τὸν πόλεμον ἀγώνων πολλάκις πεῖραν εἰληφότας καὶ διαφόρους ταῖς ἀνδραγαθίαις. Περδίκκας δὲ πυθόμενος τὴν τῶν Ἑλλήνων ἀπόστασιν, ἐκλήρωσεν ἐκ τῶν Μακεδόνων πεζοὺς μὲν τρισχιλίους, ἱππεῖς δὲ ὀκτακοσίους. τοῦ δὲ πλήθους ἑλόμενος στρατηγὸν Πύθωνα τὸν σωματοφύλακα μὲν Ἀλεξάνδρου γεγονότα, φρονήματος δὲ πλήρη καὶ δυνάμενον στρατηγεῖν, παρέδωκε τούτῳ τοὺς ἀποκληρωθέντας. δοὺς δ' αὐτῷ πρὸς τοὺς σατράπας ἐπιστολὰς ἐν αἷς γεγραμμένον ἦν στρατιώτας δοῦναι τῷ Πύθωνι μυρίους μὲν πεζούς, ἱππεῖς δὲ ὀκτακισχιλίους, ἐξαπέστειλεν ἐπὶ τοὺς ἀποστάντας. ὁ δὲ Πύθων, μεγαλεπίβολος ὤν, ἀσμένως ὑπήκουσεν εἰς

20. δὲ θατέρου μέρους] θατέρου δὲ μέρος F ἀφ'] δι' FQVW 29. ἀπεδέδεικτο FVW, caeteri ἀποδέδεικτο
262. 32. εἰσίν om. V 34. καταπολεμηθεῖσαι] καταπολεμηθῆναι V 42. δ' F ἑλόμενοι στρατηγὸν] invertit F 43. Αἰνιᾶνα] Αἰνιᾶναι V 44. εἶχον πλείους] invertit F 45. τῶν — ἀγώνων] τὸν — ἀγῶνα FV
48. ἐκ τῶν] ἐκ τῆς F 50. ἑλόμενος FW, caeteri ἑλομένου
55. τῷ om. F 57. μεγαλεπίβολος] μεγαλεπίβουλος Bas., μεγαλεπήβολος W



τὴν στρατείαν, διανοούμενος τοὺς μὲν Ἕλληνας ταῖς φιλανθρωπίαις προσάγεσθαι, τὴν δὲ δύναμιν τῇ τούτων συμμαχίᾳ μεγάλην ποιήσας ἰδιοπραγεῖν καὶ τῶν ἄνω σατραπειῶν δυναστεύειν. ὁ δὲ Περδίκκας ὑφορώμενος αὐτοῦ τὴν ἐπιβολήν, διεκελεύσατο καταπολεμήσαντα τοὺς ἀφεστηκότας ἅπαντας ἀποκτεῖναι καὶ τὰ λάφυρα διαδοῦναι τοῖς στρατιώταις. ὁ δὲ Πύθων ἀναζεύξας μετὰ τῶν δεδομένων αὐτῷ στρατιωτῶν, καὶ παρὰ τῶν σατραπῶν προσαναλαβόμενος τοὺς συμμάχους, ἧκε μετὰ πάσης τῆς δυνάμεως ἐπὶ τοὺς ἀφεστηκότας. διὰ δέ τινος Αἰνιᾶνος διαφθείρας Λιπόδωρον, ἐπὶ τρισχιλίων στρατιωτῶν παρὰ ταῖς ἀποστάσεσι τεταγμένον, τοῖς ὅλοις ἐπροτέρησε. γινομένης γὰρ τῆς παρατάξεως καὶ τῆς νίκης ἀμφιδοξουμένης, ὁ προδότης ἐγκαταλιπὼν τοὺς συμμάχους ἀλόγως ἀπῆλθεν ἐπί τινα λόφον ἔχων τρισχιλίους. οἱ δ' ἄλλοι δόξαντες τούτους πρὸς φυγὴν ὡρμηκέναι, διεταράχθησαν καὶ τραπέντες ἔφυγον. ὁ δὲ Πύθων νικήσας τῇ μάχῃ διεκηρύξατο πρὸς τοὺς ἡττημένους, κελεύων τὰ μὲν ὅπλα καταθέσθαι, αὐτοὺς δὲ τὰ πιστὰ λαβόντας ἐπὶ τὰς ἰδίας κατοικίας ἀναχωρῆσαι. γενομένων δ' ἐπὶ τού-
263 τοις ὅρκων καὶ τῶν Ἑλλήνων ἀναμιχθέντων τοῖς Μακεδόσιν, ὁ μὲν Πύθων περιχαρὴς ἦν, κατὰ νοῦν αὐτῷ προχωρούντων τῶν πραγμάτων, οἱ δὲ Μακεδόνες μνησθέντες μὲν τῆς τοῦ Περδίκκου παραγγελίας, οὐδὲν δὲ φροντίσαντες τῶν γεγενημένων ὅρκων παρεσπόνδησαν τοὺς Ἕλληνας. ἀπροσδοκήτως γὰρ αὐτοῖς ἐπιθέμενοι καὶ λαβόντες ἀφυλάκτους, ἅπαντας κατηκόντισαν καὶ τὰ χρήματα διήρπασαν. ὁ μὲν οὖν Πύθων διαψευσθεὶς τῶν ἐλπίδων ἐπανῆλθε μετὰ τῶν Μακεδόνων πρὸς τὸν Περδίκκαν. καὶ τὰ μὲν κατὰ τὴν Ἀσίαν ἐν τούτοις ἦν.

Κατὰ δὲ τὴν Εὐρώπην Ῥόδιοι μὲν ἐκβαλόντες τὴν 8
Μακεδονικὴν φρουρὰν ἠλευθέρωσαν τὴν πόλιν, Ἀθηναῖοι δὲ πρὸς Ἀντίπατρον πόλεμον ἐξήνεγκαν τὸν ὀνομασθέντα Λαμιακόν. τούτου δὲ τὰς αἰτίας ἀναγκαῖόν ἐστι προεκθέσθαι χάριν τοῦ σαφεστέρας γενέσθαι τὰς

59. ταῖς φιλ. W, caeteri φιλ. et qui φιλανθρωπείαις F
61. ἄνω FQVW, caeteri ἄλλων 63. ἐπιβολὴν] ἐπιβουλὴν Bas. 64. ἅπαντας ἀποκτεῖναι FW, caeteri ἀποκτεῖναι
67. τοὺς συμμάχους] συμμαχίας F 68. ἐπὶ] πρὸς F
69. Αἰνιᾶνος] αἰνειᾶνος F Λιπόδωρον] λειπόδωρον F 71. ἐπροτέρησε Wessel., ἐπροσετέρησε Bas., caeteri προετέρησε 74. τρισχιλίους] malim τοὺς τρισχιλίους
75. δ' F 77. διεκηρύξατο] ἐκηρύξατο FVW
πρὸς om. Bas. 78. ἡττημένους] ἡγεμόνας τῶν ἡττημένων Q, ἡττωμένους Bas. 79. πιστὰ] πλεῖστα Bas.
263. 90. ἦν] post hoc lacuna est in T 93. δὲ om. FV

ἐν αὐτῷ συντελεσθείσας πράξεις. Ἀλέξανδρος γὰρ βραχεῖ χρόνῳ πρότερον τῆς τελευτῆς ἔκρινε κατάγειν ἅπαντας τοὺς ἐν ταῖς Ἑλληνίσι πόλεσι φυγάδας, ἅμα μὲν δόξης ἕνεκεν, ἅμα δὲ βουλόμενος ἔχειν ἐν ἑκάστῃ πόλει πολλοὺς ἰδίους ταῖς εὐνοίαις πρὸς τοὺς νεωτερισμοὺς καὶ τὰς ἀποστάσεις τῶν Ἑλλήνων. διόπερ ὑπογύων ὄντων τῶν Ὀλυμπίων ἐξέπεμψεν εἰς τὴν Ἑλλάδα Νικάνορα τὸν Σταγειρίτην, δοὺς ἐπιστολὴν περὶ τῆς καθόδου. ταύτην δὲ προςέταξεν ἐν τῇ πανηγύρει διὰ τοῦ νικήσαντος κήρυκος ἀναγνωσθῆναι τοῖς πλήθεσι. τούτου δὲ ποιήσαντος τὸ προσταχθέν, λαβὼν ὁ κῆρυξ ἀνέγνω τὴν ἐπιστολὴν τήνδε. Βασιλεὺς Ἀλέξανδρος τοῖς ἐκ τῶν Ἑλληνίδων πόλεων φυγάσι. Τοῦ μὲν φεύγειν ὑμᾶς οὐχ ἡμεῖς αἴτιοι γεγόναμεν, τοῦ δὲ κατελθεῖν εἰς τὰς ἰδίας πατρίδας ἡμεῖς ἐσόμεθα, πλὴν τῶν ἐναγῶν. γεγράφαμεν δὲ Ἀντιπάτρῳ περὶ τούτων, ὅπως τὰς μὴ βουλομένας τῶν πόλεων κατάγειν ἀναγκάσῃ. κηρυχθέντων δὲ τούτων μεγάλῳ κρότῳ ἐπεσήμαινε τὸ πλῆθος· ἀποδεξάμενοι γὰρ οἱ κατὰ τὴν πανήγυριν τὴν χάριν τοῦ βασιλέως διὰ τὴν χαρὰν ἠμείβοντο τὴν εὐεργεσίαν τοῖς ἐπαίνοις. ἦσαν δ' οἱ φυγάδες ἀπηντηκότες ἅπαντες ἐπὶ τὴν πανήγυριν, ὄντες πλείους τῶν δισμυρίων. οἱ μὲν οὖν πολλοὶ τὴν κάθοδον τῶν φυγάδων ὡς ἐπ' ἀγαθῷ γινομένην ἀπεδέχοντο, Αἰτωλοὶ δὲ καὶ Ἀθηναῖοι δυσχεραίνοντες τῇ πράξει χαλεπῶς ἔφερον. Αἰτωλοὶ μὲν γὰρ τοὺς Οἰνιάδας ἐκβεβληκότες ἐκ τῆς πατρίδος προσεδόκων τὴν ἐπὶ τοῖς παρανομήμασιν ἐπακολουθοῦσαν κόλασιν· καὶ γὰρ ὁ βασιλεὺς ἠπειληκὼς ἦν ὡς οὐκ Οἰνιαδῶν παῖδες ἀλλ' αὐτὸς ἐπιθήσει τὴν δίκην αὐτοῖς. ὁμοίως δὲ τούτοις Ἀθηναῖοι τὴν Σάμον κατακεκληρουχηκότες οὐδαμῶς τὴν νῆσον ταύτην προΐεντο· οὐκ ὄντες δ' ἀξιόμαχοι ταῖς τούτου δυνάμεσι, κατὰ μὲν τὸ παρὸν ἡσυχίαν ἦγον, ἐπι- [264] τηροῦντες καιρὸν εὔθετον, ὃν ἡ τύχη ταχέως αὐτοῖς

**9** παρεσκεύασε. μετ' ὀλίγον γὰρ τελευτήσαντος Ἀλεξάνδρου καὶ τῆς βασιλείας υἱοὺς διαδόχους οὐκ ἐχούσης, ἐτόλμησαν ἀντιλαβέσθαι τῆς ἐλευθερίας καὶ τῆς κοινῆς τῶν Ἑλλήνων ἡγεμονίας. ἀφορμὰς δ' ἔσχον εἰς τὸν πόλεμον τό τε πλῆθος τῶν καταλειφθέντων ὑφ' Ἁρπάλου χρημάτων, περὶ ὧν τὰ κατὰ μέρος ἐν τῇ πρὸ ταύτης βίβλῳ διήλθομεν, ὁμοίως δὲ καὶ τοὺς κατὰ τὴν Ἀσίαν ἀμίσθους γενομένους ὑπὸ τῶν σατραπῶν μισθοφόρους, ὄντας μὲν ὀκτακιςχιλίους, διατρίβοντας δὲ περὶ Ταίναρον τῆς Πελοποννήσου. διὸ καὶ τούτους προςέταξαν ἐν ἀποῤῥήτοις Λεωσθένει τῷ Ἀθηναίῳ τὸ μὲν πρῶτον ἀναλαβεῖν αὐτούς, ὡς ἰδιοπραγοῦντα χωρὶς τῆς τοῦ δήμου γνώμης, ὅπως ὁ μὲν Ἀντίπατρος ῥᾳθυμότερον διατεθῇ πρὸς τὰς παρασκευάς, καταφρονῶν τοῦ Λεωσθένους, οἱ δ' Ἀθηναῖοι σχολὴν λάβωσι καὶ χρόνον προκατασκευάσαι τι τῶν εἰς τὸν πόλεμον χρησίμων. διὸ καὶ Λεωσθένης μετὰ πολλῆς ἡσυχίας μισθωσάμενος τοὺς προειρημένους παραδόξως ἑτοίμην ἔσχε πρὸς τὰς πράξεις ἀξιόλογον δύναμιν. ἐστρατευμένοι γὰρ κατὰ τὴν Ἀσίαν πολὺν χρόνον, καὶ πολλῶν καὶ μεγάλων ἀγώνων μετεσχηκότες, ἀθληταὶ τῶν κατὰ τὸν πόλεμον ἔργων ἐγεγένηντο. ταῦτα μὲν οὖν οὕτως ἐπράττετο μήπω καλῶς ἐγνωσμένης τῆς Ἀλεξάνδρου τελευτῆς. ἐπεὶ δέ τινες ἐκ Βαβυλῶνος ἧκον αὐτόπται γεγονότες τῆς τοῦ βασιλέως μεταλλαγῆς, τότε φανερῶς ὁ δῆμος ἀπεκαλύψατο πρὸς τὸν πόλεμον, καὶ τῶν μὲν Ἁρπάλου χρημάτων μέρος ἐξέπεμψε τῷ Λεωσθένει καὶ πανοπλίας οὐκ ὀλίγας, καὶ παρήγγειλε μηκέτι παρακρύπτειν, ἀλλὰ φανερῶς πράττειν τι τῶν συμφερόντων. ὁ δὲ διαδοὺς τοῖς μισθοφόροις τὰς συντάξεις καὶ καθοπλίσας τοὺς ἀνόπλους, παρῆλθεν εἰς Αἰτωλίαν, συνθησόμενος κοινοπραγίαν. ἀσμένως δὲ τῶν Αἰτωλῶν συνυπακουσάντων, καὶ διδόντων αὐτῷ στρατιώτας ἑπτακιςχιλίους, ὁ μὲν Λεωσθένης διαπεμπόμενος πρός τε τοὺς Λοκροὺς καὶ Φωκεῖς καὶ τοὺς ἄλλους τοὺς πλησιοχώρους παρεκάλει τῆς αὐτονομίας ἀντέχεσθαι καὶ τῆς τῶν Μακεδόνων δεσποτείας ἐλευθερῶσαι τὴν Ἑλλάδα.

**10** Ὁ δὲ δῆμος τῶν Ἀθηναίων, τῶν μὲν κτηματικῶν συμβουλευόντων τὴν ἡσυχίαν ἄγειν, τῶν δὲ δημοκόπων ἀνασειόντων τὰ πλήθη καὶ παρακαλούντων ἐῤῥωμένως ἔχεσθαι τοῦ πολέμου, πολὺ τοῖς πλήθεσιν ὑπερεῖχον οἱ [265] τὸν πόλεμον αἱρούμενοι καὶ τὰς τροφὰς εἰωθότες ἔχειν ἐκ τοῦ μισθοφορεῖν· οἷς ποτ' ἔφησεν ὁ Φίλιππος τὸν μὲν πόλεμον εἰρήνην ὑπάρχειν, τὴν δὲ εἰρήνην πόλεμον. εὐθὺς οὖν οἱ μὲν ῥήτορες τὰς τῶν δημοτικῶν ὁρμὰς

2. ὑπογύων] ὑπογυίων W 8. Ἑλληνίδων πόλεων] Ἑλλήνων QT Bas. 15. ἐπεσήμαινε] ἐπεσήμηνε Y 17. τὴν χαρὰν] libri τῆς χαρᾶς 19. πανήγυριν] ἑορτὴν Q 26. Οἰνιαδῶν] Οἰνιάδων libri 28. Σάμον] Σάλιον Bas.

264. 37. τῶν καταλειφθέντων] καταλειφθέντων Bas.

40. ὑπὸ] ἀπὸ F 43. λεωσθένη F 41. ἰδιοπραγοῦντα] ἰδιοπραγοῦντας Bas. 54. τὸν πόλεμον] πόλεμον Bas. ἐγεγένηντο] γεγένηντο F 61. παρακρύπτειν] παρακύπτειν VW 68. τε om. F τοὺς Λοκροὺς] τῶν Λοκροὺς Bas.

σωματοποιοῦντες ἔγραψαν ψήφισμα τῆς κοινῆς τῶν Ἑλλήνων ἐλευθερίας φροντίσαι τὸν δῆμον, καὶ τὰς μὲν φρουρουμένας πόλεις ἐλευθερῶσαι, ναῦς δὲ παρασκευάσαι τετρήρεις μὲν τετταράκοντα, τριήρεις δὲ διακοσίας, στρατεύσασθαι δὲ πάντας Ἀθηναίους τοὺς μέχρι ἐτῶν τετταράκοντα, καὶ τρεῖς μὲν φυλὰς τὴν Ἀττικὴν παραφυλάττειν, τὰς δ' ἑπτὰ πρὸς τὰς ὑπερορίους στρατείας ἑτοίμους εἶναι. ἐκπέμψαι δὲ καὶ πρέσβεις τοὺς ἐπελευσομένους τὰς Ἑλληνίδας πόλεις καὶ διδάξοντας ὅτι καὶ πρότερον μὲν ὁ δῆμος τὴν Ἑλλάδα πᾶσαν κοινὴν εἶναι πατρίδα κρίνων τῶν Ἑλλήνων τοὺς ἐπὶ δουλείᾳ στρατευσαμένους βαρβάρους ἠμύνατο κατὰ θάλατταν, καὶ νῦν οἴεται δεῖν ὑπὲρ τῆς κοινῆς τῶν Ἑλλήνων σωτηρίας καὶ σώμασι καὶ χρήμασι καὶ ναυσὶ προκινδυνεύειν. κυρωθέντος δὲ τοῦ ψηφίσματος προχειρότερον ἢ συνέφερεν, οἱ μὲν συνέσει διαφέροντες τῶν Ἑλλήνων ἔφασαν τὸν δῆμον τῶν Ἀθηναίων τὰ μὲν πρὸς εὐδοξίαν εὖ βεβουλεῦσθαι, τοῦ δὲ συμφέροντος διημαρτηκέναι· προεξανίστασθαι γὰρ αὐτὸν τῶν καιρῶν, καὶ πρὸς ἀνικήτους καὶ μεγάλας δυνάμεις ἐπιβάλλεσθαι διακινδυνεύειν μηδεμιᾶς ἀνάγκης κατεπειγούσης, καὶ φρονήσει δοκοῦντα διαφέρειν μηδὲ ταῖς περιβοήτοις τῶν Θηβαίων συμφοραῖς νενουθετῆσθαι. οὐ μὴν ἀλλὰ τῶν πρέσβεων ἐπιπορευομένων τὰς πόλεις, καὶ τῇ συνήθει τῶν λόγων δεινότητι παρορμώντων πρὸς τὸν πόλεμον, αἱ πλεῖσται μὲν συνέθεντο τὴν συμμαχίαν, αἱ μὲν κατ' ἔθνος, αἱ δὲ

11 κατὰ πόλιν. τῶν δ' ἄλλων Ἑλλήνων οἱ μὲν πρὸς Μακεδόνας ἀπέκλιναν, οἱ δὲ τὴν ἡσυχίαν εἵλοντο. Αἰτωλοὶ μὲν οὖν ἅπαντες πρῶτοι συνέθεντο τὴν συμμαχίαν, καθάπερ προείρηται, μετὰ δὲ τούτους Θετταλοὶ μὲν πάντες πλὴν Πελινναίων, Οἰταῖοι δὲ πλὴν Ἡρακλεωτῶν, Ἀχαιῶν δὲ Φθιῶται πλὴν Θηβαίων, Μηλιεῖς δὲ πλὴν Λαμιέων, ἑξῆς δὲ Δωριεῖς ἅπαντες καὶ Λοκροὶ καὶ Φωκεῖς, ἔτι δ' Αἰνιᾶνες καὶ Ἀλυζαῖοι καὶ Δόλοπες, πρὸς

265. 83. τετρήρεις — τριήρεις Wesselingius: libri τριήρεις — τετρήρεις 83. 85. τετταράκοντα F, τεσσαράκοντα caeteri, μ̄ Bas. 84. τετρήρεις — 85. τεσσαράκοντα om. Bas. 85. μέχρις omnes 87. ὑπερορίους] ὑπαιθρίους F, illud γρ. in margine ponens 90. εἶναι] τε F 92. οἴεται] οἴσεται Bas. 93. post δεῖν ponit F προστάξας ἑαυτὸν punctis superne notata 100. ἐπιβάλλεσθαι] ἐπιβάλεσθαι F 9. ἀπέκλιναν] ἀπέκλινον Bas. 12. Πελινναίων Palmerius: libri Πελληναίων, πελληνέων F 14. Μηλιεῖς Palmerius, Μιλησεῖς FW, caeteri Ἠλιεῖς Λαμιέων Eckhelius: libri Μαλέων 15. δ' Bas. 16. Ἀλυζαῖοι Wassius, Λυζαῖοι FQVW, caeteri Κλυζαῖοι Δόλοπες] οἱ Δόλοπες FV



δὲ τούτοις Ἀθαμᾶνες καὶ Λευκάδιοι καὶ Μολοττῶν οἱ περὶ Ἀρυπταῖον· οὗτος δ' ὕπουλον συμμαχίαν συνθέμενος ὕστερον διὰ προδοσίας συνήργησε τοῖς Μακεδόσι. τῶν τ' Ἰλλυριῶν καὶ Θρακῶν ὀλίγοι συνέθεντο συμμαχίαν διὰ τὸ πρὸς τοὺς Μακεδόνας μῖσος. ἑξῆς δὲ συν- [266] ελάβοντο τοῦ πολέμου Καρύστιοι μὲν ἐξ Εὐβοίας, τελευταῖοι δὲ τῶν Πελοποννησίων Ἀργεῖοι, Σικυώνιοι, Ἠλεῖοι, Μεσσήνιοι καὶ οἱ τὴν Ἀκτὴν κατοικοῦντες. οἱ μὲν οὖν συμμαχίαν συνθέμενοι τῶν Ἑλλήνων ὑπῆρχον οἱ προειρημένοι. ὁ δὲ δῆμος ἀπέστελλε στρατιώτας τῷ Λεωσθένει βοηθήσοντας πολιτικοὺς μὲν πεζοὺς πεντακισχιλίους, ἱππεῖς δὲ πεντακοσίους, μισθοφόρους δὲ δισχιλίους. τούτων δὲ πορευομένων διὰ τῆς Βοιωτίας, ἀλλοτρίους συνέβαινεν εἶναι τοὺς Βοιωτοὺς τοῖς Ἀθηναίοις διὰ τοιαύτας τινὰς αἰτίας. Ἀλέξανδρος Θήβας κατασκάψας τὴν χώραν τοῖς περιοικοῦσι Βοιωτοῖς ἔδωκεν. οὗτοι δὲ κατακληρουχήσαντες τὰς τῶν ἠτυχηκότων κτήσεις ἐκ τῆς χώρας μεγάλας ἐλάμβανον προσόδους. διόπερ εἰδότες ὅτι κρατήσαντες Ἀθηναῖοι τῷ πολέμῳ τοῖς Θηβαίοις ἀποκαταστήσουσι τήν τε πατρίδα καὶ τὴν χώραν, ἀπέκλιναν πρὸς τοὺς Μακεδόνας. στρατοπεδευόντων δ' αὐτῶν περὶ τὰς Πλαταιάς, ὁ Λεωσθένης μέρος τῆς ἰδίας δυνάμεως ἀναλαβὼν ἧκεν εἰς τὴν Βοιωτίαν. μετὰ δὲ τῶν Ἀθηναίων παραταξάμενος πρὸς τοὺς ἐγχωρίους μάχῃ τε ἐνίκησε καὶ τρόπαιον στήσας ταχέως ἐπανῆλθεν εἰς Πύλας· ἐνταῦθα γὰρ διατρίβων χρόνον τινὰ προκατείληπτο τὰς παρόδους καὶ τὴν τῶν Μακεδόνων δύναμιν ἀνεδέχετο.

12 Ἀντίπατρος δ' ἀπολελειμμένος ὑπ' Ἀλεξάνδρου στρατηγὸς τῆς Εὐρώπης ὡς ἐπύθετο τήν τε τοῦ βασιλέως ἐν Βαβυλῶνι τελευτὴν τήν τε τῶν σατραπειῶν διαίρεσιν, πρὸς μὲν Κρατερὸν εἰς Κιλικίαν διεπέμπετο, παρακαλῶν τὴν ταχίστην βοηθῆσαι· οὗτος γὰρ προαπεσταλμένος εἰς Κιλικίαν ἤμελλε κατάγειν εἰς Μακεδονίαν τοὺς ἀπολελυμένους τῆς στρατείας Μακεδόνας, ὄντας ὑπὲρ τοὺς μυρίους· πρὸς δὲ Λεόννατον τὸν εἰληφότα σατραπείαν τὴν ἐφ' Ἑλλησπόντῳ Φρυγίαν, ὁμοίως ἀξιῶν καὶ τοῦτον βοηθῆσαι καὶ μίαν τῶν ἑαυτοῦ θυγατέρων συνοικιεῖν ἐπαγγελλόμενος. πυθόμενος δὲ τὴν ὑπὸ τῶν Ἑλ-

16. Ἀθαμᾶνες Wesselingius: libri Ἀθάμαντες 22. Εὐβοίας] εὐνοίας F 266. 38. ἀπέκλιναν FW, caeteri ἀπέκλινον 52. ἤμελλε] ἔμελλε V 53. ἀπολελειμμένους τῆς στρατιᾶς F 54. τοὺς μυρίους Wesselingius: libri τρισμυρίους 55. Λεόννατον Wesselingius: libri Φιλώταν τὴν ἐφ' ] ἐφ' Bas. 57. ἑαυτοῦ] αὐτοῦ Bas. συνοικιεῖν] συνοικεῖν W 58. ὑπὸ om. F

λήνων συνδρομὴν ἐπ' αὐτὸν γεγενημένην, τῆς μὲν Μακεδονίας ἀπέλιπε στρατηγὸν Σίππαν, δοὺς στρατιώτας τοὺς ἱκανοὺς καὶ παραγγείλας στρατολογεῖν ὡς πλείστους. αὐτὸς δ' ἀναλαβὼν Μακεδόνας μὲν μυρίους καὶ τριςχιλίους, ἱππεῖς δὲ ἑξακοσίους, ἐσπάνιζε γὰρ ἡ Μακεδονία στρατιωτῶν πολιτικῶν διὰ τὸ πλῆθος τῶν ἀπεσταλμένων εἰς τὴν Ἀσίαν ἐπὶ διαδοχὴν τῆς στρατιᾶς, ἀνέζευξεν ἐκ τῆς Μακεδονίας εἰς Θετταλίαν, συμπαραπλέοντος αὐτῷ τοῦ στόλου παντός, ὃν ἀπεσταλκὼς ἦν Ἀλέξανδρος παραπέμψοντα πλῆθος χρημάτων ἐκ τῶν βασιλικῶν θησαυρῶν εἰς τὴν Μακεδονίαν, οὐσῶν πασῶν τῶν τριήρων ἑκατὸν καὶ δέκα. οἱ δὲ Θετταλοὶ τὸ μὲν πρῶτον συμμαχοῦντες τῷ Ἀντιπάτρῳ πολλοὺς καὶ ἀγαθοὺς ἱππεῖς ἐξέπεμψαν αὐτῷ· ὕστερον δ' ὑπὸ τῶν Ἀθηναίων μεταπεισθέντες ἀφίππευσαν πρὸς Λεωσθένην, καὶ μετὰ τῶν Ἀθηναίων ταχθέντες διεπολέμουν ὑπὲρ τῆς τῶν Ἑλλήνων 267 ἐλευθερίας. μεγάλης δὲ δυνάμεως ταύτης τοῖς Ἀθηναίοις προςγεγενημένης, οἱ μὲν Ἕλληνες ἐκράτουν πολὺ τῶν Μακεδόνων ὑπερέχοντες· ὁ δὲ Ἀντίπατρος μάχῃ λειφθείς, καὶ τὸ λοιπὸν οὔτε παρατάξασθαι τολμῶν οὔτ' εἰς τὴν Μακεδονίαν ἐπανελθεῖν ἀσφαλῶς δυνάμενος, κατέφυγεν εἰς πόλιν Λαμίαν. ἐν ταύτῃ δὲ τὴν δύναμιν συνέχων καὶ τὰ τείχη κατασκευάζων, ἔτι δὲ παρασκευὰς ὅπλων καὶ καταπελτῶν καὶ σίτου ποιούμενος, ἐκαραδόκει τοὺς ἀπὸ τῆς Ἀσίας συμμάχους.

13 Λεωσθένης δὲ μετὰ πάσης τῆς δυνάμεως παρελθὼν πλησίον τῆς Λαμίας, καὶ τὴν παρεμβολὴν ὀχυρωσάμενος τάφρῳ βαθείᾳ καὶ χάρακι, τὸ μὲν πρῶτον ἐκτάξας τὴν δύναμιν προςῆγε τῇ πόλει καὶ τοὺς Μακεδόνας εἰς μάχην προυκαλεῖτο. μὴ τολμώντων δὲ αὐτῶν διαγωνίσασθαι, προςβολὰς καθ' ἡμέραν τοῖς τείχεσιν ἐκ διαδοχῆς ἐποιεῖτο. ἀμυνομένων δὲ τῶν Μακεδόνων εὐρώστως, πολλοὶ τῶν προπετῶς βιαζομένων Ἑλλήνων ἀπώλλυντο· δυνάμεως γὰρ ἀξιολόγου κατὰ τὴν πόλιν οὔσης καὶ βελῶν παντοδαπῶν ἀφθονίας, ἔτι δὲ τείχους πολυτελοῦς κατεσκευασμένου, ῥᾳδίως οἱ πολιορκούμενοι περιεγίνοντο. ὁ δὲ Λεωσθένης ἀπογνοὺς τὴν ἐκ βίας ἅλωσιν τῆς πόλεως, τὰς ἀγομένας εἰς αὐτὴν ἀγορὰς παρῃρεῖτο, νομίζων ῥᾳδίως τῇ σιτοδείᾳ καταπολεμήσειν τοὺς ἐγκεκλεισμένους ἐν τῇ πόλει. κατεσκεύαζε

60. Σίππαν] Σίσπαν Q 66. στρατιᾶς W, σατραπείας QTY Bas., caeteri στρατείας 69. παραπέμψοντα FW, caeteri παραπέμψαντα
267. 81. κατέφυγεν om. W 82. πόλιν] τὴν πόλιν F Λαμίαν] Λάμιαν omnes 83. κατασκευάζων] κατεσκεύαζεν FW 86. τῆς om. F 89. προςῆγε] προςεῖχε FW



δὲ καὶ τεῖχος καὶ τάφρον ὤρυττε μεγάλην καὶ βαθεῖαν, εἴργων τοὺς πολιορκουμένους ἀπὸ τῆς ἐξόδου. μετὰ δὲ ταῦτα Αἰτωλοὶ μὲν ἀξιώσαντες τὸν Λεωσθένην διά τινας ἐθνικὰς χρείας κατὰ τὸ παρὸν ἀπελθεῖν ἐπ' οἴκου, πάντες ἐπανῆλθον εἰς τὴν Αἰτωλίαν. οὕτω δὲ τῶν περὶ Ἀντίπατρον καταπονηθέντων, καὶ τῆς πόλεως κινδυνευούσης ἁλῶναι διὰ τὴν προςδοκωμένην σιτοδείαν, ἡ τύχη τὸ παράδοξον ἀπένειμε τοῖς Μακεδόσιν εὐκλήρημα· τοῦ γὰρ Ἀντιπάτρου τοῖς τὰς τάφρους ὀρύττουσιν ἐπιθεμένου, καὶ συμπλοκῆς γενομένης, ὁ μὲν Λεωσθένης παραβοηθῶν τοῖς ἰδίοις, καὶ πληγεὶς εἰς τὴν κεφαλὴν λίθῳ, παραχρῆμα ἔπεσε, καὶ λιποψυχήσας εἰς τὴν παρεμβολὴν ἀπεκομίσθη. τῇ τρίτῃ δ' ἡμέρᾳ τελευτήσαντος αὐτοῦ καὶ ταφέντος ἡρωικῶς διὰ τὴν ἐν τῷ πολέμῳ δόξαν, ὁ μὲν δῆμος τῶν Ἀθηναίων τὸν ἐπιτάφιον ἔπαινον εἰπεῖν προςέταξεν Ὑπερίδῃ τῷ πρωτεύοντι τῶν ῥητόρων τῇ τοῦ λόγου δεινότητι καὶ τῇ κατὰ τῶν Μακεδόνων ἀλλοτριότητι· κατ' ἐκεῖνον γὰρ τὸν καιρὸν ὁ μὲν κορυφαῖος τῶν Ἀθήνησι ῥητόρων Δημοσθένης ἐπεφεύγει, καταδεδικασμένος ὡς εἰληφὼς τῶν Ἁρπαλείων χρημάτων· ἀντὶ δὲ τοῦ Λεωσθένους κατεστάθη στρατηγὸς Ἀντίφιλος, ἀνὴρ συνέσει στρατηγικῇ καὶ ἀνδρείᾳ διαφέρων. καὶ τὰ μὲν κατὰ τὴν Εὐρώπην ἐν τούτοις ἦν.

14 Κατὰ δὲ τὴν Ἀσίαν τῶν μεμερισμένων τὰς σατραπείας Πτολεμαῖος μὲν ἀκινδύνως παρέλαβε τὴν Αἴγυπτον, 268 καὶ τοῖς μὲν ἐγχωρίοις φιλανθρώπως προςεφέρετο, παραλαβὼν δὲ ὀκτακιςχίλια τάλαντα μισθοφόρους ἤθροιζε καὶ δύναμιν παρεσκευάζετο· συνέτρεχε δὲ καὶ φίλων πλῆθος πρὸς αὐτὸν διὰ τὴν ἐπιείκειαν. πρὸς δὲ Ἀντίπατρον διαπρεσβευόμενος κοινοπραγίαν συνέθετο, σαφῶς εἰδὼς ὅτι Περδίκκας ἐπιβαλεῖται παρελέσθαι τὴν τῆς Αἰγύπτου σατραπείαν. Λυσίμαχος δ' ἐπιβαλὼν τοῖς κατὰ τὴν Θρᾴκην τόποις, καὶ καταλαβὼν Σεύθην τὸν βασιλέα κατεστρατοπεδευκότα πεζοῖς μὲν διςμυρίοις, ἱππεῦσι δ' ὀκτακιςχιλίοις, οὐ κατεπλάγη τὸ μέγεθος τῆς δυνάμεως. ἔχων δὲ τοὺς σύμπαντας πεζοὺς μὲν οὐ πλείους τῶν τετρακιςχιλίων, ἱππεῖς δὲ διςχιλίους, συνῆψε μάχην τοῖς βαρβάροις. ταῖς μὲν οὖν ἀνδραγαθίαις προεῖχεν

1. καὶ τεῖχος] κατὰ τάχος τεῖχος X 2. μεγάλην καὶ βαθεῖαν] invertit F 6. οὕτως F Bas. 13. πληγεὶς εἰς] πληγεὶς FW παραχρῆμα] παραχρῆμα μὲν FY 14. λειποψυχήσας omnes ἀπεκομίσθη] ἐκομίσθη X 18. ὑπερείδει F 19. κατὰ om. F
268. 32. πρὸς] ἐπ' Bas.

αὐτῶν, τοῖς δὲ πλήθεσι λειπόμενος καρτερὰν μάχην συνεστήσατο, καὶ πολλοὺς μὲν τῶν ἰδίων ἀποβαλών, πολλαπλασίους δ' ἀποκτείνας, ἐπανῆλθεν εἰς τὴν στρατοπεδείαν ἀμφίδοξον ἔχων τὴν νίκην. τότε μὲν οὖν ἐχωρίσθησαν ἐκ τῶν τόπων αἱ παρ' ἀμφοτέροις δυνάμεις, καὶ παρασκευὰς μείζους ἐποιοῦντο πρὸς τὴν τῶν ὅλων διάθεσιν. Λεόννατος δέ, παραγενομένου πρὸς αὐτὸν Ἑκαταίου πρεσβευτοῦ καὶ δεομένου βοηθῆσαι τὴν ταχίστην Ἀντιπάτρῳ καὶ Μακεδόσιν, ἐπηγγείλατο συμμαχήσειν. διαβὰς οὖν εἰς τὴν Εὐρώπην καὶ καταντήσας εἰς Μακεδονίαν προςελάβετο πολλοὺς στρατιώτας Μακεδόνας· ἀθροίσας δὲ τοὺς ἅπαντας πεζοὺς μὲν πλείους τῶν δισμυρίων, ἱππεῖς δὲ διςχιλίους καὶ πεντακοσίους, προῆγε

15 διὰ τῆς Θετταλίας ἐπὶ τοὺς πολεμίους. οἱ δὲ Ἕλληνες λύσαντες τὴν πολιορκίαν καὶ τὴν στρατοπεδείαν ἐμπρήσαντες, τὸν μὲν ἀχρεῖον εἰς παράταξιν ὄχλον καὶ τὰς παρασκευὰς εἰς Μελίτειαν πόλιν ἐξέπεμψαν, αὐτοὶ δ' εὔζωνοι καὶ πρὸς μάχην ὄντες ἕτοιμοι προῆγον ἀπαντήσοντες τοῖς περὶ Λεόννατον πρὸ τοῦ τὸν Ἀντίπατρον συμμῖξαι καὶ τὰς δυνάμεις ἀμφοτέρας εἰς ἕνα τόπον συνελθεῖν. εἶχον δὲ τοὺς σύμπαντας πεζοὺς μὲν διςμυρίους καὶ διςχιλίους· οἱ γὰρ Αἰτωλοὶ πάντες προαπηλλαχότες ἦσαν εἰς τὴν οἰκείαν, καὶ τῶν ἄλλων Ἑλλήνων οὐκ ὀλίγοι κατ' ἐκεῖνον τὸν καιρὸν ὑπῆρχον εἰς τὰς πατρίδας κεχωρισμένοι· ἱππεῖς δὲ συνεστρατεύοντο πλείους τῶν τριςχιλίων καὶ πεντακοσίων, ὧν ἦσαν Θετταλοὶ διςχίλιοι διάφοροι ταῖς ἀρεταῖς, ἐν οἷς εἶχον μάλιστα τὰς τῆς νίκης ἐλπίδας. γενομένης δὲ ἱππομαχίας ἰσχυρᾶς ἐπὶ πολὺν χρόνον, καὶ τῶν Θετταλῶν διὰ τὰς ἀρετὰς ἐπικρατούντων, ὁ μὲν Λεόννατος λαμπρῶς ἀγωνισάμενος, καὶ διακλεισθεὶς εἰς τόπον τελματώδη, τοῖς ὅλοις ἠλαττοῦτο· πολλοῖς δὲ τραύμασι περιπεσὼν καὶ τελευτήσας ὑπὸ τῶν ἰδίων ἤρθη, καὶ πρὸς τὴν ἀποσκευὴν ἀπηνέχθη τετελευτηκώς. τῇ δ' ἱππομαχίᾳ λαμπρῶς τῶν Ἑλλήνων νενικηκότων Μένωνος ἱππαρχοῦντος τοῦ Θετταλοῦ, εὐθὺς ἡ τῶν Μακεδόνων φάλαγξ φοβουμένη τοὺς ἱππεῖς ἀπεχώρησεν ἐκ τοῦ πεδίου πρὸς τὰς ὑπερκειμένας δυςχωρίας, καὶ τῇ τῶν τόπων ὀχυρότητι τὴν ἀσφάλειαν πε-

50. Λεοννάτος] Λεόννατος Bas. hic et infra, λεωννάτου F 56. διςχιλίους] χιλίους TY Bas. 57. προῆγε] προςῆγε FW 61. Μελίτειαν T, μελιτίαν Bas., caeteri Μελιττίαν 64. συμμῖξαι om. W 74. διὰ τὰς ἀρετὰς] ταῖς ἀρεταῖς FQVW 76. καὶ om. V 77. τελματώδη] τελμώδη Bas. θη 77. ὅλοις Wesselingius: libri ὅπλοις 78. ἤρθη] ἥρπαγη F 81. τῇ τῶν] τῶν Bas.



ριεποιήσατο. τῶν δὲ Θετταλῶν ἱππέων προσμαχομένων, καὶ διὰ τὴν δυσχωρίαν ἀπράκτων γινομένων, οἱ μὲν Ἕλληνες τρόπαιον στήσαντες καὶ τῶν νεκρῶν κυριεύσαντες ἀπηλλάγησαν ἐκ τῆς μάχης. τῇ δ' ὑστεραίᾳ παραγενηθέντος Ἀντιπάτρου μετὰ τῆς δυνάμεως καὶ συμμιγέντος τοῖς ἡττημένοις, μίαν οἱ πάντες Μακεδόνες ἐποιήσαντο τὴν στρατοπεδείαν, καὶ τὴν τῶν ὅλων στρατηγίαν περιέλαβεν Ἀντίπατρος. οὗτος δὲ κρίνας ἐπὶ τοῦ παρόντος ἡσυχίαν ἔχειν, καὶ θεωρῶν τοὺς πολεμίους ἱπποκρατοῦντας, τὴν μὲν διὰ τῶν ὁμαλῶν ἀποχώρησιν ἀπέγνω, διὰ δὲ τῆς δυσχωρίας προάγων καὶ τοὺς ὑπερδεξίους τόπους προκαταλαμβανόμενος ἀπεχώρησεν ἐκ τούτων τῶν τόπων. Ἀντίφιλος δὲ ὁ τῶν Ἑλλήνων στρατηγὸς ἐπιφανεῖ μάχῃ νικήσας τοὺς Μακεδόνας, ἐφήδρευε περὶ Θετταλίαν διατρίβων καὶ καραδοκῶν τὴν τῶν πολεμίων ὁρμήν. καὶ τὰ μὲν κατὰ τοὺς Ἕλληνας ἐν τοιαύταις εὐημερίαις ὑπῆρχε. τῶν δὲ Μακεδόνων θαλαττοκρατούντων, οἱ Ἀθηναῖοι πρὸς ταῖς ὑπαρχούσαις ναυσὶν ἄλλας κατεσκεύασαν, ὥστε γενέσθαι τὰς πάσας ἑκατὸν ἑβδομήκοντα. τῶν δὲ Μακεδονικῶν οὐσῶν νεῶν διακοσίων καὶ τετταράκοντα τὴν ναυαρχίαν εἶχε Κλεῖτος. οὗτος δὲ ναυμαχήσας πρὸς Ἠετίωνα τὸν Ἀθηναίων ναύαρχον ἐνίκησε δυσὶ ναυμαχίαις, καὶ συχνὰς τῶν πολεμίων νεῶν διέφθειρε περὶ τὰς καλουμένας Ἐχινάδας νήσους.

16 Ἅμα δὲ τούτοις πραττομένοις Περδίκκας ἔχων μεθ' ἑαυτοῦ τόν τε βασιλέα Φίλιππον καὶ τὴν βασιλικὴν δύναμιν ἐστράτευσεν ἐπ' Ἀριαράθην τὸν Καππαδοκίας δυνάστην. οὗτος γὰρ οὐ προσέχων τοῖς Μακεδόσιν ὑπὸ μὲν Ἀλεξάνδρου παρεωράθη διὰ τοὺς περὶ Δαρεῖον ἀγῶνας καὶ περισπασμούς, ἀναστροφὴν δὲ πολυχρόνιον ἔσχε, βασιλεύων τῆς Καππαδοκίας. διὸ καὶ πολλὰ μὲν ἐκ τῶν προσόδων χρήματα ἤθροισε, δυνάμεις δ' ἐγχωρίους καὶ ξενικὰς μεγάλας συνεστήσατο. διὸ καὶ βασιλείας ἀντιποιούμενος ἕτοιμος ἦν πρὸς τὸν Περδίκκαν διαγωνίζε-

269. 86. καὶ διὰ] διὰ VW 95. ὁμαλῶν] legebatur ἀπαλῶν ἀποχώρησιν] προςχώρησιν FQVW 97. ἀπεχώρησεν] ὑπεχώρησεν FQVW 99. ἐφήδρευε] ἐφέδρευσε F 5. ἑκατὸν] διακοσίας Wesselingius 6. οὐσῶν νεῶν] malim νεῶν οὐσῶν τετταράκοντα F, μ Bas., τεσσαράκοντα caeteri 7. ναυμαχήσας] ναυαρχήσας FW 8. ἐνίκησε FVW, caeteri νενίκηκε: conf. p. 255. 25. 10. Ἐχινάδας] Ἐχινώδας X 16. ἀναστροφὴν] καὶ ἀναστροφὴν W, qui δὲ omittere non traditur 17. ἔσχε] εἶχε XY Bas. 18. ἤθροισε] περιῆγε F, illud in marg. ponens 19. μεγάλας] καὶ μεγάλας Bas.

σθαι, πεζοὺς μὲν ἔχων τρισμυρίους, ἱππεῖς δὲ μυρίους πεντακισχιλίους. ὁ δὲ Περδίκκας συνάψας αὐτῷ μάχην, καὶ τῇ παρατάξει νικήσας, ἀνεῖλε μὲν εἰς τετρακισχιλίους, ἐζώγρησε δὲ ὑπὲρ τοὺς πεντακισχιλίους, ἐν οἷς ἦν καὶ αὐτὸς ὁ Ἀριαράθης. τοῦτον μὲν οὖν καὶ τοὺς συγγενεῖς αὐτοῦ πάντας αἰκισάμενος ἀνεσταύρωσε· τοῖς δ' ἡττηθεῖσι συγχωρήσας τὴν ἀσφάλειαν, καὶ καταστήσας τὰ κατὰ τὴν Καππαδοκίαν, παρέδωκε τὴν σατραπείαν Εὐμένει τῷ Καρδιανῷ, καθάπερ ἐξ ἀρχῆς ἦν μεμερισμένος. ὑπὸ δὲ τοὺς αὐτοὺς καιροὺς καὶ Κράτερος ἐκ Κιλικίας ἀναζεύξας ἧκεν εἰς Μακεδονίαν, βοηθήσων τοῖς περὶ τὸν Ἀντίπατρον καὶ διορθωσόμενος τὰς γεγενημένας ἥττας τῶν Μακεδόνων. ἦγε δὲ πεζοὺς μὲν τῶν εἰς Ἀσίαν Ἀλεξάνδρῳ συνδιαβεβηκότων ἑξακισχιλίους, τῶν δὲ ἐν παρόδῳ προσειλημμένων τετρακισχιλίους, Πέρσας δὲ τοξότας καὶ σφενδονήτας χιλίους, ἱππεῖς δὲ χιλίους καὶ πεντακοσίους. παρελθὼν δ' εἰς τὴν Θετταλίαν, καὶ 270 τοῦ πρωτείου παραχωρήσας ἑκουσίως Ἀντιπάτρῳ, κοινῇ μετ' αὐτοῦ κατεστρατοπέδευσε παρὰ τὸν Πηνειὸν ποταμόν. οἱ δὲ πάντες ἠθροίσθησαν σὺν τοῖς μετὰ Λεοννάτου παραγεγενημένοις πεζοὶ μὲν πλείους τῶν τετρακισμυρίων ἐν τοῖς βαρέσιν ὅπλοις, τοξόται δὲ καὶ σφενδονῆται τρισχίλιοι, ἱππεῖς δὲ πεντακισχίλιοι.

17 Οἱ δ' Ἕλληνες κατὰ τοῦτον τὸν καιρὸν ἀντεστρατοπέδευσαν πολὺ τοῖς πλήθεσι λειπόμενοι. πολλοὶ γὰρ αὐτῶν διὰ τὰς προγεγενημένας εὐημερίας καταφρονοῦντες τῶν πολεμίων εἰς τὰς πατρίδας ἦσαν ἀπεληλυθότες πρὸς τὴν τῶν ἰδίων ἐπίσκεψιν. δι' ἃς αἰτίας τῶν στρατιωτῶν ἀτακτούντων, ὑπολοίπους εἶχον ἐν τῇ παρεμβολῇ πεζοὺς μὲν δισμυρίους καὶ πεντακισχιλίους, ἱππεῖς δὲ τρισχιλίους καὶ πεντακοσίους, ἐν οἷς μάλιστα εἶχον τὰς τῆς νίκης ἐλπίδας διά τε τὰς τῶν ἀνδρῶν ἀρετὰς καὶ διὰ τὸ πεδινὴν ὑποκεῖσθαι χώραν. τέλος δὲ τῶν περὶ Ἀντίπατρον καθ' ἡμέραν προαγόντων τὰς δυνάμεις καὶ προκαλουμένων εἰς μάχην, τὸ μὲν πρῶτον ἀνέμενον τοὺς ἀπὸ τῶν πόλεων παραγενησομένους· τῶν

21. ἱππεῖς] ἵππους F 22. μυρίους om. F, ad πεντακισχιλίους in marg. apponens γρ. μυρίους πεντακισχιλίους om. TX Bas., asterisco notavit Stephanus 25. ὁ Ἀ.] Ἀ. Bas. 28. καὶ κατ. — Καππαδοκίαν om. Bas. 29. Εὐμένει] Εὐμενεῖ Bas. saepius μεμερισμένος] μερισάμενος W 33. διορθωσόμενος] διορθωσάμενος V 36. τῶν — τετρακισχ. om. Bas.
270. 39. τὴν om. F 46. δ' F 50. ἐπίσκεψιν] σκέψιν Bas. 51. πολλοὶ post αἰτίας delendum esse viderat Wesselingius 58. προσκαλουμένων Bas.



δὲ καιρῶν κατεπειγόντων ἠναγκάζοντο συγκαταβαίνειν εἰς τὸν ὑπὲρ τῶν ὅλων κίνδυνον. ἐκτάξαντες δὲ τὴν δύναμιν καὶ σπεύδοντες διὰ τῶν ἱππέων κρῖναι τὸν πόλεμον, τούτους πρὸ τῆς τῶν πεζῶν φάλαγγος ἔστησαν. γενομένης δὲ ἱππομαχίας, καὶ τῶν Θετταλῶν ἱππέων πλεονεκτούντων διὰ τὰς ἀρετάς, οἱ περὶ τὸν Ἀντίπατρον ἐξήγαγον τὴν ἰδίαν φάλαγγα, καὶ τοῖς πεζοῖς τῶν πολεμίων ἐπιβρίσαντες πολὺν ἐποιοῦντο φόνον. οἱ δ' Ἕλληνες τὸ βάρος καὶ τὸ πλῆθος τῶν πολεμίων οὐ δυνάμενοι φέρειν, εὐθὺς ἀπεχώρησαν πρὸς τὰς δυσχωρίας, τηρήσαντες τὰς τάξεις ἐπιμελῶς. διὸ καὶ δραξάμενοι τόπων ὑπερδεξίων ῥᾳδίως ἠμύναντο τοὺς Μακεδόνας, ὑπερδέξιον ἔχοντες τὴν στάσιν. οἱ δὲ τῶν Ἑλλήνων ἱππεῖς ἐπὶ τοῦ προτερήματος ὄντες, ὡς ἔγνωσαν τὴν τῶν πεζῶν ἀποχώρησιν, εὐθὺς πρὸς ἐκείνους ἀφίππευσαν. τότε μὲν οὖν τοῦτον τὸν τρόπον ἀγωνισάμενοι διελύθησαν, ῥεπούσης τῆς νίκης πρὸς τοὺς Μακεδόνας. ἀπέθανον δ' ἐν τῇ μάχῃ τῶν μὲν Ἑλλήνων πλείους τῶν πεντακοσίων, τῶν δὲ Μακεδόνων ἑκατὸν καὶ τριάκοντα. τῇ δ' ὑστεραίᾳ Μένων μὲν καὶ Ἀντίφιλος οἱ τῶν Ἑλλήνων ἡγεμόνες συνεδρεύσαντες ἐβουλεύσαντο πότερον ἀναμείναντες τοὺς ἀπὸ τῶν πόλεων συμμάχους καὶ καταστάντες ἀξιόμαχοι περὶ τῶν ὅλων διακρίνωνται ἢ τῷ παρόντι καιρῷ συνείξαντες πρεσβεύωνται περὶ διαλύσεως. ἔδοξεν οὖν ἀποστέλλειν κήρυκας περὶ τῆς τοῦ πολέμου καταλύσεως.
271 πραξάντων δ' αὐτῶν τὸ δόξαν ἀπεκρίθησαν οἱ περὶ τὸν Ἀντίπατρον κατὰ πόλεις πρεσβεύειν· οὐδενὶ γὰρ τρόπῳ κοινὴν σύλλυσιν ποιήσεσθαι. τῶν δ' Ἑλλήνων οὐ προσδεχομένων τὰς κατὰ πόλιν διαλύσεις, οἱ μὲν περὶ τὸν Ἀντίπατρον καὶ Κράτερον ἐπολιόρκουν τὰς ἐπὶ Θετταλίαν πόλεις, καὶ κατὰ κράτος ᾕρουν, μὴ δυναμένων τῶν Ἑλλήνων βοηθεῖν. διὸ καὶ τῶν πόλεων περιφόβων οὐσῶν, καὶ κατ' ἰδίαν ἑκάστης πρεσβευούσης περὶ διαλύσεως, πάσαις συγχωρῶν τὴν εἰρήνην ἐπιεικῶς προσεφέρετο. διόπερ ἐμπεσούσης ὁρμῆς εἰς τὰς πόλεις ἰδίᾳ πορίζεσθαι τὴν σωτηρίαν, ταχὺ πᾶσαι τῆς εἰρήνης ἔτυχον. οἱ δ' ἀλλοτριώτατα διακείμενοι πρὸς τοὺς Μακεδόνας Αἰτωλοὶ καὶ Ἀθηναῖοι, συμμάχων

62. καὶ σπεύδοντες] σπεύδοντες Bas. 67. πεζοῖς] πεζοῖς μὲν V 72. ἠμύναντο] ἠμύνοντο W 75. εὐθὺς] εὐθὺ F 81. ἐβουλεύσαντο] ἐβουλεύοντο FW 84. διακρίνωνται] διακρίνονται Bas. et qui mox πρεσβεύονται W
271. 89. ποιήσεσθαι] ποιήσασθαι omnes δ' F 92. ἐπὶ] fortasse περὶ 94. κατ' ἰδίαν] κατιδία F 98. ἀλλοτριώτατα] ἀλλοτριώτατον F

ὄντες ἔρημοι, μετὰ τῶν ἰδίων στρατηγῶν ἐβουλεύοντο περὶ τοῦ πολέμου.

18 Ἀντίπατρος δὲ διὰ ταύτης τῆς στρατηγίας διαλύσας τὸ σύστημα τῶν Ἑλλήνων, ἤγαγε τὴν δύναμιν πᾶσαν ἐπὶ τοὺς Ἀθηναίους. ὁ δὲ δῆμος ἐρημωθεὶς τῆς τῶν συμμάχων βοηθείας ἐν ἀπορίᾳ πολλῇ καθειστήκει· πάντων δὲ καταφερομένων ἐπὶ τὸν Δημάδην καὶ βοώντων τοῦτον ἐκπέμπειν πρεσβευτὴν πρὸς Ἀντίπατρον ὑπὲρ τῆς εἰρήνης, οὗτος μὲν καλούμενος σύμβουλος οὐχ ὑπήκουσεν. ἦν γὰρ τρὶς ἡλωκὼς παρανόμων, καὶ διὰ τοῦτο γεγονὼς ἄτιμος καὶ κωλυόμενος ὑπὸ τῶν νόμων συμβουλεύειν· ἀπολαβὼν δὲ τὴν ἐπιτιμίαν ὑπὸ τοῦ δήμου παραχρῆμ' ἐξεπέμφθη πρεσβευτὴς μετὰ Φωκίωνος καί τινων ἑτέρων. τοῦ δ' Ἀντιπάτρου διακούσαντος τῶν λόγων, καὶ δόντος ἀπόκρισιν ὡς ἄλλως οὐ μὴ συλλύσηται τὸν πρὸς Ἀθηναίους πόλεμον, ἐὰν μὴ τὰ καθ' ἑαυτοὺς ἐπιτρέψωσιν αὐτῷ· καὶ γὰρ ἐκείνους συγκλείσαντας εἰς Λαμίαν τὸν Ἀντίπατρον τὰς αὐτὰς ἀποκρίσεις πεποιῆσθαι πρεσβεύσαντος αὐτοῦ περὶ τῆς εἰρήνης· ὁ δὲ δῆμος, οὐκ ὢν ἀξιόμαχος, ἠναγκάσθη τὴν ἐπιτροπὴν καὶ τὴν ἐξουσίαν πᾶσαν Ἀντιπάτρῳ δοῦναι περὶ τῆς πόλεως. ὁ δὲ φιλανθρώπως αὐτοῖς προςενεχθεὶς συνεχώρησεν ἔχειν τήν τε πόλιν καὶ τὰς κτήσεις καὶ τἆλλα πάντα· τὴν δὲ πολιτείαν μετέστησεν ἐκ τῆς δημοκρατίας καὶ προςέταξεν ἀπὸ τιμήσεως εἶναι τὸ πολίτευμα, καὶ τοὺς μὲν κεκτημένους πλείω δραχμῶν διςχιλίων κυρίους εἶναι τοῦ πολιτεύματος καὶ τῆς χειροτονίας, τοὺς δὲ κατωτέρω τῆς τιμήσεως ἅπαντας ὡς ταραχώδεις ὄντας καὶ πολεμικοὺς ἀπήλασε τῆς πολιτείας, καὶ τοῖς βουλομένοις χώραν ἔδωκεν εἰς κατοίκησιν ἐν τῇ Θρᾴκῃ. οὗτοι μὲν οὖν ὄντες πλείους τῶν μυρίων καὶ διςχιλίων μετεστάθησαν ἐκ τῆς πατρίδος· οἱ δὲ τὴν ὡρισμένην τίμησιν ἔχοντες περὶ ἐνακιςχιλίους ἀπεδείχθησαν κύριοι τῆς τε πόλεως καὶ τῆς χώρας, καὶ κατὰ τοὺς Σόλωνος νόμους ἐπολιτεύοντο· πάντες δὲ τὰς οὐσίας εἰάθησαν

100. στρατηγῶν] στρατιωτῶν QY, στρατιωτῶν ἐπάνοδον VW et punctis super ἐπάνοδον positis F, qui certe τὴν ante τῶν addere debebant 3. ἤγαγε] ἦγε W 10. παρανόμων] παρὰ νόμων Bas., παρανομῶν VW 13. παραχρῆμ' F, caeteri παραχρῆμα 18. Λαμίαν] Λάμαν V, λάμιαν F 19. ἀποκρίσεις] ὑποκρίσεις Bas. 25. δημοκρατίας] δημοκρατείας omnes 26. ἀπὸ] ἀπὸ τῆς FVW 27. πλείω] immo πλεῖον δραχμῶν διςχιλίων] τῶν (τῷ? VW) διςχιλίων δραχμῶν FVW 28. εἶναι] τε F 33. τῶν om. F μυρίων Bonamicus: libri διςμυρίων 35. libri ἐνναχιςχ. 36. τῆς χώρας] χώρας T Bas. 37. εἰάθησαν] εἰώθησαν V



272 ἔχειν ἀναφαιρέτους. φρούραρχον δὲ Μένυλλον καὶ φρουρὰν ἠναγκάσθησαν δέξασθαι τὴν οὐκ ἐπιτρέψουσαν οὐδενὶ νεωτερίζειν. περὶ δὲ τῆς Σάμου τὴν ἀναφορὰν ἐπὶ τοὺς βασιλεῖς ἐποιήσαντο. Ἀθηναῖοι μὲν οὖν παρ' ἐλπίδα φιλανθρωπευθέντες ἔτυχον τῆς εἰρήνης, καὶ τὸ λοιπὸν ἀταράχως πολιτευόμενοι καὶ τὴν χώραν ἀδεῶς καρπούμενοι ταχὺ ταῖς οὐσίαις προςανέδραμον. ὁ δ' Ἀντίπατρος ἐπανελθὼν εἰς τὴν Μακεδονίαν τὸν μὲν Κρατερὸν ταῖς ἁρμοζούσαις τιμαῖς τε καὶ δωρεαῖς ἐκόσμησε, καὶ τῶν θυγατέρων μίαν συνοικίσας αὐτῷ τὴν πρεσβυτάτην Φίλαν, τὴν εἰς τὴν Ἀσίαν ἐπάνοδον συγκατεσκεύασεν. ὁμοίως δὲ καὶ ταῖς ἄλλαις Ἑλληνίσι πόλεσιν ἐπιεικῶς προςενεχθείς, καὶ τὰ πολιτεύματα συναγαγὼν καλῶς καὶ καταστήσας, ἐπαίνων καὶ στεφάνων ἔτυχεν. ὁ δὲ Περδίκκας ἀποκαταστήσας τοῖς Σαμίοις τήν τε πόλιν καὶ χώραν κατήγαγεν αὐτοὺς εἰς τὴν πατρίδα, πεφευγότας ἔτη τρισὶ πλείω τῶν τετταράκοντα.

19 Ἡμεῖς δ' ἐπεὶ τὰς κατὰ τὸν Λαμιακὸν πόλεμον ἐπιτελεσθείσας πράξεις διήλθομεν, μεταβησόμεθα πρὸς τὸν ἐν τῇ Κυρήνῃ γενόμενον πόλεμον, ἵνα μὴ μακρὰν τοῖς χρόνοις ἀποπλανῶμεν τὸ συνεχὲς τῆς ἱστορίας. ἀναγκαῖον δ' ἐστὶ βραχὺ τοῖς χρόνοις προςαναδραμεῖν, ὅπως σαφεστέρας ποιήσωμεν τὰς κατὰ μέρος πράξεις. Ἁρπάλου γὰρ τὸν ἐκ τῆς Ἀσίας δρασμὸν ποιησαμένου, καὶ καταπλεύσαντος εἰς Κρήτην μετὰ τῶν μισθοφόρων, καθάπερ ἐν τῇ πρὸ ταύτης βίβλῳ δεδηλώκαμεν, Θίβρων εἷς τῶν φίλων νομιζόμενος δολοφονήσας τὸν Ἅρπαλον κύριος ἐγένετο τῶν τε χρημάτων καὶ τῶν στρατιωτῶν, ὄντων ἑξακιςχιλίων. ὁμοίως δὲ καὶ τῶν νεῶν ἐγκρατὴς γενόμενος, καὶ τοὺς στρατιώτας εἰς ταύτας θέμενος, κατέπλευσεν εἰς τὴν χώραν τῶν Κυρηναίων. ἀνειληφὼς δὲ μεθ' αὐτοῦ τοὺς ἐκ τῆς Κυρήνης φυγάδας, καὶ τούτους ἔχων καθηγουμένους τῆς ἐπιβολῆς διὰ τὴν τῶν τόπων ἐμπειρίαν, ἀπαντησάντων τῶν Κυρηναίων, καὶ μάχης γενομένης, ὁ Θίβρων νικήσας πολλοὺς μὲν ἀπέκτεινεν, οὐκ ὀλίγους δ' ἐζώγρησε. κυριεύσας δὲ τοῦ λιμένος, καὶ πολιορκήσας καὶ καταπληξάμενος τοὺς Κυρηναίους,

272. 48. Φίλαν] φιλαν..ρωποτ.. F 55. τῶν] καὶ Bas. τετταράκοντα] τεσσαράκοντα omnes, μ Bas., τριάκοντα Wesselingius 58. ἵνα] ἵνα δὲ FW 60. ἀναγκαῖον δ'] ἀναγκαῖον FVW 64. μετὰ τῶν] μετὰ V 65. Θίβρων semper FXY Bas., caeteri semper Θίμβρων 68. ἑξακιςχιλίων Blancardus: libri ἑπτακιςχιλίων 71. μεθ' αὐτοῦ] μετ' αὐτοῦ omnes 72. ἐπιβολῆς] ἐπιβουλῆς FVW Bas. 73. τὴν τῶν] τῶν Bas. 76. καὶ πολιορκήσας T, caeteri ἐκπολιορκήσας

ἠνάγκασεν ὁμολογίας ποιήσασθαι, ὥςτε αὐτοὺς δοῦναι ἀργυρίου τάλαντα πεντακόσια, τῶν δὲ ἁρμάτων τὰ ἡμίση πρὸς τὰς στρατείας συνεκπέμπειν. διεπρεσβεύσατο δὲ καὶ πρὸς τὰς ἄλλας πόλεις, ἀξιῶν συμμαχεῖν, ὡς μέλλοντος αὐτοῦ τὴν πλησιόχωρον Λιβύην καταστρέφεσθαι. διήρπασε δὲ καὶ τῶν ἐμπόρων τὰ καταληφθέντα χρήματα ἐν τῷ λιμένι, καὶ τοῖς στρατιώταις εἰς διαρπαγὴν ἔδωκεν, ἐκκαλούμενος αὐτῶν τὰς προθυμίας εἰς τὸν πόλεμον. 273

20 οὕτω δὲ τῶν πραγμάτων τῷ Θίβρωνι προχωρούντων, ἡ τύχη ταχὺ μεταβαλοῦσα ἐταπείνωσεν αὐτὸν διὰ τοιαύτας αἰτίας. τῶν ἡγεμόνων τῶν παρ' αὐτῷ τις Κρὴς μὲν τὸ γένος, ὄνομα δὲ Μνασικλῆς, ἐμπειρίαν δ' ἔχων τῶν πολεμικῶν πράξεων, διηνέχθη πρὸς αὐτόν, ἐγκαλέσας μὲν περὶ τοῦ μερισμοῦ τῶν λαφύρων, καὶ φύσει ταραχώδης ὢν καὶ θρασὺς ηὐτομόλησε πρὸς τοὺς Κυρηναίους. κατηγορήσας δὲ πολλὰ τοῦ Θίβρωνος εἰς ὠμότητα καὶ ἀπιστίαν ἔπεισε λῦσαι τὰς ὁμολογίας καὶ τῆς ἐλευθερίας ἀντέχεσθαι· διὸ καὶ ταλάντων ἑξήκοντα μόνον ἀποδεδομένων, τῶν δὲ λοιπῶν χρημάτων οὐ διδομένων, ὁ μὲν Θίβρων ἐγκαλέσας τοῖς ἀφεστηκόσι συνέλαβε τῶν Κυρηναίων τοὺς παρόντας ἐν τῷ λιμένι, ὄντας περὶ ὀγδοήκοντα. εὐθὺς δὲ τὴν δύναμιν ἐπαγαγὼν ἐπὶ τὴν πόλιν ἐπολιόρκει τὴν Κυρήνην· οὐδὲν δὲ δυνάμενος πρᾶξαι, πάλιν πρὸς τὸν λιμένα ἐπανῆλθε. τῶν δὲ Βαρκαίων καὶ τῶν Ἑσπεριτῶν συμμαχούντων τῷ Θίβρωνι, Κυρηναῖοι μέρος μὲν τῆς δυνάμεως ἀπέλιπον ἐν τῇ Κυρήνῃ, τῷ μέρει δὲ στρατεύσαντες ἐπόρθουν τὴν τῶν ἀστυγειτόνων χώραν. τούτων δ' ἐπικαλεσαμένων βοηθεῖν τὸν Θίβρωνα, ἅπαντας τοὺς στρατιώτας ἐξήγαγεν ἐπὶ τὴν συμμαχίαν. καθ' ὃν δὴ χρόνον ὁ Κρὴς συλλογισάμενος τὴν ἐρημίαν τοῦ λιμένος ἔπεισε τοὺς ἐν Κυρήνῃ καταλειφθέντας ἐπιθέσθαι τῷ λιμένι. ὑπακουσάντων δ' εὐθὺς αὐτὸς καθηγούμενος ἐπέθετο τῷ λι-

77. ὁμολογίας FY Bas., caeteri ὁμολογίαν 79. πεντακόσια FVWX Bas., caeteri πεντακιςχίλια τὰ ἡμίση] τὰ ἡμίσει FV, ἥμισυ Bas. 84. καταληφθέντα FV, caeteri καταλειφθέντα

273. 88. οὕτω] οὕτως F 91. αὐτῷ] αὐτοῦ F 93. τοῦ μερισμοῦ om. Bas., asterisco notavit Stephanus 98. μόνον] libri μόνων: ο super ω ponit F 99. τῶν δὲ — διδομένων om. Bas. 2. ὀγδοήκοντα FTVWX, π Bas., caeteri ὀκτακοσίους εὐθὺς F, εὐθὺ caeteri 3. ἐπὶ τὴν πόλιν om. FVW 5. Βαρκαίων] Βαρκαϊκῶν QX, βαρβαρικῶν Y Bas. 7. τῷ] τῶν ἐν F 9. τὸν Θίβρωνα] τῷ θίβρωνι F (ὸν, να superscr.) 10. ἐξήγαγεν Rhodomannus: libri ἐξήγαγον



μένι, καὶ διὰ τὴν ἀπουσίαν τοῦ Θίβρωνος ῥᾳδίως ἐγκρατὴς γενόμενος τὰ περιλειπόμενα τῶν φορτίων ἀποκατέστησε τοῖς ἐμπόροις καὶ τὸν λιμένα φιλοτίμως ἐτήρει. ὁ δὲ Θίβρων τὸ μὲν πρῶτον ἀθύμως εἶχεν, ἀπολωλεκὼς τόπον ἐπίκαιρον καὶ τὰς τῶν στρατιωτῶν ἀποσκευάς· μετὰ δὲ ταῦτα θαῤῥήσας, καὶ τὴν πόλιν τὴν ὀνομαζομένην Τεύχειρα ἐκπολιορκήσας, ἀνέδραμε ταῖς ἐλπίσι. μετ' ὀλίγον δὲ πάλιν αὐτὸν συνέβη περιπεσεῖν μεγάλοις ἐλαττώμασιν. οἱ γὰρ ἐν ταῖς ναυσὶν ὄντες τοῦ λιμένος ἐστερημένοι, τροφῆς δὲ ἀποροῦντες, εἰώθεισαν καθ' ἡμέραν ἐπὶ τὴν χώραν ἐξιέναι καὶ τὰς τροφὰς ἐκ ταύτης πορίζεσθαι. οἱ δὲ Λίβυες ἐνεδρεύσαντες αὐτοὺς πλανωμένους κατὰ τὴν χώραν, πολλοὺς μὲν ἀπέκτειναν, οὐκ ὀλίγους δ' ἐζώγρησαν· οἱ δὲ περιλειφθέντες ἐκ τοῦ κινδύνου καταφυγόντες εἰς τὰς ναῦς ἀπέπλεον εἰς τὰς συμμαχίδας πόλεις. ἐπιγενομένου δὲ μεγάλου πνεύματος, αἱ πλεῖσται μὲν ὑπὸ τῆς θαλάττης κατεπόθησαν, τῶν δ' ἄλλων αἱ μὲν εἰς Κύπρον αἱ δ' εἰς Αἴγυπτον ἀπεῤῥίφησαν. 274

21 ὁ δὲ Θίβρων τηλικαύτῃ συμφορᾷ περιπεσὼν ὅμως ἀντείχετο τοῦ πολέμου· προχειρισάμενος δὲ τῶν φίλων τοὺς εὐθέτους ἔπεμψεν εἰς τὴν Πελοπόννησον ἀναληψομένους τῶν ξένων τοὺς ἐνδιατρίβοντας περὶ Ταίναρον. ἔτι γὰρ τῶν ἀμισθώτων γενομένων πολλοὶ διεπλανῶντο ζητοῦντες τοὺς μισθοδοτήσοντας, καὶ τότε περὶ Ταίναρον ὑπῆρχον πλείους τῶν διςχιλίων καὶ πεντακοσίων. τούτους δὲ οἱ πεμφθέντες ἀνέλαβον, τὸν δὲ εἰς Κυρήνην πλοῦν ἐποιοῦντο. τῇ δὲ τούτων ἀπουσίᾳ οἱ μὲν Κυρηναῖοι θαῤῥήσαντες τοῖς γεγονόσι προτερήμασι μάχην συνῆψαν, καὶ νικήσαντες τὸν Θίβρωνα πολλοὺς τῶν στρατιωτῶν ἀπέκτειναν. διὰ δὲ τὰς ἐλαττώσεις ὁ Θίβρων ἀπογινώσκων ἤδη τὰ κατὰ τὴν Κυρήνην παραδόξως πάλιν ἐθάῤῥησε. τῶν γὰρ ἀπὸ Ταινάρου στρατιωτῶν καταπλευσάντων, καὶ μεγάλης αὐτῷ χειρὸς προσγενομένης, εὔελπις ἐγένετο τῇ ψυχῇ. οἱ δὲ Κυρηναῖοι

16. ἀποκατέστησε] ἀπεκατέστησε W 20. μετὰ δὲ ταῦτα] μετὰ ταῦτα δὲ FV θαῤῥήσας F, caeteri θαρσήσας 21. Τεύχειρα FQTV, Τεύκιρα W, Τάχιρα TQ, Τάριχα caeteri 30. καταφυγόντες] καὶ φυγόντες FV 32. τῆς θαλάττης] τοῦ πνεύματος FVW, caeteri τῆς θαλάσσης κατεπόθησαν Wesselingius, κατεποντήθησαν T Bas., caeteri κατεποντίσθησαν

274. 36. προχειρ. δὲ] δὲ om. V 38. ἀναληψομένους] ἀναληψόμενος VW 39. τῶν addidit Wesselingius περὶ Reiskius: libri ἐπὶ 44. ἀπουσίᾳ T, caeteri παρουσίᾳ 45. μάχην] μάχη F 49. καταπλευσάντων] ἀποπλευσάντων Bas.

πάλιν θεωροῦντες τὸν πόλεμον αὐξόμενον, μετεπέμψαντο τὴν συμμαχίαν παρὰ τῶν πλησιοχώρων Λιβύων καὶ παρὰ τῶν Καρχηδονίων. ἀθροίσαντες δὲ τοὺς ἅπαντας μετὰ τῶν πολιτικῶν στρατιώτας τριςμυρίους ἡτοιμάζοντο παρατάξει περὶ τῶν ὅλων διακριθῆναι. γενομένης δὲ παρατάξεως μεγάλης, ὁ μὲν Θίβρων νικήσας τῇ μάχῃ καὶ πολλοὺς ἀνελὼν περιχαρὴς ἦν, ὡς αὐτίκα μάλα κυριεύσων τῶν πλησίον πόλεων. οἱ δὲ Κυρηναῖοι τῶν στρατηγῶν ἁπάντων ἀνῃρημένων ἐν τῇ μάχῃ τὸν Κρῆτα Μνασικλῆν μεθ' ἑτέρων εἵλοντο στρατηγόν. Θίβρων δ' ἐπαρθεὶς τῇ νίκῃ τὸν λιμένα τῶν Κυρηναίων ἐπολιόρκησε καὶ τῇ Κυρήνῃ καθ' ἡμέραν προςβολὰς ἐποιεῖτο. χρονίζοντος δὲ τοῦ πολέμου Κυρηναῖοι μὲν σπανίζοντες τῆς τροφῆς ἐστασίασαν πρὸς ἀλλήλους· ἐπικρατούντων δὲ τῶν δημοτικῶν καὶ τοὺς κτηματικοὺς ἐκβαλλόντων, οἱ τῆς πατρίδος στερηθέντες ἔφυγον οἱ μὲν πρὸς Θίβρωνα, οἱ δ' Αἴγυπτον. οὗτοι δὲ πείσαντες τὸν Πτολεμαῖον κατάγειν αὐτούς, ἧκον ἄγοντες δύναμιν ἀξιόλογον πεζικήν τε καὶ ναυτικὴν καὶ στρατηγὸν Ὀφέλλαν· ὧν τὴν παρουσίαν ἀκούσαντες οἱ παρὰ τῷ Θίβρωνι φυγάδες, νυκτὸς ἐπιχειρήσαντες πρὸς τούτους ἀπιέναι λάθρᾳ, φωραθέντες ἅπαντες κατεκόπησαν. οἱ δὲ τῆς Κυρήνης στρατηγοῦντες δημοτικοί, φοβηθέντες τὴν τῶν φυγάδων κάθοδον, διελύσαντο πρὸς τὸν Θίβρωνα, καὶ κοινῇ πολεμεῖν πρὸς τὸν Ὀφέλλαν παρεσκευάζοντο. Ὀφέλλας δὲ καταπολεμήσας τὸν Θίβρωνα καὶ ζωγρήσας, ἔτι δὲ τῶν πόλεων ἐγκρατὴς γενόμενος, παρέδωκε τάς τε πόλεις καὶ τὴν χώραν Πτολεμαίῳ τῷ βασιλεῖ. οἱ μὲν οὖν Κυρηναῖοι καὶ αἱ περιοικοῦσαι πόλεις τοῦτον τὸν τρόπον ἀποβαλοῦσαι τὴν ἐλευθερίαν ὑπὸ τὴν Πτολεμαϊκὴν βασιλείαν ἐτάχθησαν.

22 Περδίκκας δὲ καὶ ὁ βασιλεὺς Φίλιππος καταπεπολεμηκότες Ἀριαράθην, καὶ τὴν σατραπείαν αὐτοῦ Εὐμένει παραδόντες, ἐχωρίσθησαν ἐκ τῆς Καππαδοκίας. 275 καταντήσαντες δὲ εἰς τὴν Πισιδικὴν ἔκριναν ἀναστάτους ποιῆσαι δύο πόλεις, τήν τε τῶν Λαρανδέων καὶ τὴν τῶν Ἰσαυρέων. αὗται γὰρ ἔτι ζῶντος Ἀλεξάνδρου Βάλακρον τὸν Νικάνορος ἀπέκτειναν, ἀποδεδειγμένον στρατηγὸν ἅμα καὶ σατράπην. τὴν μὲν οὖν τῶν Λαρανδέων πόλιν

66. τῆς τροφῆς] τροφῆς Bas. 73. νυκτὸς — 74. φωραθέντες om. Bas. 74. τούτους] τοῦτον FQVW 77. διελύσαντο] συνελύσαντο VW

275. 92. Λαρανδέων FVW hic et post, Λαρανδαίων caeteri hic et post Ἰσαυρέων] Ἰσαυραίων T 94. ἅμα om. Bas. 95. οὖν om. Bas.



ἐξ ἐφόδου χειρωσάμενοι, καὶ τοὺς ἡβῶντας κατασφάξαντες, τοὺς δ' ἄλλους ἐξανδραποδισάμενοι, κατέσκαψαν· τὴν δὲ τῶν Ἰσαυρέων, οὖσαν ὀχυρὰν καὶ μεγάλην, ἔτι δὲ πλήθουσαν ἀλκίμων ἀνδρῶν, ἐπὶ μὲν ἡμέρας δύο πολιορκήσαντες ἐνεργῶς, καὶ πολλοὺς τῶν ἰδίων ἀποβαλόντες, ἀνεχώρησαν· οἱ γὰρ ἐγχώριοι βελῶν καὶ τῶν ἄλλων τῶν πρὸς πολιορκίαν ἀνηκόντων εὐποροῦντες, ἔτι δὲ ταῖς ψυχαῖς ὑπομένοντες τὸ δεινὸν παραστατικῶς ἑτοίμως ὑπὲρ τῆς ἐλευθερίας ἀπέθνησκον. τῇ δὲ τρίτῃ πολλῶν μὲν ἀνῃρημένων, τῶν δὲ τειχῶν ἐλλιπεῖς ἐχόντων τὰς φυλακὰς διὰ τὴν σπάνιν τῶν ἀνδρῶν, ἐπετελέσαντο πρᾶξιν οἱ κατὰ τὴν πόλιν ἡρωικὴν καὶ μνήμης ἀξίαν. ὁρῶντες γὰρ ἀπαραίτητον οὖσαν τὴν κατ' αὐτῶν τιμωρίαν, καὶ δύναμιν οὐκ ἔχοντες ἀξιόχρεων τὴν ἀμυνομένην, τὸ μὲν ἐγχειρίσαι τὴν πόλιν καὶ τὰ καθ' αὑτοὺς ἐπιτρέψαι τοῖς πολεμίοις οὐκ ἔκριναν, ἐμφανοῦς οὔσης τῆς μεθ' ὕβρεως τιμωρίας· νυκτὸς δ' ὁμοθυμαδὸν πρὸς τὸν εὐγενῆ θάνατον ὁρμήσαντες, τέκνα μὲν καὶ γυναῖκας καὶ γονεῖς εἰς τὰς οἰκίας ἐγκλείσαντες ἐνέπρησαν, κοινὸν θάνατον καὶ τάφον διὰ τοῦ πυρὸς ἑλόμενοι. τῆς δὲ φλογὸς ἄφνω πρὸς ὕψος αἰρομένης, οἱ μὲν Ἰσαυρεῖς τὴν κτῆσιν καὶ πάντα τὰ δυνάμενα τοῖς κρατοῦσιν ὠφέλειαν παρέχεσθαι τῷ πυρὶ παρέβαλον· οἱ δὲ περὶ τὸν Περδίκκαν θαυμάσαντες τὸ γενόμενον περιέστησαν τὴν δύναμιν καὶ κατὰ πάντα τόπον ἐβιάζοντο παρειςπεσεῖν εἰς τὴν πόλιν. τῶν δ' ἐγχωρίων ἀπὸ τῶν τειχῶν ἀμυνομένων, καὶ πολλοὺς τῶν Μακεδόνων καταβαλλόντων, ἔτι μᾶλλον ὁ Περδίκκας καταπληττόμενος ἐζήτει τὴν αἰτίαν δι' ἣν οἱ τὰς οἰκίας καὶ τὰ λοιπὰ πάντα τῷ πυρὶ παραδεδωκότες φιλοτίμως τὰ τείχη φυλάττουσι. τέλος δὲ τοῦ Περδίκκου καὶ τῶν Μακεδόνων ἀπὸ τῆς πόλεως ἀποχωρησάντων, οἱ Ἰσαυρεῖς εἰς τὸ πῦρ ἑαυτοὺς ῥίψαντες ἐν ταῖς οἰκίαις συνετάφησαν τοῖς οἰκείοις. Περδίκκας δὲ νυκτὸς διελθούσης ἔδωκε τοῖς στρατιώταις τὴν πόλιν εἰς διαρπαγήν. οὗτοι δὲ τὴν φλόγα κατασβέσαντες πολὺν

96. καὶ τοὺς — 97. ἐξανδραποδισάμενοι om. Bas. ἐλλιπεῖς omnes 10. ἀξιόχρεων FQTXYW, caeteri ἀξιόλογον 11. ἐγχειρίσαι] ἐγχειρῆσαι W 12. τοῖς πολεμίοις] τοὺς πολεμίους F

17. ἄφνω] ἐμφανῶς FQVW αἰρομένης] φερομένης FQVW 19. παρέβαλον] παρέβαλλον F 20. Περδίκκαν TX Bas., caeteri addunt ὄντες, quod asterisco notavit Stephanus 24. καταβαλλόντων] ἀποβαλλόντων VW 26. τὰ λοιπὰ] τ' ἄλλα πάντα F 29. εἰς τὸ πῦρ ἑαυτοὺς] ἑαυτοὺς εἰς τὸ πῦρ F 30. οἰκείοις] οἰκίοις Bas.

31. τοῖς στρατιώταις] τοὺς στρατιώτας F 32. τὴν φλόγα] φλόγα Bas.

ἄργυρόν τε καὶ χρυσὸν εὗρον, ὡς ἂν πόλεως γεγενημένης εὐδαίμονος ἐκ πολλῶν χρόνων.

23 Μετὰ δὲ τὴν ἀπώλειαν τῶν πολεμίων ἧκον δύο γυναῖκες εἰς συνοικισμὸν τῷ Περδίκκᾳ, Νίκαιά τε ἡ Ἀντιπάτρου θυγάτηρ, ἣν αὐτὸς ὁ Περδίκκας ἦν μεμνηστευκώς, καὶ Κλεοπάτρα ἡ Ἀλεξάνδρου μὲν ἀδελφὴ γνησία, θυγάτηρ δὲ Φιλίππου τοῦ Ἀμύντου. ὁ δὲ Περδίκκας, 276 πρότερον μὲν ἦν κεκρικὼς κοινοπραγίαν Ἀντιπάτρῳ, καὶ διὰ τοῦτο τὴν μνηστείαν ἐπεποίητο, μήπω τῶν κατ' αὐτὸν πραγμάτων βεβαίως ἐστερεωμένων· ὡς δὲ παρέλαβε τάς τε βασιλικὰς δυνάμεις καὶ τὴν τῶν βασιλέων προστασίαν, μετέπεσε τοῖς λογισμοῖς. ὀρεγόμενος γὰρ βασιλείας, ἔσπευδε τὴν Κλεοπάτραν γῆμαι, νομίζων διὰ ταύτης προτρέψεσθαι τοὺς Μακεδόνας συγκατασκευάζειν αὐτῷ τὴν τῶν ὅλων ἐξουσίαν. οὔπω δὲ βουλόμενος ἀποκαλύψασθαι πρὸς τὴν ἐπιβολήν, κατὰ μὲν τὸ παρὸν ἦγε τὴν Νίκαιαν, ὅπως μὴ τὸν Ἀντίπατρον ἀλλότριον ἔχῃ ταῖς ἰδίαις ἐπιβολαῖς· μετὰ δὲ ταῦτα Ἀντιγόνου τὴν προαίρεσιν αὐτοῦ κατανοήσαντος, καὶ φιλίαν ἔχοντος πρὸς Ἀντίπατρον, ἔτι δὲ ὄντος τοῦ ἀνδρὸς τοῦ πρακτικωτάτου τῶν ἡγεμόνων, ἔκρινεν αὐτὸν ἐκποδὼν ποιήσασθαι. ἐπιβαλὼν οὖν αὐτῷ διαβολὰς ψευδεῖς καὶ κατηγορίας ἀδίκους φανερὸς ἦν ἀναιρήσων αὐτόν. ὁ δ' Ἀντίγονος συνέσει καὶ τόλμῃ διαφέρων, φανερῶς μὲν ἀπεφαίνετο βούλεσθαι περὶ τῶν ἐγκαλουμένων ἀπολογήσασθαι, λάθρᾳ δὲ παρασκευασάμενος τὰ πρὸς τὸν δρασμόν, ἔλαθε μετὰ τῶν ἰδίων φίλων καὶ τοῦ υἱοῦ Δημητρίου νυκτὸς εἰςβὰς εἰς τὰς Ἀττικὰς ναῦς. ἐν δὲ ταύταις κομισθεὶς εἰς τὴν Εὐρώπην προῆγε συμμίξων Ἀντιπάτρῳ.

24 Κατὰ δὲ τούτους τοὺς καιροὺς Ἀντίπατρος καὶ Κράτερος ἐπὶ τοὺς Αἰτωλοὺς ἐστράτευσαν, ἔχοντες πεζοὺς μὲν τρισμυρίους, ἱππεῖς δὲ δισχιλίους καὶ πεντακοσίους· οὗτοι γὰρ τῶν ἐν τῷ Λαμιακῷ πολέμῳ διαπολεμησάντων ὑπόλοιποι διέμενον ἀχείρωτοι. οἱ δὲ Αἰτωλοί, τηλικούτων δυνάμεων ἐπ' αὐτοὺς ὡρμημένων, οὐ κατεπλάγησαν ταῖς ψυχαῖς, ἀλλὰ τοὺς μὲν ἀκμάζοντας ταῖς

33. εὗρον post πολὺν ponunt FVW 34. πόλεως] hic articulum desidero
276. 44. ὡς δὲ] ὥς τε Bas. τάς τε asterisco notavit Stephanus 45. βασιλέων W, caeteri βασιλείων 48. προτρέψεσθαι W, caeteri προτρέψασθαι 49. οὔπω] οὕτω Bas. 52. ἀλλότριον ante ἔχῃ ponunt FTVW, post ἐπιβολαῖς caeteri 58. φανερὸς — 59. διαφέρων om. X 68. δισχιλίους] χιλίους Q Bas.



ἡλικίαις ἀθροίσαντες εἰς μυρίους κατέφυγον εἰς τοὺς ὀρεινοὺς καὶ τραχεῖς τόπους, εἰς οὓς τέκνα καὶ γυναῖκας καὶ τοὺς γεγηρακότας καὶ τὸ τῶν χρημάτων πλῆθος ἀπέθεντο· καὶ τὰς μὲν ἀνωχύρους πόλεις ἐξέλιπον, τὰς δὲ ὀχυρότητι διαφερούσας φρουραῖς ἀξιολόγοις διαλαβόντες εὐτόλμως ὑπέμενον τὴν τῶν πολεμίων ἔφοδον.

25 οἱ δὲ περὶ τὸν Ἀντίπατρον καὶ Κράτερον εἰςβαλόντες εἰς τὴν Αἰτωλίαν καὶ τὰς εὐχειρώτους πόλεις ὁρῶντες ἐρήμους, ὥρμησαν ἐπὶ τοὺς ἀνακεχωρηκότας εἰς τὰς δυςχωρίας. τὸ μὲν οὖν πρῶτον οἱ Μακεδόνες πρὸς τόπους ὀχυροὺς καὶ τραχεῖς βιαζόμενοι πολλοὺς τῶν στρατιωτῶν ἀπέβαλον· ἡ γὰρ τόλμα τῶν Αἰτωλῶν προςλαβοῦσα τὴν ἐν τοῖς τόποις ὀχυρότητα ῥᾳδίως ἠμύνετο τοὺς διὰ τὴν προπέτειαν εἰς ἀβοηθήτους κινδύνους προπίπτοντας· μετὰ δὲ ταῦτα τῶν περὶ Κράτερον στεγνὰ κατασκευασάντων, καὶ συναναγκαζόντων τοὺς πολεμίους μένειν τὸν χειμῶνα καὶ δια- 277 καρτερεῖν ἐν τοῖς χιονοβολουμένοις καὶ τροφῆς ἐνδεεῖς, εἰς τοὺς ἐσχάτους ἦλθον κινδύνους. ἀναγκαῖον γὰρ ἦν ἢ καταβάντας ἀπὸ τῶν ὀρῶν διαγωνίσασθαι πρὸς δυνάμεις πολλαπλασίους καὶ στρατηγοὺς ἐπιφανεῖς ἢ μένοντας ὑπ' ἐνδείας καὶ κρυμοῦ διαφθαρῆναι. ἤδη δ' αὐτῶν ἀπογινωσκόντων τὴν σωτηρίαν αὐτόματός τις λύσις τῶν κακῶν ἐφάνη, καθάπερ θεῶν τινος ἐλεοῦντος αὐτῶν τὴν εὐψυχίαν. Ἀντίγονος γὰρ ὁ πεφευγὼς ἐκ τῆς Ἀσίας συμμίξας τοῖς περὶ τὸν Ἀντίπατρον ἐδίδαξεν αὐτοὺς περὶ τῆς ὅλης ἐπιβολῆς τοῦ Περδίκκου, καὶ διότι τὴν Κλεοπάτραν γαμήσας εὐθὺς ἥξει μετὰ τῆς δυνάμεως εἰς Μακεδονίαν ὡς βασιλεὺς καὶ τὴν ἡγεμονίαν αὐτῶν παραιρήσεται. οἱ δὲ περὶ τὸν Κράτερον καὶ Ἀντίπατρον διὰ τὸ παράδοξον τῆς προςαγγελίας καταπλαγέντες, συνήδρευσαν μετὰ τῶν ἡγεμόνων. προτεθείσης οὖν βουλῆς περὶ τούτων ἔδοξεν ὁμογνωμόνως πρὸς μὲν Αἰτωλοὺς ἐφ' οἷς ἦν δυνατὸν διαλυθῆναι, τὰς δὲ δυνάμεις κατὰ τάχος περαιοῦν εἰς τὴν Ἀσίαν, καὶ τῷ μὲν Κρατερῷ τὴν τῆς Ἀσίας ἡγεμονίαν περιτιθέναι, τῷ δ' Ἀντιπάτρῳ τὴν τῆς Εὐρώπης· πρεσβεύειν δὲ καὶ πρὸς Πτολεμαῖον περὶ κοινοπραγίας, ὄντα τοῦ μὲν Περδίκκου

77. ἀνωχύρους] ἀνοχύρους omnes 81. εἰςβαλόντες] εἰςβάντες Q Bas. 86. ἀπέβαλον] ἀπέβαλλον W 89. προςπίπτοντας omnes 92. χιονοβολουμένοις] χιονοβόλοις F
277. 94. ἀπὸ] ἐκ FVW 2. ἐπιβολῆς Rhodomannus: libri ἐπιβουλῆς 3. τῆς δυνάμεως] δυνάμεως FV 7. προτεθείσης] προςτεθείσης FW 12. περιτιθέναι FVW, caeteri περιτεθῆναι 13. δὲ καὶ] δὲ F

παντελῶς ἀλλότριον, ἑαυτοῖς δὲ φίλον, κοινῇ δὲ ἐπιβουλευόμενον. εὐθὺς οὖν πρὸς μὲν Αἰτωλοὺς διάλυσιν ἐποιήσαντο, διεγνωκότες ὕστερον αὐτοὺς καταπολεμῆσαι καὶ μεταστῆσαι πανοικίους ἅπαντας εἰς τὴν ἐρημίαν καὶ ποῤῥωτάτω τῆς Ἀσίας κειμένην χώραν, αὐτοὶ δὲ δόγμα γράψαντες ἀκόλουθον τοῖς προειρημένοις παρεσκευάζοντο τὰ πρὸς τὴν στρατείαν. Περδίκκας δὲ τούς τε φίλους καὶ τοὺς ἡγεμόνας ἀθροίσας προέθηκε βουλὴν πότερον ἐπὶ τὴν Μακεδονίαν χρὴ στρατεύειν ἢ πρότερον ἐπὶ τὸν Πτολεμαῖον ὁρμῆσαι. πάντων δ' ἐπενεχθέντων ἐπὶ τὸ πρότερον καταπολεμῆσαι τὸν Πτολεμαῖον, ὅπως μηδὲν ἐμπόδιον ἔχωσι τῆς κατὰ τὴν Μακεδονίαν ὁρμῆς, Εὐμένη μὲν ἐξέπεμψε μετὰ δυνάμεως ἀξιολόγου, προστάξας ἐφεδρεύειν τοῖς περὶ τὸν Ἑλλήσποντον τόποις καὶ τὴν διάβασιν κωλύειν, αὐτὸς δὲ ἀναλαβὼν ἐκ τῆς Πισιδικῆς τὴν πορείαν ἐπὶ τὴν Αἴγυπτον ἐποιεῖτο. ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

26 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Φιλοκλέους ἐν Ῥώμῃ κατεστάθησαν ὕπατοι Γάϊος Σουλπίκιος καὶ Γάϊος Αἴλιος. ἐπὶ δὲ τούτων Ἀῤῥιδαῖος ὁ κατασταθεὶς ἐπὶ τὴν κατακομιδὴν τοῦ Ἀλεξάνδρου σώματος, συντετελεκὼς τὴν ἁρμάμαξαν ἐφ' ἧς ἔδει κατακομισθῆναι τὸ βασιλικὸν σῶμα, παρεσκευάζετο τὰ πρὸς τὴν κομιδήν. ἐπεὶ δὲ τὸ κατασκευασθὲν ἔργον ἀξιόλογον ὑπάρχον τῆς Ἀλεξάνδρου δόξης οὐ μόνον κατὰ τὴν δαπάνην διήνεγκε τῶν ἄλλων, ὡς ἀπὸ πολλῶν ταλάντων κατασκευασθέν, ἀλλὰ καὶ τῇ κατὰ τὴν τέχνην περιττότητι περιβόητον ὑπῆρξε, καλῶς ἔχειν ὑπολαμβάνομεν ἀναγράψαι περὶ αὐτοῦ. πρῶ- 278 τον μὲν γὰρ τῷ σώματι κατεσκευάσθη χρυσοῦν σφυρήλατον ἁρμόζον, καὶ τοῦτ' ἀνὰ μέσον ἐπλήρωσαν ἀρωμάτων τῶν ἅμα δυναμένων τὴν εὐωδίαν καὶ τὴν διαμονὴν παρέχεσθαι τῷ σώματι. ἐπάνω δὲ τῆς θήκης ἐπετίθετο καλυπτὴρ χρυσοῦς, ἁρμόζων ἀκριβῶς καὶ περιλαμβάνων τὴν ἀνωτάτω περιφέρειαν. ταύτης δ' ἐπάνω περιέκειτο φοινικὶς διαπρεπὴς χρυσοποίκιλτος, παρ' ἣν ἔθεσαν τὰ τοῦ μετηλλαχότος ὅπλα, βουλόμενοι συνοικειοῦν τὴν ὅλην φαντασίαν ταῖς προκατειργασμέναις πράξεσι. μετὰ δὲ ταῦτα παρέστησαν τὴν τοῦτο κομιοῦσαν ἁρμάμαξαν.

18. πανοικίους post καταπολεμῆσαι ponit F μεταστῆσαι] μεταγαγεῖν FQV 21. τὰ om. F 25. ἐπὶ] τῶν ἐπὶ F 30. ἀναλαβὼν] τὴν στρατιὰν addit Reiskius 34. Σουλπίκιος] Σουλπίτιος Q 35. ὁ om. Bas. 40. ἀξιόλογον] immo ἄξιον 43. τὴν τέχνην] τέχνην Bas. 278. 46. ad χρυσοῦν σφυρήλατον nomen deesse monuit Rhodomannus 47. ἐπλήρωσαν W, caeteri ἐπλήρωσεν τῶν] τῶν δ' F 8. τὴν διαμονὴν] διαμονὴν Bas.



ᾗ κατεσκεύαστο κατὰ μὲν τὴν κορυφὴν καμάρα χρυσῆ, ἔχουσα φολίδα λιθοκόλλητον, ἧς ἦν τὸ μὲν πλάτος ὀκτὼ πηχῶν, τὸ δὲ μῆκος δώδεκα. ὑπὸ δὲ τὴν ὑπωροφίαν παρ' ὅλον τὸ ἔργον θρόνος χρυσοῦς τῷ σχήματι τετράγωνος, ἔχων τραγελάφων προτομὰς ἐκτύπους, ἐξ ὧν ἤρτηντο κρίκοι χρυσοῖ διπάλαιστοι, δι' ὧν κατακεκρέμαστο στέμμα πομπικόν, χρώμασι παντοδαποῖς διαπρεπῶς κατηνθισμένον. ἐπὶ δὲ τῶν ἄκρων ὑπῆρχε θύσανος δικτυωτός, ἔχων εὐμεγέθεις κώδωνας, ὥστε ἐκ πολλοῦ διαστήματος προσπίπτειν τὸν ψόφον τοῖς ἐγγίζουσι. κατὰ δὲ τὰς τῆς καμάρας γωνίας ἐφ' ἑκάστης ἦν πλευρᾶς νίκη χρυσῆ τροπαιοφόρος. τὸ δ' ἐκδεχόμενον τὴν καμάραν περίστυλον χρυσοῦν ὑπῆρχεν, ἔχον Ἰωνικὰ κιονόκρανα. ἐντὸς δὲ τοῦ περιστύλου δίκτυον ἦν χρυσοῦν τὸ πάχος τῇ πλοκῇ δακτυλιαῖον καὶ πίνακας παραλλήλους ζῳοφόρους τέτταρας ἴσους τοῖς τοίχοις ἔχον. 27 τούτων δ' ὁ μὲν πρῶτος ἦν ἔχων ἅρμα τορευτὸν καὶ καθήμενον ἐπὶ τούτου τὸν Ἀλέξανδρον μετὰ χεῖρας ἔχοντα σκῆπτρον διαπρεπές· περὶ δὲ τὸν βασιλέα μία μὲν ὑπῆρχε θεραπεία καθωπλισμένη Μακεδόνων, ἄλλη δὲ Περσῶν μηλοφόρων, καὶ πρὸ τούτων ὁπλοφόροι· ὁ δὲ δεύτερος εἶχε τοὺς ἐπακολουθοῦντας τῇ θεραπείᾳ ἐλέφαντας κεκοσμημένους πολεμικῶς, ἀναβάτας ἔχοντας ἐκ μὲν τῶν ἔμπροσθεν Ἰνδούς, ἐκ δὲ τῶν ὄπισθεν Μακεδόνας καθωπλισμένους τῇ συνήθει σκευῇ, ὁ δὲ τρίτος ἱππέων ἴλας μιμουμένας τὰς ἐν ταῖς παρατάξεσι συναγωγάς, ὁ δὲ τέταρτος ναῦς κεκοσμημένας πρὸς ναυμαχίαν. καὶ παρὰ μὲν τὴν εἰς τὴν καμάραν εἴσοδον ὑπῆρχον λέοντες χρυσοῖ δεδορκότες πρὸς τοὺς εἰσπορευομένους. ἀνὰ μέσον δὲ ἑκάστου τῶν κιόνων ὑπῆρχε χρυσοῦς ἄκανθος ἀνατείνων ἐκ τοῦ κατ' ὀλίγον μέχρι τῶν κιονοκράνων. 279 ἐπάνω δὲ τῆς καμάρας κατὰ μέσην τὴν κορυφὴν φοινικὶς ὑπῆρχεν ὑπαίθριος, ἔχουσα χρυσοῦν στέφανον ἐλαίας εὐμεγέθη, πρὸς ὃν ὁ ἥλιος προσβάλλων τὰς ἀκτῖνας κατεσκεύαζε τὴν αὐγὴν ἀποστίλβουσαν καὶ σειομένην, ὥστ' ἐκ μακροῦ διαστήματος ὁρᾶσθαι τὴν πρόσοψιν ἀστραπῇ παραπλησίαν. ἡ δ' ὑπὸ τὴν καμάραν καθέδρα δύο εἶχεν ἄξονας, οὕςπερ ἐδίνευον τροχοὶ Περσικοὶ τέτταρες, ὧν ὑπῆρχε τὰ μὲν πλάγια καὶ

61. διπάλαιστοι F 63. διαπρεπῶς] διαπρεπέσι Y Bas. 74. τούτων] τοῦτον Bas. 75. τούτου] τοῦτο F 86. τὴν καμάραν] καμάραν Bas. 92. ἐλαίας] ἐλαίαις Bas. 279. 91. φοινικὶς] νίκη Reiskius εὐμεγέθη om. W 97. οὕςπερ ἐδίνευον] scribendum videtur οὓς περιεδίνευον Περσικοὶ] Περσοὶ Bas.

αἱ κνημῖδες κατακεχρυσωμέναι, τὸ δὲ προςπῖπτον τοῖς
100 ἐδάφεσι μέρος σιδηροῦν. τῶν δ' ἀξόνων τὰ προέχοντα χρυσᾶ κατεσκεύαστο, προτομὰς ἔχοντα λεόντων σιβύνην ὀδὰξ κατεχούσας. κατὰ δὲ μέσον τὸ μῆκος εἶχον πόλον ἐνηρμοσμένον μηχανικῶς ἐν μέσῃ τῇ καμάρᾳ, ὥςτε δύνασθαι διὰ τούτου τὴν καμάραν ἀσάλευτον εἶναι κατὰ τοὺς σεισμοὺς καὶ ἀνωμάλους τόπους. τεττάρων δ' ὄντων ῥυμῶν ἑκάστῳ τετραστοιχία ζευγῶν ὑπέζευκτο, τεττάρων ἡμιόνων ἑκάστῳ ζεύγει προςδεδεμένων, ὥςτε τοὺς ἅπαντας ἡμιόνους εἶναι ἑξήκοντα καὶ τέτταρας ἐπιλελεγμένους ταῖς τε ῥώμαις καὶ τοῖς ἀναστήμασιν. ἕκαστος δὲ τούτων ἐστεφάνωτο κεχρυσωμένῳ στεφάνῳ, καὶ παρ' ἑκατέραν τῶν σιαγόνων εἶχεν ἐξηρτημένον κώδωνα χρυσοῦν, περὶ δὲ
28 τοὺς τραχήλους χλίδωνας λιθοκολλήτους. ἡ μὲν οὖν ἁρμάμαξα, τοιαύτην ἔχουσα τὴν κατασκευὴν καὶ διὰ τῆς ὁράσεως μᾶλλον ἢ τῆς ἀπαγγελίας φαινομένη μεγαλοπρεπεστέρα, πολλοὺς ἐπεσπᾶτο θεωροὺς διὰ τὴν περιβόητον δόξαν. οἱ γὰρ ἐκ τῶν πόλεων καθ' ἃς ἀεὶ γένοιτο πανδημεὶ συνήντων, καὶ πάλιν προέπεμπον, οὐκ ἐμπιπλάμενοι τῆς κατὰ τὴν θεωρίαν τέρψεως. ἀκολούθως δὲ ταύτῃ τῇ μεγαλοπρεπείᾳ παρηκολούθει πλῆθος ὁδοποιῶν καὶ τεχνιτῶν ἔτι δὲ στρατιωτῶν παραπεμπόντων. Ἀῤῥιδαῖος μὲν οὖν σχεδὸν ἔτη δύο καταναλώσας περὶ τὴν κατασκευὴν τῶν ἔργων, ἀπεκόμισε τὸ σῶμα τοῦ βασιλέως ἐκ Βαβυλῶνος εἰς Αἴγυπτον. Πτολεμαῖος δὲ τιμῶν τὸν Ἀλέξανδρον ἀπήντησε μετὰ τῆς δυνάμεως μέχρι τῆς Συρίας, καὶ παραλαβὼν τὸ σῶμα τῆς μεγίστης φροντίδος ἠξίωσεν. ἔκρινε γὰρ ἐπὶ τοῦ παρόντος εἰς μὲν Ἄμμωνα μὴ παρακομίζειν, κατὰ δὲ τὴν ἐκτισμένην ὑπ' αὐτοῦ πόλιν, ἐπιφανεστάτην οὖσαν σχεδόν τι τῶν κατὰ τὴν οἰκουμένην, ἀποθέσθαι. κατεσκεύασεν οὖν τέμενος κατὰ τὸ μέγεθος καὶ κατὰ τὴν κατασκευὴν τῆς Ἀλεξάνδρου δόξης ἄξιον, ἐν ᾧ κηδεύσας αὐτὸν καὶ θυσίαις ἡρωικαῖς καὶ ἀγῶσι μεγαλοπρεπέσι τιμήσας οὐ παρ' ἀνθρώπων μόνον ἀλλὰ καὶ παρὰ θεῶν καλὰς ἀμοιβὰς ἔλα-

1. γρ. σιβύνην margo F, σὺν V, σῦν F, caeteri σιβήνην
ῶς
3. μηχανικῶς] μηχανικὸν F 9. τέτταρας F, τέσσαρας caeteri 13. χελώνας FQVW, caeteri χλιδῶνας 15. ἀπαγγελίας] ἐπαγγελίας W et correctus supra versum F 18. γένοιτο FVW, ἐγίνοντο Q Bas., caeteri γίνοιντο 19. ἐμπιπλάμενοι FW, caeteri ἐμπιμπλάμενοι 22. τῶν στρατιωτῶν omnes 23. καταναλώσας FVW, caeteri ἀναλώσας 24. κατασκευὴν] παρασκευὴν F 31. σχεδόν τι] σχεδὸν FW 32. κατεσκεύασεν] κατασκευάσας FVW 33. κατασκευὴν] σκευὴν Q Bas.



280 βεν. οἱ μὲν γὰρ ἄνθρωποι διὰ τὸ τῆς ψυχῆς εὐχάριστον καὶ μεγαλόψυχον συνέτρεχον πάντοθεν εἰς τὴν Ἀλεξάνδρειαν, καὶ προθύμως ἑαυτοὺς εἰς τὴν στρατείαν παρείχοντο, καίπερ τῆς βασιλικῆς δυνάμεως μελλούσης πολεμεῖν πρὸς Πτολεμαῖον, καὶ κινδύνων προδήλων καὶ μεγάλων ὄντων ὅμως ἅπαντες τὴν τούτου σωτηρίαν τοῖς ἰδίοις κινδύνοις ἑκουσίως περιεποιήσαντο. οἱ δὲ θεοὶ διὰ τὴν ἀρετὴν καὶ εἰς πάντας τοὺς φίλους ἐπιείκειαν ἐκ τῶν μεγίστων κινδύνων παραδόξως αὐτὸν διέσωσαν.

Περδίκκας γὰρ ὑφορώμενος αὐτοῦ τὴν αὔξησιν, αὐ- 29
τὸς μὲν ἔκρινε μετὰ τῶν βασιλέων τῷ πλείστῳ μέρει τῆς δυνάμεως στρατεύειν ἐπὶ τὴν Αἴγυπτον, Εὐμένη δ' ἐξέπεμψεν ἐπὶ τὸν Ἑλλήσποντον κωλύσοντα τοὺς περὶ τὸν Ἀντίπατρον καὶ Κράτερον διαβαίνειν εἰς τὴν Ἀσίαν, δοὺς αὐτῷ τὴν ἁρμόζουσαν δύναμιν. συνεξέπεμψε δὲ καὶ τῶν ἀξιολόγων ἡγεμόνων τοὺς ἱκανούς, ὧν ἦσαν ἐπιφανέστατοι Ἀλκέτας ὁ ἀδελφὸς καὶ Νεοπτόλεμος, καὶ τούτοις παρεκελεύσατο πάντα πειθαρχεῖν Εὐμένει διά τε τὴν στρατηγίαν αὐτοῦ καὶ διὰ τὴν τῆς πίστεως βεβαιότητα. ὁ δ' Εὐμένης μετὰ τῆς δοθείσης δυνάμεως παρελθὼν ἐπὶ τὸν Ἑλλήσποντον, καὶ προςκατασκευασάμενος ἐκ τῆς ἰδίας σατραπείας ἵππων πλῆθος, ἐκόσμησε τὴν στρατιάν, ἐλλιπῆ καθεστῶσαν κατὰ τοῦτο τὸ μέρος. τῶν δὲ περὶ Κράτερον καὶ Ἀντίπατρον περαιωσάντων τὰς δυνάμεις ἐκ τῆς Εὐρώπης, ὁ μὲν Νεοπτόλεμος φθονήσας τῷ Εὐμένει, καὶ περὶ αὐτὸν ἔχων Μακεδονικὴν δύναμιν ἀξιόλογον, λάθρᾳ διεπρεσβεύσατο πρὸς τοὺς περὶ τὸν Ἀντίπατρον, καὶ συνθέμενος κοινοπραγίαν ἐπεβούλευσε τῷ Εὐμένει. καταφανὴς δὲ γενόμενος, καὶ συναναγκασθεὶς μάχην συνάψαι, αὐτός τε ἐκινδύνευσεν ἀναιρεθῆναι καὶ τὴν δύναμιν σχεδὸν ἅπασαν ἀπέβαλεν. ὁ γὰρ Εὐμένης νικήσας καὶ πολλοὺς ἀνελών, τό λοιπόν τε πλῆθος τῶν στρατιωτῶν προςηγάγετο καὶ τὴν δύναμιν τὴν ἰδίαν οὐ μόνον διὰ τῆς νίκης ἐπηύξησεν, ἀλλὰ προςλαβόμενος καὶ Μακεδόνων ἀγαθῶν ἀνδρῶν πλῆθος. Νεοπτόλεμος μὲν οὖν μετὰ τριακοσίων ἱππέων διασωθεὶς ἐκ τῆς παρατά-

280. 38. πάντοθεν] πανταχόθεν FV 39. προθύμως FW, caeteri προθύμους 40. παρείχοντο] παρέχοντο W 42. ὅμως] ὁμοίως F correctus in marg. 44. θεοὶ om. Bas. 51. τὸν om. F 59. προκατασκευασάμενος omnes 60. στρατιὰν] στρατείαν Bas. ἐλλιπῆ] ἐλλειπῆ Bas. 63. τῷ Εὐμένει] τὸν Εὐμένη W, τὸν εὐμενῆ F quo solet accentu 67. καὶ om. Bas. 71. λοιπόν τε] λοιπὸν FVW 72. τὴν δύναμιν τὴν ἰδίαν] τὴν ἰδίαν δύναμιν F 73. καὶ προςλαβόμενος] invertunt VW, om. καὶ F

ξεως, ἀφίππευσε μετὰ τούτων πρὸς τοὺς περὶ τὸν Ἀντίπατρον. οὗτοι δὲ συνεδρεύσαντες περὶ τοῦ πολέμου διέγνωσαν τὰς δυνάμεις εἰς δύο μέρη διελεῖν, καὶ τὸ μὲν ἕτερον Ἀντίπατρον ἀναλαβόντα προάγειν ἐπὶ Κιλικίας διαπολεμήσοντα πρὸς Περδίκκαν, τὸ δὲ ἄλλο μέρος ἔχοντα Κράτερον ἐπιβαλεῖν τοῖς περὶ τὸν Εὐμένη, καὶ τούτους καταπολεμήσαντα καταντᾶν πρὸς Ἀντίπατρον, ὅπως εἰς ταὐτὸ συναχθεισῶν τῶν δυνάμεων, καὶ τοῦ Πτολεμαίου προςληφθέντος εἰς τὴν συμμαχίαν, δυνατοὶ γένωνται περιγενέσθαι τῶν βασιλικῶν δυνάμεων.

30 Εὐμένης δὲ πυνθανόμενος προάγειν ἐπ᾽ αὐτὸν τοὺς πολεμίους, ἤθροισε πανταχόθεν τὰς δυνάμεις, καὶ μάλιστα τὴν ἱππικήν. τοῖς γὰρ πεζοῖς οὐ δυνάμενος ἐξισωθῆναι τῇ Μακεδονικῇ φάλαγγι, κατεσκεύαζεν ἀξιόλογον σύστημα τῶν ἱππέων, δι᾽ ὧν ἤλπιζε κρατήσειν τῶν ἐναντίων. ὡς δ᾽ ἤγγισαν ἀλλήλαις αἱ δυνάμεις, ὁ μὲν Κρά- 281 τερος συναγαγὼν εἰς ἐκκλησίαν τὸ πλῆθος καὶ παρορμήσας εἰς τὸν ἀγῶνα τοῖς οἰκείοις λόγοις, ἔφησε διδόναι τοῖς στρατιώταις, ἐὰν κρατήσωσι τῇ μάχῃ, διαρπάσαι τῶν πολεμίων πάσας τὰς ἀποσκευάς. πάντων δὲ προθύμων γενομένων ἔταξε τὴν δύναμιν, τοῦ μὲν δεξιοῦ κέρατος αὐτὸς ἡγούμενος, τοῦ δ᾽ εὐωνύμου τὴν ἡγεμονίαν παραδοὺς Νεοπτολέμῳ. εἶχε δὲ τοὺς σύμπαντας πεζοὺς μὲν διςμυρίους, ὧν ἦσαν οἱ πλείους Μακεδόνων, διαβεβοημένοι ταῖς ἀνδραγαθίαις, ἐν οἷς εἶχε μάλιστα τὰς ἐλπίδας τῆς νίκης· ἱππεῖς δὲ συνηκολούθουν πλείους τῶν διςχιλίων. Εὐμένης δ᾽ εἶχε πεζοὺς μὲν διςμυρίους παντοδαποὺς τοῖς γένεσιν, ἱππεῖς δὲ πεντακιςχιλίους, δι᾽ ὧν τὸν κίνδυνον κρίνειν διεγνώκει. ἀμφοτέρων δὲ τοὺς ἱππεῖς διελομένων ἐπὶ τὰ κέρατα, καὶ πολὺ πρὸ τῆς φάλαγγος προϊππευσάντων, ὁ μὲν Κράτερος πρῶτος μετὰ τῶν ἐπιλέκτων ἐπιῤῥάξας τοῖς πολεμίοις ἠγωνίσατο μὲν περιβλέπτως, σφαλέντος δὲ τοῦ ἵππου ἔπεσεν ἐπὶ τὴν γῆν. διὰ δὲ τὸν φυρμὸν καὶ τὴν πυκνότητα τῶν ἐφιππευόντων ἀγνοηθεὶς ὃς ἦν συνεπατήθη καὶ τὸν βίον ἀλόγως κατέστρεψε. τῇ δὲ τούτου τελευτῇ τῶν πολεμίων ἐπαρθέντων καὶ τῷ πλήθει πανταχόθεν περιχεομένων, πολὺς ἐγένετο φόνος. καὶ τὸ μὲν δεξιὸν κέρας τοῦτον τὸν

81. μέρος asterisco notavit Stephanus 82. καταπολεμήσαντα ] καταπολεμήσοντα F

281. 94. καὶ παρορμήσας FW, caeteri παρορμήσας 96. τῇ μάχῃ TY et F supra versum, caeteri τὴν μάχην 2. διαβεβοημένοι] διαβεβοημένων Q 7. διελομένων Wesselingius: libri ἑλομένων 12. ἐφιππευόντων Wesselingius: libri ἀφιππευόντων 15. περιχεομένων Wesselingius: libri περιεχομένων 16. ἐγένετο FVW, caeteri ἐγίνετο



31 τρόπον θλιβόμενον ἠναγκάσθη κατὰ κράτος ἡττημένον καταφυγεῖν πρὸς τὴν τῶν πεζῶν φάλαγγα. κατὰ δὲ τὸ εὐώνυμον Νεοπτολέμου κατ᾽ αὐτὸν τὸν Εὐμένη τεταγμένου συνέστη φιλοτιμία μεγάλη τῶν ἡγεμόνων ἐπ᾽ ἀλλήλους ὁρμησάντων. γνωρισθέντες γὰρ ἀπό τε τῶν ἵππων καὶ τῶν ἄλλων ἐπισήμων συνεπλάκησαν ἀλλήλοις, καὶ τῇ καθ᾽ αὑτοὺς μονομαχίᾳ τὴν νίκην ἐποίησαν ἀκολουθῆσαι. τὸ μὲν οὖν πρῶτον τοῖς ξίφεσιν ἀλλήλων καθικόμενοι παράδοξον καὶ παντελῶς ἐξηλλαγμένην μονομαχίαν συνεστήσαντο· ἐκφερόμενοι γὰρ τῷ θυμῷ καὶ τῇ πρὸς ἀλλήλους δυςμενείᾳ, ταῖς ἀριστεραῖς χερσὶν ἀφέντες τὰς ἡνίας ἀλλήλων ἐδράξαντο. οὗ συμβάντος οἱ μὲν ἵπποι κατὰ τὴν ὁρμὴν ἐξέδραμον, αὐτοὶ δ᾽ ἔπεσον ἐπὶ τὴν γῆν. τῆς δ᾽ ἐπαναστάσεως διὰ τὴν ὀξύτητα καὶ βίαν τοῦ πτώματος χαλεπῶς γενομένης ἀμφοτέροις, ἅτε καὶ τῶν ὅπλων ἐμποδιζόντων τὰ σώματα, ὁ μὲν Εὐμένης ἔφθασε, πρότερος διαναστάς, τοῦ Νεοπτολέμου τὴν ἰγνὺν πατάξας. μεγάλης δὲ γενομένης διαιρέσεως καὶ σφαλείσης τῆς βάσεως, ὁ μὲν πληγεὶς παραλελυμένος ἔκειτο, κωλυόμενος ὑπὸ τοῦ τραύματος διαναστῆναι· ὅμως δὲ τῆς εὐψυχίας ὑπεραγούσης τὴν τοῦ σώματος ἐλάττωσιν, ἐν γόνασι βεβηκὼς ἔτρωσε τὸν ἀντίπαλον εἴς τε τὸν βραχίονα καὶ τοὺς μηροὺς τρισὶ πληγαῖς. οὐδεμιᾶς δ᾽ οὔσης πληγῆς καιρίου, καὶ τῶν τραυμάτων ἔτι θερμῶν ὄντων, ὁ Εὐμένης δευτέραν πληγὴν ἐπὶ τὸν τράχηλον ἐπενέγκας ἀπέκτεινε τὸν Νεοπτόλεμον.

32 282 ἅμα δὲ τούτοις πραττομένοις καὶ τὸ λοιπὸν πλῆθος τῶν ἱππέων συμπεσὸν εἰς μάχην πολὺν ἐποίει φόνον. διὸ καὶ τῶν μὲν πιπτόντων, τῶν δὲ τραυματιζομένων, τὸ μὲν πρῶτον ἰσόῤῥοπος ἦν ὁ κίνδυνος, μετὰ ταῦτα δὲ φανερᾶς γενομένης τῆς τοῦ Νεοπτολέμου τελευτῆς καὶ τῆς ἐπὶ θατέρου κέρατος τροπῆς, ἅπαντες πρὸς φυγὴν ὥρμησαν, καὶ καθάπερ πρὸς τεῖχος ὀχυρὸν τὴν τῶν πεζῶν φάλαγγα κατέφυγον. ὁ δ᾽ Εὐμένης ἀρκεσθεὶς τῷ προτερήματι, καὶ τῶν στρατηγικῶν σωμάτων ἀμφοτέρων κυριεύσας, ἀνεκαλέσατο τῇ σάλπιγγι τοὺς στρατιώτας. στήσας δὲ τρόπαιον καὶ τοὺς νεκροὺς θάψας, διεπέμψατο πρὸς τὴν τῶν ἡττημένων φάλαγγα, παρακαλῶν ἑαυτῷ προσθέσθαι, καὶ διδοὺς ἐξουσίαν ἑκάστοις ὅποι βουλον-

18. κατὰ κράτος ἡ. 19. post φάλαγγα ponunt T Bas. et qui ἡττημένον F 35. πρότερος] πρότερος ἐκεῖ τὸ πρότερον F 36. πατάξας] πατάξαι QT 38. ὑπὸ] ἐκ FV 39. τῆς εὐψυχίας] ταῖς ψυχαῖς V

282. 50. ταῦτα δὲ] δὲ ταῦτα F φανερᾶς] φανερῶς Bas. omisso τῆς 60. ὅποι Stephanus: libri ὅσοι

ται τὴν ἀποχώρησιν ποιήσασθαι. δεξαμένων δὲ τὰς διαλύσεις τῶν Μακεδόνων, καὶ δόντων τὰς διὰ τῶν ὅρκων πίστεις, ἔλαβον ἐξουσίαν ἔν τισι κώμαις πλησίον κειμέναις ἐπισιτίσασθαι, καὶ παρεκρούσαντο τὸν Εὐμένη. ἀναλαβόντες γὰρ ἑαυτοὺς καὶ τὰς τροφὰς παρασκευασάμενοι νυκτὸς ἀπηλλάγησαν καὶ λαθραίως ἀπεχώρουν πρὸς τὸν Ἀντίπατρον. ὁ δ' Εὐμένης ἐπεβάλετο μὲν κολάσαι τὴν ἀθεσίαν τῶν παραβεβηκότων τοὺς ὅρκους καὶ διώκειν ἐκ ποδὸς τὴν φάλαγγα· οὐδὲν δὲ δυνάμενος πρᾶξαι διά τε τὰς ἀρετὰς τῶν ἀποχωρούντων καὶ διὰ τὴν ἐκ τῶν τραυμάτων ἐλάττωσιν, ἀπέγνω τὸν διωγμόν. οὗτος μὲν οὖν ἐπιφανεῖ μάχῃ νικήσας καὶ δύο μεγά-
33 λους ἡγεμόνας ἀνελών, μεγάλης ἔτυχε δόξης.

Ἀντίπατρος δὲ τοὺς ἀπὸ τῆς φυγῆς διασωθέντας ἐκδεξάμενος καὶ προςαναλαβὼν προῆγεν ἐπὶ Κιλικίαν, σπεύδων βοηθῆσαι τῷ Πτολεμαίῳ. Περδίκκας δὲ πυθόμενος τὴν κατὰ τὸν Εὐμένη νίκην, πολλῷ θρασύτερος ἐγένετο πρὸς τὴν εἰς Αἴγυπτον στρατείαν· ὡς δ' ἐγγὺς ἐγένετο τοῦ Νείλου, κατεστρατοπέδευσεν οὐ μακρὰν πόλεως Πηλουσίου. ἐπιχειρήσας δὲ διώρυγά τινα παλαιὰν ἀνακαθαίρειν, καὶ τοῦ ποταμοῦ λάβρως ἐκραγέντος καὶ τὰ ἔργα λυμηναμένου, πολλοὶ τῶν φίλων ἐγκαταλιπόντες ἀπεχώρησαν πρὸς τὸν Πτολεμαῖον. καὶ γὰρ φονικὸς ἦν καὶ τῶν ἄλλων ἡγεμόνων περιαιρούμενος τὰς ἐξουσίας καὶ καθόλου πάντων βουλόμενος ἄρχειν βιαίως· ὁ δὲ Πτολεμαῖος τοὐναντίον εὐεργετικὸς καὶ ἐπιεικὴς καὶ μεταδιδοὺς πᾶσι τοῖς ἡγεμόσι τῆς παῤῥησίας, πρὸς δὲ τούτοις διειληφὼς πάντας τοὺς ἐπικαιροτάτους Αἰγύπτου τόπους φυλακαῖς ἀξιολόγοις καὶ βέλεσι παντοδαποῖς, καὶ τοῖς ἄλλοις ἅπασιν εὖ κατεσκευασμένος. διὸ καὶ κατὰ τὰς ἐπιβολὰς κατὰ τὸ πλεῖστον ἐπλεονέκτει, πολλοὺς ἔχων εὐνοοῦντας καὶ προθύμως διακινδυνεύοντας. ὁ δ' οὖν Περδίκκας διορθούμενος τὰς ἐλαττώσεις συνήγαγε τοὺς ἡγεμόνας, καὶ τοὺς μὲν δωρεαῖς, τοὺς δ' ἐπαγγελίαις μεγάλαις, πάντας δὲ φιλανθρώποις ὁμιλίαις ἐξιδιοποιησάμενος, προετρέψατο πρὸς τοὺς ἐπιφερομένους κινδύνους· παραγγείλας δὲ ἑτοίμους εἶναι πρὸς ἀναζυγήν, ὥρμησε μετὰ τῆς δυνάμεως ἀφ' ἑσπέρας, οὐ-
283 δενὶ δηλώσας τὸν τόπον εἰς ὃν διεγνωκὼς ἦν καταντᾶν. τὴν δὲ νύκτα πᾶσαν ὁδοιπορήσας ἐν τάχει κατεστρατοπέδευσε παρὰ τὸν Νεῖλον πλησίον φρουρίου τινὸς ὃ προςηγορεύετο Καμήλων τεῖχος. διαφαινούσης δὲ τῆς ἡμέρας διεβίβαζε τὴν δύναμιν, ἡγουμένων τῶν ἐλεφάντων, ἐπακολουθούντων δὲ τῶν ὑπασπιστῶν καὶ κλιμακοφόρων καὶ τῶν ἄλλων δι' ὧν ἔμελλε τὴν τειχομαχίαν ποιεῖσθαι. ἐπὶ πᾶσι δὲ ἐπεβάλοντο οἱ κράτιστοι τῶν ἱππέων, οὓς διενοεῖτο ἐπιπέμπειν τοῖς περὶ τὸν Πτολε-
μαῖον, ἐὰν τύχωσιν ἐπιφαινόμενοι. μεσοπορούντων δ' 34
αὐτῶν ἐπεφάνησαν οἱ περὶ τὸν Πτολεμαῖον δρόμῳ προςιόντες πρὸς τὴν τοῦ πολίσματος ἐπικουρίαν. φθασάντων δ' αὐτῶν καὶ παρειςπεσόντων εἰς τὸ χωρίον, καὶ διά τε τῶν σαλπίγγων καὶ βοῆς φανερὰν ποιησάντων τὴν ἑαυτῶν παρουσίαν, οἱ μὲν περὶ τὸν Περδίκκαν οὐ κατεπλάγησαν, ἀλλὰ τολμηρῶς προςῆγον τοῖς τειχίσμασιν. εὐθὺς δ' οἱ μὲν ὑπασπισταὶ προςθέμενοι τὰς κλίμακας ἀνέβαινον, οἱ δ' ἐπὶ τῶν ἐλεφάντων τὸν χάρακα διέσπων καὶ τὰς ἐπάλξεις ἐῤῥίπτουν. ὁ δὲ Πτολεμαῖος ἔχων περὶ αὐτὸν τοὺς ἀρίστους, καὶ βουλόμενος προτρέψασθαι τοὺς ἄλλους ἡγεμόνας καὶ φίλους προςιέναι τοῖς δεινοῖς, αὐτὸς ἀναλαβὼν τὴν σάρισαν, καὶ στὰς ἐπ' ἄκρου τοῦ προτειχίσματος, τὸν μὲν ἡγούμενον τῶν ἐλεφάντων ἐξετύφλωσεν, ὑπερδέξιον ἔχων τὴν στάσιν, τὸν δ' ἐπικαθήμενον Ἰνδὸν τραυματίαν ἐποίησε· τοὺς δὲ διὰ τῆς κλίμακος ἀναβαίνοντας καταπεφρονηκότως τύπτων καὶ κατατραυματίζων περιεκύλισεν εἰς τὸν ποταμὸν μετὰ τῶν ὅπλων. ἀκολούθως δὲ τούτῳ καὶ τῶν φίλων τοῦ Πτολεμαίου διαγωνιζομένων, τὸ μὲν ἐχόμενον θηρίον κατακοντισθέντος τοῦ κυβερνῶντος αὐτὸ Ἰνδοῦ παντελῶς ἄχρηστον ἐγένετο. ἐπὶ πολὺν δὲ χρόνον τῆς τειχομαχίας συνεστώσης, οἱ μὲν περὶ τὸν Περδίκκαν ἐκ διαδοχῆς προςβάλλοντες πᾶσαν σπουδὴν εἰςεφέροντο κατὰ κράτος

61. τὰς] τάςδε τὰς F, cui compar illud τήνδε τὴν πόλιν supra p. 55. 69., quod iam vereor ne simili errore irrepserit 64. ἀναλαβόντες] ἀναλαβόντας F 66. ἀπεχώρουν] ἀνεχώρουν FW 67. δ' F Bas. 68. ἐκ ποδὸς] ἐκποδῶν Q Bas. 81. παλαιὰν] παλαιὰ F ἀνακαθαίρειν F, caeteri καθαίρειν 83. ἐγκαταλιπόντες] ἐγκαταλείποντες Bas. 91. κατεσκευασμένος] κατασκευασμένοις F, caeteri κατεσκευασμένοις 92.
ἐπι
ἐπιβολὰς] εἰςβολὰς F

100. ἀναζυγὴν] ἀναγκὴν Bas.

283. 5. διεβίβαζε] διεβίβασε W 10. ἐπιπέμπειν Wesselingius: libri πέμπειν 13. τοῦ πολ.] πολ. V Bas. 15. τῶν] τῆς τῶν F 16. καὶ βοῆς] βοῆς FV 21. ἐῤῥίπτουν] ἔῤῥιπτον W 22. αὐτὸν] αὑτὸν FW 24.
αθη
σαρίσαν F, caeteri σάρισσαν 27. ἐπικαθήμενον] ἐπικειμένον F 30. περιεκύλισεν] περιέκλεισεν FV 36. προςβάλλοντες] προςβαλόντες FV 37. κατὰ κράτος] κατὰ τὸ κράτος Bas.

ἑλεῖν τὸ χωρίον· ὁ δὲ Πτολεμαῖος, αὐτὸς ἀριστεύων καὶ τοὺς φίλους παρακαλῶν ἐνδείξασθαι τὴν εὔνοιαν ἅμα καὶ τὴν ἀρετήν, ἡρωικοὺς ἀγῶνας συνεστήσατο. πολλῶν δ' ἀπολλυμένων παρ' ἀμφοτέροις διὰ τὴν ὑπερβολὴν τῆς τῶν ἡγεμόνων φιλοτιμίας, καὶ τῶν περὶ τὸν Πτολεμαῖον ταῖς ὑπεροχαῖς τῶν τόπων πλεονεκτούντων, τῶν δὲ περὶ τὸν Περδίκκαν τοῖς πλήθεσιν ὑπερεχόντων, τὸ τελευταῖον ἀμφοτέρων διημερευσάντων τοῖς κινδύνοις, ὁ μὲν Περδίκκας λύσας τὴν πολιορκίαν ἐπανῆλθεν εἰς τὴν ἰδίαν στρατοπεδείαν. νυκτὸς δ' ἀναζεύξας λαθραίαν ἐποιεῖτο τὴν πορείαν, καὶ κατήντησεν εἰς τὸν ἀπεναντίον τόπον τῆς Μέμφεως, πρὸς ᾗ συμβαίνει σχίζεσθαι τὸν Νεῖλον καὶ ποιεῖν νῆσον δυναμένην ἀσφαλῶς δέξασθαι στρατοπεδείαν τε καὶ δύναμιν τὴν μεγίστην. εἰς ταύτην οὖν διεβίβασε τὴν δύναμιν, ἐπιπόνως τῶν στρατιωτῶν περαιουμένων διὰ τὸ βάθος τοῦ ποταμοῦ. μέχρι γὰρ τοῦ γενείου τὸ ῥεῦμα προσπῖπτον ἐσάλευε τὰ σώματα τῶν διαβαινόντων, ἅτε καὶ τῶν ὅπλων ἐμποδιζόντων τοὺς ἄνδρας.

35 Ὁ δὲ Περδίκκας κατανοήσας τὴν δυσκολίαν τοῦ ῥείθρου, 284 τοὺς μὲν ἐλέφαντας ἐκ τῶν εὐωνύμων ἐπέστησεν, ἐκδεχόμενος τὴν καταφορὰν τοῦ ποταμοῦ, καταπραΰνοῦντας τὸ ῥεῖθρον· τοὺς δ' ἱππεῖς ἐκ τοῦ δεξιοῦ μέρους ἔταξε, δι' ὧν ἐξεδέχετο τοὺς παραφερομένους ὑπὸ τοῦ ποταμοῦ καὶ διέσωζεν εἰς τὸ πέραν. ἴδιον δέ τι καὶ παράδοξον συνέβη γενέσθαι κατὰ τὴν διάβασιν τῆς δυνάμεως ταύτης. τῶν πρώτων γὰρ ἀσφαλῶς διαβάντων, οἱ μετὰ ταῦτα περαιούμενοι μεγάλοις περιέπιπτον κινδύνοις. ὁ γὰρ ποταμὸς οὐδεμιᾶς οὔσης αἰτίας φανερᾶς πολλῷ βαθύτερος ἐγίνετο, καὶ τῶν σωμάτων ὅλων καταδυομένων ἅπαντες εἰς πολλὴν ἀμηχανίαν περιέπιπτον. τῆς δὲ κατὰ τὴν πλήρωσιν αἰτίας ἐπιζητουμένης, τὸ μὲν ἀληθὲς ἀσυλλόγιστον ἦν, ἔφασαν δ' οἱ μὲν ἐν τοῖς ἄνω τόποις ἐγκεχωσμένην διώρυγα πάλιν ἐκφραχθῆναι, καὶ συμμιχθεῖσαν τῷ ποταμῷ βαθύτερον πεποιηκέναι τὸν

41. ὑπερβολὴν τῆς τ. ἡ. φιλοτιμίας] ὑπερβάλλουσαν τ. ἡ. φιλοτιμίαν FW 48. ἀπεναντίον] ἀπέναντι VW 49. ᾗ] ἦν FV 52. ταύτην] αὐτὴν VW, τὴν αὐτὴν F 55. ἐσάλευε] ἐσάλευσε Bas.

284. 58. post ἐλέφαντας delevi τοῦ ποταμοῦ, nec vertit Castellio 60. καταπραϋνοῦντας F, caeteri καταπραΰνοντας 68. ἐγίνετο] ἐγένετο F Bas. 69. εἰς] τὴν punctis supra positis addit F περιέπιπτον] περιεγίνοντο FQVW, qui voluerunt παρεγίνοντο 72. τόποις om. Bas. διώρυγα] διώρυχα F



πόρον, οἱ δ' ὄμβρους ἐν τοῖς ἄνω τόποις γενομένους αὐξῆσαι τὸ μέγεθος τοῦ Νείλου. τούτων δ' οὐδέτερον ἦν, ἀλλὰ τοῦ πόρου τὴν μὲν πρώτην διάβασιν ἀσφαλεστέραν συνέβαινε γεγονέναι, ἀκεραίου τῆς κατὰ τὴν διάβασιν ἄμμου γεγενημένης, κατὰ δὲ τὰς ἄλλας ὑπὸ τῶν προδιαβεβηκότων ἵππων τε καὶ ἐλεφάντων, ἔτι δὲ πεζῶν, τοῖς μὲν ποσὶ τὴν ἄμμον πατουμένην καὶ κινουμένην ὑπὸ τοῦ ῥείθρου κατενεχθῆναι, καὶ διὰ τοῦτο κοιλωθέντος τοῦ πόρου βαθυτέραν γενέσθαι τὴν διάβασιν κατὰ μέσον τὸν ποταμόν. διὰ δὲ ταύτην τὴν αἰτίαν ἀδυνατούσης τῆς λοιπῆς δυνάμεως διαβῆναι τὸν ποταμόν, ὁ Περδίκκας εἰς πολλὴν ἀπορίαν ἐνέπιπτε, τῶν μὲν διαβεβηκότων οὐκ ἀξιομάχων ὄντων τοῖς πολεμίοις, τῶν δ' ἐν τῷ πέραν μὴ δυναμένων βοηθεῖν τοῖς ἰδίοις, προσέταξεν εἰς τοὐπίσω πάλιν ἀπιέναι πάντας. διόπερ ἀναγκασθέντων ἁπάντων περαιοῦσθαι τὸ ῥεῖθρον, οἱ μὲν ἐπιστάμενοι καλῶς νεῖν καὶ τοῖς σώμασιν ἰσχυρότεροι μετὰ πολλῆς κακοπαθείας διενήξαντο τὸν Νεῖλον, πολλὰ τῶν ὅπλων ἀποβαλόντες, τῶν δ' ἄλλων διὰ τὴν ἀπειρίαν οἱ μὲν ὑπὸ τοῦ ῥείθρου κατεπόθησαν, οἱ δὲ πρὸς τοὺς πολεμίους ἐξέπεσον, οἱ πλεῖστοι δὲ παρενεχθέντες ἐπὶ πολὺν χρόνον ὑπὸ τῶν ἐν τῷ ποταμῷ θηρίων κατεβρώθησαν. ἀπολομένων δὲ πλειόνων ἢ δισχιλίων, ἐν οἷς 36 καὶ τῶν ἐπιφανῶν τινες ἡγεμόνων ὑπῆρχον, ἀλλοτρίως τὸ πλῆθος ἔσχε πρὸς τὸν Περδίκκαν. ὁ δὲ Πτολεμαῖος τὰ σώματα τῶν πρὸς αὐτὸν ἐκπεσόντων καύσας καὶ τῆς ἁρμοζούσης κηδείας ἀξιώσας, ἀπέστειλε τὰ ὀστᾶ πρὸς τοὺς οἰκείους τε καὶ φίλους τῶν τετελευτηκότων. τούτων δὲ πραχθέντων, οἱ παρὰ τῷ Περδίκκᾳ Μακεδόνες πρὸς μὲν τοῦτον πολλῷ μᾶλλον ἀπεθηριώθησαν, πρὸς δὲ τὸν Πτολεμαῖον ἀπέκλιναν ταῖς εὐνοίαις. ἐπιγενομένης δὲ νυκτὸς πλήρης ἦν ἡ παρεμβολὴ κλαυθμοῦ καὶ πένθους, τοσούτων ἀνδρῶν ἀλόγως ἀπολωλότων ἄνευ 285 πολεμίας πληγῆς, καὶ τούτων οὐκ ἐλαττόνων ἢ χιλίων θηριοβρώτων γεγονότων. πολλοὶ μὲν οὖν τῶν ἡγεμόνων συνίσταντο καὶ κατηγόρουν τοῦ Περδίκκου, πᾶσα δ' ἡ φάλαγξ τῶν πεζῶν ἀπαλλοτριωθεῖσα φανερὰν διὰ τῆς ἀπειλούσης φωνῆς τὴν ἰδίαν κατεσκεύασεν ἀλλοτριότητα.

83. γενέσθαι] γεγονέναι FVW 85. ὁ] ὁ μὲν FV
91. νεῖν] βαίνειν F ἰσχυρότεροι] ἰσχυρότατοι Y Bas.
94. κατεπόθησαν] κατεπονθησαν Bas. 96. χρόνον] fortasse praestat τόπον 99. ἡγεμόνων] τῶν ἡγεμόνων FV
6. ἀπέκλιναν] ἀπέκλινον F 8. τοσούτων nescio qui Wesselingii, caeteri τοσούτων μὲν
285. 11. addidi οὖν 13. φανερὰν] φανερῶς FV

διόπερ πρῶτοι τῶν ἡγεμόνων ἀπέστησαν ὡς ἑκατόν, ὧν ἦν ἐπιφανέστατος Πύθων ὁ τοὺς ἀποστάντας Ἕλληνας καταπολεμήσας, οὐδενὸς δὲ τῶν Ἀλεξάνδρου λειπόμενος φίλων ἀρετῇ τε καὶ δόξῃ. μετὰ δὲ ταῦτα καὶ τῶν ἱππέων τινὲς συμφρονήσαντες ἐπὶ τὴν σκηνὴν τοῦ Περδίκκου κατήντησαν, καὶ προςπεσόντες ἀθρόοι κατέσφαξαν τὸν Περδίκκαν. τῇ δ᾽ ὑστεραίᾳ γενομένης ἐκκλησίας ὁ Πτολεμαῖος καταβὰς καὶ τοὺς Μακεδόνας ἀσπασάμενος περί τε τῶν καθ᾽ αὑτὸν ἀπελογήσατο, καὶ τῶν ἐπιτηδείων ἐκλελοιπότων ἐχορήγησε σιτόν τε δαψιλῆ ταῖς δυνάμεσι καὶ τῶν ἄλλων ἐπιτηδείων ἐπλήρωσε τὴν παρεμβολήν. μεγάλης δὲ τυγχάνων ἀποδοχῆς, καὶ δυνάμενος παραλαβεῖν τὴν ἐπιμέλειαν τῶν βασιλέων διὰ τὴν τοῦ πλήθους εὔνοιαν, τούτου μὲν οὐκ ὠρέχθη, τῷ δὲ Πύθωνι καὶ Ἀῤῥιδαίῳ χάριτας ὀφείλων συγκατεσκεύασε τὴν τῶν ὅλων ἡγεμονίαν. οἱ γὰρ Μακεδόνες βουλῆς προτεθείσης περὶ τῆς ἡγεμονίας, καὶ συμβουλεύσαντος Πτολεμαίου, πάντες προθύμως εἵλοντο τῶν βασιλέων ἐπιμελητὰς αὐτοκράτορας Πύθωνα καὶ Ἀῤῥιδαῖον τὸν τὸ σῶμα τοῦ βασιλέως κατακομίσαντα. Περδίκκας μὲν οὖν ἄρξας ἔτη τρία τοῦτον τὸν τρόπον ἀπέβαλε τὴν ἡγεμονίαν ἅμα καὶ τὴν ψυχήν.

37 Μετὰ δὲ τὴν τούτου τελευτὴν εὐθὺς ἧκόν τινες ἀπαγγέλλοντες ὅτι παρατάξεως γενομένης περὶ Καππαδοκίαν Εὐμένης νενίκηκε, Κράτερος δὲ καὶ Νεοπτόλεμος ἡττηθέντες ἀνῄρηνται. τοῦτο δ᾽ εἰ δυσὶ πρότερον ἡμέραις ἐγένετο τῆς Περδίκκου τελευτῆς, οὐδεὶς ἂν ἐτόλμησε τὰς χεῖρας Περδίκκᾳ προςενεγκεῖν διὰ τὸ μέγεθος τῆς εὐημερίας. οἱ δ᾽ οὖν Μακεδόνες πυθόμενοι τὰ περὶ τὸν Εὐμένη, κατέγνωσαν αὐτοῦ θάνατον καὶ τῶν περὶ αὐτὸν ἐπιφανῶν ἀνδρῶν πεντήκοντα, ἐν οἷς ἦν καὶ Ἀλκέτας ὁ ἀδελφὸς τοῦ Περδίκκου. ἀπέκτειναν δὲ καὶ τῶν φίλων τοῦ Περδίκκου τοὺς μάλιστα πιστοτάτους καὶ τὴν ἀδελφὴν αὐτοῦ Ἀταλάντην, ἣν ἦν γεγαμηκὼς Ἄτταλος ὁ τοῦ στόλου τὴν ἡγεμονίαν παρειληφώς. μετὰ δὲ τὴν ἀναίρεσιν τοῦ Περδίκκου Ἄτταλος ὁ τοῦ στόλου τὴν ἡγεμονίαν ἔχων διέτριβε μὲν περὶ τὸ Πηλούσιον, ὡς δ᾽ ἐπύθετο τὴν τῆς γυναικὸς ἀναίρεσιν καὶ τοῦ Περδίκκου, τὸν στόλον ἀναλαβὼν ἐξέπλευσε καὶ κατήν-

15. διόπερ] διότι FV  πρῶτοι] πρωτοι μὲν W  16. ἀποστάντας Rhodomannus: libri ἅπαντας  25. σῖτόν τε FW, caeteri σῖτον  29. εὔνοιαν T Bas., caeteri εὔνοιαν βιαζόμενος  33. εἵλοντο] εἵλαντο Bas.  41. ἀνῄρηνται FVW, caeteri ἀνῄρηντο  52. ὁ τοῦ] τοῦ Bas.



τησεν εἰς Τύρον. ὁ δὲ τῆς πόλεως ταύτης φρούραρχος Ἀρχέλαος, Μακεδὼν τὸ γένος, τὸν Ἄτταλον φιλοφρόνως ὑπεδέξατο, καὶ τήν τε πόλιν παρέδωκεν αὐτῷ καὶ τὰ χρήματα, δεδομένα μὲν ὑπὸ τοῦ Περδίκκου φυλάττειν, τότε δὲ δικαίως ἀποδεδομένα, τὸ δὲ πλῆθος
286 ὄντα ταλάντων ὀκτακοσίων. ὁ δ᾽ Ἄτταλος ἐν τῇ Τύρῳ διατρίβων ἀνελάμβανε τῶν Περδίκκου φίλων τοὺς διασωζομένους ἐκ τῆς πρὸς τῇ Μέμφει στρατοπεδείας.

38 Ἀντιπάτρου δ᾽ εἰς τὴν Ἀσίαν διαβεβηκότος Αἰτωλοὶ κατὰ τὰς πρὸς Περδίκκαν συνθήκας ἐστράτευσαν εἰς τὴν Θετταλίαν, ἀντιπερισπάσαι βουλόμενοι τὸν Ἀντίπατρον. εἶχον δὲ στρατιώτας πεζοὺς μὲν μυρίους καὶ διςχιλίους, ἱππεῖς δὲ τετρακοσίους, ὧν ἦν στρατηγὸς Ἀλέξανδρος Αἰτωλός. ἐν παρόδῳ δὲ τοὺς Ἀμφισσεῖς Λοκροὺς πολιορκήσαντες τήν τε χώραν αὐτῶν κατέδραμον καί τινα τῶν πλησίων πολισμάτων εἷλον. ἐνίκησαν δὲ μάχῃ τὸν Ἀντιπάτρου στρατηγὸν Πολυκλῆν, καὶ τοῦτόν τε καὶ τῶν στρατιωτῶν οὐκ ὀλίγους ἀνεῖλον· τῶν δὲ ζωγρηθέντων οὓς μὲν ἀπέδοντο, οὓς δὲ ἀπελύτρωσαν. μετὰ δὲ ταῦτα εἰς Θετταλίαν ἐμβαλόντες τοὺς πλείστους τῶν Θετταλῶν ἔπεισαν κοινωνεῖν τοῦ πρὸς Ἀντίπατρον πολέμου· καὶ ταχέως ἠθροίσθησαν οἱ πάντες πεζοὶ μὲν διςμύριοι καὶ πεντακιςχίλιοι, ἱππεῖς δὲ χίλιοι πεντακόσιοι. τούτων δὲ προςαγομένων τὰς πόλεις, Ἀκαρνᾶνες ἀλλοτρίως ἔχοντες πρὸς Αἰτωλοὺς ἐνέβαλον εἰς τὴν Αἰτωλίαν, καὶ τήν τε χώραν ἐδῄουν καὶ τὰς πόλεις ἐπολιόρκουν. οἱ δὲ Αἰτωλοὶ πυθόμενοι τὰς ἰδίας πατρίδας κινδυνεύειν, τοὺς μὲν ἄλλους στρατιώτας ἀπέλιπον ἐν Θετταλίᾳ, Μένωνα τὸν Φαρσάλιον ἐπιστήσαντες στρατηγόν, αὐτοὶ δὲ τοὺς πολιτικοὺς ἀναλαβόντες ἧκον συντόμως εἰς τὴν Αἰτωλίαν, καὶ τοὺς Ἀκαρνᾶνας καταπληξάμενοι τὰς πατρίδας ἠλευθέρωσαν τῶν κινδύνων. τούτων δὲ περὶ ταῦτα ἀσχολουμένων Πολυσπέρχων ὁ καταλελειμμένος ἐν Μακεδονίᾳ στρατηγὸς ἧκεν εἰς τὴν Θετταλίαν μετὰ δυνάμεως ἀξιολόγου· νικήσας δὲ παρατάξει τοὺς πολεμίους τόν τε στρατηγὸν Μένωνα ἀνεῖλε καὶ τῶν ἄλλων κατέκοψε τοὺς πλείστους, καὶ τὴν Θετταλίαν ἀνεκτήσατο.

58. τε om. F  59. δεδομένα] τὰ δεδομένα FV  60. τότε δὲ] τά τε F

286. 67. ἀντιπερισπάσαι] ἀντιπαρασπάσαι FVW, ἀντισπάσαι Q  69. τετρακοσίους FVW, caeteri τετρακιςχιλίους  74. τοῦτόν τε καὶ] τοῦτόν τε V, τοῦτον τε FW  80. καὶ πεντακιςχ.] πεντακιςχ. FV  85. κινδυνεύειν FTV, caeteri διακινδυνεύειν  92. εἰς τὴν Θ.] εἰς Θ. Bas.

39 *Κατὰ δὲ τὴν Ἀσίαν Ἀῤῥιδαῖος καὶ Πύθων οἱ τῶν βασιλέων ἐπιμεληταὶ ἀναζεύξαντες ἀπὸ τοῦ Νείλου μετὰ*
100 *τῶν βασιλέων καὶ τῆς δυνάμεως ἧκον εἰς Τριπαράδεισον τῆς ἄνω Συρίας. ἐνταῦθα δὲ Εὐρυδίκης τῆς βασιλίσσης πολλὰ περιεργαζομένης, καὶ ταῖς τῶν ἐπιμελητῶν ἐπιβολαῖς ἀντιπραττούσης, οἱ μὲν περὶ τὸν Πύθωνα δυσχρηστούμενοι, καὶ τοὺς Μακεδόνας ὁρῶντες τοῖς ἐκείνης προστάγμασιν ἀεὶ μᾶλλον προσέχοντας, συνήγαγον ἐκκλησίαν καὶ τὴν ἐπιμέλειαν ἀπείπαντο. οἱ δὲ Μακεδόνες ἐπιμελητὴν εἵλοντο τὸν Ἀντίπατρον αὐτοκράτορα. οὗτος δὲ μετ' ὀλίγας ἡμέρας καταντήσας εἰς Τριπαράδεισον κατέλαβε τὴν Εὐρυδίκην στασιάζουσαν καὶ τοὺς Μακεδόνας ἀπαλλοτριοῦσαν ἀπὸ τοῦ Ἀντιπάτρου. ταραχῆς δὲ μεγάλης οὔσης ἐν ταῖς δυνάμεσι, καὶ κοινῆς ἐκκλησίας συναχθείσης, ὁ μὲν Ἀντίπατρος διαλεχθεὶς τοῖς πλήθεσι τὴν μὲν ταραχὴν κατέπαυσε, τὴν δ' Εὐρυδίκην* 287 *καταπληξάμενος ἔπεισε τὴν ἡσυχίαν ἄγειν. μετὰ δὲ ταῦτα τὰς σατραπείας ἐξ ἀρχῆς ἐμερίσατο. καὶ Πτολεμαίῳ μὲν τὴν προϋπάρχουσαν προσώρισεν· ἀδύνατον γὰρ ἦν τοῦτον μεταθεῖναι διὰ τὸ δοκεῖν τὴν Αἴγυπτον διὰ τῆς ἰδίας ἀνδρείας ἔχειν οἱονεὶ δορίκτητον. καὶ Λαομέδοντι μὲν τῷ Μυτιληναίῳ Συρίαν ἔδωκε, Φιλοξένῳ δὲ τὴν Κιλικίαν, τῶν δ' ἄνω σατραπειῶν Μεσοποταμίαν μὲν καὶ τὴν Ἀρβηλῖτιν Ἀμφιμάχῳ, τὴν δὲ Βαβυλωνίαν Σελεύκῳ, Ἀντιγένει δὲ τὴν Σουσιανὴν διὰ τὸ τοῦτον πρῶτον πεποιῆσθαι τὴν ἐπὶ τὸν Περδίκκαν ἐπίθεσιν, Πευκέστῃ δὲ τὴν Περσίδα, Τληπολέμῳ δὲ τὴν Καρμανίαν, Πύθωνι δὲ Μηδίαν, Φιλίππῳ δὲ τὴν Παρθυαίαν, Ἀρείαν δὲ καὶ Δραγγηνὴν Στασάνδρῳ τῷ Κυπρίῳ, τὴν δὲ Βακτριανὴν καὶ Σογδιανὴν Στασάνορι τῷ Σολίῳ ἀπὸ τῆς αὐτῆς ὄντι νήσου. Παροπαμισάδας δὲ Ὀξυάρτῃ προσώρισε τῷ Ῥωξάνης πατρὶ τῆς Ἀλεξάνδρου γυναικός, τῆς δὲ Ἰνδικῆς τὰ μὲν συνορίζοντα Παροπαμισάδαις Πύθωνι τῷ Ἀγήνορος, τὰς δ' ἐχομένας βασιλείας, τὴν μὲν*

5. *ἀπείπαντο*] *ἐναπείπαντο* V 6. *εἵλοντο*] *εἵλαντο* Bas.
287. 13. *τὴν μὲν* — 14. *καταπληξάμενος* om. V 18. *ἀνδρείας* QTVWXY, *ἀνδρίας* F, caeteri *ἀνδραγαθίας* 19. *δορίκτητον*] *δορύκτητον* FW *Μιτυληναίῳ*] *μυτηλιναίῳ* F 20. *ἄνω* T, caeteri *ἄλλων* 21. *Ἀρβηλῖτιν*] *Ἀρβηλείτιν* W, caeteri *Ἀρβελῖτιν* 22. *Ἀντιγένει* Freinshemius: libri *Ἀντιγόνῳ* 23. *πεποιεῖσθαι* F 24. *Πευκέστῃ*] *Πευκέστᾳ* Bas. 26. *Ἀρείαν* F, caeteri *Ἀρίαν*
27. *Δραγγηνὴν*] *Δραγγήνην* V Bas., caeteri *Δραγγίνην*
29. *Παροπαμισάδας*] *Παροπανισάδας* TVX, *παραπανισάδας* F: sic et 31. 30. *Ῥωξάνης*] *Ῥοξάνης* Bas. 31. *Παροπανισάδαις* Bas. 32. *Πύθωνι* hic V quoque



*παρὰ τὸν Ἰνδὸν ποταμὸν Πώρῳ, τὴν δὲ παρὰ τὸν Ὑδάσπην Ταξίλῃ· οὐ γὰρ ἦν τούτους τοὺς βασιλεῖς μετακινῆσαι χωρὶς βασιλικῆς δυνάμεως καὶ ἡγεμονίας ἐπιφανοῦς· τῶν δὲ πρὸς τὴν ἄρκτον κεκλιμένων Καππαδοκίαν μὲν Νικάνορι, Φρυγίαν δὲ τὴν μεγάλην καὶ Λυκίαν Ἀντιγόνῳ, καθάπερ πρότερον ἔσχε, Καρίαν δὲ Ἀσάνδρῳ, Λυδίαν δὲ Κλείτῳ, Φρυγίαν δὲ τὴν ἐφ' Ἑλλησπόντῳ Ἀῤῥιδαίῳ. στρατηγὸν δὲ τῆς βασιλικῆς δυνάμεως ἀπέδειξεν Ἀντίγονον, ᾧ προστεταγμένον ἦν καταπολεμῆσαι Εὐμένη τε καὶ Ἀλκέταν· παρέζευξε δὲ τῷ Ἀντιγόνῳ χιλίαρχον τὸν υἱὸν Κάσσανδρον, ὅπως μὴ δύνηται διαλαθεῖν ἰδιοπραγῶν. αὐτὸς δὲ τοὺς βασιλεῖς ἀναλαβὼν καὶ τὴν ἰδίαν δύναμιν προῆγεν ἐπὶ τὴν Μακεδονίαν, κατάξων τοὺς βασιλεῖς ἐπὶ τὴν πατρίδα.*

*Ἀντίγονος δ' ἐπὶ τῆς Ἀσίας ἀποδεδειγμένος στρα-* 40
*τηγός, διαπολεμήσων πρὸς Εὐμένη ἤθροισεν ἐκ τῆς χειμασίας τὰς δυνάμεις. παρασκευασάμενος δὲ τὰ πρὸς τὴν μάχην προῆγεν ἐπὶ τὸν Εὐμένη διατρίβοντα περὶ Καππαδοκίαν. ὁ δ' Εὐμένης, ἀποστάντος ἀπ' αὐτοῦ τινος τῶν ἐπιφανῶν ἡγεμόνων ὄνομα Περδίκκου, στρατοπεδεύοντος ἀπὸ τριῶν ἡμερῶν ὁδοῦ μετὰ τῶν συναποστάντων στρατιωτῶν πεζῶν μὲν τρισχιλίων, ἱππέων δὲ πεντακοσίων, ἐξέπεμψεν ἐπ' αὐτὸν Φοίνικα τὸν Τενέδιον, ἔχοντα πεζοὺς μὲν ἐπιλέκτους τετρακισχιλίους, ἱππεῖς δὲ χιλίους. οὗτος δὲ νυκτοπορίᾳ συντόνῳ χρησάμενος προσέπεσε τοῖς ἀποστάταις ἀπροσδοκήτως περὶ*
288 *δευτέραν φυλακὴν νυκτερινήν· καταλαβὼν δ' αὐτοὺς κοιμωμένους, τόν τε Περδίκκαν ἐζώγρησε καὶ τῆς δυνάμεως ἐγκρατὴς ἐγένετο. Εὐμένης δὲ τοὺς αἰτιωτάτους τῆς ἀποστάσεως ἡγεμόνας ἐθανάτωσε· τοὺς δὲ στρατιώτας τοῖς ἄλλοις ἀναμίξας, καὶ φιλανθρώπως προσενεχθείς, ἰδίους ταῖς εὐνοίαις ἐποιήσατο. μετὰ δὲ ταῦθ' ὁ μὲν Ἀντίγονος διαπεμψάμενος πρὸς Ἀπολλωνίδην τινὰ τῶν ἱππέων ἀφηγούμενον παρ' Εὐμένει μεγάλαις ἐπαγγελίαις*

33. *Πώρῳ*] *πόῤῥῳ* F 36. *ἡγεμονίας*] *ἡγεμόνος* F, alterum *γρ.* in marg. ponens 38. *Λυκίαν* FW Bas., caeteri *Κιλικίαν*
39. *Ἀσάνδρῳ* Wesselingius: libri *Κασσάνδρῳ* vel *Κασάνδρῳ* *Λυδίαν* Wesselingius, *Κιλικίαν* VW et F supra versum, *Λυκίαν* F, caeteri *Λυκίαν* 43. *χιλίαρχον*] *πολίαρχον* W
46. *τὴν Μακεδ.*] *Μακεδ.* T 50. *διαπολεμήσων* FW, caeteri *διαπολεμῆσαι* 54. *ἡγεμόνων* FQVW, caeteri *ἡγεμόνος*
55. *ὄνομα* FQVW, caeteri *ὀνόματι* 56. *συναποστάντων*] *ἀποστάντων* F 60. *συντόνῳ*] *συντόμῳ* V et *γρ.* F, *συντόμως* FW
288. 66. [*καὶ φιλ.*] *φιλ.* FV 68. *ταῦθ'* Bas., caeteri *ταῦτα* *πρὸς* om. FV

δι' ἀποῤῥήτων ἐποίησε προδότην γενέσθαι καὶ κατὰ τὴν μάχην αὐτομολῆσαι. τοῦ δ' Εὐμένους στρατοπεδεύοντος τῆς Καππαδοκίας ἔν τισιν εὐθέτοις πεδίοις πρὸς ἱππομαχίαν, ἐπιβαλὼν ὁ Ἀντίγονος μετὰ πάσης τῆς δυνάμεως κατελάβετο τὴν ὑπερκειμένην τῶν πεδίων ὑπώρειαν. εἶχε δ' ὁ μὲν Ἀντίγονος κατ' ἐκείνους τοὺς καιροὺς πεζοὺς μὲν πλείους τῶν μυρίων, ὧν ἦσαν οἱ ἡμίσεις Μακεδόνες, θαυμαστοὶ κατὰ τὰς ἀνδραγαθίας, ἱππεῖς δὲ δισχιλίους, ἐλέφαντας δὲ τριάκοντα, ὁ δ' Εὐμένης πεζοὺς μὲν οὐκ ἐλάττους τῶν δισμυρίων, ἱππεῖς δὲ πεντακισχιλίους. γενομένης δὲ μάχης ἰσχυρᾶς, καὶ τοῦ Ἀπολλωνίδου μετὰ τῶν περὶ αὐτὸν ἱππέων ποιήσαντος ἀλόγως ἀπὸ τῶν ἰδίων διάστασιν, ἐνίκησεν ὁ Ἀντίγονος, καὶ ἀνεῖλε τῶν ἐναντίων εἰς ὀκτακισχιλίους. ἐκυρίευσε δὲ καὶ τῆς ἀποσκευῆς ἁπάσης, ὥστε τοὺς περὶ τὸν Εὐμένη στρατιώτας διὰ μὲν τὴν ἧτταν καταπλαγῆναι, διὰ δὲ τὴν ἀπώλειαν τῆς ἀποσκευῆς ἀθυμῆσαι.

41 Μετὰ δὲ ταῦθ' ὁ μὲν Εὐμένης ἐπεβάλετο φεύγειν εἰς τὴν Ἀρμενίαν, καὶ τῶν ἐν ταύτῃ κατοικούντων τινὰς πρὸς τὴν συμμαχίαν συλλαβέσθαι· καταταχούμενος δὲ καὶ τοὺς στρατιώτας ὁρῶν ἀποχωροῦντας πρὸς τὸν Ἀντίγονον, κατελάβετο χωρίον ὀχυρὸν ὃ προσηγορεύετο Νῶρα. ἦν δὲ τὸ φρούριον τοῦτο παντελῶς μικρὸν διὰ τὸ τὸν περίβολον ἔχειν μὴ πλεῖον δυοῖν σταδίων, κατὰ δὲ τὴν ἐρυμνότητα θαυμαστόν. ἐπὶ γὰρ πέτρας ὑψηλῆς εἶχε τὰς οἰκίας συνῳκοδομημένας, καὶ τὰ μὲν ὑπὸ τῆς φύσεως τὰ δ' ὑπὸ τῆς ἐκ τῶν χειρῶν κατασκευῆς θαυμαστῶς ὠχύρωτο. εἶχε δὲ καὶ παραθέσεις σίτου πολλοῦ καὶ ξύλων καὶ τῶν ἄλλων, ὥστ' εἰς ἔτη πολλὰ δύνασθαι χορηγῆσαι πάντα τοῖς εἰς αὐτὴν καταφυγοῦσι. συνέφυγον δὲ μετ' αὐτοῦ τῶν φίλων οἱ ταῖς εὐνοίαις διαφέροντες καὶ κεκρικότες συναποθνήσκειν αὐτῷ κατὰ τοὺς ἐσχάτους κινδύνους· οἱ δὲ πάντες ὑπῆρχον ἱππεῖς τε καὶ πεζοὶ περὶ ἑξακοσίους. Ἀντίγονος δὲ παραλαβὼν τὴν μετ' Εὐμένους δύναμιν, καὶ τῶν σατραπειῶν καὶ

71. τὴν om. F 73. ἔν τισιν] ἐν τοῖς FW ἐπιβαλὼν om. T Bas., asterisco notavit Stephanus 75. ὑπώρειαν] ὑπωρίαν Bas. 76. δ' om. Bas. 80. οὐκ ἐλάττους] ἐλάττους X Bas. 87. ἀθυμῆσαι VW οὐκ θυμῆσαι T, οὐ τολμῆσαι Q, caeteri οὐκ ἀθυμῆσαι 90. τὴν Ἀρμενίαν] Ἀρμενίαν F Bas. ταύτῃ] τῇ ταύτῃ F 93. τὸν Ἀντίγονον] Ἀντίγονον FV 94. Νῶρα] Μῶρα Bas. 95. πλεῖον FVW, caeteri πλείω 96. δυοῖν] δυεῖν VW 1. τῶν ἄλλων] ἄλλων F Bas. 2. καταφυγοῦσι] καταφεύγουσι FV



τῶν ἐν ταύταις προσόδων κύριος γενόμενος, ἔτι δὲ παρειληφὼς πλῆθος χρημάτων, μειζόνων πραγμάτων ὠρέγετο· οὐκέτι γὰρ οὐδεὶς τῶν κατὰ τὴν Ἀσίαν ἡγεμόνων ἀξιόμαχον εἶχε δύναμιν διαγωνίσασθαι πρὸς αὐτὸν περὶ τῶν πρωτείων. διὸ καὶ πρὸς Ἀντίπατρον κατὰ μὲν τὸ παρὸν προσεποιεῖτο φιλικῶς διακεῖσθαι, διεγνώκει δὲ τὰ καθ' αὐτὸν ἀσφαλισάμενος μηκέτι προσέχειν μήτε τοῖς βασιλεῦσι μήτε Ἀντιπάτρῳ. τὸ μὲν οὖν πρῶτον περιέλαβε τοὺς καταπεφευγότας εἰς τὸ φρούριον διπλοῖς τοῖς τείχεσι καὶ τάφροις καὶ χαρακώμασι θαυμαστοῖς· μετὰ ταῦτα δ' εἰς σύλλογον ἐλθὼν Εὐμένει καὶ τὴν προϋπάρχουσαν φιλίαν ἀνανεωσάμενος, ἔπειθεν αὐτὸν κοινοπραγεῖν. ὁ δὲ εἰδὼς τὴν τύχην ὀξέως μεταβάλλουσαν, μείζονας ᾔτει φιλανθρωπίας τῆς περὶ αὐτὸν οὔσης περιστάσεως. ᾤετο γὰρ δεῖν αὐτῷ συγχωρηθῆναι τὰς ἐξ ἀρχῆς δεδομένας σατραπείας καὶ τῶν ἐγκλημάτων ἁπάντων ἀπόλυσιν. ὁ δὲ Ἀντίγονος περὶ μὲν τούτων ἐπὶ τὸν Ἀντίπατρον τὴν ἀναφορὰν ἐποιήσατο, τοῦ δὲ χωρίου τὴν ἱκανὴν φυλακὴν ἀπολιπὼν ὥρμησεν ἐπὶ τοὺς ἐπιπορευομένους ἡγεμόνας τῶν πολεμίων καὶ δυνάμεις ἔχοντας, Ἀλκέταν τε τὸν ἀδελφὸν τοῦ Περδίκκου καὶ Ἄτταλον τὸν τοῦ στόλου παντὸς κυριεύοντα.

42 Μετὰ δὲ ταῦτα ὁ Εὐμένης πρὸς τὸν Ἀντίπατρον πρεσβευτὰς ἀπέστειλε περὶ τῶν ὁμολογιῶν, ὧν ἦν ἡγούμενος Ἱερώνυμος ὁ τὰς τῶν διαδόχων ἱστορίας γεγραφώς. αὐτὸς δὲ πολλαῖς καὶ ποικίλαις κεχρημένος τοῦ βίου μεταβολαῖς, οὐκ ἐταπεινοῦτο τῷ φρονήματι, σαφῶς εἰδὼς τὴν τύχην ὀξείας τὰς εἰς ἀμφότερα τὰ μέρη ποιουμένην μεταβολάς. ἑώρα γὰρ τοὺς μὲν τῶν Μακεδόνων βασιλεῖς κενὸν ἔχοντας τὸ τῆς βασιλείας πρόσχημα, πολλοὺς δὲ καὶ μεγάλους τοῖς φρονήμασιν ἄνδρας διαδεχομένους τὰς ἡγεμονίας, πάντας δὲ ἰδιοπραγεῖν βουλομένους. ἤλπιζεν οὖν, ὅπερ ἦν πρὸς ἀλήθειαν, πολλοὺς αὐτοῦ χρείαν ἕξειν διά τε τὴν φρόνησιν καὶ τὴν ἐμπειρίαν τῶν πολεμικῶν, ἔτι δὲ τὴν ὑπερβολὴν τῆς ἐν τῇ πίστει βεβαιότητος. ὁρῶν δὲ τοὺς ἵππους, διὰ τὴν ἐν τῇ στενοχωρίᾳ τραχύτητα μὴ δυναμένους γυμνάζεσθαι, πρὸς τὴν ἐν ταῖς ἱππομαχίαις χρείαν ἀχρήστους ἐσομέ-

290, 14. τὰ] τὸ omnes καθ' αὐτὸν W, caeteri κατ' αὐτὸν 17. καταπεφευγότας] καταφυγόντας V, καταφεύγοντας F 23. αὐτῷ] αὐτὸν F 24. δεδομένας] διδομένας F 28. ἐπιπορευομένους Rhodomannus: libri πορευομένους 29. Ἀλκέταν] καὶ Ἀλκέταν V 31. ὁ om. Bas. 34. αὐτὸς FVW, caeteri οὗτος 36. τὰς εἰς] εἰς W 37. ἑώρα] ἑώρουν Bas. 38. ἔχοντας om. VW 44. πολεμικῶν] πολεμίων V

νους, ἐπενοήσατό τινα ξένην καὶ παρηλλαγμένην τῶν ἵππων γυμνασίαν. τὰς γὰρ κεφαλὰς αὐτῶν ταῖς σειραῖς ἀναδεσμεύων ἔκ τινων δοκίων ἢ παττάλων δύο ἢ τρεῖς δοκίδας αἰωρήσας, καὶ συναναγκάζων τοῖς ὀπισθίοις ποσὶν ἐπιβεβηκέναι, τοῖς δ' ἔμπροσθεν μόνοις ψαύειν τῆς γῆς μικρὸν ἀπολείποντας· εὐθὺς οὖν ὁ μὲν ἵππος βουλόμενος στηρίζεσθαι τοῖς ἐμπροσθίοις διεπονεῖτο τῷ τε σώματι παντὶ καὶ τοῖς σκέλεσι, συμπασχόντων ἁπάντων τῶν κατὰ τὸν ὄγκον μελῶν· τοιαύτης δὲ γινομένης κινήσεως ἱδρώς τε πολὺς ἐκ τοῦ σώματος ἐξεχεῖτο καὶ τῇ τῶν πόνων ὑπερβολῇ τὴν ἀκρότητα τῶν γυμνασίων τοῖς ζῴοις περιεποιεῖτο. τοῖς δὲ στρατιώταις ἅπασι τὰς αὐ- 290 τὰς τροφὰς παρείχετο, μετέχων αὐτὸς τῆς λιτότητος, καὶ διὰ τῆς ὁμοίας συμπεριφορᾶς πολλὴν εὔνοιαν ἑαυτῷ, τοῖς δὲ συμπεφευγόσι πᾶσιν ὁμόνοιαν συγκατεσκεύασε. καὶ τὰ μὲν περὶ τὸν Εὐμένη καὶ τοὺς συμπεφευγότας εἰς τὴν πέτραν ἐν τούτοις ἦν.

43 Κατὰ δὲ τὴν Αἴγυπτον Πτολεμαῖος παραδόξως ἀποτετριμμένος τόν τε Περδίκκαν καὶ τὰς βασιλικὰς δυνάμεις, τὴν μὲν Αἴγυπτον ὡσανεί τινα δορίκτητον εἶχεν. ὁρῶν δὲ τήν τε Φοινίκην καὶ τὴν κοίλην ὀνομαζομένην Συρίαν εὐφυῶς κειμένας κατὰ τῆς Αἰγύπτου, πολλὴν εἰςεφέρετο σπουδὴν κυριεῦσαι τούτων τῶν πόλεων. ἐξαπέστειλεν οὖν τὴν ἱκανὴν δύναμιν καὶ στρατηγόν, ἕνα τῶν φίλων προχειρισάμενος, Νικάνορα. οὗτος δὲ στρατεύσας εἰς τὴν Συρίαν Λαομέδοντα μὲν τὸν σατράπην ἐζώγρησε, τὴν δὲ Συρίαν ἅπασαν ἐχειρώσατο. ὁμοίως δὲ καὶ τὰς κατὰ τὴν Φοινίκην πόλεις προςαγαγόμενος καὶ ποιήσας ἐμφρούρους, ἐπανῆλθεν εἰς τὴν Αἴγυπτον, σύντομον τὴν στρατείαν καὶ πρακτικὴν πεποιημένος.

44 Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Ἀπολλοδώρου Ῥωμαῖοι κατέστησαν ὑπάτους Κόϊντον Ποπλίλιον καὶ Κόϊντον Πόπλιον. ἐπὶ δὲ τούτων Ἀντίγονος καταπεπολεμηκὼς

50. δοκίων] fort. δοκίδων 51. αἰωρήσας Rhodomannus: libri ἑωρήσας, quod qui tueatur etiam vol. I. p. 143, 67. ἑώρα scribat 53. ἔμπροσθε Bas. ἀπολείποντας] ἀπολιπόντας F 57. γινομένης] γενομένης Bas. 60. περιεποιεῖτο] ἐποιεῖτο Bas.

290. 62. τῆς λιτότητος] λιτότητος Bas. 63. τοῖς δὲ συμπεφευγόσι πᾶσιν] τοῖς συμπεφευγόσι πᾶσι καὶ FVW 65. περὶ] κατὰ Y Bas. 68. τε om. Bas. 69. δορίκτητον] δορύκτητον FVW 70. τήν τε] τὴν F Bas.

71. εὐφυῶς] εὐκλεῶς F, illud γρ. in marg. ponens 72. εἰςεφέρετο — 73. τὴν om. Bas. 73. πόλεων] immo τόπων vel χωρῶν 82. Ποπλίλιον Livius, ποσπίλιον F, Ποπίλλιον Bas., caeteri Ποπίλιον: exciderunt autem in superioribus biennii res gestae



τοὺς περὶ τὸν Εὐμένη, ἔκρινε στρατεύειν ἐπὶ τὸν Ἀλκέταν καὶ Ἄτταλον. οὗτοι γὰρ ὑπελείποντο τῶν Περδίκκου φίλων καὶ οἰκείων ἡγεμόνες μὲν ἀξιόλογοι, στρατιώτας δ' ἔχοντες ἱκανοὺς ἀμφιςβητῆσαι πραγμάτων. ἀναζεύξας οὖν μετὰ πάσης τῆς δυνάμεως ἐκ Καππαδοκίας προῆγεν ἐπὶ τὴν Πισιδικήν, ἐν ᾗ συνέβαινε διατρίβειν τοὺς περὶ τὸν Ἀλκέταν. ὀξεῖαν δὲ καὶ παντελῶς ἐπιτεταμένην τὴν πορείαν ποιησάμενος ἐν ἡμέραις ἑπτὰ καὶ ταῖς ἴσαις νυξὶ διήνυσε σταδίους διςχιλίους καὶ πεντακοσίους εἰς τὴν ὀνομαζομένην Κρητῶν πόλιν. λαθὼν δὲ τοὺς πολεμίους διὰ τὴν ὀξύτητα τῆς πορείας, καὶ γενόμενος πλησίον αὐτῶν ἀγνοούντων τὴν παρουσίαν, ἔφθασεν ἀκρολοφίας τινὰς καὶ δυςχωρίας προκαταλαβόμενος. οἱ δὲ περὶ τὸν Ἀλκέταν πυθόμενοι τὴν παρουσίαν τῶν πολεμίων, τὴν μὲν φάλαγγα ταχέως ἐξέταξαν, τοῖς δ' ἱππεῦσι προςπεσόντες τοῖς τὴν ἀκρώρειαν προκατέχουσιν ἐφιλοτιμοῦντο βίᾳ κρατῆσαι καὶ ἀπὸ τῆς ἀκρολοφίας ἐκβαλεῖν. γενομένης δὲ μάχης ἰσχυρᾶς, καὶ πολλῶν παρ' ἀμφοτέροις πεσόντων, ὁ μὲν Ἀντίγονος 291 ἔχων ἱππεῖς ἑξακιςχιλίους ἀπὸ κράτους ἤλαυνεν ἐπὶ τὴν τῶν ἐναντίων φάλαγγα, σπεύδων ἀποκόψαι τῶν περὶ τὸν Ἀλκέταν τὴν ἐπὶ ταύτην καταφυγήν. οὗ συντελεσθέντος οἱ μὲν ἐπὶ τῆς ἀκρωρείας ὄντες, πολὺ τοῖς τε πλήθεσιν ὑπερέχοντες καὶ τῇ δυςχωρίᾳ τῶν τόπων πλεονεκτοῦντες ἐτρέψαντο τοὺς προςμαχομένους. οἱ δὲ περὶ τὸν Ἀλκέταν τῆς μὲν ἐπὶ τοὺς πεζοὺς καταφυγῆς ἀποκεκλεισμένοι, τῷ δὲ πλήθει τῶν πολεμίων εἰς μέσον ἀπειλημμένοι, πρόδηλον εἶχον τὴν ἀπώλειαν. διὸ καὶ τῆς σωτηρίας δυςβοηθήτου γενομένης, ὁ μὲν Ἀλκέτας πολλοὺς ἀποβαλὼν μόλις διεξέπεσε πρὸς τὴν τῶν πεζῶν φάλαγγα·

45 ὁ δ' Ἀντίγονος ἐξ ὑπερδεξίων τόπων ἐπαγαγὼν τούς τε ἐλέφαντας καὶ πᾶσαν τὴν δύναμιν κατεπλήξατο τοὺς πολεμίους πολὺ τοῖς πλήθεσι λειπομένους. ἦσαν γὰρ οἱ σύμμαχοι πάντες πεζοὶ μὲν μύριοι καὶ ἑξακιςχίλιοι, ἱππεῖς δ' ἐνακόσιοι, οἱ δ' Ἀντιγόνου χωρὶς τῶν ἐλεφάντων πεζοὶ μὲν πλείους τῶν τετρακιςμυρίων, ἱππεῖς δὲ ὑπὲρ τοὺς ἑπτακιςχιλίους. ἅμα δὲ τῶν ἐλεφάντων ἐπιόντων κατὰ μέτωπον καὶ τῶν ἱππέων διὰ τὸ πλῆθος πανταχῇ περιχεομένων, ἔτι δὲ τῶν πεζῶν πολλαπλασίων

100. προκατέχουσιν] προκαταλαβοῦσιν FQVW 3. ἀμφοτέροις VW, caeteri ἀμφοτέρων

291. 6. ταύτην] ταύτῃ F 8. πολὺ] πολλοὶ F 10. προςμαχομένους] μαχομένους Y Bas., caeteri προμαχομένους 12. τῷ δὲ — 13. εἶχον om. V 21. ἐννακόσιοι omnes 26. περιχεομένων Wesselingius: libri περιεχομένων

καὶ κρειττόνων ὄντων ταῖς ἀρεταῖς καὶ τὴν στάσιν ὑπερδέξιον ἐχόντων, πολὺς θόρυβος καὶ φόβος κατεῖχε τοὺς περὶ τὸν Ἀλκέταν· διὰ δὲ τὴν ὑπερβολὴν τῆς ὀξύτητος καὶ ἐνεργείας οὐδ' ἐκτάξαι καλῶς τὴν φάλαγγα κατίσχυσαν. τροπῆς δὲ παντελοῦς γενομένης, Ἄτταλος μὲν καὶ Δόκιμος καὶ Πολέμων καὶ πολλοὶ τῶν ἀξιολόγων ἡγεμόνων ἐζωγρήθησαν, Ἀλκέτας δὲ μετὰ τῶν ἰδίων ὑπασπιστῶν καὶ τῶν παίδων ἔφυγε μετὰ τῶν Πισιδῶν τῶν συστρατευομένων εἰς πόλιν Πισιδικὴν ὄνομα Τερμησσόν. ὁ δ' Ἀντίγονος τούτους μὲν καθ' ὁμολογίαν παραλαβών, τοὺς λοιποὺς εἰς τὰ ἴδια τάγματα κατέταξε, καὶ φιλανθρώπως αὐτοῖς χρησάμενος ηὔξησε τὴν ἰδίαν δύναμιν οὐ μετρίως.

Οἱ δὲ Πισίδαι τὸν ἀριθμὸν ὄντες εἰς ἑξακισχιλίους, καὶ ταῖς ἀλκαῖς διαφέροντες, παρεκάλουν τὸν Ἀλκέταν θαῤῥεῖν, ἐπαγγελλόμενοι μηδ' ἑνί τῳ τρόπῳ ἐγκαταλείψειν αὐτόν. διέκειντο γὰρ πρὸς αὐτὸν εὐνοϊκῶς καθ' ὑπερ-
46 βολὴν διὰ τοιαύτας τινὰς αἰτίας. Ἀλκέτας μετὰ τὸν Περδίκκου θάνατον οὐκ ἔχων συμμάχους κατὰ τὴν Ἀσίαν, ἔκρινε τοὺς Πισίδας εὐεργετεῖν, νομίζων ἕξειν συμμάχους πολεμικοὺς ἄνδρας καὶ χώραν ἔχοντας δυςέμβολον καὶ 292
μεστὴν ὀχυρῶν φρουρίων. διόπερ ἐν ταῖς στρατείαις παρὰ πάντας τοὺς συμμάχους ἐτίμα περιττότερον τούτους, καὶ τὰς μὲν ἐκ τῆς πολεμίας ὠφελείας ἐμέριζεν αὐτοῖς, διδοὺς τῶν λαφύρων τὰ ἡμίση, κατὰ δὲ τὰς ὁμιλίας λόγοις φιλανθρώποις χρώμενος, καὶ κατὰ τὰ σύνδειπνα καθ' ἡμέραν τοὺς ἀξιολογωτάτους ἐν μέρει παραλαμβάνων ἐπὶ τὰς ἑστιάσεις, ἔτι δὲ τιμῶν πολλοὺς δωρεαῖς ἀξιολόγοις, ἰδίους ταῖς εὐνοίαις κατεσκεύασε. διόπερ καὶ τότε τὰς ἐλπίδας ἔχοντος ἐν τούτοις Ἀλκέτου, τῶν ἐλπίδων αὐτὸν οὐ διεψεύσαντο. τοῦ γὰρ Ἀντιγόνου μετὰ πάσης τῆς δυνάμεως πλησίον τῆς Τερμησσοῦ καταστρατοπεδεύσαντος καὶ τὸν Ἀλκέταν ἐξαιτοῦντος, ἔτι δὲ τῶν πρεσβυτέρων συμβουλευόντων ἐκδοῦναι, συστραφέντες οἱ νεώτεροι πρὸς τοὺς γονεῖς διαστάντες ἐψηφίσαντο πᾶν ὑπομένειν δεινὸν ἕνεκα τῆς τούτου σωτηρίας. οἱ δὲ πρεσβύτεροι τὸ μὲν πρῶτον πείθειν ἐπεχείρουν τοὺς

30. ἐνεργείας] τῆς ἐνεργείας FW 31. κατίσχυσαν] κατίσχυσε Y Bas. 34. τῶν παίδων] παίδων Bas. 36. Τερμησσὸν] Τερμισσὸν FW, caeteri Τέρμησον 40. εἰς om. FV ἑξακισχιλίους] ἑξακισχίλιοι F 42. μηδ' ἑνί τῳ Bas., caeteri μηδενὶ τῷ 43. διέκειντο] διέκειτο F
292. 49. ἐν ταῖς] ταῖς Y Bas. 51. τὰς] τὰ F 60. Τερμησσοῦ] Τερμισσοῦ FW, caeteri Τερμησοῦ 64. ἕνεκα] ἕνεκεν FVW 65. τοὺς] τοὺς μὲν F



νέους μὴ δι' ἕνα Μακεδόνα περιιδεῖν τὴν πατρίδα γινομένην δοριάλωτον· ἐπεὶ δ' ἀμετάθετον αὐτῶν τὴν ὁρμὴν ἑώρων, λάθρᾳ συμφρονήσαντες ἐξέπεμψαν νυκτὸς πρεσβείαν πρὸς Ἀντίγονον, ἐπαγγελλόμενοι τὸν Ἀλκέταν ἢ ζῶντα παραδώσειν ἢ τετελευτηκότα. ἠξίουν δ' αὐτὸν ἐφ' ἡμέρας τινὰς προσβαλόντα τῇ πόλει καὶ δι' ἀκροβολισμῶν ἐλαφρῶν προαγαγόμενον τοὺς ἐκ τῆς πόλεως ὑποχωρεῖν ὡς φεύγοντα. τούτου γὰρ γενομένου, καὶ τῶν νεωτέρων περὶ τὴν μάχην ἐκτὸς τῆς πόλεως ἀσχολουμένων, λήψεσθαι καιρὸν οἰκεῖον ταῖς ἰδίαις ἐπιβολαῖς. ὁ δ' Ἀντίγονος πεισθεὶς ὑπ' αὐτῶν, καὶ μακρὰν τῆς πόλεως μεταστρατοπεδεύσας, διὰ τῶν ἀκροβολισμῶν προεσπᾶτο τοὺς νέους εἰς τὸν ἐκ τῆς πόλεως ἀγῶνα. οἱ δὲ πρεσβύτεροι μεμονωμένον ὁρῶντες τὸν Ἀλκέταν, καὶ τῶν τε δούλων τοὺς πιστοτάτους καὶ τῶν ἀκμαζόντων πολιτῶν ἐπιλέξαντες τοὺς μὴ συστρατευομένους, τῷ Ἀλκέτᾳ τὴν ἐπίθεσιν ἐποιήσαντο κατὰ τὴν ἀπουσίαν τῶν νέων. ζωγρῆσαι μὲν οὖν αὐτὸν οὐ κατίσχυσαν, ἔφθασε γὰρ αὑτὸν διαχειρισάμενος, ὅπως μὴ ζῶν ὑποχείριος γένηται τοῖς πολεμίοις, τὸ δὲ σῶμα αὐτοῦ θέντες ἐπὶ κλινίδιον καὶ συγκατακαλύψαντες εὐτελεῖ τρίβωνι κατὰ τὰς πύλας ἐξήνεγκαν, καὶ λαθόντες τοὺς ἀκροβολιζομένους παρέ-
δωκαν Ἀντιγόνῳ. διὰ δὲ τῆς ἰδίας ἐπινοίας ἐκ τῶν κιν- 47
δύνων ἐξελόμενοι τὴν πατρίδα, τὸν μὲν πόλεμον ἀπετρίψαντο, τὴν δὲ πρὸς τοὺς νέους ἀλλοτριότητα φυγεῖν οὐ κατίσχυσαν. οὗτοι γὰρ ἀπὸ τῆς μάχης ἐπανελθόντες, καὶ τὸ πεπραγμένον ἀκούσαντες, πρὸς τοὺς ἰδίους ἀπηγριώθησαν διὰ τὴν πρὸς Ἀλκέταν ὑπερβολὴν τῆς εὐνοίας. καὶ τὸ μὲν πρῶτον καταλαβόμενοι μέρος τῆς πόλεως ἐψηφίσαντο τὰς μὲν οἰκίας ἐμπρῆσαι, μετὰ δὲ τῶν ὅπλων ἐκχυθέντας ἐκ τῆς πόλεως καὶ τῆς ὀρεινῆς
293 ἐχομένους πορθεῖν τὴν ὑπ' Ἀντίγονον τεταγμένην χώραν· ὕστερον δὲ μετανοήσαντες τοῦ μὲν ἐμπρῆσαι τὴν πόλιν ἀπέσχοντο, δόντες δ' ἑαυτοὺς εἰς λῃστείας καὶ καταδρομὰς πολλὴν τῆς πολεμίας χώραν κατέφθειραν. ὁ δ' Ἀντίγονος παραλαβὼν τὸ σῶμα καὶ καταικισάμενος ἐπὶ τρεῖς ἡμέρας, καὶ τοῦ νεκροῦ σῆψιν λαβόντος, ἀφεὶς αὐτὸν ἄταφον, ἀνέζευξεν ἐκ τῆς Πισιδικῆς. οἱ δὲ τῶν Τερμησσίων νέοι φυλάττοντες τὴν πρὸς τὸν ᾐκισμένον

66. δι'] δ' Bas. 71. προσβαλόντα FQVW, caeteri προσβάλλοντα 72. προαγαγόμενον FQVW, caeteri προσαγόμενον 92. ἀπετρίψαντο Wesselingius: libri ἀπεστρέψαντο 93. οὐ κατίσχυσαν] οὐκ ἴσχυσαν F 99. 100. ἐκχυθέντες — ἐχομένοις F
293. 7. τερμησσέων F, Τερμισσέων W, caeteri Τερμησέων

εὔνοιαν τό τε σῶμα ἀνείλοντο καὶ λαμπρῶς ἐκήδευσαν. οὕτως ἡ τῆς εὐεργεσίας φύσις, ἴδιόν τι φίλτρον ἔχουσα πρὸς τοὺς εὖ πεποιηκότας, ἀμετάθετον διαφυλάττει τὴν εἰς αὐτοὺς εὔνοιαν. ὁ δ᾽ οὖν Ἀντίγονος ἀναζεύξας ἐκ τῆς Πισιδικῆς προῆγεν ἐπὶ Φρυγίας μετὰ πάσης τῆς δυνάμεως. ὡς δὲ κατήντησεν εἰς Κρητῶν πόλιν, ἧκε πρὸς αὐτὸν Ἀριστόδημος ὁ Μιλήσιος ἀπαγγέλλων ὅτι Ἀντίπατρος μὲν τετελεύτηκεν, ἡ δὲ τῶν ὅλων ἡγεμονία καὶ τῶν βασιλέων ἡ ἐπιμέλεια μεταπέπτωκεν εἰς Πολυσπέρχοντα τὸν Μακεδόνα. ἡσθεὶς δ᾽ ἐπὶ τοῖς γεγονόσι μετέωρος ἦν ταῖς ἐλπίσι, καὶ διενοεῖτο τῶν κατὰ τὴν Ἀσίαν ἔχεσθαι πραγμάτων, καὶ τῆς κατ᾽ αὐτὴν ἡγεμονίας μηδενὶ παραχωρεῖν. καὶ τὰ μὲν περὶ τὸν Ἀντίγονον ἐν τούτοις ἦν.

48 Κατὰ δὲ τὴν Μακεδονίαν Ἀντιπάτρου περιπεσόντος ἀῤῥωστίᾳ βαρυτέρᾳ, καὶ τοῦ γήρως συνεργοῦντος πρὸς τὴν ἀπόλυσιν τοῦ βίου, Ἀθηναῖοι μὲν ἐξέπεμψαν πρεσβευτὴν πρὸς Ἀντίπατρον Δημάδην, δοκοῦντα καλῶς πολιτεύεσθαι τὰ πρὸς τοὺς Μακεδόνας, ἀξιοῦντες τὸν Ἀντίπατρον, καθάπερ ἦν ἐξ ἀρχῆς ὡμολογηκώς, ἐξαγαγεῖν τὴν φρουρὰν ἐκ τῆς Μουνυχίας. ὁ δ᾽ Ἀντίπατρος τὸ μὲν πρῶτον εὐνοϊκῶς διέκειτο πρὸς τὸν Δημάδην, ὕστερον δὲ Περδίκκου τελευτήσαντος, καί τινων ἐπιστολῶν εὑρεθεισῶν ἐν τοῖς βασιλικοῖς γράμμασιν, ἐν οἷς ἦν ὁ Δημάδης παρακαλῶν τὸν Περδίκκαν κατὰ τάχος διαβαίνειν εἰς τὴν Εὐρώπην ἐπ᾽ Ἀντίπατρον, ἀπηλλοτριώθη πρὸς αὐτόν, καὶ κεκρυμμένην ἐτήρει τὴν ἔχθραν. διόπερ τοῦ Δημάδου κατὰ τὰς ὑπὸ τοῦ δήμου δεδομένας ἐντολὰς ἀπαιτοῦντος τὴν ἐπαγγελίαν, καὶ παῤῥησιωδέστερον ἀπειλήσαντος περὶ τῆς φρουρᾶς, ὁ μὲν Ἀντίπατρος οὐδεμίαν δοὺς ἀπόκρισιν παρέδωκε τοῖς ἐπὶ τὰς τιμωρίας τεταγμένοις αὐτόν τε τὸν Δημάδην καὶ τὸν υἱὸν Δημέαν συμπρεσβεύοντα τῷ πατρί. οὗτοι μὲν οὖν ἀπαχθέντες εἴς τι οἴκημα εὐτελὲς ἐθανατώθησαν διὰ τὰς προειρημένας αἰτίας. ὁ δ᾽ Ἀντίπατρος ἐσχάτως ἤδη διακείμενος ἀπέδειξεν ἐπιμελητὴν τῶν βασιλέων Πολυσπέρχοντα καὶ στρατηγὸν αὐτοκράτορα, πρεσβύτατον

9. ἀνείλοντο] ἀνείλαντο FTW Bas. 11. εἰς] πρὸς FVW 15. ἀπαγγέλλων] ἀπηγγείλας V, ἀπαγγείλας F 17. ἡ ἐπιμέλεια] ἐπιμέλεια F Bas. 18. Πολυπέρχοντα dehinc etiam XY 22. ἦν om. F 32. βασιλικῶν post τινων, quod ante εὑρεθεισῶν ponit F, delevi 36. καὶ κεκρυμμένην ἐτήρει] κεκρυμμένην ἔχων FVW 42. Δημέαν] δημαίαν F 46. τῶν βασιλέων] τοῦ βασιλέως F correctus supra versum 47. πολυπέρχοντα F



σχεδὸν ὄντα τῶν τῷ Ἀλεξάνδρῳ συνεστρατευμένων καὶ τιμώμενον ὑπὸ τῶν κατὰ τὴν Μακεδονίαν, τὸν δ᾽ υἱὸν Κάσσανδρον χιλίαρχον καὶ δευτερεύοντα κατὰ τὴν ἐξουσίαν. ἡ δὲ τοῦ χιλιάρχου τάξις καὶ προαγωγὴ τὸ μὲν πρῶτον ὑπὸ τῶν Περσικῶν βασιλέων εἰς ὄνομα καὶ δό-
294 ξαν προήχθη· μετὰ δὲ ταῦτα πάλιν ὑπ᾽ Ἀλεξάνδρου μεγάλης ἔτυχεν ἐξουσίας καὶ τιμῆς, ὅτε καὶ τῶν ἄλλων τῶν Περσικῶν νομίμων ζηλωτὴς ἐγένετο. διὸ καὶ Ἀντίπατρος κατὰ τὴν αὐτὴν ἀγωγὴν τὸν υἱὸν Κάσσανδρον ὄντα νέον ἀπέδειξε χιλίαρχον.

49 Οὐ μὴν ὁ Κάσσανδρός γε τῇ τοῦ πατρὸς τάξει συνευδοκήθη, δεινὸν ἡγούμενος εἰ τὴν τοῦ πατρὸς ἡγεμονίαν ὁ μὴ προσήκων κατὰ γένος διαδέξεται, καὶ ταῦθ᾽ υἱοῦ δυναμένου πραγμάτων ἡγεῖσθαι καὶ δεδωκότος ἤδη πεῖραν ἱκανὴν ἀρετῆς τε καὶ ἀνδρείας. τὸ μὲν οὖν πρῶτον εἰς ἀγρὸν βαδίσας μετὰ τῶν φίλων, τούτοις διελέγετο πολλὴν ἔχων τὴν εὐκαιρίαν καὶ σχολὴν περὶ τῆς τῶν ὅλων ἡγεμονίας· ἕκαστον δ᾽ αὐτῶν ἐκλαμβάνων κατ᾽ ἰδίαν προετρέπετο συγκατασκευάζειν αὐτῷ τὴν δυναστείαν, καὶ μεγάλαις ἐπαγγελίαις πείσας ἑτοίμους ἐποιήσατο πρὸς τὴν κοινοπραγίαν. ἐξαπέστειλε δὲ καὶ πρὸς Πτολεμαῖον λάθρᾳ πρεσβευτάς, τήν τε φιλίαν ἀνανεούμενος καὶ παρακαλῶν συμμαχεῖν αὐτῷ, καὶ ναυτικὴν δύναμιν πέμψαι τὴν ταχίστην ἐκ τῆς Φοινίκης ἐπὶ τὸν Ἑλλήσποντον. ὁμοίως δὲ καὶ πρὸς τοὺς ἄλλους ἡγεμόνας καὶ πόλεις ἐξέπεμψε τοὺς προτρεψομένους ἑαυτῷ συμμαχεῖν. αὐτὸς δὲ κυνηγίαν ἐπὶ πολλὰς ἡμέρας συστησάμενος ἀνύποπτον ἑαυτὸν ἐποίει τῆς ἀποστάσεως. Πολυσπέρχων δὲ παραλαβὼν τὴν τῶν βασιλέων ἐπιμέλειαν καὶ συνεδρεύσας μετὰ τῶν φίλων, Ὀλυμπιάδα μὲν σὺν τῇ τῶν συνέδρων γνώμῃ μετεπέμπετο, παρακαλῶν τὴν ἐπιμέλειαν τοῦ Ἀλεξάνδρου υἱοῦ παιδὸς ὄντος παραλαβεῖν καὶ διατρίβειν ἐν Μακεδονίᾳ τὴν βασιλικὴν ἔχουσαν προστασίαν· ἡ δ᾽ Ὀλυμπιὰς ἐν τοῖς ἐπάνω χρόνοις ἐτύγχανεν εἰς Ἤπειρον πεφευγυῖα διὰ τὴν πρὸς Ἀντίπατρον ἀλλοτριότητα. καὶ τὰ μὲν κατὰ τὴν Μακεδονίαν ἐν τούτοις ἦν.

48. τῷ Ἀλ.] Ἀλ. Bas. 51. προαγωγὴ Wesselingius: libri προσαγωγὴ
294. 61. γένος] τὸ γένος F 65. τούτοις] libri τούτοις τε ἔχων om. F] τὴν om. Bas. 66. ὅλων] Μακεδόνων QVW, om. cum lacuna quattuor punctis expleta F 67. προετρέπετο] προέτρεπε W 77. ἑαυτὸν] αὐτὸν F 82. παραλαβεῖν 81. post τὴν ponit F 84. ἐπάνω] ἔμπροσθεν FQVW

50 Κατὰ δὲ τὴν Ἀσίαν διαβοηθείσης τῆς Ἀντιπάτρου τελευτῆς ἀρχὴ πραγμάτων καινῶν ἐγίνετο καὶ κίνησις, τῶν ἐν ἐξουσίαις ὄντων ἰδιοπραγεῖν ἐπιβαλλομένων. τούτων δὲ πρῶτος μὲν ὁ Ἀντίγονος προνενικηκὼς Εὐμένη περὶ Καππαδοκίαν καὶ τὰς μετ' αὐτοῦ δυνάμεις παρειληφώς, καταπεπολεμηκὼς δ' Ἀλκέταν καὶ Ἄτταλον περὶ τὴν Πισιδικὴν καὶ τὰς δυνάμεις τὰς μετ' αὐτῶν ἀνειληφώς, πρὸς δὲ τούτοις ὑπ' Ἀντιπάτρου τῆς Ἀσίας στρατηγὸς αὐτοκράτωρ ᾑρημένος, ἅμα δὲ καὶ μεγάλης δυνάμεως ἡγεμὼν ἀποδεδειγμένος, πλήρης ἦν ὄγκου καὶ φρονήματος. περιβαλλόμενος δὲ ταῖς ἐλπίσι τὴν τῶν ὅλων ἡγεμονίαν, ἔγνω μὴ προσέχειν μήτε τοῖς βασιλεῦσι μήτε τοῖς ἐπιμεληταῖς αὐτῶν. ὑπελάμβανε γὰρ αὐτὸν κρείττω δύναμιν ἔχοντα τῶν κατὰ τὴν Ἀσίαν θησαυρῶν κύριον ἔσεσθαι, μηδενὸς ὄντος τοῦ δυναμένου πρὸς αὐτὸν ἀντιτάξασθαι. εἶχε γὰρ κατ' ἐκεῖνον τὸν χρόνον στρατιώτας πεζοὺς μὲν ἑξακισμυρίους, ἱππεῖς δὲ μυρίους, ἐλέφαντας δὲ τριάκοντα. χωρὶς δὲ τούτων ἑτοίμας ποιήσασθαι καὶ ἄλλας δυνάμεις ἤλπιζεν, ἂν ᾖ χρεία, δυναμένης τῆς Ἀσίας χορηγεῖν ἀνεκλείπτως τοῖς στρατολογουμένοις ξένοις τὰς μισθοφορίας. 295 ταῦτα δὲ διανοηθεὶς Ἱερώνυμον μὲν τὸν τὰς ἱστορίας γράψαντα μετεπέμψατο, φίλον ὄντα καὶ πολίτην Εὐμένους τοῦ Καρδιανοῦ τοῦ συμπεφευγότος εἰς τὸ χωρίον τὸ καλούμενον Νῶρα. τοῦτον δὲ μεγάλαις δωρεαῖς προκαλεσάμενος ἐξαπέστειλε πρεσβευτὴν πρὸς τὸν Εὐμένη, παρακαλῶν τῆς μὲν περὶ Καππαδοκίαν μάχης γενομένης πρὸς αὐτὸν ἐπιλαθέσθαι, γενέσθαι δὲ φίλον καὶ σύμμαχον αὐτῷ, καὶ λαβεῖν δωρεὰς πολλαπλασίους ὧν πρότερον ἦν ἐσχηκὼς καὶ σατραπείαν μείζονα, καὶ καθόλου πρωτεύοντα τῶν παρ' ἑαυτῷ φίλων κοινωνὸν ἔσεσθαι τῆς ὅλης ἐπιβολῆς. εὐθὺς δὲ καὶ τῶν φίλων συναγαγὼν συνέδριον, καὶ περὶ τῆς τῶν ὅλων ἐπιβολῆς κοινωσάμενος,

87. διαβοηθείσης] διαφημισθείσης FQVW 88. καὶ κίνησις — ἐπιβαλλ. om. Bas. 89. ἰδιοπραγεῖν] καινοπραγεῖν FQV 90. ὁ om. F 98. περιβαλλόμενος FW Bas., caeteri περιβαλόμενος 100. αὐτὸν] αὑτὸν omnes 1. δύναμιν ἔχοντα] ἔχοντα δύναμιν F 2. τοῦ om. Bas. 4. μὲν om. Bas. 6. ἑτοίμας] ἑτοίμους F ἤλπιζεν] ἃς ἤλπιζεν F, ἢ πίεζεν Bas. (ας supra scriptum)
295. 8. μισθοφορίας] μισθοφορὰς FV et ut videtur W 13. προκαλ.] προςκαλ. VW ἐξαπέστειλε] ἀπέστειλε VW 19. ἑαυτῷ FW, caeteri ἑαυτοῦ ὅλης om. FV 20. συναγαγὼν] συνάγων F 21. ἐπιβολῆς] ἐπιθέσεως scribendum videtur, ut est vol. I. p. 63. 80. κοινωσάμενος] κοινωνησάμενος Bas.



διέγραψε τῶν ἀξιολόγων φίλων οἷς μὲν σατραπείας, οἷς δὲ στρατηγίας· πᾶσι δὲ μεγάλας ἐλπίδας ὑποθεὶς προθύμους κατεσκεύασε πρὸς τὰς ἰδίας ἐπιβολάς. διενοεῖτο γὰρ ἐπελθεῖν τὴν Ἀσίαν καὶ τοὺς μὲν προϋπάρχοντας σατράπας ἐκβαλεῖν, πρὸς δὲ τῶν ἑαυτοῦ φίλων καθιστάναι τὰς ἡγεμονίας.

51 Τούτου δὲ περὶ ταῦτ' ὄντος, Ἀῤῥιδαῖος τῆς ἐφ' Ἑλλησπόντῳ Φρυγίας σατράπης γνοὺς αὐτοῦ τὴν ἐπιβολήν, ἔκρινεν ἀσφαλισάμενος τὰ κατὰ τὴν ἰδίαν σατραπείαν καὶ τὰς ἀξιολογωτάτας πόλεις φρουραῖς διαλαμβάνειν. οὔσης δὲ τῆς τῶν Κυζικηνῶν πόλεως ἐπικαιροτάτης καὶ μεγίστης, ἀνέζευξεν ἐπ' αὐτὴν ἔχων πεζοὺς μὲν μισθοφόρους πλείους τῶν μυρίων, Μακεδόνας δὲ χιλίους, Πέρσας δὲ τοξότας καὶ σφενδονήτας πεντακοσίους, ἱππεῖς δὲ ὀκτακοσίους, βέλη δὲ παντοδαπὰ καὶ καταπέλτας ὀξυβελεῖς τε καὶ πετροβόλους καὶ τὴν ἄλλην χορηγίαν πᾶσαν τὴν ἀνήκουσαν πρὸς πολιορκίαν. ἄφνω δὲ προσπεσὼν τῇ πόλει, καὶ τὸν πολὺν ὄχλον ἀπολαβὼν ἐπὶ τῆς χώρας, εἴχετο τῆς πολιορκίας, καὶ τοὺς ἐν τῇ πόλει καταπεπληγμένους ἠνάγκασε δέχεσθαι φρουράν. οἱ δὲ Κυζικηνοί, παραδόξου τῆς ἐπιθέσεως γενομένης, καὶ τῶν πλείστων ἐπὶ τῆς χώρας ἀπειλημμένων, ὀλίγων δ' ὄντων τῶν ὑπολελειμμένων, ἀπαράσκευοι παντελῶς ὑπῆρχον πρὸς τὴν πολιορκίαν. ὅμως δὲ κρίναντες ἀντέχεσθαι τῆς ἐλευθερίας, φανερῶς μὲν πρέσβεις ἐξέπεμψαν τοὺς διαλεξομένους τῷ Ἀῤῥιδαίῳ λῦσαι τὴν πολιορκίαν· ποιήσειν γὰρ πάντα τὴν πόλιν Ἀῤῥιδαίῳ πλὴν τοῦ δέξασθαι φρουράν· λάθρᾳ δὲ τοὺς νέους ἀθροίζοντες καὶ τῶν οἰκετῶν τοὺς εὐθέτους ἐπιλεγόμενοι καθώπλιζον, καὶ τὸ τεῖχος ἀνεπλήρουν τῶν ἀμυνομένων. τοῦ δ' Ἀῤῥιδαίου βιαζομένου δέχεσθαι φρουράν, ἔφησαν βούλεσθαι τῷ δήμῳ προσανενεγκεῖν περὶ τούτου. συγχωρήσαντος δὲ τοῦ σατράπου, λαβόντες ἀνοχὴν ταύτην τε τὴν ἡμέραν καὶ τὴν ἐπιοῦσαν νύκτα βέλτιον παρεσκευάσαντο τὰ πρὸς τὴν πολιορκίαν. ὁ δ' Ἀῤῥιδαῖος καταστρατηγηθεὶς καὶ τὸν οἰκεῖον αὐτῷ προέμενος καιρόν, διεσφάλη τῆς ἐλπίδος. οἱ γὰρ Κυζικηνοί, πόλιν ἔχοντες ὀχυρὰν καὶ

25. ἐπιβολὰς] ἐπιβουλὰς X 26. προϋπάρχοντας σατράπας] ἄρχοντας VW 27. καθιστάναι F, καθεστάναι caeteri 29. σατράπης] ὁ σατράπης F 30. τὰ] τοὺς V 32. διαλαμβάνειν Wesselingius, διαπαραλαμβάνειν FVW, caeteri περιλαμβάνειν 38. τε καὶ] καὶ F 40. ἀπολαβὼν Wesselingius: libri ἀναλαβὼν 42. ἠνάγκασε] ἠνάγκαζε W 48. ἐξέπεμψαν] ἀνέπεμψαν VW et supra scripto ἐξ F 58. τὰ om. F 59. αὐτῷ FVW, caeteri ἑαυτῷ

παντελῶς εὐφύλακτον ἀπὸ τῆς γῆς διὰ τὸ χεῤῥόνησον 296 αὐτὴν εἶναι, καὶ θαλαττοκρατοῦντες, ῥᾳδίως ἠμύνοντο τοὺς πολεμίους. μετεπέμποντο δὲ καὶ παρὰ Βυζαντίων στρατιώτας καὶ βέλη καὶ τἄλλα τὰ χρήσιμα πρὸς τὴν πολιορκίαν· ὧν ἅπαντα συντόμως καὶ προθύμως χορηγησάντων, ἀνέλαβον ἑαυτοὺς ταῖς ἐλπίσι καὶ πρὸς τοὺς κινδύνους εὐθαρσεῖς κατέστησαν. εὐθὺς δὲ καὶ μακρὰς ναῦς καθελκύσαντες παρέπλεον τὴν παραθαλάττιον, καὶ τοὺς ἀπὸ τῆς χώρας ἀναλαμβάνοντες ἀπεκόμιζον εἰς τὴν πόλιν. ταχὺ δὲ στρατιωτῶν εὐπορήσαντες, καὶ πολλοὺς τῶν πολιορκούντων ἀποκτείναντες, ἀπετρίψαντο τὴν πολιορκίαν. Ἀῤῥιδαῖος μὲν οὖν καταστρατηγηθεὶς ὑπὸ τῶν Κυζικηνῶν ἄπρακτος ἐπανῆλθεν εἰς τὴν ἰδίαν σατραπείαν.

52 Ἀντίγονος δὲ πυθόμενος τὴν τῶν Κυζικηνῶν πόλιν πολιορκουμένην, ἔτυχε μὲν ἐν Κελαιναῖς διατρίβων· κρίνας δὲ τὴν κινδυνεύουσαν πόλιν ἰδίαν κατασκευάσασθαι πρὸς τὰς μελλούσας ἐπιβολάς, ἀπέλεξεν ἐξ ἁπάσης τῆς δυνάμεως τοὺς ἀρίστους, πεζοὺς μὲν δισμυρίους, ἱππεῖς δὲ τρισχιλίους. τούτους δὲ ἀναλαβὼν ἐν τάχει προῆγε βοηθήσων τοῖς Κυζικηνοῖς· βραχὺ δὲ τῶν καιρῶν ὑστερήσας, φανερὰν μὲν ἔσχε τὴν εἰς τὴν πόλιν εὔνοιαν, τῆς δὲ ὅλης ἐπιβολῆς ἀπέτυχε. πρὸς δὲ Ἀῤῥιδαῖον ἐξέπεμψε πρεσβευτάς, ἐγκαλῶν ὅτι πρῶτον μὲν Ἑλληνίδα πόλιν σύμμαχον οὖσαν καὶ μηδὲν ἀδικοῦσαν ἐτόλμησε πολιορκεῖν, ἔπειθ' ὅτι φανερός ἐστιν ἀποστατήσων καὶ τὴν σατραπείαν ἑαυτῷ δυναστείαν κατασκευαζόμενος· τὸ δὲ τελευταῖον προσέταττε τῆς σατραπείας παραχωρεῖν, καὶ μίαν λαβόντα πόλιν εἰς καταβίωσιν τὴν ἡσυχίαν ἄγειν. ὁ δ' Ἀῤῥιδαῖος διακούσας τῶν πρέσβεων, καὶ τὸ τῶν λόγων ὑπερήφανον καταμεμψάμενος, οὐκ ἔφη παραχωρήσειν τῆς σατραπείας, τὰς δὲ πόλεις φρουραῖς διαλαμβάνων πειρᾶσθαι τοῖς ὅπλοις διαγωνίζεσθαι πρὸς αὐτόν. ἀκολούθως δὲ ταῖς ἀποκρίσεσι τὰς πόλεις ἀσφαλισάμενος μέρος τῆς δυνάμεως ἐξέπεμψε καὶ στρατηγὸν ἐπ' αὐτῆς. τούτῳ δὲ προσέταξε συνάπτειν τοῖς περὶ τὸν Εὐμένη καὶ λύειν τὴν πολιορκίαν τοῦ φρουρίου, καὶ τὸν Εὐμένη τῶν κινδύνων ἀπαλλάξαντα ποιήσασθαι σύμμαχον. Ἀντίγονος δὲ σπεύδων ἀμύνασθαι τὸν Ἀῤῥι-

296. 68. εὐθὺς] εὐθὺ Bas. 70. παραθαλάττιον] παραθαλασσίαν FV ἀναλαμβάνοντες] παραλαμβάνοντες F 73. ἀπετρίψαντο] ἀπετρέψαντο FVW 77. πόλιν πολιορκουμένην] πολιορκίαν FQVW 79. τὴν om. Bas. 80. ἀπέλεξεν] malim ἐπέλεξεν 89. ἀποστατήσων] ἀποστάτης ὢν FQV



δαῖον, ἐξέπεμψεν ἐπ' αὐτὸν δύναμιν τὴν διαπολεμήσουσαν. αὐτὸς δὲ τὴν ἱκανὴν στρατιὰν ἀναλαβὼν προῆγεν ἐπὶ Λυδίας, βουλόμενος ἐκβαλεῖν τὸν ἐν αὐτῇ σατράπην Κλεῖτον. ὁ δὲ προϊδόμενος τὴν ἔφοδον αὐτοῦ, τὰς μὲν ἀξιολογωτάτας πόλεις φρουραῖς ἠσφαλίσατο, αὐτὸς δ' εἰς Μακεδονίαν ἐξέπλευσε, δηλώσων τοῖς τε βασιλεῦσι καὶ Πολυσπέρχοντι τὴν Ἀντιγόνου τόλμαν καὶ ἀπόστασιν καὶ ἀξιώσων ἑαυτῷ βοηθεῖν. ὁ δ' Ἀντίγονος τὴν μὲν Ἔφεσον ἐξ ἐφόδου παρέλαβε, συνεργησάντων αὐτῷ τινων ἐκ τῆς πόλεως· μετὰ δὲ ταῦτα καταπλεύσαντος εἰς Ἔφεσον Αἰσχύλου τοῦ Ῥοδίου, καὶ κομίζοντος ἐκ Κιλι- 297 κίας ἐν τέτταρσι ναυσὶν ἀργυρίου τάλαντα ἑξακόσια ἀπεσταλμένα εἰς Μακεδονίαν πρὸς τοὺς βασιλεῖς, παρείλετο, φάσκων ἑαυτῷ χρείαν ἔχειν πρὸς τὰς τῶν ξένων μισθοφορίας. τοῦτο δὲ πράξας φανερὸς ἐγίνετο πρὸς ἰδιοπραγίαν ὡρμημένος καὶ τοῖς βασιλεῦσιν ἐναντιούμενος. μετὰ δὲ ταῦτα συμπολιορκήσας ἐπῄει τὰς ἑξῆς πόλεις, ἃς μὲν βίᾳ χειρούμενος, ἃς δὲ πειθοῖ προσαγόμενος.

53 Ἡμεῖς δὲ διεληλυθότες τὰ περὶ Ἀντίγονον μεταβιβάσομεν τὴν ἀναγραφὴν ἐπὶ τὰ συμβάντα περὶ Εὐμένη. οὗτος γὰρ μεγάλαις καὶ παραδόξοις μεταβολαῖς χρώμενος διετέλεσεν ἀεὶ παρ' ἐλπίδας ἀγαθῶν τε καὶ κακῶν μεταλαμβάνων. πρὸ μὲν γὰρ τούτων τῶν καιρῶν συναγωνιζόμενος Περδίκκᾳ τε καὶ τοῖς βασιλεῦσιν ἔλαβε σατραπείαν Καππαδοκίαν καὶ τοὺς συνορίζοντας ταύτῃ τόπους, ἐν οἷς μεγάλων δυνάμεων καὶ πολλῶν χρημάτων κυριεύσας περιβόητον ἔσχε τὴν εὐτυχίαν. Κράτερον μὲν γὰρ καὶ Νεοπτόλεμον, διωνομασμένους ἡγεμόνας καὶ τὰς ἀνικήτους τῶν Μακεδόνων ἔχοντας δυνάμεις, ἐνίκησε παρατάξει καὶ αὐτοὺς κατὰ τὴν μάχην ἀνεῖλε. δόξας δὲ ἀνυπόστατος εἶναι, τηλικαύτης ἐπειράθη μεταβολῆς ὥστε ὑπ' Ἀντιγόνου μεγάλῃ παρατάξει λειφθῆναι, καὶ μετ' ὀλίγων φίλων ἀναγκασθῆναι καταφυγεῖν εἴς τι χωρίον παντελῶς μικρόν. εἰς τοῦτο δ' ἐγκλεισθείς, καὶ περιληφθεὶς ὑπὸ τῶν πολεμίων διπλοῖς τείχεσιν, οὐδένα βοηθὸν ἔσχε τῆς ἰδίας συμφορᾶς. ἐνιαυσίου δ'

4. τὴν om. Bas. 5. δὲ] τε omnes 9. δ' F 10. τε om. Bas. 11. ἑαυτῷ] αὐτῷ W
297. 16. τέτταρσι F, τέσσαρσι caeteri 17. παρείλετο] παρείλατο F 18. ἑαυτῷ χρείαν ἔχειν] aut αὐτὸν aut εἶναι scribendum 19. μισθοφοράς] μισθοφορίας FVXY Bas. 21. συμπολιορκήσας] συμπολιορκήσασθαι FVW: συμπολιορκήσων vel συμπολιορκῆσαι Wesselingius 25. ἐπὶ τὰ] εἰς τὰ FVW 32. μεγάλων δυνάμεων] μεγάλης δυνάμεως F 39. ἀναγκασθῆναι] διασωθῆναι καὶ FQVW
42. διπλοῖς] πολλοῖς FVW οὐδένα] οὐδὲ FVW

οὔσης τῆς πολιορκίας, καὶ τῆς σωτηρίας ἀπογινωσκομένης, ἄφνω παράδοξος λύσις ἐφάνη τῶν ἀτυχημάτων. ὁ γὰρ πολιορκῶν τὸν Εὐμένη καὶ σπεύδων ἀνελεῖν Ἀντίγονος ἐκ μεταβολῆς παρεκάλεσεν αὐτὸν πρὸς κοινοπραγίαν· καὶ λαβὼν διὰ τῶν ὅρκων τὰς πίστεις τῆς πολιορκίας ἀπελύθη. μετὰ δέ τινα χρόνον ἀνελπίστως διασωθείς, τότε μὲν περὶ τὴν Καππαδοκίαν διέτριβεν ἀναλαμβάνων τοὺς προγεγονότας φίλους καὶ τοὺς κατὰ τὴν χώραν πλανωμένους τῶν συνεστρατευκότων αὐτῷ πρότερον. ἀγαπώμενος δὲ διαφερόντως, ταχὺ πολλοὺς ἔσχε κοινωνοὺς τῶν αὐτῶν ἐλπίδων καὶ πρὸς τὴν μετ' αὐτοῦ στρατείαν ὑπακούοντας. τέλος δὲ ἐν ὀλίγαις ἡμέραις χωρὶς τῶν ἐν τῷ φρουρίῳ συμπεπολιορκημένων φίλων πενταχοσίων ἔσχε στρατιώτας ἐθελοντὶ ὑπακούοντας πλείους τῶν δισχιλίων. τῆς τύχης δ' αὐτῷ συνεργούσης τηλικαύτην ἔλαβεν αὔξησιν ὥστε παραλαβεῖν τὰς βασιλικὰς δυνάμεις καὶ προστῆναι τῶν βασιλέων πρὸς τοὺς καταλύειν αὐτῶν τὴν ἀρχὴν τετολμηκότας. ἀλλὰ ταῦτα μὲν μικρὸν ὕστερον ἀκριβέστερον διέξιμεν ἐν τοῖς οἰκείοις καιροῖς.

54 Νυνὶ δ' ἀρκούντως τὰ κατὰ τὴν Ἀσίαν διεληλυθότες μεταβησόμεθα πρὸς τὰς κατὰ τὴν Εὐρώπην συντελεσθείσας πράξεις. Κάσσανδρος γὰρ ἀποτετευχὼς τῆς κατὰ τὴν Μακεδονίαν ἡγεμονίας οὐκ ἐπτηξεν, ἀλλ' ἔκρινεν ἀντέχεσθαι ταύτης, αἰσχρὸν εἶναι διαλαμβάνων τὴν 298 τοῦ πατρὸς ἀρχὴν ὑφ' ἑτέρων διοικεῖσθαι. ὁρῶν δὲ τὴν τῶν Μακεδόνων ὁρμὴν κεκλιμένην πρὸς τὸν Πολυσπέρχοντα, τῶν μὲν φίλων οἷς ἐπίστευε κατ' ἰδίαν προςδιαλεγόμενος ἐξέπεμπεν ἐπὶ τὸν Ἑλλήςποντον ἀνυπόπτως, αὐτὸς δ' ἐφ' ἡμέρας τινὰς σχολάσας ἐπὶ τῆς χώρας καὶ κυνήγια συνιστάμενος ἐγέννησε περὶ αὐτοῦ διάληψιν ὡς οὐκ ἀντιποιούμενος τῆς ἀρχῆς. ὡς δ' εὐτρεπῆ πάντα ἦν αὐτῷ τὰ πρὸς τὴν ἀποδημίαν, ἔλαθεν ἀναζεύξας ἐκ τῆς Μακεδονίας. καταντήσας δ' εἰς τὴν Χεῤῥόνησον, κἀκεῖθεν ἀναζεύξας, παρῆλθεν εἰς Ἑλλήςποντον. διαπλεύ-

44. παράδοξος] παραδόξως V 54. ἀγαπώμενος δὲ διαφ. QTY Bas., γρ. margo F, caeteri γενόμενος δὲ διαφ. σπουδαῖος 55. πρὸς τὴν μετ' αὐτοῦ] τὴν πρὸς ταὐτὸ FV 58. ἐθελοντὶ] ἐθελοντὰς FV 60. αὔξησιν] ἰσχὺν QVW et qui alterum γρ. in margine ponit F 63. μικρὸν ὕστερον post διέξιμεν ponit F 64. οἰκείοις] ἰδίοις Q 68. ἐπτηξεν] ἔπτυξεν V

298. 71. κεκλισμένην Bas. 72. τὸν om. F οἷς] οἳ F 73. προςδιαλεγόμενος] διαλεγόμενος VW 76. διάληψιν] διάλεξιν F 77. εὐτρεπῆ] εὐπρεπῆ Bas. 80. Ἑλλήςποντον] τὸν ἑλλήςποντον F



σας δ' εἰς τὴν Ἀσίαν πρὸς Ἀντίγονον ἠξίου βοηθεῖν αὐτῷ, φήσας καὶ Πτολεμαῖον ἐπηγγέλθαι συμμαχήσειν. ὁ δ' Ἀντίγονος προθύμως αὐτὸν προσδεξάμενος ἐπηγγείλατο πάντα συμπράξειν προθύμως αὐτῷ καὶ δύναμιν παραχρῆμα δώσειν πεζικήν τε καὶ ναυτικήν. ταῦτα δ' ἔπραττε προσποιούμενος διὰ τὴν πρὸς Ἀντίπατρον φιλίαν συνεργεῖν, τῇ δ' ἀληθείᾳ βουλόμενος τοὺς περὶ Πολυσπέρχοντα πολέμους καὶ μεγάλους περισπασμοὺς ἔχειν, ὅπως αὐτὸς ἀκινδύνως τὴν Ἀσίαν ἐπέλθῃ καὶ τὴν τῶν ὅλων ἡγεμονίαν εἰς ἑαυτὸν περιστήσῃ.

55 Ἅμα δὲ τούτοις πραττομένοις κατὰ μὲν τὴν Μακεδονίαν Πολυσπέρχων ὁ τῶν βασιλέων ἐπιμελητὴς μετὰ τὴν ἀπαλλαγὴν τοῦ Κασσάνδρου προεωρᾶτο μὲν τὸ μέγεθος τοῦ πρὸς Κάσσανδρον ἐσομένου πολέμου, οὐδὲν δ' ἄνευ τῆς τῶν φίλων γνώμης κρίνων πράττειν, συνήγαγε τούς τε ἡγεμόνας ἅπαντας καὶ τῶν ἄλλων Μακεδόνων τοὺς ἀξιολογωτάτους. φανεροῦ δ' ὄντος ὅτι Κάσσανδρος μὲν σωματοποιηθεὶς ὑπ' Ἀντιγόνου τῶν κατὰ τὴν Ἑλλάδα πόλεων ἀνθέξεται διὰ τὸ τὰς μὲν αὐτῶν πατρικοῖς φρουροῖς φυλάττεσθαι, τὰς δ' ὑπ' ὀλιγαρχιῶν διοικεῖσθαι, κυριευομένας ὑπὸ τῶν Ἀντιπάτρου φίλων καὶ ξένων, πρὸς δὲ τούτοις συμμαχήσειν τῷ Κασσάνδρῳ Πτολεμαῖόν τε τὸν Αἰγύπτου κρατοῦντα καὶ Ἀντίγονον τὸν φανερῶς ἤδη γενόμενον ἀποστάτην τῶν βασιλέων, ἀμφοτέρους δὲ καὶ δυνάμεις μεγάλας καὶ χρημάτων ἔχειν πλῆθος, ἔτι δὲ πολλῶν ἐθνῶν καὶ πόλεων ἀξιολόγων κυριεύειν· προτεθείσης οὖν βουλῆς πῶς τούτοις πολεμητέον ἐστί, καὶ πολλῶν καὶ ποικίλων λόγων περὶ τοῦ πολέμου ῥηθέντων, ἔδοξεν αὐτοῖς τὰς μὲν κατὰ τὴν Ἑλλάδα πόλεις ἐλευθεροῦν, τὰς δ' ἐν αὐταῖς ὀλιγαρχίας καθεσταμένας ὑπ' Ἀντιπάτρου καταλύειν. οὕτω γὰρ ἂν μάλιστα τὸν μὲν Κάσσανδρον ταπεινώσειν, ἑαυτοῖς δὲ μεγάλην δόξαν καὶ πολλὰς συμμαχίας ἀξιολόγους περιποιήσειν. εὐθὺς οὖν τοὺς ἀπὸ τῶν πόλεων παρόντας πρεσβευτὰς προσκαλεσάμενοι καὶ θαῤῥεῖν παρακαλέσαντες, ἐπηγγείλαντο τὰς δημοκρατίας ἀποκαταστήσειν ταῖς 299 πόλεσι, καὶ τὸ κυρωθὲν δόγμα γράψαντες ἔδωκαν τοῖς

85. αὐτῷ om. TX Bas., asterisco notavit Stephanus 89. καὶ μεγάλους] καὶ om. FW, asterisco notavit Stephanus 91. εἰς] ὡς X Bas. ἑαυτὸν] αὐτὸν Bas. περιστήσῃ] παριστήσῃ W 94. προεωρᾶτο V, caeteri προεώρα 97. ἅπαντας] πάντας F ἄλλων] ἄλλων πάντων F 2. ὀλιγαρχιῶν] ὀλιγαρχίαν Y Bas. 4. τε] μὲν F 5. ἤδη γενόμενον] προσγενόμενον FVW 14. ἂν] οὖν F 18. παρακαλέσαντες] παρακελευσάμενοι FQVW

πρεσβευταῖς ὅπως κατὰ τάχος εἰς τὰς πατρίδας ἐπανελθόντες ἀπαγγείλωσι τοῖς δήμοις τὴν τῶν βασιλέων καὶ τῶν ἡγεμόνων εἰς τοὺς Ἕλληνας εὔνοιαν· ἦν δὲ τὸ διάγραμμα τοιοῦτον.

56 Ἐπειδὴ συμβέβηκε τοῖς προγόνοις ἡμῶν πολλὰ τοὺς Ἕλληνας εὐεργετηκέναι, βουλόμεθα διαφυλάττειν τὴν ἐκείνων προαίρεσιν, καὶ πᾶσι φανερὰν ποιῆσαι τὴν ἡμετέραν εὔνοιαν ἣν ἔχοντες διατελοῦμεν πρὸς τοὺς Ἕλληνας. πρότερον μὲν οὖν, Ἀλεξάνδρου μεταλλάξαντος ἐξ ἀνθρώπων, καὶ τῆς βασιλείας εἰς ἡμᾶς καθηκούσης, ἡγούμενοι δεῖν ἐπαναγαγεῖν πάντας ἐπὶ τὴν εἰρήνην καὶ τὰς πολιτείας ἃς Φίλιππος ὁ ἡμέτερος πατὴρ κατέστησεν, ἐπεστείλαμεν εἰς ἁπάσας τὰς πόλεις περὶ τούτων. ἐπεὶ δὲ συνέβη μακρὰν ἀπόντων ἡμῶν τῶν Ἑλλήνων τινὰς μὴ ὀρθῶς γινώσκοντας πόλεμον ἐξενεγκεῖν πρὸς Μακεδόνας, καὶ κρατηθῆναι ὑπὸ τῶν ἡμετέρων στρατηγῶν, καὶ πολλὰ καὶ δυσχερῆ ταῖς πόλεσι συμβῆναι, τούτων μὲν τοὺς στρατηγοὺς αἰτίους ὑπολάβετε γεγενῆσθαι· ἡμεῖς δὲ τιμῶντες τὴν ἐξ ἀρχῆς προαίρεσιν κατασκευάζομεν ὑμῖν εἰρήνην, πολιτείας δὲ τὰς ἐπὶ Φιλίππου καὶ Ἀλεξάνδρου, καὶ τἄλλα πράττειν κατὰ τὰ διαγράμματα τὰ πρότερον ὑπ' ἐκείνων γραφέντα. καὶ τοὺς μεταστάντας ἢ φυγόντας ὑπὸ τῶν ἡμετέρων στρατηγῶν ἐκ τῶν πόλεων ἀφ' ὧν χρόνων Ἀλέξανδρος εἰς τὴν Ἀσίαν διέβη κατάγομεν, καὶ τοὺς ὑφ' ἡμῶν κατελθόντας πάντα τὰ αὑτῶν ἔχοντας καὶ ἀστασιάστους καὶ ἀμνησικακουμένους ἐν ταῖς ἑαυτῶν πατρίσι πολιτεύεσθαι· καὶ εἴ τι κατὰ τούτων ἐψήφιστο, ἄκυρον ἔστω, πλὴν εἴ τινες ἐφ' αἵματι ἢ ἀσεβείᾳ κατὰ νόμον πεφεύγασι. μὴ κατιέναι δὲ μηδὲ Μεγαλοπολιτῶν τοὺς μετὰ Πολυαινέτου ἐπὶ προδοσίᾳ φεύγοντας μηδ' Ἀμφισσεῖς μηδὲ Τρικκαίους μηδὲ Φαρκαδονίους μηδὲ Ἡρακλεώτας· τοὺς δ' ἄλλους καταδεχέσθωσαν πρὸ τῆς τριακάδος τοῦ ξανθικοῦ μηνός. εἰ δέ τινα τῶν πολιτευμάτων Φίλιππος ἢ Ἀλέξανδρος ἀπέδειξαν ἑαυτοῖς ὑπεναντία, παραγινέσθωσαν πρὸς ἡμᾶς, ἵνα διορθωσάμενοι τὰ συμφέροντα καὶ ἡμῖν καὶ ταῖς πόλεσι πράττωσιν. Ἀθηναίοις δ' εἶναι τὰ μὲν ἄλλα καθάπερ ἐπὶ Φιλίππου καὶ Ἀλεξάνδρου, Ὠρωπὸν δὲ Ὠρωπίους ἔχειν, καθάπερ νῦν. Σάμον δὲ δίδομεν Ἀθηναίοις, ἐπειδὴ καὶ Φίλιππος ἔδωκεν ὁ πατήρ. ποιήσασθαι δὲ δόγμα πάντας τοὺς Ἕλληνας μηδένα μήτε στρατεύειν μήτε πράττειν ὑπεναντία ἡμῖν· εἰ δὲ μή, φεύγειν αὐτὸν καὶ γενεὰν καὶ τῶν ὄντων στέρεσθαι. συντετάχαμεν δὲ καὶ περὶ τούτων καὶ τῶν λοιπῶν Πολυσπέρχοντι πραγματεύεσθαι. ὑμεῖς οὖν, καθάπερ ὑμῖν καὶ πρότερον ἐγράψαμεν, ἀκούετε τούτου· τοῖς γὰρ μὴ ποιοῦσί τι τῶν γεγραμμένων οὐκ ἐπιτρέψομεν.

57 τούτου δὲ τοῦ διαγράμματος ἐκδοθέντος, καὶ πρὸς ἁπάσας τὰς πόλεις ἀποσταλέντος, ἔγραψεν ὁ Πολυσπέρχων πρός τε τὴν Ἀργείων πόλιν καὶ τὰς λοιπάς, προστάττων τοὺς ἀφηγησαμένους ἐπ' Ἀντιπάτρου τῶν πολιτευμάτων φυγαδεῦσαι, τινῶν δὲ καὶ θάνατον καταγνῶναι καὶ δημεῦσαι τὰς οὐσίας, ὅπως ταπεινωθέντες εἰς τέλος μηδὲν ἰσχύσωσι συνεργεῖν Κασάνδρῳ. ἔγραψε δὲ καὶ πρὸς Ὀλυμπιάδα τὴν Ἀλεξάνδρου μητέρα διατρίβουσαν ἐν Ἠπείρῳ διὰ τὴν πρὸς Κάσανδρον ἔχθραν, ἵνα τὴν ταχίστην εἰς Μακεδονίαν κατανήσῃ, καὶ παραλαβοῦσα τὸ Ἀλεξάνδρου παιδίον ἐπιμέλειαν αὐτοῦ ποιῆται, μέχρι ἂν εἰς ἡλικίαν ἔλθῃ καὶ τὴν πατρῴαν βασιλείαν παραλάβῃ. ἔπεμψε δὲ καὶ πρὸς Εὐμένη, γράψας ἐπιστολὴν ἐκ τοῦ τῶν βασιλέων ὀνόματος, ὅπως πρὸς μὲν Ἀντίγονον μὴ διαλύσηται τὴν ἀλλοτριότητα, πρὸς δὲ τοὺς βασιλεῖς ἀποκλίνῃ, εἴτε βούλεται καταντᾶν εἰς Μακεδονίαν καὶ μετ' αὐτοῦ κοινοπραγῶν ἐπιμελητὴς εἶναι τῶν βασιλέων, εἴτε μᾶλλον προαιρεῖται μένειν ἐπὶ τῆς Ἀσίας, καὶ λαβὼν δύναμιν καὶ χρήματα διαπολεμεῖν πρὸς Ἀντίγονον, φανερῶς ἤδη γεγενημένον ἀποστάτην τῶν βασιλέων. ἀποκαθιστᾶσιν δ' αὐτῷ τοὺς βασιλεῖς τήν τε σατραπείαν, ἣν ὁ Ἀντίγονος ἀφῄρηται, καὶ τὰς δωρεὰς ἁπάσας ὅσας πρότερον εἶχε κατὰ τὴν Ἀσίαν. τὸ δ' ὅλον ἀπεφαίνετο μάλιστα πάντων πρέπειν Εὐμένῃ τῆς βασιλικῆς οἰκίας κήδεσθαι καὶ φροντίζειν, ἀκολουθοῦντα τοῖς ὑπ' αὐτοῦ πεπολιτευμένοις πρὸς τὴν βασιλικὴν οἰκίαν. ἐὰν δὲ μείζονος δυνάμεως προσδέηται, καὶ αὐτὸς μετὰ τῶν βασιλέων ἀναζεύξειν ἐκ Μακεδονίας μετὰ πάσης τῆς βασιλικῆς δυνάμεως. ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

299. 23. ἡγεμόνων] δήμων QTY Bas. 27. φανερὰν] φανερὸν F 33. ἃς] ἣν F 34. εἰς ἁπάσας] πρὸς ἁπάσας FVW 39. μὲν FTW, caeteri addunt οὖν, quod asterisco notavit Stephanus 40. ὑπολάβετε] ὑπελάβετε VW 48. αὑτῶν] αὐτῶν F 55. Φαρκαδονίους] Φαρκαδωνίους omnes 59. παραγινέσθωσαν] παραγενέσθωσαν W 64. δὲ om. Bas.

65. δόγμα] δόγματα Bas. 67. ὑπεναντία] ὑπεναντίον F

300. 76. ἀφηγησαμένους] ἀφησαμένους Y Bas. 84. ποιῆται] ποιῆσαι Bas. 85. μέχρι Bas., caeteri μέχρις 90. ὁ Ἀντίγονος] Ἀντίγονος F Bas. 98. πάντων om. FV 100. πεπολιτευμένοις] πολιτευομένοις QX 2. τῶν om. Bas.

58 Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Ἀρχίππου Ῥωμαῖοι κατέστησαν ὑπάτους Κόϊντον Αἴλιον καὶ Λεύκιον Παπίριον. ἐπὶ δὲ τούτων Εὐμένης μὲν ἄρτι τὴν ἐκ τοῦ φρουρίου πεποιημένος ἀποχώρησιν ἐκομίσατο τὰς ἐπιστολὰς τὰς ἀποσταλείσας ὑπὸ Πολυσπέρχοντος, ἐν αἷς ἦν γεγραμμένον χωρὶς τῶν προειρημένων ὅτι πεντακόσια μὲν τάλαντα διδόασιν αὐτῷ δωρεὰν οἱ βασιλεῖς εἰς ἐπανόρθωσιν τῶν γεγενημένων περὶ αὐτὸν ἐλαττωμάτων, καὶ διότι γράμματα ἀπέστειλαν οἱ βασιλεῖς πρὸς τοὺς ἐν τῇ Κιλικίᾳ στρατηγοὺς καὶ θησαυροφύλακας, ὅπως αὐτῷ τὰ πεντακόσια τάλαντα δῶσι καὶ τῶν ἄλλων χρημάτων ὅσα ἂν αἰτήσῃ πρός τε τὰς ξενολογίας καὶ τὰς ἄλλας τὰς κατεπειγούσας χρείας, τούς τε τῶν ἀργυρασπίδων Μακεδόνων τρισχιλίων ἀφηγουμένους, ἵνα παραδῶσιν αὐτοὺς Εὐμένει καὶ τἄλλα συμπράττωσι προθύμως, ὡς ἂν ἀποδεδειγμένῳ στρατηγῷ τῆς ὅλης Ἀσίας αὐτοκράτορι. ἧκε 301
δὲ καὶ παρ' Ὀλυμπιάδος αὐτῷ γράμματα, δεομένης καὶ λιπαρούσης βοηθεῖν τοῖς βασιλεῦσι καὶ ἑαυτῇ· μόνον γὰρ ἐκεῖνον πιστότατον ἀπολελεῖφθαι τῶν φίλων καὶ δυνάμενον διορθώσασθαι τὴν ἐρημίαν τῆς βασιλικῆς οἰκίας. ἠξίου δ' αὐτὸν ἡ Ὀλυμπιὰς συμβουλεῦσαι πότερον αὐτῷ δοκεῖ συμφέρειν μένειν αὐτὴν ἐν Ἠπείρῳ καὶ μὴ πιστεύειν τοῖς ἀεὶ δοκοῦσι μὲν ἐπιμεληταῖς εἶναι, τῇ δὲ ἀληθείᾳ τὴν βασιλείαν εἰς ἑαυτοὺς μεθιστῶσιν, ἢ ἐπανέρχεσθαι. ὁ δ' Εὐμένης πρὸς μὲν Ὀλυμπιάδα παραχρῆμα ἀντέγραψε, συμβουλεύων κατὰ τὸ παρὸν μένειν ἐν Ἠπείρῳ, μέχρι ἂν ὁ πόλεμος λάβῃ τινὰ κρίσιν. αὐτὸς δ' ἀεὶ τὴν εὔνοιαν βεβαιοτάτην πρὸς τοὺς βασιλεῖς τετηρηκὼς ἔκρινεν Ἀντιγόνῳ μὲν μὴ προσέχειν ἐξιδιαζομένῳ τὴν βασιλείαν, τοῦ δὲ Ἀλεξάνδρου παιδὸς προσδεομένου βοηθείας διά τε τὴν ὀρφανίαν καὶ διὰ τὴν τῶν ἡγεμόνων πλεονεξίαν, διέλαβεν ἁρμόζειν ἑαυτῷ πάντα κίνδυνον ἀναδέχεσθαι τῆς τῶν βασιλέων σωτηρίας ἕνεκα.

7. παπύριον F 9. ἀποχώρησιν] τὴν ἀποχώρησιν Bas. 10. ἀποσταλείσας] σταλείσας V ὑπὸ F, ἀπὸ caeteri 14. διότι] διὰ τοῦτο F 15. τῇ om. F 16. δῶσι] δώσειν F 17. τε om. F 20. παραδῶσιν] παραδώσειν F αὐτοὺς] αὐτοὺς W τἄλλα] τὰ ἄλλα F 21. ὡς ἂν om. TX Bas., asterisco notavit Stephanus

301. 22. τῆς ὅλης Ἀσίας] τῆς Ἀσίας ὅλης F 26. τὴν ἐρημίαν τῆς βασιλικῆς οἰκίας] τῆς βασιλικῆς οἰκίας τὰς ἀποστασίας FQVW 31. μεθιστῶσιν] μεθισταμένοις FVW ἢ ἐπανέρχεσθαι om. T Bas., asterisco notavit Stephanus 32. Ὀλυμπιάδα] τὴν Ὀλυμπιάδα F 33. μέχρι] μέχρις F 34. ἀεὶ] αἰεὶ F 39. ἑαυτῷ] αὐτῷ FW



εὐθὺς οὖν παραγγείλας τοῖς περὶ αὐτὸν ἀναζευγνύειν 59
προῆγεν ἐκ Καππαδοκίας, ἔχων ἱππεῖς μὲν περὶ πεντακοσίους, πεζοὺς δὲ πλείους τῶν δισχιλίων. οὐ γὰρ ἔσχεν ἀναστροφὴν προσδέξασθαι τοὺς ἀφυστεροῦντας τῶν ἐπηγγελμένων συστρατεύεσθαι διὰ τὸ προσάγειν παρ' Ἀντιγόνου δύναμιν ἀξιόλογον καὶ στρατηγοὺς τοὺς περὶ Μένανδρον, κωλύσοντας αὐτὸν ἐνδιατρίβειν τῇ Καππαδοκίᾳ πολέμιον γενόμενον τοῖς περὶ Ἀντίγονον. ἀλλὰ γὰρ ἡ δύναμις αὕτη τρισὶν ὕστερον ἡμέραις παραγενομένη καὶ τῶν καιρῶν ὑστεροῦσα ἐπεβάλετο μὲν διώκειν τοὺς μετ' Εὐμένους προάγοντας, οὐ δυναμένη δὲ καταλαβεῖν ἐπανῆλθεν εἰς Καππαδοκίαν. ὁ δ' Εὐμένης συντόνους τὰς ὁδοιπορίας ποιησάμενος, καὶ ταχὺ τὸν Ταῦρον ὑπερβαλών, ἧκεν εἰς τὴν Κιλικίαν. οἱ δὲ τῶν ἀργυρασπίδων ἡγεμόνες Ἀντιγένης καὶ Τεύταμος πειθαρχοῦντες ταῖς παρὰ τῶν βασιλέων ἐπιστολαῖς ἀπάντησιν ἐποιήσαντο τῷ Εὐμένει μετὰ τῶν φίλων ἐκ πολλοῦ διαστήματος. ἀσπασάμενοι δὲ φιλοφρόνως καὶ συγχαρέντες ἐπὶ τῷ διασεσῶσθαι παραδόξως αὐτὸν ἐκ τῶν μεγίστων κινδύνων, ἐπηγγέλλοντο πάντα συμπράξειν αὐτῷ προθύμως· οἵ τε ἀργυράσπιδες Μακεδόνες ὄντες περὶ τρισχιλίους ὁμοίως ἀπήντησαν μετὰ φιλοφροσύνης τε καὶ ὁρμῆς. πάντες δ' ἐθαύμαζον τὸ τῆς τύχης εὐμετάβολον καὶ παράδοξον, ὁρῶντες τούς τε βασιλεῖς καὶ τοὺς Μακεδόνας ὀλίγῳ μὲν χρόνῳ πρότερον κατεγνωκότας Εὐμένους καὶ τῶν φίλων αὐτοῦ θάνατον, τότε δ' ἐπιλαθομένους τῆς ἰδίας κρίσεως μὴ μόνον ἀθῷον ἀφεικότας τῆς τιμωρίας, ἀλλὰ καὶ πάσης τῆς βασιλείας τὴν ἡγεμονίαν αὐτῷ παραδεδωκότας. καὶ τοῦτ' εὐλόγως ἔπασχον ἅπαντες οἱ τότε τὰς Εὐμένους ἐπισκοπούμενοι περιπετείας. τίς γὰρ οὐκ ἂν
302 λαβὼν ἔννοιαν τῆς κατὰ τὸν ἀνθρώπινον βίον ἀνωμαλίας καταπλαγείη τὴν ἐπ' ἀμφότερα τὰ μέρη τῆς τύχης παλίῤῥοιαν; ἢ τίς ἂν ταῖς κατὰ τὴν εὐτυχίαν ἐξουσίαις πιστεύσας ἀναλάβοι φρόνημα μεῖζον τῆς ἀνθρωπίνης ἀσθενείας; ὁ γὰρ κοινὸς βίος ὥσπερ ὑπὸ θεῶν τινος

43. περὶ om. FV δὲ] μὲν Bas. 47. Μένανδρον] Λέανδρον FQVW 48. πόλεμον Bas. γενόμενον] γινόμενον omnes 52. προάγοντας VW, caeteri προσάγοντας 53. Καππαδοκίαν] τὴν καππαδοκίαν F συντόνους τὰς] συντόνως F 56. τέταμος Bas. 61. πάντα] πάντες Y Bas. 62. οἵ τε FVW, caeteri οἵ τε γὰρ 69. ἀθῷον] ἄθωον Bas. 72. ἐπισκοπούμενοι] περισκοπούμενοι FV

302. 74. καταπλαγείη] καταπλαγοίη F 75. τὰ μέρη] μέρη F

οἰακιζόμενος ἐναλλὰξ ἀγαθοῖς τε καὶ κακοῖς κυκλεῖται πάντα τὸν αἰῶνα. διόπερ παράδοξόν ἐστιν οὐκ εἰ γέγονέ τι παράλογον, ἀλλ' εἰ μὴ πᾶν ἐστι τὸ γινόμενον ἀνέλπιστον. διὸ καὶ τὴν ἱστορίαν προςηκόντως ἄν τις ἀποδέξαιτο· τῇ γὰρ τῶν πράξεων ἀνωμαλίᾳ καὶ μεταβολῇ διορθοῦται τῶν μὲν εὐτυχούντων τὴν ὑπερηφανίαν, τῶν
60 δ' ἀκληρούντων τὴν ἀτυχίαν. ἃ καὶ τότε διανοούμενος Εὐμένης ἐμφρόνως τὰ καθ' ἑαυτὸν ἠσφαλίσατο, προορώμενος τὴν τῆς τύχης καινοτομίαν. ὁρῶν γὰρ ἑαυτὸν μὲν ξένον ὄντα καὶ μηδὲν προςήκοντα βασιλικαῖς ἐξουσίαις, τοὺς δ' ὑποταττομένους Μακεδόνας θάνατον αὐτοῦ προκατεγνωκότας, τοὺς δ' ἐν ταῖς στρατιωτικαῖς ἡγεμονίαις διατρίβοντας φρονήματος πλήρεις ὑπάρχοντας καὶ μεγάλων πραγμάτων ὀρεγομένους, ὑπέλαβεν ἔσεσθαι περὶ αὐτὸν συντόμως καταφρόνησιν ἅμα καὶ φθόνον καὶ τὸ τελευταῖον τὸν περὶ τοῦ ζῆν κίνδυνον· μηδένα γὰρ ποιήσειν ἑκουσίως τὸ προςταττόμενον ὑπὸ τῶν ἡττόνων εἶναι δοκούντων μηδὲ καρτερήσειν δεσποζόμενον ὑπὸ τῶν ὀφειλόντων ἑτέροις ὑποτάττεσθαι. δοὺς δὲ αὐτῷ περὶ τούτων λόγον, πρῶτον μὲν διδομένων αὐτῷ τῶν πεντακοσίων ταλάντων κατὰ τὰς τῶν βασιλέων ἐπιστολὰς εἰς ἀνάληψιν καὶ κατασκευήν, οὐκ ἔφησε λήψεσθαι· μὴ γὰρ προςδεῖσθαι τηλικαύτης δωρεᾶς, ὡς ἂν μηδεμιᾶς αὐτοῦ σπεύδοντος τυχεῖν ἡγεμονίας. καὶ γὰρ νῦν οὐχ ἑκουσίως αὐτὸν ὑπακηκοέναι πρὸς ταύτην τὴν χρείαν, ἀλλ' ὑπὸ τῶν βασιλέων συνηναγκάσθαι προςδέξασθαι τὴν τοιαύτην λειτουργίαν. καθόλου γὰρ διὰ τὴν συνέχειαν τῆς στρατείας μηκέτι δύνασθαι φέρειν τὰς κακοπαθείας καὶ πλάνας, καὶ ταῦτα μηδεμιᾶς ὑποκειμένης ἀρχῆς ξένῳ καὶ τῆς ὁμοεθνοῦς τοῖς Μακεδόσιν ἐξουσίας κεχωρισμένῳ. ἀπεφαίνετο δὲ αὐτὸν ἑωρακέναι κατὰ τὸν ὕπνον ὄψιν παράδοξον, ἣν ἀναγκαῖον ἡγεῖσθαι δηλῶσαι πᾶσι· δοκεῖν γὰρ αὐτὴν πολλὰ συνεργήσειν πρός τε ὁμόνοιαν καὶ τὸ κοινῇ σύμφερον. δόξαι γὰρ αὐτὸν κατὰ τὸν ὕπνον ὁρᾶν Ἀλέξανδρον τὸν βασιλέα ζῶντα καὶ τῇ βασιλικῇ σκευῇ κεκοσμημένον χρηματίζειν καὶ τὰ προςτάγματα διδόναι τοῖς ἡγεμόσι καὶ πάντα τὰ

81. πᾶν] πάνυ T  87. ἐμφρόνως] εὐφρόνως F  88. ἠσφ. — 89. ὁρῶν γὰρ om. Bas.  89. ξένον μὲν FW Bas.  90. ὑποταττομένους] ὑποτεταγμένους F  95. αὐτόν] αὐτὸν W  100. αὐτῷ FW, caeteri αὐτῷ  7. τοιαύτην om. W  10. ἀρχῆς om. F  12. δὲ W, caeteri γὰρ  αὐτὸν] αὐτὸν W  13. ἡγεῖσθαι] δ' ἡγεῖσθαι F  15. πρός TX Bas., caeteri praemittunt αὐτῷ, quod asterisco notavit Stephanus  16. αὐτὸν om. W Bas.



κατὰ τὴν βασιλείαν διοικεῖν ἐνεργῶς. διόπερ οἶμαι δεῖν ἐκ τῆς βασιλικῆς γάζης κατασκευάσαι χρυσοῦν θρόνον, ἐν ᾧ τεθέντος τοῦ διαδήματος καὶ σκήπτρου καὶ στεφάνου καὶ τῆς ἄλλης κατασκευῆς ἐπιθύειν ἅμ' ἡμέρᾳ πάντας αὐτῷ τοὺς ἡγεμόνας, καὶ πλησίον τοῦ θρόνου συνεδρεύειν, καὶ τὰ προςτάγματα λαμβάνειν ἐκ τοῦ ὀνόματος τοῦ βασιλέως, ὡς ζῶντος καὶ προεστηκότος τῆς ἰδίας βασιλείας. πάντων δ' ἀποδεξαμένων τοὺς λόγους, 61
ταχέως ἅπαντα κατεσκευάσθη τὰ πρὸς τὴν χρείαν, ὡς ἂν πολυχρύσου τῆς βασιλικῆς οὔσης γάζης. εὐθὺς οὖν κατασκευασθείσης μεγαλοπρεποῦς σκηνῆς ὅ τε θρόνος ἔχων τὸ διάδημα καὶ τὸ σκῆπτρον ἐτέθη καὶ τὰ ὅπλα οἷς εἰώθει χρῆσθαι· καὶ κειμένης ἐσχάρας ἐχούσης πῦρ, ἐπέθυον ἐκ κιβωτίου χρυσοῦ πάντες οἱ ἡγεμόνες τόν τε λιβανωτὸν καὶ τῶν ἄλλων εὐωδῶν τὰ πολυτελέστατα, καὶ προςεκύνουν ὡς θεὸν τὸν Ἀλέξανδρον. ἀκολούθως δὲ τούτοις δίφρων πολλῶν κειμένων, ἐκάθιζον ἐπὶ τούτων οἱ τὰς ἡγεμονίας ἔχοντες καὶ συνεδρεύοντες ἐβουλεύοντο περὶ τῶν ἀεὶ κατεπειγόντων. ὁ δ' Εὐμένης ἐν πᾶσι τοῖς συνεδρίοις ἴσον ἑαυτὸν τοῖς ἄλλοις ἡγεμόσι παρέχων, καὶ πάντας ταῖς φιλανθρωποτάταις ὁμιλίαις θεραπεύων, τόν τε καθ' ἑαυτοῦ φθόνον ἀπεμείωσε καὶ πολλὴν εὔνοιαν ἐν τοῖς ἡγεμόσι πρὸς ἑαυτὸν κατεσκεύασεν. ἅμα δὲ καὶ τῆς κατὰ τὸν βασιλέα δεισιδαιμονίας ἐνισχυούσης, ἀγαθῶν ἐλπίδων ἅπαντες ἐπληρώθησαν, καθάπερ θεοῦ τινος αὐτῶν ἡγουμένου. ὁμοίως δὲ ἐχρήσατο καὶ πρὸς τοὺς ἀργυράσπιδας Μακεδόνας πολιτευόμενος ἀποδοχῆς μεγάλης ἐτύγχανε παρ' αὐτοῖς, ὡς ἄξιος ὢν τῆς τῶν βασιλέων φροντίδος. προχειρισάμενος δὲ τῶν φίλων τοὺς εὐθετωτάτους, καὶ δοὺς χρήματα δαψιλῆ πρὸς τὴν ξενολογίαν, ἐξέπεμψεν, ὁρίσας ἀξιολόγους μισθούς. εὐθὺς δ' οἱ μὲν εἰς τὴν Πισιδικὴν καὶ Λυκίαν καὶ τὴν πλησιόχωρον παρελθόντες ἐξενολόγουν ἐπιμελῶς, οἱ δὲ τὴν Κιλικίαν ἐπεπορεύοντο, ἄλλοι δὲ τὴν κοίλην Συρίαν καὶ Φοινίκην, τινὲς δὲ τὰς ἐν τῇ Κύπρῳ πόλεις. διαβοηθείσης δὲ τῆς ξενολογίας, καὶ τῆς μισθοφορᾶς ἀξιολόγου προκειμένης, πολλοὶ καὶ ἐκ τῶν τῆς Ἑλλάδος πόλεων ἐθελοντὶ κατήντων καὶ πρὸς

20. ἐνεργῶς] ἐναργῶς V et supra versum F  21. τοῦ om. Bas.  27. δ' ἀποδεξαμένων] δ' καταδεξαμένων F (ἀπο supra)  28. κατεσκευάσθη] κατεσκεύασε FQVW  29. πολυχρύσου] πολλοῦ χρυσοῦ F  30. σκηνῆς VW Bas., caeteri σκευῆς  58. ἐκ τῶν] τῶν ἐκ omnes  ἐθελοντὶ] ἐθελονταὶ FVW

τὴν στρατείαν ἀπεγράφοντο. ἐν ὀλίγῳ δὲ χρόνῳ συνήχθησαν πεζοὶ μὲν πλείους τῶν μυρίων, ἱππεῖς δὲ δισχίλιοι χωρὶς τῶν ἀργυρασπίδων καὶ τῶν μετ' Εὐμένους κατηντηκότων.

62 Παραδόξου δὲ καὶ ταχείας τῆς περὶ τὸν Εὐμένη γενομένης αὐξήσεως, Πτολεμαῖος μὲν μετὰ στόλου πλεύσας εἰς Ζεφύριον τῆς Κιλικίας διεπέμπετο πρὸς τοὺς τῶν ἀργυρασπίδων ἡγεμόνας, παρακαλῶν μὴ προσέχειν τῷ Εὐμένει, καθ' οὗ πάντες Μακεδόνες θάνατον κατέγνωσαν. ὁμοίως δὲ πρὸς τοὺς ἐπὶ τῶν ἐν Κυΐνδοις φρουρίων τεταγμένους ἐξέπεμψε, διαμαρτυρόμενος μὴ διδόναι μηδὲν τῶν χρημάτων Εὐμένει, καὶ τὴν ἀσφάλειαν αὐτοῖς ἐπηγγείλατο παρέξεσθαι. ἀλλὰ τούτῳ μὲν οὐδεὶς προςεῖχε διὰ τὸ τοὺς βασιλεῖς καὶ τὸν ἐπιμελητὴν αὐτῶν Πολυσπέρχοντα ἔτι δὲ Ὀλυμπιάδα τὴν Ἀλεξάνδρου 304 μητέρα γεγραφέναι πάντα ὑπηρετεῖν Εὐμένει, ὡς ὄντι τῆς βασιλείας αὐτοκράτορι στρατηγῷ. μάλιστα δ' Ἀντιγόνῳ δυςηρέστει τότε τὰ περὶ τὴν Εὐμένους προαγωγὴν καὶ τὸ μέγεθος τῆς περὶ αὐτὸν συνισταμένης ἐξουσίας· ὑπελάμβανε γὰρ ὑπὸ τοῦ Πολυσπέρχοντος τοῦτον ἑαυτῷ κατασκευάζεσθαι μέγιστον ἀντίπαλον ἀποστάτῃ γεγονότι τῆς βασιλείας. διόπερ κρίνας ἐπιβουλὴν συστήσασθαι κατ' αὐτοῦ, προεχειρίσατο τῶν φίλων Φιλώταν, καὶ τούτῳ μὲν ἔδωκεν ἐπιστολὴν γεγραμμένην πρός τε τοὺς ἀργυράσπιδας καὶ τοὺς ἄλλους τοὺς μετ' Εὐμένους Μακεδόνας. συνεξέπεμψε δὲ αὐτῷ καὶ ἄλλους τριάκοντα Μακεδόνας τῶν περιέργων καὶ λάλων, οἷς ἦν προστεταγμένον κατ' ἰδίαν ἐντυχεῖν τοῖς ἡγεμόσι τῶν ἀργυρασπίδων Ἀντιγένει καὶ Τευτάμῳ, καὶ διὰ τούτων συστήσασθαί τινα κατ' Εὐμένους ἐπιβουλήν, δωρεάς τε μεγάλας ἐπαγγελλόμενος καὶ σατραπείας μείζονας· ὁμοίως δὲ καὶ τῶν ἀργυρασπίδων τοῖς γνωριζομένοις καὶ πολίταις ἐν-

59. ἀπεγράφοντο] ὑπεγράφοντο F 67. τῷ om. F Bas. 69. ἐπὶ τῶν ἐν Κυΐνδοις (κυϊνδοῖς Bas.) φρουρίων] ἐν Ἴσσῳ φρουρίῳ QVW, ἐπὶ τῷ ἐν ἴσσῷ φρουρίῳ F et in marg. γρ. κυίνδοις 71. ἐπηγγείλατο] ἐπηγγέλλοντο FV 72. παρέξεσθαι] παρέξασθαι V τούτῳ — τὸ] τούτων — τε F: τούτων etiam Bas.

304. 77. τότε τὰ] fortasse τά τε 78. προαγωγὴν VWY Bas., caeteri παραγωγήν: F qui in textu μάλιστα δ' ἀντιγόνῳ ἔχοντι μεγάλην προαγωγὴν, in marg. ponit γρ. μάλιστα δ' ἀντιγόνῳ δυςηρέστει τότε τὰ περὶ τὴν εὐμένου προαγωγὴν 80. κατασκευάζεσθαι F Bas., κατασκευάσασθαι caeteri 87. λάλων] ἄλλων V, λάλλων F προστεταγμένον] προστεταγμένοις V 91. δωρεάς — 94. ἐπιβουλὴν om. Bas. ἐπαγγελλόμενος] ἐπαγγελλομένους Reiskius, εἰςαγγελλόμενος F (ἐπα supra)



τυγχάνειν καὶ διαφθείρειν δωρεαῖς πρὸς τὴν κατ' Εὐμένους ἐπιβουλήν. τῶν μὲν οὖν ἄλλων οὐδένα πεῖσαι κατίσχυσαν, Τεύταμος δὲ ὁ τῶν ἀργυρασπίδων ἡγεμὼν διαφθαρεὶς ἐπεβάλετο καὶ τὸν συνάρχοντα Ἀντιγένην πεῖσαι κοινωνῆσαι τῆς πράξεως. ὁ δ' Ἀντιγένης, συνέσει καὶ πίστεως βεβαιότητι διαφέρων, οὐ μόνον ἀντεῖπεν, ἀλλὰ καὶ μετέπεισε τὸν προδιεφθαρμένον. ἐδίδαξε γὰρ αὐτὸν συμφέρειν ζῆν τὸν Εὐμένη μᾶλλον ἢ τὸν Ἀντίγονον· ἐκεῖνον μὲν γὰρ εἰς πλεῖον ἰσχύσαντα παρελεῖσθαι τὰς σατραπείας αὐτῶν καὶ ἀντικαταστήσειν ἐκ τῶν ἑαυτοῦ φίλων, Εὐμένη δὲ ξένον ὄντα μηδέποτ' ἰδιοπραγῆσαι τολμήσειν, ἀλλὰ στρατηγὸν ὄντα φίλοις αὐτοῖς χρήσεσθαι, καὶ συμπράξασι φυλάξειν αὐτοῖς τὰς σατραπείας, τάχα δὲ καὶ ἄλλας προςδώσειν. οἱ μὲν οὖν τὰς κατ' Εὐμένους ἐπιβουλὰς κατασκευάζοντες ἀπέτυχον τὸν προειρημένον τρόπον.

63 Τοῦ δὲ Φιλώτου τὴν κοινὴν ἐπιστολὴν ἀναδόντος τοῖς ἡγεμόσι, συνήχθησαν οἵ τε ἀργυράσπιδες καὶ οἱ ἄλλοι Μακεδόνες κατ' ἰδίαν ἄνευ τοῦ Εὐμένους, καὶ τὴν ἐπιστολὴν προςέταξαν ἀναγνωσθῆναι. ἦν δ' ἐν αὐτῇ γεγραμμένη κατηγορία μὲν τοῦ Εὐμένους, παράκλησις δὲ τῶν Μακεδόνων συλλαβεῖν τὸν Εὐμένη ταχέως καὶ ἀποκτεῖναι· ἐὰν δὲ ταῦτα μὴ πράξωσιν, ὅτι μετὰ πάσης τῆς δυνάμεως ἥξει πολεμήσων αὐτοῖς, καὶ τοῖς μὴ πειθαρχοῦσι τὴν προςήκουσαν ἐπιθήσει τιμωρίαν. ἀναγνωσθείσης δὲ τῆς ἐπιστολῆς εἰς πολλὴν ἀπορίαν ἐνέπεσον οἵ τε ἡγεμόνες καὶ οἱ Μακεδόνες πάντες. ἀναγκαῖον γὰρ 305 ἦν αὐτοὺς ἢ πρὸς τοὺς βασιλεῖς ἀποκλίναντας ὑπ' Ἀντιγόνου τιμωρίας τυχεῖν, ἢ πειθαρχήσαντας Ἀντιγόνῳ ὑπὸ Πολυσπέρχοντος καὶ τῶν βασιλέων κολασθῆναι. τοιαύτης δὲ συγχύσεως ἐπεχούσης τὰ πλήθη ἧκεν ὁ Εὐμένης, καὶ τὴν ἐπιστολὴν ἀναγνοὺς παρεκάλεσε τοὺς Μακεδόνας πράττειν τὰ τοῖς βασιλεῦσι δεδογμένα, τῷ δὲ ἀποστάτῃ γεγονότι μὴ προσέχειν. πολλὰ δὲ διαλεχθεὶς

2. μὲν om. F μὲν γὰρ TX Bas., caeteri addunt μέγαν ὄντα, quae asterisco notavit Stephanus 3. παρελεῖσθαι F, παρελέσθαι margo F cum caeteris 4. ἑαυτοῦ] αὐτοῦ Bas. 5. μηδέποτε δικαιοπραγῆσαι στρατηγῆσαι τολμήσειν F 6. συμπράξασι] συμπράξαντας F, συμπρᾶξαι Bas. 11. ἀναδόντος W, caeteri ἀναδιδόντος 14. προςέταξαν] προςέταξεν F ἐν αὐτῇ γεγραμμένη] ἀναγεγραμμένη F alterum γρ. in marg. ponens 17. ταχέως καὶ] ταχέως ἢ καὶ FVW μὴ om. Bas. 19. αὐτοῖς] ὂν super οἷς ponit F πειθαρχοῦσι] πειθαρχηκόσι FVW 22. αὐτοὺς] αὐτοῖς FVY

305. 26. ἐπεχούσης] ὑπεχούσης V

οἰκεία τῆς ὑποθέσεως οὐ μόνον αὐτὸς ἀπελύθη τῶν ἐνεστώτων κινδύνων, ἀλλὰ καὶ τὸ πλῆθος εἰς εὔνοιαν μείζονα τῆς προϋπαρχούσης παρεστήσατο. οὗτος μὲν οὖν πάλιν εἰς ἀνελπίστους κινδύνους ἐμπεσὼν παραδόξως ἰσχυροτέραν κατεσκεύασε τὴν περὶ αὐτὸν δύναμιν. διὸ καὶ τοῖς στρατιώταις παραγγείλας ἀναζευγνύειν προῆγεν ἐπὶ Φοινίκης, σπεύδων τὰς ναῦς ἐξ ἁπασῶν τῶν πόλεων ἀθροῖσαι καὶ στόλον ἀξιόλογον κατασκευάσαι, ὅπως Πολυσπέρχων μὲν προςλαβόμενος τὰς ἐκ τῆς Φοινίκης ναῦς θαλαττοκρατῇ, καὶ δύνηται διαβιβάζειν ἀσφαλῶς, ὅταν βούληται, τὰς ἐκ τῆς Μακεδονίας δυνάμεις εἰς τὴν Ἀσίαν ἐπ' Ἀντίγονον. οὗτος μὲν οὖν ἐν Φοινίκῃ διέτριβε κατασκευαζόμενος τὴν ναυτικὴν δύναμιν.

64 Ἅμα δὲ τούτοις πραττομένοις Νικάνωρ ὁ τὴν Μουνυχίαν κατέχων ἀκούων τὸν μὲν Κάσσανδρον ἐκ Μακεδονίας κεχωρίσθαι πρὸς Ἀντίγονον, τὸν δὲ Πολυσπέρχοντα προςδόκιμον εἶναι συντόμως ἥξειν εἰς τὴν Ἀττικὴν μετὰ τῆς δυνάμεως, ἠξίου τοὺς Ἀθηναίους διαφυλάττειν τὴν πρὸς τὸν Κάσσανδρον εὔνοιαν. οὐδενὸς δὲ αὐτῷ προςέχοντος, ἀλλὰ καὶ τὴν φρουρὰν πάντων οἰομένων δεῖν ἐξάγειν τὴν ταχίστην, τὸ μὲν πρῶτον παρακρουσάμενος τὸν δῆμον ἔπεισεν ὀλίγας ἡμέρας ἐπισχεῖν· πράξειν γὰρ αὐτὸν τὰ συμφέροντα τῇ πόλει· μετὰ δὲ ταῦτα τῶν Ἀθηναίων ἐπί τινας ἡμέρας ἡσυχίαν ἐχόντων ἔλαθε νυκτὸς κατ' ὀλίγους στρατιώτας εἰςαγαγὼν εἰς τὴν Μουνυχίαν, ὥςτε γενέσθαι δύναμιν ἀξιόχρεων τηρεῖν τὴν φυλακὴν καὶ διαγωνίζεσθαι πρὸς τοὺς ἐπιβαλλομένους πολιορκεῖν τὴν φρουράν. οἱ δ' Ἀθηναῖοι γνόντες τὸν Νικάνορα μηδὲν ὑγιὲς πράττοντα, πρὸς μὲν τὸν βασιλέα καὶ Πολυσπέρχοντα πρεσβείαν ἐξέπεμψαν, ἀξιοῦντες βοηθεῖν αὐτοῖς κατὰ τὸ διάγραμμα τὸ γραφὲν ὑπὲρ τῆς τῶν Ἑλλήνων αὐτονομίας· αὐτοὶ δὲ πλεονάκις ἐκκλησίαν συναγαγόντες ἐβουλεύοντο πῶς χρηστέον εἴη περὶ τοῦ πρὸς Νικάνορα πολέμου. τούτων δ' ἔτι περὶ ταῦτ' ἀσχολουμένων ὁ Νικάνωρ πολλοὺς ἐξενολογηκὼς λάθρᾳ νυκτὸς ἐξαγαγὼν τοὺς στρατιώτας κατελάβετο τὰ τείχη τοῦ Πειραιέως καὶ τοῦ λιμένος τὰ κλεῖθρα. οἱ δ' Ἀθηναῖοι τὴν μὲν Μουνυχίαν οὐκ ἀπειληφότες, τὸν δὲ Πειραιέα προςαποβεβληκότες, χαλεπῶς ἔφερον. διόπερ ἑλόμενοι πρέσβεις τῶν ἐπιφανῶν ἀνδρῶν καὶ φιλίαν ἐχόντων πρὸς Νικάνορα Φωκίωνα τὸν Φώκου καὶ Κόνωνα τὸν Τιμοθέου καὶ Κλέαρχον τὸν Ναυσικλέους ἐξαπέστειλαν ἐγκαλοῦντες μὲν ἐπὶ τοῖς πεπραγμένοις, ἀξιοῦντες δὲ ἀποδοῦναι τὴν αὐτονομίαν αὐτοῖς κατὰ τὸ γεγενημένον διάταγμα. ὁ δὲ Νικάνωρ ἀποκρίσεις ἔδωκε πρεσβεύειν αὐτοὺς πρὸς Κάσσανδρον· ὑπ' ἐκείνου γὰρ καθεσταμένον φρούραρχον μηδαμῶς ἔχειν ἐξουσίαν ἰδιοπραγεῖν.

34. ante ἀνελπίστους om. τοὺς FVW Bas. 35. τὴν om. Bas. 40. δύνηται] δύναται V 48. συντόμως] αὐτομάτων FV 50. τὸν om. F οὐδενὸς] οὐθενὸς F Bas. 54. αὐτὸν] αὑτὸν omnes 57. εἰςαγαγὼν] εἰςάγων Bas. 58. ἀξιόχρεων] ἀξιόχρεω F 67. περὶ ταῦτ'] ἐπὶ ταῦτα X 70. τοῦ prius om. Bas.



306

65 Κατὰ δὲ τοῦτον τὸν καιρὸν ἧκεν ἐπιστολὴ Νικάνορι παρ' Ὀλυμπιάδος, ἐν ᾗ προςέταττεν ἀποδοῦναι Ἀθηναίοις τήν τε Μουνυχίαν καὶ τὸν Πειραια. ὁ δὲ Νικάνωρ ἀκούων ὅτι μέλλουσιν οἱ βασιλεῖς καὶ Πολυσπέρχων κατάγειν εἰς Μακεδονίαν τὴν Ὀλυμπιάδα, καὶ τοῦ τε παιδίου τὴν ἐπιμέλειαν ἐκείνῃ παραδιδόναι καὶ τὴν προϋπάρχουσαν ἀποδοχὴν καὶ τιμὴν Ἀλεξάνδρου ζῶντος ἀποκαθιστάναι Ὀλυμπιάδι, φοβηθείς, ἐπηγγείλατο μὲν παραδώσειν, ἀεὶ δὲ προφάσεις τινὰς ποιούμενος παρῆγε τὴν πρᾶξιν. οἱ δ' Ἀθηναῖοι πεπολυωρηκότες ἐν τοῖς ἔμπροσθεν χρόνοις τὴν Ὀλυμπιάδα, καὶ νομίσαντες τὰς μὲν ταύτῃ δεδογμένας τιμὰς ὄντως γεγονέναι, τὴν δὲ ἀπόληψιν τῆς αὐτονομίας διὰ ταύτης ἐλπίζοντες ἀκινδύνως ἔσεσθαι, περιχαρεῖς ἦσαν. ἀτελέστων δὲ τῶν ἐπαγγελιῶν οὐσῶν, ἧκεν Ἀλέξανδρος ὁ Πολυσπέρχοντος υἱὸς μετὰ δυνάμεως εἰς τὴν Ἀττικήν· οἱ μὲν οὖν Ἀθηναῖοι διέλαβον αὐτὸν ἥκειν ἀποκαταστήσοντα τῷ δήμῳ τήν τε Μουνυχίαν καὶ τὸν Πειραιᾶ, τὸ δ' ἀληθὲς οὐχ οὕτως εἶχεν, ἀλλὰ τοὐναντίον αὐτὸς ἰδίᾳ παραληψόμενος ἀμφότερα πρὸς τὰς ἐν τῷ πολέμῳ χρείας. τῶν γὰρ Ἀντιπάτρῳ γεγονότων φίλων τινές, ὧν ὑπῆρχον καὶ οἱ περὶ Φωκίωνα, φοβούμενοι τὰς ἐκ τῶν νόμων τιμωρίας, ὑπήντησαν τῷ Ἀλεξάνδρῳ, καὶ διδάξαντες τὸ συμφέρον ἔπεισαν αὐτὸν ἰδίᾳ κατέχειν τὰ φρούρια, καὶ μὴ παραδοῦναι τοῖς Ἀθηναίοις, μέχρι ἂν ὁ Κάσσανδρος καταπολεμηθῇ. ὁ δὲ Ἀλέξανδρος πλησίον τοῦ Πειραιέως καταστρατοπεδεύσας τοὺς μὲν Ἀθηναίους οὐ παρελάμ-

306. 83. ἀποδοῦναι] δοῦναι FVW 86. κατάγειν] εἰςάγειν Q Bas. τὴν om. F 88. παραδιδόναι] παραδοῦναι V ἀποδοχὴν] ὑποδοχὴν F 89. Ἀλεξάνδρου] ὡς Ἀλεξάνδρου F 97. τῶν] τινῶν QTY Bas. 100. Πειραιᾶ] Πειραιέα semper VW 2. αὐτὸς om. Bas. 3. γὰρ] γε Bas. Ἀντιπάτρῳ] Ἀντιπάτρου W 4. ὧν addidit Reiskius 5. ὑπήντησαν] ἠπήντησαν Bas. 7. παραδοῦναι FVW, caeteri παραδιδόναι 8. μέχρι] μέχρις F 10. οὐ om. F

βανε πρὸς τὰς ἐντεύξεις τὰς πρὸς τὸν Νικάνορα, ἰδίᾳ δὲ συνιὼν εἰς λόγους καὶ ἐν ἀποῤῥήτοις διαπραττόμενος φανερὸς ἦν ἀδικεῖν μέλλων τοὺς Ἀθηναίους. ὁ δὲ δῆμος εἰς ἐκκλησίαν συνελθὼν τὰς μὲν ὑπαρχούσας ἀρχὰς κατέλυσεν, ἐκ δὲ τῶν δημοτικωτάτων τὰ ἀρχεῖα καταστήσας τοὺς ἐπὶ τῆς ὀλιγαρχίας γεγονότας ἄρχοντας κατεδίκασε τοὺς μὲν θανάτῳ, τοὺς δὲ φυγῇ καὶ δημεύσει τῆς οὐσίας· ἐν οἷς ἦν καὶ Φωκίων ὁ ἐπ' Ἀντιπάτρου τὴν τῶν ὅλων ἀρχὴν ἐσχηκώς.

66 Οὗτοι μὲν οὖν ἐκβληθέντες ἐκ τῆς πόλεως κατέφυγον πρὸς Ἀλέξανδρον τὸν Πολυσπέρχοντος, καὶ διὰ τούτου τὴν σωτηρίαν ἑαυτοῖς πορίζειν ἐφιλοτιμοῦντο. προσδεχθέντες δὲ ὑπ' αὐτοῦ φιλοφρόνως γράμματα ἔλαβον πρὸς τὸν πατέρα Πολυσπέρχοντα, ὅπως μηδὲν πάθωσιν οἱ περὶ Φωκίωνα, τἀκείνου πεφρονηκότες καὶ νῦν ἐπαγγελλόμενοι πάντα συμπράξειν. ἀποστείλαντος δὲ καὶ τοῦ δήμου πρεσβείαν πρὸς τὸν Πολυσπέρχοντα τὴν κα- 307 τηγοροῦσαν μὲν τῶν περὶ Φωκίωνα, παρακαλοῦσαν δὲ τὴν Μουνυχίαν αὐτοῖς δοῦναι μετὰ τῆς αὐτονομίας, ὁ Πολυσπέρχων ἔσπευδε μὲν φρουρᾷ κατέχειν τὸν Πειραιᾶ διὰ τὸ πολλὰ δύνασθαι χρησιμεύειν τὸν λιμένα πρὸς τὰς ἐν τοῖς πολέμοις χρείας· αἰσχυνόμενος δ' ἐναντία πράττειν τῷ ὑφ' ἑαυτοῦ γεγραμμένῳ διαγράμματι, καὶ νομίζων ἄπιστος κριθήσεσθαι παρὰ τοῖς Ἕλλησιν, ἐὰν εἰς τὴν ἐπιφανεστάτην παρανομήσῃ πόλιν, μετενόησε τῇ γνώμῃ. διακούσας δὲ τῶν πρέσβεων, τοῖς μὲν παρὰ τοῦ δήμου πρεσβεύουσι φιλανθρώπους καὶ κεχαρισμένας ἔδωκεν ἀποκρίσεις· τοὺς δὲ περὶ Φωκίωνα συλλαβὼν ἀπέστειλε δεσμίους εἰς τὰς Ἀθήνας, διδοὺς τὴν ἐξουσίαν τῷ δήμῳ εἴτε βούλεται θανατοῦν εἴτ' ἀπολῦσαι τῶν ἐγκλημάτων. συναχθείσης οὖν ἐκκλησίας ἐν ταῖς Ἀθήναις καὶ προτεθείσης κρίσεως τοῖς περὶ τὸν Φωκίωνα, πολλοὶ τῶν τε φυγάδων γεγονότων ἐπ' Ἀντιπάτρου καὶ τῶν ἀντιπολιτευομένων κατηγόρησαν αὐτῶν θανάτου. ἦν δ' ὁ σύμπας τῆς κατηγορίας λόγος ὅτι οὗτοι παραίτιοι γεγένηνται μετὰ τὸν Λαμιακὸν πόλεμον τῆς τε δουλείας τῇ πατρίδι καὶ τῆς καταλύσεως τοῦ δήμου καὶ τῶν νόμων. ὡς δὲ τοῖς ἀπολογουμένοις ὁ καιρὸς παρεδόθη τῆς ἀπολογίας, ὁ μὲν Φωκίων ἤρξατο

14. συνελθὼν] ἐλθὼν F 15. ὑπαρχούσας] προϋπαρχούσας Q δημοτικωτάτων] δημοτικῶν Q 28. καὶ τοῦ] τοῦ Bas.

307. 39. φιλανθρώπους καὶ FW, caeteri φιλανθρώπως 41. δεσμίους] ἐν φυλακῇ δεσμίους FQVW



ποιεῖσθαι τὸν ὑπὲρ ἑαυτοῦ λόγον, τὸ δὲ πλῆθος τοῖς θορύβοις ἐξέωσε τὴν ἀπολογίαν, ὥστ' εἰς πολλὴν ἀπορίαν παραγενέσθαι τοὺς ἀπολογουμένους. λήξαντος δὲ τοῦ θορύβου πάλιν ὁ μὲν Φωκίων ἀπελογεῖτο, ὁ δὲ ὄχλος κατεβόα καὶ τὴν φωνὴν τοῦ κινδυνεύοντος ἐκώλυεν ἐξακούεσθαι. τὸ γὰρ πλῆθος τῶν δημοτικῶν, ἀπεωσμένον τῆς πολιτείας καὶ παρ' ἐλπίδας τετευχὸς τῆς καθόδου, πικρῶς διέκειτο πρὸς τοὺς ἀφῃρημένους τὴν αὐτονομίαν.

67 βιαζομένου δὲ τοῦ Φωκίωνος καὶ πρὸς περίστασιν ἀπεγνωσμένην ὑπὲρ τοῦ ζῆν ἀγωνιζομένου, οἱ μὲν πλησίον ὄντες ἤκουον τῶν τῆς ὑποθέσεως δικαίων, οἱ δὲ μακρότερον διεστηκότες διὰ τὸ μέγεθος τῆς κραυγῆς τῶν θορυβούντων ἤκουον μὲν οὐδέν, αὐτὴν δὲ μόνην ἐθεώρουν τὴν τοῦ σώματος κίνησιν, γινομένην ἐναγώνιον καὶ ποικίλην διὰ τὸ μέγεθος τοῦ κινδύνου. τέλος δὲ ἀπογνοὺς τὴν σωτηρίαν ὁ Φωκίων ἀνεβόησε, δεόμενος αὐτοῦ μὲν καταψηφίσασθαι τὸν θάνατον, τῶν δ' ἄλλων φείδεσθαι. ἀμεταθέτου δὲ τῆς τοῦ πλήθους ὁρμῆς καὶ βίας οὔσης, παρεπορεύοντό τινες τῶν φίλων συνηγορήσοντες τῷ Φωκίωνι, ὧν τὰς μὲν ἀρχὰς τῶν λόγων ἤκουον, ὁπότε δὲ προβαίνοντες φανεροὶ καθίσταντο τὴν ἀπολογίαν διεξιόντες, ἐξεβάλλοντο τοῖς θορύβοις καὶ ταῖς ἐναντιουμέναις κραυγαῖς. τὸ δ' ἔσχατον πανδήμῳ φωνῇ καταχειροτονηθέντες εἰς τὸ δεσμωτήριον ἤγοντο τὴν ἐπὶ θανάτῳ. συνηκολούθουν δὲ αὐτοῖς πολλοὶ τῶν σπουδαίων ἀνδρῶν ὀδυρόμενοι καὶ συμπάσχοντες ἐπὶ τῷ μεγέθει τῶν ἀτυχημάτων· τὸ γὰρ πρωτεύοντας ἄνδρας ταῖς δόξαις καὶ ταῖς εὐγενείαις, πολλὰ πεπραχότας ἐν τῷ ζῆν φιλάν- 308 θρωπα, μήτε λόγου μήτε κρίσεως δικαίας τυγχάνειν, πολλοὺς ἦγεν εἰς ἐπίστασιν διανοίας καὶ φόβον, ἀστάτου καὶ κοινῆς ἅπασι τῆς τύχης οὔσης. πολλοὶ δὲ καὶ τῶν δημοτικῶν καὶ πικρῶς διακειμένων πρὸς αὐτὸν ἐλοιδόρουν τε ἀνηλεῶς καὶ πικρῶς ὠνείδιζον αὐτῷ τὰς συμφοράς· τὸ γὰρ ἐν ταῖς εὐτυχίαις σιωπώμενον μῖσος ὅταν ἐκ μεταβολῆς ἐν ταῖς ἀτυχίαις ἐκραγῇ, ταῖς ὀργαῖς ἀποθηριοῦται πρὸς τοὺς μισουμένους. διὰ δὲ τῆς τοῦ κω-

52. τὸν ὑπὲρ VW, τῶν — λόγων bis suprascripto ον F, caeteri ὑπὲρ ἑαυτοῦ] αὐτοῦ Bas. 58. ἀπεωσμένος W, ἀπεωσμένων F, caeteri ἀπωσμένον 59. ἐλπίδας] ἐλπίδα F τῆς om. Bas. 72. βίας QX, caeteri βιαίας παρεπορεύοντό] παρέσποντό Bas. 78. τὴν ἐπὶ W, caeteri ἐπὶ 81. δόξαις] δόξαις καὶ ταῖς εὐεργεσίαις QX

308. 85. διανοίας om. Bas. quod post ἀστάτου ponebatur δὲ transtuli post πολλοὶ 86. καὶ om. F δημοτικῶν] δημοτικοῖς FQV 88. ὠνείδιζον] ὠνειδίζοντες FV 92. τοῦ om. F

νείου πόσεως κατὰ τὸ πάτριον ἔθος τὸν βίον καταλύσαντες ἐῤῥίφησαν ἄταφοι πάντες ἐκ τῶν τῆς Ἀττικῆς ὅρων. ὁ μὲν οὖν Φωκίων καὶ οἱ μετ' αὐτοῦ διαβληθέντες τοιαύτην ἔσχον τὴν τοῦ βίου καταστροφήν.

68 Κάσσανδρος δὲ παρ' Ἀντιγόνου λαβὼν ναῦς μακρὰς τριάκοντα καὶ πέντε, στρατιώτας δὲ τετρακισχιλίους, κατέπλευσεν εἰς τὸν Πειραιᾶ. προσδεχθεὶς δ' ὑπὸ Νικάνορος τοῦ φρουράρχου παρέλαβε τὸν Πειραιᾶ καὶ τὰ κλεῖθρα τοῦ λιμένος· τὴν δὲ Μουνυχίαν αὐτὸς ὁ Νικάνωρ κατεῖχεν ἔχων ἰδίους στρατιώτας ἱκανοὺς εἰς τὸ τηρεῖν τὸ φρούριον. Πολυσπέρχων δὲ μετὰ τῶν βασιλέων ἔτυχε μὲν διατρίβων περὶ τὴν Φωκίδα, πυθόμενος δὲ τὸν εἰς Πειραιᾶ κατάπλουν τοῦ Κασσάνδρου, παρῆλθεν εἰς τὴν Ἀττικήν, καὶ πλησίον τοῦ Πειραιέως κατεστρατοπέδευσεν. εἶχε δὲ μεθ' ἑαυτοῦ στρατιώτας πεζοὺς μὲν Μακεδόνας δισμυρίους, τῶν δ' ἄλλων συμμάχων περὶ τετρακισχιλίους, ἱππεῖς δὲ χιλίους, ἐλέφαντας δὲ ἑξήκοντα πέντε. ἐπεβάλετο μὲν οὖν πολιορκεῖν τοὺς περὶ τὸν Κάσσανδρον, σπανίζων δὲ τροφῆς, καὶ τὴν πολιορκίαν ὑπολαμβάνων ἔσεσθαι πολυχρόνιον, ἠναγκάσθη μέρος τῆς δυνάμεως ἀπολιπεῖν κατὰ τὴν Ἀττικὴν τὸ δυνάμενον ἔχειν τὴν τοῦ σίτου χορηγίαν, ἡγουμένου τοῦ υἱοῦ Ἀλεξάνδρου, αὐτὸς δὲ τὸ πλεῖστον τῆς δυνάμεως ἀναλαβὼν παρῆλθεν εἰς Πελοπόννησον, συναναγκάσων τοὺς Μεγαλοπολίτας πειθαρχεῖν τοῖς βασιλεῦσιν· ἐτύγχανον γὰρ τὰ Κασσάνδρου φρονοῦντες καὶ διὰ τῆς ὑπ' Ἀντιπάτρου καθεσταμένης ὀλιγαρχίας διοικούμενοι.

69 Τοῦ δὲ Πολυσπέρχοντος περὶ ταῦτα διατρίβοντος ὁ Κάσσανδρος ἀναλαβὼν τὸν στόλον Αἰγινήτας μὲν προσηγάγετο, τοὺς δὲ Σαλαμινίους ἀλλότρια φρονοῦντας εἰς πολιορκίαν συνέκλεισε. καθ' ἡμέραν δὲ συνεχεῖς ποιούμενος προσβολάς, καὶ βελῶν καὶ στρατιωτῶν εὐπορῶν, εἰς τοὺς ἐσχάτους κινδύνους ἤγαγε τοὺς Σαλαμινίους. κινδυνευούσης δὲ τῆς πόλεως ἁλῶναι κατὰ κράτος ὁ Πολυσπέρχων ἐξέπεμψε δύναμιν ἀξιόλογον πεζι-

93. ἄταφοι om. VW et qui ἅπαντες F   99. 1. Πειραιᾶ] Πειραιέα FVW   2. κατεῖχεν] κατεῖχε Bas., caeteri κατεῖχε μὲν   5. πυθόμενος] πειθόμενος Bas.   9. Μακεδόνας] Μακεδόνων W   10. ἱππεῖς δὲ χιλίους om. TX Bas., asterisco notavit Stephanus   11. ἐπεβάλετο] ἐπεβάλλετο F   12. σπανίζων] σπανιζόντων FTY Bas.   18. συναναγκάζων Bas.   19. 20. οἱ ἐτύγχανον μὲν] διετύγχανον γάρ τοι VW, διετύγχανον γὰρ F qui βασιλεῦσι: delevi οἱ, recepto γὰρ pro μὲν   21. ὑπ' om. FV   καθισταμένης F   διοικούμενοι] διωκούμενοι Bas.   28. καὶ στρατιωτῶν] στρατιωτικῶν Q Bas.



κήν τε καὶ ναυτικὴν τὴν ἐπιθησομένην τοῖς πολιορκοῦσι. διόπερ ὁ Κάσσανδρος καταπλαγεὶς καὶ λύσας τὴν πολιορκίαν ἀπέπλευσεν εἰς τὸν Πειραιᾶ. Πολυσπέρχων δὲ 309 βουλόμενος τὰ κατὰ τὴν Πελοπόννησον διοικῆσαι συμφερόντως, παρῆλθε, καὶ συναγαγὼν ἐκ τῶν πόλεων συνέδρους διελέχθη περὶ τῆς πρὸς αὐτὸν συμμαχίας. ἐξέπεμψε δὲ καὶ πρὸς τὰς πόλεις πρεσβευτάς, προστάττων τοὺς μὲν δι' Ἀντιπάτρου καθεσταμένους ἄρχοντας ἐπὶ τῆς ὀλιγαρχίας θανατῶσαι, τοῖς δὲ δήμοις ἀποδοῦναι τὴν αὐτονομίαν. πολλῶν δ' ὑπακουσάντων, καὶ κατὰ τὰς πόλεις φόνων γινομένων καὶ τινων φυγαδευομένων, οἱ μὲν Ἀντιπάτρου φίλοι διεφθάρησαν, τὰ δὲ πολιτεύματα τὴν ἐκ τῆς αὐτονομίας παῤῥησίαν ἀπέλαβον καὶ συνεμάχουν τοῖς περὶ τὸν Πολυσπέρχοντα· μόνων δὲ τῶν Μεγαλοπολιτῶν διατηρούντων τὴν πρὸς Κάσσανδρον φιλίαν, ἔκρινε πολιορκῆσαι τὴν πόλιν αὐτῶν.

70 οἱ δὲ Μεγαλοπολῖται γνόντες τὴν ἐπιβολὴν τοῦ Πολυσπέρχοντος, ἐψηφίσαντο τὰ μὲν ἀπὸ τῆς χώρας κατάγειν εἰς τὴν πόλιν· τῶν δὲ πολιτῶν καὶ ξένων καὶ δούλων ἀριθμὸν ποιησάμενοι μυρίους καὶ πεντακισχιλίους εὗρον τοὺς δυναμένους παρέχεσθαι τὰς πολεμικὰς χρείας. εὐθὺς οὖν τοὺς μὲν εἰς τάξεις κατελόχιζον, οὓς δὲ πρὸς τὰς ὑπηρεσίας τοῖς ἔργοις καθίστανον, οὓς δ' ἐπὶ τὴν ἐπιμέλειαν τῶν τειχῶν ἔταττον. ὑφ' ἕνα δὲ καὶ τὸν αὐτὸν καιρὸν οἱ μὲν περὶ τὴν πόλιν τάφρον ὤρυττον βαθεῖαν, οἱ δὲ ἀπὸ τῆς χώρας χάρακα παρεκόμιζον, τινὲς δὲ τὰ πεπονηκότα τῶν τειχῶν κατεσκεύαζον, ἄλλοι δὲ περὶ τὰς ὁπλοποιίας καὶ τὴν κατασκευὴν τῶν ὀξυβελῶν καταπελτῶν ἐγίγνοντο, πᾶσα δ' ἡ πόλις ἐν ἔργοις καθειστήκει διά τε τὴν προθυμίαν τῶν ἀνδρῶν καὶ διὰ τοὺς προσδοκωμένους κινδύνους. διεβεβόητο γὰρ τό τε μέγεθος τῆς βασιλικῆς δυνάμεως καὶ τὸ πλῆθος τῶν συνακολουθούντων ἐλεφάντων καὶ δοκούντων ἀνυπόστατον ἔχειν τήν τε ἀλκὴν καὶ τὴν τοῦ σώματος ὁρμήν. ταχὺ δὲ πάντων εὐτρεπῶν γενομένων, ὁ μὲν Πολυσπέρχων ἧκε

32. τὴν om. Bas.   ἐπιθησομένην] ἐπιτεθησομένην F
34. πειραιέα F

309. 38. ἐξέπεμψε] ἐξέπεμπε F   44. ἐκ τῆς] ἐκ asterisco notavit Stephanus   46. τῶν om. Bas.   47. φιλίαν] εὔνοιαν FQVW   49. ἐπιβολὴν] ἐπιβουλὴν F   51. κατάγειν] καταγαγεῖν FVW   57. καὶ τὸν] καὶ κατὰ τὸν V et qui ἓν F   61. ὀξυβελῶν F, caeteri ὀξυβελῶν καὶ   63. τε om. F   65. τε om. F   τὸ om. F
67. τὴν τοῦ σώματος] τοῦ σώματος τὴν FW   68. ταχὺ om. V et qui πάντων δ' εὐτροπῶν F, εὐπρεπῶν Bas.

μετὰ πάσης τῆς δυνάμεως, καὶ πλησίον τῆς πόλεως ἐστρατοπέδευσε δύο θέμενος παρεμβολάς, τὴν μὲν τῶν Μακεδόνων, τὴν δὲ τῶν συμμάχων. κατασκευάσας δὲ πύργους ξυλίνους ὑψηλοτέρους τῶν τειχῶν προσῆγε τῇ πόλει κατὰ τοὺς εὐθέτους τόπους, καὶ βέλη παντοδαπὰ καὶ τοὺς ἀγωνιζομένους ἐπιστήσας ἀνέστελλε τοὺς ἐπὶ τῶν ἐπάλξεων ἀντιτεταγμένους. ἅμα δὲ τούτοις πραττομένοις διὰ τῶν μεταλλευόντων ὑπορύξας τὰ τείχη καὶ τὰς στήριγγας ἐμπρήσας κατέβαλε τρεῖς πύργους τοὺς μεγίστους καὶ μεσοπύργια τὰ ἴσα. μεγάλου δὲ τοῦ πτώματος καὶ παραδόξου γενομένου, τὸ μὲν πλῆθος τῶν Μακεδόνων ἀνεβόησεν, οἱ δὲ κατὰ τὴν πόλιν διὰ τὴν δεινότητα τῆς πράξεως κατεπλάγησαν. ἔνθα δὴ τῶν Μακεδόνων διὰ τοῦ πτώματος εἰςπιπτόντων εἰς τὴν πόλιν, οἱ Μεγαλοπολῖται διεῖλον σφᾶς αὐτούς, καὶ τῷ μὲν ἑνὶ μέρει τοὺς πολεμίους ὑποστάντες καὶ τὴν ἐν τῷ πτώματι δυςχωρίαν συνεργὸν ἔχοντες καρτερὰν μάχην συνίσταντο, τῷ δ' ἑτέρῳ χάρακι διελάμβανον τὸν ἐντὸς τοῦ 310 πτώματος τόπον, καὶ τεῖχος ἕτερον ἀντῳκοδόμουν, συνεχῶς ἐργαζόμενοι καὶ μεθ' ἡμέραν καὶ νύκτωρ. ταχὺ δὲ τῶν ἔργων συντελουμένων διά τε τὴν πολυχειρίαν καὶ τὸ πλῆθος τῆς εἰς ἅπαντα παρασκευῆς, τὸ μὲν διὰ τοῦ πτώματος ἐλάττωμα συντόμως οἱ Μεγαλοπολῖται διωρθώσαντο, πρὸς δὲ τοὺς ἐπὶ τῶν ξυλίνων πύργων ἀγωνιζομένους τοῖς τε ὀξυβελέσι καταπέλταις ἐχρῶντο καὶ τοῖς σφενδονήταις καὶ τοξόταις πολλοὺς τῶν πολεμίων κατετίτρωσκον.

71 πολλῶν δὲ πιπτόντων παρ' ἀμφοτέροις καὶ κατατραυματιζομένων, καὶ τῆς νυκτὸς ἐπικαταλαβούσης, ὁ μὲν Πολυσπέρχων ἀνακαλεσάμενος τῇ σάλπιγγι τοὺς στρατιώτας ἐπανῆλθεν ἐπὶ τὴν ἰδίαν στρατοπεδείαν. τῇ δ' ὑστεραίᾳ τὸν τοῦ πτώματος τόπον ἀνακαθάρας ἐποίησε βάσιμον τοῖς θηρίοις, καὶ διενοεῖτο χρήσασθαι ταῖς τούτων ῥώμαις πρὸς τὴν ἅλωσιν τῆς πόλεως. οἱ δὲ Μεγαλοπολῖται Δάμιδος ἡγουμένου καὶ τούτου γεγονότος κατὰ τὴν Ἀσίαν μετ' Ἀλεξάνδρου, καὶ περὶ τὰς φύσεις καὶ χρείας τῶν ἐλεφάντων ἐμπειρίαν ἔχοντος, οὐ μετρίως ἐπροτέρησαν. οὗτος γὰρ τὴν ἰδίαν

69. τῆς δυνάμεως F, δυνάμεως caeteri 73. προςῆγε] προςεῖχε FV 77. μεταλλευόντων] μεταλλασσόντων Bas. 78. στήριγγας Ios. Scaliger, στερηπὰς T, τε ῥηπὰς Y Bas., caeteri στηριγίας 79. τὰ om. F
310. 92. ἅπαντα] πάντα F 93. διὰ τοῦ] διὰ om. TX, asterisco notavit Stephanus 100. ἐπικαταλαβούσης] περικαταλαβούσης YV 9. ἐπροτέρησαν Wesselingius, ἐπροετέρησαν Bas., caeteri προετέρησαν



ἐπίνοιαν ἀντίταγμα τῇ τῶν θηρίων βίᾳ κατασκευάσας ἀχρήστους ἐποίησε τὰς τῶν σωμάτων ῥώμας. θύρας γὰρ μεγάλας πλείονας ἥλοις ὀξέσι καταπυκνώσας, καὶ ταύτας ἐν ὀρύγμασι ταπεινοῖς καταστρώσας, καὶ τὰς ἐξοχὰς τῶν κέντρων ἐπικρυψάμενος, κατέλιπε διὰ τούτων δίοδον εἰς τὴν πόλιν· καὶ κατὰ μέτωπον μὲν οὐδένα τῶν στρατιωτῶν ἔστησεν, ἐκ δὲ τῶν πλαγίων ἔταξε πλῆθος ἀκοντιστῶν καὶ τοξοτῶν καὶ τῶν καταπελτικῶν βελῶν. τοῦ δὲ Πολυσπέρχοντος ἀνακαθάραντος πάντα τὸν τόπον τοῦ πτώματος, καὶ τοῖς θηρίοις ἀθρόοις διὰ τούτου τὴν ἔφοδον ποιουμένου, παράδοξος ἐγένετο πρᾶξις περὶ τοὺς ἐλέφαντας. οὐδενὸς γὰρ ἀπαντῶντος κατὰ στόμα τοῖς θηρίοις, οἱ μὲν Ἰνδοὶ συνηνάγκαζον εἰςπίπτειν εἰς τὴν πόλιν, οἱ δ' ἐλέφαντες τῇ ῥύμῃ προςπίπτοντες ἐνέπιπτον εἰς τὰς κατακεκεντρωμένας θύρας. τραυματιζόμενοι δὲ τοὺς πόδας ὑπὸ τῶν ἥλων καὶ διὰ τὸ βάρος περιπειρόμενοι τοῖς κέντροις, οὔτε προϊέναι πορρώτερον οὔτ' ἀναστρέφειν διὰ τὴν δυςκινησίαν ἠδύναντο. ἅμα δὲ καὶ βελῶν παντοδαπῶν ἐκ πλαγίων φερομένων, οἱ μὲν ἀπέθνησκον τῶν Ἰνδῶν, οἱ δὲ κατατραυματιζόμενοι τῆς ἐνδεχομένης χρείας ὑστεροῦντο. τὰ δὲ θηρία διά τε τὸ πλῆθος τῶν βελῶν καὶ διὰ τὴν ἰδιότητα τῆς τῶν ἥλων πληγῆς περιώδυνα γινόμενα τὴν διὰ τῶν φίλων ἐπιστροφὴν ἐποιοῦντο, καὶ πολλοὺς αὐτῶν κατεπάτουν. τέλος δὲ τὸ μὲν ἀνδρειότατον αὐτῶν καὶ πλείστην ἔχον κατάπληξιν ἔπεσε, τῶν δὲ ἄλλων τὰ μὲν ἄχρηστα παντελῶς ἐγένετο, τὰ δὲ πολλοῖς τῶν ἰδίων θάνατον ἐπήνεγκε. 311 μετὰ δὲ τὴν εὐημερίαν ταύτην οἱ μὲν Μεγαλοπολῖται ταῖς ψυχαῖς ἐθάῤῥησαν,

72 ὁ δὲ Πολυσπέρχων μετανοηθεὶς ἐπὶ τῇ πολιορκίᾳ, καὶ πολὺν χρόνον ἐπιμένειν οὐ δυνάμενος, ἐπὶ μὲν τῆς πολιορκίας ἀπέλιπε μέρος τῆς δυνάμεως, αὐτὸς δ' ἐφ' ἑτέρας ἀναγκαιοτέρας πράξεις ἐτρέπετο. καὶ Κλεῖτον μὲν τὸν ναύαρχον μετὰ τοῦ στόλου παντὸς ἐξέπεμψε, προστάξας ἐφεδρεύειν τοῖς περὶ τὸν Ἑλλήςποντον τόποις, καὶ κωλύειν τὰς ἐκ τῆς Ἀσίας διαβιβαζομένας δυνάμεις εἰς τὴν Εὐρώπην· προςλαβέσθαι

13. πλείονας] πλείστοις FW 17. ἔταξε] ἐξέταξε FVW 19. ἀνακαθήραντος FW, caeteri ἀνακαθαίροντος 24. συνηνάγκαζον QT Bas., caeteri συνηναγκάζοντο 25. ῥύμῃ Reiskius: libri ῥώμῃ 27. βάρος] βάθος F 33. διὰ τὴν] τὴν Bas. 34. ἥλων] ὅλων QY Bas. πληγῆς] χρείας QXY Bas. 35. φίλων] φιλίων F

311. 40. μὲν om. Bas. 46. καὶ Κλεῖτον μὲν τὸν ναύαρχον] καὶ τὸν μὲν ναύαρχον F 47. προστάξας om. F

δὲ καὶ Ἀῤῥιδαῖον τὸν συμπεφευγότα μὲν μετὰ τῶν στρα- τιωτῶν εἰς τὴν τῶν Κιανῶν πόλιν, ἐχθρὸν δ᾽ ὄντα τοῖς περὶ τὸν Ἀντίγονον. τούτου δὲ πλεύσαντος ἐπὶ τὸν Ἑλλήςποντον, καὶ προςαγαγομένου τὰς ἐν τῇ Προπον- τίδι πόλεις, ἔτι δὲ προςδεξαμένου τὴν μετ᾽ Ἀῤῥιδαίου δύναμιν, κατέπλευσεν εἰς τοὺς τόπους ἐκείνους Νικάνωρ ὁ τῆς Μουνυχίας φρούραρχος, ἐξαπεσταλμένος ὑπὸ Κασ- σάνδρου μετὰ παντὸς τοῦ στόλου· προςελάβετο δὲ καὶ τὰς παρ᾽ Ἀντιγόνου ναῦς, ὥςτε τὰς πάσας ἔχειν πλείους τῶν ἑκατόν. γενομένης δὲ ναυμαχίας οὐ μα- κρὰν τῆς τῶν Βυζαντίων πόλεως, ἐνίκα ὁ Κλεῖ- τος, καὶ κατέδυσε μὲν τῶν ἐναντίων ναῦς ἑπτακαί- δεκα, εἷλε δὲ σὺν αὐτοῖς τοῖς ἀνδράσιν οὐκ ἐλάττους τῶν τετταράκοντα· αἱ δὲ λοιπαὶ κατέφυγον εἰς τὸν τῶν Χαλ- κηδονίων λιμένα. τοιαύτης δ᾽ εὐημερίας γενομένης τοῖς περὶ τὸν Κλεῖτον, οὗτος μὲν ὑπέλαβε μηκέτι τολμήσειν τοὺς πολεμίους ναυμαχήσειν διὰ τὸ μέγεθος τῆς ἥττης· ὁ δ᾽ Ἀντίγονος πυθόμενος τὰ περὶ τὸν στόλον ἐλαττώματα, παραδόξως διὰ τῆς ἰδίας ἀγχινοίας καὶ στρατηγίας ἀνε- μαχέσατο τὸ γεγονὸς ἐλάττωμα. παρὰ γὰρ τῶν Βυζαν- τίων μεταπεμψάμενος ναῦς ὑπηρετικάς, ταύταις μὲν διε- βίβαζεν εἰς τὸ πέραν τοξότας τε καὶ σφενδονήτας καὶ τῶν ἄλλων τῶν ψιλικῶν ταγμάτων τοὺς ἱκανοὺς κατὰ νύκτα. οὗτοι δὲ πρὸ ἡμέρας ἐπιθέμενοι τοῖς ἐκ τῶν πολεμίων νεῶν ἀποβεβηκόσιν ἐπὶ τὴν γῆν καὶ πεζῇ κα- τεστρατοπεδευκόσι κατεπλήξαντο τοὺς περὶ τὸν Κλεῖτον. ταχὺ δὲ πάντων διὰ τὸν φόβον τεταραγμένων, καὶ εἰς τὰς ναῦς ἐμπηδώντων, πολὺς ἐγένετο θόρυβος διά τε τὰς ἀποσκευὰς καὶ τὸ πλῆθος τῶν αἰχμαλώτων. ἐν τοσούτῳ δὲ Ἀντίγονος ἐξαρτύσας τὰς μακρὰς ναῦς καὶ τῶν ἀλκιμωτάτων πεζῶν πολλοὺς ἐπιβάτας ἐπι- στήσας ἀπέστειλε, παρακαλέσας τεθαῤῥηκότως ἐπιθέ- σθαι τοῖς πολεμίοις, ὡς πάντως καθ᾽ ἑαυτοὺς ἐσομένου

50. Ἀῤῥιδαῖον] Ἀριδαῖον F rectius, ut videtur 51. Κιανῶν] Τυανῶν W, κυάνων F (τ superscr.) 53. προςαγαγομένου FW, caeteri προςαγομένου 57. ὑπὸ] περὶ V 59. πλείους] πλείω FV 63. ἐλάττους V, caeteri ἐλάττω τετταράκοντα F, μ Bas., caeteri τεσσαράκοντα 65. τοῖς] τῆς F 66. τολμήσειν om. FVW 69. διὰ τῆς ἰδίας — 70. ἐλάττωμα post ὑπηρετικὰς ponunt FVW, omisso παραδόξως 70. ἀνε- μαχέσατο] ἀνεμάχετο Bas. 71. γὰρ om. FVW, τῶν Bas. 72. ταύταις VW, caeteri ταύτας νυκτὸς ante ναῦς om. FVW κατὰ νύκτα om. TX 74. ψιλικῶν] ψιλῶν καὶ ψιλικῶν X 75. πρὸ ἡμέρας] πρὸς τὴν ἡ- μέραν VW Bas., asterisco notavit Stephanus 79. καὶ om. FV 83. πεζῶν VW, caeteri πεζοὺς



τοῦ νικήματος. τοῦ δὲ Νικάνορος νυκτὸς ἀναχθέντος, καὶ διαφωσκούσης τῆς ἡμέρας, οὗτοι μὲν ἐπιπεσόντες ἄφνω τοῖς πολεμίοις τεθορυβημένοις εὐθὺς κατὰ τὸν πρῶτον ἐπίπλουν ἐτρέψαντο· καὶ τὰς μὲν τοῖς ἐμβόλοις τύπτοντες ἀνέῤῥηττον, ὧν δὲ τοὺς ταρσοὺς παρέσυρον,
812 ὧν δὲ αὐτάνδρων παραδιδομένων ἀκινδύνως ἐκυρίευον· τέλος δὲ πλὴν μιᾶς τῆς ναυαρχίδος τῶν λοιπῶν πασῶν αὐτάνδρων ἐκυρίευσαν. ὁ δὲ Κλεῖτος φυγὼν ἐπὶ τὴν γῆν, καὶ καταλιπὼν τὴν ναῦν, ἐπεβάλετο μὲν διὰ Μα- κεδονίας ἀνασώζεσθαι, περιπεσὼν δὲ στρατιώταις τισὶ τοῦ Λυσιμάχου διεφθάρη.

Ἀντίγονος μὲν οὖν τηλικαύτῃ συμφορᾷ περιβαλὼν 73
τοὺς πολεμίους μεγάλην ἐπὶ στρατηγίᾳ καὶ συνέσει δό- ξαν ἀπηνέγκατο. θαλαττοκρατῆσαι δὲ ἔσπευδε καὶ τὴν τῆς Ἀσίας ἡγεμονίαν ἀδήριτον περιποιήσασθαι. διόπερ ἐξ ἁπάσης τῆς δυνάμεως ἐπιλέξας εὐζώνους πεζοὺς μὲν διςμυρίους, ἱππεῖς δὲ τετρακιςχιλίους, προῆγεν ἐπὶ Κι- λικίας, σπεύδων τοὺς περὶ τὸν Εὐμένη κατακόψαι πρὸ τοῦ δύναμιν ἁδροτέραν ἀθροίζειν. Εὐμένης δὲ πυθό- μενος τὴν ὁρμὴν τῶν περὶ τὸν Ἀντίγονον, ἐπεβάλετο μὲν τὴν Φοινίκην ἀνακτᾶσθαι τοῖς βασιλεῦσι, κατειλημ- μένην ἀδίκως ὑπὸ Πτολεμαίου, καταταχούμενος δ᾽ ὑπὸ τῶν καιρῶν ἀνέζευξεν ἐκ τῆς Φοινίκης, καὶ διὰ τῆς κοί- λης Συρίας προῆγε μετὰ τῆς δυνάμεως, σπεύδων τῶν ἄνω λεγομένων σατραπειῶν ἅψασθαι. περὶ δὲ τὸν Τί- γριν ποταμὸν ἐπιθεμένων αὐτῷ τῶν ἐγχωρίων νυκτός, ἀπέβαλέ τινας τῶν στρατιωτῶν· παραπλησίως δὲ καὶ κατὰ τὴν Βαβυλωνίαν ἐπιθεμένου τοῦ Σελεύκου παρὰ τὸν Εὐφράτην ποταμόν, ἐκινδύνευσε μὲν ἅπασαν ἀπο- βαλεῖν τὴν δύναμιν, διώρυγός τινος ῥαγείσης καὶ τῆς στρατοπεδείας ὅλης συγκλυσθείσης, ὅμως δὲ διὰ τῆς ἰδίας στρατηγίας, ἐπί τι χῶμα καταφυγὼν καὶ τὴν διώρυγα πάλιν ἀποστρέψας, διέσωσεν αὑτόν τε καὶ τὴν δύναμιν. παραδόξως δὲ τὰς τοῦ Σελεύκου χεῖρας διαφυγὼν διή- νυσεν εἰς τὴν Περσίδα μετὰ τῆς δυνάμεως, ἔχων πεζοὺς μὲν μυρίους καὶ πεντακιςχιλίους, ἱππεῖς δὲ χιλίους καὶ τριακοσίους. ἀναλαβὼν δὲ τοὺς στρατιώτας ἐκ τῆς κα- κοπαθείας διεπέμπετο πρός τε τοὺς σατράπας καὶ στρα-

87. διαφωσκούσης] διαφαυσκούσης FVW 90. ἀνέῤῥηττον FW, caeteri ἀνέῤῥιπτον 91. παραδιδομ.] παραδεδομ. VW
312. 4. Κιλικίας] Κιλικίαν Bas. 6. ἀθροίζειν] ἀθροί- σειν W Bas. 12. λεγομένων om. Bas. 15. κατὰ] πρὸς FVW Βαβυλωνίαν] ὁρμῶντος addunt QVW Σελεύκου] Λευκοῦ Y 24. χιλίους καὶ τριακοσίους] τρις- χιλίους TXX Bas. 26. πρός τε] πρὸς F

τηγοὺς τοὺς ἐν ταῖς ἄνω σατραπείαις, μεταπεμπόμενος στρατιώτας τε καὶ χρήματα. καὶ τὰ μὲν κατὰ τὴν Ἀσίαν μέχρι τούτων προέβη τοῦτον τὸν ἐνιαυτόν.

74 Κατὰ δὲ τὴν Εὐρώπην Πολυσπέρχοντος διὰ τὴν ἐλάττωσιν τῆς κατὰ τοὺς Μεγαλοπολίτας πολιορκίας καταφρονηθέντος αἱ πλεῖσται τῶν Ἑλληνίδων πόλεων ἀφιστάμεναι τῶν βασιλέων πρὸς Κάσσανδρον ἀπέκλιναν. Ἀθηναίων δὲ μὴ δυναμένων ἀποτρίψασθαι τὴν φρουρὰν μήτε διὰ Πολυσπέρχοντος μήτε δι' Ὀλυμπιάδος, ἀπετόλμησέ τις τῶν ἐπαινουμένων πολιτῶν εἰπεῖν ἐν ἐκκλησίᾳ διότι συμφέρει πρὸς Κάσσανδρον διαλύσασθαι. τὸ μὲν οὖν πρῶτον ἐγένετο θόρυβος, τῶν μὲν ἀντιλεγόντων, τῶν δὲ συγκατατιθεμένων τοῖς λόγοις· ὡς δὲ ἀνεθεωρήθη τὸ συμφέρον, ἔδοξε τοῖς πᾶσι πρεσβεύειν πρὸς Κάσσανδρον 313
καὶ τίθεσθαι τὰ πρὸς αὐτὸν ὡς ἂν ᾖ δυνατόν. γενομένων δὲ πλειόνων ἐντεύξεων συνέθεντο τὴν εἰρήνην ὥςτε τοὺς Ἀθηναίους ἔχειν πόλιν τε καὶ χώραν καὶ προσόδους καὶ ναῦς καὶ τἄλλα πάντα φίλους ὄντας καὶ συμμάχους Κασσάνδρου, τὴν δὲ Μουνυχίαν κατὰ τὸ παρὸν κρατεῖν Κάσσανδρον, ἕως ἂν διαπολεμήσῃ πρὸς τοὺς βασιλεῖς· καὶ τὸ πολίτευμα διοικεῖσθαι ἀπὸ τιμήσεων ἄχρι μνῶν δέκα· καταστῆσαι δ' ἐπιμελητὴν τῆς πόλεως ἕνα ἄνδρα Ἀθηναῖον ὃν ἂν δόξῃ Κασσάνδρῳ· καὶ ἡρέθη Δημήτριος ὁ Φαληρεύς. οὗτος δὲ παραλαβὼν τὴν ἐπιμέλειαν τῆς πόλεως ἦρχεν εἰρηνικῶς καὶ πρὸς τοὺς πολίτας φιλανθρώπως.

75 Μετὰ δὲ ταῦτα Νικάνορος καταπλεύσαντος εἰς τὸν Πειραιᾶ κεκοσμημένῳ τῷ στόλῳ τοῖς ἀπὸ τῆς νίκης ἀκροστολίοις, τὸ μὲν πρῶτον ἀποδοχῆς αὐτὸν ἠξίωσε μεγάλης ὁ Κάσσανδρος διὰ τὰς εὐημερίας, μετὰ δὲ ταῦτα ὁρῶν αὐτὸν ὄγκου πλήρη καὶ πεφρονηματισμένον, ἔτι δὲ τὴν Μουνυχίαν διὰ τῶν ἑαυτοῦ στρατιωτῶν φρουροῦντα, κρίνας αὐτὸν ἀλλότρια φρονεῖν, ἐδολοφόνησεν. ἐστράτευσε δὲ καὶ εἰς Μακεδονίαν, καὶ πολλοὺς ἔσχε τῶν ἐγχωρίων ἀφισταμένους πρὸς αὐτόν. ὁμοίως δὲ καὶ εἰς τὰς Ἑλληνίδας πόλεις ἐνέπεσέ τις ὁρμὴ τῆς Κασσάνδρου συμμαχίας. ὁ μὲν γὰρ Πολυσπέρχων ἀργῶς ἐδόκει καὶ ἀφρόνως προστατεῖν τῆς τε βασιλείας καὶ τῶν

29. τούτων FQVW, caeteri τοῦτον 35. ἀπέκλιναν] ἀπέκλινον FW 36. διὰ] διὰ τοῦ F Bas. 42. τοῖς om. F
313. 50. μνῶν] μηνῶν FV 52. ὃν — Κασσάνδρῳ om. W, cum Ἀθηναῖον F 58. ἀκροστολίοις] ἀκροστόλοις FV 59. τὰς εὐημερίας] τὴν εὐημερίαν F 65. πρὸς] εἰς F 66. Κασσάνδρου Rhodomannus: libri Ἀντιπάτρου



συμμάχων, ὁ δὲ Κάσσανδρος ἐπιεικῶς προςφερόμενος πᾶσι καὶ κατὰ τὰς πράξεις ἐνεργὸς ὤν, πολλοὺς εἶχεν αἱρετιστὰς τῆς αὐτοῦ δυναστείας. ἐπεὶ δὲ κατὰ τὸν ἑπόμενον ἐνιαυτὸν Ἀγαθοκλῆς ἐγένετο τύραννος τῶν Συρακοσίων, ταύτην μὲν τὴν βίβλον αὐτοῦ περιγράψομεν κατὰ τὴν ἐν ἀρχῇ πρόθεσιν· τῆς δ' ἐχομένης τὴν ἀρχὴν ἀπὸ τῆς Ἀγαθοκλέους τυραννίδος ποιησάμενοι διέξιμεν τὰς οἰκείας τῇ γραφῇ πράξεις.

73. περιγράψομεν Wesselingius: libri παραγράψομεν

### ΤΑΔΕ ΕΝΕΣΤΙΝ 314

# ΕΝ ΤΗΙ ΕΝΝΕΑΚΑΙΔΕΚΑΤΗΙ

## ΤΩΝ ΔΙΟΔΩΡΟΥ ΒΙΒΛΩΝ.

---

α'. Περὶ τῶν ἀφορμῶν αἷς χρησάμενος Ἀγαθοκλῆς τύραννος ἐγένετο τῶν Συρακουσίων.

β'. Ὡς οἱ Κροτωνιατῶν φυγάδες ἐπιστρατεύσαντες ἐπὶ τὴν πατρίδα πάντες ἀνῃρέθησαν.

γ'. Ὀλυμπιάδος μετὰ τοῦ παιδὸς κάθοδος ἐπὶ τὴν βασιλείαν.

δ'. Εὐρυδίκης καὶ Φιλίππου τοῦ βασιλέως ἅλωσις καὶ θάνατος.

ε'. Ὡς Εὐμένης ἔχων τοὺς ἀργυράσπιδας ἀνέβη μὲν εἰς τὰς ἄνω σατραπείας, συνήγαγε δὲ τούς τε σατράπας καὶ τὰς δυνάμεις εἰς τὴν Περσίδα.

ϛ'. Ὡς Ἄτταλος καὶ Πολέμων μετὰ τῶν συνεπιθεμένων τῇ φυλακῇ ληφθέντες ἀνῃρέθησαν.

ζ'. Ὡς Ἀντίγονος διώξας Εὐμένη περὶ τὸν Κοπράτην ποταμὸν ἡλαττώθη.

η'. Ὡς εἰς Μηδίαν ἀναζεύξας ἐν ταῖς παρόδοις πολλοὺς ἀπέβαλε τῶν στρατιωτῶν.

θ'. Παράταξις Ἀντιγόνου πρὸς Εὐμένη καὶ τοὺς σατράπας ἐν Παραιτάκοις.

ι'. Ἀποχώρησις Ἀντιγόνου μετὰ τῆς δυνάμεως εἰς Μηδίαν πρὸς χειμασίαν.

ια'. Κασσάνδρου στρατεία εἰς Μακεδονίαν καὶ πολιορκία Ὀλυμπιάδος ἐν Πύδνῃ.

ιβ'. Ὡς κατεστρατήγησεν Εὐμένης τοὺς περὶ τὸν Ἀντίγονον διὰ τῆς ἐρήμου πορευομένους.

314. inscr. τῶν om. Bas. 2. ἐγένετο] ἐγίνετο Bas. 6. μετὰ τοῦ παιδὸς om. W 13. συνεπιθεμένων] συνεπιτιθεμένων W 20. ἐν Παραιτάκοις Wesselingius, Παρατάκης V, caeteri ἐν Παρατάκοις 28. τὸν Ἀντίγονον] Ἀντίγονον Bas.



ιγ'. Ἀντιγόνου πορεία διὰ τῆς ἐρήμου ἐπὶ τοὺς πολεμίους καὶ ἐπίθεσις τοῖς ἐν τῇ παραχειμασίᾳ θηρίοις.

ιδ'. Ὡς παρατάξεως γενομένης Ἀντίγονος ἐκυρίευσε πάσης τῆς τῶν ἀντιταχθέντων δυνάμεως.

ιε'. Ὡς Εὐμένη καὶ τῶν ἄλλων ἡγεμόνων τοὺς ἀλλοτρίως πρὸς αὐτὸν διατεθέντας ἀνεῖλεν.

315 ιϛ'. Ὁ γενόμενος ἐν Ῥόδῳ κατακλυσμὸς καὶ τὰ συμβάντα περὶ τὴν πόλιν ἀτυχήματα.

ιζ'. Πίθωνος ὑπ' Ἀντιγόνου θάνατος καὶ τῶν δι' αὐτὸν ἀποστάντων εἰς τὴν Μηδίαν ἀναίρεσις.

ιη'. Ὀλυμπιάδος ἅλωσις ὑπὸ Κασσάνδρου καὶ θάνατος.

ιθ'. Ὡς Κάσσανδρος Θεσσαλονίκην ἔγημε τὴν Φιλίππου τοῦ Ἀμύντου, ἐπώνυμον δ' ἑαυτοῦ πόλιν ἔκτισεν ἐπὶ τῆς Παλλήνης.

κ'. Ὡς Πολυσπέρχων ἀπογνοὺς τὰ πρὸς τοὺς βασιλεῖς ἔφυγεν εἰς τὴν Αἰτωλίαν.

κα'. Ὡς Κάσσανδρος τὴν τῶν Θηβαίων πόλιν ὑπ' Ἀλεξάνδρου κατεσκαμμένην ἀποκατέστησε.

κβ'. Περὶ τῶν ἐν τοῖς ἀρχαίοις χρόνοις συμβάντων τῇ πόλει τῶν Θηβαίων, καὶ ποσάκις ἀνάστατος ἐγένετο.

κγ'. Περὶ τῶν πραχθέντων Κασσάνδρῳ κατὰ Πελοπόννησον.

κδ'. Ἀντιγόνου μετὰ τῆς δυνάμεως κατάβασις ἐπὶ θάλατταν καὶ φυγὴ Σελεύκου πρὸς Πτολεμαῖον εἰς Αἴγυπτον.

κε'. Συνθέσις Πτολεμαίου καὶ Σελεύκου καὶ Κασσάνδρου πρὸς δὲ τούτοις καὶ Λυσιμάχου πρὸς τὸν κατ' Ἀντιγόνου πόλεμον.

κϛ'. Ὡς Ἀντίγονος ναῦς τε πολλὰς ἐναυπηγήσατο καὶ στρατηγοὺς ἀπέστειλεν εἴς τε τὴν Ἑλλάδα καὶ τὸν Πόντον.

κζ'. Ὡς πρὸς Ἀλέξανδρον τὸν Πολυσπέρχοντος φιλίαν συνέθετο, καὶ Τύρον ἐξεπολιόρκησε, καὶ ὡς Ἀλέξανδρος μετέθετο πρὸς Κάσσανδρον.

κη'. Ὡς Πολύκλειτος ὁ Πτολεμαίου ναύαρχος ἐνίκησε τοὺς Ἀντιγόνου στρατηγοὺς καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν.

κθ'. Περὶ τῆς Ἀγαθοκλέους στρατείας ἐπὶ Μεσσηνίους καὶ τῆς μεσιτευθείσης εἰρήνης ὑπὸ Καρχηδονίων.

λ'. Νουκερίας ἀπόστασις ἀπὸ Ῥωμαίων.

λα'. Τὰ πραχθέντα τοῖς Ἀντιγόνου καὶ Κασσάνδρου στρατηγοῖς περὶ τὴν Ἑλλάδα.

λβ'. Κασσάνδρου στρατεία εἰς τὴν Αἰτωλίαν καὶ τοὺς κατὰ τὸν Ἀδρίαν τόπους.

25. Ἀντιγόνου — θηρίοις non ante sed post ὡς κατεστρατήγησεν — πορευομένους ponenda fuisse docet c. 39. 315. 36. Πύθωνος] Πείθωνος V, Πάθωνος Bas. 42. Παλλήνης V, Παλίνης W, caeteri Πελλήνης 55. πόλεμον] θάνατον T Bas. 57. εἴς τε W, caeteri εἰς 59. τὸν Πολυσπέρχοντος] καὶ Πολυσπέρχοντα p. 362. 75.

λγ'. Ἅλωσις περὶ Καρίαν τῆς ἀποσταλείσης ὑπὸ Κασσάνδρου δυνάμεως.

λδ'. Ὡς οἱ φυγάδες τῶν Συρακουσίων Ἀκραγαντίνους πείσαντες πολεμεῖν Ἀγαθοκλεῖ στρατηγὸν ἐκ Λακεδαίμονος Ἀκρότατον μετεπέμψαντο.

λε'. Ὡς οὗτος μὲν παραλαβὼν τὴν ἡγεμονίαν τυραννικῶς ἄρχων διεγένετο, οἱ δ' Ἀκραγαντῖνοι τὴν εἰρήνην ἐποιήσαντο πρὸς τὸν δυνάστην.

λϛ'. Τὰ πραχθέντα Ῥωμαίοις περὶ τὴν Ἰαπυγίαν.

λζ'. Καλλατιανῶν ἀπόστασις ἀπὸ Λυσιμάχου καὶ τὰ συμβάντα τοῖς ἐπὶ τὴν βοήθειαν ἀποσταλεῖσιν ὑπ' Ἀντιγόνου.

λη'. Ὡς Φίλιππος ἀποσταλεὶς ὑπὸ Κασσάνδρου στρατηγὸς εἰς τὴν Αἰτωλίαν ἐνίκησεν Αἰτωλοὺς ἅμα καὶ τοὺς Ἠπειρώτας.

λθ'. Ὡς Ῥωμαῖοι μάχῃ νικήσαντες Σαμνίτας μετ' ὀλίγον Καμπανοὺς ἀποστάντας προσηγάγοντο.

μ'. Ὡς Ἀντίγονος Πολέμωνα στρατηγὸν ἐξαπέστειλε μετὰ δυνάμεως ἐλευθερώσοντα τοὺς Ἕλληνας, καὶ τὰ πραχθέντα περὶ τὴν Ἑλλάδα.

μα'. Ἀπόστασις Κυρηναίων καὶ ἅλωσις, ἔτι δὲ Πτολεμαίου
στρατεία εἰς Κύπρον καὶ Συρίαν. 316

μβ'. Μάχη Δημητρίου πρὸς Πτολεμαῖον καὶ νίκη Πτολεμαίου.

μγ'. Ἀπόστασις Τελεσφόρου τοῦ στρατηγοῦ ἀπὸ Ἀντιγόνου.

μδ'. Τὰ περὶ τὴν Ἤπειρον καὶ τὸν Ἀδρίαν πραχθέντα Κασσάνδρῳ.

με'. Ὡς Σέλευκος παρὰ Πτολεμαίου λαβὼν δύναμιν ὀλίγην ἐκράτησε Βαβυλῶνος καὶ τὴν προϋπάρχουσαν αὐτῷ σατραπείαν ἀνεσώσατο.

μϛ'. Ὡς Ἀντίγονος ἀκινδύνως παραλαβὼν κοίλην Συρίαν δύναμιν ἐξέπεμψεν εἰς τὴν Ἀραβίαν.

μζ'. Περὶ τῶν νομίμων οἷς χρῆται τὰ ἔθνη τῶν Ἀράβων.

μη'. Περὶ τῆς καλουμένης Ἀσφαλτίτιδος λίμνης.

μθ'. Ὡς Ἀντίγονος τὸν υἱὸν Δημήτριον ἐξαπέστειλε μετὰ τῆς δυνάμεως εἰς τὴν Βαβυλῶνα.

ν'. Περὶ τῶν πραχθέντων Ῥωμαίοις καὶ Σαμνίταις.

να'. Ὡς Ἀγαθοκλῆς Μεσσηνίους παρακρουσάμενος τῆς πόλεως ἐκυρίευσεν.

75. ἐκ Wesselingius: libri καὶ     Λακεδαίμονος] Λακεδαίμονας V, Λακεδαιμονίας Bas.     77. καὶ εἰρηνικῶς] τυραννικῶς Rhodomannus, qui etiam καὶ delere debebat: non placet enim οὐκ scribi     80. πραχθέντα] προσταχθέντα Bas.     81. Καλλατιανῶν Wesselingius, Ταλαντινῶν W, caeteri Κολλατίνων
86. τοὺς om. Bas.
316, 2. ἀνεσώσατο] ἀνενεώσατο Q, ἐπεκτήσατο W, unde ἀνεκτήσατο Wesselingius     5. χρῆται] χρᾶται Bas.     8. Βαβυλῶνα] Βαβυλωνίαν QV



νβ'. Ὡς τοὺς ἀντιταξαμένους Μεσσηνίων καὶ Ταυρομενιτῶν ἔτι δὲ Κεντοριπίνων ἀπέσφαξεν.

νγ'. Ὡς Ἀγαθοκλῆς Δεινοκράτη καὶ τοὺς φυγάδας περὶ Γαλαρίαν ἐνίκησε.

νδ'. Ῥωξάνης καὶ Ἀλεξάνδρου τοῦ βασιλέως θάνατος.

νε'. Τὰ πραχθέντα Ῥωμαίοις κατὰ τὴν Ἰταλίαν.

νϛ'. Περὶ τῆς γενομένης τοῖς Καρχηδονίοις ναυαγίας.

νζ'. Ὡς Καρχηδόνιοι περὶ τὸν Ἱμέραν Ἀγαθοκλέα παρατάξει νικήσαντες συνέκλεισαν εἰς τὰς Συρακούσας.

13. Κεντοριπίνων W, caeteri Κεντοριππίνων     15. Γαλαρίαν] Καλαρίαν W

## ΔΙΟΔΩΡΟΥ ΤΟΥ ΣΙΚΕΛΙΩΤΟΥ 317

# ΒΙΒΛΙΟΘΗΚΗΣ ΙΣΤΟΡΙΚΗΣ

## ΒΙΒΛΟΣ ΕΝΝΕΑΚΑΙΔΕΚΑΤΗ.

---

1 Παλαιός τις παραδέδοται λόγος ὅτι τὰς δημοκρατίας οὐχ οἱ τυχόντες τῶν ἀνθρώπων ἀλλ' οἱ ταῖς ὑπεροχαῖς προέχοντες καταλύουσι. διὸ καὶ τῶν πόλεων ἔνιαι τοὺς ἰσχύοντας μάλιστα τῶν πολιτευομένων ὑποπτεύουσαι καθαιροῦσιν αὐτῶν τὰς ἐπιφανείας. σύνεγγυς γὰρ ἡ μετάβασις εἶναι δοκεῖ τοῖς ἐν ἐξουσίᾳ μένουσιν ἐπὶ τὴν τῆς πατρίδος καταδούλωσιν, καὶ δυςχερὲς ἀποσχέσθαι μοναρχίας τοῖς δι' ὑπεροχὴν τὰς τοῦ κρατήσειν ἐλπίδας περιπεποιημένοις. ἔμφυτον γὰρ εἶναι τὸ πλεονεκτεῖν τοῖς μειζόνων ὀρεγομένοις καὶ τὰς ἐπιθυμίας ἔχειν ἀτερματίστους. τοιγαροῦν Ἀθηναῖοι μὲν διὰ ταύτας τὰς αἰτίας τοὺς πρωτεύοντας τῶν πολιτῶν ἐφυγάδευσαν, τὸν λεγόμενον παρ' αὐτοῖς ἐξοστρακισμὸν νομοθετήσαντες. καὶ τοῦτ' ἔπραττον οὐχ ἵνα τῶν προγεγενημένων ἀδικημάτων λάβωσι τιμωρίαν, ἀλλ' ὅπως τοῖς δυναμένοις παρανομεῖν ἐξουσία μὴ γένηται κατὰ τῆς πατρίδος ἐξαμαρτεῖν. τῆς γὰρ Σόλωνος φωνῆς ὥςπερ χρησμοῦ τινος ἐμνημόνευον, ἐν οἷς περὶ τῆς Πεισιστράτου τυραννίδος προλέγων ἔθηκε τόδε τὸ ἐλεγεῖον·

ἀνδρῶν ἐκ μεγάλων πόλις ὄλλυται, εἰς δὲ τυράννου
δῆμος ἀϊδρίῃ δουλοσύνην ἔπεσε.

μάλιστα δὲ πάντων ἐπεπόλασεν ἡ πρὸς τὰς μοναρχίας

317. inscr. om. W, Δ. Σ. βίβλος ιθ Bas. 10. ὑπερο-χὴν] ὑπερβολὴν F 11. περιπεποιημένοις] πεποιημένοις F 12. τοῖς] τῶν F 13. ἔχειν FQVW, caeteri ἔχουσιν 14. ταύτας] τοιαύτας F 23. τυράννου] τυράννον F 25. ἔπεσε] ἔπεσαν FV



ὁρμὴ περὶ τὴν Σικελίαν πρὸ τοῦ Ῥωμαίους κυριεῦσαι ταύτης τῆς νήσου. αἱ γὰρ πόλεις ταῖς δημαγωγίαις ἐξαπατώμεναι μέχρι τούτου τοὺς ἀσθενεῖς ἰσχυροὺς κατεσκεύαζον ἕως δεσπόται γένοιντο τῶν ἐξαπατηθέντων. ἰδιαίτατα δὲ πάντων Ἀγαθοκλῆς ἐτυράννησε τῶν Συρα-
318 κοσίων, ἀφορμαῖς μὲν ἐλαχίσταις χρησάμενος, ἀτυχήμασι δὲ μεγίστοις περιβαλὼν οὐ τὰς Συρακούσας μόνον ἀλλὰ καὶ πᾶσαν Σικελίαν τε καὶ Λιβύην. δι' ἀπορίαν γὰρ βίου καὶ πραγμάτων ἀσθένειαν τὴν κεραμευτικὴν τέχνην μεταχειρισάμενος εἰς τοῦτο προῆλθε δυνάμεως ἅμα καὶ μιαιφονίας ὥςτε καταδουλώσασθαι μὲν τὴν μεγίστην καὶ καλλίστην πασῶν νήσων, κατακτήσασθαι δὲ χρόνον τινὰ τῆς τε Λιβύης τὴν πλείστην καὶ μέρη τῆς Ἰταλίας, ὕβρεως δὲ καὶ σφαγῆς ἐμπλῆσαι τὰς κατὰ Σικελίαν πόλεις. οὐδεὶς γὰρ τῶν πρὸ τούτου τυράννων ἐπετελέσατό τι τοιοῦτον, οὐδὲ τοιαύτην ὠμότητα κατὰ τῶν ὑποτεταγμένων ἔσχε. τοὺς μὲν γὰρ ἰδιώτας ἐκόλαζε πᾶσαν τὴν συγγένειαν ἀποσφάττων, παρὰ δὲ τῶν πόλεων τὰς εὐθύνας ἐλάμβανεν ἡβηδὸν μιαιφονῶν, καὶ δι' ὀλίγους τῶν ἐγκαλουμένων τοὺς πολλοὺς καὶ μηδ' ὁτιοῦν ἀδικήσαντας ἀναγκάζων τὴν αὐτὴν ἀναδέχεσθαι συμφοράν, πανδημεὶ τῶν πόλεων θάνατον κατεγίνωσκεν. ἀλλὰ γὰρ τῆς βίβλου ταύτης σὺν τοῖς ἄλλοις περιεχούσης καὶ τὴν τυραννίδα τὴν Ἀγαθοκλέους, ἀφέμενοι τὸ περὶ αὐτῆς προλέγειν τὰ συνεχῆ τοῖς προειρημένοις προςθήσομεν, παραθέντες πρότερον τοὺς οἰκείους τῇ γραφῇ χρόνους. ἐν μὲν οὖν ταῖς προειρημέναις ὀκτωκαίδεκα βίβλοις ἀνεγράψαμεν τὰς ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων πράξεις τὰς γεγενημένας ἐν τοῖς γνωριζομένοις μέρεσι τῆς οἰκουμένης ἐφ' ὅσον ἡμῖν δύναμις ἄχρι πρὸς τὸν ἐνιαυτὸν τὸν πρὸ τῆς Ἀγαθοκλέους τυραννίδος, εἰς ὃν ἀπὸ Τροίας ἁλώσεως ἔτη συνάγεται ὀκτακόσια ἑξήκοντα ἕξ· ἐν δὲ ταύτῃ τὴν ἀρχὴν ἀπὸ τῆς δυναστείας ταύτης ποιησάμενοι καταλήξομεν εἰς τὴν ἐφ' Ἱμέρᾳ μάχην Ἀγαθοκλεῖ πρὸς Καρχηδονίους, ἔτη ἑπτὰ περιλαβόντες. 2
Ἐπ' ἄρχοντος γὰρ Ἀθήνησι Δημογένους Ῥωμαῖοι

27. τὴν Σ.] Σ. W, τε Σ. F Bas. 28. ταύτης om. FVW 30. γένοιντο] γένωνται omnes 31. ἰδιαίτατα] ἰδιώτατα Bas.

318. 34. τὰς Συρακούσας] ταῖς συρρακούσαις F 37. μεταχειρισάμενος] μεταχειριζόμενος FVW 39. πασῶν] τῶν πασῶν F Bas. 43. οὐδὲ] οὔτε omnes 50. ἀλλὰ γὰρ] ἀλλὰ X 52. τὴν] τοῦ FV ἀφέμενοι] ἀφιέμενοι Bas. 57. γεγενημένας] γενομένας W: mihi suspectus est articulus 64. περιλαβόντες ἔτη ἑπτὰ F

μὲν κατέστησαν ὑπάτους Λεύκιον Πλώτιον καὶ Μάνιον Φούλβιον, Ἀγαθοκλῆς δ᾿ ὁ Συρακόσιος τύραννος ἐγένετο τῆς πόλεως. ἕνεκα δὲ τοῦ σαφεστέρας τὰς κατὰ μέρος πράξεις γενέσθαι βραχέα προσαναληψόμεθα περὶ τοῦ προειρημένου δυνάστου. Καρκίνος ὁ Ῥηγῖνος φυγὰς γενόμενος ἐκ τῆς πατρίδος κατῴκησεν ἐν Θέρμοις τῆς Σικελίας, τεταγμένης τῆς πόλεως ταύτης ὑπὸ Καρχηδονίους. ἐμπλακεὶς δὲ τῶν ἐγχωρίων τινὶ γυναικὶ καὶ ποιήσας αὐτὴν ἔγκυον, συνεχῶς κατὰ τοὺς ὕπνους ἐταράττετο. διόπερ ἀγωνιῶν ὑπὲρ τῆς παιδοποιίας ἔδωκεν ἐντολὰς Καρχηδονίοις τισὶ θεωροῖς ἀναγομένοις εἰς Δελφοὺς ἐπερωτῆσαι τὸν θεὸν περὶ τοῦ γεννησομένου βρέφους. ὧν ἐπιμελῶς τὸ παρακληθὲν πραξάντων ἐξέπεσε χρησμὸς ὅτι μεγάλων ἀτυχημάτων ὁ γεννηθεὶς αἴτιος ἔσται Καρχηδονίοις καὶ πάσῃ Σικελίᾳ. ἃ δὴ πυθόμενος καὶ φοβηθείς, ἐξέθηκε τὸ παιδίον δημοσίᾳ, καὶ τοὺς τηρήσοντας ἵνα τελευτήσῃ παρακατέστησε. διελθουσῶν δέ τινων ἡμερῶν τὸ μὲν οὐκ ἀπέθνησκεν, οἱ τεταγμένοι δ᾿ ἐπὶ τῆς φυλακῆς ὠλιγώρουν. καθ᾿ ὃν δὴ 319
χρόνον ἡ μήτηρ νυκτὸς παρελθοῦσα λάθρᾳ τὸ παιδίον ἀνείλετο, καὶ πρὸς αὐτὴν μὲν οὐκ ἀπήνεγκε, φοβουμένη τὸν ἄνδρα, πρὸς δὲ τὸν ἀδελφὸν Ἡρακλείδην καταθεμένη προσηγόρευσεν Ἀγαθοκλέα, τὴν ὁμωνυμίαν εἰς τὸν ἑαυτῆς ἀνενέγκασα πατέρα. παρ᾿ ᾧ τρεφόμενος ὁ παῖς ἐξέβη τήν τε ὄψιν εὐπρεπὴς καὶ τὸ σῶμα εὔρωστος πολὺ μᾶλλον ἢ κατὰ τὴν ἡλικίαν. ἑπταέτους δ᾿ ὄντος αὐτοῦ παρακληθεὶς ὁ Καρκίνος ὑφ᾿ Ἡρακλείδου πρός τινα θυσίαν, καὶ θεασάμενος τὸν Ἀγαθοκλέα παίζοντα μετά τινων ἡλικιωτῶν, ἐθαύμαζε τό τε κάλλος καὶ τὴν ῥώμην. τῆς τε γυναικὸς εἰπούσης ὅτι τηλικοῦτος ἂν ἦν ὁ ἐκτεθείς, εἴπερ ἐτράφη, μεταμέλεσθαί τε ἔφη τοῖς πραχθεῖσι καὶ συνεχῶς ἐδάκρυεν. εἶθ᾿ ἡ μὲν γνοῦσα τὴν ὁρμὴν τἀνδρὸς συμφωνοῦσαν τοῖς πεπραγμένοις, ἐξέθηκε πᾶσαν τὴν ἀλήθειαν. ὁ δ᾿ ἀσμένως προσδεξάμενος τοὺς λόγους, τὸν μὲν υἱὸν ἀπέλαβε, τοὺς δὲ Καρχηδονίους φοβούμενος μετῴκησεν εἰς Συρακούσας πανοίκιος· πένης δ᾿ ὤν, ἐδίδαξε τὸν Ἀγαθοκλέα τὴν κεραμευτικὴν τέχνην ἔτι παῖδα τὴν ἡλικίαν ὄντα. καθ᾿ ὃν δὴ χρόνον Τιμολέων μὲν ὁ Κορίνθιος νικήσας τὴν ἐπὶ τῷ Κριμισσῷ μάχην τοὺς Καρχηδονίους μετέδωκε τῆς ἐν Συρακούσαις πολιτείας πᾶσι τοῖς βουλομένοις. ὁ δὲ Καρκίνος μετ᾿ Ἀγαθοκλέους πολιτογραφηθείς, καὶ μετὰ ταῦτα ὀλίγον βιώσας χρόνον, ἐτελεύτησεν. ἡ δὲ μήτηρ ἀνέθηκε λιθίνην εἰκόνα τοῦ παιδὸς ἔν τινι τεμένει, πρὸς ἣν μελιττῶν ἑσμὸς προσκαθίσας ἐκηροπλάστησεν ἐπὶ τῶν ἰσχίων. τοῦ δὲ σημείου προσενεχθέντος τοῖς περὶ ταῦτ᾿ ἀσχολουμένοις, ἀπεφήναντο πάντες κατὰ τὴν ἀκμὴν ἥξειν αὐτὸν εἰς μεγάλην ἐπιφάνειαν· ὅπερ καὶ συνετελέσθη.

3 Δάμας γάρ τις τῶν ἐνδόξων ἀριθμούμενος ἐν Συρακούσαις ἐρωτικῶς διετέθη πρὸς τὸν Ἀγαθοκλέα, καὶ τὸ μὲν πρῶτον δαψιλῶς ἅπαντα χορηγῶν αἴτιος ἐγένετο σύμμετρον αὐτὸν οὐσίαν συλλέξασθαι, μετὰ δὲ ταῦτα αἱρεθεὶς ἐπ᾿ Ἀκράγαντα στρατηγός, ἐπειδὴ τῶν χιλιάρχων τις ἀπέθανε, τοῦτον εἰς τὸν ἐκείνου τόπον κατέστησεν. ὁ δὲ καὶ πρὸ τῆς στρατείας μὲν ἦν πολὺ σεμνὸς διὰ τὸ μέγεθος τῶν ὅπλων· ἐπετήδευσε γὰρ ἐν ταῖς ἐξοπλισίαις φέρειν πανοπλίαν τηλικαύτην τὸ μέγεθος ὥστε μηδένα τῶν ἄλλων δύνασθαι ῥαδίως χρήσασθαι τῷ βάρει τῶν ὅπλων· πολὺ δ᾿ ἔτι μᾶλλον γενόμενος χιλίαρχος περιεποιήσατο δόξαν, φιλοκίνδυνος μὲν ὢν καὶ παράβολος ἐν ταῖς μάχαις, ἰταμὸς δὲ καὶ πρόχειρος ἐν ταῖς δημηγορίαις. τοῦ δὲ Δάμαντος νόσῳ τελευτήσαντος, καὶ τὴν οὐσίαν καταλιπόντος τῇ γυναικί, ταύτην ἔγημε, καὶ τῶν πλουσιωτάτων εἰς ἠριθμεῖτο. μετὰ δὲ ταῦτα Κροτωνιάταις πολιορκουμένοις ὑπὸ Βρεττίων οἱ Συρακόσιοι δύναμιν ἁδρὰν ἔπεμψαν, ἧς ἐστρατήγει μὲν μεθ᾿ ἑτέρων Ἄντανδρος ὁ Ἀγαθοκλέους ἀδελ-
320 φός, τῶν δ᾿ ὅλων εἶχε τὴν ἡγεμονίαν Ἡρακλείδης καὶ Σωσίστρατος, ἄνδρες ἐν ἐπιβουλαῖς καὶ φόνοις καὶ μεγάλοις ἀσεβήμασι γεγονότες τὸν πλείω τοῦ βίου· περὶ

66. *Πλώτιον*] *πούπλιον* F correctus in marg. 69. *γενέσθαι* post *σαφεστέρας* ponunt FTW 70. *Καρκίνος*] *Καρκῖνος* omnes hic et postea 72. *Θέρμοις*] *θερμοῖς* F Bas. 74. *ἐμπλακεὶς*] *συμπλακεὶς* Schaeferus Ind. ad Dionys. v. *σύν* 77. *ἀναγομένοις*] *ἀγομένοις* Bas. 78. *γεννησομένου* FW, caeteri *γενησομένου* 79. *ἐπιμελῶς*] *ἐπιμελὲς* F 81. *ἃ*] *ὃ* FW 82. *ἐξέθηκε*] *ἐξέπεσε* V 83. *παρακατέστησε*] *παρεκατέστησε* F (α) 84. *οὐκ ἀπέθνησκεν*] *οὐ κατέθνησκεν* Bas. 85. *οἱ τεταγμένοι δ᾿*] *οἵ τε τεταγμένοι* F
319. 87. *ἀνείλετο*] *ἀνείλατο* FW 91. *ἀνενέγκασα*] *ἀνενεγκοῦσα* FV 93. *ἢ* om. V 100. *ἐδάκρυεν*] *ἐδάκρυσεν* FVW



4. *μετῴκησεν*] *μετῴκισεν* F Bas. 8. *Κριμισσῷ* FW, *Κηνισσῷ* Q, *Κηνίσσῳ* Bas., caeteri *Κρημισσῷ* 13. *τεμένει*] *τόπῳ τεμένει* FV *μελιττῶν* F, caeteri *μελισσῶν* 15. *ταῦτ᾿*] *ταῦτα* F 21. *αὐτὸν οὐσίαν*] invertit F 22. *αἱρεθεὶς*] *αἱρηθεὶς* F 26. *ἐξοπλισίαις* F, α super ι posito, caeteri *ἐξοπλασίαις* *φέρειν*] *φορεῖν* FW 28. *χρήσασθαι* FVW, caeteri *χρῆσθαι* 37. *ὁ* om. F 38. *εἶχε*] *εἶχον* V
320. 39. *Σωσίστρατος*] *Σώστρατος* T semper, Y 40. *τὸν πλείω*] *τῷ πλείῳ* Bas.

ὧν τὰ κατὰ μέρος ἡ πρὸ ταύτης περιέχει βίβλος. συνεστρατεύετο δ' αὐτοῖς καὶ Ἀγαθοκλῆς, ἐγνωσμένος ὑπὸ τοῦ δήμου καὶ τεταγμένος ἐπὶ χιλιαρχικῆς ἡγεμονίας, ὃς τὸ μὲν πρῶτον ἐν ταῖς πρὸς τοὺς βαρβάρους μάχαις γενόμενος κράτιστος ὑπὸ τῶν περὶ Σωσίστρατον ἀφῃρέθη τὴν τῶν ἀριστείων τιμὴν διὰ τὸν φθόνον. ἐφ' οἷς περιαλγὴς γενόμενος αὐτοὺς διεγνωκότας ἐπιθέσθαι τυραννίδι κατηγόρησεν ἐν τῷ δήμῳ. οὐ προσεχόντων δὲ τῶν Συρακοσίων ταῖς διαβολαῖς, οἱ μὲν περὶ Σωσίστρατον ἐδυνάστευσαν τῆς πατρίδος μετὰ τὴν ἐκ Κρότωνος ἐπάνοδον.

4 ὁ δ' Ἀγαθοκλῆς ἀλλοτρίως ἔχων τὰ πρὸς αὐτούς, τὸ μὲν πρῶτον κατέμενεν ἐν Ἰταλίᾳ μετὰ τῶν κοινοπραγούντων, καὶ καταλαμβάνεσθαι τὴν τῶν Κροτωνιατῶν πόλιν ἐπιχειρήσας ἐξέπεσε, καὶ μετ' ὀλίγων εἰς Τάραντα διεσώθη. ταχθεὶς δὲ παρὰ τοῖς Ταραντίνοις ἐν τῇ τῶν μισθοφόρων τάξει, καὶ πολλαῖς καὶ παραβόλοις ἐγχειρῶν πράξεσιν, εἰς ὑποψίαν ἦλθε καινοτομεῖν. διόπερ ἀπολυθεὶς καὶ ταύτης τῆς στρατείας συνήθροισε τοὺς κατὰ τὴν Ἰταλίαν φυγάδας, καὶ Ῥηγίνοις πολεμουμένοις ὑπὸ τῶν περὶ τὸν Ἡρακλείδην καὶ Σωσίστρατον ἐβοήθησεν. ἔπειτα τῆς ἐν Συρακούσαις δυναστείας καταλυθείσης καὶ τῶν περὶ τὸν Σωσίστρατον φυγόντων, κατῆλθεν εἰς τὴν πατρίδα. συνεκπεσόντων δὲ τοῖς δυνάσταις πολλῶν ἐνδόξων ἀνδρῶν, ὡς ἂν τῆς ὀλιγαρχίας κεκοινωνηκότων τῆς τῶν ἑξακοσίων τῶν ἐπιφανεστάτων, ἐνέστη πόλεμος τοῖς φυγάσι πρὸς τοὺς ἀντεχομένους τῆς δημοκρατίας. συμμαχούντων δὲ τῶν Καρχηδονίων τοῖς περὶ τὸν Σωσίστρατον φυγάσιν, ἐγίνοντο κίνδυνοι συνεχεῖς καὶ παρατάξεις ἀδρῶν δυνάμεων, ἐν αἷς Ἀγαθοκλῆς, ποτὲ μὲν ἰδιώτης ὤν, ποτὲ δὲ ἐφ' ἡγεμονίας τεταγμένος, ὑπελήφθη δραστικὸς εἶναι καὶ φιλότεχνος ἐκ τοῦ πρὸς ἕκαστον τῶν καιρῶν ἐπινοεῖσθαί τι τῶν χρησίμων· ὧν ἓν ἔπραξε καὶ μάλα μνήμης ἄξιον. στρατοπεδευόντων γάρ ποτε τῶν Συρακοσίων πλησίον τῆς Γέλας, αὐτὸς μὲν

46. κράτιστος] καὶ κράτιστος FV Σωσίστρατον] σωσίπατρον F, Σώστρατον Bas. 48. αὐτοὺς] αὐτοὺς δὴ F 50. τῶν] τούτων τῶν F Συρακοσίων Bas. Σώστρατον Bas. 53. τὰ πρὸς] τὰ πρὸς ἐπάνοδον τὰ πρὸς VW, τὰ πρὸς ἐπάνοδον πρὸς F 55. τῶν om. F 57. ταχθεὶς] καταταχθεὶς FW 59. παραβόλοις] παραλόγοις QVW 64. τὸν Σωσίστρατον] τὸν Σώστρατον Bas., τὸν om. F 66. τοῖς δυνάσταις] ταῖς δυναστείαις F 67. τῆς τῶν servarunt FVW 70. Σώστρατον Bas. 71. ἀδρῶν] libri ἀνδρῶν καὶ 73. ἡγεμονίας] αις super ας ponit F 74. ἐκ τοῦ] ἐν τῷ FW 77. Συρακοσίων Bas.



νυκτὸς παρεισέπεσεν εἰς τὴν πόλιν μετὰ χιλίων στρατιωτῶν, οἱ δὲ περὶ τὸν Σωσίστρατον ἐπιφανέντες μετὰ μεγάλης καὶ τεταγμένης δυνάμεως ἐτρέψαντο τοὺς παρεισπεπτωκότας καὶ κατέβαλον εἰς τριακοσίους. τῶν δ' ἄλλων ἐπιβαλομένων μὲν φεύγειν διά τινος στενοῦ τόπου καὶ τὴν σωτηρίαν ἀπεγνωκότων, παραδόξως αὐτοὺς Ἀγαθοκλῆς ἐκ τῶν κινδύνων ἐρρύσατο. αὐτὸς μὲν γὰρ λαμπρότατα πάντων ἀγωνισάμενος ἑπτὰ τραύμασι περιέπεσε, καὶ διὰ τὸ πλῆθος τοῦ ῥυέντος αἵματος τὸ σῶμα παρελύετο· τῶν δὲ πολεμίων ἐπικειμένων παρήγγειλε τοῖς σαλπιγκταῖς ἐπ' ἀμφότερα τὰ μέρη τοῦ τείχους παρελθόντας σημαίνειν τὸ πολεμικόν. ὧν ταχέως τὸ ῥηθὲν πραξάντων, οἱ προσβοηθήσαντες ἐκ τῆς Γέλας τὸ μὲν 321 ἀληθὲς διὰ τὸ σκότος οὐκ ἠδύναντο συνιδεῖν, ὑπολαβόντες δὲ τὴν ἄλλην δύναμιν τῶν Συρακοσίων κατ' ἀμφότερα τὰ μέρη παρεισπεπτωκέναι, τοῦ μὲν ἔτι διώκειν ἀπέστησαν, διελόμενοι δὲ τὰς τάξεις διχῇ ταχέως ἐβοήθουν, συντρέχοντες πρὸς τὸν ἦχον τῶν σαλπιγκτῶν. ἐν τοσούτῳ δὲ τυχόντες ἀνοχῆς οἱ περὶ τὸν Ἀγαθοκλέα μετὰ πάσης ἀσφαλείας διεσώθησαν εἰς τὸν χάρακα. ἐνταῦθα μὲν οὖν τοῦτον τὸν τρόπον καταστρατηγήσας τοὺς πολεμίους οὐ μόνον τοὺς σὺν αὐτῷ παραδόξως ἔσωσεν ἀλλὰ καὶ τῶν συμμάχων ἑπτακοσίους ἄνδρας.

Μετὰ δὲ ταῦτα ἐν ταῖς Συρακούσαις αἱρεθέντος 5 Ἀκεστορίδου τοῦ Κορινθίου στρατηγοῦ, δόξας ἐπιθέσθαι τυραννίδι διὰ τὴν σύνεσιν ἐξέφυγε τὸν κίνδυνον. ὁ μὲν γὰρ Ἀκεστορίδης εὐλαβηθεὶς τὴν στάσιν, καὶ διὰ τοῦτο οὐ βουλόμενος αὐτὸν φανερῶς ἀνελεῖν, ἐκέλευεν ἐκ τῆς πόλεως μεταστῆναι, καὶ τοὺς νυκτὸς κατὰ τὴν ὁδὸν ἀναιρήσοντας ἐξαπέστειλεν. Ἀγαθοκλῆς δὲ καταστοχασάμενος πιθανῶς τὴν ἐπίνοιαν τοῦ στρατηγοῦ, τῶν παίδων ἐξελέξατο τὸν ἑαυτῷ μάλιστα ἐοικότα καὶ κατὰ τὸ μέγεθος τοῦ σώματος καὶ κατὰ τὴν ὄψιν· τούτῳ δὲ δοὺς τὴν ἑαυτοῦ πανοπλίαν καὶ τὸν ἵππον, ἔτι δὲ τὴν ἐσθῆτα, παρεκρούσατο τοὺς ἐπὶ τὴν ἀναίρεσιν ἀποσταλέντας. αὐ-

78. πόλιν] παρεμβολὴν FVW 80. ἐτρέψαντο τοὺς] ἔτρεψαν Bas. 81. κατέβαλον] κατέβαλλον Bas. 82. ἐπιβαλλομένων μὲν φυγεῖν F 83. καὶ τὴν] τὴν F 88. παρήγγειλε F, caeteri παρήγγειλε καὶ σαλπιγκταῖς] σαλπιγγηταῖς Bas., σαλπισταῖς FVWY

321. 93. Συρακοσίων Bas. hic et paullo post 97. σαλπιγκτῶν] σαλπιγγητῶν Bas. 100. τοὺς σὺν αὐτῷ] ἑαυτὸν F, alterum γρ. in marg. ponens 2. ἑπτακοσίους] ἐννέα X 7. ἐκέλευεν] ἐκέλευσεν FVW 11. ἐξελέξατο] ἐξεδέξατο Bas. 12. τοῦ σώματος om. VW

τὸς δὲ ῥάκη περιβαλόμενος ἀνοδίᾳ τὴν ὁδοιπορίαν ἐποιήσατο. ἐκεῖνοι δὲ ἀπὸ τῶν ὅπλων καὶ τῶν ἄλλων συσσήμων ὑπολαβόντες εἶναι τὸν Ἀγαθοκλέα, καὶ τἀκριβὲς διὰ τὸ σκότος οὐ συνιδόντες, τὸν μὲν φόνον ἐπετέλεσαν, τῆς δὲ προκεχειρισμένης πράξεως διήμαρτον. μετὰ δὲ ταῦτα τῶν Συρακοσίων καταδεξαμένων τοὺς μετὰ Σωσιστράτου φυγάδας, καὶ πρὸς Καρχηδονίους εἰρήνην συνθεμένων, Ἀγαθοκλῆς φυγὰς ὢν ἰδίαν δύναμιν ἐν τῇ μεσογείῳ συνεστήσατο. γενόμενος δὲ φοβερὸς οὐ μόνον τοῖς πολίταις ἀλλὰ καὶ τοῖς Καρχηδονίοις, ἐπείσθη κατελθεῖν εἰς τὴν πατρίδα, καὶ παραχθεὶς εἰς τὸ τῆς Δήμητρος ἱερὸν ὑπὸ τῶν πολιτῶν ὤμοσε μηδὲν ἐναντιωθήσεσθαι τῇ δημοκρατίᾳ. προσποιηθεὶς δὲ τῆς δημοκρατίας προΐστασθαι, καὶ δημαγωγήσας ποικίλως τὰ πλήθη, στρατηγὸς κατεστάθη καὶ φύλαξ τῆς εἰρήνης, μέχρι ἂν γνησίως ὁμονοήσωσιν οἱ συνεληλυθότες εἰς τὴν πόλιν. εἰς πολλὰ γὰρ μέρη συνέβαινε διαιρεῖσθαι τὰς ἑταιρίας τῶν συνιόντων καὶ πρὸς ἀλλήλους ἑκάστοις εἶναι μεγάλας διαφοράς, μέγιστον δ' ἦν ἀντίταγμα τοῖς περὶ τὸν Ἀγαθοκλέα τὸ τῶν ἑξακοσίων συνέδριον, κατὰ τὴν ὀλιγαρχίαν ὑφηγημένον τῆς πόλεως· οἱ προέχοντες
6 γὰρ τῶν Συρακοσίων καὶ ταῖς δόξαις καὶ ταῖς οὐσίαις ἐν τούτοις ὑπῆρχον καταλελεγμένοι. ὁ δ' οὖν Ἀγαθοκλῆς ἐπιθυμητὴς ὢν δυναστείας, πολλὰς ἀφορμὰς ἔσχεν εἰς τὸ συντελέσαι τὸ βουλευθέν. οὐ μόνον γὰρ στρατηγὸς ὢν κύριος τῆς δυνάμεως ἦν, ἀλλὰ καὶ προσαγγελθέντος ὅτι τινὲς τῶν ἀποστατῶν ἐν τῇ μεσογείῳ πρὸς Ἑρβίτῃ συνάγουσι δύναμιν ἐξουσίαν ἔλαβεν ἀνυπόπτως καταγράφειν οὓς προαιροῖτο στρατιώτας. διὸ καὶ προσποιηθεὶς στρατεύειν ἐπὶ τὴν Ἕρβιταν, κατέλεξεν εἰς τά- 322
ξεις τούς τε ἐκ Μοργαντίνης καὶ τῶν ἄλλων τῶν ἐν τῇ μεσογείῳ πόλεων τοὺς αὐτῷ πρότερον συμπορευθέντας πρὸς Καρχηδονίους. οὗτοι γὰρ πάντες πρὸς Ἀγαθοκλέα μὲν εὐνούστατα διέκειντο, πολλὰ προευεργετημένοι κατὰ

16. *ἀνοδίᾳ* TX Bas., *ἄνω διὰ τοῦ ἑτέρου μέρους* W, caeteri *ἀνοδίᾳ τοῦ ἑτέρου μέρους*, quorum illa *τοῦ ἑτέρου μέρους* asterisco notavit Stephanus 23. *τῇ*] *τῷ* F 25. *τοῖς* om. F 28. *προσποιηθεὶς* om. W et qui *τῆς δὲ δημοκρατίας* F, in margine ponens *προσποιηθεὶς δὲ τῆς* 31. *μέχρι*] *μέχρις* F *ὁμονοήσωσιν* FW, caeteri *ὁμονοήσουσιν* 33. *ἑταιρίας*] *ἑταιρείας* F 34. *ἑκάστοις*] *ἑκάστους* FVW 36. *κατὰ* Wesselingius: libri *μετὰ* *ὑφηγημένον*] *ἐφηγημένον* F 37. *καὶ* om. Bas. 41. *βουλευθὲν*] *βουληθὲν* F 43. *ἦν* om. FV 46. *προαιροῖτο*] *προαιρεῖται* FW 322. 47. *Ἕρβιταν*] *ἔρβεταν* F, caeteri *Ἑρβίταν* 49. *τοὺς* FW, caeteri *καὶ τοὺς* 51. *εὐνούστατα*] *εὐμενέστατα* QVW



τὰς στρατείας, πρὸς δὲ τοὺς ἐν Συρακούσαις ὀλιγαρχίας κεκοινωνηκότας ἑξακοσίους ἀεὶ πολεμικῶς εἶχον, καὶ καθόλου τὸν δῆμον ἐμίσουν, ἀναγκαζόμενοι ποιεῖν τὸ προσταττόμενον. τούτων δ' ὄντων μὲν τὸν ἀριθμὸν εἰς τρισχιλίους, ταῖς δ' ὁρμαῖς καὶ ταῖς προαιρέσεσιν εὐθετωτάτων πρὸς τὴν κατάλυσιν τῆς δημοκρατίας, προσεπελέξατο καὶ τῶν πολιτῶν τοὺς διὰ πενίαν καὶ φθόνον ἐναντιουμένους ταῖς τῶν ἰσχυόντων ἐπιφανείαις. ὡς δ' αὐτῷ πάντ' ἦν εὐτρεπῆ, τοῖς μὲν στρατιώταις παρήγγειλεν ἀπαντᾶν ἅμ' ἡμέρᾳ εἰς τὸ Τιμολεόντειον· αὐτὸς δὲ μεταπεμπόμενος τοὺς περὶ Τίσαρχον καὶ Διοκλέα τοὺς δοκοῦντας προεστάναι τῆς τῶν ἑξακοσίων ἑταιρίας, ὡς περί τινων κοινῇ συμφερόντων διαλεξόμενος, ἐπειδὴ παρεγένοντο παραλαβόντες τῶν φίλων εἰς τετταράκοντα, προσποιηθεὶς ἑαυτὸν ἐπιβουλεύεσθαι συνελάμβανεν ἅπαντας, καὶ κατηγόρησε μὲν αὐτῶν ἐν τοῖς στρατιώταις, φήσας ὑπὸ τῶν ἑξακοσίων ἁρπάζεσθαι διὰ τὴν πρὸς τὸν δῆμον εὔνοιαν, καὶ κατωδύρετο τὴν περὶ αὐτὸν τύχην. παροξυνομένου δὲ τοῦ πλήθους, καὶ βοῶντος μηκέτι μέλλειν ἀλλ' ἐκ χειρὸς ἐπιθεῖναι τοῖς ἀδικήσασι τὴν δίκην, τοῖς μὲν σαλπιγκταῖς παρήγγειλε σημαίνειν τὸ πολεμικόν, τοῖς δὲ στρατιώταις ἀναιρεῖν τοὺς αἰτίους καὶ διαρπάζειν τὰς κτήσεις τῶν ἑξακοσίων καὶ τῶν τούτοις κοινοπραγούντων. ὁρμησάντων δὲ πάντων ἐπὶ τὴν ἁρπαγήν, ἡ πόλις ἐπληρώθη ταραχῆς καὶ μεγάλων ἀτυχημάτων· οἱ μὲν γὰρ χαριέστατοι τῶν πολιτῶν ἀγνοοῦντες τὸν καθ' αὑτῶν κεκυρωμένον ὄλεθρον ἐξεπήδων ἐκ τῶν οἰκιῶν εἰς τὰς ὁδούς, μαθεῖν σπεύδοντες τὸν θόρυβον· οἱ δὲ στρατιῶται τὰ μὲν διὰ τὴν πλεονεξίαν, τὰ δὲ διὰ τὸν θυμὸν ἠγριωμένοι τὰς ψυχάς, ἀνῄρουν τοὺς διὰ τὴν ἄγνοιαν γυμνὰ τὰ σώματα τῶν ἀμυνομένων ὅπλων
παρεχομένους. διαληφθέντων δὲ τῶν στενωπῶν κατὰ 7
μέρος ὑπὸ τῶν στρατιωτῶν, οἱ μὲν κατὰ τὰς ὁδούς, οἱ δ' ἐν ταῖς οἰκίαις ἐφονεύοντο. πολλοὶ δὲ καὶ τῶν μηδ' ὁτιοῦν διαβεβλημένων ἀνῃροῦντο, δεόμενοι μαθεῖν

53. *ἀεὶ*] *αἰεὶ* F 60. *πάντα* F 61. *παρήγγειλεν*] *προήγγειλεν* FQVW 62. *Τιμολεόντειον* F, caeteri *Τιμολεόντιον* 63. *Πίσαρχον* Bas. *Διοκλέα* Wesselingius: libri *Δεκλέα* 64. *ἑταιρίας*] *ἑτερείας* F 65. *τινων* FQVW, caeteri *τῶν* 66. *παραλαβόντες*] *παραλαβών τε* FQV *τετταράκοντα* F, *μ* Bas., *τεσσαράκοντα* caeteri 68. *κατηγόρησε μὲν*] praestat fortasse *κατηγόρησεν* 71. *τύχην*] *ψυχὴν* V, *τύχην* [ψ] F 73. *ἀδικήσασι*] *ἀδικήσασι* [μ] F *σαλπιγκταῖς*] *σαλπιγγηταῖς* Bas. 79. *μὲν γὰρ*] *γὰρ* T Bas. 84. *τοὺς*] *τούς τε* F 88. *δὲ* FVW, caeteri *δ' οὖν*

τὴν αἰτίαν τῆς ἀπωλείας. καθωπλισμένον γὰρ πλῆθος ἐξουσίαν προςλαβὸν οὐ διέκρινε φίλον ἢ πολέμιον, ἀλλὰ παρ' οὗ πλέον ὠφεληθήσεσθαι διειλήφει, τοῦτον ἐχθρὸν ἡγεῖτο. διὸ καὶ παρῆν ὁρᾶν πᾶσαν τὴν πόλιν πεπληρωμένην ὕβρεως καὶ φόνων καὶ παντοίων ἀνομημάτων. οἱ μὲν γὰρ διὰ τὰς προϋπαρχούσας ἔχθρας οὐδεμιᾶς ἐπηρείας ἀπείχοντο κατὰ τῶν μισουμένων, ἔχοντες ἐξουσίαν διατιθέναι πᾶν τὸ κεχαρισμένον τῷ θυμῷ· οἱ δὲ ταῖς τῶν εὐπόρων σφαγαῖς οἰόμενοι τὰς ἰδίας ἀπορίας ἐπανορθώσασθαι, πᾶν ἐμηχανῶντο πρὸς τὸν κατ' αὐ-
τῶν ὄλεθρον. οἱ μὲν γὰρ τὰς αὐλείους θύρας ἐξέκοπτον, 323
οἱ δὲ διὰ κλιμάκων ἐπὶ τὰς ὀροφὰς προςανέβαινον, ἄλλοι δὲ διηγωνίζοντο πρὸς τοὺς ἀπὸ τῶν στεγῶν ἀμυνομένους. οὐ μὴν οὐδὲ τοῖς εἰς τὰ τεμένη καταφυγοῦσιν ἡ τῶν θεῶν ἱκετεία παρείχετο τὴν ἀσφάλειαν, ἀλλ' ἡ πρὸς θεοὺς εὐσέβεια ἐνικᾶτο πρὸς ἀνθρώπων. καὶ ταῦτ' ἐτόλμων ἐν εἰρήνῃ καὶ πατρίδι παρανομεῖν Ἕλληνες καθ' Ἑλλήνων, οἰκεῖοι κατὰ συγγενῶν, οὐ φύσιν, οὐ σπονδάς, οὐ θεοὺς ἐντρεπόμενοι, ἐφ' οἷς οὐχ ὅτι φίλος, ἀλλὰ καὶ παντελῶς ἐχθρός, μέτριός γε τὴν ψυχήν, οὐκ ἔστιν ὅςτις
8 οὐκ ἂν τὴν τῶν πασχόντων τύχην ἐλεήσειε. πᾶσαι μὲν γὰρ αἱ πύλαι τῆς πόλεως ἐκλείσθησαν, πλείους δὲ τῶν τετρακιςχιλίων ἀνῃρέθησαν αὐθημερόν, τοῦτο μόνον ἐγκληθέντες ὅτι χαριέστεροι τῶν ἄλλων ἦσαν. τῶν δὲ φυγόντων οἱ μὲν ἐπὶ τὰς πύλας ὁρμήσαντες συνελήφθησαν, οἱ δὲ κατὰ τῶν τειχῶν ῥίπτοντες ἑαυτοὺς εἰς τὰς ἀστυγείτονας πόλεις διεσώθησαν, τινὲς δὲ διὰ τὸν φόβον ἀπρονοήτως ἀλλόμενοι κατεκρημνίσθησαν. τὸ δὲ πλῆθος ἦν τῶν ἐκπεσόντων ἐκ τῆς πατρίδος ὑπὲρ τοὺς ἑξακιςχιλίους, ὧν οἱ πλεῖστοι κατέφυγον πρὸς τοὺς Ἀκραγαντίνους, κἀκεῖ τῆς καθηκούσης ἐπιμελείας ἠξιώθησαν. οἱ δὲ περὶ τὸν Ἀγαθοκλέα διημερεύσαντες ἐν τοῖς τῶν πολιτῶν φόνοις οὐδὲ τῆς εἰς γυναῖκας ὕβρεως καὶ παρανομίας ἀπέσχοντο, ἀλλὰ παρὰ τῶν ἐκπεφευγότων τὸν θάνατον ἱκανὴν ὑπελάμβανον λήψεσθαι τιμωρίαν τὴν εἰς τοὺς συγγενεῖς ἐπήρειαν· δεινότερα γὰρ θανάτου

91. προςλαβὼν] λαβὼν TX Bas. 92. διειλήφει] διειλήφθει Bas. 97. κεχαρισμένον] κεχειρισμένον Bas. 99. ἀπορίας Stephanus: libri εὐπορίας

323. 1. αὐλείους] αὐλίους T 6. εὐσέβεια] ἀσέβεια Bas. 15. χαριέστεροι] χαριέστατοι FW 16. φυγόντων] φευγόντων F τὰς πύλας] ταῖς πύλαις F 18. ἑαυτοὺς] αὐτοὺς T Bas. 19. ἀλλόμενοι] ἀλώμενοι V 25. οὐδὲ] οὔτε omnes 28. γὰρ] γε Bas.



τοὺς μὲν ἄνδρας καὶ πατέρας εἰκὸς ἦν πείσεσθαι γυναικῶν ὕβρεις καὶ παρθένων αἰσχύνας ἀναλογιζομένους. ἀφ' ὧν ἡμῖν περιαιρετέον ἐστὶ τὴν ἐπίθετον καὶ συνήθη τοῖς συγγραφεῦσι τραγῳδίαν μάλιστα μὲν διὰ τὸν τῶν παθόντων ἔλεον, ἔπειτα καὶ διὰ τὸ μηδένα τῶν ἀναγινωσκόντων ἐπιζητεῖν ἀκοῦσαι τὰ κατὰ μέρος, ἐν ἑτοίμῳ τῆς γνώσεως οὔσης. οἱ γὰρ μεθ' ἡμέραν ἐν ταῖς ὁδοῖς καὶ κατὰ τὴν ἀγορὰν σφάττειν τολμῶντες τοὺς μηδὲν ἀδικοῦντας οὐ προςδέονται τοῦ δηλώσοντος τί νύκτωρ ἔπραττον καθ' αὐτοὺς ἐν ταῖς οἰκίαις καὶ πῶς προςεφέροντο παρθένοις ὀρφαναῖς καὶ γυναιξὶν ἐρήμοις μὲν οὔσαις τῶν βοηθούντων, πεπτωκυίαις δ' ὑπ' ἐξουσίαν αὐτοκράτορα τῶν ἐχθίστων. ὁ δ' Ἀγαθοκλῆς δυοῖν ἡμερῶν διελθουσῶν, ἐπειδή ποτ' ἐπληρώθη τοῦ κατὰ τῶν πολιτῶν φόνου, τοὺς ζωγρηθέντας ἀθροίσας Δεινοκράτην μὲν ἀφῆκε διὰ τὴν προγεγενημένην φιλίαν, τῶν ἄλλων δὲ τοὺς μὲν ἀλλοτριώτατα διακειμένους ἀνεῖλε, τοὺς δὲ λοιποὺς ἐφυγάδευσε.

Μετὰ δὲ ταῦτα συναγαγὼν ἐκκλησίαν κατηγόρησε 9
μὲν τῶν ἑξακοσίων καὶ τῆς ὑπ' αὐτῶν προγεγενημένης ὀλιγαρχίας· καθαρὰν δὲ φήσας τὴν πόλιν πεποιηκέναι τῶν δυναστεύειν ἐπιχειρούντων, ἀπεφαίνετο τῷ δήμῳ τὴν αὐτονομίαν εἰλικρινῆ παραδιδόναι, καὶ βούλεσθαί ποτε τῶν πόνων ἀπολυθεὶς ἰδιωτεύειν ἴσος ὢν πᾶσι. καὶ
324 ταῦτα λέγων τὸ μὲν χλαμύδιον ἑαυτοῦ περιέσπασε, τὸ δ' ἱμάτιον μεταλαβὼν ἀπῄει, τῶν πολλῶν ἑαυτὸν ἀποδείξας ἕνα. ταῦτα δ' ἔπραττε τὸν δημοτικὸν ὑποκρινόμενος καὶ σαφῶς εἰδὼς τοὺς πλείους τῶν ἐκκλησιαζόντων μετεσχηκότας τῶν ἀσεβημάτων, καὶ διὰ τοῦτο μηδέποτ' ἂν βουληθέντας ἄλλῳ τὴν στρατηγίαν ἐγχειρίσαι. εὐθὺς γοῦν οἱ διαπεφορηκότες τὰ τῶν ἠτυχηκότων ἐβόων μὴ καταλιπεῖν ἑαυτούς, ἀλλὰ προςδέξασθαι τὴν τῶν ὅλων ἐπιμέλειαν. ὁ δὲ τὸ μὲν πρῶτον ἡσυχίαν εἶχεν, εἶτα τοῦ πλήθους βιαιότερον ἐγκειμένου προςδέξασθαι μὲν ἔφησε τὴν στρατηγίαν, μὴ μέντοι γε μετ' ἄλλων ἄρξειν. οὐ γὰρ ὑπομενεῖν ὧν ἂν ἕτεροι παρανομήσωσι τούτων

30. πείσεσθαι] πυθέσθαι FQVW 34. μηδένα] μηθένα omnes ἀναγινωσκόντων] ἀναγινωσκομένων F, illud γρ. in marg. ponens 41. βοηθούντων] βοηθησόντων Y Bas. 43. δυοῖν] δυεῖν TV Bas. 52. ἀπεφαίνετο] ἀπέφαινε FW 53. παραδιδόναι] παραδοῦναι F

324. 56. ἑαυτοῦ] αὐτοῦ T Bas. 57. ἑαυτὸν] αὐτὸν F μεταλαβὼν] μεταλαβὼν (β) F 61. εὐθὺς] εὐθὺ T Bas. 67. ὑπομενεῖν] ὑπομένειν omnes 68. παρανομήσωσι] παρανομήσουσι F, et mox τοῦτον

αὐτὸν συνάρχοντα λόγον ἀποδιδόναι κατὰ τοὺς νόμους. συγχωρήσαντος δὲ τοῦ πλήθους μοναρχεῖν, οὗτος μὲν ἐχειροτονήθη στρατηγὸς αὐτοκράτωρ, καὶ τὸ λοιπὸν φανερῶς ἐδυνάστευε καὶ τῆς πόλεως ἐπιμέλειαν ἐποιεῖτο. τῶν δ' ἀκεραίων Συρακοσίων οἱ μὲν διὰ τὸν φόβον ἠναγκάζοντο καρτερεῖν, οἱ δ' ὑπὸ τοῦ πλήθους κατισχυόμενοι τὴν ἔχθραν εἰς κενὸν οὐκ ἐτόλμων ἐνδείκνυσθαι· πολλοὶ δὲ καὶ τῶν ἀπόρων καὶ κατάχρεων ἄσμενοι τὴν μεταβολὴν προςεδέξαντο. ἐπηγγέλλετο γὰρ Ἀγαθοκλῆς κατὰ τὴν ἐκκλησίαν καὶ χρεῶν ἀποκοπὰς ποιήσεσθαι καὶ τοῖς πένησι χώραν δωρήσεσθαι. ἀπὸ δὲ τούτων γενόμενος τοῦ μὲν ἔτι φονεύειν ἢ κολάζειν τινὰς ἀπέστη, μεταβαλόμενος δ' εἰς τοὐναντίον εὐγνωμόνως τοῖς πλήθεσι προςεφέρετο, καὶ πολλοὺς μὲν εὐεργετῶν, οὐκ ὀλίγους δ' ἐπαγγελίαις μετεωρίζων, πάντας δὲ λόγοις φιλανθρώποις δημαγωγῶν, οὐ μετρίας ἀποδοχῆς ἐτύγχανεν. ἔχων δὲ τηλικαύτην δυναστείαν οὔτε διάδημα ἀνέλαβεν οὔτε δορυφόρους εἶχεν οὔτε δυςεντευξίαν ἐζήλωσεν, ἅπερ εἰώθασι ποιεῖν σχεδὸν ἅπαντες οἱ τύραννοι. ἐπεμελήθη δὲ καὶ τῶν προςόδων καὶ τῆς τῶν ὅπλων καὶ βελῶν παρασκευῆς, ἔτι δὲ πρὸς ταῖς ὑπαρχούσαις μακραῖς ναυσὶν ἑτέρας ἐναυπηγήσατο. προςελάβετο δὲ καὶ τῶν ἐν τῇ μεσογείῳ χωρίων καὶ πόλεων τὰς πλείστας. καὶ τὰ μὲν κατὰ τὴν Σικελίαν ἐν τούτοις ἦν.

10 Κατὰ δὲ τὴν Ἰταλίαν Ῥωμαῖοι μὲν ἔνατον ἔτος ἤδη διεπολέμουν πρὸς Σαμνίτας, καὶ κατὰ μὲν τοὺς ἔμπροσθεν χρόνους μεγάλαις δυνάμεσιν ἦσαν διηγωνισμένοι, τότε δὲ εἰς τὰς πολεμίας εἰςβολὰς ποιούμενοι χώρας μέγα μὲν οὐδὲν οὐδὲ μνήμης ἄξιον διεπράξαντο, διετέλουν δὲ τοῖς τε φρουρίοις προςβολὰς ποιούμενοι καὶ τὴν χώραν λεηλατοῦντες. ἐπόρθησαν δὲ καὶ τῆς Ἀπουλίας τὴν Δαυνίαν πᾶσαν, καὶ προςαγαγόμενοι Κανυσίους ὁμήρους

71. ἐδυνάστευε] ἐδυνάστευσε F 73. Συρακοσίων Bas. 74. δ' F 79. ποιήσεσθαι — δωρήσεσθαι F, supra scripto bis α: et δωρήσεσθαι etiam Bas., quod ποιήσεσθαι requirere monuit Wesselingius: caeteri ποιήσασθαι — δωρήσασθαι 82. τοῖς πλήθεσι προςεφέρετο] προςεφέρετο τοῖς πλήθε-
α
σι F 85. μετρίας] μετρίως F 86. ἀνέλαβεν] ἔλαβεν Bas. 88. εἰώθασιν οἱ τύραννοι σχεδὸν ἅπαντες ποιεῖν F 91. προςελάβετο Bas., caeteri προςεπελάβετο 93. τὴν om. F 95. ἔνατον] ἔννατον omnes 96. ἤδη om. Bas. Σαμνίτας] Σαυνίτας FT 97. διηγωνισμένοι] διαγωνισάμενοι W, διαγωνισμένοι V 99. χώρας om. TX, asterisco notavit Stephanus, χώρας — 1. ποιούμενοι om. Bas.: scribendum videtur τὴν πολεμίαν, deleto χώρας 3. Κανυσίους] Κανουσίους VW



παρ' αὐτῶν ἔλαβον. προςέθηκαν δὲ καὶ δύο φυλὰς ταῖς προϋπαρχούσαις τήν τε Φαλερῖναν καὶ τὴν Ὠφεντῖναν. ἅμα δὲ τούτοις πραττομένοις Κροτωνιᾶται πρὸς
325 μὲν Βρεττίους διελύσαντο, πρὸς δὲ τοὺς ἐκπεπτωκότας τῶν πολιτῶν ὑπὸ τῆς δημοκρατίας διὰ τὴν πρὸς Ἡρακλείδην καὶ Σωσίστρατον κοινωνίαν, περὶ ἧς ἐν τῇ πρὸ ταύτης βίβλῳ τὰ κατὰ μέρος διήλθομεν, δεύτερον ἔτος ἤδη πολεμοῦντες, Πάρωνα καὶ Μενέδημον ἄνδρας ἐπιφανεῖς στρατηγοὺς ἐχειροτόνησαν. οἱ δὲ φυγάδες ἐκ Θουρίων ὁρμήσαντες καὶ προςλαβόντες μισθοφόρους τριακοσίους ἐπεχείρησαν μὲν νυκτὸς παρειςπίπτειν εἰς τὴν πατρίδα, ἀποκρουσθέντες δ' ὑπὸ τῶν Κροτωνιατῶν κατεστρατοπέδευσαν ἐπὶ τῶν μεθορίων τῆς Βρεττίων χώρας· μετ' ὀλίγον δὲ τῆς πολιτικῆς δυνάμεως ἐπελθούσης πολλαπλασίου πάντες μαχόμενοι κατεσφάγησαν.

Ἡμεῖς δ' ἐπεὶ τὰ περὶ Σικελίαν καὶ τὴν Ἰταλίαν διεληλύθαμεν, διαβιβάσομεν τὸν λόγον ἐπὶ τὰ λοιπὰ μέρη τῆς Εὐρώπης. κατὰ γὰρ τὴν Μακεδονίαν Εὐρυδίκη 11 τῆς βασιλείας προεστηκυῖα καὶ πυνθανομένη τὴν Ὀλυμπιάδα παρασκευάζεσθαι πρὸς τὴν κάθοδον, πρὸς μὲν Κάσσανδρον εἰς Πελοπόννησον ἀπέστειλε βιβλιαφόρον, ἀξιοῦσα βοηθεῖν τὴν ταχίστην. τῶν δὲ Μακεδόνων τοὺς πρακτικωτάτους ἀνακαλουμένη δωρεαῖς καὶ μεγάλαις ἐπαγγελίαις ἰδίους ταῖς εὐνοίαις κατεσκεύαξε. Πολυσπέρχων δὲ δύναμιν ἤθροισε προςλαβόμενος Αἰακίδην τὸν Ἠπειρώτην, καὶ κατῆγεν Ὀλυμπιάδα μετὰ τοῦ Ἀλεξάνδρου παιδὸς ἐπὶ τὴν βασιλείαν. ἀκούων οὖν Εὐρυδίκην ἐν Εὐίοις τῆς Μακεδονίας οὖσαν μετὰ τῆς δυνάμεως, ὥρμησεν ἐπ' αὐτήν, σπεύδων μιᾷ μάχῃ κρῖναι τὰ πράγματα. ἀντιταχθέντων δ' ἀλλήλοις τῶν στρατοπέδων, οἱ Μακεδόνες ἐντραπέντες τὸ τῆς Ὀλυμπιάδος ἀξίωμα καὶ τῶν εὐεργεσιῶν ἀναμιμνησκόμενοι τῶν Ἀλεξάνδρου μετεβάλοντο. Φίλιππος μὲν οὖν ὁ βασιλεὺς εὐθὺς ἥλω

5. Φαλεριναν Sigonius: libri Φαλέρναν Ὠφεντῖναν] Ὠφεντίναν FW, caeteri Ὠφελτίναν 325. 10. πρὸ ταύτης] προτέρᾳ Y Bas. 11. Πάρωνα]
τ
παρωνὰν F 12. ἐπιφανεῖς] ἐπιφανεῖς εἰς W 17. ὀλίγον] ὀλίγων F 18. πολλαπλασίου] πολλαπλασίας FV 19. δ' F 20. διεληλύθαμεν] διήλθομεν FVW 21. διαβιβάσομεν] διαβιβάσωμεν F 24. τὴν Ὀ. παρασκευάζεσθαι] παρασκευάζεσθαι τὴν Ὀ. F 26. ἀπέστειλε] ἐπίστειλε F βιβλιαφόρον] ο super α ponit F 28. πρακτικωτάτους] πρατικωτάτους T, πατρικωτάτους Bas. 31. κατῆγεν FVW, caeteri κατήγαγεν 39. μετεβάλοντο] μετεβάλλοντο F ὁ βασιλεὺς T, caeteri βασιλεὺς εὐθὺς om. F

μετὰ τῆς θεραπείας, ἡ δ' Εὐρυδίκη μετὰ Πολυκλέους ἑνὸς τῶν συμβούλων εἰς Ἀμφίπολιν ἀποχωροῦσα συνελήφθη. τοῦτον δὲ τὸν τρόπον Ὀλυμπιὰς τῶν βασιλικῶν σωμάτων κυριεύσασα, καὶ χωρὶς κινδύνων τὴν βασιλείαν παραλαβοῦσα, τὴν εὐτυχίαν οὐκ ἤνεγκεν ἀνθρωπίνως, ἀλλὰ τήν τ' Εὐρυδίκην καὶ τὸν ἄνδρα Φίλιππον τὸ μὲν πρῶτον εἰς φυλακὴν καταθεμένη κακουχεῖν ἐπεχείρησε· περιοικοδομήσασα γὰρ αὐτῶν ἐν βραχεῖ τόπῳ τὰ σώματα διὰ μιᾶς στενῆς ὑποδοχῆς ἐχορήγει τὰ ἀναγκαῖα. ἐπὶ πολλὰς δ' ἡμέρας παρανομήσασα τοὺς ἠτυχηκότας, ἐπειδὴ παρὰ τοῖς Μακεδόσιν ἠδόξει διὰ τὸν πρὸς τοὺς πάσχοντας ἔλεον, τὸν μὲν Φίλιππον προσέταξε Θρᾳξί τισιν ἐκκεντῆσαι, βασιλέα γεγενημένον ἓξ ἔτη καὶ μῆνας τέτταρας, τὴν δ' Εὐρυδίκην παῤῥησιαζομένην καὶ βοῶσαν αὐτῇ μᾶλλον προσήκειν ἤπερ Ὀλυμπιάδι τὴν βασιλείαν ἔκρινε μείζονος ἀξιῶσαι τιμωρίας. εἰσέπεμψεν οὖν αὐτῇ ξίφος καὶ βρόχον καὶ κώνειον, καὶ συνέταξε τούτων ᾧ βούλοιτο καταχρήσασθαι πρὸς τὸν θάνατον, οὔτε τὸ προγεγενημένον ἀξίωμα τῆς παρανομουμένης 326
ἐντραπεῖσα τὸ παράπαν οὔτε τῆς κοινῆς τύχης εἰς οἶκτον ἐλθοῦσα. τοιγαροῦν τῆς ὁμοίας μεταβολῆς τυχοῦσα τῆς ὠμότητος ἀξίαν ἔσχε τὴν τοῦ βίου καταστροφήν. Εὐρυδίκη μὲν γὰρ κατευξαμένη παρόντος τοῦ κομίσαντος τῶν ὁμοίων δωρεῶν Ὀλυμπιάδα τυχεῖν τὸν μὲν ἄνδρα περιέστειλεν, ἐπιμεληθεῖσα τῶν τραυμάτων ὡς ποθ' ὁ καιρὸς συνεχώρει, ἑαυτὴν δ' ἀνακρεμάσασα τῇ ζώνῃ κατέστρεψε τὸν βίον, οὔτε δακρύσασα τὴν ἑαυτῆς τύχην οὔτε τῷ μεγέθει τῶν συμπτωμάτων ταπεινωθεῖσα. Ὀλυμπιὰς δὲ τούτων διαφθαρέντων ἀνεῖλε μὲν τὸν Νικάνορα τὸν ἀδελφὸν τοῦ Κασσάνδρου, κατέστρεψε δὲ τὸν Ἰόλλου τάφον, μετερχομένη, καθάπερ ἔφησε, τὸν Ἀλεξάνδρου θάνατον. ἐπέλεξε δὲ καὶ τῶν Κασσάνδρου φίλων τοὺς ἐπιφανεστάτους ἑκατὸν Μακεδόνας, οὓς ἅπαντας ἀπέσφαξεν. ἐν τοιούτοις δὲ παρανομήμασι πληροῦσα τὸν ἑαυτῆς θυμὸν ταχὺ πολλοὺς τῶν Μακεδόνων ἐποίησε μισῆσαι τὴν ὠμότητα. πάντες γὰρ ἀνεμιμνήσκοντο τῶν Ἀντιπάτρου λόγων, ὃς καθάπερ χρησμῳδῶν ἐπὶ τῆς τε-

44. εὐτυχίαν] βασιλείαν Bas. 45. τ' om. F 47. ἐπεχείρησεν· οἰκοδομήσασα F 49. ἀναγκαῖα] δίκαια XY Bas. 53. ἐκκεντῆσαι] ἐκκεντίσαι Bas. 54. τέτταρας] τέσσαρας F 55. αὐτῇ] αὑτῇ omnes

326. 60. προγεγενημένον] προγεγονὸς FV Bas. 62. τῆς om. Bas. 69. ἑαυτῆς] αὑτῆς F, αὐτῆς Bas. 72. τάφον] τάφρον Bas. 75. ἅπαντας om. FV



λευτῆς παρεκελεύσατο μηδέποτε συγχωρῆσαι γυναικὶ τῆς βασιλείας προστατεῖν. τὰ μὲν οὖν κατὰ Μακεδονίαν τοῦτον τὸν τρόπον διοικηθέντα πρόδηλον εἶχε τὴν ἐσομένην μεταβολήν.

12 Κατὰ δὲ τὴν Ἀσίαν Εὐμένης μὲν ἔχων τοὺς ἀργυράσπιδας Μακεδόνας καὶ τὸν ἀφηγούμενον αὐτῶν Ἀντιγένην παρεχείμασε μὲν τῆς Βαβυλωνίας ἐν ταῖς ὀνομαζομέναις Καρῶν κώμαις, πρὸς δὲ Σέλευκον καὶ Πύθωνα πρέσβεις ἀπέστειλεν, ἀξιῶν βοηθεῖν τοῖς βασιλεῦσι καὶ μετ' αὐτοῦ συναγωνίσασθαι πρὸς Ἀντίγονον. τούτων δ' ὁ μὲν Πύθων τῆς Μηδίας, ὁ δ' ἕτερος τῆς Βαβυλωνίας σατράπης ἀπεδέδεικτο καθ' ὃν καιρὸν ἡ δευτέρα διαίρεσις ἐγενήθη τῶν σατραπειῶν ἐν Τριπαραδείσῳ. οἱ δὲ περὶ Σέλευκον τοῖς μὲν βασιλεῦσιν ἔφασαν βούλεσθαι παρέχεσθαι χρείας, Εὐμένει μέντοι γε μηδέποθ' ὑπομενεῖν ποιοῦντας τὸ προσταττόμενον, οὗ Μακεδόνες συνελθόντες κατέγνωσαν θάνατον· πολλὰ δὲ πρὸς ταύτην τὴν προαίρεσιν διαλεχθέντες συνεξέπεμψαν παρ' αὐτῶν πρεσβευτὴν πρὸς Ἀντιγένην καὶ τοὺς ἀργυράσπιδας, ἀξιοῦντες ἀφιστάναι τῆς ἡγεμονίας Εὐμένη. τῶν δὲ Μακεδόνων οὐ προσεχόντων τοῖς λόγοις, Εὐμένης ἐπαινέσας αὐτῶν τὴν προθυμίαν ἀνέζευξε μετὰ τῆς δυνάμεως, καὶ παραγενηθεὶς ἐπὶ τὸν Τίγριν ποταμὸν κατεστρατοπέδευσε τῆς Βαβυλῶνος ἀπέχων σταδίους τριακοσίους. καὶ πρόθεσιν μὲν εἶχεν εἰς Σοῦσα ποιεῖσθαι τὴν πορείαν, διανοούμενος τὰς ἐκ τῶν ἄνω σατραπειῶν δυνάμεις μεταπέμπεσθαι καὶ τοῖς βασιλικοῖς θησαυροῖς χρήσασθαι πρὸς τὰς κατεπειγούσας χρείας. ἠναγκάζετο δὲ τὸν ποταμὸν διαβαίνειν διὰ τὸ τὴν μὲν κατόπιν χώραν προνενομεῦσθαι, τὴν δὲ πέραν ἀκέραιον εἶναι καὶ δαψιλεῖς δύνασθαι παρέχεσθαι τροφὰς τῷ στρατοπέδῳ.
327 συναγαγόντος οὖν αὐτοῦ πλοῖα πανταχόθεν πρὸς τὴν διάβασιν, οἱ περὶ Σέλευκον καὶ Πύθωνα κατέπλευσαν δυσὶ μὲν τριήρεσι, κοντωτοῖς δὲ πλείοσιν· ἔτι γὰρ τὰ σκάφη ταῦτα περιῆν ἐκ τῶν ὑπ' Ἀλεξάνδρου ναυπηγηθέντων

81. προστατεῖν] προστάττειν F, προστάττεῖν VW, caeteri προστατῆσαι 83. εἶχε] ἔσχε F 85. αὐτῶν] αὐτὸν Bas. 88. πείθωνα F saepius 89. αὐτοῦ] αὐτῶν Bas. 91. ἀπεδέδεικτο] ἀποδέδεικτο F 95. ὑπομενεῖν] ὑπομένειν omnes 98. συνεξέπεμψαν] συνέπεμψαν Bas. αὐτῶν] αὐτὸν F, caeteri αὑτῶν 99. Ἀντιγένην Bas. hic et inferius, caeteri semper Ἀντιγένη 8. κατεπειγούσας] ἐπειγούσας Bas. 11. δὲ πέραν] δ' ἑτέραν FQVW

327. 15. ἔτι — 16. ὑπ'] ἦσαν δὲ τὰ σκ. ταῦτα τῶν παρ' FQVW 16. περιῆν Stephanus: libri περὶ γῆν ἦν

13 περὶ Βαβυλῶνα. ταῦτα δὲ προσαγαγόντες πρὸς τὴν ἔκβασιν πάλιν ἐπεχείρουν τοὺς Μακεδόνας πείθειν ἀποστῆσαι τὸν Εὐμένη τῆς στρατηγίας, καὶ μὴ προάγειν καθ' αὐτῶν ἄνδρα ξένον καὶ πλείστους Μακεδόνας ἀνῃρηκότα. οὐδενὶ δὲ τρόπῳ τῶν περὶ τὸν Ἀντιγένην πειθομένων, οἱ περὶ Σέλευκον προσπλεύσαντες πρός τινα διώρυγα παλαιὰν ἀνέῤῥηξαν τὴν ἀρχὴν αὐτῆς, ὑπὸ τοῦ χρόνου συγκεχωσμένην. περικλυσθείσης δὲ τῆς τῶν Μακεδόνων στρατοπεδείας, καὶ πάντῃ τοῦ συνεχοῦς τόπου λιμνάσαντος, ἐκινδύνευσεν ἅπαν ἀπολέσθαι τὸ στρατόπεδον ὑπὸ τῆς πλήμης. ἐκείνην μὲν οὖν τὴν ἡμέραν ἔμειναν ἐφ' ἡσυχίας, ἀπορούμενοι πῶς χρηστέον τοῖς πράγμασι· τῇ δ' ὑστεραίᾳ παραστησάμενοι τὰ κοντωτὰ πλοῖα περὶ τριακόσια τὸν ἀριθμὸν ὄντα διεβίβασαν τὸ κράτιστον τῆς δυνάμεως οὐδενὸς παρενοχλοῦντος κατὰ τὴν ἔκβασιν· οἱ γὰρ περὶ Σέλευκον ἱππεῖς μόνον εἶχον, καὶ τούτους πολὺ τοῖς ἀριθμοῖς λειπομένους τῶν ἐναντίων. νυκτὸς δὲ ἤδη καταλαμβανούσης Εὐμένης μὲν ἀγωνιῶν ὑπὲρ τῆς ἀποσκευῆς πάλιν εἰς τοὐπίσω διεβίβασε τοὺς Μακεδόνας. εἰσηγησαμένου δέ τινος τῶν ἐγχωρίων ἐπεβάλετό τινα τόπον ἀνακαθαίρειν, δι' οὗ ῥάδιον ἦν ἀποστρέψαι τὴν διώρυγα καὶ βάσιμον κατασκευάσαι τὴν πλησίον χώραν. ἃ δὴ συνιδόντες οἱ περὶ Σέλευκον, καὶ βουλόμενοι τὴν ταχίστην αὐτοὺς ἐκ τῆς ἰδίας σατραπείας ἀπαλλάξαι, πρέσβεις ἀπέστειλαν ὑπὲρ ἀνοχῶν, συγχωρήσαντες τὴν διάβασιν. εὐθὺς δὲ καὶ βιβλιαφόρους ἀπέστειλαν πρὸς Ἀντίγονον εἰς Μεσοποταμίαν, ἀξιοῦντες ἥκειν τὴν ταχίστην μετὰ τῆς δυνάμεως, πρὶν ἢ καταβῆναι τοὺς σατράπας μετὰ τῶν δυνάμεων. Εὐμένης δὲ διαβὰς τὸν Τίγριν, καὶ παραγενόμενος εἰς τὴν Σουσιανήν, εἰς τρία μέρη διεῖλε τὴν δύναμιν διὰ τὴν τοῦ σίτου σπάνιν. ἐπιπορευόμενος δὲ τὴν χώραν κατὰ μέρος σίτου μὲν παντελῶς ἐσπάνιζεν, ὄρυζαν δὲ καὶ σήσαμον καὶ φοίνικα διέδωκε τοῖς στρατιώταις, δαψιλῶς ἐχούσης τῆς χώρας τοὺς τοιούτους καρπούς. πρὸς δὲ τοὺς ἐν ταῖς ἄνω σατραπείαις ἡγεμόνας ἦν μὲν καὶ πρότερον ἀπεσταλκὼς τὰς παρὰ τῶν βασιλέων ἐπιστολάς, ἐν αἷς ἦν γεγραμμένον πάντα πειθαρχεῖν Εὐμένει, καὶ τότε δὲ βιβλιαφόρους ἀπέστειλεν, ἀξιῶν ἀπαντᾶν εἰς τὴν Σουσιανὴν

17. ταῦτα δὲ] ταῦτα Bas. 21. Μακεδόνας] Μακεδόνων Q Bas. 28. ὑπὸ τῆς πλήμης] οὐ μὴν ἀλλ' ὑπὸ τῆς πλήμης (πλύμμης FW, πλήμμης V) ὑστέρουν, ὑπάρχοντες ἐκπεπληγμένοι τὸ παράδοξον FQVW 39. ἐπεβάλετο] ἐπεβάλλετο F 45. εὐθὺ Bas. 47. ἥκειν] ἦχειν F 53. φοίνικα] φοίνικας F 56. καὶ om. Bas.



ἅπαντας μετὰ τῶν ἰδίων δυνάμεων. καθ' ὃν δὴ χρόνον συνέβη κἀκείνους ἠθροικέναι τὰ στρατόπεδα καὶ συνδεδραμηκέναι πρὸς ἀλλήλους δι' ἑτέρας αἰτίας, ὑπὲρ ὧν ἀναγκαῖον προειπεῖν.

14 Πύθων σατράπης μὲν ἀπεδέδεικτο Μηδίας, στρατηγὸς δὲ τῶν ἄνω σατραπειῶν ἁπασῶν γενόμενος Φίλιππον 328 μὲν τὸν προϋπάρχοντα Παρθυαίας στρατηγὸν ἀπέκτεινε, τὸν δὲ αὐτοῦ ἀδελφὸν Εὔδαμον ἀντὶ τούτου κατέστησεν. οὗ γενομένου συνέδραμον οἱ λοιποὶ σατράπαι πάντες, φοβηθέντες μὴ τὸ παραπλήσιον πάθωσιν, ὄντος τοῦ Πύθωνος κινητικοῦ καὶ μεγάλα ταῖς ἐπιβολαῖς περιβαλλομένου. περιγενόμενοι δὲ αὐτοῦ μάχῃ καὶ πολλοὺς τῶν συναγωνισαμένων ἀνελόντες, ἐξήλασαν ἐκ τῆς Παρθυαίας. κἀκεῖνος τὸ μὲν πρῶτον ἀνεχώρησεν εἰς Μηδίαν, μετ' ὀλίγον δ' εἰς τὴν Βαβυλῶνα παραγενόμενος παρεκάλει τὸν Σέλευκον βοηθεῖν αὐτῷ καὶ κοινωνεῖν τῶν αὐτῶν ἐλπίδων. διὰ δὴ ταύτας τὰς αἰτίας τῶν ἄνω σατραπῶν συνηθροικότων εἰς ταὐτὸ τὰ στρατόπεδα, παρῆσαν οἱ παρ' Εὐμένους βιβλιαφόροι πρὸς ἑτοίμας τὰς δυνάμεις. ἦν δὲ τῶν ἡγεμόνων ἐπιφανέστατος μὲν καὶ κοινῷ δόγματι πάντων τὴν στρατηγίαν παραλαβὼν Πευκέστης, γεγενημένος Ἀλεξάνδρου σωματοφύλαξ καὶ προηγμένος ὑπὸ τοῦ βασιλέως δι' ἀνδρείαν. σατραπείαν δ' εἶχεν ἔτη πλείονα τῆς Περσίδος, καὶ μεγάλης ἀποδοχῆς ἐτύγχανε παρὰ τοῖς ἐγχωρίοις. δι' ἃς αἰτίας φασὶ καὶ τὸν Ἀλέξανδρον αὐτῷ μόνῳ Μακεδόνων συγχωρῆσαι Περσικὴν φορεῖν στολήν, χαρίζεσθαι βου-

62. ὑπὲρ ὧν] ὅπερ Bas. 64. Πείθων V 64. ἀπεδέδεικτο] ἀποδέδεικται F 65. γενόμενος Φίλιππον μὲν τὸν Παρθυαίας προϋπάρχοντα Wesselingius, γενόμενος (γενὸ Y), Παρθυαίας (Παρθυαῖος XY) Φιλώταν μὲν τὸν προϋπάρχοντα στρ. FWXY, γενόμενος Φιλώταν μὲν τὸν Παρθυαίας στρ. V, caeteri γένει Παρθυαῖος, ὃς Φιλώταν μὲν τὸν προϋπάρχοντα στρ.

328. 67. δὲ αὐτοῦ] ἑαυτοῦ δ' F 71. μεγάλα ταῖς ἐπιβολαῖς Reiskius, μεγάλου ταῖς ἐπιβολαῖς FVW, μεγάλαις ἐπιβολαῖς Bas., caeteri μεγάλαις ταῖς ἐπιβολαῖς περιβαλλομένου. περιγενόμενοι] περιβαλομένου FVW, περιβαλομένου etiam Bas. 72. δ' FVW 73. ἀνελόντες] ἀνελόντος W ἐξήλασαν] ἐξήλασεν W Παρθυαίας] σατραπείας W 74. τὸ μὲν πρῶτον om. W ἀνεχώρησεν εἰς Μηδίαν] εἰς Μηδίαν ἀπεχώρησεν W, εἰς μηδείαν ἀπεχώρησε F 75. Βαβυλῶνα] Βαβυλωνίαν QVW 78. σατραπῶν] σατραπειῶν T Bas. ταὐτὸ FW, caeteri τὸ αὐτὸ 79. τὰ om. Bas. 80. ἑτοίμας] ἑτοίμους VW 82. παραλαβὼν] παρειληφὼς FW et V nifallor 84. εἶχεν ἔτη TX Bas., caeteri εἶχε τὴν 85. μεγάλης] μεγίστης FQVW 88. Περσικὴν φορεῖν] invertit F

λόμενον τοῖς Πέρσαις καὶ διὰ τούτου νομίζοντα κατὰ πάνθ' ἕξειν τὸ ἔθνος ὑπήκοον. εἶχε δὲ τότε Πέρσας τοξότας μὲν καὶ σφενδονήτας μυρίους, τοὺς δ' εἰς τὴν Μακεδονικὴν τάξιν καθωπλισμένους παντοδαποὺς τρισχιλίους, ἱππεῖς δ' Ἕλληνας μὲν καὶ Θρᾶκας ἑξακοσίους, Πέρσας δὲ πλείους τῶν τετρακοσίων. Τληπόλεμος δ' ὁ Μακεδών, Καρμανίας σατράπης ἀποδεδειγμένος, εἶχε πεζοὺς μὲν χιλίους πεντακοσίους, ἱππεῖς δ' ἑπτακοσίους. καὶ Σιβύρτιος μὲν τῆς Ἀραχωσίας ἡγούμενος παρείχετο πεζοὺς μὲν χιλίους, ἱππεῖς δὲ δέκα πρὸς τοῖς ἑκατὸν ἕξ. Ἀνδρόβαζος δ' ἐκ Παροπαμισαδῶν, τοῦ Ὀξυάρτου κυριεύοντος τῆς σατραπείας, ἀπέσταλτο μετὰ πεζῶν μὲν χιλίων καὶ διακοσίων, ἱππέων δὲ τετρακοσίων. Στάσανδρος δ' ὁ τῆς Ἀρείας καὶ Δραγγηνῆς σατράπης προσειληφὼς καὶ τοὺς ἐκ τῆς Βακτριανῆς εἶχε πεζοὺς μὲν χιλίους πεντακοσίους, ἱππεῖς δὲ χιλίους. ἐκ δὲ τῆς Ἰνδικῆς Εὔδαμος παρεγένετο μεθ' ἱππέων μὲν πεντακοσίων, πεζῶν δὲ τρισχιλίων, ἐλεφάντων δὲ ἑκατὸν εἴκοσι· τὰ δὲ θηρία ταῦτα παρέλαβε μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν δολοφονήσας Πῶρον τὸν βασιλέα. οἱ δὲ πάντες μετὰ τῶν σατραπῶν ἠθροίσθησαν πεζοὶ μὲν πλείους τῶν μυρίων ὀκτακισχιλίων ἑπτακοσίων, ἱππεῖς δὲ τετρακισχίλιοι ἑξακόσιοι.

15 Ἐπεὶ δὲ παρεγενήθησαν εἰς τὴν Σουσιανὴν πρὸς τοὺς περὶ τὸν Εὐμένη, συνήγαγον ἐκκλησίαν κοινήν, ἐν ᾗ πολλὴν συνέβη γενέσθαι φιλοτιμίαν ὑπὲρ τῆς ἡγεμονίας. Πευκέστης μὲν γὰρ διά τε τὸ πλῆθος τῶν συναγωνιζομένων καὶ διὰ τὴν παρ' Ἀλεξάνδρου προαγωγὴν ἑαυτὸν ᾤετο δεῖν ἔχειν τὴν τῶν πάντων ἡγεμονίαν. 329 Ἀντιγένης δὲ τῶν ἀργυρασπίδων Μακεδόνων στρατηγῶν ἔφη δεῖν δοθῆναι τὴν ἐξουσίαν τῆς αἱρέσεως τοῖς μετ' αὐτοῦ Μακεδόσι, συγκαταπεπολεμηκόσιν Ἀλεξάνδρῳ τὴν Ἀσίαν καὶ γεγονόσι διὰ τὰς ἀρετὰς ἀνικήτοις. Εὐμένης δὲ φοβούμενος μὴ διὰ τὴν πρὸς ἀλλήλους στάσιν εὐχείρωτοι κατασταθῶσιν Ἀντιγόνῳ, συνεβούλευεν ἕνα μὲν

90. πάνθ' F Bas., caeteri πάντα 93. δ' F 95. Τληπόλεμος Wesselingius: libri Πολέμων 97. δ' F Σιβύρτιος FTXYW Bas., caeteri Σιβύριτος 99. ἱππεῖς — ἕξ delet margo T, δέκα om. FW Ἀνδρόβαζος] Ἀνδροβάζων QX, Ἀνδροβάζῳ Bas. 100. Παροπαμισαδῶν] παραπαμισάδων F, παροπαμισάδων Bas. τοῦ] ὃς Bas. 2. μὲν om. Bas. 3. ἀρείας F, Ἀρίας caeteri Δραγγηνῆς] Δραγγινῆς omnes 4. τῆς om. F εἶχε] ἦγε FW et ut videtur V 7. πεντακοσίων] τριακοσίων FQVW τρισχιλίων] τριακοσίων X, τ Bas. 10. Πῶρον] Πρῶτον Bas. 329. 20. δὲ om. Bas. 25. μὴ] ἵνα μὴ V



μὴ καθιστᾶν ἡγεμόνα, πάντας δὲ τοὺς προκεκριμένους ὑπὸ τοῦ πλήθους σατράπας καὶ στρατηγοὺς εἰς τὴν βασιλικὴν αὐλὴν συνιόντας καθ' ἡμέραν βουλεύεσθαι κοινῇ περὶ τῶν συμφερόντων. ἕστατο γὰρ Ἀλεξάνδρῳ τετελευτηκότι σκηνή, καὶ κατὰ ταύτην θρόνος, πρὸς ᾧ θύοντες εἰώθεισαν συνεδρεύειν περὶ τῶν κατεπειγόντων. πάντων δὲ διασημαινομένων τὸ ῥηθὲν ὡς συμφέρον εἰρημένον, συνῆγε καθ' ἡμέραν συνέδριον οἱόν τινος δημοκρατουμένης πόλεως. μετὰ δὲ ταῦτα παρελθόντων αὐτῶν εἰς Σοῦσα, παρὰ τῶν θησαυροφυλακούντων Εὐμένης ἔλαβε χρημάτων πλῆθος ὅσον ἦν ἱκανὸν εἰς τὰς χρείας· μόνῳ γὰρ τούτῳ διὰ τῶν ἐπιστολῶν οἱ βασιλεῖς συνετετάχεισαν διδόναι καθότι ἂν αὐτὸς προαιρῆται. μισθοδοτήσας δὲ τοὺς Μακεδόνας εἰς ἓξ μῆνας Εὐδάμῳ τῷ τοὺς ἐλέφαντας καταγαγόντι ἐκ τῆς Ἰνδικῆς ἔδωκε διακόσια τάλαντα, τῷ μὲν λόγῳ πρὸς τὰς τῶν θηρίων δαπάνας, τῷ δ' ἔργῳ διὰ τῆς δωρεᾶς ταύτης θεραπεύων τὸν ἄνδρα· ᾧ γὰρ τῶν στασιαζόντων οὗτος προσθοῖτο, μεγίστην ἐποιεῖτο ῥοπήν, καταπληκτικῆς οὔσης τῆς τῶν θηρίων χρείας. τῶν δ' ἄλλων σατραπῶν ἕκαστος ἔτρεφε τοὺς ἐκ τῆς ὑφ' ἑαυτὸν χώρας συνηκολουθηκότας. Εὐμένης μὲν οὖν ἐν τῇ Σουσιανῇ διατρίβων ἀνελάμβανε τὴν δύναμιν. Ἀντίγονος δὲ παραχειμάσας ἐν τῇ Μεσοποταμίᾳ, τὸ μὲν πρῶτον διενοήθη τοὺς περὶ τὸν Εὐμένη διώκειν ἐκ ποδός, πρὶν αὐξηθῆναι· ὡς δ' ἤκουσε τοὺς σατράπας καὶ τὰς μετ' αὐτῶν δυνάμεις συνεληλυθυίας τοῖς Μακεδόσιν, ἐπέσχε τὴν σπουδήν, καὶ τήν τε δύναμιν ἀνελάμβανε καὶ προσκατέγραφε στρατιώτας· ἑώρα γὰρ τὸν πόλεμον μεγάλων στρατοπέδων καὶ παρασκευῆς οὐ τῆς τυχούσης προσδεόμενον.

16 Ἅμα δὲ τούτοις πραττομένοις Ἄτταλος καὶ Πολέμων καὶ Δόκιμος ἔτι δὲ Ἀντίπατρος καὶ Φιλώτας οἱ μετὰ τῆς Ἀλκέτου δυνάμεως ἁλόντες ἡγεμόνες ἐφυλάττοντο μὲν ἔν τινι φρουρίῳ καθ' ὑπερβολὴν ὀχυρῷ, ἀκούσαντες δὲ τοὺς περὶ τὸν Ἀντίγονον εἰς τὰς ἄνω σατραπείας ποιεῖσθαι τὴν πορείαν, νομίζοντες εὔθετον ἔχειν καιρόν, ἔπεισάν τινας τῶν τηρούντων αὐτοὺς λῦσαι· κυριεύσαντες δ' ὅπλων ἐπέθεντο τῇ φυλακῇ περὶ μέσας

30. ἕστατο] ἵστατο omnes 39. συνετετάχεισαν] συνέστησαν FVW 42. καταγαγόντι FW, caeteri κατάγοντι 44. δ' F 45. ᾧ γὰρ F, caeteri ᾧ γὰρ ἂν 56. στρατιώτας] τοὺς στρατιώτας Bas. 61. ἁλόντες ἡγεμόνες] invertit F 63. ὀχυρῷ] ἐχυρῷ FV 64. νομίζοντες] νομίσαντες FVW 65. εὔθετον ἔχειν] invertunt VW 66. αὐτοὺς om. FW

νύκτας. αὐτοὶ μὲν οὖν ὀκτὼ τὸν ἀριθμὸν ὄντες, τηρούμενοι δὲ ὑπὸ στρατιωτῶν τετρακοσίων, διαφέροντες δὲ ταῖς τόλμαις καὶ ταῖς εὐχειρίαις διὰ τὴν μετ' Ἀλεξάνδρου στρατείαν, Ξενοπείθη μὲν τὸν φρούραρχον συναρπάσαντες ὑπὲρ τὸ τεῖχος ἔῤῥιψαν, σταδιαῖον ἐχούσης τῆς πέτρας ὕψος, τῶν δ' ἄλλων τοὺς μὲν κατασφάξαντες 330 τοὺς δ' ἐκβαλόντες ἐνεπύρισαν τὰς οἰκίας. τῶν δ' ἔξωθεν καραδοκούντων προςελάβοντο τὸν ἀριθμὸν εἰς πεντήκοντα. τοῦ δὲ φρουρίου σίτου τε πλῆθος καὶ τῶν ἄλλων ἐπιτηδείων ἔχοντος, ἐβουλεύοντο πότερον χρὴ μένειν καὶ χρῆσθαι τῇ τῶν τόπων ὀχυρότητι καραδοκοῦντας τὴν παρ' Εὐμένους βοήθειαν, ἢ φεύγοντας τὴν ταχίστην ἀλᾶσθαι κατὰ τὴν χώραν καιροτηροῦντας τὰς μεταβολάς. γενομένης δὲ πλείονος ἀντιλογίας Δόκιμος μὲν ἐκχωρεῖν συνεβούλευεν, οἱ δὲ περὶ τὸν Ἄτταλον οὐκ ἔφασαν δυνήσεσθαι κακοπαθεῖν διὰ τὴν ἐν τοῖς δεσμοῖς γενομένην κακουχίαν. τούτων δὲ πρὸς ἀλλήλους διισταμένων ἔφθασαν ἐκ τῶν σύνεγγυς φρουρίων συνδραμόντες στρατιῶται πεζοὶ μὲν πλείους τῶν πεντακοσίων, ἱππεῖς δὲ τετρακόσιοι, χωρὶς δὲ τούτων ἐκ τῶν ἐγχωρίων ἄλλοι παντοδαποὶ πλείους τῶν τριςχιλίων, οἳ στρατηγὸν ἐξ ἑαυτῶν καταστήσαντες περιεστρατοπέδευσαν τὸ χωρίον. παραδόξως δὲ πάλιν αὐτῶν κατακλεισθέντων, Δόκιμος μὲν κατάβασίν τινα κατανοήσας ἀφύλακτον διεπρεσβεύσατο πρὸς τὴν Ἀντιγόνου γυναῖκα Στρατονίκην, οὖσαν πλησίον τῶν τόπων· καὶ δεύτερος διὰ ταύτης ἐκπηδήσας αὐτὸς μὲν οὐκ ἔτυχε πίστεως, ἀλλ' εἰς φυλακὴν παρεδόθη, ὁ δὲ συγκαταβὰς αὐτῷ καθηγησάμενος τοῖς πολεμίοις ἀνήγαγεν εἰς τὸ χωρίον οὐκ ὀλίγους, καὶ κατελάβετο μίαν τῶν ὀρθίων πετρῶν. οἱ δὲ περὶ τὸν Ἄτταλον πολὺ λειπόμενοι τοῖς πλήθεσι διὰ τὰς ἀρετὰς ἀντείχοντο καὶ καθ' ἡμέραν ἀγωνιζόμενοι διεκαρτέρουν· πολιορκηθέντες δὲ ἐνιαυτὸν καὶ μῆνας τέτταρας ἥλωσαν κατὰ κράτος.

71. Ξενοπείθη] Ξενοπίθη T 72. ὑπὲρ τὸ τεῖχος] ἀπὸ τοῦ τείχους FQVW σταδιαῖον] στάδιον F
330. 77. ἐβουλεύοντο] ἐβουλεύσαντο FVW 78. χρὴ] ἐχρὴ Bas. 79. καραδοκοῦντας] καραδοκούντων Y Bas.
80. ἀλᾶσθαι] ἀλλᾶσθαι F 81. γενομένης F, caeteri γιγνομένης 83. συνεβούλευεν] συνεβούλευσεν W 84. τοῖς om. F γενομένην] γεγενημένην VW 88. τετρακόσιοι FW, ύ Bas., caeteri τετρακοσίων 90. ἑαυτῶν] αὐτῶν FVW περιεστρατοπέδευσαν] περιστρατοπέδευσαν Bas. 92. κατάβασίν τινα] invertit F 3. τέτταρας F, caeteri τέσσαρας



17 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Δημοκλείδου Ῥωμαῖοι μὲν ὑπάτους κατέστησαν Γάιον Ἰούνιον καὶ Κόϊντον Αἰμίλιον, Ὀλυμπιὰς δ' ὑπῆρχεν ἕκτη πρὸς ταῖς ἑκατὸν καὶ δέκα, καθ' ἣν ἐνίκα στάδιον Δεινομένης Λάκων. περὶ δὲ τούτους τοὺς καιροὺς Ἀντίγονος μὲν ἐκ τῆς Μεσοποταμίας ἀναζεύξας ἧκεν εἰς τὴν Βαβυλωνίαν, κἀκεῖ συνέθετο κοινοπραγίαν Σελεύκῳ καὶ Πύθωνι· προςλαβόμενος δὲ καὶ παρὰ τούτων στρατιώτας ἔζευξε πλοίοις τὸν Τίγριν ποταμόν, καὶ περαιώσας τὰς δυνάμεις ὥρμησεν ἐπὶ τοὺς πολεμίους. οἱ δὲ περὶ τὸν Εὐμένη πυθόμενοι τὰ πεπραγμένα, Ξενοφίλῳ μὲν τῷ τὴν ἐν Σούσοις ἄκραν φυλάττοντι ἐκέλευσαν μήτε τῶν χρημάτων Ἀντιγόνῳ δοῦναί τι μήτε εἰς λόγους ἔρχεσθαι· αὐτοὶ δὲ τὰς δυνάμεις ἀναλαβόντες ὥρμησαν ἐπὶ τὸν Τίγριν ποταμόν, ἀπέχοντα Σούσων ὁδὸν ἡμέρας, ᾗ τῆς ὀρεινῆς ἔχεται τῆς ὑπὸ τῶν αὐτονόμων κατεχομένης, οὓς Οὐξίους προςαγορεύουσι, πλάτος μὲν κατὰ πολλοὺς τόπους τριῶν σταδίων, ἔστι δ' ὅτε καὶ τεττάρων, βάθος δὲ κατὰ μέσον τὸ ῥεῦμα πρὸς τὰ μεγέθη τῶν ἐλεφάντων, καὶ 331 φερόμενος μὲν ἀπὸ τῆς ὀρεινῆς ἐπὶ σταδίους ἑπτακοσίους εἰς τὴν ἐρυθρὰν ἐξερεύγεται θάλατταν, ἔχει δὲ καὶ θαλάττιον ἰχθὺν πολὺν καὶ θηρία τῶν πελαγίων, ἃ φαίνεται μάλιστα περὶ κυνὸς ἐπιτολάς. τοῦτον δὲ τὸν ποταμὸν προβαλόμενοι, καὶ πᾶσαν τὴν παραποταμίαν ἀπὸ τῶν πηγῶν ἕως τῆς θαλάττης φυλακαῖς διαλαβόντες, ἀνέμενον τὴν τῶν πολεμίων ἔφοδον. προςδεομένης δὲ τῆς φυλακῆς διὰ τὸ μῆκος στρατιωτῶν οὐκ ὀλίγων, οἱ περὶ τὸν Εὐμένη καὶ Ἀντιγένην ἠξίωσαν τὸν Πευκέστην ἐκ τῆς Περσίδος μεταπέμψασθαι τοξότας μυρίους. ὁ δὲ τὸ μὲν πρῶτον οὐ προςεῖχεν αὐτοῖς, μεμψιμοιρῶν ἐπὶ τῷ μὴ τετευχέναι τῆς στρατηγίας· ὕστερον δὲ δοὺς αὑτῷ λόγον συνεχώρησεν ὅτι κρατήσαντος Ἀντιγόνου συμβήσεται καὶ τὴν σατραπείαν αὐτὸν ἀποβαλεῖν καὶ περὶ τοῦ σώματος κινδυνεῦσαι. ἀγωνιῶν οὖν ὑπὲρ αὑτοῦ, καὶ τῆς στρατηγίας μᾶλλον τεύξεσθαι νομίζων ὡς πλείστους ἔχων στρατιώτας, προςήγαγε, καθάπερ ἠξίουν, το-

5. Δεινομένης] conf. Niebuhr. Opusc. vol. I. p. 215. 16. ἐκέλευσαν] διεκέλευσαν W 18. Τίγριν] Πασίτιγριν Wesselingius 19. ᾗ TY Bas., caeteri ἡ 20. ἔχεται] ἔχει TY Bas. 21. μὲν κατὰ πολλοὺς] δὲ κατὰ πολλοὺς μὲν FTVW 22. δ' F
331. 26. θάλατταν] θάλασσαν omnes 28. ἐπιτολὰς] ἀνατολὰς TXY Bas. προβαλόμενοι] προλαβόμενοι QV, προςλαβόμενοι FW 30. θαλάττης] θαλάσσης F 33. Ἀντιγένην Wesselingius: libri Ἀντιγένη 34. Περσίδος] πατρίδος T, correctus in margine 36. στρατηγίας FVWY, caeteri στρατείας 37. συνεχώρησεν] an συνενόησεν?

ξότας μυρίους. ἀπέχοντες δ᾽ ἔνιοι τῶν Περσῶν ὁδὸν ἡμερῶν τριάκοντα τὸ παραγγελθὲν αὐθημερὸν ἤκουον διὰ τὸ φιλοτεχνηθὲν περὶ τὰς φυλακάς· ὅπερ οὐ καλῶς ἔχει παραδραμεῖν. τῆς γὰρ Περσίδος οὔσης αὐλωνοειδοῦς καὶ σκοπὰς ἐχούσης ὑψηλὰς καὶ πυκνάς, ἐπὶ τούτων ἐφειστήκεισαν οἱ μέγιστον φθεγγόμενοι τῶν ἐγχωρίων. διῃρημένων γὰρ τῶν τόπων εἰς φωνῆς ἀκοήν, οἱ παραλαμβάνοντες τὸ παραγγελθὲν ὁμοίως ἑτέροις παρεδίδοσαν, εἶτ᾽ ἐκεῖνοι πάλιν ἄλλοις, ἕως εἰς τὸ τέρμα τῆς σατραπείας τὸ δοθὲν παραδοθείη.

18 Τῶν δὲ περὶ τὸν Εὐμένη καὶ Πευκέστην ταῦτα διοικούντων Ἀντίγονος, ἐπειδὴ προάγων μετὰ τῆς δυνάμεως ἧκεν εἰς Σοῦσα τὸ βασίλειον, Σέλευκον μὲν ἀπέδειξε τῆς χώρας σατράπην, καὶ δοὺς αὐτῷ στρατιώτας προσέταξε πολιορκεῖν τὴν ἄκραν, ἀπειθοῦντος Ξενοφίλου τοῦ θησαυροφύλακος. αὐτὸς δὲ μετὰ τῆς στρατιᾶς ἀνέζευξεν ἐπὶ τοὺς πολεμίους, οὔσης τῆς ὁδοῦ καυματώδους καὶ παντελῶς ἐπικινδύνου ξενικαῖς δυνάμεσι διελθεῖν. διὸ καὶ τὰς πορείας ἠναγκάζοντο νυκτὸς ποιεῖσθαι καὶ στρατοπεδεύεσθαι περὶ τὸν ποταμὸν πρὶν ἥλιον ἀνατέλλειν. οὐ μὴν ἠδυνήθη γε κατὰ πάντα ἄθικτος γενέσθαι τῶν κατὰ τὴν χώραν κακῶν, ἀλλὰ καίπερ ἐνδεχομένως ἅπαντα πράξας, συχνοὺς ἀπέβαλε τῶν στρατιωτῶν διὰ τὴν ὑπερβολὴν τοῦ καύματος, ἅτε καὶ τῆς ὥρας οὔσης περὶ κυνὸς ἐπιτολάς. ἐπεὶ δὲ παρεγενήθη πρὸς τὸν Κοπράτην ποταμόν, ἐπέσχε τῆς πορείας καὶ τὰ πρὸς τὴν διάβασιν παρεσκευάζετο. οὗτος δ᾽ ἔκ τινος ὀρεινῆς ῥέων ἐξέπιπτεν εἰς τὸν Πασίτιγριν, ὃς ἀπεῖχε τῆς Εὐμένους στρατοπεδείας σταδίους ὀγδοήκοντα, καὶ τὸ μὲν πλάτος εἶχεν ὡς ἂν τεττάρων πλέθρων, ὀξὺς δ᾽ ὢν ἐν τῇ καταφορᾷ προσεδεῖτο πλοίων ἢ 332 ζεύγματος. καταλαβὼν δ᾽ ὀλίγα πλοῖα κοντωτά, διεβίβασεν ἐν τούτοις τινὰς τῶν πεζῶν, προστάξας τάφρον

44. διὰ notavit Stephanus 45. τὸ om. Bas. 49. φωνῆς ἀκοὴν] ἀκοὴν φωνῆς Reiskius: libri ἀκοῆς φωνὴν: conf. p. 349. 2. 428. 66. 50. παραλαμβάνοντες] μεταλαμβάνοντες FVW 53. παραδοθείη FW, caeteri παραδοθῇ 55. προάγων FW, caeteri προσάγων τῆς om. Bas. 59. δὲ post αὐτὸς posuit Reiskius, post ἀπειθοῦντος libri 69. ἐπιτολὰς] ἀνατολὰς TY Bas. 70. ἐπέσχε τῆς πορείας καὶ om. TX Bas., asterisco notavit Stephanus 71. δ᾽ F 72. Πασίτιγριν TX Bas., τίγρην (πασι) F, caeteri Τίγριν 73. τῆς F, caeteri τῆς μὲν σταδίους] σταθμοὺς TX Bas. 74. τεττάρων F, τεσσάρων caeteri 75. δ᾽ F 332. 76. ἢ — 77. κοντωτὰ om. V, ἢ — πλοῖα F, qui κοντωτῶν καὶ διεβίβασεν



ὀρύττειν καὶ χάρακα βαλομένους ὑποδέχεσθαι τὴν λοιπὴν δύναμιν. Εὐμένης δὲ πυθόμενος παρὰ τῶν κατασκόπων τὴν ἐπιβολὴν τῶν πολεμίων, διαβὰς τὸ ζεῦγμα τοῦ Τίγριδος μετὰ στρατιωτῶν πεζῶν μὲν τετρακισχιλίων, ἱππέων δὲ χιλίων τριακοσίων, κατέλαβε διαβεβηκότας τῶν Ἀντιγόνου πεζοὺς μὲν πλείους τῶν τρισχιλίων, ἱππεῖς δὲ τετρακοσίους, καὶ τῶν εἰωθότων σποράδην διαβαίνειν ἐπὶ τὰς προνομὰς οὐκ ἐλάττους ἑξακισχιλίων. ἄφνω δὲ προσπεσὼν τεθορυβημένοις τοὺς μὲν ἄλλους εὐθὺς ἐτρέψατο, τῶν δὲ Μακεδόνων τοὺς ὑποστάντας τῇ βίᾳ καὶ τῷ πλήθει κατισχύσας φυγεῖν εἰς τὸν ποταμὸν πάντας κατηνάγκασε. πάντων δ᾽ ὁρμησάντων ἐπὶ τὰ πλοῖα, ταῦτα μὲν ὑπὸ τοῦ πλήθους τῶν ἐπιβάντων κατεποντίσθη, τῶν δὲ διανήχεσθαι τολμησάντων οἱ πλεῖστοι μὲν ὑπὸ τοῦ ῥεύματος παρενεχθέντες διεφθάρησαν, ὀλίγοι δὲ διεσώθησαν. οἱ δ᾽ ἄπειροι τοῦ κολυμβᾶν ὄντες τὴν αἰχμαλωσίαν τῆς ἐν τῷ ποταμῷ προκρίναντες τελευτῆς ἥλωσαν, εἰς τετρακισχιλίους ὄντες. Ἀντίγονος δὲ θεωρῶν τοσοῦτο πλῆθος ἀπολλύμενον, βοηθῆσαι μὲν οὐκ ἴσχυσε διὰ τὴν τῶν πλοίων σπάνιν· ἀδύνατον δ᾽ εἶναι νομίζων τὴν διάβασιν, ἀνέζευξεν ἐπὶ πόλεως Βαδάκης, ἣ κεῖται παρὰ τὸν Εὔλαιον ποταμόν. 19 οὔσης δὲ τῆς ὁδοιπορίας ἐμπύρου, διὰ τὸ μέγεθος τῶν καυμάτων διεφθάρη τε πολλὰ σώματα καὶ τὸ στρατόπεδον εἰς ἀπορίαν ἐνέπεσε καὶ ἀθυμίαν. οὐ μὴν ἀλλ᾽ ἐν τῇ προειρημένῃ πόλει μείνας ἡμέρας τινὰς καὶ τὸ στρατόπεδον ἐκ τῆς κακοπαθείας ἀναλαβών, ἔκρινε συμφέρειν ἀναζευγνύειν εἰς Ἐκβάτανα τῆς Μηδικῆς, κἀκεῖθεν ὁρμώμενος κατακτᾶσθαι τὰς ἄνω σατραπείας. οὐσῶν δ᾽ ὁδῶν δύο τῶν φερουσῶν εἰς Μηδίαν ἑκατέρᾳ προσῆν τι δυσχερές· ἡ μὲν γὰρ ἐπικόλωνος ὑπῆρχε κα-

78. βαλομένους] βαλλομένους F 81. Τίγριδος] Τίγριτος F, Πασιτίγριδος Cellarius 82. libri μὲν πεζῶν 90. κατηνάγκασε] ἠνάγκασε F δ᾽ F 92. ἐπιβάντων FVW, caeteri ἐπιβατῶν κατεποντίσθη] κατεποντίσθησαν W 95. δ᾽ FW 96. προκρίναντες τελευτῆς] invertit F, qui προκρίνοντες (α) 97. εἰς τ. ὄντες] ὄντες εἰς τ. F 1. νομίζων] γεγονέναι Bas. 2. Βαδάκης] Βαγάδης FQVW 3. Εὔλαιον] Εὐδαῖον QV et qui λ super δ ponit F 4. διεφθάρη] ἐφθάρη FVW 5. ἀπορίαν ἐνέπεσε καὶ ἀθυμίαν] ἀθυμίαν ἐνέπεσε (ἔπεσεν Bas.) T Bas. 6. ἐνέπεσε] ἦλθε F, alterum γρ. in marg. ponens 9. ὁρμώμενος] ὡρμημένος Q, ὁρμώμενον (ο) FV 12. ἐπικόλωνος W, ἐπὶ κάλωνος F, ἐπὶ κόλωνος Bas., caeteri ἐπὶ κολῶνος

λὴ καὶ βασιλική, καυματώδης δὲ καὶ μακρά, παρεκτείνουσα σχεδὸν ἐφ' ἡμέρας τετταράκοντα, ἡ δὲ διὰ τῶν Κοσσαίων ἐθνῶν χαλεπὴ μὲν καὶ στενὴ καὶ παράκρημνος καὶ διὰ πολεμίας, ἔτι δὲ τῶν ἀναγκαίων σπανίζουσα, σύντομος δὲ καὶ κατεψυγμένη. οὐ ῥᾴδιον δ' ἐστὶ ταύτην παρελθεῖν στρατόπεδον ἄνευ τοῦ πεῖσαι τοὺς τὴν ὀρεινὴν οἰκοῦντας βαρβάρους· αὐτόνομοι γὰρ ὄντες ἐκ παλαιῶν χρόνων κατοικοῦσιν ἐν σπηλαίοις· προσφέρονται δὲ βαλάνους καὶ μύκητας, ἔτι δὲ τεταριχευμένα κρέα τῶν ἀγρίων ζώων. τούτους Ἀντίγονος πεῖσαι μὲν ἢ δωροδοκεῖν ἀγεννὲς ἡγεῖτο, τηλικαύτης αὐτῷ δυνάμεως συνακολουθούσης, προχειρισάμενος δὲ τῶν πελταστῶν τοὺς ἐπισημοτάτους, καὶ τοὺς τοξότας καὶ τοὺς σφενδονήτας καὶ τοὺς ἄλλους ψιλοὺς εἰς δύο μέρη διελόμενος, τοὺς μὲν 333 Νεάρχῳ παρέδωκε, προστάξας προάγειν καὶ τὰ στενὰ καὶ τὰς δυσχωρίας προκαταλαμβάνεσθαι, τοὺς δὲ ἄλλους παρ' ὅλην τὴν ὁδὸν τάξας αὐτὸς μὲν μετὰ τῆς φάλαγγος προῆγεν, ἐπὶ δὲ τῆς οὐραγίας ἔταξε Πύθωνα. οἱ μὲν οὖν μετὰ Νεάρχου προαποσταλέντες ὀλίγας μὲν σκοπὰς προκατελάβοντο, τῶν δὲ πολλῶν καὶ μάλιστα ἀναγκαίων τόπων ὑστερήσαντες συχνοὺς ἀπέβαλον, καὶ μόγις διεξέπεσον ἐπικειμένων τῶν βαρβάρων. οἱ δὲ περὶ τὸν Ἀντίγονον ἐπειδή ποθ' ἧκον ἐπὶ τὰς δυσχωρίας, ἀβοηθήτοις κινδύνοις περιέπιπτον. οἱ γὰρ ἐγχώριοι τῶν τόπων ἔμπειροι καθεστῶτες καὶ τοὺς κρημνοὺς προκατειληφότες ἐπεκύλιον τοῖς ὁδοιποροῦσι πέτρας συνεχεῖς καὶ μεγάλας· ἅμα δὲ καὶ τοῖς τόξοις πυκνοῖς χρώμενοι κατετίτρωσκον τοὺς μήτε ἀμύνασθαι μήτ' ἐκκλῖναι τὰ βέλη δυναμένους διὰ τὴν δυσχωρίαν τῶν τόπων. κρημνώδους δ' οὔσης καὶ δυσβάτου τῆς ὁδοῦ συνέβαινε τούς τε ἐλέφαντας καὶ τοὺς ἱππεῖς ἔτι δὲ τοὺς ἐν τοῖς βαρέσιν ὅπλοις κινδυνεύειν ἅμα καὶ πονεῖν, ἀδυνατοῦντας ἑαυτοῖς βοηθῆσαι. εἰς τοιαύτην δ' ἀμηχανίαν συγκλεισθεὶς Ἀντίγονος μετεμέλετο μὲν ἐπὶ τῷ μὴ πεισθῆ-

14. τετταρ.] τεσσαρ. omnes 15. Κοσσαίων FW, caeteri Κοσσέων 16. καὶ παράκρημνος] παράκρημνος δὲ F ἔτι — 17. σπανίζουσα om. FV 18. παρελθεῖν] διελθεῖν F 23. τούτους] τούτους μὲν οὖν F 24. τηλικαύτης — 25. συνακολουθούσης] τηλικαύτην δύναμιν αὐτῷ συνακολουθοῦσαν ἔχων FVW, δύναμιν συνακολουθοῦσαν ἔχων Q 26. ἐπισημοτάτους] ἐπισήμους FVW 27. ψιλοὺς om. Bas. 333. 36. μόγις VW, caeteri μόλις 37. ἐπὶ] εἰς VW, om. Q 38. post δυσχωρίας addunt προκαταλαβέσθαι QVW, punctis suprapositis F 43. ἐκκλῖναι] ἐγκλῖναι F 44. κρημνώδους — ὁδοῦ] καὶ τοῦ κρημνώδους F



ναι τοῖς περὶ Πύθωνα, συμβουλεύουσι χρημάτων πρίασθαι τὴν πάροδον· οὐ μὴν ἀλλὰ πολλοὺς ἀποβαλὼν καὶ τοῖς ὅλοις κινδυνεύσας διεσώθη μόγις ἐναταῖος εἰς τὴν οἰκουμένην τῆς Μηδίας.

20 τὸ δὲ στρατόπεδον διὰ τὴν συνέχειαν τῶν κακῶν καὶ τὴν ὑπερβολὴν τῆς κακοπαθείας ἐν αἰτίαις εἶχε τὸν Ἀντίγονον, ὥστε φωνὰς προΐεσθαι δυσχερεῖς· ἐν ἡμέραις γὰρ οὐχ ὅλαις τετταράκοντα τρισὶ μεγάλοις ἀτυχήμασι περιεπεπτώκεισαν. οὐ μὴν ἀλλὰ φιλανθρώπως ὁμιλήσας τοῖς στρατιώταις ὁ Ἀντίγονος, καὶ κατασκευασάμενος δαψιλῆ χορηγίαν πάντων τῶν ἐπιτηδείων, ἀνέλαβε τὴν δύναμιν ἐκ τῆς κακοπαθείας. Πύθωνα δ' ἐξαπέστειλε, κελεύσας περιελθεῖν πᾶσαν τὴν Μηδίαν καὶ συνάγειν ὡς πλείστους ἱππεῖς τε καὶ πολεμιστὰς ἵππους, ἔτι δὲ ὑποζυγίων πλῆθος. τῆς δὲ χώρας ταύτης ἀεὶ τετραπόδων γεμούσης ῥᾳδίως τὸ παραγγελθὲν συντελέσας ὁ Πύθων ἧκεν ἄγων ἱππεῖς μὲν δισχιλίους, ἵππους δὲ σὺν ταῖς κατασκευαῖς πλείους χιλίων, τῶν δ' ὑποζυγίων τοσοῦτον ἀριθμὸν ὥστε δύνασθαι καθοπλίσαι πᾶν τὸ στρατόπεδον, καὶ προσέτι τάλαντα πεντακόσια τῶν βασιλικῶν χρημάτων. ὁ δ' Ἀντίγονος τοὺς μὲν ἱππεῖς εἰς τάξεις κατέστησε, τοὺς δ' ἵππους τοῖς ἀπολωλεκόσι διαδούς, καὶ τὸ πλῆθος τῶν ὑποζυγίων διαχαρισάμενος, ἀνεκτήσατο τὴν παρὰ τῶν στρατιωτῶν εὔνοιαν.

21 Οἱ δὲ περὶ τὸν Εὐμένη σατράπαι καὶ στρατηγοὶ πυθόμενοι τοὺς πολεμίους ἐν τῇ Μηδίᾳ στρατοπεδεύειν, 334 διέστησαν πρὸς ἀλλήλους. Εὐμένης μὲν γὰρ καὶ Ἀντιγένης ὁ τῶν ἀργυρασπίδων ἡγούμενος καὶ πάντες οἱ τὴν ἀπὸ θαλάττης ἀνάβασιν πεποιημένοι πάλιν ᾤοντο δεῖν ἐπὶ θάλατταν καταβαίνειν, οἱ δ' ἐκ τῶν ἄνω σατραπειῶν καταβεβηκότες ἀγωνιῶντες ὑπὲρ τῶν ἰδίων ἀντέφασαν δεῖν ἀντέχεσθαι τῶν ἄνω τόπων. αὐξομένης

50. Πείθωνα V 52. τοῖς ὅλοις FV, τοὺς ὅλους W, caeteri τοῖς ἄλλοις 53. διεσώθη] προσεπεξῆλθε FV et ut videtur W μόγις] μόλις FV et fortasse W ἐναταῖος] ἐνναταῖος omnes 58. οὐχ ὅλαις om. WX Bas., asterisco notavit Stephanus τετταρ.] μ Bas., τεσσαρ. caeteri 59. περιεπεπτώκεισαν] περιπεπτωκως F 61. κατασκευασάμενος] addidi καί 64. Μηδίαν] σατραπείαν FQVW συνάγειν] συναγαγεῖν F 65. ἔτι — 66. πλῆθος om. FV 73. τοὺς δ' ἵππους τοῖς] τοῖς δὲ τοὺς ἵππους F 79. πρὸς ἀλλήλους] ἀπ' ἀλλήλων QVW et alterum γρ. in marg. ponens F 334. 81. θαλάττης] θαλάσσης omnes πεποιημένοι] πεπονημένοι X 82. θάλασσαν F 83. ἄνω] ἄνωθεν FW 84. ἀντέφασαν] ἔφασαν QTX Bas. ἀντέχεσθαι] ἀνέχεσθαι F

δὲ τῆς διαφορᾶς Εὐμένης, ὁρῶν ὅτι διαιρεθέντος τοῦ στρατοπέδου κατ' ἰδίαν ἑκάτερον τῶν μερῶν οὐκ ἀξιόμαχόν ἐστι, συνεχώρησε τοῖς καταβεβηκόσι σατράπαις. ἀναζεύξαντες οὖν ἀπὸ τοῦ Πασιτίγριος προῆγον τῆς Περσίδος εἰς Περσέπολιν τὸ βασίλειον, οὔσης τῆς ὁδοιπορίας ἡμερῶν εἴκοσι καὶ τεττάρων, ἧς ἦν ἡ πρώτη μὲν ἕως τῆς καλουμένης κλίμακος κοίλη, καυματώδης δὲ καὶ σπανίζουσα τῶν ἐπιτηδείων, ἡ λοιπὴ δὲ μετέωρος καὶ τὸν ἀέρα παντελῶς ὑγιεινὸν ἔχουσα καὶ πλήρης τῶν ἐπετείων καρπῶν. αὐλῶνάς τε γὰρ εἶχε πυκνοὺς καὶ συσκίους καὶ παραδείσων φυτείας ποικίλας, ἔτι δὲ παντοδαπῶν δένδρων φυσικὰς συναγκείας καὶ ῥύσεις ὑδάτων, ὥςτε τοὺς ὁδοιποροῦντας μετὰ πολλῆς τέρψεως ἐνδιατρίβειν τόποις ἡδίστοις πρὸς ἀνάπαυσιν. ἦν δὲ καὶ λείας παντοδαπῆς πλῆθος, ἣν μεταπεμπόμενος Πευκέστης παρὰ τῶν ἐγχωρίων διεδίδου δαψιλῆ τοῖς στρατιώταις, ἐκκαλούμενος αὐτῶν τὴν εὔνοιαν. κατοικοῦσι δὲ ταύτην τὴν χώραν τῶν Περσῶν οἱ μαχιμώτατοι, πάντες ὄντες τοξόται καὶ σφενδονῆται. πολυανθρωπίᾳ τε πολὺ διαφέρειν συμβαίνει τὴν χώραν ταύτην τῶν ἄλλων σατρα-
22 πειῶν. ὡς δὲ ποθ' ἧκον εἰς Περσέπολιν τὸ βασίλειον,
Πευκέστης μέν, ὢν ταύτης τῆς χώρας σατράπης καὶ στρατηγός, θυσίαν ἐπετέλεσε μεγαλοπρεπῆ τοῖς θεοῖς καὶ Ἀλεξάνδρῳ καὶ Φιλίππῳ, μεταπεμψάμενος δὲ ἐξ ὅλης σχεδὸν τῆς Περσίδος ἱερείων καὶ τῶν ἄλλων τῶν εἰς εὐωχίαν καὶ πανήγυριν χρησίμων πλῆθος εἱστίασε τὴν δύναμιν. ἐπλήρωσε δὲ τῆς τῶν πανηγυριζόντων θυσίας κύκλους τέτταρας ἐντὸς ἀλλήλων ὄντας καὶ περιεχομένους ὑφ' ἑνὸς τοῦ μεγίστου. εἶναι δὲ συνέβαινε τοῦ μὲν ἐκτὸς τὴν περίμετρον δέκα σταδίων, ὃν ἀνεπλήρουν οἵ τε μισθοφόροι καὶ συμμάχων τὸ πλῆθος, τοῦ δὲ δευτέρου σταδίων ὀκτώ, καθ' ὃν ὑπῆρχον οἵ τε ἀργυράσπιδες Μακεδόνες καὶ τῶν ἑταίρων οἱ μετ' Ἀλεξάνδρου στρατεύσαντες, τοῦ δ' ἑξῆς τὴν μὲν περιφέρειαν σταδίων τεττάρων, τὸν δὲ τόπον ἀναπληροῦσθαι κατακειμένων

86. Εὐμένης] μὲν addit Bas. 87. ἑκάτερον] ἑκατέρων VW 88. ἐστι] ἔσται F 89. οὖν] γὰρ F 91. καὶ τεττάρων F, caeteri τεσσάρων XY Bas. 95. ἐπετείων] ἐφεστίων 97. συναγκείας] συναγγείας T 98. ῥύσεις Rhodomannus: libri φύσεις 4. τὴν] αὐτῶν τὴν F 8. ποθ'] ποτε F 9. ὢν ταύτης τῆς χώρας] τῆς χώρας ταύτης ὢν F σατράπης καὶ om. FTVW 15. τέτταρας F, δ Bas., τέσσαρας caeteri 17. τοῦ μὲν ἐντὸς] τοὺς μὲν ἐκτὸς F 18. ἦν ἀ.] ἀ. δὲ FVW 21. ἑταίρων W, caeteri ἑτέρων 22. τοῦ] τοὺς F 23. τεττάρων F, δ Bas., caeteri τεσσάρων



τῶν τε δευτέρων ἡγεμόνων καὶ τῶν ἔξω τάξεως καὶ φίλων καὶ στρατηγῶν καὶ τῶν ἱππέων· τοῦ δ' ἐπὶ πᾶσιν, ὄντος δυοῖν σταδίων, διειλήφεισαν τὰς κλισίας οἵ τε στρατηγοὶ καὶ οἱ τὰς ἱππαρχίας ἔχοντες, ἔτι δὲ τῶν Περσῶν οἱ μάλιστα τιμώμενοι. ἐν μέσῳ δὲ τούτων ὑπῆρχον βωμοὶ θεῶν καὶ Ἀλεξάνδρου καὶ Φιλίππου. καὶ τὰς μὲν κλισίας συνέβαινεν ἐκ φυλλάδος κατεσκευάσθαι, κεκαλυμμένας αὐλαίαις καὶ παντοδαποῖς περιστρώμασι, χορηγούσης τῆς Περσίδος δαψιλῆ πάντα τὰ πρὸς τρυφὴν καὶ ἀπόλαυσιν, διεστηκέναι δὲ τοὺς κύκλους ἀπ' ἀλλήλων ἐπὶ τοσοῦτον ὥςτε μηδένα μὲν παρενοχλεῖσθαι τῶν ἑστιωμένων, πλησίον δ' εἶναι πάσας τὰς παρασκευάς.

Πάντων δὲ κατὰ τρόπον ὑπηρετουμένων ἐπεσημαί- 23
νετο τὸ πλῆθος τὴν τοῦ Πευκέστου προθυμίαν, καὶ φανερὸς ἦν ἐπιδεδωκὼς πολὺ πρὸς εὔνοιαν. ἃ δὴ θεωρῶν Εὐμένης, καὶ συλλογιζόμενος τὸν Πευκέστην πολιτεύεσθαι πρὸς τὸ πλῆθος τῆς στρατηγίας ὀρεγόμενον, ἐπλάσατο ψευδεῖς ἐπιστολάς. διὰ δὲ τούτων τούς τε στρατιώτας εὐθαρσεῖς πρὸς τὰς μάχας κατεσκεύασε καὶ τοῦ Πευκέστου τὸν ὄγκον καὶ τὸ πρόσχημα ταπεινώσας ἑαυτὸν εἰς ὕψος ἦγαγε καὶ προςδοκίαν ἐλπίδων ἀγαθῶν παρὰ τοῖς πλήθεσιν. ἦν δ' ὁ νοῦς τῶν γεγραμμένων ὅτι τὸ μὲν Ἀλεξάνδρου παιδίον Ὀλυμπιὰς παραλαβοῦσα κεκόμισται καὶ τὴν Μακεδονίας βασιλείαν κυρίως, ἀναιρεθέντος Κασσάνδρου, Πολυσπέρχων δὲ διαβέβηκεν εἰς Ἀσίαν πρὸς Ἀντίγονον ἔχων τῆς βασιλικῆς δυνάμεως τὴν κρατίστην καὶ τοὺς ἐλέφαντας, ἔστι δὲ προάγων ἤδη περὶ Καππαδοκίαν. ἡ δ' ἐπιστολὴ Συρίοις γεγραμμένη γράμμασιν ἀπέσταλτο παρ' Ὀρόντου τοῦ σατραπείαν μὲν ἔχοντος Ἀρμενίας, φίλου δ' ὄντος Πευκέστῃ. πιστευθείσης δὲ τῆς ἐπιστολῆς διὰ τὴν συνήθειαν τὴν προϋπάρχουσαν τοῖς σατράπαις, ὁ μὲν Εὐμένης ἐκέλευσε περιενεγκεῖν καὶ δεῖξαι τοῖς τε ἡγεμόσι καὶ τῶν ἄλλων στρατιωτῶν τοῖς πλείστοις. τὸ δὲ στρατόπεδον ἅπαν μετε-

26. post ὄντος om. ἐντὸς T Bas., asterisco notavit Stephanus δυοῖν] δυεῖν Bas. 27. οἱ om. F 28. ἔτι] ἐπὶ F 335. 31. κεκαλυμμένας] κεκαλλυμένας Bas. αὐλαίαις] αὐχαίαις TV, αὐχμαίαις Bas. 32. τῆς] δὲ τῆς Bas. 35. μηδένα QVW, caeteri μηδὲν μὲν παρενοχλεῖσθαι] ἐμπαρενοχλεῖσθαι FQVW 36. τῶν ἑστιωμένων QVW, caeteri τοὺς ἑστιωμένους 40. φανερὸς] φανερὸν WY Bas. 43. ἐπλάσατο] ἐπλάσσατο F 45. τὸ om. Bas. κατεσκεύασε] κατασκευάσαι F 53. ἔστι] ἔτι Bas. προάγων Stephanus: libri προςάγων 55. παρ' F, caeteri παρὰ 56. τοῦ om. T Bas. Ἀρμενίας] Ἐσομενίας Y Bas. 60. στρατιωτῶν om. W

τίθη ταῖς διανοίαις, καὶ πάντες ἀπέβλεπον πρὸς τὰς Εὐμένους ἐλπίδας, ὡς τούτου δυνησομένου καὶ προάγειν διὰ τῶν βασιλέων οὓς ἂν βούληται καὶ δίκας λαβεῖν παρὰ τῶν ἀδικούντων. μετὰ δὲ τὴν εὐωχίαν Εὐμένης βουλόμενος καταπλήξασθαι τοὺς ἀπειθοῦντας ἢ στρατηγίας ὀρεγομένους, παρήγαγεν εἰς κρίσιν Σιβύρτιον, ὃς ἦν τῆς μὲν Ἀραχωσίας σατράπης, Πευκέστου δὲ μάλιστα φίλος· ἔλαθε δ' αὐτὸν τῶν ἱππέων τινὰς ἀποστείλας εἰς Ἀραχώτας καὶ τὰς ἀποσκευὰς κελεύσας παρελέσθαι εἰς τηλικούτους περιέστησε κινδύνους ὥςτ' εἰ μὴ λαθὼν διέδρα, θανάτῳ περιέπεσεν ἂν ὑπὸ τοῦ πλήθους.

24 Τούτῳ δὲ τῷ τρόπῳ τοὺς μὲν ἄλλους καταπληξάμενος, ἑαυτῷ δ' ὄγκον καὶ πρόσχημα μέγα περιποιήσας, μετεβάλετο πάλιν, καὶ τὸν Πευκέστην λόγοις φιλανθρώποις καὶ μεγάλαις ἐπαγγελίαις προσαγαγόμενος εὔνουν ἑαυτῷ καὶ πρόθυμον κατεσκεύασεν εἰς τὸ τοῖς βασιλεῦσι συναγωνίζεσθαι. σπεύδων δὲ καὶ παρὰ τῶν ἄλλων σατραπῶν καὶ στρατηγῶν ὥςπερ ὅμηρα λαβεῖν τοῦ μὴ κα- 336
ταλείψειν αὐτόν, προςεποιήθη χρημάτων σπανίζειν, καὶ παρεκάλεσεν ἕκαστον κατὰ δύναμιν δανεῖσαι τοῖς βασιλεῦσι. λαβὼν δὲ παρ' ὧν ἐδόκει συμφέρειν ἡγεμόνων τετρακόσια τάλαντα τοὺς πρότερον ὑπόπτους ὄντας ἐπιβουλεύειν ἢ καταλείψειν πιστοτάτους φύλακας ἔσχε τοῦ σώματος καὶ συναγωνιστάς. οὕτω δὲ αὐτοῦ περὶ τούτων πρὸς τῷ μέλλειν στρατηγοῦντος ἧκόν τινες ἐκ Μηδίας ἀπαγγέλλοντες ὅτι μετὰ τῆς δυνάμεως Ἀντίγονος τὴν ἀνάζευξιν ἐκ τῆς Περσίδος εἴη πεποιημένος. ἃ δὴ πυθόμενος καὶ αὐτὸς ἀνέζευξε, διεγνωκὼς ἀπαντᾶν τοῖς πολεμίοις καὶ διακινδυνεύειν. κατὰ δὲ τὴν ὁδοιπορίαν δευτεραῖος θυσίαν ἐπιτελέσας τοῖς θεοῖς καὶ τὴν δύναμιν εὐωχήσας πολυτελῶς, τὰ μὲν πλήθη πρὸς εὔνοιαν προςεκαλέσατο, αὐτὸς δὲ κατὰ τὴν μέθην συμπεριενεχθεὶς τῶν παραληφθέντων τοῖς εἰς τὸ πίνειν ὁρμήσασιν ἐνέπεσεν εἰς ἀῤῥωστίαν. διόπερ ἡμέρας τινὰς ἐπέσχε τῆς πορείας, καταβαρούμενος ὑπὸ τοῦ πάθους· ἡ δὲ δύναμις ἐν ἀθυμίᾳ καθειστήκει, τῶν μὲν πολεμίων προσδοκωμένων ταχέως συνάψειν, τοῦ δ' ἱκανωτάτου τῶν στρατηγῶν ὑπὸ τῆς νόσου πιεζομένου. οὐ μὴν ἀλλὰ τοῦ πάθους κριθέντος, ἐπειδὴ βραχέως αὐτὸν προςανέλαβε, προῆγε μετὰ τῆς δυνάμεως ἀφηγουμένου Πευκέστου καὶ Ἀντιγένους, αὐτὸς δὲ φορείῳ κομιζόμενος ἐπηκολούθει τοῖς οὐραγοῦσιν, ὅπως μὴ διὰ τὸν θόρυβον καὶ τὴν στενοχωρίαν παρενοχλοῖτο.



25 Ὡς δ' ἡμέρας ὁδὸν ἀπέσχον ἀπ' ἀλλήλων τὰ στρατόπεδα, κατασκόπους ἔπεμψαν ἀμφότεροι, καὶ μαθόντες τὰ πλήθη καὶ τὰς προαιρέσεις τῶν πολεμίων παρεσκευάσαντο μὲν πρὸς τὸν κίνδυνον, διελύθησαν δὲ χωρὶς μάχης. προβεβλημένοι γὰρ ἀμφότεροι ποταμόν τινα καὶ χαράδραν ἐξέταξαν μὲν τὰς δυνάμεις, διὰ δὲ τὰς τῶν τόπων δυςχωρίας οὐκ ἠδυνήθησαν διαγωνίσασθαι, καταστρατοπεδεύσαντες δ' ἀλλήλων ἀπὸ σταδίων τριῶν ἐπὶ μὲν ἡμέρας τέτταρας ἀκροβολιζόμενοι καὶ προνομεύοντες τὴν χώραν διετέλεσαν, πάντων σπανίζοντες· τῇ πέμπτῃ δ' Ἀντίγονος πρεσβευτὰς ἐξαπέστειλε πρός τε τοὺς σατράπας καὶ τοὺς Μακεδόνας, ἀξιῶν Εὐμένει μὲν μὴ προςέχειν, ἑαυτῷ δὲ πιστεύειν. συγχωρήσειν γὰρ ἔφη τοῖς μὲν σατράπαις ἔχειν τὰς ἰδίας σατραπείας, τῶν δ' ἄλλων τοῖς μὲν χώραν πολλὴν δώσειν, τοὺς δ' εἰς τὰς πατρίδας ἀποστελεῖν μετὰ τιμῆς καὶ δωρεῶν, τοὺς δὲ στρατεύεσθαι βουλομένους διανεμεῖν εἰς τὰς ἑκάστῳ καθηκούσας τάξεις. τῶν δὲ Μακεδόνων οὐ προςεχόντων τοῖς λόγοις, ἀλλὰ καὶ προςαπειλούντων τοῖς πρεσβευταῖς, Εὐμένης παρελθὼν ἐπῄνεσέ τε αὐτοὺς καὶ λόγον εἶπε τῶν παραδεδομένων μὲν καὶ παλαιῶν, οὐκ ἀνοίκειον δὲ τῆς περιστάσεως. ἔφη γὰρ ἐρασθέντα λέοντα παρθένου
337 διαλεχθῆναι τῷ πατρὶ τῆς κόρης ὑπὲρ τοῦ γάμου· τὸν δὲ πατέρα λέγειν ὡς ἕτοιμος μέν ἐστιν αὐτῷ δοῦναι, δεδοικέναι δὲ τοὺς ὄνυχας καὶ τοὺς ὀδόντας, μήποτε γή-

61. ταῖς διανοίαις] τῆς διανοίας FQVW 67. Σιβύρτιον Wesselingius, Σιβήρυτον FW, caeteri Σιβύριτον 68. μὲν om. Bas. 69. δ' F 70. Ἀραχώτας] Ἀραχώτους Bas. 71. περιέστησε] περιέστη Bas. 72. ὥςτ' F, caeteri ὥςτε 78. καὶ πρόθυμον κατεσκεύασεν] κατεσκεύασε καὶ πρόθυμον F

336. 81. καταλείψειν] καταλεῖψαι FV 87. οὕτω F, οὕτως caeteri 90. εἴη] ἤδη V, ἧκε FW 91. ἃ δὴ] ἤδη F 93. ἐπιτελέσας] ἐπετέλεσε Y Bas. 95. προσεκαλ. Bas., caeteri προςεκαλ. 96. κατὰ] μετὰ Bas. 97. πίνειν] πιεῖν W

100. ἀθυμίᾳ FW, caeteri τῇ ἀθυμίᾳ 5. φορείῳ] φορίῳ T Bas. 6. οὐραγοῦσιν FVW, caeteri θηραγοῦσιν 11. τὰ] τά τε W 18. τέτταρας F, δ Bas., caeteri τέσσαρας 22. μὲν om. Bas. πιστεύειν] πιστεῦσαι FVW συγχωρήσειν] συγχωρεῖν F 24. δ' F 25. ἀποστελεῖν] ἀποστέλλειν F 27. διανεμεῖν Wesselingius: libri διανέμειν 28. δὲ Μακεδόνων] Μακεδόνων δὲ F 29. καὶ om. F 30. τῶν παραδεδομένων — παλαιῶν FW, caeteri τὸν παραδεδομένον — παλαιὸν 32. ἐρασθέντα] ἐρασθῆναι F

337. 35. δεδοικέναι] δέδοικε VW

μας καὶ παροξυνθεὶς διά τινα αἰτίαν προςενέγκηται τῇ παρθένῳ θηριωδῶς. τοῦ δὲ λέοντος ἐξελόντος τούς τε ὄνυχας καὶ τοὺς ὀδόντας, τὸν πατέρα θεωρήσαντα πάντα δι᾽ ὧν ἦν φοβερὸς ἀποβεβληκότα, τύπτοντα τῷ ξύλῳ ῥαδίως ἀποκτεῖναι. τὸ παραπλήσιον οὖν ποιεῖν καὶ τὸν Ἀντίγονον· μέχρι τούτου γὰρ ποιεῖσθαι τὰς ἐπαγγελίας ἕως ἂν τῆς δυνάμεως κυριεύσῃ καὶ κολάσῃ τηνικαῦτα τοὺς ἀφηγουμένους. ἐπισημαινομένου δὲ τοῦ πλήθους ὡς ὀρθῶς λέγοντος, τότε μὲν ἔλυσε τὴν ἐκκλησίαν.

26 Νυκτὸς δ᾽ ἐπιγενομένης ἧκόν τινες ηὐτομοληκότες μὲν ἐκ τῆς Ἀντιγόνου στρατοπεδείας, λέγοντες δ᾽ ὅτι παρήγγειλε τοῖς στρατιώταις Ἀντίγονος ἀναζευγνύειν περὶ δευτέραν φυλακήν. ὁ δ᾽ Εὐμένης συλλογιζόμενος ἀληθῶς ὑπέλαβε τοὺς πολεμίους ἀποχωρήσειν εἰς τὴν Γαβιηνήν. αὕτη γὰρ ἀπέχουσα τριῶν ἡμερῶν ὁδὸν ἀκέραιος ἦν καὶ πλήρης καρπῶν καὶ χορτασμάτων καὶ καθόλου τῶν δυναμένων χορηγῆσαι τὰ ἐπιτήδεια μεγάλαις δυνάμεσι δαψιλῶς. πρὸς δὲ τούτοις τοῖς ἀγαθοῖς ὁ τόπος αὐτὸς συνήργει, ποταμοὺς ἔχων καὶ χαράδρας δυςεξόδους. σπεύδων οὖν φθάσαι τοὺς πολεμίους, τὸ ὅμοιον ἔπραξε. τῶν μὲν μισθοφόρων τινὰς χρήμασι πείσας ἐξέπεμψεν ὡς αὐτομόλους, συντάξας λέγειν ὅτι διέγνωκεν Εὐμένης νυκτὸς ἐπιτίθεσθαι τῷ χάρακι· αὐτὸς δὲ τὴν μὲν ἀποσκευὴν προαπέστειλε, τοῖς δὲ στρατιώταις παρήγγειλε τὴν ταχίστην δειπνοποιησαμένοις ἀναζευγνύειν. ὧν ἁπάντων ὀξέως συντελεσθέντων, Ἀντίγονος ἀκούσας τῶν αὐτομόλων ὅτι μάχεσθαι νυκτὸς διεγνώκασιν οἱ πολέμιοι, τῆς μὲν πορείας ἀπέσχετο, διέταττε δὲ τὴν δύναμιν εἰς τὸν κίνδυνον. τοῦ δὲ περὶ ταῦτα θορυβουμένου, καὶ περὶ τοῦ μέλλοντος ἀγωνιῶντος, ἔλαθον οἱ περὶ τὸν Εὐμένη προλαβόντες καὶ τὴν ὁδοιπορίαν ποιούμενοι κατὰ τάχος εἰς τὴν Γαβιηνήν. ὁ δ᾽ Ἀντίγονος μέχρι μέν τινος ἐν τοῖς ὅπλοις συνεῖχε τὴν

37. τῇ παρθένῳ] τὴν παρθένον TY Bas. 38. ἐξελόντος] ἀφελόντος QVW et qui omisso τε post ὀδόντας addit ἐξελόντος F 39. ἦν φοβερὸς] φοβερὸς ἦν F 40. τύπτοντα] ἅπτοντα Y Bas. 41. παραπλήσιον] γὰρ πλήσιον Bas. 42. τούτου γὰρ] invertit F 43. τηνικαῦτα om. TX Bas., asterisco notavit Stephanus 45. λέγοντος] λέγοντα VW ἔλυσε] διέλυσε F 47. δ᾽ F 48. παρήγγειλε] παρήγγελκε FVW ἀναζευγνύειν] ἀναζεύξειν FVW 50. ὑπέλαβε Rhodomannus: libri ὑπέβαλε 51. Γαβιηνήν FQVW, caeteri Γαβηνήν 52. καὶ om. F 55. αὐτὸς] αὐτοῖς QVW, οῖς super ὸς ponit F 66. διέταττε] διέτασσε omnes 70. Γαβιηνήν FV, caeteri Γαβηνήν 71. συνεῖχε] εἶχε FVW



δύναμιν· ὡς δὲ παρὰ τῶν κατασκόπων ἐπύθετο τὴν ἀποχώρησιν τῶν ἐναντίων, γνοὺς αὐτὸν κατεστρατηγημένον, οὐδὲν ἧττον ἀντείχετο τῆς αὐτῆς προαιρέσεως. παραγγείλας οὖν τοῖς στρατιώταις ἀναζευγνύειν, προῆγε σύντονον τὴν πορείαν ποιούμενος καὶ διωγμῷ παραπλήσιον. προέχοντος δ᾽ Εὐμένους δύο φυλακάς, ὁρῶν ὅτι καταλαβεῖν οὐ ῥᾴδιόν ἐστι τῇ δυνάμει πάσῃ τοὺς τοσοῦτο προειληφότας, ἐπενόησέ τι τοιοῦτο. τὴν μὲν ἄλλην δύναμιν παραδοὺς Πύθωνι προςέταξε κατὰ σχολὴν ἀκολουθεῖν, αὐτὸς δὲ τοὺς ἱππεῖς ἀναλαβὼν ἤλαυνεν ἀπὸ ῥυτῆρος· καὶ καταλαβὼν ἅμ᾽ ἡμέρᾳ τὴν οὐραγίαν τῶν πολεμίων καταβαίνουσαν ἀπό τινος ἀκρολοφίας, 338 ἐπέστη ταῖς ἀκρωρείαις, φανερὸς ὢν τοῖς ἐναντίοις. οἱ δὲ περὶ τὸν Εὐμένη θεωρήσαντες ἐξ ἱκανοῦ διαστήματος τῶν πολεμίων ἱππεῖς, καὶ δόξαντες εἶναι πλησίον ἅπασαν τὴν δύναμιν, τῆς μὲν πορείας ἐπίσχον, τὴν δὲ στρατιὰν διέταττον, ὡς αὐτίκα τῆς παρατάξεως γενησομένης. οἱ μὲν οὖν ἡγεμόνες ἀμφοτέρων τῶν στρατοπέδων τὸν προειρημένον τρόπον ἀλλήλους κατεστρατήγησαν, ὥςπερ προαγωνιζόμενοι περὶ συνέσεως καὶ δεικνύοντες ὅτι τὰς ἐλπίδας ἐν αὐτοῖς ἔχουσι τῆς νίκης. ὁ δ᾽ οὖν Ἀντίγονος διὰ ταύτης τῆς ἐπινοίας ἐκώλυσε μὲν τοὺς πολεμίους προάγειν εἰς τοὔμπροσθεν, αὐτῷ δὲ δοὺς ἄνεσιν εἰς τὸ προςδέξασθαι τὴν δύναμιν, ἐπειδὴ τὸ στρατόπεδον ἧκεν ἅπαν, ἐξέταξεν εἰς μάχην, καὶ κατέβαινε συντεταγμένος ἐπὶ τοὺς πολεμίους καταπληκτικῶς. 27 εἶχε δὲ τοὺς σύμπαντας σὺν τοῖς διὰ Πύθωνος καὶ Σελεύκου προςγεγενημένοις πεζοὺς μὲν πλείους τῶν δισμυρίων ὀκτακισχιλίων, ἱππεῖς δ᾽ ὀκτακισχιλίους πεντακοσίους, ἐλέφαντας δὲ ἑξήκοντα πέντε. διηλλαγμέναις δὲ ἐχρήσαντο ταῖς τάξεσιν οἱ στρατηγοί, διαμιλλώμενοι καὶ περὶ τῆς ἐν τούτοις ἐμπειρίας πρὸς ἀλλήλους. Εὐμένης μὲν γὰρ ἐπὶ τοῦ λαιοῦ κέρατος ἔταξεν Εὔδαμον τὸν καταγαγόντα τοὺς ἐλέφαντας ἐξ Ἰνδῶν ἔχοντα τὸ περὶ αὐτὸν ἄγημα τῶν ἱππέων, ὄντων ἑκατὸν πεντήκοντα, πρόταγμα δὲ τούτων ἴλας δύο ξυστοφόρων ἐπιλέκτων βάθος ἐχούσας ἱππέων πεντήκοντα. καὶ συν-

77. φύλακας ed. Steph. Bas. F 79. τι om. T Bas. τοιοῦτο] παρα τοιοῦτον F 82. καταλαβὼν] περιλαβὼν TY Bas., καταλαβὼν F 338. 88. ἐπέσχον] ἐπέσχε FV διέταττον] διέτασσον omnes 91. κατεστρατήγησαν] καταστρατηγήσαντες F 93. ἔχουσι Wesselingius: libri ἀντέχουσι 3. πεντακοσίους om. V 7. Εὔδαμον] εὔδημον F, ut omnes p. 351. 15. 10. εἴλας] ἴλας hic et postea etiam FV

ἧψε μὲν τούτους τοῖς ὑπερδεξίοις τῆς ὑπωρείας· ἑξῆς δὲ τούτοις Στάσανδρον τὸν στρατηγὸν ἔταξεν ἔχοντα τοὺς ἰδίους ἱππεῖς ἐνακοσίους πεντήκοντα. μετὰ δὲ τούτους ἔστησεν Ἀμφίμαχον τὸν Μεσοποταμίας σατράπην, ᾧ συνηκολούθουν ἱππεῖς ἑξακόσιοι, συνάπτοντας δὲ τούτοις τοὺς ἐξ Ἀραχωσίας ἱππεῖς ἑξακοσίους, ὧν ἡγεῖτο πρότερον μὲν Σιβύρτιος, διὰ δὲ τὴν ἐκείνου φυγὴν μετειλήφει τὴν ἡγεμονίαν Κεφάλων. ἑξῆς δ' ἦσαν πεντακόσιοι μὲν ἐκ Παροπαμισαδῶν, οἱ δὲ τούτοις ἴσοι Θρᾶκες ἐκ τῶν ἄνω κατοικιῶν. πρὸ δὲ τούτων ἁπάντων ἔταξεν ἐλέφαντας μὲν ἐν ἐπικαμπίῳ τετταράκοντα πέντε, τοξότας δὲ καὶ σφενδονήτας ἐν τοῖς τῶν θηρίων διαστήμασι τοὺς ἱκανούς. τοῦτον δὲ τὸν τρόπον ὀχυρωσάμενος τὸ λαιὸν κέρας συνῆψεν αὐτῷ τὴν φάλαγγα. ταύτης δὲ τὸ ἄκρον ἐπεῖχον οἱ ξένοι, πλείους ὄντες τῶν ἑξακισχιλίων, τὸ δ' ἑξῆς οἱ καθωπλισμένοι μὲν εἰς τὰ Μακεδονικά, παντοδαποὶ δ' ὄντες τοῖς ἔθνεσιν, εἰς πεν-
28 τακισχιλίους. μετὰ δὲ τούτους ἐτάχθησαν οἱ Μακεδόνες
ἀργυράσπιδες, ὄντες μὲν οὐ πλείους τρισχιλίων, ἀνίκη- 339
τοι δὲ καὶ διὰ τὰς ἀρετὰς πολὺν φόβον παρεχόμενοι τοῖς πολεμίοις. ἐπὶ πᾶσι δὲ τοὺς ἐκ τῶν ὑπασπιστῶν, ὄντας πλείους τρισχιλίων, ἀφηγουμένων τούτων τε ἅμα καὶ τῶν ἀργυρασπίδων Ἀντιγένους καὶ Τευτάμου. πρὸ δὲ πάσης τῆς φάλαγγος ἔστησεν ἐλέφαντας τετταράκοντα, καὶ τὰ τούτων διαστήματα τοῖς ψιλικοῖς τὴν τάξιν ἀνεπλήρωσεν. ἐπὶ δὲ τοῦ δεξιοῦ κέρατος ἐξέταξε τοὺς ἱππεῖς, ἐχομένους μὲν τῆς φάλαγγος τοὺς ἐκ Καρμανίας ὀκτακοσίους, ὧν Τληπόλεμος σατράπης ἡγεῖτο, ἑξῆς δὲ τοὺς καλουμένους ἑταίρους ἐνακοσίους καὶ τὸ Πευκέστου καὶ Ἀντιγένους ἄγημα, τριακοσίους ἔχον ἱππεῖς μιᾷ περιειλημμένους ἴλῃ, ἐπ' ἄκρου δὲ τοῦ κέρατος τὸ Εὐμένους ἄγημα, τοὺς ἴσους ἔχον ἱππεῖς, καὶ τούτων πρόταγμα τῶν Εὐμένους παίδων ἴλας δύο, συνεστηκυίας ἑκατέρας ἐξ ἱππέων πεντήκοντα, καὶ πλαγίας φυλαττούσας ἔξω τοῦ κέρατος ἴλας τέτταρας, ἐν αἷς ἦσαν ἱππεῖς ἐπίλεκτοι διακόσιοι. χωρὶς δὲ τούτων ἀπὸ πασῶν τῶν ἱππαρχιῶν ἐπιλελεγμένους τοῖς τάχεσι καὶ ταῖς ῥώμαις ἱππεῖς τριακοσίους ἔστησε κατόπιν τοῦ περὶ αὐτὸν ἀγήματος. παρὰ δὲ τὴν ὅλην τοῦ κέρατος τάξιν προέταξεν ἐλέφαντας τετταράκοντα. ἡ δὲ πᾶσα δύναμις ἦν τῶν περὶ τὸν Εὐμένη πεζοὶ μὲν τρισμύριοι πεντακισχίλιοι, ἱππεῖς δὲ ἑξακισχίλιοι ἑκατόν, ἐλέφαντες δὲ ἑκατὸν τετταρεσκαίδεκα.

Ἀντίγονος δ' ἐκ μετεώρων τόπων κατιδὼν τὴν τῶν 29
πολεμίων τάξιν, πρὸς ταύτην ἁρμοζόντως διεκόσμησε τὴν ἰδίαν δύναμιν. ὁρῶν γὰρ τὸ τῶν ἐναντίων δεξιὸν κέρας ὠχυρωμένον τοῖς τε θηρίοις καὶ τοῖς κρατίστοις τῶν ἱππέων, ἀντέταξε τοὺς ἐλαφροτάτους τῶν ἱππέων, οἳ κατὰ στόμα μὲν ἤμελλον φυγομαχήσειν ἀραιοὶ διαστάντες, ἐκ μεταβολῆς δὲ διαγωνιεῖσθαι, καὶ τούτῳ τῷ τρόπῳ ποιήσειν ἄπρακτον τῶν ἐναντίων τοῦτο τὸ μέρος ᾧ μάλιστ' ἐπίστευον. ἔστησε δ' ἐπὶ ταύτης τῆς φάλαγγος τούς τε ἐκ Μηδίας καὶ Παρθυαίας ἀφιπποτοξότας καὶ λογχοφόρους, ὄντας μὲν χιλίους, πεφυκότας δ' εὖ πρὸς τὴν ἐκ μεταβολῆς κρίσιν, ἑξῆς δὲ τοὺς ἀπὸ θαλάττης συναναβεβηκότας Ταραντίνους δισχιλίους καὶ διακοσίους, ἐπιλέκτους ἐν ἐνέδραις καὶ καλῶς διακειμένους ταῖς εὐνοίαις πρὸς αὐτόν, τοὺς δ' ἀπὸ Φρυγίας καὶ Λυδίας χιλίους, τοὺς δὲ μετὰ Πύθωνος χιλίους πεντακοσίους καὶ τοὺς μετὰ Λυσανίου ξυστοφόρους τετρακοσίους, ἐπὶ πᾶσι δὲ τούς τε ἀμφίπ-

12. μὲν om. Bas. τούτους] τούτοις VW τῆς ὑπωρείας Rhodomannus, τοὺς ὑπερωρίους VW, τοὺς ὑπερορίους F, caeteri τῆς ὑπερωρείας 13. Στάσανδρον] Τάσσανδρον QW, omisso τὸν, τάσσανδρος F 14 ἔταξεν post πεντήκοντα ponit F 14. 43. libri ἐνακοσίους 17. ἐξ om. Bas. Ἀραχωσίας FQVW, caeteri Ἀραχωτῶν 19. Σιβύρτιος FY Bas., caeteri Σιβύ-
ο ν
ριτος 21. Παροπαμισαδῶν] παραπαμισάδων F, Παροπαμισάδων caeteri οἱ δὲ] καὶ οἱ FW τούτοις FW, caeteri τούτων 23. τετταρ.] μ Bas., caeteri τεσσαρ. δὲ] τε Bas. 26. λαιὸν T, caeteri δεξιὸν αὐτῷ W, caeteri αὐτῶν 28. πλείους ὄντες] invertit F 31. Μακεδόνες ἀργυράσπιδες] invertit Schaeferus Melet. p. 9.
339. 32. οὐ om. X Bas., asterisco notavit Stephanus
ἀ
35. ὑφηγουμένων F, caeteri ἀφηγουμένους 36. Ἀ. καὶ Τ. om. T Bas. 38. τετταράκοντα] μ Bas., caeteri τεσσαράκοντα 39. τὴν τάξιν] immo τάγμασιν



47. πρόταγμα] πρόσταγμα VW 49. τέτταρας] τέσσαρας omnes 51. ἀπὸ πασῶν] ἀπασῶν FW 54. τάξιν om. T Bas. 55. τετταρ. F, μ Bas.; τεσσαρ. caeteri
58. τετταρεσκαίδεκα] δεκατέσσαρες FW, ιδ Bas., caeteri τεσσαρεσκαίδεκα 61. τὴν ἰδίαν δύναμιν] τὴν δύναμιν τὴν ἰδίαν Bas. 65. ἐκ μετ. δὲ] καὶ ἐκ μετ. FVW 67. μάλιστ' F, caeteri μάλιστα ἐπίστευον Rhodomannus: libri ἐπίστευεν 69. Παρθυαίας Wesselingius, Παρουλίας QTY Bas., caeteri Ἀρμενίας 69. ἀφιπποτοξότας QTY Bas., caeteri ἐφιπποτοξότας 71. θαλάττης] θαλάσσης omnes 72. δισχιλίους καὶ διακοσίους] διακοσίους καὶ δισχιλίους F 73. ἐν om. F 74. τοὺς δ'] ἐχόμενα δὲ τούτοις W et addito τοὺς F 75. χιλίους] χιλίους καὶ F 77. ἀμφίππους Wesselingius, ἀθίππους Bas., ἀσθίππους XY, caeteri ἀνθίππους

πους ὀνομαζομένους καὶ τοὺς ἐκ τῶν ἄνω κατοικούντων ὀκτακοσίους. καὶ τὸ μὲν εὐώνυμον κέρας ὑπὸ τού- 340
των ἐπληροῦτο τῶν ἱππέων, ὧν ἁπάντων Πύθων εἶχε τὴν ἡγεμονίαν. τῶν δὲ πεζῶν πρῶτοι μὲν ἐτάχθησαν οἱ ξένοι, πλείους ὄντες τῶν ἐνακιςχιλίων, μετὰ δὲ τούτους Λύκιοι καὶ Παμφύλιοι τριςχίλιοι, παντοδαποὶ δ' εἰς τὰ Μακεδονικὰ καθωπλισμένοι πλείους τῶν ὀκτακιςχιλίων, ἐπὶ πᾶσι δὲ Μακεδόνες οὐ πολὺ ἐλάττους τῶν ὀκτακιςχιλίων, οὓς ἔδωκεν Ἀντίπατρος καθ' ὃν καιρὸν ἐπιμελητὴς ἀπεδείχθη τῆς βασιλείας. τῶν δ' ἱππέων πρῶτοι μὲν ἦσαν ἐπὶ τοῦ δεξιοῦ κέρατος συνάπτοντες τῇ φάλαγγι μισθοφόροι παντοδαποὶ πεντακόσιοι, ἑξῆς δὲ Θρᾷκες χίλιοι, παρὰ δὲ τῶν συμμάχων πεντακόσιοι, ἐχόμενοι δὲ τούτων οἱ προςαγορευθέντες ἑταῖροι χίλιοι, Δημήτριον ἔχοντες ἡγεμόνα τὸν Ἀντιγόνου, τότε πρώτως μέλλοντα συναγωνίζεσθαι τῷ πατρί. ἐπ' ἄκρου δὲ τοῦ κέρατος ἦν τὸ ἄγημα τῶν [ἱππέων] τριακοσίων, μεθ' ὧν καὶ αὐτὸς ἐκινδύνευε· πρόταγμα δὲ τούτων ἐκ τῶν ἰδίων παίδων ἶλαι τρεῖς ὑπῆρχον καὶ ταύταις ἴσοι παράλληλοι, συναγωνιζομένων αὐτοῖς Ταραντίνων ἑκατόν. παρὰ δὲ τὸ κέρας πᾶν ἐξέταξε τοὺς κρατίστους τῶν ἐλεφάντων τριάκοντα, ποιήσας ἐπικάμπιον, καὶ τὰ διαστήματα τούτων συνεπλήρωσε τοῖς ψιλοῖς τάγμασιν ἐπιλέκτοις· τῶν δ' ἄλλων θηρίων τὰ πλείω μὲν τῆς φάλαγγος προέστησεν, ὀλίγα δὲ μετὰ τῶν ἱππέων τῶν ἐν τοῖς εὐωνύμοις μέρεσι. τοῦτον δὲ τὸν τρόπον ἐκτάξας τὸ στρατόπεδον, κατέβαινεν ἐπὶ τοὺς πολεμίους λοξὴν ποιήσας τὴν τάξιν· τὸ μὲν γὰρ δεξιὸν κέρας, ᾧ μάλιστα ἐπίστευε, προεβάλετο, τὸ δ' ἕτερον ὑπεστείλατο, διεγνωκὼς ᾧ μὲν φυγομαχεῖν, ᾧ δ' ἀγωνίζεσθαι.

30 Ἐπεὶ δὲ σύνεγγυς ἀλλήλων ἐγένετο τὰ στρατόπεδα καὶ τὸ σύσσημον ἤρθη παρ' ἀμφοτέροις, ἐπηλάλαξαν μὲν αἱ δυνάμεις ἐπαλλὰξ πλεονάκις, ἐσήμηναν δ' οἱ σαλπιγκταὶ τὸ πολεμικόν. πρῶτοι δ' οἱ μετὰ Πύθωνος ἱππεῖς, στερεὸν μὲν οὐδὲν οὐδ' ἀξιόλογον ἔχοντες πρόφραγμα περὶ αὐτούς, ὑπερέχοντες δὲ τῶν ἀντιτεταγμένων τῷ τε πλήθει καὶ ταῖς ἐλαφρότησιν, ἐπειρῶντο χρήσασθαι τοῖς ἰδίοις προτερήμασι. τὸ μὲν γὰρ κατὰ στόμα διακινδυνεύειν πρὸς ἐλέφαντας οὐκ ἀσφαλὲς ἐνόμιζον, περιιππεύσαντες δὲ τὸ κέρας καὶ πλαγίοις ἐμβαλόντες πυκνοῖς τοῖς βέλεσι κατετίτρωσκον, αὐτοὶ μὲν διὰ τὰς ἐλαφρότητας οὐδὲν πάσχοντες, μεγάλα δὲ βλάπτοντες τοὺς διὰ τὰ βάρη μήτ' ἐκδιῶξαι δυναμένους μήτ' ἀναχωρεῖν, ὅταν καιρὸς παραγγείλῃ. Εὐμένης δ' ὁρῶν πιεζόμενον τὸ κέρας τῷ πλήθει τῶν ἀφιπποτοξοτῶν, μετεπέμψατο παρ' Εὐδάμου τοῦ τὸ λαιὸν κέρας ἔχοντος τοὺς ἐλαφροτάτους τῶν ἱππέων. ἐξαγαγὼν δὲ ἐπὶ κέρας τὴν ὀλίγην τάξιν τοῖς μὲν ψιλοῖς καὶ τοῖς ἐλαφροτάτοις τῶν ἱππέων εἰςέβαλεν εἰς τοὺς ἐναντίους· ἐπακολουθούντων δὲ καὶ τῶν θηρίων ῥᾳδίως τρεψάμενος τοὺς περὶ τὸν Πύθωνα κατεδίωξε μέχρι τῆς ὑπωρείας.
341 ἅμα δὲ τούτοις πραττομένοις συνέβη καὶ τοὺς πεζοὺς ἐφ' ἱκανὸν μὲν χρόνον φαλαγγομαχεῖν πρὸς ἀλλήλους, τὸ δὲ τελευταῖον πολλῶν πεσόντων παρ' ἀμφοτέροις ἐπικρατῆσαι τοὺς παρ' Εὐμένει τεταγμένους διὰ τὰς τῶν ἀργυρασπίδων Μακεδόνων ἀρετάς. οὗτοι γὰρ ταῖς μὲν ἡλικίαις ἤδη προβεβήκεισαν, διὰ δὲ τὸ πλῆθος τῶν κινδύνων διέφερον ταῖς τόλμαις καὶ ταῖς εὐχειρίαις, ὥςτε μηδένα δύνασθαι κατὰ στόμα τὴν βίαν ὑποστῆναι. διὸ καὶ τότε τριςχίλιοι μὲν ὄντες οἱονεὶ τὸ στόμωμα καθειστήκεισαν πάσης τῆς δυνάμεως. Ἀντίγονος δ' ὁρῶν τό τε εὐώνυμον κέρας τῶν ἰδίων πεφευγότας καὶ τὴν φάλαγγα πᾶσαν τετραμμένην, τοῖς μὲν συμβουλεύουσιν ἀποχωρεῖν πρὸς τὴν ὀρεινὴν καὶ τοὺς ἀπὸ τῆς φυγῆς σωζομένους ἀναλαμβάνειν ἄθραυστον ἔχοντα τὸ περὶ αὐτὸν μέρος τῆς δυνάμεως οὐ προςέσχε, τῷ δὲ παρὰ τοῦ καιροῦ δοθέντι προτερήματι δεξιῶς χρησάμενος καὶ τοὺς φεύγοντας τῶν ἰδίων ἔσωσε καὶ τῆς νίκης ἔτυχεν. οἱ μὲν γὰρ ἀργυράσπιδες οἱ παρ' Εὐμένει καὶ τὸ λοιπὸν πλῆθος τῶν πεζῶν ὡς τάχιστα ἐτρέψαντο τοὺς ἀντιτεταγμένους, ἐπεδίωκον μέχρι τῆς ἐγγυτέρας ὑπωρείας. ὁ δ' Ἀντίγονος, γενομένου διαστήματος ἐν

78. ἐκ τῶν om. Bas.

340. 82. libri ἐννακιςχ. 83. δ'] δὲ οἱ F 90. χίλιοι] διςχίλιοι FVW 93. πρώτως] πρῶτον F 95. ἱππέων delendum videtur 96. πρόταγμα δὲ τούτων Wesselingius: libri τὸ τάγμα δὲ τοῦτο 97. ἴσοι] nonne ἴσαι? παράλληλοι] παραλλήλοις FQVW 98. παρὰ] libri περὶ 99. ἐξέταξε] ἔταξε FVW 100. libri ποιήσας δ' 7. ἐπίστευε] ἐπίστευσε Bas. 13. ἐσήμηναν] ἐσήμαναν F σαλπιγκταὶ] σαλπηγήται Bas., σαλπιγταὶ F 14. στερεὸν] ἕτερον WY Bas. 15. οὐδ' om. Bas.

23. μήτ' ἐκδιῶξαι δυναμένους μήτ' ἀναχωρεῖν] μὲν ἐκδιῶξαι μὴ δυναμένους, μεταναχωρεῖν δὲ FVW 26. ἀφιπποτοξοτῶν FTY Bas., caeteri ἐφιπποτοξοτῶν 29. ὀλίγην] ὅλην Wesselingius 30. ἐπακολουθούντων] εἰςακολουθούντων VW

341. 42. τὸ om. Bas. 49. καιροῦ] ὅρους QTXY Bas. 50. δεξιῶς] δεξιῷ F 53. ἐτρέψαντο] ἐτρέψατο Bas. 54. ἐπεδίωκον] ἐπεδίωκεν ex T Bas. notavit Wesselingius, sed Bas. quidem ἐπεδίωκε ἐγγυτέρας] πρότερον QY Bas.

τῇ τῶν πολεμίων τάξει, διιππεύσας μέρει τῶν ἱππέων ἐνέβαλεν εἰς πλαγίους τοὺς περὶ τὸν Εὔδαμον τεταγμένους ἐπὶ τοῦ λαιοῦ κέρατος. ταχὺ δὲ διὰ τὸ παράδοξον τρεψάμενος τοὺς ἐναντίους καὶ πολλοὺς ἀνελὼν, διαπέστειλε τῶν ἱππέων τοὺς ἐλαφροτάτους, καὶ διὰ τούτων ἀνεκαλέσατο τοὺς φεύγοντας, καὶ παρὰ τὴν ὑπώρειαν πάλιν εἰς τάξιν κατέστησε. καὶ γὰρ οἱ περὶ τὸν Εὐμένη, πυθόμενοι τὴν τῶν ἰδίων τροπήν, ἀνεκαλοῦντο τῇ σάλπιγγι τοὺς διώκοντας, σπεύδοντες βοηθῆσαι τοῖς περὶ
31 τὸν Εὔδαμον. ἤδη δὲ τῆς ὥρας οὔσης περὶ λύχνων ἁφὰς ἀμφότεροι τοὺς φεύγοντας ἀνακαλεσάμενοι πάλιν πᾶσαν ἐξέταττον τὴν δύναμιν. τοσαύτης φιλονεικίας ὑπῆρχον πλήρεις οὐχ οἱ στρατηγοὶ μόνον ἀλλὰ καὶ τὰ πλήθη τῶν ἀγωνιζομένων. τῆς δὲ νυκτὸς οὔσης αἰθρίου καὶ πανσελήνου, καὶ τῶν δυνάμεων ἀντιπαραγουσῶν ἀλλήλαις ὡς ἂν ἐν τέτταρσι πλέθροις, ὁ ψόφος τῶν ὅπλων καὶ τῶν ἵππων ὁ φρυαγμὸς ἐν χερσὶν ἐδόκει πᾶσιν εἶναι τοῖς ἀντιτεταγμένοις· ὡς δὲ παράγοντες ἀπέσχον ἀπὸ τῶν ἐν τῇ μάχῃ πεπτωκότων ὡς τριάκοντα σταδίους, ἡ μὲν ὥρα κατελάμβανε μεσονύκτιος, κακῶς δὲ διέκειντο ἀμφότεροι διά τε τὴν ὁδοιπορίαν καὶ τὴν ἐν τῇ μάχῃ κακοπάθειαν, ἔτι δὲ τὴν ἀσιτίαν· ὥςτε ἠναγκάσθησαν ἀφέμενοι τῆς μάχης καταστρατοπεδεῦσαι. Εὐμένης μὲν οὖν ἐπεχείρει ἀναζευγνύειν ἐπὶ τῶν νεκρῶν, σπεύδων κρατεῖν τῆς τούτων ἀναιρέσεως καὶ τὴν νίκην ἀναμφισβήτητον περιποιήσασθαι. οὐ προςεχόντων δὲ τῶν στρατιωτῶν, ἀλλὰ βοώντων ἐπὶ τὴν ἰδίαν ἀποσκευὴν ἀναχωρεῖν μακρὰν ἀπέχουσαν, ἠναγκάσθη πεισθῆναι τῷ πλήθει. οὔτε γὰρ τοῖς στρατιώταις 342
δυνατὸν ἦν πικρῶς ἐπιτιμᾶν ἀμφισβητούντων πολλῶν τῆς στρατηγίας, οὔτε τὸν καιρὸν ἐπιτήδειον ἑώρα κολάζειν τοὺς ἀπειθοῦντας. ὁ δ' Ἀντίγονος τοὐναντίον χωρὶς δημαγωγίας βεβαίως ἔχων τὴν ἡγεμονίαν, ἐβιάσατο μὲν τὸ πλῆθος ἐπὶ τῶν νεκρῶν στρατοπεδεῦσαι, κύριος δὲ γενόμενος τῆς τούτων ταφῆς ἠμφισβήτει τῆς νίκης, ἀποφαινόμενος προτερεῖν ἐν ταῖς μάχαις τὸ τῶν πεσόντων κυριεῦσαι. ἀνῃρέθησαν δ' ἐν τῇ μάχῃ τῶν μὲν Ἀντιγόνου πεζοὶ μὲν εἰς τρισχιλίους ἑπτακο-

64. σπεύδοντες] σπεύδοντας FV 67. πᾶσαν ἐ. FTVW, caeteri ἐ. πᾶσαν 69. ὑπῆρχον] ὑπάρχοντες F 72. ἐν τέτταρσι Wesselingius: libri τέτταρσι 73. ἵππων Wesselingius: libri ἱππέων 81. ἐπεχείρει] ἐπικεχείρηκεν FVW
342. 88. στρατηγίας] στρατείας Bas. 94. προτερεῖν ἐν ταῖς μάχαις QTXY Bas., caeteri προτιμότερον ἐν ταῖς μάχαις εἶναι



σίους, ἱππεῖς δὲ πεντήκοντα τέτταρες· τραυματίαι δ' ἐγένοντο πλείους τῶν τετρακισχιλίων· τῶν δ' Εὐμένους ἔπεσον πεζοὶ μὲν πεντακόσιοι τετταράκοντα, ἱππεῖς δ' ὀλίγοι παντελῶς· τραυματίαι δ' ἐγένοντο πλείους τῶν ἐνακοσίων.

Ὁ δ' Ἀντίγονος μετὰ τὴν ἐκ τῆς μάχης ἀποχώρη- 32
σιν ὁρῶν τοὺς στρατιώτας ἀθυμοῦντας, διέγνω τὴν ταχίστην ἀναζευγνύειν ὡς πορρωτάτω τῶν πολεμίων. βουλόμενος δ' εὔζωνον ποιῆσαι τὴν δύναμιν πρὸς τὴν ἀποχώρησιν, τοὺς μὲν τραυματίας καὶ τὰ βαρύτατα τῆς ἀποσκευῆς προαπέστειλεν εἴς τινα τῶν πλησίον πόλεων, τοὺς δὲ νεκροὺς ἅμ' ἡμέρᾳ θάψας, καὶ παρακατασχὼν τὸν παρὰ τῶν πολεμίων ἥκοντα κήρυκα περὶ τῆς τῶν νεκρῶν ἀναιρέσεως, παρήγγειλε τῆς ὥρας δειπνοποιεῖσθαι. τῆς δ' ἡμέρας διελθούσης τὸν μὲν κήρυκα ἔπεμψε, δοὺς εἰς τὴν αὔριον τὴν ἀναίρεσιν, αὐτὸς δὲ πρώτης φυλακῆς ἀρχομένης ἀνέζευξε μετὰ πάσης τῆς δυνάμεως, καὶ συντόνους τὰς πορείας ποιούμενος, ἀπέστη μὲν τῶν πολεμίων μακράν, ἔσχε δὲ χώραν ἀκέραιον εἰς ἀνάληψιν τοῦ στρατοπέδου· διήνυσε γὰρ ἕως Γαδαμάργων τῆς Μηδίας, οὔσης τῆς χώρας ὑπὸ Πύθωνα καὶ δυναμένης μεγάλαις δυνάμεσι πρὸς διατροφὴν δαψιλῶς ἅπαντα χορηγῆσαι. Εὐμένης δὲ διὰ τῶν κατασκόπων πυθόμενος τὴν ἀναχώρησιν τῶν περὶ τὸν Ἀντίγονον, τοῦ μὲν διώκειν ἀπέστη διὰ τὸ καὶ τοὺς ἰδίους στρατιώτας ἐν ἀσιτίᾳ καὶ κακοπαθείαις μεγάλαις γεγονέναι, περὶ δὲ τὴν ἀναίρεσιν τῶν τετελευτηκότων γενόμενος ἐπεμελήθη τῆς ταφῆς μεγαλοπρεπῶς. ἔνθα δὴ συνέβη γενέσθαι πρᾶγμα παράδοξον καὶ πολὺ τῶν παρ' Ἕλλησιν ἐξηλλαγμένον νομίμων.

Κητεὺς γὰρ ὁ τῶν ἐκ τῆς Ἰνδικῆς ἀπηντηκότων 33
στρατηγὸς ἀνῃρέθη μὲν ἐν τῇ μάχῃ λαμπρῶς ἀγωνισά- 30
μενος, ἀπέλιπε δὲ δύο γυναῖκας συνακολουθούσας ἐν τῷ στρατοπέδῳ, τὴν μὲν νεόγαμον, τὴν δὲ ὀλίγοις ἔτεσι πρότερον συνοικήσασαν, ἀμφοτέρας δὲ φιλοστόργως πρὸς αὐτὸν διακειμένας. ὄντος δὲ παλαιοῦ νόμου παρὰ τοῖς

97. τέτταρες] δ Bas., caeteri τέσσαρες 99. τετταράκοντα] μ Bas., caeteri τεσσαράκοντα 1. libri ἐνναποσίων 4. πορρωτάτω] πορρώτατα VW 14. συντόνους] συντόμους Bas., συντόμως W 16. ἀκέραιον] καὶ ἀκεραίαν Bas., caeteri ἀκεραίαν 17.
γαμ γ αμ
Γαμάργων] ταδάργων F, quod ex ταδάργων ortum, esse persuadet varietas scripturae p. 346. 8. idque restitui 21. τὸν om. Bas. 23. ἀσιτίᾳ] ἀσιτίαις FVW 27. Ἕλλησιν] ἕλληνσιν F ἐξηλλαγμένον νομίμων] invertunt F Bas.
34. παλαιοῦ] πάλαι QTXY Bas.

Ἰνδοῖς τοὺς γαμοῦντας καὶ τὰς γαμουμένας παρθένους μὴ διὰ τῆς τῶν γονέων κρίσεως ποιεῖσθαι τὸν γάμον, ἀλλὰ πείσαντας ἀλλήλους, τὸν μὲν ἔμπροσθεν χρόνον τῆς μνηστείας γενομένης διὰ νεωτέρων ταῖς ἡλικίαις ὡς ἐπὶ πολὺ συνέβαινε διαπίπτειν τὰς κρίσεις, καὶ ταχὺ με- 343
ταμελομένων ἀμφοτέρων πολλὰς τῶν γυναικῶν διαφθείρεσθαι καὶ δι' ἀκρασίαν φιλοστοργεῖν ἑτέρους, τέλος δὲ μὴ δυναμένας εὐσχημόνως ἀπολιπεῖν τοὺς ἐξ ἀρχῆς προκριθέντας διὰ φαρμάκων ἀναιρεῖν τοὺς συνοικοῦντας, καὶ τὴν χώραν δ' οὐκ ὀλίγας ἀφορμὰς αὐταῖς δοῦναι, πολλὰς καὶ ποικίλας φέρουσαν φθαρτικὰς δυνάμεις, ἐξ ὧν ἐνίας προσχρωσθείσας μόνον τοῖς ἐδέσμασιν ἢ ποτηρίοις ἐπιφέρειν τὴν ἀπώλειαν. ἐπιπολαζούσης δὲ τῆς ῥᾳδιουργίας, καὶ πολλῶν ἀναιρουμένων τοῦτον τὸν τρόπον, ἐπειδὴ κολάζοντες τὰς αἰτίας τῶν κακῶν οὐκ ἠδυνήθησαν ἀποτρέψαι τὰς ἄλλας τῶν ἀδικημάτων, νόμον ἔθεσαν ὅπως συγκατακαίωνται τοῖς τετελευτηκόσιν ἀνδράσιν αἱ γυναῖκες πλὴν τῶν ἐγκύων ἢ τῶν ἐχουσῶν τέκνα· τὴν δὲ μὴ βουλομένην τῷ δόγματι πειθαρχεῖν χήραν μὲν εἶναι διὰ τέλους καὶ θυσιῶν καὶ τῶν ἄλλων νομίμων εἴργεσθαι διὰ παντός, ὡς ἀσεβοῦσαν. τούτων δὲ νομοθετηθέντων, εἰς τοὐναντίον τὴν παρανομίαν τῶν γυναικῶν μεταβαλεῖν συνέβη· διὰ γὰρ τὴν ὑπερβολὴν τῆς ἀτιμίας ἑκάστης ὑπομενούσης ἑκουσίως τὸν θάνατον, οὐ μόνον προνοεῖσθαι τῆς τῶν συνοικούντων ἀσφαλείας ὡς κοινῆς οὔσης, ἀλλὰ καὶ πρὸς ἀλλήλας ἁμιλλᾶσθαι καθάπερ ὑπὲρ τῆς μεγίστης εὐδοξίας.

**34** ὃ καὶ τότε συνέβη. τοῦ γὰρ νόμου μίαν κελεύοντος συγκατακαίεσθαι, παρῆσαν ἀμφότεραι πρὸς τὴν τοῦ Κητέως ταφὴν ὑπὲρ τοῦ συναποθανεῖν ὡς ὑπὲρ ἀριστείου συμφιλοτιμούμεναι. τῶν δὲ στρατηγῶν διακρινόντων, ἡ νεωτέρα μὲν ἀπεφαίνετο τὴν ἑτέραν ἔγκυον εἶναι, καὶ διὰ τοῦτο μὴ δύνασθαι χρήσασθαι τῷ νόμῳ, ἡ δὲ πρεσβυτέρα δικαιότερον ἀπεφαίνετο εἶναι τὴν προέχουσαν τοῖς χρόνοις προέχειν καὶ τῇ τιμῇ· καὶ

35. γαμουμένας] γαμημένας V

343. 41. ἀκρασίαν] ἀκρισίαν [α] F 45. πολλὰς] καὶ πολλὰς F 48. ῥᾳδιουργίας] ῥᾳδιουργείας Bas. 51. ἀποτρέψαι F, caeteri ἀποστρέψαι τῶν om. Bas. 52. συγκατακαίωνται F, caeteri συγκατακάωνται 53. ἐγκύων] ἐγγύων F hic et 69. 76. 53. τετελευτηκόσιν] τελευτήσασιν W 56. θυσιῶν] οὐσιῶν [θυ] F 65. συγκατακαίεσθαι FVW, caeteri συγκατακάεσθαι 70. χρήσασθαι] χρῆσθαι FVW 71. ἀπεφαίνετο] ἀπέφαινεν FVW



γὰρ ἐπὶ τῶν ἄλλων ἁπάντων θεωρεῖσθαι τοὺς πρεσβυτέρους πολὺ προέχοντας τῶν νεωτέρων εἰς ἐντροπὴν καὶ τιμήν. οἱ δ' οὖν στρατηγοὶ διὰ τῶν μαιεύεσθαι δυναμένων γνόντες τὴν πρεσβυτέραν ἔγκυον οὖσαν, προέκριναν τὴν νεωτέραν. οὗ συμβάντος ἡ μὲν ἀποτυχοῦσα τῆς κρίσεως ἀπῄει μετὰ κλαυθμοῦ καταῤῥήξασα τὸ περὶ τὴν κεφαλὴν διάδημα καὶ τὰς τρίχας σπαράττουσα, καθαπερεὶ τινος συμφορᾶς μεγάλης προσηγγελμένης· ἡ δὲ ἐπὶ τῇ νίκῃ περιχαρὴς ἀπῄει πρὸς τὴν πυράν, στεφανουμένη μὲν μίτραις ὑπὸ τῶν οἰκείων γυναικῶν, κεκοσμημένη δὲ διαπρεπῶς ὥσπερ εἴς τινα γάμον προεπέμπετο ὑπὸ τῶν συγγενῶν, ᾀδόντων ὕμνον εἰς τὴν ἀρετὴν αὐτῆς. ὡς δ' ἐγγὺς ἐγενήθη τῆς πυρᾶς, περιαιρουμένη τὸν κόσμον ἑαυτῆς διεδίδου τοῖς οἰκείοις καὶ φίλοις, ὡς ἂν εἴποι τις, καταλείπουσα τοῖς ἀγαπῶσι μνημεῖον. ὁ δὲ κόσμος ἦν περὶ μὲν τὰς χεῖρας δακτυλίων τε πλῆθος ἐνδεδεμένων λίθοις τε πολυτελέσι καὶ
344 διηλλαγμένοις τοῖς χρώμασι, περὶ δὲ τὴν κεφαλὴν χρυσῶν ἀστερίσκων οὐκ ὀλίγος ἀριθμὸς παντοδαποῖς λίθοις διειλημμένων, περὶ δὲ τὸν τράχηλον ὅρμων πλῆθος, τῶν μὲν ἐλαττόνων, τῶν δ' ἐκ τοῦ κατ' ὀλίγον ἀεὶ καθ' ὑπέρθεσιν μειζόνων. τὸ δὲ τελευταῖον ἀσπασαμένη τοὺς οἰκείους ὑπὸ τἀδελφοῦ μὲν ἐπὶ τὴν πυρὰν ἀνεβιβάσθη, ὑπὸ δὲ τοῦ συνδραμόντος ἐπὶ τὴν θέαν πλήθους θαυμασθεῖσα κατέστρεψεν ἡρωικῶς τὸν βίον. ἡ μὲν γὰρ δύναμις ἐν τοῖς ὅπλοις πᾶσα πρὶν ἅπτεσθαι τὴν πυρὰν τρὶς περιῆλθεν, αὐτὴ δὲ τἀνδρὶ παρακλιθεῖσα, καὶ κατὰ τὴν τοῦ πυρὸς ὁρμὴν οὐδεμίαν φωνὴν ἀγεννῆ προεμένη, προσεκαλέσατο τῶν ὁρώντων τοὺς μὲν εἰς ἔλεον, τοὺς δ' εἰς ὑπερβολὴν ἐπαίνων. οὐ μὴν ἀλλ' ἔνιοι τῶν Ἑλλήνων ἐπετίμων τοῖς νομίμοις ὡς ἀγρίοις οὖσι καὶ χαλεποῖς.

Ὁ δ' Εὐμένης ἀπὸ τῆς τῶν τετελευτηκότων ταφῆς γενόμενος ἀνέζευξεν ἐκ τῶν Παραιτάκων εἰς τὴν Γαβιηνήν, οὖσαν ἀκέραιον καὶ δυναμένην πάντα δαψιλῆ ταῖς

78. τὸ om. Bas. 79. σπαράττουσα] σπαράσσουσα omnes 80. προσηγγελμένης] προηγγελμένης VW 88. καταλείπουσα] καταλιποῦσα V 90. τε om. Bas. διηλλαγμένοις τοῖς χρώμασι] τοῖς χρώμασι διηλλαγμένοις F

344. 92. ἀστερίσκων Wesselingius: libri ἀστερισμῶν 93. διειλημμένων Wesselingius: libri διειλημμένος 94. ἐλαττόνων] ἐλασσόνων omnes 97. ἐπὶ] ὑπὸ F 98. ἐπὶ] διὰ F 1. αὐτὴ] αὕτη omnes δὲ τἀνδρὶ] δ' ἀνδρὶ Bas. 7. Παραιτάκων] Παραιτακῶν W 8. Γαβιηνήν FW, caeteri Γαβηνήν

δυνάμεσι παρέχεσθαι. ἀπέχειν δὲ συνέβαινε τὴν χώραν ταύτην τῶν περὶ Ἀντίγονον διὰ μὲν τῆς οἰκουμένης πορευομένῳ σταθμοὺς εἴκοσι πέντε, διὰ δὲ τῆς ἐρήμου καὶ [τῆς] ἀνύδρου σταθμοὺς ἐννέα. οἱ μὲν οὖν περὶ Εὐμένη καὶ τὸν Ἀντίγονον τοσοῦτον ἀλλήλων διεστῶτες ἐν τούτοις τοῖς τόποις παρεχείμαζον ἅμα καὶ τὰς δυνάμεις ἀνελάμβανον.

35 Κατὰ δὲ τὴν Εὐρώπην Κάσσανδρος μὲν ἐν Πελοποννήσῳ Τεγέαν πολιορκῶν, καὶ πυθόμενος τήν τε Ὀλυμπιάδος κάθοδον εἰς Μακεδονίαν καὶ τὴν Εὐρυδίκης καὶ Φιλίππου τοῦ βασιλέως ἀναίρεσιν, ἔτι δὲ τὰ περὶ τἀδελφοῦ καὶ τὸν Ἰόλλου τάφον συμβεβηκότα, πρὸς μὲν τοὺς Τεγεάτας διελύσατο, τὴν δὲ δύναμιν ἀναλαβὼν προῆγεν ἐπὶ Μακεδονίας, καταλιπὼν τοὺς συμμάχους ἐν πολλῇ ταραχῇ· ἐφήδρευε γὰρ ταῖς ἐν Πελοποννήσῳ πόλεσιν Ἀλέξανδρος ὁ Πολυσπέρχοντος ἔχων στρατόπεδον. Αἰτωλοὶ δὲ χαρίζεσθαι βουλόμενοι τῇ τε Ὀλυμπιάδι καὶ Πολυσπέρχοντι, τὰ περὶ τὰς πύλας στενὰ κατελάβοντο καὶ τῆς παρόδου τὸν Κάσσανδρον ἀπέκλεισαν. ὁ δὲ βιάζεσθαι μὲν πρὸς τόπους δυσεμβόλους ἀπέγνω, παρασκευασάμενος δὲ πλοῖα καὶ σχεδίας ἔκ τε τῆς Εὐβοίας καὶ τῆς Λοκρίδος ἐπεραίωσε τὴν δύναμιν εἰς τὴν Θετταλίαν. ἀκούων δὲ περὶ τὴν Περραιβίαν προκαθῆσθαι Πολυσπέρχοντα μετὰ στρατοπέδου, Κάλλαν μὲν ἀπέστειλε στρατηγὸν μετὰ δυνάμεως, προστάξας διαπολεμεῖν τοῖς μετὰ Πολυσπέρχοντος. Δεινίας δὲ τὰ στενὰ προκαταληψόμενος, ἀπαντήσας τοῖς ὑπ' Ὀλυμπιάδος ἐξαποσταλεῖσι στρατιώταις ἔφθασε τῶν παρόδων κυριεύσας. Ὀλυμπιὰς δὲ πυθομένη Κάσσανδρον μετὰ μεγάλης δυνάμεως πλησίον εἶναι τῆς Μακεδονίας, Ἀριστόνουν μὲν ἀπέδειξε στρατηγόν, κελεύσασα 345
διαπολεμεῖν τοῖς περὶ Κάσσανδρον. αὐτὴ δὲ παρῆλθεν εἰς Πύδναν ἔχουσα τὸν υἱὸν τὸν Ἀλεξάνδρου καὶ τὴν μητέρα αὐτοῦ Ῥωξάνην καὶ Θετταλονίκην τὴν Φιλίππου τοῦ Ἀμύντου θυγατέρα, πρὸς δὲ τούτοις Δηι-

9. παρέχεσθαι] παρασχέσθαι FW 11. διὰ] ἐκ Bas. πορευομένῳ] πορευομένων Bas. 12. ἐρήμου καὶ τῆς ἀνύδρου] ἀνύδρου καὶ ἐρήμου F: conf. ad p. 198. 26. 21. τἀδελφοῦ καὶ τὸν Ἰόλλου τάφον] τὸν Ἰόλλου τἀδελφοῦ TX, τὸν Ἰόλλα τἀδελφοῦ Bas.: scribendum videtur τὸν ἀδελφὸν καὶ τὸν Ἰόλλου τάφον 23. Μακεδονίας FVY, caeteri Μακεδονίαν 32. καὶ τῆς] καὶ F 34. προκαθῆσθαι Wesselingius: libri προσκαθῆσθαι 35. δυνάμεως FTW, caeteri τῆς δυνάμεως 41. εἶναι om. F
345. 46. τοῦ Ἀμύντου] Ἀμύντου Bas. Δηιδάμειαν] Δικιδάμειαν Bas.



δάμειάν τε τὴν Αἰακίδου θυγατέρα τοῦ βασιλέως τῶν Ἠπειρωτῶν, Πύρρου δὲ τοῦ πρὸς Ῥωμαίους ὕστερον πολεμήσαντος ἀδελφήν, καὶ τὰς Ἀττάλου θυγατέρας, ὁμοίως δὲ καὶ τῶν ἄλλων τῶν ἀξιολογωτάτων φίλων τοὺς συγγενεῖς, ὥστ' ἀθροισθῆναι περὶ αὐτὴν πλῆθος μὲν πολὺ σωμάτων, ἀχρείων δ' εἰς πόλεμον τῶν πλείστων· οὐδὲ γὰρ τροφῆς ἱκανὸν ἦν πλῆθος τοῖς μέλλουσι πολιορκίαν ὑπομένειν πολυχρόνιον. ὧν ἁπάντων πρόδηλον ἐχόντων τὸν κίνδυνον οὐδὲν ἧττον ἐνταῦθα διέγνω μένειν, ἐλπίζουσα αὐτῇ βοηθήσειν κατὰ θάλατταν Ἑλλήνων τε καὶ Μακεδόνων πολλούς. συνῆσαν δ' αὐτῇ τῶν τ' ἐξ Ἀμβρακίας ἱππέων τινὲς καὶ τῶν περὶ τὴν αὐλὴν εἰωθότων διατρίβειν στρατιωτῶν οἱ πλείους, ἔτι δὲ τῶν μετὰ Πολυσπέρχοντος ἐλεφάντων οἱ καταλειφθέντες· τῶν μὲν γὰρ ἄλλων θηρίων κατὰ τὴν προτέραν ἐμβολὴν εἰς Μακεδονίαν Κάσσανδρος ἐκεκυριεύκει. ὃς τότε διελ- 36
θὼν τὰ κατὰ Περραιβίαν στενά, καὶ παραγενόμενος πλησίον τῆς Πύδνης, τὴν μὲν πόλιν περιεχαράκωσεν ἐκ θαλάττης εἰς θάλατταν, παρὰ δὲ τῶν συμμαχεῖν βουλομένων μετεπέμπετο ναῦς καὶ βέλη παντοδαπὰ καὶ μηχανάς, διανοούμενος πολιορκεῖν τοὺς μετ' Ὀλυμπιάδος καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. πυθόμενος δ' Αἰακίδην τὸν τῶν Ἠπειρωτῶν βασιλέα μετὰ δυνάμεως μέλλειν βοηθήσειν Ὀλυμπιάδι, στρατηγὸν ἐξέπεμψεν Ἀταρρίαν, δοὺς στρατόπεδον καὶ συντάξας ἀπαντᾶν τοῖς Ἠπειρώταις. οὗ ταχὺ τὸ προσταχθὲν ποιήσαντος καὶ τὰς ἐξ Ἠπείρου παρόδους προκαταλαβομένου, συνέβη τὸν Αἰακίδην ἄπρακτον γενέσθαι. καὶ γὰρ τὸ πλῆθος τῶν Ἠπειρωτῶν ἀκουσίως ἐστράτευσεν ἐπὶ Μακεδονίαν καὶ στάσιν ἐποίει κατὰ τὴν παρεμβολήν· ὁ δ' Αἰακίδης ἐκ παντὸς τρόπου βουλόμενος βοηθεῖν Ὀλυμπιάδι, τοὺς μὲν ἀλλοτρίως διακειμένους ἀπέλυσε τῆς στρατείας, τοὺς δὲ συγκινδυνεύειν βουλομένους ἀναλαβών, προθυμίαν μὲν εἶχε τοῦ διακινδυνεύειν, οὐκ ἀξιόμαχος δ' ἦν, ὡς ἂν ὀλίγου καταλελειμμένου τοῦ περὶ αὐτὸν συστήματος. οἱ δὲ χωρισθέντες τῶν Ἠπειρωτῶν εἰς τὰς πατρίδας κατεστασίασαν ἀπόντα τὸν βασιλέα, καὶ κοινῷ δόγματι φυγὴν αὐτοῦ καταγνόντες πρὸς Κάσσανδρον ἐποιήσαντο

48. Πύρρου δὲ] Πύρρου τε omnes 51. φίλων om. W 53. ἱκανὸν ἦν] ἦν ἱκανὸν F 62. θηρίων] libri τῶν θηρίων 66. θαλάσσης — θάλατταν F θάλασσαν F Bas. 70. τὸν τῶν FW, caeteri τῶν 72. Ἀταρρίαν] Ἀτταρίαν W 77. Μακεδονίαν] Μακεδονίας TY

συμμαχίαν· ὅπερ οὐδέποτε γενέσθαι συνέβη κατὰ τὴν Ἤπειρον ἀφ' οὗ Νεοπτόλεμος ὁ Ἀχιλλέως ἐβασίλευσε τῆς χώρας· ἀεὶ γὰρ παῖς παρὰ πατρὸς διαδεχόμενος τὴν δυναστείαν ἐναπέθνησκε ταῖς βασιλείαις μέχρι τῶνδε τῶν 346 καιρῶν. Κασσάνδρου δὲ παραλαβόντος τὴν Ἤπειρον τῇ συμμαχίᾳ, καὶ πέμψαντος εἰς αὐτὴν ἐπιμελητὴν ἅμα καὶ στρατηγὸν Λυκίσκον, οἱ πρότερον κατὰ Μακεδονίαν διστάζοντες περὶ τῆς συμμαχίας ἀπήλπισαν μὲν τὰ κατ' Ὀλυμπιάδα πράγματα, τῷ δὲ Κασσάνδρῳ προςέθεντο. μιᾶς δ' οὔσης αὐτῇ βοηθείας τῆς παρὰ Πολυσπέρχοντος, συνέβη καὶ ταύτην συντριβῆναι παραδόξως. ὁ γὰρ ὑπὸ Κασσάνδρου πεμφθεὶς στρατηγὸς Κάλλας ἐπειδὴ πλησίον γενόμενος τοῦ Πολυσπέρχοντος κατεστρατοπέδευσεν ἐν τῇ Περῤῥαιβίᾳ, διέφθειρε τῶν μετ' αὐτοῦ στρατιωτῶν τοὺς πλείστους χρήμασιν, ὥςτε ὀλίγους τοὺς μάλιστα πιστοὺς ἀπολειφθῆναι. αἱ μὲν οὖν Ὀλυμπιάδος ἐλπίδες ἐν ὀλίγῳ χρόνῳ τοῦτον τὸν τρόπον ἐταπεινώθησαν.

37 Κατὰ δὲ τὴν Ἀσίαν Ἀντίγονος μὲν χειμάζων ἐν Γαδαμάρλοις τῆς Μηδίας, καὶ θεωρῶν τὴν ἑαυτοῦ δύναμιν ἀσθενεστέραν οὖσαν τῆς τῶν πολεμίων, ἔσπευδεν ἀνελπίστως αὐτοῖς ἐπιθέσθαι καὶ καταστρατηγῆσαι. ἐτύγχανον δ' οὗτοι τὴν χειμασίαν ἔχοντες ἐν πολλοῖς μέρεσι διεζευγμένην, ὥςτ' ἐνίους ἀπ' ἀλλήλων ἀπέχειν ὁδὸν ἡμερῶν ἕξ. τὸ μὲν οὖν διὰ τῆς οἰκουμένης χώρας ὁδοιπορεῖν ἀπεδοκίμασε διὰ τὸ καὶ μακρὰν εἶναι καὶ τοῖς πολεμίοις εὐθεώρητον· τὸ δὲ τολμῆσαι διὰ τῆς ἐρήμου. καὶ ἀνύδρου προάγειν ἐπίπονον μὲν ἔκρινεν, εἰς δὲ τὴν βεβουλευμένην ἐπιβολὴν χρησιμώτατον. οὐ μόνον γὰρ διὰ ταύτης συντόμως ἦν ἐλθεῖν, ἀλλὰ καὶ ῥᾳδίως λαθεῖν ἀπροςδοκήτως ἐπιπεσόντα τοῖς διὰ τὴν ἄγνοιαν διεῤῥιμμένοις κατὰ κώμας καὶ ῥᾳθυμοῦσι. ταῦτα δὲ διανοηθείς, τοῖς μὲν στρατιώταις παρήγγειλεν ἑτοίμους εἶναι πρὸς ἀνάζευξιν καὶ παρασκευάσασθαι δέχ' ἡμερῶν ἄπυρα σιτία· αὐτὸς δὲ διαδοὺς λόγον ἐπ' Ἀρμενίας

88. γενέσθαι συνέβη] συνέβη γενέσθαι FVW 98. παρὰ om. F

346. 100. ὑπὸ] ἀπὸ Bas. 3. πλείστους] πλείους W 6. τοῦτον τὸν τρόπον post ἐλπίδες ponit F 8. γαδα ταμάρλαις F, Γαδάρλοις QVW, caeteri Γαδαμάλοις 11. χειμασίαν] συμμαχίαν FQVW 23. δέχ'] ἐξ δ' VW, ἐξ δ' ἔ ἔχειν F 24. αὐτός] οὗτος F διαδοὺς] legebatur δοὺς: conf. ad vol. I. p. 107. 96. vol. II. p. 379. 31. 398. 13. λόγον] λόγους FW



προάξειν ἄφνω παρὰ τὴν πάντων ὑπόληψιν ὥρμησε διὰ
τῆς ἐρήμου, τῆς ὥρας οὔσης περὶ χειμερινὰς τροπάς. κα-
τὰ δὲ τὰς στρατοπεδείας παρήγγειλε τῆς ἡμέρας μὲν τὰ
πυρὰ κάειν, τῆς δὲ νυκτὸς κατασβεννύναι τελέως, ὅπως
μή τινες ἐκ τῶν μετεώρων κατανοήσαντες ἀπαγγεί-
λωσι τὸ γινόμενον τοῖς πολεμίοις. ἦν γὰρ ἡ μὲν ἔρη-
μος πᾶσα σχεδὸν πεδιάς, περιείχετο δὲ ὑπὸ λόφων
ὑψηλῶν, ἀφ' ὧν ῥᾴδιον ἦν ἐκ πολλοῦ διαστήματος
συνορᾶν τὴν αὐγὴν τοῦ πυρός. ἐπιπόνως δὲ τῆς δυνά-
μεως πένθ' ἡμέρας ὁδοιπορούσης, οἱ μὲν στρατιῶται
διά τε τὸ ψῦχος καὶ τὰς ἀναγκαίας χρείας ἔκαον πῦρ
μεθ' ἡμέραν τε καὶ νύκτωρ ἐν ταῖς στρατοπεδείαις. ὃ
δὴ συνιδόντες τινὲς τῶν παρὰ τὴν ἔρημον οἰκούντων
ἔπεμψαν τοὺς ἀπαγγελοῦντας αὐθημερὸν τοῖς περὶ Εὐ-
μένη καὶ Πευκέστην, δόντες δρομάδας καμήλους· δια-
τείνει γὰρ τὸ ζῶον τοῦτο σταδίους οὐ πολὺ ἐλάττους 38
347 χιλίων πεντακοσίων. οἱ δὲ περὶ τὸν Πευκέστην πυθό-
μενοι κατὰ μέσην τὴν ὁδὸν ἑωρᾶσθαι τὴν στρατοπε-
δείαν, διέγνωσαν ἀναχωρεῖν εἰς τοὺς ἐσχάτους τόπους
τῆς χειμασίας, φοβούμενοι μὴ καταληφθῶσιν ὑπὸ τῶν
πολεμίων πρὶν ἢ συνελθεῖν πανταχόθεν τὴν συμμαχοῦ-
σαν δύναμιν. ὧν ὁρῶν τὴν ἀθυμίαν ὁ Εὐμένης, θαῤ-
ῥεῖν παρεκελεύετο καὶ μένειν ἐπὶ τῶν ὅρων τῆς ἐρήμου.
εὑρηκέναι γὰρ τρόπον δι' οὗ ποιήσει τὸν Ἀντίγονον
ὕστερον ἡμέραις τρισὶν ἢ τέτταρσι παραγενέσθαι· τού-
του δὲ γενομένου, τὴν μὲν ἑαυτῶν δύναμιν ῥᾳδίως
ἀθροισθήσεσθαι, τοὺς δὲ πολεμίους καταπεπονημένους
καὶ πάντων ἐνδεεῖς ὄντας ὑποχειρίους γενήσεσθαι. πάν-
των δὲ θαυμασάντων τὸ παράδοξον τῆς ἐπαγγελίας, καὶ
ζητούντων μαθεῖν τί ποτ' ἔσται τὸ δυνάμενον κωλῦσαι
προάγειν τοὺς ἐναντίους, προςέταξεν ἀκολουθεῖν ἑαυτῷ
πάντας τοὺς ἡγεμόνας μετὰ τῶν ἰδίων στρατιωτῶν ἔχον-
τας ἐν ἀγγείοις πλείοσι πῦρ. ἐκλεξάμενος δὲ τῆς μετεώ-
ρου χώρας τόπον ἐστραμμένον ἐπὶ τὴν ἔρημον καὶ πρὸς
τὴν ἀποθεώρησιν πανταχόθεν εὐφυῆ, σημεῖα θέμενος
περιέλαβεν ὡς ἂν ἑβδομήκοντα σταδίων περιφέρειαν.

27. τῆς] τὰς F (ῆς) 28. κάειν] scribe καίειν hic et 64. 29. ἐκ FW, caeteri νυκτὸς ἐκ 36. ἔκαον] scribe ἔκαιον 41. hic gl. T πόσον δρόμον ἡμερεύει ἡ δρομοκάμηλος

347. 46. ἢ συνελθεῖν] συνειςελθεῖν F 48. ἀθυμίαν] ῥαθυμίαν QVW ὁ om. Bas. παρεκελεύετο] ἐπεκαλεῖτο FV 49. ὅρων Bas., caeteri ὁρῶν 61. πρὸς τὴν ἀποθεώρησιν FTVW Bas., caeteri praemittunt πρὸς τὴν ἀπόθεσιν καί, quae asterisco notavit Stephanus

διελὼν δὲ τόπους ἑκάστῳ τῶν συνακολουθούντων συνέταξε νυκτὸς πῦρ κάειν διαστάντας ὡς ἂν εἴκοσι πήχεις, καὶ κατὰ μὲν τὴν πρώτην φυλακὴν πολλὴν φλόγα ποιεῖν, ὡς ἂν ἐγρηγορότων ἔτι καὶ πρὸς θεραπείαν καὶ δεῖπνον παρασκευαζομένων, τῆς δὲ δευτέρας ἐλάττω, καὶ τῆς τρίτης ἀπολιπεῖν ὀλίγα παντελῶς, ὥςτε δοκεῖν εἶναι τοῖς ἐξ ἀποστήματος θεωροῦσιν ἀληθινὴν στρατοπεδείαν. τῶν δὲ στρατιωτῶν ποιησάντων τὸ προςταχθὲν κατενόησάν τινες τὰ πυρὰ τῶν νεμομένων μὲν τὴν ἀπεναντίον ὀρεινήν, φίλων δ' ὄντων Πύθωνι τῷ Μηδίας σατράπῃ. δόξαντες δὲ πρὸς ἀλήθειαν εἶναι στρατοπεδείαν, καταδραμόντες εἰς τὸ πεδίον ἀπήγγειλαν τοῖς περὶ τὸν Ἀντίγονον καὶ Πύθωνα. οἱ δὲ διὰ τὸ παράδοξον καταπλαγέντες, καὶ τῆς ὁδοιπορίας ἐπισχόντες, ἐβουλεύοντο πῶς χρηστέον τοῖς προςηγγελμένοις. ἦν γὰρ ἐπικίνδυνον τὸ πεπονηκότας καὶ πάντων ἐνδεεῖς συνηγμένοις ἤδη τοῖς πολεμίοις καὶ πάντων εὐποροῦσι συμβαλεῖν. ὑπολαβόντες δὲ προδοσίαν γεγενῆσθαι, καὶ προακηκοότας τὸ μέλλον τοὺς πολεμίους ἠθροῖσθαι, τὸ μὲν ἐπ' εὐθείας προάγειν ἀπέγνωσαν, εἰς δεξιὰ δὲ κλίναντες προῆγον ἐφ' ἑκάτερα μέρη τῆς οἰκουμένης χώρας, βουλόμενοι τὴν δύναμιν ἐκ τῆς κακοπαθείας ἀναλαβεῖν.

39 Εὐμένης δὲ τὸν προειρημένον τρόπον καταστρατηγήσας τοὺς πολεμίους, μετεπέμπετο πανταχόθεν τοὺς διεῤῥιμμένους τῶν στρατιωτῶν καὶ χειμάζοντας ἐν ταῖς κώμαις. βαλόμενος δὲ χάρακα καὶ τάφρῳ βαθείᾳ τὴν παρεμβολὴν ὀχυρώσας ὑπεδέχετο μὲν τοὺς ἀεὶ καταντῶντας τῶν συμμάχων, ἐπλήρωσε δὲ τὴν στρατοπεδείαν πάντων τῶν ἐπιτηδείων. ὁ δ' Ἀντίγονος διελθὼν τὴν 348 ἔρημον, καὶ πυθόμενος παρὰ τῶν ἐγχωρίων σχεδὸν τὴν μὲν ἄλλην δύναμιν ἅπασαν συνεληλυθέναι τοῖς περὶ τὸν Εὐμένη, τοὺς δ' ἐλέφαντας μέλλειν ἀναζευγνύειν ἐκ τῆς χειμασίας, καὶ πλησίον εἶναι μεμονωμένους πάσης βοηθείας, ἀπέστειλεν ἐπ' αὐτοὺς ἱππεῖς λογχοφόρους μὲν Μήδους διςχιλίους, Ταραντίνους δὲ διακοσίους, τῶν δὲ πεζῶν τοὺς ψιλοὺς ἅπαντας. ἤλπιζε γὰρ μεμονωμένοις τοῖς θηρίοις τὴν ἐπίθεσιν ποιησάμενος τούτων τε

64. διαστάντας] libri διιστάντας 65. ὡς FVW, caeteri δ' ὡς καὶ κατὰ FVW, caeteri κατὰ 66. πολλὴν] πολὺν F 69. ὀλίγα] fortasse excidit πυρά 72. ἀπεναντίον] ἀπεναντίαν W 77. ἐπισχόντες] κατισχόντες Bas. 78. προςηγγελμένοις] ἐπηγγελμένοις FVW 82. προακηκοότας Bas. μέλλον] μέλλειν F
348. 99. Μήδους om. T Bas., asterisco notavit Stephanus



ῥᾳδίως κυριεύσειν καὶ τῶν πολεμίων παρελεῖσθαι τὸ κράτιστον μέρος τῆς δυνάμεως. ὁ δ' Εὐμένης καταστοχασάμενος τὸ μέλλον ἀπέστειλεν ἐπὶ τὴν βοήθειαν ἱππεῖς μὲν τοὺς κρατίστους χιλίους καὶ πεντακοσίους, πεζοὺς δὲ ψιλοὺς τριςχιλίους. ἐπιφανέντων δὲ πρότερον τῶν Ἀντιγόνου στρατιωτῶν, οἱ τῶν ἐλεφάντων ἡγεμόνες τάξαντες εἰς πλινθίον τὰ θηρία προῆγον, ἐν μέσῳ μὲν ἀπειληφότες τὰ σκευοφόρα, κατὰ δὲ τὴν οὐραγίαν ἔχοντες συναγωνιζομένους ἱππεῖς οὐ πλείους τετρακοσίων. ἐπιπεσόντων δ' αὐτοῖς τῶν πολεμίων παντὶ τῷ βάρει καὶ βιαιότερον ἐπικειμένων, οἱ μὲν ἱππεῖς ἐτράπησαν ὑπὸ τοῦ πλήθους καταπονηθέντες, οἱ δ' ἐπὶ τῶν ἐλεφάντων ἐφεστηκότες τὸ μὲν πρῶτον ἀντεῖχον καὶ διεκαρτέρουν πανταχόθεν κατατιτρωσκόμενοι, βλάψαι δ' οὐδὲν τοὺς πολεμίους δυνάμενοι. ἤδη δ' αὐτῶν καταπονουμένων ἀνελπίστως ἐπιφανέντες οἱ παρ' Εὐμένους ἐξήρπασαν αὐτοὺς ἐκ τῶν κινδύνων. μετὰ δ' ἡμέρας ὀλίγας ἐν τετταράκοντα σταδίοις ἀντιστρατοπεδευουσῶν τῶν δυνάμεων, ἐξέταξαν ἀμφότεροι τὸ στρατόπεδον εἰς μάχην, ὡς περὶ τῶν ὅλων κρίσεως ἐσομένης.

40 Ἀντίγονος μὲν οὖν τοὺς ἱππεῖς ἐπὶ τὰ κέρατα διελόμενος τὸ μὲν εὐώνυμον μέρος Πύθωνι παρέδωκε, τὸ δὲ δεξιὸν τῷ υἱῷ Δημητρίῳ, μεθ' οὗ καὶ αὐτὸς διαγωνίζεσθαι διεγνώκει· τοὺς δὲ πεζοὺς εἰς μέσον καταστήσας παρέταξε παρ' ὅλην τὴν δύναμιν τοὺς ἐλέφαντας, πληρώσας τὰ διαστήματα τοῖς ψιλικοῖς τάγμασιν. ὁ δὲ πᾶς ἀριθμὸς ἦν αὐτοῦ τῆς δυνάμεως πεζοὶ μὲν διςμύριοι διςχίλιοι, ἱππεῖς δ' ἐνακιςχίλιοι σὺν τοῖς ἐκ Μηδίας προςκαταγραφεῖσι, θηρία δὲ ἑξήκοντα καὶ πέντε. ὁ δ' Εὐμένης πυθόμενος τὸν Ἀντίγονον ἐπὶ τοῦ δεξιοῦ κέρατος τετάχθαι μετὰ τῶν ἀρίστων ἱππέων, καὶ αὐτὸς ἀντετάξατο, ἐπὶ τὸ λαιὸν κέρας ἐπιστήσας τοὺς ἀρίστους· καὶ γὰρ τῶν σατραπῶν τοὺς πλείστους ἐνταῦθα κατέστησε μετὰ τῶν συναγωνιζομένων αὐτοῖς ἱππέων ἐπιλέκτων, καὶ αὐτὸς μετὰ τούτων ἔμελλε κινδυνεύειν· συνῆν δ' αὐτοῖς καὶ Μιθριδάτης ὁ Ἀριοβαρζάνου μὲν

3. τῶν FW, caeteri κατὰ τῶν παρελεῖσθαι FW, caeteri παρελέσθαι 6. καὶ om. F 9. εἰς — 10. ἀπειληφότες om. X 10. ἀπειληφότες τὰ σκευοφόρα] ὑπειληφότες πεζούς τινας ψιλοὺς FQVW 17. τοὺς πολεμίους] τοῖς πολεμίοις F 21. ἐν servarunt FW τετταράκοντα] τεσσαράκοντα omnes 22. τὸ στρατόπεδον] τὰ στρατόπεδα Bas. 28. παρέταξε] προέταξε Wesselingius τοὺς ἐλέφαντας, πληρώσας Rhodomannus: libri τοὺς δ' ἐλέφαντας πληρώσαντες 32. libri ἐννακιςχίλιοι

349 υἱός, ἀπόγονος δ' ἑνὸς τῶν ἑπτὰ Περσῶν τῶν συγκαθελόντων τὸν μάγον Σμέρδιν, ἀνὴρ ἀνδρείᾳ διαφέρων καὶ τεθραμμένος ἐκ παιδὸς στρατιωτικῶς. πρὸ δὲ τοῦ κέρατος παντὸς ἔταξεν ἐν ἐπικαμπίῳ τοὺς κρατίστους τῶν ἐλεφάντων ἑξήκοντα, καὶ τὰ διαστήματα τοῖς ψιλοῖς διέλαβε τάγμασι. τῶν δὲ πεζῶν πρώτους μὲν ἔταξε τοὺς ὑπασπιστάς, εἶτα τοὺς ἀργυράσπιδας, ἐπὶ πᾶσι δὲ τοὺς ξένους καὶ τῶν ἄλλων τοὺς εἰς τὰ Μακεδονικὰ καθωπλισμένους, καὶ πρὸ τούτων ἐλέφαντας καὶ τῶν ψιλῶν τοὺς ἱκανούς. ἐπὶ δὲ τὸ δεξιὸν κέρας τάξας τῶν ἱππέων καὶ τῶν ἐλεφάντων τοὺς ἀσθενεστέρους ἀπέδειξεν ἡγεμόνα τῶν πάντων Φίλιππον· τούτῳ δὲ διεκελεύσατο φυγομαχεῖν καὶ τὴν ἀπὸ θατέρου μέρους κρίσιν ἀποθεωρεῖν. οἱ δὲ σύμπαντες ἦσαν μετ' Εὐμένους κατὰ τοῦτον τὸν καιρὸν πεζοὶ μὲν τρισμύριοι ἑξακισχίλιοι ἑπτακόσιοι, ἱππεῖς δὲ ἑξακισχίλιοι πεντήκοντα, ἐλέφαντες δὲ ἑκατὸν τετταρεσκαίδεκα.

41 Μικρὸν δὲ πρὸ τῆς παρατάξεως Ἀντιγένης ὁ τῶν ἀργυρασπίδων στρατηγὸς ἔπεμψεν ἕνα τῶν Μακεδόνων ἱππέων ἐπὶ τὴν φάλαγγα τῶν ἐναντίων, προστάξας πλησίον παραγενόμενον ἀναβοῆσαι. οὗτος δὲ προσιππεύσας μόνος εἰς φωνῆς ἀκοὴν καθ' ὃ μέρος ἡ φάλαγξ ἦν τῶν παρ' Ἀντιγόνῳ Μακεδόνων ἀνεβόησεν Ἐπὶ τοὺς πατέρας, ὦ κακαὶ κεφαλαί, τοὺς μετὰ Φιλίππου καὶ Ἀλεξάνδρου τὰ ὅλα κατειργασμένους, οὓς μετ' ὀλίγον ὄψονται καὶ τῶν βασιλέων καὶ τῶν προγεγονότων ἀγώνων ἀξίους. καὶ γὰρ ἐτύγχανον κατὰ τοῦτον τὸν καιρὸν τῶν ἀργυρασπίδων οἱ νεώτατοι μὲν περὶ τὰ ἑξήκοντα ἔτη, τῶν δ' ἄλλων οἱ πλείους μὲν περὶ τὰ ἑβδομήκοντα, τινὲς δὲ καὶ πρεσβύτεροι, πάντες δὲ ταῖς ἐμπειρίαις καὶ ταῖς ῥώμαις ἀνυπόστατοι· τοσαύτη περὶ αὐτοὺς ἦν εὐχειρία καὶ τόλμα διὰ τὴν συνέχειαν τῶν κινδύνων. γενομένου δὲ τοῦ κηρύγματος καθότι προείρηται, παρὰ μὲν τοῖς περὶ Ἀντίγονον ἐγίνοντο φωναὶ δυσχερεῖς, ὅτι συναναγκάζοιντο πρὸς συγγενεῖς καὶ πρεσβυτέρους διαμάχεσθαι, παρὰ δὲ τοῖς μετ' Εὐμένους παρατατττομένοις παρακελευσμὸς καὶ βοὴ τὴν ταχίστην ἄγειν ἐπὶ τοὺς πολεμίους. ὧν Εὐμένης ὁρῶν τὴν προθυμίαν, ἦρε τὸ σύσσημον, δι' ὧν παρεστήσατο τοὺς μὲν σαλπιγκτὰς τὸ πολεμικὸν σημαίνειν, τὴν δὲ δύναμιν ἀλαλάξαι πᾶσαν.

Συνῆψε δὲ μάχην πρῶτον μὲν τὰ θηρία, μετὰ δὲ 42 ταῦτα καὶ τὸ τῶν ἱππέων πλῆθος. τοῦ δὲ πεδίου πολλὴν εὐρυχωρίαν ἔχοντος, καὶ παντὸς ὑπάρχοντος ἀργοῦ διὰ τὴν ἐν αὐτῷ διήκουσαν ἁλμυρίδα, τοσοῦτον συνέβη ὑπὸ τῶν ἱππέων ἐξαίρεσθαι κονιορτὸν ὥστε μηδένα δύνασθαι ῥᾳδίως συνορᾶν ἐξ ὀλίγου διαστήματος τὸ γινό-

350 μενον. ὃ δὴ κατανοήσας Ἀντίγονος ἀπέστειλε τοὺς ἐκ Μηδίας ἱππεῖς καὶ τῶν Ταραντίνων τοὺς ἱκανοὺς ἐπὶ τὴν ἀποσκευὴν τῶν πολεμίων. ἤλπιζε γάρ, ὅπερ ἦν ἀληθές, διὰ μὲν τὸν κονιορτὸν λήσεσθαι, διὰ δὲ τὴν ἅλωσιν τῆς ἀποσκευῆς ἀκονιτὶ κρατῆσαι τῶν πολεμίων. οἱ δὲ πεμφθέντες περιιππεύσαντες τὸ κέρας τῶν ἐναντίων καὶ λαθόντες ἐπέθεντο τοῖς σκευοφόροις, ἀπέχουσι τῆς μάχης ὡς πέντε σταδίους. εὑρόντες δ' αὐτὴν πλήρη μὲν ὄχλου πρὸς μάχην ἀχρήστου, τοὺς δ' ἀμυνομένους ὀλίγους, ταχὺ τοὺς ἀντιστάντας τρεψάμενοι τῶν ἄλλων ἁπάντων ἐκυρίευσαν. ἅμα δὲ τούτοις πραττομένοις Ἀντίγονος μὲν συνάψας μάχην τοῖς ἀντιτεταγμένοις, καὶ μετὰ πλήθους ἱππέων ἐπιφανείς, κατεπλήξατο Πευκέστην τὸν τῆς Περσίδος σατράπην. ὃς μετὰ τῶν περὶ ἑαυτὸν ἱππέων ἔξω τοῦ κονιορτοῦ διδοὺς ἑαυτὸν συνεπεσπάσατο καὶ τῶν ἄλλων εἰς χιλίους πεντακοσίους. Εὐμένης δὲ μετ' ὀλίγων ἀπολειφθεὶς ἐπ' ἄκρου τοῦ κέρατος, τὸ μὲν εἶξαι τῇ τύχῃ καὶ φυγεῖν αἰσχρὸν διέλαβε, τὸ δὲ τηροῦντα τὴν δεδομένην ὑπὸ τῶν βασιλέων πίστιν γενναίᾳ προαιρέσει συναποθανεῖν προκρίνας, ἐπ' αὐτὸν ἐώσατο τὸν Ἀντίγονον. γενομένης δ' ἱππομαχίας καρτερᾶς, καὶ τῶν μὲν μετ' Εὐμένους ταῖς προθυμίαις προεχόντων, τῶν δὲ μετ' Ἀντιγόνου τῷ πλήθει περιγι-

81. δὲ T Bas, omisso ἑνός, quod deest libris omnibus p. 118. 33. similiterque Curtio IV. 12. 8. *Orsines praeerat a septem Persis oriundus*; est in Photii Excerptis p. 517. 76. τῶν — Σμέρδιν om. Bas.

349. 86. ψιλοῖς] malim ψιλικοῖς, ut solet: conf. ad vol. I. p. 658. 30. 90. δὲ τὸ] τὸ F 92. τούτῳ] τοῦτον F τῶν πάντων T Bas., caeteri πάντων τὸν 95. τοῦτον τὸν] τὸν αὐτὸν F 96. ἑπτακόσιοι] ἑξακόσιοι Q Bas. ἱππεῖς — πεντήκοντα om. Bas. πεντήκοντα] ἑβδομήκοντα W 97. τετταρεσκ.] ιδ Bas., δεκατέσσαρες F, caeteri τεσσαρεσκ. 1. πλησίον TX Bas., caeteri praemittunt τῶν ἐναντίων, quae asterisco notavit Stephanus 3. Ἀντιγόνῳ] Ἀντιγόνου Bas. 12. περὶ αὐτοὺς] παρ' αὐτοῖς FW εὐχειρία] ἐγχειρία Bas. 13. τόλμα] τόλμη F

14. καθότι] καθώσπερ FVW 17. παρατατт.] παραταςσ. omnes 20. σαλπιγκτὰς] σαλπιγητὰς Y Bas. 24. καὶ om. Bas. 28. μηδένα FW, caeteri μὴ 29. κατανοήσας] εὖ κατανοήσας FQVW

350. 31. ἱκανοὺς] κρατίστους FQVW 46. ἀπολειφθεὶς] ἀποληφθεὶς Bas. 47. φυγεῖν] φεύγειν FV 48. διέλαβε] διέλεγε F 51. δ' F

νομένων, πολλοὶ παρ' ἀμφοτέρων ἔπιπτον. ὅτε δὴ συνέβη καὶ τῶν ἐλεφάντων πρὸς ἀλλήλους ἀγωνιζομένων πεσεῖν τῶν Εὐμένους τὸν προηγούμενον, συμπλακέντα τῷ κρατίστῳ τῶν ἀντιτεταγμένων. διόπερ Εὐμένης ὁρῶν τοὺς μετ' αὐτοῦ πανταχόθεν ἐλαττουμένους, ἐξῆγεν ἐκ τῆς μάχης τοὺς ὑπολελειμμένους ἱππεῖς, καὶ παρελθὼν ἐπὶ θάτερον κέρας ἀνελάμβανε τοὺς μετὰ Φιλίππου τεταγμένους, οἷς ἦν παρηγγελκὼς φυγομαχεῖν. ἡ μὲν οὖν
**43** τῶν ἱππέων μάχη τοιοῦτον ἔσχε τὸ τέλος. τῶν δὲ πεζῶν οἱ μὲν ἀργυράσπιδες συμφράξαντες καὶ βιαιότερον τοῖς ἀντιτεταγμένοις ἐπιπεσόντες, τοὺς μὲν ἐν χειρῶν νόμῳ διέφθειραν, τοὺς δὲ συνηνάγκασαν φυγεῖν. ἀκατάσχετοι δὲ ταῖς ὁρμαῖς γενόμενοι, καὶ πρὸς πᾶσαν τὴν τῶν ἐναντίων φάλαγγα διαγωνισάμενοι, τοσοῦτον ταῖς εὐχειρίαις καὶ ῥώμαις ὑπερεῖχον ὥςθ' ἑαυτῶν μὲν ἀποβαλεῖν μηδένα, τῶν δ' ἐναντίων ἀνελεῖν μὲν ὑπὲρ τοὺς πεντακιςχιλίους, τρέψασθαι δὲ τοὺς πεζοὺς πάντας, ὄντας πολλαπλασίους. Εὐμένης δὲ πυθόμενος τὴν μὲν ἀποσκευὴν ἡλωκέναι, τοὺς δ' ἱππεῖς τοὺς μετὰ Πευκέστου μὴ μακρὰν ἀπέχειν, ἐπεχείρησεν ἀθροίζειν ἅπαντας καὶ πάλιν ἱππομαχεῖν πρὸς Ἀντίγονον. ἤλπιζε γὰρ μάχῃ κρατήσας οὐ μόνον τὴν ἰδίαν ἀποσκευὴν σώσειν, ἀλλὰ καὶ τὴν τῶν πολεμίων προςλήψεσθαι. τῶν δὲ περὶ τὸν Πευκέστην οὐχ ὑπακουόντων, ἀλλὰ καὶ τοὐναντίον ποῤῥωτέρω τὴν ἀποχώρησιν ποιουμένων ἐπί τινα τόπον, ἅμα δὲ καὶ νυκτὸς καταλαμβανούσης, ἠναγκάσθη συνεῖξαι τῷ καιρῷ. Ἀντίγονος δὲ τοὺς ἱππεῖς εἰς δύο μέρη διελόμενος, τοὺς μὲν αὐτὸς ἔχων ἐφήδρευε τοῖς περὶ τὸν Εὐμένη, τὴν ὁρμὴν αὐτῶν ἀποθεωρῶν, τοὺς δ' ἄλ- 351
λους παραδοὺς Πύθωνι προςέταξεν ἐπιθέσθαι τοῖς ἀργυράσπισι μεμονωμένοις τῆς τῶν ἱππέων βοηθείας. ταχὺ δ' αὐτοῦ τὸ προςταχθὲν συντελοῦντος οἱ Μακεδόνες εἰς πλινθίον ἑαυτοὺς ποιήσαντες ἀσφαλῶς ἀπεχώρησαν ἐπὶ τὸν ποταμόν, καὶ τῶν περὶ τὸν Πευκέστην κατηγόρουν

53. ἀμφοτέρων] ἀμφοτέροις Wesselingius: qui casus pro illo multis locis ex libris restitutus est, ut restituendus videatur etiam ubi omnes in altero consentiunt 56. τὸν om. Bas. 60. ἀνελάμβανε] ἀνέλαβε FVW 64. ἀντιτεταγμένοις] ἀντιταγμένοις F ἐπιπεσόντες] ἐπειςπεσόντες FW 69. μηδένα] μηθ' ἕνα Bas. 71. πάντας] ἅπαντας F 72. τὴν μὲν] τὴν F 80. τινα τόπον] τισι τόποις FVW, τινα λόφον Reiskius 81. ἠναγκάσθη συνεῖξαι Reiskius post Wesselingium: libri ἠναγκάσθησαν εἶξαι

351. 88. εἰς πλινθίον ἑαυτοὺς] πλινθίον ἑαυτῶν V 89. ἐπὶ om. F



ὡς αἰτίων γεγενημένων τῆς τῶν ἱππέων ἥττης. καταντησάντων δὲ καὶ τῶν περὶ τὸν Εὐμένη περὶ λύχνων ἁφάς, συνελθόντες ἐβουλεύοντο τί χρὴ πράττειν. οἱ μὲν οὖν σατράπαι τὴν ταχίστην ἔφησαν δεῖν ἀποχωρεῖν εἰς τὰς ἄνω σατραπείας, ὁ δ' Εὐμένης ἀπεφαίνετο μένειν καὶ διαγωνίζεσθαι, τῆς μὲν τῶν ἐναντίων φάλαγγος συντετριμμένης, τῆς δὲ τῶν ἱππέων δυνάμεως ἐφαμίλλου παρ' ἀμφοτέροις οὔσης. οἱ δὲ Μακεδόνες οὐδετέροις ἔφασαν ὑπακούσεσθαι, τῆς ἀποσκευῆς αὐτῶν ἡλωκυίας καὶ παρὰ τοῖς πολεμίοις ὄντων τέκνων καὶ γυναικῶν καὶ πολλῶν ἄλλων ἀναγκαίων σωμάτων. τότε μὲν οὖν διελύθησαν οὐδεμίαν συμπεφωνημένην γνώμην βεβαιώσαντες· μετὰ δὲ ταῦθ' οἱ Μακεδόνες λάθρᾳ διαπρεσβευσάμενοι πρὸς Ἀντίγονον, τὸν μὲν Εὐμένη συναρπάσαντες παρέδωκαν, τὰς δ' ἀποσκευὰς κομισάμενοι καὶ πίστεις λαβόντες, κατετάχθησαν εἰς τὸ στρατόπεδον. τὸ παραπλήσιον δ' οἵ τε σατράπαι καὶ τῶν ἄλλων ἡγεμόνων τε καὶ στρατιωτῶν οἱ πλεῖστοι τὸν στρατηγὸν ἐγκαταλιπόντες τῆς ἰδίας ἀσφαλείας μόνον ἐφρόντισαν.

Ἀντίγονος δὲ παραδόξως κυριεύσας τοῦ τ' Εὐμένους **44**
καὶ πάσης τῆς ἀντιτεταγμένης δυνάμεως, Ἀντιγένην μὲν τὸν τῶν ἀργυρασπίδων ἡγούμενον συλλαβὼν καὶ καταθέμενος εἰς σειρὸν ζῶντα κατέκαυσεν, Εὔδημον δὲ τὸν ἐξ Ἰνδῶν καταγαγόντα τοὺς ἐλέφαντας καὶ Κέβαλον καί τινας ἄλλους τῶν ἀλλοτρίως ἀεὶ πρὸς αὐτὸν ἐχόντων ἀνεῖλεν. Εὐμένη δὲ παραδοὺς εἰς φυλακὴν ἐβουλεύετο πῶς αὐτῷ χρηστέον εἴη. ἔσπευδε γὰρ ἔχειν μεθ' αὑτοῦ στρατηγὸν ἀγαθὸν καὶ χάριτος ὑπόχρεων, οὐ λίαν δ' ἐπίστευεν αὐτοῦ ταῖς ἐπαγγελίαις διὰ τὴν πρὸς Ὀλυμπιάδα καὶ τοὺς βασιλεῖς φιλίαν· καὶ γὰρ πρότερον σωθεὶς ὑπ' αὐτοῦ περὶ Νῶρα τῆς Φρυγίας οὐδὲν ἧττον τοῖς βασιλεῦσι προθυμότατα συνηγωνίσατο. ὁρῶν δὲ καὶ τὴν τῶν Μακεδόνων ὁρμὴν ἀπαραίτητον οὖσαν πρὸς τὴν κατ' Εὐμένους τιμωρίαν, ἀνεῖλε τὸν ἄνδρα· διὰ δὲ τὴν προγεγενημένην φιλίαν καύσας τὸ σῶμα, καὶ καταθέμενος εἰς ἀγγεῖον τὰ ὀστᾶ, πρὸς τοὺς οἰκείους ἀπέστειλεν. ἀνήχθη

90. αἰτίων γεγενημένων] αἰτίῳ γεγενημένῳ F 92. ἐβουλεύοντο] συνεβουλεύοντο T Bas. 95. δ' F 98. ἔφασαν] ἔφησαν F 7. οἵ τε] οἱ F 8. ἡγεμόνων τε] ἡγεμόνων καὶ στρατηγῶν F 14. σειρὸν] σωρὸν VW, συ$^{ω}$ρὸν Bas., σειρὸν F 15. ἐξ om. FV Ἰνδῶν καταγαγόντα] τῶν Ἰνδῶν κατάγοντα F 16. Κέβαλον F, Κεβαλὸν W, Κεβανὸν V, Κελβανὸν caeteri: Κεβαλῖνον Valckenarius ad Herodoti VI. 45. 17. ἀεὶ] αἰεὶ F 19. αὐτοῦ] ἑαυτοῦ F

δ' ἐν τοῖς τραυματίαις αἰχμάλωτος καὶ ὁ τὰς ἱστορίας συνταξάμενος Ἱερώνυμος ὁ Καρδιανός, ὃς τὸν μὲν ἔμπροσθεν χρόνον ὑπ' Εὐμένους τιμώμενος διετέλεσε, μετὰ δὲ τὸν ἐκείνου θάνατον ὑπ' Ἀντιγόνου ἐτύγχανε φιλανθρωπίας καὶ πίστεως. ὁ δ' Ἀντίγονος τὴν δύναμιν ἅπασαν ἀναλαβὼν εἰς Μηδίαν αὐτὸς μὲν ἔν τινι κώμῃ παρεχείμασεν οὔσῃ πλησίον Ἐκβατάνων, ἐν ᾗ τῆς χώρας ἐκείνης 352 ἐστὶ τὰ βασίλεια, τοὺς δὲ στρατιώτας ἐπιδιεῖλεν εἰς ἅπασαν τὴν σατραπείαν, καὶ μάλιστα εἰς τὴν ἐπαρχίαν τὴν προςαγορευομένην Ῥάγας, ἣ ταύτην τὴν προςηγορίαν ἔσχεν ἀπὸ τῶν γενομένων περὶ αὐτὴν ἀτυχημάτων ἐν τοῖς ἔμπροσθεν χρόνοις. πλείστας γὰρ ἔχουσα πόλεις τῶν ἐν ἐκείνοις τοῖς τόποις καὶ μάλιστ' εὐδαιμονούσας, τηλικούτους ἔσχε σεισμοὺς ὥςτε καὶ τὰς πόλεις καὶ τοὺς ἐνοικοῦντας ἅπαντας ἀφανισθῆναι, καθόλου δὲ τὴν χώραν ἀλλοιωθῆναι καὶ ποταμοὺς ἀντὶ τῶν προϋπαρχόντων ἄλλους φανῆναι καὶ λίμνας.

45 Κατὰ δὲ τούτους τοὺς χρόνους συνέβη γενέσθαι περὶ τὴν τῶν Ῥοδίων πόλιν τὸν τρίτον κατακλυσμόν, ὃς πολλοὺς τῶν ἐνοικούντων διέφθειρεν. ὧν ὁ μὲν πρῶτος ὀλίγα τοῖς ἀνθρώποις ἐνώχλησεν, ὡς ἂν τῆς πόλεως οὔσης νεοκτίστου, καὶ διὰ τοῦτο πολλὴν εὐρυχωρίαν ἐχούσης. ὁ δὲ δεύτερος μείζων ἐγένετο καὶ πλείω σώματα διέφθειρεν. ὁ δὲ τελευταῖος ἐπέπεσεν ἔαρος ἀρχομένου, καταῤῥαγέντων ἐξαίφνης μεγάλων ὄμβρων καὶ χαλάζης ἀπίστου τὸ μέγεθος· μνααῖαι γὰρ ἔπιπτον, ἔστι δ' ὅτε καὶ μείζους, ὥςτε πολλὰς μὲν τῶν οἰκιῶν συμπίπτειν διὰ τὸ βάρος, οὐκ ὀλίγους δὲ καὶ τῶν ἀνθρώπων ἀπόλλυσθαι. θεατροειδοῦς δ' οὔσης τῆς Ῥόδου, καὶ τὰς ἐγκλίσεις τῶν ὑδάτων κατὰ τὸ πλεῖστον εἰς ἕνα τόπον ποιουμένης, εὐθὺς τὰ ταπεινὰ τῆς πόλεως ἐπληροῦτο, τῶν μὲν ὀχετῶν διὰ τὸ δοκεῖν παρεληλυθέναι τὸν χειμῶνα κατημελημένων, τῶν δ' ἐν τοῖς τείχεσιν ὀβελίσκων συμφραχθέντων. τοῦ δ' ὕδατος παραδόξως ἀθροιζομένου, πᾶς μὲν ὁ περὶ τὸ δεῖγμα καὶ τὸ Διονύσιον τόπος ἐπεπλήρωτο, πρὸς δὲ τὸ Ἀσκληπιεῖον ἤδη τοῦ λιμνάζοντος τόπου προςιόντος, ἐκπλαγεῖς μὲν ἦσαν

30. τραυματίαις] ἑαλωκόσι FQVW 34. τὴν] τὴν μὲν F 352. 38. σατραπείαν] στρατιάν F 43. μάλιστ' F Bas., caeteri μάλιστα 50. τῶν Ῥοδίων] Ῥοδίων Bas. 52. τοῖς ἀνθρώποις] τοὺς ἀνθρώπους F 55. ἐπέπεσεν] ἔπεσε V, caeteri ἐπέπεσε μὲν 58. μνααῖαι] μναῖαι Bas. 60. καὶ om. Bas. 65. τείχεσιν] τοίχοις FW 67. τὸ Διονύσιον W, caeteri Διονύσιον 68. ἐπεπλήρωτο] ἐπληροῦτο F, in marg. ponens γρ. ἐπεπλήρωτο



ἅπαντες, πρὸς δὲ τὴν σωτηρίαν διαφόροις ἐχρῶντο κρίσεσιν. οἱ μὲν γὰρ αὐτῶν εἰς τὰ πλοῖα συνέφυγον, οἱ δ' ἐπὶ τὸ θέατρον ἀνέδραμον, τινὲς δὲ τῶν περικαταλαμβανομένων ὑπὸ τοῦ δεινοῦ διαποροῦντες ἐπὶ τοὺς ὑψηλοτάτους βωμοὺς καὶ τὰς τῶν ἀνδριάντων βάσεις προςανέβησαν. κινδυνευούσης δὲ τῆς πόλεως ἄρδην μετὰ τῶν κατοικούντων ἀπολέσθαι βοήθειά τις αὐτόματος ἐγένετο. τοῦ γὰρ τείχους ῥαγέντος ἐπὶ πολὺν τόπον ἐξέπεσε ταύτῃ τὸ συνεστηκὸς ὕδωρ εἰς τὴν θάλατταν, καὶ ταχὺ πάλιν ἕκαστος εἰς τὴν προϋπάρχουσαν τάξιν ἀποκατέστη. συνήργησε δὲ τοῖς κινδυνεύουσι καὶ τὸ μεθ' ἡμέραν γενέσθαι τὸν κατακλυσμόν· οἱ γὰρ πλεῖστοι φθά-
353 σαντες ἐξεπήδησαν ἐκ τῶν οἰκιῶν εἰς τοὺς μετεώρους τόπους τῆς πόλεως· πρὸς δὲ τούτοις τὸ μὴ πλινθίνας εἶναι τὰς οἰκίας ἀλλὰ λιθίνας, καὶ διὰ τοῦτο τοὺς ἐπὶ τὰ στέγη καταφυγόντας ἀσφαλῶς διασωθῆναι. ὅμως δὲ τηλικούτων ἀτυχημάτων γενομένων σώματα μὲν διεφθάρη πλείω τῶν πεντακοσίων, οἰκίαι δὲ αἱ μὲν τελέως ἔπεσον, αἱ δὲ διεσείσθησαν. καὶ τὰ μὲν περὶ τὴν Ῥόδον συμβάντα τοιοῦτον ἔσχε τὸν κίνδυνον.

46 Ἀντίγονος δὲ χειμάζων ἐν τῇ Μηδίᾳ, καὶ πυθόμενος Πύθωνα πολλοὺς τῶν ἐν τῇ χειμασίᾳ στρατιωτῶν ἐπαγγελίαις καὶ δωρεαῖς ἰδίους κατασκευάζειν καὶ διανοεῖσθαι νεωτερίζειν, τὴν μὲν ἰδίαν προαίρεσιν ἐπεκρύψατο, προςποιηθεὶς δὲ ἀπιστεῖν τοῖς διαβάλλουσι, τούτοις μὲν πολλῶν ἀκουόντων ἐπετίμησεν, ὡς διιστάνουσι τὴν φιλίαν, πρὸς δὲ τοὺς ἐκτὸς διέδωκε λόγον ὅτι μέλλει καταλιπεῖν τῶν ἄνω σατραπειῶν στρατηγὸν Πύθωνα καὶ δύναμιν ἱκανὴν τὴν παρέξουσαν τὴν ἀσφάλειαν. ἔγραψε δὲ καὶ πρὸς αὐτὸν ἐπιστολήν, ἀξιῶν ἥκειν τὴν ταχίστην, ὅπως κατὰ πρόςωπον περὶ τῶν ἀναγκαίων κοινολογησάμενος ταχέως τὴν ἐπὶ θάλατταν κατάβασιν ποιήσηται. ταῦτα δ' ἐμηχανήσατο σπεύδων τῆς μὲν ἀληθοῦς ὑποψίας αὐτὸν ἀποστῆσαι, πεῖσαι δ' ὡς σατράπην καταλειφθησόμενον ἐλθεῖν εἰς χεῖρας· μετὰ βίας γὰρ συλλαβεῖν οὐ ῥάδιον ἦν ἄνδρα καὶ παρ' Ἀλεξάνδρῳ προαγωγῆς δι' ἀρετὴν τετευχότα, καὶ κατ' ἐκεῖνον τὸν και-

72. δ' F ἐπὶ — περικαταλαμβανομένων] ἐπικαταλαμβανόμενοι F 74. ἐπὶ] ὑπὸ F 78. πολὺν] πολὺ F τόπον] τρόπον Bas. 79. θάλατταν] θάλασσαν omnes 353. 89. τελέως F, caeteri τελείως ἔπεσον] ἔπεσαν W 91. τοιοῦτον] τοῦτον FVW 98. τὴν] μὲν τὴν F 100. Πείθωνα Bas. 3. κοινολογησάμενος FT Bas., caeteri κοινολογησάμενοι 4. θάλατταν] θάλασσαν omnes ποιήσηται FW, caeteri ποιήσαιντο

ρὸν σατράπην μὲν ὄντα τῆς Μηδίας, πεπολιτευμένον δὲ πρὸς ἅπαν τὸ στρατόπεδον. ὁ δὲ Πύθων ἐτύγχανε μὲν ἐν τοῖς ἐσχάτοις μέρεσι τῆς Μηδίας χειμάζων καὶ πλῆθος ἤδη διεφθαρκὼς τῶν ἐπαγγελλομένων συναποστήσεσθαι· γραφόντων δ' αὐτῷ τῶν φίλων περὶ τῶν Ἀντιγόνου προαιρέσεων καὶ μεγάλας ὑπογραφόντων ἐλπίδας, ἐξαπατηθεὶς κεναῖς προςδοκίαις ἧκε πρὸς Ἀντίγονον. ὁ δὲ κυριεύσας τοῦ σώματος, καὶ κατηγορίαν ποιησάμενος ἐν τοῖς μετέχουσι τοῦ συνεδρίου, ῥᾳδίως κατεδίκασε, καὶ παραχρῆμα ἀπέκτεινε. συναγαγὼν δὲ τὸ στρατόπεδον εἰς ἕνα τόπον, σατράπην μὲν ἀπέδειξε τῆς Μηδίας Ὀροντοβάτην Μῆδον, στρατηγὸν δὲ Ἱππόστρατον, ἔχοντα πεζοὺς μὲν ξένους τριςχιλίους καὶ ἱππεῖς πεντακοσίους. αὐτὸς δ' ἀναλαβὼν τὴν δύναμιν παρῆλθεν εἰς Ἐκβάτανα. ἐνταῦθα δὲ παραλαβὼν ἀσήμου ἀργύρου τάλαντα πεντακιςχίλια προῆγεν ἐπὶ τῆς Περσίδος, οὔσης τῆς ἀναβάσεως ὡς ἂν εἴκοσιν ἡμερῶν εἰς τὸ βασίλειον, ὃ καλεῖται Περσέπολις.

47 Τοῦ δ' Ἀντιγόνου καθ' ὁδὸν ὄντος οἱ τοῦ Πύθωνος φίλοι καὶ μετεσχηκότες τῆς ἐπιβολῆς, ὧν ἦσαν 354
ἐπιφανέστατοι Μελέαγρος καὶ Μενοίτας, ἤθροισαν τοὺς πλανωμένους τῶν Εὐμένους τε καὶ Πύθωνος συνήθων, εἰς ὀκτακοσίους ἱππεῖς. καὶ τὸ μὲν πρῶτον τὴν χώραν ἐλεηλάτουν τῶν μὴ βουλομένων συναφίστασθαι Μήδων, μετὰ δὲ ταῦτα πυθόμενοι στρατοπεδεύειν τόν τε Ἱππόστρατον καὶ τὸν Ὀροντοβάτην, ἐπέθεντο νυκτὸς τῇ παρεμβολῇ. καὶ παρ' ὀλίγον μὲν ἐκράτησαν τῆς ἐπιβολῆς, ὑπὸ δὲ τοῦ πλήθους κατισχυόμενοι, καί τινας τῶν στρατιωτῶν πείσαντες συναποστῆναι, πάλιν ἀπεχώρησαν. εὔζωνοι δ' ὄντες καὶ πάντες ἵπποις χρώμενοι, τάς τε καταδρομὰς ἀπροςδοκήτους ἐποιοῦντο καὶ τὴν χώραν ταραχῆς ἐπλήρωσαν. μετὰ δέ τινα χρόνον συγκλεισθέντες εἴς τινα τόπον κρημνοῖς περιεχόμενον, οἱ μὲν αὐτῶν ἀνῃρέθησαν οἱ δ' ἐξωγρήθησαν. τῶν δὲ ἡγεμόνων Μελέαγρος καὶ ὁ Κράνης ὁ Μῆδος καί τινες τῶν ἀξιολόγων ἀνδρῶν ὑποστάντες ἀνῃρέθησαν. καὶ τὰ μὲν περὶ

14. ἐπαγγελλομένων] ἐπαγγελομένων W 15. τῶν — προαιρέσεων] τῆς — προαιρέσεως FQVW 23. καὶ ἱππεῖς πεντακοσίους T, caeteri πεντακοσίους 24. δ' F ἀναλαβὼν FVW, caeteri παραλαβὼν 26. ἀργύρου FV, caeteri ἀργυρίου
354. 31. ἐπιβολῆς Rhodomannus: libri ἐπιβουλῆς 39. ἐπιβολῆς] ἐπιβουλῆς W, ἐπιβολῆς [υ] F 41. ἀπεχώρησαν] ὑπεχώρησαν F 46. δ' F ἡγεμόνων] ἡγουμένων F 47. ὁ Κράνης] Ὀκράνης scribendum videtur τῶν om. Bas.



τοὺς ἀποστάντας ἐν Μηδίᾳ τοιαύτην ἔσχε τὴν κατάστασιν.

48 Ὁ δ' Ἀντίγονος ἐπειδὴ τάχιστ' ἦλθεν εἰς τὴν Περσίδα, τιμῆς μὲν ὑπὸ τῶν ἐγχωρίων ἠξιώθη βασιλικῆς, ὡς ἂν κύριος ὢν ὁμολογουμένως τῆς Ἀσίας· αὐτὸς δὲ μετὰ τῶν φίλων συνεδρεύσας ἐβουλεύετο περὶ τῶν σατραπειῶν. τὴν μὲν οὖν Καρμανίαν εἴασεν ἔχειν Τληπόλεμον, καὶ τὴν Βακτριανὴν ὁμοίως Στασάνορα· οὐ γὰρ ῥᾴδιον ἦν τούτους δι' ἐπιστολῆς ἐκβαλεῖν, εὖ τὰ πρὸς τοὺς ἐγχωρίους πεπολιτευμένους καὶ πολλοὺς ἔχοντας συναγωνιστάς. εἰς δὲ τὴν Ἀρείαν ἀπέστειλεν Εὔιτον· τελευτήσαντος δὲ μετ' ὀλίγον χρόνον ἀντικατέστησεν Εὐαγόραν, ἄνδρα καὶ κατ' ἀνδρείαν καὶ σύνεσιν θαυμαζόμενον. Ὀξυάρτην δὲ τὸν Ῥωξάνης πατέρα τὴν ἐν Παροπαμισάδαις σατραπείαν εἴασεν ἔχειν, καθὰ καὶ πρότερον εἶχεν· οὐδὲ γὰρ τοῦτον ἦν ἐκβαλεῖν δυνατὸν ἄνευ χρόνου πολλοῦ καὶ δυνάμεως ἁδρᾶς. μετεπέμψατο δὲ καὶ Σιβύρτιον ἐξ Ἀραχωτῶν, εὖ διακείμενον τὰ πρὸς αὐτόν, καὶ τήν τε σατραπείαν ἔχειν συνεχώρησε καὶ τῶν ἀργυρασπίδων συνέστησε τοὺς ταραχωδεστάτους, τῷ μὲν λόγῳ πρὸς τὰς ἐν τῷ πολέμῳ χρείας, τῷ δ' ἔργῳ πρὸς ἀπώλειαν· κατ' ἰδίαν γὰρ ἐνετείλατο κατ' ὀλίγους αὐτῶν εἰς τοιαύτας χρείας ἀποστέλλειν ἐν αἷς ἔμελλον ἀπολεῖσθαι. ἐν δὲ τούτοις εἶναι συνέβαινε καὶ τοὺς Εὐμένη παραδόντας· ὥςτε τῶν εἰς τὸν στρατηγὸν παρανομημάτων συντόμως αὐτοῖς ἐπιστῆναι τιμωρίαν. αἱ γὰρ ἀσεβεῖς χρεῖαι τοῖς μὲν δυνάσταις διὰ τὴν ἐξουσίαν γίνονται λυσιτελεῖς, τοῖς δ' ὑπακούσασιν ἰδιώταις μεγάλων κακῶν ὡς ἐπίπαν αἴτιαι καθίστανται. ὁ δ' οὖν Ἀντίγονος ὁρῶν τὸν Πευκέστην παρὰ τοῖς Πέρσαις μεγάλης ἀποδοχῆς τυγχάνοντα, τὸ μὲν πρῶτον παρείλετο τὴν σατραπείαν αὐτοῦ. τῶν δὲ ἐγχωρίων ἀγανακτούντων, ἑνὸς δὲ τῶν ἐπιφανεστάτων Θεσπίου καὶ παῤῥησίαν ἀγαγόν-

56. Τληπόλεμον FQVW, caeteri Παμπόλεμον 58. εὖ τὰ] εἶτα καὶ F καὶ πολλοὺς FTVW Bas., caeteri praemittunt καὶ πολλὰς δυνάμεις, quae asterisco notavit Stephanus 59. Ἀρείαν F, Ἀρίαν caeteri 60. Εὔιτον] Εὔετον FW 63. Παροπαμισάδαις] παραπαμισάδαις [ο υ] F 64. οὐδὲ] οὔτε omnes
65. τοῦτον ἦν ἐκβαλεῖν δυνατὸν] ἦν τοῦτονδυνα τὸν ἐκβαλεῖν F
66. Σιβύρτιον FWY Bas., caeteri Σιβύριτον 71. γὰρ om. Bas.
73. αἷς] οἷς F Bas. 77. γίνονται] γίγνονται F
78. μεγάλων κακῶν ὡς ἐπίπαν αἴτιαι] ὡς ἐπίπαν μεγάλων κακῶν αἰτίαι F 79. δ' οὖν] δ' FW 82. παρείλετο] παρείλατο FW 83. Θεσπίου post ἀγαγόντος ponit θεσπεσίου scribens F

τος ὡς οὐχ ὑπακουσομένων Περσῶν ἑτέρῳ, τοῦτον μὲν 355 ἀπέκτεινεν, Ἀσκληπιόδωρον δὲ κατέστησε τῆς Περσίδος ὕπαρχον, καὶ τοὺς ἱκανοὺς στρατιώτας παρέδωκε· Πευκέστην δ' εἰς ἄλλας ἐλπίδας ἀγαγὼν καὶ κενῶς μετεωρίσας ἐξήγαγεν ἐκ τῆς χώρας. ποιουμένου δ' αὐτοῦ τὴν πορείαν ἐπὶ Σούσων ἀπήντησεν αὐτῷ ἐπὶ τῷ Πασιτίγρι ποταμῷ Ξενόφιλος ὁ κυριεύων τῶν ἐν Σούσοις χρημάτων, ἀπεσταλμένος ὑπὸ Σελεύκου πᾶν ποιῆσαι τὸ προσταττόμενον. τοῦτον μὲν οὖν προσδεξάμενος προσεποιεῖτο τιμᾶν ἐν τοῖς μεγίστοις τῶν φίλων, εὐλαβούμενος μὴ μετανοήσας πάλιν αὐτὸν ἀποκλείσῃ. αὐτὸς δὲ παραλαβὼν τὴν ἐν Σούσοις ἄκραν κατέλαβεν ἐν αὐτῇ τήν τε χρυσῆν ἀναδενδράδα καὶ πλῆθος ἄλλων κατασκευασμάτων, πάντων συναγομένων εἰς μύρια καὶ πεντακισχίλια τάλαντα. ἠθροίσθη δ' αὐτῷ καὶ ἄλλο πλῆθος χρημάτων ἔκ τε τῶν στεφάνων καὶ τῶν ἄλλων δωρεῶν, ἔτι δὲ ἐκ τῶν λαφύρων· ταῦτα γὰρ ἦσαν πεντακισχίλια τάλαντα, καὶ κατὰ τὴν Μηδίαν ἄλλα τοσαῦτα χωρὶς τῶν ἐν Σούσοις θησαυρῶν· ὥστε τὰ πάντα συναχθῆναι τάλαντα δισμύρια πεντακισχίλια. καὶ τὰ μὲν περὶ Ἀντίγονον ἐν τούτοις ἦν.

49 Ἡμεῖς δὲ διεληλυθότες τὰ κατὰ τὴν Ἀσίαν πραχθέντα μεταβιβάσομεν τὸν λόγον ἐπὶ τὴν Εὐρώπην, καὶ τὰ συνεχῆ τῶν προειρημένων διέξιμεν. ὁ γὰρ Κάσσανδρος εἰς Πύδναν τῆς Μακεδονίας συγκεκλεικὼς Ὀλυμπιάδα προσβολὰς μὲν τοῖς τείχεσιν ἠδυνάτει ποιεῖσθαι διὰ τοὺς χειμῶνας, περιστρατοπεδεύσας δὲ τὴν πόλιν καὶ χάρακα βαλόμενος ἀπὸ θαλάττης εἰς θάλατταν, ἔτι δὲ ἐφορμῶν τῷ λιμένι, πάντα τὸν βουλόμενον ἐπικουρῆσαι διεκώλυε. ταχὺ δὲ τῶν ἐπιτηδείων ἐξαναλωθέντων τοσαύτην περὶ τοὺς ἔνδον κατεσκεύασεν ἔνδειαν ὥστ' ἐκλυθῆναι τὸ παράπαν. εἰς τοῦτο γὰρ ἦλθον ἀνάγκης ὥστε τῷ μὲν στρατιώτῃ σιτομετρεῖν χοίνικας πέντε τοῦ μηνός, τοῖς δ' ἐλέφασι τοῖς κατακλεισθεῖσι διδόναι πρίοντας τὰς δοκούς, τὰ δ' ὑποζύγια καὶ τοὺς ἵππους κατακόψαι πρὸς διατροφήν. τοιαύτης δὲ περιστάσεως κατεχούσης

355. 90. ἐπὶ] ἐν VW  Πασιτίγρι] Πασιτίγριι FVW
92. πᾶν ποιῆσαι] καὶ πᾶν ποιήσειν F: ποιήσειν etiam Bas.  93. προςταττ. F, προςτασσ. caeteri  97. τήν τε] τὴν F  99. πάντων] malim τῶν πάντων  καὶ om. Bas.
1. χρημάτων] χρυσοῦ X  9. διέξιμεν] διεξίημεν Bas.  10. Πύδναν] πύδνας F  12. ποιεῖσθαι] ποιεῖν F  14. θαλάττης — θάλατταν] θαλάσσης — θάλασσαν omnes  15. πάντα] aut πάντα τὸν aut πᾶν τὸ scribendum
22. ἵππους T, caeteri ἱππεῖς



τὴν πόλιν, καὶ τῆς Ὀλυμπιάδος ἔτι προσανεχούσης ταῖς ἔξωθεν ἐλπίσιν, οἱ μὲν ἐλέφαντες ὑπὸ τῆς ἐνδείας διεφθάρησαν, τῶν δ' ἱππέων οἱ μὲν ἔξω τάξεως ὄντες οὐ σιτομετρούμενοι τὸ παράπαν σχεδὸν ἅπαντες ἐτελεύτησαν, οὐκ ὀλίγοι δὲ καὶ τῶν στρατιωτῶν τῆς ὁμοίας καταστροφῆς ἔτυχον. ἔνιοι δὲ τῶν βαρβάρων τῆς φύσεως κατισχυούσης τὴν εὐλάβειαν ἐσαρκοφάγουν, ἀναλεγόμενοι τὰ σώματα τῶν ἀποθνησκόντων. ταχὺ δὲ τῆς πόλεως πληρουμένης νεκρῶν, οἱ προεστηκότες τοῦ περὶ τὴν βασίλισσαν συστήματος τὰ μὲν κατώρυττον τῶν σωμάτων, τὰ δ' ὑπὲρ τῶν τειχῶν ἐξεῤῥίπτουν, ὥστ' εἶναι καὶ τὴν θέαν τὴν τούτων ἀπεχθῆ καὶ τὴν δυσωδίαν ἀνυ-
356 πομόνητον μὴ μόνον γυναιξὶ βασιλίσσαις καὶ τρυφῆς οἰκείαις, ἀλλὰ καὶ τῶν στρατιωτῶν τοῖς εἰωθόσι κακοπαθεῖν.

50 τοῦ δ' ἔαρος ἀρχομένου, καὶ τῆς ἐνδείας ἀεὶ μᾶλλον αὐξανομένης, συνέδραμον πολλοὶ τῶν στρατιωτῶν καὶ τὴν Ὀλυμπιάδα παρεκάλουν αὐτοὺς ἀφεῖναι διὰ τὴν ἀπορίαν. ἡ δὲ οὔτε σιτομετρεῖν αὐτοὺς δυναμένη τὸ παράπαν οὔτε τὴν πολιορκίαν λῦσαι, συνεχώρησεν ἀπαλλάττεσθαι. ὁ δὲ Κάσσανδρος προσδεξάμενος ἅπαντας τοὺς αὐτομολήσαντας, καὶ φιλανθρώπως χρησάμενος, διαπέστειλεν ἐπὶ τὰς πόλεις. ἤλπιζε γὰρ παρὰ τούτων πυθομένους τοὺς Μακεδόνας τὴν Ὀλυμπιάδος ἀσθένειαν ἀπελπιεῖν αὐτῆς τὰ πράγματα. οὐ κακῶς δ' αὐτοῦ στοχασαμένου περὶ τοῦ μέλλοντος, οἱ μὲν συναγωνίζεσθαι διεγνωκότες τοῖς πολιορκουμένοις μετενόησαν καὶ πρὸς Κάσσανδρον ἀπεχώρησαν, μόνοι δὲ τῶν ἐν Μακεδονίᾳ τὴν εὔνοιαν διεφύλαξαν Ἀριστόνους καὶ Μόνιμος· ὧν Ἀριστόνους μὲν Ἀμφιπόλεως ἐκυρίευεν, ὁ δ' ἕτερος Πέλλης. ἡ δ' Ὀλυμπιὰς ὁρῶσα τοὺς μὲν πλείους μεταθεμένους πρὸς Κάσσανδρον, τοὺς δ' ὑπολοίπους τῶν φίλων οὐκ ἰσχύοντας βοηθεῖν, ἐπεχείρησε πεντήρη ναῦν κατασπᾶν, καὶ διὰ ταύτης αὐτήν τε καὶ τοὺς φίλους σώζειν. αὐτομόλου δέ τινος τὸ γινόμενον ἀπαγγείλαντος τοῖς πολεμίοις, ὁ μὲν Κάσσανδρος ἐπιπλεύσας

24. ἔτι — 25. ἐλπίσιν] ἔτι ταῖς ἔξωθεν ἐλπίσι καραδοκούσης FVW  26. ἔξω FW, caeteri ἔξωθεν  35. ὥστ'] ὡς FVW  τὴν τούτων om. F  36. ἀνυπομόνητον] ἀνυπομένητον Y Bas.

356. 37. τρυφῆς] τρυφαῖς F  39. ἀεὶ om. FV
40. τῶν] καὶ τῶν F  42. οὔτε] οὐ Bas.  45. προσδεξάμενος] δεξάμενος F  49. ἀπελπιεῖν] ἀπελπίσειν W
51. διεγνωκότες om. Bas.  52. ἀπεχώρησαν TXY Bas., caeteri ἀπέκλινον  54. ἐκυρίευεν] ἐκυρίευσεν Bas.
56. μεταθεμένους om. FV  60. γινόμενον] γενόμενον F

ἐκυρίευσε τοῦ σκάφους, ἡ δ' Ὀλυμπιὰς ἀπογνοῦσα τὰ καθ' αὐτὴν πρέσβεις ἐξέπεμψε περὶ διαλύσεων. οἰομένου δὲ δεῖν τοῦ Κασσάνδρου τὰ καθ' αὐτὴν ἐπιτρέπειν, μόγις ἔπεισεν ὥςτε μόνην ἐξαίρετον λαβεῖν τὴν τοῦ σώματος ἀσφάλειαν. Κάσσανδρος δὲ κυριεύσας τῆς πόλεως ἐξέπεμψε τοὺς παραληψομένους τήν τε Πέλλαν καὶ τὴν Ἀμφίπολιν. ὁ μὲν οὖν τῆς Πέλλης κυριεύων Μόνιμος ἀκούσας τὰ συμβάντα περὶ τὴν Ὀλυμπιάδα, παρέδωκε τὴν πόλιν· ὁ δ' Ἀριστόνους τὸ μὲν πρῶτον ἀντέχεσθαι τῶν πραγμάτων διεγνώκει, στρατιώτας τε συχνοὺς ἔχων καὶ προςφάτως εὐημερηκώς· ὀλίγαις γὰρ ἔμπροσθεν ἡμέραις παραταξάμενος πρὸς τὸν Κασσάνδρου στρατηγὸν Κρατεύαν τοὺς πλείστους μὲν ἀνεῖλε τῶν ἀντιταχθέντων, αὐτὸν δὲ τὸν Κρατεύαν μετὰ διςχιλίων φυγόντα τῆς Βισαλτίας εἰς Βεδύνδια περιστρατοπεδεύσας ἐξεπολιόρκησε καὶ τὰ ὅπλα παρελόμενος ὑπόσπονδον ἀφῆκε. διὰ δὲ ταῦτα ἐπαιρόμενος, καὶ τὸν Εὐμένη ζῶντα ἡγούμενος, ἔτι δὲ τοὺς περὶ Ἀλέξανδρον καὶ Πολυσπέρχοντα νομίζων συνεπιλήψεσθαι, τὴν Ἀμφίπολιν οὐκ ἔφη παραδώσειν. ἐπεὶ δὲ ἔγραψε πρὸς αὐτὸν Ὀλυμπιάς, ἀπαιτοῦσα τὴν πίστιν καὶ κελεύουσα παραδοῦναι, διαλαβὼν ἀναγκαῖον εἶναι τὸ προςταττόμενον ποιεῖν, τήν τε πόλιν ἐνεχείρισε καὶ τὰ πιστὰ περὶ τῆς ἀσφαλείας

51 ἔλαβεν. ὁ δὲ Κάσσανδρος ὁρῶν περὶ τὸν Ἀριστόνουν 357
ὑπάρχον ἀξίωμα διὰ τὴν παρ' Ἀλεξάνδρου προαγωγήν, καὶ σπεύδων ἐκποδὼν ποιεῖν τοὺς δυναμένους νεωτερίζειν, ἐπανεῖλε τὸν ἄνδρα διὰ τῶν Κρατεύα συγγενῶν. προετρέψατο δὲ καὶ τοὺς οἰκείους τῶν ἀνῃρημένων ὑπ' Ὀλυμπιάδος ἐν κοινῇ τῶν Μακεδόνων ἐκκλησίᾳ κατηγορεῖν τῆς προειρημένης γυναικός. ὧν ποιησάντων τὸ προςταχθέν, καὶ τῆς μὲν Ὀλυμπιάδος οὔτε παρούσης οὔτε ἐχούσης τοὺς ἀπολογησομένους, οἱ μὲν Μακεδόνες κατεγίνωσκον αὐτῆς θάνατον· ὁ δὲ Κάσσανδρος πέμψας τινὰς τῶν φίλων πρὸς τὴν Ὀλυμπιάδα συνεβούλευε λάθρᾳ φυγεῖν, ἐπαγγελλόμενος αὐτῇ ναῦν παρασκευάσειν καὶ διακομιεῖν εἰς τὰς Ἀθήνας. τοῦτο δ' ἔπραττεν οὐ

63. οἰομένου δὲ δεῖν τοῦ Κασσάνδρου τὰ καθ' αὐτὴν ἐπιτρ. TY Bas., caeteri οἰομένης δὲ δεῖν τὰ καθ' αὐτὴν ἐπιτρ. τῷ Κασσάνδρῳ 75. Κρατεύαν — 76. δὲ τὸν om. Bas. 77. Βεδυνδία (κ) περιστρ. Bas., Κέδην διαπεριστρ. VW, βέδην διαπεριστρ. F, Κέδυν διαπεριστρ. Q, caeteri βέδυν διαστρ. 80. Εὐμένη ζῶντα ἡγούμενος] Εὐμένους θάνατον Y Bas., Εὐμένους θάνατον οὐ πυθόμενος X, Εὐμένους θάνατον ἐγνοῦν (ἀγνοῶν Wesselingius) T 85. προςτατт.] προςτασσ. omnes
357. 89. Ἀλεξάνδρου] Ἀλεξάνδρῳ F 92. καὶ τοὺς] τοὺς F



τῆς σωτηρίας προνοούμενος, ἀλλ' ἵνα καθ' αὐτῆς φυγὴν καταγνοῦσα, καὶ διαφθαρεῖσα κατὰ τὸν πλοῦν, δόξῃ δικαίᾳ περιπεπτωκέναι τιμωρίᾳ. εὐλαβεῖτο γὰρ ἅμα καὶ τὸ περὶ αὐτὴν ἀξίωμα καὶ τὸ τῶν Μακεδόνων εὐμετάβολον. τῆς δ' Ὀλυμπιάδος οὐ φαμένης φεύξεσθαι, τοὐναντίον δ' ἑτοίμης οὔσης ἐν πᾶσι Μακεδόσι κριθῆναι, ὁ Κάσσανδρος φοβηθεὶς μήποτε τὸ πλῆθος ἀκοῦον τῆς βασιλίσσης ἀπολογουμένης καὶ τῶν Ἀλεξάνδρου καὶ Φιλίππου πρὸς ἅπαν τὸ ἔθνος εὐεργεσιῶν ἀναμιμνησκόμενον μετανοήσῃ, διακοσίους τῶν στρατιωτῶν τοὺς ἐπιτηδειοτάτους ἀπέστειλε πρὸς αὐτήν, προςτάξας ἀνελεῖν τὴν ταχίστην. οὗτοι μὲν οὖν παρειςπεσόντες εἰς τὴν βασιλικὴν οἰκίαν, ὡς εἶδον τὴν Ὀλυμπιάδα, καταιδεσθέντες τὸ περὶ αὐτὴν ἀξίωμα πάλιν ἀπεχώρησαν ἄπρακτοι. οἱ δὲ τῶν ἀνῃρημένων συγγενεῖς, Κασσάνδρῳ τε χαρίζεσθαι βουλόμενοι καὶ τοῖς τετελευτηκόσιν ἀμῦναι, κατέσφαξαν τὴν βασίλισσαν, οὐδεμίαν ἀγεννῆ καὶ γυναικείαν προεμένην ἀξίωσιν. Ὀλυμπιὰς μὲν οὖν, μέγιστον τῶν καθ' αὐτὴν ἐσχηκυῖα ἀξίωμα, καὶ γεγενημένη θυγάτηρ μὲν Νεοπτολέμου τοῦ βασιλέως τῶν Ἠπειρωτῶν, ἀδελφὴ δὲ Ἀλεξάνδρου τοῦ στρατεύσαντος εἰς Ἰταλίαν, ἔτι δὲ γυνὴ μὲν Φιλίππου τοῦ πλεῖστον ἰσχύσαντος τῶν πρὸ αὐτοῦ κατὰ τὴν Εὐρώπην δυναστευσάντων, μήτηρ δὲ Ἀλεξάνδρου τοῦ πλεῖστα καὶ κάλλιστα κατεργασαμένου, τοιαύτης καταστροφῆς ἔτυχε.

Κάσσανδρος δέ, κατὰ νοῦν αὐτῷ τῶν πραγμάτων 52
προχωρούντων, περιελάμβανε ταῖς ἐλπίσι τὴν Μακεδόνων βασιλείαν. διὸ καὶ Θετταλονίκην ἔγημε, τὴν Φιλίππου μὲν θυγατέρα, Ἀλεξάνδρου δὲ ἀδελφὴν ὁμοπάτριον, σπεύδων οἰκεῖον αὐτὸν ἀποδεῖξαι τῆς βασιλικῆς συγγενείας. ἔκτισε δὲ καὶ πόλιν ἐπὶ τῆς Παλλήνης ὁμώνυμον αὐτοῦ Κασσάνδρειαν, εἰς ἣν τάς τε ἐκ τῆς Χεῤῥονήσου πόλεις συνῴκισε καὶ τὴν Ποτίδαιαν, ἔτι δὲ τῶν σύνεγγυς χωρίων οὐκ ὀλίγα· κατῴκισε δ' εἰς αὐ-
358 τὴν καὶ τῶν Ὀλυνθίων τοὺς διασωζομένους, ὄντας οὐκ ὀλίγους. πολλῆς δὲ χώρας προςορισθείσης τοῖς Κασσαν-

3. καταγνοῦσα] ἀπογνοῦσα V 6. δ' F 7. ἑτοίμης οὔσης] οὔσης ἐκείνης ἑτοίμης FV 10. τὸ ἔθνος] ἔθνος omnes 12. τοὺς om. F 21. γεγενημένην θυγατέρα — ἀδελφὴν — γυνὴν F 23. στρατεύσαντος TVW Bas., caeteri praeponunt βασιλεύσαντος καί, quae asterisco notavit Stephanus 27. κάλλιστα FQTVWY, μάλλιστα X, caeteri μέγιστα 30. Μακεδόνων βασιλείαν] Μακεδονίαν καὶ τὴν βασιλείαν αὐτῆς QX 31. Θεττ.] Θεσσ. omnes 35. Παλλήνης FQTWX, Παλλίνης V, caeteri Πελλήνης: conf. p. 315. 42. αὐτοῦ] αὐτῷ VW εἰς — 37. Ποτίδαιαν om. Bas.

δρεῦσι, καὶ ταύτης ἀγαθῆς, ἔτι δὲ τοῦ Κασσάνδρου πολλὰ συμφιλοτιμηθέντος εἰς τὴν αὔξησιν, ταχὺ μεγάλην ἐπίδοσιν ἔλαβεν ἡ πόλις καὶ πλεῖστον ἴσχυσε τῶν ἐν Μακεδονίᾳ. ὁ δὲ Κάσσανδρος διεγνώκει μὲν ἀνελεῖν Ἀλεξάνδρου τὸν παῖδα καὶ τὴν μητέρα αὐτοῦ Ῥωξάνην, ἵνα μηδεὶς ᾖ διάδοχος τῆς βασιλείας· κατὰ δὲ τὸ παρὸν θεωρῆσαι βουλόμενος τοὺς τῶν πολλῶν λόγους, τίνες ἔσονται περὶ τῆς Ὀλυμπιάδος ἀναιρέσεως, ἅμα δ' οὐδὲν πεπυσμένος τῶν περὶ Ἀντίγονον, τὴν μὲν Ῥωξάνην μετὰ τοῦ παιδὸς εἰς φυλακὴν παρέδωκε, μεταγαγὼν εἰς τὴν ἄκραν τὴν ἐν Ἀμφιπόλει, τάξας τε ἐπ' αὐτῆς Γλαυκίαν τινὰ τῶν πιστευομένων· ἀπέσπασε δὲ καὶ τοὺς εἰωθότας παῖδας συντρέφεσθαι, καὶ τὴν ἀγωγὴν οὐκέτι βασιλικὴν ἀλλ' ἰδιώτου τοῦ τυχόντος οἰκείαν ἐκέλευε γίνεσθαι. μετὰ δὲ ταῦτα βασιλικῶς ἤδη διεξάγων τὰ κατὰ τὴν ἀρχήν, Εὐρυδίκην μὲν καὶ Φίλιππον τοὺς βασιλεῖς, ἔτι δὲ Κύνναν, ἣν ἀνεῖλεν Ἀλκέτας, ἔθαψεν ἐν Αἰγαῖς, καθάπερ ἔθος ἦν τοῖς βασιλεῦσι. τιμήσας δὲ τοὺς τετελευτηκότας ἐπιταφίοις ἀγῶσι κατέγραφε τῶν Μακεδόνων τοὺς εὐθέτους, διεγνωκὼς εἰς Πελοπόννησον στρατεύειν. τούτου δὲ περὶ ταῦτ' ὄντος Πολυσπέρχων ἐτύγχανε μὲν πολιορκούμενος ἐν Ἀζώρῳ τῆς Πεῤῥαιβίας, ἀκούσας δὲ τὴν Ὀλυμπιάδος τελευτήν, καὶ τελέως ἀπελπίσας τὰ κατὰ Μακεδονίαν, ἐξεπήδησεν ἐκ τῆς πόλεως μετ' ὀλίγων. πορευθεὶς δὲ ἐκ τῆς Θετταλίας, καὶ παραλαβὼν τοὺς περὶ τὸν Αἰακίδην, ἀπεχώρησεν εἰς τὴν Αἰτωλίαν, ὑπολαβὼν ἀσφαλέστατα καραδοκήσειν ἐνταῦθα τὰς τῶν πραγμάτων μεταβολάς· καὶ γὰρ ἐτύγχανεν οἰκείως ἔχων πρὸς τοῦτο τὸ ἔθνος.

53 Κάσσανδρος δὲ συστησάμενος ἱκανὴν δύναμιν ἀνέζευξεν ἐκ τῆς Μακεδονίας, σπεύδων Ἀλέξανδρον τὸν Πολυσπέρχοντος ἐκβαλεῖν ἐκ τῆς Πελοποννήσου· οὗτος γὰρ ἦν λοιπὸς μετὰ δυνάμεως τῶν ἀντιπραττόντων, καὶ κατειλήφει πόλεις τε καὶ τόπους ἐπικαίρους. τὴν μὲν οὖν Θετταλίαν ἀσφαλῶς διῆλθε· τὰς δ' ἐν Πύλαις παρόδους εὑρὼν ὑπ' Αἰτωλῶν φυλαττομένας, μόγις τούτους βιασάμενος παρῆλθεν εἰς τὴν Βοιωτίαν. μεταπεμψάμενος δὲ πανταχόθεν τοὺς διασωζομένους τῶν Θηβαίων ἐνεχείρει κατοικίζειν τὰς Θήβας, ὑπολαβὼν κάλλιστον ἔχειν καιρὸν πόλιν διωνομασμένην καὶ διὰ τὰς πράξεις καὶ διὰ τοὺς παραδεδομένους περὶ αὐτῆς μύθους ἀναστῆσαι, καὶ διὰ τὴν εὐεργεσίαν ταύτην τυχεῖν ἀθανάτου δόξης. συμβέβηκε δὲ τὴν πόλιν ταύτην πλείσταις καὶ μεγίσταις κεχρῆσθαι μεταβολαῖς, οὐκ ὀλιγά-
359 κις ἀνάστατον γεγενημένην· περὶ ὧν οὐκ ἀνοίκειον ἐν κεφαλαίοις εἰπεῖν. μετὰ γὰρ τὸν ἐπὶ Δευκαλίωνος κατακλυσμὸν Κάδμου κτίσαντος τὴν ἀπ' αὐτοῦ προσαγορευθεῖσαν Καδμείαν, συνῆλθεν ἐπ' αὐτὴν λαὸς ὃν τινὲς μὲν σπαρτὸν προσηγόρευσαν διὰ τὸ πανταχόθεν συναχθῆναι, τινὲς δὲ Θηβαγενῆ διὰ τὸ τὴν ἀρχὴν ἐκ τῆς προειρημένης πόλεως ὄντα διὰ τὸν κατακλυσμὸν ἐκπεσεῖν καὶ διασπαρῆναι. τοὺς οὖν τότε κατοικήσαντας ὕστερον Ἐγχελεῖς καταπολεμήσαντες ἐξέβαλον· ὅτε δὴ συνέβη καὶ τοὺς περὶ Κάδμον εἰς Ἰλλυριοὺς ἐκπεσεῖν. μετὰ δὲ ταῦτ' Ἀμφίονος καὶ Ζήθου κρατησάντων τοῦ τόπου, καὶ τότε πρῶτον τὸ ἄστυ κτισάντων, καθάπερ καὶ ὁ ποιητής φησιν,

οἳ πρῶτοι Θήβης ἕδος ἔκτισαν ἑπταπύλοιο,

τὸ δεύτερον οἱ κατοικήσαντες τὸν τόπον ἐξέπεσον κατελθόντος Πολυδώρου τοῦ Κάδμου καὶ καταφρονήσαντος τῶν πραγμάτων διὰ τὴν γενομένην τῷ Ἀμφίονι περὶ τὰ τέκνα συμφοράν. ἑξῆς δὲ τῶν ἀπογόνων τούτου βασιλευόντων, καὶ τῆς ὅλης χώρας ἤδη Βοιωτίας καλουμένης ἀπὸ Βοιωτοῦ τοῦ Μελανίππης μὲν καὶ Ποσειδῶνος υἱοῦ, δυναστεύσαντος δὲ τῶν τόπων, τὸ τρίτον ἐκπίπτουσιν οἱ Θηβαῖοι τῶν ἐξ Ἄργους ἐπιγόνων ἐκπολιορκησάντων τὴν πόλιν. τῶν δ' ἐκπεσόντων οἱ διασωθέντες κατέφυγον μὲν εἰς Ἀλαλκομενίαν καὶ τὸ Τιλφώσιον ὄρος· τῶν δὲ Ἀργείων ἀποχωρησάντων ἐπανῆλθον εἰς τὴν πατρίδα. μετὰ δὲ ταῦτα κατὰ τὸν Ἰλιακὸν πόλεμον ἐκστρατευσάντων τῶν Θηβαίων εἰς τὴν Ἀσίαν, οἱ καταλειφθέντες ἐξέπεσον μετὰ τῶν ἄλλων Βοιωτῶν ὑπὸ Πελασγῶν. οὐκ ὀλίγοις δὲ μετὰ ταῦτα περιπεσόντες συμπτώμασι μόγις μετὰ τετάρτην γενεὰν κατὰ τὸν γενόμενον ἐπὶ τῶν κοράκων χρησμὸν ἀπῆλθον εἰς τὴν Βοιω-

358. 54. ἰδιώτου τοῦ τυχόντος οἰκείαν] ἰδιωτικὴν QX 56. διεξάγων] διεξαγαγὼν QVW 57. Κύνναν] Κίν- ε ναν F 58. Αἰγαῖς] Αἰγαιαῖς TV Bas., Αἰγέαις W, αἰγιαῖς F 61. διεγνωκὼς] διέγνωκεν VW, καὶ διέγνωκεν F 63. Ἀζώρῳ Wesselingius: Ἀξιώρῳ FW, caeteri Ναξίῳ 75. ἀντιπραττόντων] ἀντιπρασσόντων omnes 77. Θεττ.] Θεσσ. omnes

84. παραδιδομένους] παραδεδομένους F περὶ αὐτῆς] δι' αὐτὴν FV ἀναστῆσαι] ἀνακτῆσαι F 86. τὴν πόλιν FT, caeteri πόλιν

359. 89. ἐπὶ om. TX Bas., asterisco notavit Stephanus 91. αὐτὴν] αὐτῇ F 96. Ἐγχελεῖς] ἐγχέλεες F 99. τότε πρῶτον τὸ] πρῶτον τό, τε F 8. Μελανίππης μὲν] Μεναλίππης Bas. 15. μεταδεταῦτα F saepius

τίαν καὶ τὰς Θήβας κατῴκησαν. ἀπὸ δὲ τούτων τῶν χρόνων διαμενούσης τῆς πόλεως ἐπ᾽ ἔτη σχεδὸν ὀκτακόσια, καὶ τὸ μὲν πρῶτον τῶν Θηβαίων τοῦ παρ᾽ αὐτῶν ἔθνους προστάντων, μετὰ δὲ ταῦτα τῆς τῶν Ἑλλήνων
54 ἡγεμονίας ἀμφισβητησάντων, Ἀλέξανδρος ὁ Φιλίππου κατὰ κράτος ἐκπολιορκήσας κατέσκαψεν. εἰκοστῷ δ᾽ ἔτει ὕστερον Κάσσανδρος φιλοδοξῆσαι βουλόμενος, καὶ πείσας τοὺς Βοιωτούς, ἀνέστησε τὴν πόλιν τοῖς διασωζομένοις τῶν Θηβαίων. συνεπελάβοντο δὲ καὶ τῶν Ἑλληνίδων πόλεων τοῦ συνοικισμοῦ πολλαὶ διά τε τὸν πρὸς τοὺς ἠτυχηκότας ἔλεον καὶ διὰ τὴν δόξαν τῆς πόλεως. Ἀθηναῖοι μὲν γὰρ τὸ πολὺ μέρος τοῦ τείχους ἀνέστησαν, καὶ τῶν ἄλλων οἱ μὲν ᾠκοδόμησαν κατὰ δύναμιν, οἱ δὲ καὶ χρήματα πρὸς τὰς κατεπειγούσας 360
χρείας ἀπέστειλαν, οὐ μόνον τῶν ἐκ τῆς Ἑλλάδος ἀλλὰ καὶ Σικελίας ἔτι δ᾽ Ἰταλίας. Θηβαῖοι μὲν οὖν τοῦτον τὸν τρόπον ἐκομίσαντο τὴν πατρίδα. Κάσσανδρος δὲ μετὰ τῆς δυνάμεως ἀναζεύξας ἐπὶ Πελοποννήσου, καὶ καταλαβὼν Ἀλέξανδρον τὸν Πολυσπέρχοντος διειληφότα τὸν Ἰσθμὸν φυλακαῖς, παρῆλθεν εἰς Μέγαρα. ἐνταῦθα δὲ κατασκευάσας σχεδίας, ἐπὶ μὲν τούτων τοὺς ἐλέφαντας διεβίβασεν εἰς Ἐπίδαυρον, ἐν δὲ πλοίοις τὴν ἄλλην δύναμιν. παρελθὼν δὲ ἐπὶ τὴν τῶν Ἀργείων πόλιν, ταύτην μὲν ἠνάγκασεν ἀποστᾶσαν τῆς Ἀλεξάνδρου συμμαχίας αὐτῷ προσθέσθαι· μετὰ δὲ ταῦτα τὰς ἐν τῇ Μεσσήνῃ πόλεις προσηγάγετο πλὴν Ἰθώμης, καὶ τὴν Ἑρμιονίδα δι᾽ ὁμολογίας παρέλαβε. τοῦ δ᾽ Ἀλεξάνδρου μὴ συγκαταβάντος εἰς παράταξιν ἀπολιπὼν ἐπὶ Γερανείας στρατιώτας δισχιλίους καὶ στρατηγὸν Μόλυκον ἐπανῆλθεν εἰς Μακεδονίαν.

55 Τοῦ δ᾽ ἔτους τούτου διεληλυθότος Ἀθήνησι μὲν ἦρχε Πραξίβουλος, ἐν Ῥώμῃ δὲ κατέστησαν ὕπατοι Ναύτιος Σπόριος καὶ Μάρκος Ποπίλλιος. ἐπὶ δὲ τούτων Ἀντίγονος τῆς μὲν Σουσιανῆς ἀπέλιπε σατράπην Ἀσπίσαν, ἕνα τῶν ἐγχωρίων, αὐτὸς δὲ τὰ χρήματα πάντα διαγνοὺς κατακομίζειν ἐπὶ θάλατταν, ἁμάξας καὶ καμήλους παρεσκευάσατο, καὶ μετὰ τῆς δυνάμεως ἔχων ταῦτα προῆγεν ἐπὶ τῆς Βαβυλωνίας. ἐν ἡμέραις δ᾽ εἴκοσι καὶ δυσὶν αὐτοῦ καταντήσαντος εἰς Βαβυλῶνα, Σέλευκος ὁ τῆς χώρας σατράπης δωρεαῖς τε βασιλικαῖς ἐτίμησε τὸν Ἀντίγονον καὶ τὴν δύναμιν ἅπασαν εἱστίασε. τοῦ δ᾽ Ἀντιγόνου λόγους ἀπαιτοῦντος τῶν προσόδων οὐκ ἔφησεν ὀφείλειν ὑπὲρ ταύτης τῆς χώρας ὑπέχειν εὐθύνας, ἣν Μακεδόνες αὐτῷ δεδώκασι διὰ τὰς γεγενημένας ἐξ αὐτοῦ χρείας Ἀλεξάνδρου ζῶντος. τῆς δὲ διαφορᾶς καθ᾽ ἡμέραν αὐξομένης, ὁ Σέλευκος ἀναλογιζόμενος τὰ Πύθωνι συμβάντα περιδεὴς ἦν μήποτε προφάσεως λαβόμενος ὁ Ἀντίγονος ἀνελεῖν αὐτὸν ἐπιχειρήσῃ· ἐῴκει γὰρ τοὺς ἐν ἀξιώμασι τῶν ἀνδρῶν ὄντας καὶ δυναμένους πραγμάτων ἀντιλαμβάνεσθαι πάντας σπεύδειν ἐκποδὼν ἀπαλλάττειν. ταῦτ᾽ οὖν εὐλαβηθεὶς ἐξεπήδησε μετὰ πεντήκονθ᾽ ἱππέων, διανοούμενος εἰς Αἴγυπτον ἀποχωρεῖν πρὸς Πτολεμαῖον· διεβεβόητο γὰρ ἡ τούτου χρηστότης καὶ τὸ πρὸς τοὺς καταφεύγοντας ἐπ᾽ αὐτὸν εὐμενὲς καὶ φιλάνθρωπον. ὁ δ᾽ Ἀντίγονος ἀκούσας ἀνεσκίρτησε καὶ περιχαρὴς ἦν ἐπὶ τῷ δοκεῖν αὐτὸς μὲν μὴ συνηναγκάσθαι προσενεγκεῖν τὰς χεῖρας ἀνδρὶ φίλῳ καὶ συνηγωνισμένῳ προθύμως, τὸν Σέλευκον δ᾽ αὐτὸν αὐτοῦ καταγνόντα φυγὴν παραδεδωκέναι τὴν σατραπείαν χωρὶς ἀγώνων καὶ κινδύνων. μετὰ δὲ ταῦτα προσελθόντων αὐτῷ τῶν Χαλδαίων, καὶ προλεγόντων ὡς εἰ τὸν Σέλευκον ἐκ τῶν χειρῶν ἀφήσει, συμβήσεται τήν τ᾽ Ἀσίαν πᾶσαν ὑποχείριον γενέσθαι καὶ αὐτὸν Ἀντίγονον ἐν τῇ πρὸς ἐκεῖνον παρατάξει κα-
361 ταστρέψειν τὸν βίον, μεταμεληθεὶς τοῖς πεπραγμένοις ἐξέπεμψε τοὺς διώξοντας· οἳ μέχρι τινὸς ἐπακολουθήσαντες ἐπανῆλθον ἄπρακτοι. ὁ δ᾽ Ἀντίγονος ἐν τοῖς ἄλλοις καταφρονεῖν εἰωθὼς τῶν τοιούτων προῤῥήσεων, οὐ μετρίως ἐκινήθη τότε, καταπλαγεὶς τὸ ἀξίωμα τῶν ἀνδρῶν· μεγάλη γάρ τις ἐμπειρία περὶ τούτους εἶναι δοκεῖ καὶ [παρὰ τούτοις] ἡ τήρησις τῶν ἄστρων ἀκριβε-

30. συνεπελ.] συνελ. V

360. 44. τούτων] αὐτῶν F 48. τῇ Μεσσήνῃ] Μεσσήνῃ W, μεσένῃ F 50. μὴ συγκαταβάντος FV, caeteri συγκαταβαίνοντος 51. verba τὸν Ἰσθμὸν post ἐπὶ, quae structuram perdunt, ut ex v. 42. illata delevi 52. Γερανείας F, caeteri Γερανίας Μόλυκον] Μόλυκκον T 56. Ναύτιος Σπόριος] σπόριος νούτιος F, Σπόριος Ναύτιος V Ποπίλλιος Livius: libri Πόπλιος 58. Ἀσπίσαν] Ἀσπίαν W 60. θάλατταν] τὴν θάλασσαν FW, caeteri θάλασσαν

64. ὁ om. Bas. δωρεαῖς τε] δωρεαῖς F 68. διὰ] διά τε F 73. ἀνελεῖν] ἀναιρεῖν F 76. libri ἀπαλλάσσειν 79. καταφεύγοντας] καταφυγόντας QTY Bas. 80. εὐμενὲς] ἐκτενὲς QTY Bas. 81. ἀνεσκίρτησε καὶ om. TX Bas, asterisco notavit Stephanus 82. αὐτὸς μὲν om. FVW τὰς χεῖρας] εἰς χεῖρας F 83. συνηγωνισμένῳ] συναγωνίσμῳ Bas. 88. ἀφήσει] ἀφήσεται TY Bas. συμβήσεται om. Bas.

361. 97. παρὰ τούτοις tollendum est: neque ἡ si abesset, desiderarem

στάτη. ἀποφαίνονται γὰρ πολλὰς μυριάδας ἐτῶν ὑπάρχειν ἐξ οὗ παρ' αὐτοῖς ἐστιν ἡ περὶ ταῦτα σπουδή· δοκοῦσι δὲ καὶ Ἀλεξάνδρῳ προειπεῖν ὅτι παρελθὼν εἰς Βαβυλῶνα τελευτήσει. ὁμοίως δὲ τῇ περὶ Ἀλεξάνδρου προῤῥήσει συνέβη καὶ τὴν Σελεύκου τελεσθῆναι κατὰ τὰς τῶν ἀνδρῶν τούτων ἀποφάσεις· περὶ ἧς τὰ κατὰ μέρος ἐροῦμεν, ὅταν ἐπὶ τοὺς οἰκείους χρόνους ἐπιβάλωμεν.

56 Ὁ δ' οὖν Σέλευκος διασωθεὶς εἰς τὴν Αἴγυπτον φιλανθρωπίας τε πάσης ἐτύγχανε παρὰ Πτολεμαίῳ, καὶ κατηγορίαν ἐποιεῖτο πικρὰν Ἀντιγόνου, λέγων ὅτι διεγνώκει πάντας τοὺς ἐν ἀξιώμασιν ὄντας, καὶ μάλιστα τοὺς Ἀλεξάνδρῳ συνεστρατευκότας, ἐκβαλεῖν ἐκ τῶν σατραπειῶν, καὶ τούτων ἀποδείξεις ἔφερε τήν τε Πύθωνος ἀναίρεσιν καὶ τὴν Πευκέστου τῆς Περσίδος ἀφαίρεσιν καὶ τὰ περὶ αὐτὸν συμβάντα. πάντας γὰρ οὐδὲν ἠδικηκότας ἀλλὰ καὶ χρείας πολλὰς καὶ μεγάλας ἐν τῇ φιλίᾳ παρεσχημένους ἀρετῆς ὑπομεμενηκέναι πρόστιμον. διεξῄει δὲ καὶ τὰ μεγέθη τῶν περὶ αὐτὸν δυνάμεων καὶ τὸ πλῆθος τῶν χρημάτων, ἔτι δὲ τὰς προσφάτους εὐτυχίας, ἐξ ὧν ὑπεδείκνυεν ὑπερήφανον γεγενημένον καὶ ταῖς ἐλπίσι περιειληφότα πᾶσαν τὴν Μακεδόνων βασιλείαν. διὰ δὲ τοιούτων λόγων προτρεψάμενος τὸν Πτολεμαῖον ἑτοιμάζεσθαι τὰ πρὸς τὸν πόλεμον, ἐξέπεμψέ τινας τῶν φίλων εἰς τὴν Εὐρώπην, προστάξας πειρᾶσθαι τοῖς ὁμοίοις λόγοις ἐχθροὺς Ἀντιγόνου καταστῆσαι Κάσσανδρόν τε καὶ Λυσίμαχον. ὧν ταχὺ τὸ κελευσθὲν συντελεσάντων ἀρχὴ διαφορᾶς ἐφύετο καὶ μεγάλων πολέμων. ὁ δ' Ἀντίγονος ἐκ τῶν εἰκότων συλλογισάμενος τὴν Σελεύκου προαίρεσιν, ἐξέπεμψε πρεσβευτὰς πρός τε Πτολεμαῖον καὶ Λυσίμαχον καὶ Κάσσανδρον, ἀξιῶν διαφυλάττειν τὴν προϋπάρχουσαν φιλίαν· τῆς δὲ Βαβυλωνίας καταστήσας σατράπην Πύθωνα τὸν ἐκ τῆς Ἰνδικῆς καταβεβηκότα μετὰ τῆς δυνάμεως ἀνέζευξεν, ἐπὶ τῆς Κιλικίας τὴν πορείαν ποιούμενος. ὡς δ' εἰς Μαλλὸν παρεγένετο, διεμέρισε τὴν δύναμιν εἰς παραχειμασίαν μετὰ

99. ταῦτα] αὐτὰ FVW 3. τὴν Σελεύκου] scribendum videtur τὴν περὶ Σελεύκου 5. ἐπιβάλωμεν] ἐπιβαλώμεθα omnes 15. χρείας πολλὰς καὶ μεγάλας] μεγάλας χρείας FW παρεσχημένους] παρεχομένους F 16. διεξῄει] ἐξῄει F 19. ὑπεδείκνυεν] ἐπεδείκνυεν FW 20. πᾶσαν τὴν — βασιλείαν] πάσης τῆς — βασιλείας F 25. καταστῆσαι] κατασκευάσαι FQVW 28. εἰκότων] εἰκόντων Bas. 30. τε om. F 31. διαφυλάττειν] libri διαφυλάσσειν 33. τῆς om. Bas. 35. Μαλλὸν W, caeteri Μάλον



δύσιν Ὠρίωνος. παρέλαβε δὲ καὶ τὰ ἐν Κυΐνδοις χρήματα, τάλαντα μύρια. χωρὶς δὲ τούτων ἐκπίπτειν ἐκ τῶν προςόδων αὐτῷ τῶν κατ' ἐνιαυτὸν τάλαντα μύρια καὶ χίλια, διόπερ συνέβαινεν αὐτὸν φοβερὸν εἶναι καὶ διὰ τὸ μέγεθος τῆς δυνάμεως καὶ διὰ τὸ πλῆθος τῶν χρημάτων.

57 Προάγοντος δ' εἰς τὴν ἄνω Συρίαν Ἀντιγόνου παρεγένοντο πρέσβεις παρά τε Πτολεμαίου καὶ Λυσιμάχου καὶ Κασσάνδρου. οὗτοι δ' εἰςαχθέντες εἰς τὸ συνέδριον
362 ἠξίουν Καππαδοκίαν μὲν καὶ Λυκίαν Κασσάνδρῳ δοθῆναι, Φρυγίαν δὲ τὴν ἐφ' Ἑλληςπόντῳ Λυσιμάχῳ, Συρίαν δὲ πᾶσαν Πτολεμαίῳ, Βαβυλωνίαν δὲ Σελεύκῳ· τῶν δὲ θησαυρῶν, οὓς παρέλαβε μετὰ τὴν πρὸς Εὐμένη μάχην, ποιήσασθαι μερισμόν· καὶ γὰρ αὐτοὺς κεκοινωνηκέναι τοῦ πολέμου· εἰ δὲ μηδὲν τούτων ποιήσει, συστάντες ἅπαντες ἔφασαν πολεμήσειν αὐτῷ. τοῦ δ' Ἀντιγόνου τραχύτερον ἀποκριναμένου καὶ τὰ πρὸς πόλεμον εἰπόντος παρασκευάζεσθαι, συνέβη τοὺς πρέσβεις ἀπράκτους ἐπανελθεῖν. μετὰ δὲ ταῦθ' οἱ μὲν περὶ Πτολεμαῖον καὶ Λυσίμαχον ἔτι δὲ καὶ Κάσσανδρον συμμαχίαν πρὸς ἀλλήλους ποιησάμενοι δυνάμεις τε συνῆγον καὶ παρασκευὰς ὅπλων τε καὶ βελῶν καὶ τῶν ἄλλων τῶν χρησίμων ἐποίουν. Ἀντίγονος δ' ὁρῶν ἐφ' ἑαυτὸν συνεστηκότας πολλοὺς καὶ μεγάλους τοῖς ἀξιώμασιν ἄνδρας, καὶ συλλογιζόμενος τὸ μέγεθος τοῦ φυομένου πολέμου, τά τ' ἔθνη καὶ πόλεις καὶ δυνάστας προςεκαλεῖτο εἰς συμμαχίαν. Ἀγησίλαον μὲν οὖν πρὸς τοὺς ἐν Κύπρῳ βασιλεῖς, εἰς δὲ Ῥόδον Ἰδομενέα καὶ Μοσχίωνα, Πτολεμαῖον δὲ τὸν ἀδελφιδοῦν μετὰ δυνάμεως εἰς Καππαδοκίαν ἀπέστειλεν, ἵνα λύσῃ μὲν Ἀμισοῦ τὴν πολιορκίαν καὶ τοὺς ὑπὸ Κασσάνδρου πεμφθέντας εἰς Καππαδοκίαν ἐκβάλῃ πάντας, πρὸς δὲ τούτοις ὅπως παραγενόμενος εἰς Ἑλλήςποντον ἐφεδρεύῃ τοῖς περὶ Κάσσανδρον, ἂν ἐπιχειρῇ διαβαίνειν ἐκ τῆς Εὐρώπης. Ἀριστόδημον δὲ τὸν Μιλήσιον εἰς Πελοπόννησον ἐξέπεμψεν ἔχοντα χι-

37. Κυΐνδοις] κιλικίᾳ, superscripto κυΐνδοις, F 38. ἐκπίπτειν XY Bas., caeteri συνάγεσθαι: neutrum autem habet unde pendeat 39. κατ' ἐνιαυτόν post συνάγεσθαι ponit F 40. καὶ om. Bas., καὶ χίλια om. W, asterisco notavit Stephanus 41. τῆς δυνάμεως] τῶν δυνάμεων QTY Bas. 45. τὸ om. F 362. 52. ποιήσει F, ποιήσῃ caeteri ἅπαντες om. W 54. τὰ] τοὺς F πόλεμον] Πτολεμαῖον omnes 61. μεγάλους] μεγάλοις F 64. προςεκαλεῖτο] malim προσεκαλεῖτο 65. μὲν οὖν FW, caeteri μὲν 68. Ἀμισοῦ] Ἀμισσοῦ Bas. 69. Κασσάνδρου] Ἀσάνδρου Wesselingius ad p. 365. 22. 71. εἰς] ἐφ' FVW

λια τάλαντα· τούτῳ δὲ συνετέτακτο συνθέσθαι φιλίαν πρὸς Ἀλέξανδρον καὶ Πολυσπέρχοντα, καὶ ξενολογήσαντα τοὺς ἱκανοὺς διαπολεμεῖν Κασσάνδρῳ. αὐτὸς δὲ πᾶσαν τὴν Ἀσίαν ἧς ἦν κύριος διέλαβε πυρσοῖς καὶ βιβλιαφόροις, δι' ὧν ὀξέως ἤμελλεν ὑπηρετεῖσθαι πάντα.

58 Ἀπὸ δὲ τούτων γενόμενος ἀνέζευξεν ἐπὶ Φοινίκην, σπεύδων ναυτικὴν δύναμιν συστήσασθαι· συνέβαινε γὰρ τοὺς μὲν πολεμίους τότε θαλαττοκρατεῖν ναῦς πολλὰς ἔχοντας, αὐτῷ δὲ τὸ παράπαν οὐδ' ὀλίγας εἶναι. στρατοπεδεύσας δὲ ἐν Τύρῳ τῆς Φοινίκης, καὶ πολιορκῆσαι διανοούμενος τὴν Τύρον, μετεπέμπετο τοὺς βασιλεῖς τῶν Φοινίκων καὶ τοὺς ὑπάρχους τῆς Συρίας. καὶ τοὺς μὲν βασιλεῖς προετρέψατο συνεπιλαβέσθαι ναυπηγίας, ἐπειδὴ τὰς ναῦς τὰς ἐκ Φοινίκης ἁπάσας μετὰ τῶν πληρωμάτων Πτολεμαῖος εἶχεν ἐν Αἰγύπτῳ· τοῖς δ' ὑπάρχοις ἐκέλευσεν ἑτοιμάσαι κατὰ τάχος πυρῶν μὲν μεδί- 363
μνων μυριάδας τετρακοσίας πεντήκοντα· τοσοῦτο γὰρ εἰς τὸν ἐνιαυτὸν ἐγίνετο δαπάνημα· αὐτὸς δὲ πανταχόθεν ἀθροίσας ὑλοτόμους καὶ πρίστας, ἔτι δὲ ναυπηγούς, κατεκόμιζε τὴν ὕλην ἐπὶ θάλατταν ἐκ τοῦ Λιβάνου, τεμνόντων μὲν αὐτὴν καὶ πριζόντων ἀνδρῶν ὀκτακισχιλίων, κατακομιζόντων δὲ ζευγῶν χιλίων. τὸ δ' ὄρος τοῦτο παρήκει μὲν παρά τε τὴν Τρίπολιν καὶ Βυβλίαν, ἔτι δὲ Σιδωνίαν, πλῆρες δ' ἐστὶ ξύλων κεδρίνων [καὶ πευκῶν] καὶ κυπαριττίνων θαυμαστῶν τό τε κάλλος καὶ μέγεθος. ναυπήγια δ' ἀπέδειξε τρία μὲν κατὰ τὴν Φοινίκην, ἔν τε Τριπόλει καὶ Βύβλῳ καὶ Σιδῶνι, τέταρτον δὲ περὶ Κιλικίαν, κομιζομένης τῆς ὕλης ἐκ τοῦ Ταύρου. ἦν δὲ καὶ περὶ Ῥόδον ἄλλο, συγχωρήσαντος τοῦ δήμου κατασκευάζειν ναῦς ἀπὸ τῆς ὕλης τῆς εἰςκομιζομένης. τοῦ δ' Ἀντιγόνου περὶ ταῦτα ὄντος καὶ πλησίον τῆς θαλάττης κατεστρατοπεδευκότος, ἧκεν ἐξ Αἰγύπτου Σέλευκος μετὰ νεῶν ἑκατὸν κεκοσμημένων βασιλικῶς καὶ πλεουσῶν ἱκανῶς. ποιουμένου δ' αὐτοῦ τὸν παράπλουν παρ' αὐτὴν τὴν στρατοπεδείαν καταπεφρονηκότως, οἵ τε ἐκ τῶν συμμαχίδων πόλεων καὶ πάντες οἱ κοινοπραγοῦντες τοῖς περὶ Ἀντίγονον ἄθυμοι καθειστήκεισαν. πρόδηλον γὰρ ἦν ὅτι θαλαττοκρατοῦντες οἱ πολέμιοι πορθήσουσι τοὺς τοῖς ἐναντίοις κοινοπραγοῦντας ἀπὸ τῆς πρὸς Ἀντίγονον φιλίας. ὁ δ' Ἀντίγονος τούτους μὲν παρεκάλει θαῤῥεῖν, διαβεβαιούμενος ἐν ταύτῃ τῇ θερείᾳ ἀποπλευσεῖσθαι ναυσὶ πεντακοσίαις.

59 Ὄντος δ' αὐτοῦ περὶ ταῦτα παρῆν Ἀγησίλαος ὁ πεμφθεὶς εἰς Κύπρον πρεσβευτής, ἀπαγγέλλων ὅτι Νικοκρέων μὲν καὶ τῶν ἄλλων οἱ κράτιστοι βασιλεῖς πρὸς Πτολεμαῖον πεποίηνται συμμαχίαν, ὁ δὲ Κιτιεὺς καὶ Λαπήθιος ἔτι δὲ Μαριεὺς καὶ Κερυνίτης τὴν πρὸς αὐτὸν φιλίαν συντέθεινται. ἀκούσας δὲ ταῦτα, τριςχιλίους μὲν στρατιώτας καὶ στρατηγὸν Ἀνδρόνικον κατέλιπεν ἐπὶ τῆς πολιορκίας, αὐτὸς δὲ μετὰ τῆς δυνάμεως ἀναζεύξας τήν τ' Ἰόπην καὶ Γάζαν ἀπειθούσας κατὰ κράτος εἷλε, καὶ τοὺς μὲν καταληφθέντας Πτολεμαίου στρατιώτας ἐπιδιεῖλεν εἰς τὰς ἰδίας τάξεις, εἰς δὲ τὰς πόλεις παρειςήγαγε φρουρὰν τὴν ἀναγκάσουσαν πειθαρχεῖν τοὺς ἐνοικοῦντας. αὐτὸς δ' ἐπανελθὼν εἰς τὴν πρὸς Παλαιτύρῳ στρατοπεδείαν παρεσκευάζετο τὰ πρὸς τὴν πολιορ-
364 κίαν. ἐπὶ δὲ τῶν καιρῶν τούτων Ἀρίστων ὁ πιστευθεὶς ὑπ' Εὐμένους τῶν ὀστῶν τῶν Κρατέρου παρέδωκεν εἰς ταφὴν αὐτὰ Φίλᾳ τῇ πρότερον μὲν Κρατέρῳ συνοι-

75. καὶ Πολυσπέρχοντα] τὸν Πολυσπέρχοντος p. 315. 59.: v. p. 364. 58. 76. καὶ ξενολογήσαντα] ξενολογήσαντά τε FW 78. βιβλιαφόροις] βιβλιοφόροις F 79. ὑπηρετεῖσθαι]
ην
ὑπηρετήσασθαι FW 80. Φοινίκην] φοινίκης F 83. θαλαττοκρατεῖν] libri θαλασσοκρατεῖν 84. εἶναι om. F 86. ὑπάρχους] ὑπάρχοντας Bas. 88. ναυπηγίας] τῆς ναυπηγίας F 90. ὑπάρχοις] ἱππάρχοις Bas. ἐκέλευσεν] ἐκέλευεν F

363. 91. μεδίμνων] μεδίμνους V 95. ἐπὶ] εἰς W, εἰς τὴν F θάλατταν] libri θάλασσαν 97. ζευγῶν] ζευγλῶν Bas. 99. Βυβλίαν] Βίβλιαν TW Bas., Κιλικίαν FQV 100. κεδρίνων] κεδρίων F καὶ πευκῶν om. TX Bas., asterisco notavit Stephanus κυπαριττίνων] libri κυπαρισσίνων: omisso καὶ super πευκῶν F ponit κυπαρισσίνων 2. ναυπήγια VW, caeteri ναυπηγεῖα 3. Βύβλῳ] Βίβλῳ Bas. Σιδῶνι] Σιδωνίᾳ FW 6. εἰςκομιζομένης] κομιζομένης F

8. θαλάττης] libri θαλάσσης 10. ἱκανῶς] ἱκανικῶς Bas. 12. οἵ τε] ὥςτε F 14. Ἀντίγονον] Ἀντιγόνου Bas. πρόδηλον — 15 πολέμιοι om. Bas. 15. πορθήσουσι] πορθοῦσι Bas. θαλαττοκρατοῦντες] libri θαλασσοκρατοῦντες 19. ἀποπλευσεῖσθαι] ἀποπλεύσεσθαι W, ἀπελεύσεσθαι V, διελεύσεσθαι F 24. Κιτιεὺς Bas., κυττιεὺς F, Κιττιεὺς caeteri Λαπήθιος Iac. Gronovius: libri Λαπίθιος Μαριεὺς Gronovius: libri Μάριος 25. Κερυνίτης] Κερινύτης FW 28. ἀναζεύξας Rhodomannus: libri ἀναζεύξας εἰς 29. τ' om. F Ἰόππην omnes
ει
ἀπειθούσας] ἀπειθοῦσαν Bas. 30. καταληφθέντας F 32. ἀναγκάσουσαν] ἀναγκάζουσαν Bas. 33. δ' ἐπανελθὼν] δὲ παρελθὼν FQVW 34. πρὸς Παλαιτύρῳ T, προσπάλαι Τύρῳ Bas.: caeteri πρόπαλαι ἐν Τύρῳ 35. τῶν καιρῶν τούτων] τούτων τῶν καιρῶν FW

364. 37. Φίλᾳ] φιλία F, γρ. φίλᾳ marg.

κούσῃ, τότε δὲ Δημητρίῳ τῷ Ἀντιγόνου. αὕτη δ᾽ ἡ γυνὴ συνέσει δοκεῖ διενηνοχέναι· τούς τε γὰρ ταραχώδεις τῶν ἐν τῷ στρατοπέδῳ κατέπαυεν ἁρμοζόντως πολιτευομένη πρὸς ἕκαστον, τάς τε ἀδελφὰς καὶ θυγατέρας τῶν ἀπόρων ἐξεδίδου τοῖς ἰδίοις δαπανήμασι, πολλοὺς δὲ καὶ τῶν διαβολαῖς περιπιπτόντων μὴ δικαίαις ἀπήλλαττε τῶν κινδύνων. λέγεται δὲ καὶ Ἀντίπατρον τὸν πατέρα αὐτῆς, ὃς δοκεῖ γεγονέναι φρονιμώτατος τῶν ἐν δυναστείαις γεγονότων κατὰ τὴν αὐτὴν ἡλικίαν, κόρης οὔσης ἔτι τῆς Φίλας, συμβουλεύεσθαι πρὸς ταύτην περὶ τῶν μεγίστων. μηνύσει δ᾽ ἀκριβέστερον τὸ τῆς γυναικὸς ἦθος προϊὼν ὁ λόγος καὶ τὰ πράγματα λαμβάνοντα μεταβολὴν καὶ κρίσιν ἐσχάτην τῆς περὶ Δημήτριον βασιλείας. καὶ τὰ μὲν περὶ Ἀντίγονον καὶ Φίλαν τὴν Δημητρίου γυναῖκα τοιαῦτ᾽ ἦν.

60 Τῶν δὲ πεμφθέντων ὑπ᾽ Ἀντιγόνου στρατηγῶν Ἀριστόδημος μὲν πλεύσας εἰς τὴν Λακωνικὴν καὶ λαβὼν παρὰ τῶν Σπαρτιατῶν ἐξουσίαν ξενολογεῖν, στρατιώτας ἤθροισεν ὀκτακισχιλίους ἐκ τῆς Πελοποννήσου. ἐντυχὼν δὲ Ἀλεξάνδρῳ καὶ Πολυσπέρχοντι φιλίαν συνέθετο πρὸς αὐτοὺς ὑπὲρ Ἀντιγόνου· καὶ Πολυσπέρχοντα μὲν στρατηγὸν ἀπέδειξε τῆς Πελοποννήσου, τὸν δὲ Ἀλέξανδρον ἔπεισεν εἰς τὴν Ἀσίαν πλεῦσαι πρὸς Ἀντίγονον. ὁ δ᾽ ἕτερος τῶν στρατηγῶν Πτολεμαῖος πορευθεὶς μετὰ τῆς δυνάμεως εἰς Καππαδοκίαν, καὶ καταλαβὼν Ἀμισὸν πολιορκουμένην ὑπ᾽ Ἀσκληπιοδώρου τοῦ Κασσάνδρου στρατηγοῦ, τὴν μὲν πόλιν ἐκ τῶν κινδύνων ἐῤῥύσατο, τοὺς δὲ περὶ τὸν Ἀσκληπιόδωρον ὑποσπόνδους ἀφεὶς ἀνεκτήσατο τὴν σατραπείαν. μετὰ δὲ ταῦτα πορευθεὶς διὰ Βιθυνίας, καὶ Ζιβοίτην τὸν βασιλέα τῶν Βιθυνῶν καταλαβὼν πολιορκοῦντα τήν τε τῶν Ἀστακηνῶν καὶ Χαλκηδονίων πόλιν, συνηνάγκασε λῦσαι τὴν πολιορκίαν. ποιησάμενος δὲ συμμαχίαν πρός τε τὰς πόλεις ταύτας καὶ πρὸς τὸν Ζιβοίτην, ἔτι δὲ λαβὼν ὁμήρους, προῆγεν

38. τότε δὲ] δὲ τότε Bas. 40. δοκεῖ FW, caeteri ἐδόκει 44. δὲ om. Bas. 45. ἀπήλλαττε F, ἀπήλλασσε caeteri 47. δυναστείαις FW, caeteri δυναστείᾳ 48. Φίλας] φιλίας F 49. ταύτην FWZ, caeteri ταύτης 50. λόγος καὶ] λόγος. δηλώσει ὁμοίως καὶ QV et qui τε καὶ F 53. τοιαῦτ᾽ ἦν] τοιαῦτα F 64. Ἀμισὸν] Ἀμισσὸν Bas., Ἄμισσαν V, ἄμισα (ὂν) F 65. Κασσάνδρου] Ἀσάνδρου Wesselingius πόλιν servarunt FW 69. Ζιβοίτην F, Ζιβοὶ τὴν V, Ζιβήτην W, caeteri Ζιβύτην 73. Ζιβοίτην FVW, caeteri Ζιβύτην



ἐπὶ Ἰωνίας καὶ Λυδίας· ἐγεγράφει γὰρ Ἀντίγονος αὐτῷ βοηθεῖν τῇ παραλίῳ κατὰ τάχος, ὡς τοῦ Σελεύκου τὸν πλοῦν ἐνταῦθα ποιησομένου. ὡς δέ ποθ᾽ ἧκε πλησίον τῶν προειρημένων τόπων, Σέλευκος ἔτυχε μὲν πολιορκῶν Ἐρυθράς, πυθόμενος δὲ τὴν τῶν πολεμίων δύναμιν πλησίον οὖσαν, ἀπέπλευσεν ἄπρακτος.

61 Ἀντίγονος δέ, παραγενομένου πρὸς αὐτὸν Ἀλεξάνδρου τοῦ Πολυσπέρχοντος, πρὸς μὲν τοῦτον συνέθετο φιλίαν· αὐτὸς δὲ συναγαγὼν τῶν τε στρατιωτῶν καὶ
365 τῶν παρεπιδημούντων κοινὴν ἐκκλησίαν κατηγόρησε Κασσάνδρου, προφερόμενος τήν τε Ὀλυμπιάδος ἀναίρεσιν καὶ τὰ συμβάντα περὶ Ῥωξάνην καὶ τὸν βασιλέα. πρὸς δὲ τούτοις ἔλεγεν ὡς Θετταλονίκην μὲν βιασάμενος ἔγημε, φανερῶς δὲ ἐξιδιάζεται τὴν Μακεδόνων βασιλείαν, ἔτι δὲ ὡς Ὀλυνθίους ὄντας πολεμιωτάτους Μακεδόνων κατῴκισεν εἰς τὴν ὁμώνυμον ἑαυτοῦ πόλιν, καὶ Θήβας ἀνέστησε τὰς ὑπὸ Μακεδόνων κατασκαφείσας. συναγανακτούντων δὲ τῶν ὄχλων, ἔγραψε δόγμα καθ᾽ ὃ τὸν Κάσσανδρον ἐψηφίσατο πολέμιον εἶναι, ἐὰν μὴ τάς τε πόλεις καθέλῃ καὶ τὸν βασιλέα καὶ τὴν μητέρα τὴν Ῥωξάνην προαγαγὼν ἐκ τῆς φυλακῆς ἀποδῷ τοῖς Μακεδόσι, καὶ τὸ σύνολον, ἐὰν μὴ πειθαρχῇ τῷ καθεσταμένῳ στρατηγῷ καὶ τῆς βασιλείας παρειληφότι τὴν ἐπιμέλειαν Ἀντιγόνῳ. εἶναι δὲ καὶ τοὺς Ἕλληνας ἅπαντας ἐλευθέρους, ἀφρουρήτους, αὐτονόμους. ἐπιψηφισαμένων δὲ τῶν στρατιωτῶν τὰ ῥηθέντα, διαπέστειλε πανταχῇ τοὺς κομιοῦντας τὸ δόγμα. τοὺς μὲν γὰρ Ἕλληνας ὑπελάμβανε διὰ τὴν ἐλπίδα τῆς ἐλευθερίας προθύμους ἕξειν συναγωνιστὰς εἰς τὸν πόλεμον, τοὺς δ᾽ ἐν ταῖς ἄνω σατραπείαις στρατηγοὺς καὶ σατράπας, ὑπόπτως ἔχοντας ὡς Ἀντιγόνου καταλῦσαι διεγνωκότος τοὺς ἀπ᾽ Ἀλεξάνδρου βασιλεῖς, αὐτοῦ φανερῶς τὸν ὑπὲρ αὐτῶν πόλεμον ἀναδεχομένου πάντας μεταπεσεῖσθαι ταῖς γνώμαις καὶ τοῖς παραγγελλομένοις ἑτοίμως ὑπακούσεσθαι. ἀπὸ δὲ τούτων γενόμενος, Ἀλεξάνδρῳ μὲν δοὺς πεντακόσια τάλαντα, καὶ περὶ τῶν μελλόντων εἰς μεγάλας ἀγαγὼν ἐλπίδας, ἐξαπέστειλεν εἰς Πελοπόννησον·

78. τόπων] τούτων T Bas., om. X 365. 87. Θετταλονίκην] libri Θεσσαλονίκην 89. Ὀλυνθίους W, caeteri Ὀλινθίους 91. ἑαυτοῦ] ἑαυτῷ W 92. κατασκαφθείσας Bas. 94. μὴ] μήτε Bas. 98. καθεσταμένῳ] καθισταμένῳ T Bas. 4. ἐλευθερίας] σωτηρίας FQT Bas. ἕξειν] ἔχειν X Bas. 7. ἀπ᾽ F, caeteri ἀπὸ 8. αὐτοῦ ed. Rhodomanni: libri τοῦ 10. ὑπακούσεσθαι] ὑπακούεσθαι F, ὑπακούσασθαι Bas. 13. ἀγαγὼν] ἄγων F

αὐτὸς δὲ παρὰ Ῥοδίων μεταπεμψάμενος ναῦς, καὶ τῶν ναυπηγηθεισῶν τὰς πλείστας καταρτίσας, ἐπέπλευσε τῇ Τύρῳ. θαλαττοκρατῶν δὲ καὶ διακωλύων σῖτον εἰςάγεσθαι προςεκαρτέρησε μὲν ἐνιαυτὸν καὶ τρεῖς μῆνας, εἰς ἔνδειαν δὲ δεινὴν ἀγαγὼν τοὺς ἐγκατακεκλεισμένους, τοῖς μὲν παρὰ Πτολεμαίου στρατιώταις συνεχώρησεν ἀπελθεῖν ἔχουσι τὰ ἑαυτῶν, τὴν δὲ πόλιν δι' ὁμολογίας παραλαβὼν φρουρὰν τὴν διαφυλάξουσαν εἰς αὐτὴν εἰςήγαγεν.

62 Ἅμα δὲ τούτοις πραττομένοις Πτολεμαῖος μὲν ἀκούσας τὰ δεδογμένα τοῖς μετ' Ἀντιγόνου Μακεδόσι περὶ τῆς τῶν Ἑλλήνων ἐλευθερίας, ἔγραψε καὶ αὐτὸς τὰ παραπλήσια, βουλόμενος εἰδέναι τοὺς Ἕλληνας ὅτι φροντίζει τῆς αὐτονομίας αὐτῶν οὐχ ἧττον Ἀντιγόνου. οὐ γὰρ μικρὰν ῥοπὴν ὁρῶντες οὖσαν ἑκάτεροι προςλαβέσθαι τὴν τῶν Ἑλλήνων εὔνοιαν, διημιλλῶντο πρὸς ἀλλήλους περὶ τῆς εἰς τούτους εὐεργεσίας. προςελάβετο δ' εἰς τὴν συμμαχίαν καὶ τὸν τῆς Καρίας σατράπην Ἄσανδρον, ἰσχύοντα καὶ πόλεις ἔχοντα τεταγμένας ὑφ' 366 ἑαυτὸν οὐκ ὀλίγας. προαπεσταλκὼς δὲ τοῖς ἐν Κύπρῳ βασιλεῦσι στρατιώτας τριςχιλίους ἐξέπεμψε τότε δύναμιν ἁδράν, σπεύδων συναναγκάσαι τοὺς ἐναντιοπραγοῦντας ποιεῖν τὸ προςταττόμενον. Μυρμιδόνα μὲν οὖν τὸν Ἀθηναῖον ἀπέστειλε μετὰ στρατιωτῶν μυρίων, Πολύκλειτον δὲ μετὰ νεῶν ἑκατόν, τῶν δὲ πάντων στρατηγὸν Μενέλαον τὸν ἀδελφόν. οὗτοι δὲ πλεύσαντες εἰς Κύπρον, κἀκεῖ καταλαβόντες Σέλευκον μετὰ τοῦ στόλου, συνήδρευσαν βουλευόμενοι τί χρὴ πράττειν. ἔδοξεν οὖν αὐτοῖς Πολύκλειτον μετὰ πεντήκοντα νεῶν πλεῖν εἰς Πελοπόννησον καὶ διαπολεμεῖν τοῖς περὶ Ἀριστόδημον καὶ Ἀλέξανδρον ἔτι δὲ Πολυσπέρχοντα, Μυρμιδόνα δὲ καὶ τοὺς ξένους εἰς Καρίαν, βοηθήσοντας τοῖς περὶ τὸν Ἄσανδρον πολεμουμένοις ὑπὸ Πτολεμαίου τοῦ στρατηγοῦ, τοὺς δὲ περὶ τὸν Σέλευκον καὶ Μενέλαον ὑπολειφθέντας ἐν Κύπρῳ μετὰ Νικοκρέοντος τοῦ βασιλέως

16. καταρτίσας] καταρτήσας F θαλαττοκρ.] libri θαλασσοκρ. 17. εἰςάγεσθαι] ἄγεσθαι W 19. ἐγκατακεκλεισμένους] ἐγκατακεκλειμμένους T Bas. 21. ὁμολογίας] ὁμολογίαν Bas. 29. Ἀντιγόνου] ἢ Ἀντίγονος FVW 30. προςλαβέσθαι] τὸ προςλαβέσθαι F 33. Ἄσανδρον Wesselingius: libri Κάσσανδρον

366. 37. τοὺς] τὸν F προςταττόμενον F, προςτασσόμενον caeteri 39. Πολύκλειτον] Πολεῖτον Bas. 44. μετὰ — πλεῖν] μὲν πλεῖν μετὰ πεντήκοντα νεῶν F 48. Ἄσανδρον Wesselingius: libri Κάσσανδρον



καὶ τῶν ἄλλων τῶν συμμαχούντων διαπολεμεῖν τοῖς ἐναντιουμένοις. τοῦτον δὲ τὸν τρόπον τῆς δυνάμεως διαμερισθείσης, οἱ περὶ Σέλευκον Κερυνίαν μὲν καὶ Λάπηθον ἐξεπολιόρκησαν, Στασίοικον δὲ τὸν βασιλέα τῶν Μαριέων προςαγαγόμενοι τὸν Ἀμαθουσίων δυνάστην ἠνάγκασαν ὅμηρα δοῦναι· τὴν δὲ τῶν Κιτιέων πόλιν οὐ δυνάμενοι προςαγαγέσθαι, συνεχῶς ἐπολιόρκουν πάσῃ τῇ δυνάμει. κατὰ τοῦτον δὲ τὸν καιρὸν πρὸς Ἀντίγονον κατέπλευσαν ἐξ Ἑλληςπόντου [καὶ Ῥόδου] νῆες τετταράκοντα Θεμίσωνος ναυαρχοῦντος· ὁμοίως δ' [αὖθις] ἐξ Ἑλληςπόντου καὶ Ῥόδου κατήγαγε σκάφη Διοςκορίδης ὀγδοήκοντα. προϋπῆρχον δ' αὐτῷ κατηρτισμέναι νῆες τῶν ἐν Φοινίκῃ ναυπηγηθεισῶν αἱ πρῶται συντελεσθεῖσαι. αὗται δ' ἦσαν σὺν ταῖς ἐν Τύρῳ καταληφθείσαις ἑκατὸν καὶ εἴκοσιν, ὥςτε τὰς πάσας περὶ αὐτὸν ἠθροῖσθαι ναῦς μακρὰς ἐξηρτυμένας διακοσίας τετταράκοντα· τούτων δ' ἦσαν τετρήρεις μὲν ἐνενήκοντα, πεντήρεις δὲ δέκα, ἐννήρεις δὲ τρεῖς, δεκήρεις δὲ δέκα, ἄφρακτοι δὲ τριάκοντα. διελόμενος δὲ τὸν στόλον πεντήκοντα μὲν ναῦς ἐξέπεμψεν εἰς Πελοπόννησον, τῶν δ' ἄλλων ναύαρχον καταστήσας Διοςκορίδην τὸν ἀδελφιδοῦν προςέταξε περιπλεῖν τοῖς τε συμμάχοις παρεχόμενον τὴν ἀσφάλειαν καὶ τῶν νήσων τὰς μήπω μετεχούσας τῆς συμμαχίας προςαγόμενον. τὰ μὲν οὖν κατὰ τὸν Ἀντίγονον ἐν τούτοις ἦν.

63 Ἡμεῖς δ' ἐπεὶ τὰ κατὰ τὴν Ἀσίαν πραχθέντα διήλ-
367 θομεν, ἐν μέρει πάλιν τὰ κατὰ τὴν Εὐρώπην διέξιμεν. Ἀπολλωνίδης γὰρ ὁ ταχθεὶς ὑπὸ Κασσάνδρου στρατηγὸς ἐπὶ τῆς Ἀργείων πόλεως ἐξοδεύσας εἰς Ἀρκαδίαν νυκτὸς

51. συμμαχούντων] συμμάχων F 53. Κερυνίαν Wesselingius, Κυρηνίαν VW, caeteri Κερυννίαν 54. μὲν om. Bas. Λάπηθον Stephanus ad p. 380. 85.: libri Λάπιθον 55. Μαριέων Rhodomannus ad p. 380. 86.: libri Μανέων, τῶν Μανέων προςαγαγόμενοι om. F 56. Ἀμαθουσίων] Ἀμαθούσιον Bas. 57. Κιτιέων] libri Κιτίων 60. καὶ Ῥόδου νῆες om. VW, καὶ Ῥόδου asterisco notavit Stephanus, om. F Bas. νῆες] ναῦς Bas. τετταράκοντα] μ Bas., caeteri τεσσαράκοντα Θεμίσωνος] Θαμισῶνος F 61. αὖθις om. FTVW Bas., asterisco notavit Stephanus 62. Διοςκορίδης] Διοςκουρίδης W, διοςκυρίδης F 63. νῆες FVW, caeteri ναῦς τῶν] τῶν τ' Bas. 64. πρῶται] ει πρώτως FQW 65. καταληφθείσας Bas., καταληφθείσαις F, caeteri καταλειφθείσαις 67. ἐξηρτυμένας] ἐξηρτημένας F τετταράκοντα F, μ Bas., τεσσαράκοντα caeteri 68. ἐνενήκοντα Bas., caeteri ἐννενήκοντα 71. ἐξέπεμψεν] ἔπεμψεν VW 79. τὰ om. Bas. 80. Κασσάνδρου] Ἀλεξάνδρου T

ἐκυρίευσε τῆς τῶν Στυμφαλίων πόλεως. περὶ ταῦτα δ' αὐτοῦ διατρίβοντος τῶν Ἀργείων οἱ πρὸς Κάσσανδρον ἀλλοτρίως ἔχοντες ἐπεκαλέσαντο τὸν Πολυσπέρχοντος Ἀλέξανδρον, ἐπαγγελλόμενοι παραδώσειν τὴν πόλιν. τοῦ δ' Ἀλεξάνδρου βραδύνοντος, Ἀπολλωνίδης φθάσας κατήντησεν εἰς Ἄργος. τῶν δ' ἐναντιουμένων καταλαβὼν εἰς πεντακοσίους συνηδρευκότας ἐν τῷ πρυτανείῳ, τούτους μὲν ἀποκλείσας τῆς ἐξόδου ζῶντας κατέκαυσε, τῶν δ' ἄλλων τοὺς μὲν πλείους ἐφυγάδευσεν, ὀλίγους δὲ συλλαβὼν ἀπέκτεινε. Κάσσανδρος δὲ πυθόμενος τὸν Ἀριστοδήμου κατάπλουν εἰς Πελοπόννησον καὶ τὸ συνηθροισμένον πλῆθος τῶν ξένων, τὸ μὲν πρῶτον ἐπεχείρησεν ἀφιστάναι τὸν Πολυσπέρχοντα τῆς Ἀντιγόνου φιλίας· οὐχ ὑπακουόντων δ' αὐτῶν συναγαγὼν δύναμιν ἧκε διὰ τῆς Θετταλίας εἰς Βοιωτίαν. ἐνταῦθα δὲ συνεπιλαβόμενος τοῖς Θηβαίοις τῆς τῶν τειχῶν οἰκοδομίας παρῆλθεν εἰς Πελοπόννησον· καὶ τὸ μὲν πρῶτον Κεγχρεὰς ἐκπολιορκήσας ἐδῄωσε τὴν χώραν τῶν Κορινθίων· μετὰ δὲ ταῦτα δύο φρούρια κατὰ κράτος ἑλὼν τοὺς ὑπ' Ἀλεξάνδρου καθεσταμένους φρουροὺς ὑποσπόνδους ἀφῆκεν. ἑξῆς δὲ τῇ τῶν Ὀρχομενίων πόλει προσβολὰς ποιησάμενος, καὶ παρεισαχθεὶς ὑπὸ τῶν ἀλλοτρίως ἐχόντων πρὸς Ἀλέξανδρον, τῆς μὲν πόλεως φυλακὴν ἀπέλιπε, τῶν δὲ φίλων τῶν Ἀλεξάνδρου καταφυγόντων εἰς τὸ τῆς Ἀρτέμιδος ἱερόν, ἔδωκε τὴν ἐξουσίαν τοῖς πολίταις ὃ βούλοιντο πρᾶξαι. οἱ μὲν οὖν Ὀρχομένιοι τοὺς ἱκέτας βιαίως ἀναστήσαντες ἅπαντας ἀνεῖλον παρὰ τὰ κοινὰ τῶν Ἑλλήνων νόμιμα.

64 Ὁ δὲ Κάσσανδρος παρελθὼν εἰς τὴν Μεσσηνίαν, καὶ καταλαβὼν φρουρουμένην ὑπὸ Πολυσπέρχοντος τὴν πόλιν, τὸ μὲν πολιορκεῖν αὐτὴν ἐπὶ τοῦ παρόντος ἀπέγνω· παρελθὼν δ' εἰς Ἀρκαδίαν Δᾶμιν μὲν ἐπιμελητὴν τῆς πόλεως ἀπέλιπεν, αὐτὸς δὲ παρελθὼν εἰς τὴν Ἀργείαν καὶ θεὶς τὸν τῶν Νεμέων ἀγῶνα τὴν εἰς Μακεδονίαν ἐπάνοδον ἐποιήσατο. τούτου δὲ χωρισθέντος ὁ Ἀλέξανδρος ἐπιὼν τὰς ἐν Πελοποννήσῳ πόλεις μετ' Ἀριστοδήμου τὰς μὲν ὑπὸ Κασσάνδρου καθεσταμένας φρουρὰς ἐκβαλεῖν ἐπειρᾶτο, ταῖς δὲ πόλεσιν ἀποκαθιστᾶν τὴν ἐλευθερίαν. ἃ δὴ πυθόμενος ὁ Κάσσανδρος ἔπεμψε



367. 100. Κεγχρεὰς] κεχρέας F: sic et p. 368. 34. cum Bas. 2. κράτος] τάχος F 9. ἱκέτας] οἰκέτας Bas. 10. βιαίως asterisco notavit Stephanus 12. μεσηνίαν F, ut solet 14. τὴν πόλιν] deest nomen 19. ὁ om. Bas. 21. καθεσταμένας] καθισταμένας F



368 πρὸς αὐτὸν Πρεπέλαον, ἀξιῶν Ἀντιγόνου μὲν ἀποστῆναι, συμμαχεῖν δ' αὐτῷ γνησίως. τοῦτο δ' αὐτοῦ πράξαντος στρατηγίαν δώσειν ἔφησε πάσης Πελοποννήσου, καὶ δυνάμεως ἀποδείξειν κύριον, ἔτι δὲ κατ' ἀξίαν τιμήσειν. ὁ δ' Ἀλέξανδρος ὁρῶν αὐτῷ συγχωρούμενον οὗ χάριν ἐξ ἀρχῆς ἐπολέμει πρὸς Κάσσανδρον, συμμαχίαν ποιησάμενος ἀπεδείχθη στρατηγὸς Πελοποννήσου. ἅμα δὲ τούτοις πραττομένοις Πολύκλειτος ὁ πεμφθεὶς ὑπὸ τῶν περὶ Σέλευκον ἐκ Κύπρου πλεύσας κατῆρεν εἰς Κεγχρεάς. ἀκούσας δὲ τὴν Ἀλεξάνδρου μετάθεσιν, καὶ θεωρῶν μηδὲν ὑπάρχον πολέμιον σύστημα, τὸν πλοῦν ἐπὶ Παμφυλίας ἐποιήσατο. ἐντεῦθεν δὲ παρακομισθεὶς εἰς Ἀφροδισιάδα τῆς Κιλικίας ἤκουσεν ὅτι Θεόδοτος μὲν ὁ Ἀντιγόνου ναύαρχος ἐκ Πατάρων τῆς Λυκίας παραπλεῖ ταῖς ἀπὸ Ῥόδου ναυσίν, ἐχούσαις ἀπὸ Καρίας πληρώματα, καὶ διότι Περίλαος μετὰ στρατιωτῶν παράγει πεζῇ, παρεχόμενος τῷ στόλῳ τῆς ἀγωγῆς τὴν ἀσφάλειαν, ἀμφοτέρους κατεστρατήγησε. τοὺς μὲν γὰρ στρατιώτας ἀποβιβάσας ἔκρυψεν ἐν εὐθέτῳ τόπῳ, καθ' ὃν ἀναγκαῖον ἦν τοὺς πολεμίους τὴν πάροδον ποιήσασθαι· αὐτὸς δὲ πάσαις ταῖς ναυσὶν ἀναπλεύσας καὶ πρὸ αὐτοῦ λαβὼν ἀκρωτήριον ἐπετήρει τὴν τῶν πολεμίων παρουσίαν. ἐμπεσόντων δὲ πρῶτον τῶν πεζῶν εἰς τὴν ἐνέδραν, συνέβη τόν τε Περίλαον ἁλῶναι καὶ τῶν ἄλλων τοὺς μὲν πεσεῖν μαχομένους, οὓς δὲ ζωγρηθῆναι. ἐπιχειρούντων δὲ τῶν ἀπὸ τοῦ στόλου παραβοηθεῖν τοῖς ἰδίοις, ἐπιπλεύσας ὁ Πολύκλειτος ἄφνω συντεταγμένῳ τῷ στόλῳ ῥᾳδίως ἐτρέψατο τεταραγμένους τοὺς πολεμίους. διόπερ συνέβη τάς τε ναῦς ἁλῶναι πάσας καὶ τῶν ἀνδρῶν οὐκ ὀλίγους, ἐν οἷς καὶ αὐτὸν τὸν Θεόδοτον τραυματίαν γενόμενον μετ' ὀλίγας ἡμέρας τελευτῆσαι. Πολύκλειτος μὲν οὖν χωρὶς κινδύνων τηλικαῦτα πλεονεκτήσας ἀπέπλευσεν εἰς Κύπρον, ἐντεῦθεν δ' εἰς Πηλούσιον. ὁ δὲ Πτολεμαῖος τοῦτον μὲν ἐπαινέσας δωρεαῖς μεγάλαις ἐτίμησε καὶ πολὺ μᾶλλον προῆγεν, ὡς ἀρχηγὸν γεγονότα μεγάλου προτερήματος· τὸν δὲ Περίλαον καὶ τῶν ἄλλων αἰχμαλώτων τινὰς ἀπέλυ-

24. Πρεπέλαον Rhodomannus: libri Πρέπελλον
368 26. δώσειν ἔφησε] invertit F 27. δυνάμεως] δυνάμεων F 37. Ἀφροδισιάδα] Ἀφροδισίαν FV ὡς ἤκουσεν Reiskius: Stephanus ad (42.) ἀμφοτέρους particulam οὖν vel aliam addebat 46. ἀναπλεύσας FVW, caeteri ἐπιπλεύσας 51. ἀπὸ τοῦ στόλου] ἀπὸ Ῥόδου νεῶν QTXY Bas., quod postulat ut ἐπιχειρουσῶν scribatur 56. τὸν om. Bas. 58. κινδύνων] κινδύνου W.

σεν, ἐλθούσης περὶ τούτων πρεσβείας παρ' Ἀντιγόνου. αὐτὸς δὲ παρῆλθεν ἐπὶ τὸ καλούμενον Ἔκρηγμα, κἀκεῖ συνελθὼν εἰς λόγους Ἀντιγόνῳ πάλιν ἀπῆλθεν, οὐ συγχωροῦντος Ἀντιγόνου τὰ ἀξιούμενα.

65 Ἡμεῖς δὲ διεληλυθότες τὰ πραχθέντα τῶν Ἑλλήνων τῆς Εὐρώπης περὶ τὴν Ἑλλάδα καὶ Μακεδονίαν ἐν μέρει διέξιμεν περὶ τῶν πρὸς ἑσπέραν νευόντων μερῶν. Ἀγαθοκλῆς γὰρ ὁ τῶν Συρακοσίων δυνάστης κατέχων φρούριον τῶν Μεσσηνίων, ἐπηγγείλατο λαβὼν παρ' αὐτῶν τριάκοντα τάλαντα παραδώσειν τὸν τόπον. δόντων δὲ τῶν Μεσσηνίων τὸ ἀργύριον, οὐ μόνον διεψεύσατο τοὺς πιστεύσαντας τῆς ἐπαγγελίας, ἀλλὰ καὶ τὴν Μεσσήνην αὐτὴν ἐπεχείρησε καταλαβέσθαι. πυθόμενος γὰρ μέρος τι τοῦ τείχους ἐν αὐτῇ πεπτωκέναι, πεζῇ μὲν 369 τοὺς ἱππεῖς ἀπέστειλεν ἐκ Συρακουσῶν, αὐτὸς δ' ἀναλαβὼν ναῦς ἡμιολίας νυκτὸς κατέπλευσε πλησίον τῆς πόλεως. προαισθομένων δὲ τῶν ἐπιβουλευομένων ταύτης μὲν τῆς ἐπιβολῆς ἀπέτυχεν· ἐπὶ δὲ τὰς Μύλας πλεύσας, καὶ πολιορκήσας τὸ φρούριον, δι' ὁμολογίας παρέλαβε. καὶ τότε μὲν εἰς Συρακούσας ἐχωρίσθη· κατὰ δὲ τὰς τῶν καρπῶν συγκομιδὰς πάλιν ἐστράτευσεν ἐπὶ τὴν Μεσσήνην. πλησίον δὲ τῆς πόλεως στρατοπεδεύσας, καὶ προσβολὰς συνεχεῖς ποιούμενος, οὐδὲν ἀξιόλογον ἴσχυσε βλάψαι τοὺς πολεμίους. καὶ γὰρ τῶν ἐκ Συρακουσῶν φυγάδων πολλοὶ συνδεδραμήκεισαν εἰς τὴν πόλιν, οἳ καὶ διὰ τὴν ἰδίαν ἀσφάλειαν καὶ διὰ τὸ πρὸς τὸν τύραννον μῖσος ἐκθύμως ἠγωνίζοντο. καθ' ὃν δὴ χρόνον ἧκον ἐκ Καρχηδόνος πρέσβεις, οἳ τῷ μὲν Ἀγαθοκλεῖ περὶ τῶν πραχθέντων ἐπετίμησαν, ὡς παραβαίνοντι τὰς συνθήκας, τοῖς δὲ Μεσσηνίοις εἰρήνην παρεσκεύασαν, καὶ τὸ φρούριον ἀναγκάσαντες ἀποκαταστῆσαι τὸν τύραννον ἀπέπλευσαν εἰς τὴν Λιβύην. ὁ δ' Ἀγαθοκλῆς παρελθὼν εἰς Ἀβάκαινον πόλιν σύμμαχον, τοὺς δοκοῦντας ἀλλοτρίως ἔχειν τὰ πρὸς αὐτὸν ἀπέσφαξεν, ὄντας πλείους τῶν τετταράκοντα. ἅμα δὲ τούτοις πραττομέ-

65. δὲ] γὰρ F 67. Ἀντιγόνου] ἀντιγόνῳ F 71. περὶ τῶν] τῶν περὶ τῶν F 72. Συρακοσίων Bas. 75. τἀργύριον Reiskius: libri ἀργύριον 76. τῆς ἐπαγγελίας TVWY Bas., caeteri ταῖς ἐπαγγελίαις

369. 82. ἐπιβουλευομένων Reiskius: libri προεπιβουλευομένων 83. ἐπιβολῆς] ἐπιβουλῆς FW 84. τὸ om. Bas. 85. ἐχωρίσθη] ἀπεχώρησε W, ἀνεχώρησε FQV 89. οὐδὲν T Bas., caeteri praemittunt κατ', quod asterisco notavit Stephanus 91. συνδεδραμήκεισαν] συνδεδραμήκασιν F διὰ τὴν] δι' Bas. 99. Ἀβάκαινον] Βάκαινον FVW 1. τετταράκοντα] libri τεσσαράκοντα



νοις Ῥωμαῖοι μὲν διαπολεμοῦντες Σαμνίταις Φερέντην πόλιν τῆς Ἀπουλίας κατὰ κράτος εἷλον. οἱ δὲ τὴν Νουκερίαν τὴν Ἀλφατέρναν καλουμένην οἰκοῦντες πεισθέντες ὑπό τινων τῆς μὲν Ῥωμαίων φιλίας ἀπέστησαν, πρὸς δὲ τοὺς Σαμνίτας συμμαχίαν ἐποιήσαντο.

Τοῦ δ' ἔτους τούτου διελθόντος Ἀθήνησι μὲν ἦρχε 66 Νικόδωρος, ἐν Ῥώμῃ δ' ἦσαν ὕπατοι Λεύκιος Παπίριος τὸ τέταρτον καὶ Κόϊντος Ποπλίλιος τὸ δεύτερον. ἐπὶ δὲ τούτων Ἀριστόδημος μὲν ὁ κατασταθεὶς ὑπ' Ἀντιγόνου στρατηγὸς ὡς ἐπύθετο τὴν Ἀλεξάνδρου τοῦ Πολυσπέρχοντος ἀπόστασιν, ἐπὶ τοῦ κοινοῦ τῶν Αἰτωλῶν δικαιολογησάμενος προετρέψατο τὰ πλήθη βοηθεῖν τοῖς Ἀντιγόνου πράγμασιν· αὐτὸς δὲ μετὰ τῶν μισθοφόρων διαβὰς ἐκ τῆς Αἰτωλίας εἰς Πελοπόννησον κατέλαβεν Ἀλέξανδρόν τε καὶ τοὺς Ἠλείους πολιορκοῦντας τὴν Κυλλήνην· εὐκαίρως δὲ τοῖς κινδυνεύουσιν ἐπιφανεὶς ἔλυσε τὴν πολιορκίαν. καταλιπὼν δ' ἐνταῦθα τοὺς παρεξομένους τῷ φρουρίῳ τὴν ἀσφάλειαν ἀνέζευξεν εἰς τὴν Ἀχαΐαν· καὶ Πάτρας μὲν ἠλευθέρωσε φρουρουμένας ὑπὸ τῶν Κασσάνδρου στρατιωτῶν, Αἴγιον δὲ ἐκπολιορκήσας τῆς τε φρουρᾶς ἐκυρίευσε καὶ τοῖς Αἰγιεῦσι κατὰ δόγμα τὴν ἐλευθερίαν βουλόμενος ἀποκαταστῆσαι διὰ ταύτην τὴν περίστασιν ἐκωλύθη· τῶν γὰρ στρατιωτῶν τραπέντων πρὸς ἁρπαγὴν πολλοὶ μὲν ἀπεσφάγησαν τῶν Αἰγιέων, πλεῖσται δὲ τῶν οἰκιῶν διεφθάρησαν. μετὰ δὲ ταῦτα διαπλεύσαντος εἰς Αἰτωλίαν αὐτοῦ, Δυμαῖοι φρουρὰν ἔχοντες παρὰ Κασσάνδρου διετείχισαν τὴν πόλιν, ὥστε 370 κατ' ἰδίαν οὖσαν ἀπὸ τῆς ἀκροπόλεως διεζεῦχθαι. παρακαλέσαντες δ' ἀλλήλους ἀντέχεσθαι τῆς αὐτονομίας περιεστρατοπέδευσαν τὴν ἄκραν καὶ συνεχεῖς προσβολὰς ἐποιοῦντο. ἃ δὴ πυθόμενος ὁ Ἀλέξανδρος, ἧκε μετὰ τῆς δυνάμεως, καὶ βιασάμενος ἐντὸς τοῦ τείχους ἐκυρίευσε τῆς πόλεως. τῶν δὲ Δυμαίων τοὺς μὲν ἀπέσφαξε, τοὺς δ' εἰς φυλακὴν ἀπέθετο, πολλοὺς δὲ ἐφυγάδευσεν. οἱ δὲ περιλειφθέντες ἀπαλλαγέντος ἐκ τῆς πόλεως

3. Φερέντην] Φέρεντιν F 4. Ἀλφατέρναν] Ἀσφαλτέρναν QX 6. Σαμνίτας] σαυνίτας F 9. Παπίριος] παπείριος F Bas. 10. Ποπλίλιος Sigonius: libri Πόπλιος 11. κατασταθεὶς] κατασταλθεὶς W 24. αἰγιεῦσι F, caeteri Αἰγεῦσι 25. τὴν om. Bas. 27. πρὸς] εἰς FW τῶν Αἰγιέων Wes- ιαί selingius, τῶν αἰγέων F, τῶν Αἰγιαίων XY, τῶν Αἰγαίων T, om. Bas., caeteri τῶν Αἰγισαίων, quae asterisco notavit Stephanus

370. 37. Δυμαίων] δυμέων F 38. ἀπέθετο] ἀπέδωκε F 39. περιλειφθέντες] περιληφθέντες W

Ἀλεξάνδρου χρόνον μέν τινα τὴν ἡσυχίαν ἦγον, κατα-
πεπληγμένοι τὸ μέγεθος τῆς συμφορᾶς, ἅμα δὲ καὶ συμ-
μάχων ὄντες ἔρημοι· μετὰ δέ τινα χρόνον ἐξ Αἰγίου
τοὺς Ἀριστοδήμου μισθοφόρους μεταπεμψάμενοι πάλιν
ἐπέθεντο τῇ φρουρᾷ, καὶ κυριεύσαντες τῆς ἄκρας τὴν
μὲν πόλιν ἠλευθέρωσαν, τῶν δὲ καταλειφθέντων τοὺς
πλείστους ἀποσφάξαντες συνανεῖλον καὶ τῶν ἰδίων πο-
67 λιτῶν ὅσοι πρὸς Ἀλέξανδρον εἶχον φιλίαν. ἅμα δὲ τού-
τοις πραττομένοις Ἀλέξανδρος μὲν ὁ Πολυσπέρχοντος ἐκ
Σικυῶνος ἀναζευγνύων μετὰ τῆς δυνάμεως ὑπ' Ἀλεξίω-
νος τοῦ Σικυωνίου καί τινων ἄλλων προςποιουμένων
εἶναι φίλων ἀνῃρέθη· ἡ δὲ γυνὴ Κρατησίπολις διαδε-
ξαμένη τὰ πράγματα συνεῖχε τὸ στρατόπεδον, ἀγαπωμέ-
νη διαφερόντως ὑπὸ τῶν στρατιωτῶν διὰ τὰς εὐεργε-
σίας· διετέλει γὰρ βοηθοῦσα τοῖς ἀτυχοῦσι καὶ πολλοὺς
τῶν ἀπόρων ὑπολαμβάνουσα. ἦν δὲ περὶ αὐτὴν καὶ
σύνεσις πραγματικὴ καὶ τόλμα μείζων ἢ κατὰ γυναῖκα.
τῶν γὰρ Σικυωνίων καταφρονησάντων αὐτῆς διὰ τὴν
τοῦ ἀνδρὸς τελευτήν, καὶ συνδραμόντων μετὰ τῶν
ὅπλων ἐπὶ τὴν ἐλευθερίαν, παραταξαμένη καὶ νικήσασα
πολλοὺς μὲν ἀνεῖλε, συλλαβοῦσα δὲ περὶ τριάκοντα τὸν
ἀριθμὸν ἀνεσταύρωσεν. ἀσφαλισαμένη δὲ τὰ κατὰ τὴν
πόλιν ἐδυνάστευε τῶν Σικυωνίων, ἔχουσα πολλοὺς στρα-
τιώτας ἑτοίμους εἰς πάντα κίνδυνον. καὶ τὰ μὲν περὶ
Πελοπόννησον ἐν τούτοις ἦν.

Κάσσανδρος δ' ὁρῶν τοὺς Αἰτωλοὺς συναγωνιζο-
μένους μὲν Ἀντιγόνῳ, πόλεμον δ' ἔχοντας ὅμορον πρὸς
Ἀκαρνᾶνας, ἔκρινε συμφέρειν ἅμα συμμάχους μὲν Ἀκαρ-
νᾶνας ποιήσασθαι, ταπεινῶσαι δὲ τοὺς Αἰτωλούς. διό-
περ ἀναζεύξας ἐκ Μακεδονίας μετὰ δυνάμεως μεγάλης
ἧκεν εἰς Αἰτωλίαν, καὶ κατεστρατοπέδευσε περὶ τὸν κα-
λούμενον Καμπύλον ποταμόν. συναγαγὼν δὲ τοὺς
Ἀκαρνᾶνας εἰς κοινὴν ἐκκλησίαν, καὶ διελθὼν ὅτι πό-
λεμον ἔχουσιν ὅμορον ἐκ παλαιῶν χρόνων, συνεβούλευεν
ἐκ τῶν ὀχυρῶν καὶ μικρῶν χωρίων εἰς ὀλίγας πόλεις
μετοικῆσαι, ὅπως μὴ διεσπαρμένης τῆς οἰκήσεως ἀδυνα-
τῶσιν ἀλλήλοις βοηθεῖν καὶ πρὸς τὰς ἀπροσδοκήτους
τῶν πολεμίων ἐπιθέσεις δυςχερῶς ἀθροίζωνται. πεισθέν-
των δὲ τῶν Ἀκαρνάνων οἱ πλεῖστοι μὲν εἰς Στράτον

40. τὴν om. Bas. 45. καταλειφθέντων] η super ει ponit F 46. συνανεῖλον] συνανεῖλαν Bas. 49. πραττομένοις] πρασσομένοις F 59. αὐτῆς] αὐτὴν FVW 75. ἔχουσιν ὅμορον] invertit F 76. ὀχυρῶν] ἀνωχύρων Reiskius conferens p. 376. 96. 80. ἀθροίζωνται Y Bas., caeteri ἀθροίζεσθαι 81. Στράτον πόλιν FVW, caeteri Στρατόπολιν



πόλιν συνῴκησαν, ὀχυρωτάτην οὖσαν καὶ μεγίστην, Οἰ-
νιάδαι δὲ καί τινες ἄλλοι συνῆλθον ἐπὶ Σαυρίαν, Δε-
ριεῖς δὲ μεθ' ἑτέρων εἰς Ἀγρίνιον. ὁ δὲ Κάσσανδρος
371 ἀπολιπὼν στρατηγὸν Λυκίσκον μετὰ τῶν ἱκανῶν στρα-
τιωτῶν, τούτῳ μὲν παρήγγειλε βοηθεῖν Ἀκαρνᾶσιν, αὐ-
τὸς δὲ μετὰ δυνάμεως παρελθὼν ἐπὶ Λευκάδα τὴν πόλιν
διὰ πρεσβείας προςηγάγετο. μετὰ δὲ ταῦτα τὴν ὁρμὴν
ἐπὶ τὸν Ἀδρίαν ποιησάμενος Ἀπολλωνίαν ἐξ ἐφόδου πα-
ρέλαβεν. εἰς δὲ τὴν Ἰλλυρίδα προελθών, καὶ διαβὰς τὸν
Ἕβρον ποταμόν, παρετάξατο πρὸς Γλαυκίαν τὸν Ἰλλυ-
ριῶν βασιλέα. περιγενόμενος δὲ τῇ μάχῃ, πρὸς μὲν
τοῦτον συνθήκας ἐποιήσατο, καθ' ἃς οὐκ ἐξῆν τῷ Γλαυ-
κίᾳ στρατεύειν ἐπὶ τοὺς Κασσάνδρου συμμάχους· τὴν
δὲ τῶν Ἐπιδαμνίων πόλιν προςαγαγόμενος καὶ φρουρὰν
ἐγκαταστήσας ἐπανῆλθεν εἰς Μακεδονίαν. ἀπαλλαγέντος 68
δὲ ἐκ τῆς Αἰτωλίας τοῦ Κασσάνδρου συστραφέντες τῶν
Αἰτωλῶν εἰς τριςχιλίους καὶ περιχαρακώσαντες Ἀγρίνιον
ἐπολιόρκουν, τῶν δὲ κατοικούντων τὸ χωρίον ὁμολογίας
ποιησαμένων, ὥςτε τὴν μὲν πόλιν παραδοῦναι, τῆς δ'
ἀσφαλείας τυχόντας αὐτοὺς ἀπαλλαγῆναι, οὗτοι μὲν πι-
στεύοντες ταῖς σπονδαῖς ἀπῄεσαν, οἱ δ' Αἰτωλοὶ παρα-
βάντες τὰς συνθήκας, καὶ καταδιώξαντες τοὺς οὐδὲν ἐλ-
πίζοντας πείσεσθαι δεινόν, πλὴν ὀλίγων πάντας ἀπέσφα-
ξαν. ὁ δὲ Κάσσανδρος παραγενόμενος εἰς Μακεδονίαν,
καὶ πυθόμενος πολεμεῖσθαι τὰς ἐν Καρίᾳ πόλεις ὅσαι
συνεμάχουν τοῖς περὶ Πτολεμαῖον καὶ Σέλευκον, ἐξέ-
πεμψε δύναμιν εἰς τὴν Καρίαν, ἅμα μὲν βουλόμενος
βοηθεῖν τοῖς συμμάχοις, ἅμα δὲ σπεύδων εἰς περισπα-
σμοὺς ἐμβαλεῖν Ἀντίγονον, ἵνα μὴ σχολὴν ἔχῃ διαβαί-
νειν εἰς τὴν Εὐρώπην. ἔγραψε δὲ καὶ πρὸς Δημήτριον
τὸν Φαληρέα καὶ Διονύσιον τὸν φρουροῦντα τὴν Μου-
νυχίαν, προςτάττων εἴκοσι ναῦς εἰς Λῆμνον ἐκπέμψαι.
ἀποστειλάντων δ' αὐτῶν εὐθὺς τὰ σκάφη καὶ ναύαρχον
ἐπ' αὐτῶν Ἀριστοτέλη, οὗτος μὲν καταπλεύσας εἰς Λῆ-
μνον, καὶ μεταπεμψάμενος Σέλευκον μετὰ στόλου, τοὺς

82. συνῴκησαν] ᾤκησαν F 83. Δεριεῖς] Δοριεῖς W, Θυριεῖς Iac. Gronovius
371. 87. Λευκάδα] legebatur Λευκάδος 100. συστραφέντες] συστραφέντων F 3. μὲν om. Bas. 4. μὲν W et qui ἐμπιστεύοντες F, caeteri addunt οὖν, quod asterisco notavit Stephanus 7. πείσεσθαι] πήσεσθαι F 8. πάντας] ἅπαντας F 11. Σέλευκον] Κάσσανδρον FW : conf. ad p. 377. 10. ἐξέπεμψε] ἔπεμψε W 16. φρουροῦντα] τηροῦντα Q Bas. τὴν om. Bas. 19. Ἀριστοτέλη] Ἀριστοτέλην T 21. στόλου] malim τοῦ στόλου τοὺς] οὗτος F

*Λημνίους ἔπειθεν ἀποστῆναι τῶν περὶ Ἀντίγονον· οὐ προσεχόντων δ' αὐτῶν τήν τε χώραν ἐδῄωσε καὶ τὴν πόλιν περιχαρακώσας ἐπολιόρκει. μετὰ δὲ ταῦτα Σέλευκος μὲν ἀπέπλευσεν εἰς Κῶν· Διοσκορίδης δὲ κατασταθεὶς ναύαρχος ὑπ' Ἀντιγόνου, πυθόμενος τὸν πλοῦν Σελεύκου, κατῆρεν εἰς Λῆμνον, καὶ τὸν μὲν Ἀριστοτέλη ἐξέβαλεν ἐκ τῆς νήσου, τῶν δὲ νεῶν τὰς πλείους αὐτάνδρους εἷλεν. Ἄσανδρος δὲ καὶ Πρεπέλαος ἀφηγοῦντο μὲν τῆς ὑπὸ Κασσάνδρου πεμφθείσης δυνάμεως εἰς τὴν Καρίαν, πυθόμενοι δὲ Πτολεμαῖον τὸν Ἀντιγόνου στρατηγὸν τὴν δύναμιν εἰς παραχειμασίαν διῃρηκέναι καὶ αὐτὸν ἀσχολεῖσθαι περὶ τὴν ταφὴν τοῦ πατρός, Εὐπόλεμον ἀπέστειλαν ἐνεδρεῦσαι τοῖς πολεμίοις περὶ Κάπριμα τῆς Καρίας· συνεξέπεμψαν δ' αὐτῷ πεζοὺς μὲν ὀκτακισχιλίους, ἱππεῖς δὲ δισχιλίους. καθ' ὃν δὴ χρόνον Πτολεμαῖος παρά τινων αὐτομόλων ἀκούσας τὴν προαίρεσιν τῶν πολεμίων, ἤθροισε μὲν τῶν πλησίον χειμαζόντων στρατιωτῶν πεζοὺς μὲν ὀκτακισχιλίους τρια- 372
κοσίους, ἱππεῖς δ' ἑξακοσίους. ἀνελπίστως δὲ περὶ μέσας νύκτας ἐπιβαλὼν τῷ χάρακι τῶν ἐναντίων, καὶ καταλαβὼν ἀφυλάκτους καὶ κοιμωμένους, αὐτόν τε τὸν Εὐπόλεμον ἐζώγρησε καὶ τοὺς στρατιώτας συνηνάγκασε παραδοῦναι σφᾶς αὐτούς. τὰ μὲν οὖν συμβάντα περὶ τοὺς ἀποσταλέντας ὑπὸ Κασσάνδρου στρατηγοὺς εἰς τὴν Ἀσίαν τοιαῦτ' ἦν.*

69 *Ἀντίγονος δὲ ὁρῶν τὸν Κάσσανδρον ἀντεχόμενον τῆς Ἀσίας, Δημήτριον μὲν τὸν υἱὸν ἀπέλιπεν ἐν τῇ Συρίᾳ, προστάξας ἐνεδρεύειν τοὺς περὶ Πτολεμαῖον, οὓς ὑπώπτευεν ἐκ τῆς Αἰγύπτου προάξειν μετὰ δυνάμεως ἐπὶ Συρίας· συναπέλιπε δ' αὐτῷ πεζοὺς μὲν ξένους μυρίους, Μακεδόνας δὲ δισχιλίους, Λυκίους δὲ καὶ Παμφυλίους πεντακοσίους, Πέρσας δὲ τοξότας καὶ σφενδονήτας τετρακοσίους, ἱππεῖς δὲ πεντακισχιλίους, ἐλέφαντας δὲ πλείους τῶν τετταράκοντα. παρακατέστησε δ' αὐτῷ καὶ συμβούλους τέτταρας, Νέαρχόν τε τὸν Κρῆτα καὶ Πύθωνα τὸν Ἀγήνορος, ὃς καταβεβήκει πρότερον*

25. *Διοσκορίδης*] *Διοσκουρίδης* F Bas. 28. *Ἄσανδρος* Wesselingius: libri *Κάσσανδρος* 36. *δισχιλίους*] σ Bas.
372. 40. *δ'* F 42. *ἀφυλάκτους καὶ*] *ἀφυλάκτως* W 43. *Εὐπόλεμον*] *Πρεπέλαον* TXY Bas. 44. *συνηνάγκασε*] *ἠνάγκασε* FVW 49. *τῇ Συρίᾳ*] *Συρίᾳ* Bas. 50. *τοὺς*] *τοῖς* W 51. *ὑπώπτευεν*] *ὑπώπτευεν πῶς* VW, *ὑπώπτευε πῶς* F 56. *πλείους*] *τρεῖς πλείους* XY Bas. *τετταράκοντα* F, μ Bas., caeteri *τεσσαράκοντα* 57. *τέτταρας* F, caeteri *τέσσαρας*



*ὀλίγαις ἡμέραις ἐκ Βαβυλῶνος, πρὸς δὲ τούτοις Ἀνδρόνικόν τε τὸν Ὀλύνθιον καὶ Φίλιππον, ἄνδρας πρεσβυτέρους καὶ συνεστρατευκότας τῷ Ἀλεξάνδρῳ πᾶσαν τὴν στρατείαν· ἦν γὰρ Δημήτριος ἔτι νέος τὴν ἡλικίαν, ὡς ἂν γεγονὼς ἔτη δύο πρὸς τοῖς εἴκοσιν. αὐτὸς δὲ τὴν ἄλλην δύναμιν ἔλαβε, καὶ τὸ μὲν πρῶτον ὑπερβάλλων τὸν Ταῦρον καὶ περιπεσὼν χιόνι πολλῇ συχνοὺς ἀπέβαλε τῶν στρατιωτῶν. διὸ καὶ πάλιν ἀναστρέψας εἰς τὴν Κιλικίαν, καὶ μεταλαβὼν ἕτερον καιρόν, διεξῆλθε μὲν ἀσφαλέστερον τὸ προειρημένον ὄρος, παραγενόμενος δ' εἰς Κελαινὰς τῆς Φρυγίας διεῖλε τὸ στρατόπεδον εἰς χειμασίαν. μετὰ δὲ ταῦτα τὸν στόλον ἐκ Φοινίκης μετεπέμψατο Μηδίου ναυαρχοῦντος· ὃς περιτυχὼν ταῖς Πυδναίων ναυσίν, οὔσαις τριάκοντα ἕξ, καὶ καταναυμαχήσας, αὐτάνδρων τῶν σκαφῶν ἐκυρίευσε. καὶ τὰ μὲν περὶ τὴν Ἑλλάδα καὶ τὴν Ἀσίαν ἐν τούτοις ἦν.*

70 *Κατὰ δὲ τὴν Σικελίαν οἱ τῶν Συρακοσίων φυγάδες διατρίβοντες ἐν Ἀκράγαντι παρεκάλουν τοὺς προεστηκότας τῆς πόλεως μὴ περιορᾶν Ἀγαθοκλέα συσκευαζόμενον τὰς πόλεις· αἱρετώτερον γὰρ εἶναι πρὸ τοῦ τὸν τύραννον ἰσχυρὸν γενέσθαι διαπολεμεῖν ἑκουσίως ἢ περιμείναντας αὐτοῦ τὴν αὔξησιν ἐξ ἀνάγκης πρὸς ἰσχυρότερον διαγωνίζεσθαι. δοξάντων δ' αὐτῶν ἀληθῆ λέγειν, ὁ μὲν δῆμος τῶν Ἀκραγαντίνων ἐψηφίσατο τὸν πόλεμον· καὶ Γελῴους μὲν καὶ Μεσσηνίους εἰς τὴν συμμαχίαν προσελάβοντο, εἰς δὲ τὴν Λακεδαιμονίαν τῶν φυγάδων τινὰς ἐξέπεμψαν, ἐντειλάμενοι πειρᾶσθαι στρατηγὸν ἄγειν τὸν δυνάμενον πραγμάτων ἀφηγήσασθαι. τοὺς γὰρ πολιτικοὺς ὑπώπτευον ὡς ὄντας οἰκείους τυραννίδος, τοὺς δ' ἔξωθεν ὑπελάμβανον δικαίως ποιήσεσθαι τὴν τῶν ὅλων ἐπιμέλειαν, ἀναμιμνησκόμενοι τῆς Τιμολέοντος τοῦ Κορινθίου στρατηγίας. οἱ δὲ πεμφθέντες ὥς ποθ' ἧκον εἰς τὴν Λακωνικήν, εὗρον Ἀκρό-*
373 *τατον τὸν Κλεομένους τοῦ βασιλέως υἱὸν προσκεκοφότα πολλοῖς τῶν νέων, καὶ διὰ τοῦτο ξενικῶν πραγμάτων ὀρεγόμενον. τῶν γὰρ Λακεδαιμονίων μετὰ τὴν πρὸς Ἀντίπατρον μάχην ἀπολυόντων τῆς ἀτιμίας τοὺς ἐκ τῆς*

60. *Ὀλύνθιον*] *ὀλύμπιον* F 62. *τῷ* om. F 63. *ἂν*] *ἂν ὢν* Bas. 66. *συχνοὺς*] *πολλοὺς* FVW 74. *τῶν σκαφῶν*] *αὐτῶν* FVW 77. *Συρακοσίων* Bas. 80. *συσκευαζόμενον*] *συνεσκευασμένον* FW 81. *τοῦ*] *τοῦτον* Bas. 90. *τυραννίδος*] *τυραννίδι* VW 91. *τὴν τῶν*] *τῶν* Bas. 93. *ὥς ποθ'*] *ὁπόθ'* F
373. 95. *προσκεκοφότα πολλοῖς*] *προειληφότα πολλοὺς* VW, *προσειληφότα πολλοὺς* F

ἥττης διασωθέντας, μόνος ἐνέστη τῷ δόγματι. διόπερ αὐτὸν συνέβη καὶ τῶν ἄλλων οὐκ ὀλίγοις προςκόψαι, μάλιστα δ' οἷς ἦν τῶν νόμων τὰ πρόςτιμα· οὗτοι γὰρ συστραφέντες πληγάς τε ἐνεφόρησαν αὐτῷ καὶ διετέλουν ἐπιβουλεύοντες. διὰ ταῦτα δὴ ξενικῆς ἡγεμονίας ἐπιθυμῶν, ἀσμένως ὑπήκουσε τοῖς Ἀκραγαντίνοις. τὴν δ' ἀποδημίαν ποιησάμενος ἄνευ τῆς τῶν ἐφόρων γνώμης ἀνήχθη ναυσὶν ὀλίγαις, ὡς διαίρων ἐπ' Ἀκράγαντος. ἀπενεχθεὶς δ' ὑπ' ἀνέμων εἰς τὸν Ἀδρίαν κατῆρε μὲν εἰς τὴν τῶν Ἀπολλωνιατῶν χώραν, καταλαβὼν δὲ τὴν πόλιν πολιορκουμένην ὑπὸ Γλαυκίου τοῦ βασιλέως τῶν Ἰλλυριῶν ἔλυσε τὴν πολιορκίαν, πείσας τὸν βασιλέα συνθήκας ποιήσασθαι πρὸς τοὺς Ἀπολλωνιάτας. ἐντεῦθεν δὲ πλεύσας εἰς Τάραντα, καὶ παρακαλέσας τὸν δῆμον συνελευθεροῦν Συρακοσίους, ἔπεισε ψηφίσασθαι ναυσὶν εἴκοσι βοηθεῖν. διὰ γὰρ τὴν συγγένειαν καὶ τὸ τῆς οἰκίας σχῆμα προςενόουν τοῖς λόγοις αὐτοῦ πίστιν τε
71 μεγάλην καὶ βάρος. τῶν δὲ Ταραντίνων περὶ τὴν παρασκευὴν ὄντων αὐτὸς συνεκπλεύσας εἰς τὸν Ἀκράγαντα παρέλαβε τὴν στρατηγίαν, καὶ τὸ μὲν πρῶτον μετεωρίσας τὰ πλήθη μεγάλαις ἐλπίσι παρεστήσατο πάντας προςδοκᾶν σύντομον κατάλυσιν τοῦ τυράννου. τοῦ δὲ χρόνου προϊόντος πρᾶξιν μὲν οὐδεμίαν οὔτε τῆς πατρίδος οὔτε τῆς περὶ τὸ γένος ἐπιφανείας ἀξίαν διεπράξατο, τοὐναντίον δὲ φονικὸς ὢν καὶ τῶν τυράννων ὠμότερος προςέκοπτε τοῖς πλήθεσι. πρὸς δὲ τούτοις τὴν πάτριον δίαιταν μετέβαλε, καὶ ταῖς ἡδοναῖς ἐνετρύφησεν οὕτως ἀσελγῶς ὥςτε Πέρσην εἶναι δοκεῖν καὶ οὐ Σπαρτιάτην. ἐπεὶ δὲ τῶν προςόδων τὸ πλεῖον μέρος ἀνήλωσε τὰ μὲν πολιτευόμενος τὰ δὲ διανοσφιζόμενος, τέλος Σωσίστρατον, ἐπιφανέστατον τῶν φυγάδων, πολλάκις δυνάμεων ἀφηγησάμενον, ἐπὶ τὸ δεῖπνον παραλαβὼν ἐδολοφόνησεν, ἐγκαλέσαι μὲν ἁπλῶς οὐδ' ὁτιοῦν ἔχων, ἐκποδὼν δὲ ποιήσασθαι δραστικὸν ἄνδρα καὶ δυνάμενον ἐφεδρεῦσαι τοῖς κακῶς προϊσταμένοις τῆς ἡγε-

100. αὐτὸν] αὐτῷ F 2. τε om. F ἐνεφόρησαν X, ἐνεφορήθησαν Y Bas., caeteri συνεφόρησαν 15. οἰκίας om. Bas. 16. προςενόουν TXY Bas., caeteri προςέπεσθαι: fort. προςένεμον 18. περὶ] κατὰ F 21. προςδοκᾶν] προςδοκῶν F 22. τοῦ τυράννου] τῶν τυράννων Q 25. τῶν τυράννων] τυράννων Bas. 27. πάτριον] πατρίαν Bas. μετέβαλε] μετεβάλετο Z 28. ἐνετρύφησεν] ἐνετρύφα FVW ἀσελγῶς] ἀσελγῶν FW 30. ἀνήλωσε] ἀνάλωσε V πολιτευόμενος] πολυτελευόμενος Z, unde πολυτελούμενος Valesius, mero librarii errore deceptus: v. ad vol. I. p. 362. 10. 31. τέλος W, caeteri τέλος δὲ 35. ποιήσασθαι] adde βουλόμενος



μονίας. διαβοηθείσης δὲ τῆς πράξεως εὐθὺς οἵ τε φυγάδες συνέτρεχον ἐπ' αὐτὸν καὶ πάντες οἱ λοιποὶ διετέθησαν ἀλλοτρίως. καὶ τὸ μὲν πρῶτον ἀπέστησαν αὐτὸν τῆς στρατηγίας, μετ' ὀλίγον δὲ καὶ βάλλειν τοῖς λίθοις ἐπεχείρησαν. διόπερ φοβηθεὶς τὴν τοῦ πλήθους ὁρμὴν νυκτὸς ἔφυγε, καὶ λαθὼν διῆρεν εἰς τὴν Λακωνικήν. τούτου δ' ἀπαλλαγέντος Ταραντῖνοι μὲν ἀπεσταλκότες εἰς Σικελίαν τὸν στόλον μετεπέμψαντο· Ἀκραγαντῖνοι δὲ καὶ Γελῷοι καὶ Μεσσήνιοι κατέλυσαν τὸν πρὸς Ἀγαθοκλέα πόλεμον, μεσιτεύσαντος τὰς συνθήκας Ἀμίλκου τοῦ Καρχηδονίου. ἦσαν δὲ τὰ κεφάλαια τῶν συντεθέντων
374 τοιάδε. τῶν Ἑλληνίδων πόλεων τῶν κατὰ Σικελίαν Ἡράκλειαν μὲν καὶ Σελινοῦντα καὶ πρὸς ταύταις Ἱμέραν ὑπὸ Καρχηδονίοις τετάχθαι, καθάπερ καὶ προϋπῆρχον· τὰς δ' ἄλλας πάσας αὐτονόμους εἶναι, τὴν ἡγεμονίαν ἐχόντων Συρακοσίων.

72 Μετὰ δὲ ταῦτα Ἀγαθοκλῆς ὁρῶν ἔρημον οὖσαν τὴν Σικελίαν στρατοπέδων πολεμίων, ἀδεῶς προςήγετο τὰς πόλεις καὶ τὰ χωρία. ταχὺ δὲ πολλῶν ἐγκρατὴς γενόμενος ἰσχυρὰν κατεσκευάσατο τὴν δυναστείαν· καὶ γὰρ συμμάχων πλῆθος καὶ προςόδους ἀδρὰς καὶ στρατόπεδον ἀξιόλογον περιεποιήσατο. χωρὶς γὰρ τῶν συμμάχων καὶ τῶν ἄλλων τῶν ἐκ Συρακουσῶν καταγραφέντων εἰς τὴν στρατείαν μισθοφόρους ἐπιλέκτους εἶχε πεζοὺς μὲν μυρίους, ἱππεῖς δὲ τριςχιλίους πεντήκοντα. ἐποιήσατο δὲ καὶ παρασκευὴν ὅπλων καὶ βελῶν παντοδαπῶν, εἰδὼς τοὺς Καρχηδονίους ἐπιτετιμηκότας τῷ Ἀμίλκᾳ περὶ τῶν συνθηκῶν, συντόμως δὲ πρὸς αὐτὸν τὸν πόλεμον ἐξοίσοντας. καὶ τὰ μὲν περὶ Σικελίαν ἐν τούτοις τοῖς χρόνοις τοιαύτην ἔσχε τὴν κατάστασιν. κατὰ δὲ τὴν Ἰταλίαν Σαμνῖται διαπολεμοῦντες Ῥωμαίοις ἔτη πλείονα περὶ τῆς ἡγεμονίας Πλειστικὴν μὲν φρουρὰν ἔχουσαν Ῥωμαϊκὴν ἐξεπολιόρκησαν, Σωρανοὺς δ' ἔπεισαν κατασφάξαι μὲν τοὺς παρ' αὐτοῖς Ῥωμαίους, συμμαχίαν δὲ πρὸς Σαμνίτας συνθέσθαι. μετὰ δὲ ταῦτα Ῥωμαίων Σατικόλαν πολιορκούντων ἐπεφάνησαν μετὰ δυνάμεως ἀδρᾶς, σπεύδοντες λῦσαι τὴν πολιορκίαν. γενομένης οὖν μάχης

38. συνέτρεχον] συντρέχοντες FQVW 42. ἔφυγε] διέφυγε FV 48. συντεθέντων] συνθηκῶν FQVW τοιάδε — 374. 65. συνθηκῶν om. F 374. 51. καθάπερ] καθὰ Bas. 53. Συρακοσίων Bas. 60. ἄλλων τῶν om. TX Bas., asterisco notavit Stephanus 66. συντόμως — ἐξοίσοντας om. W, asterisco notavit Stephanus 69. Σαμνῖται] σαυνῖται F, et sic semper ἔτη πλείονα ante διαπολεμοῦντες ponit F 70. Πλειστικὴν] Πληστικὴν Bas.

ἰσχυρᾶς πολλοὶ μὲν παρ' ἀμφοτέρων ἀνῃρέθησαν, τέλος δὲ ἐπὶ τοῦ προτερήματος ἐγένοντο Ῥωμαῖοι. μετὰ δὲ τὴν μάχην ἐκπολιορκήσαντες τὴν πόλιν ἐπῄεσαν ἀδεῶς τὰ πλησίον πολίσματα καὶ χωρία προσαγόμενοι. τοῦ δὲ πολέμου περὶ τὰς ἐν Ἀπουλίᾳ πόλεις συνεστῶτος, οἱ μὲν Σαμνῖται πάντας τοὺς ἐν ἡλικίαις στρατείας ὄντας καταγράψαντες ἐστρατοπέδευσαν πλησίον τῶν πολεμίων, ὡς περὶ τῶν ὅλων κριθησόμενοι. ἃ δὴ πυθόμενος ὁ δῆμος τῶν Ῥωμαίων, καὶ διαγωνιάσας περὶ τοῦ μέλλοντος, δύναμιν προέπεμψε πολλήν. εἰωθότες δ' ἐν τοῖς ἐπικινδύνοις καιροῖς αὐτοκράτορα τοῦ πολέμου καθιστάναι τινὰ τῶν ἀξιολόγων ἀνδρῶν, προεχειρίσαντο τότε Κόϊντον Φάβιον καὶ μετ' αὐτοῦ Κόϊντον Αὔλιον ἵππαρχον. οὗτοι δὲ τὰς δυνάμεις παραλαβόντες παρετάξαντο πρὸς τοὺς Σαμνίτας περὶ τὰς καλουμένας Λαυτόλας, καὶ πολλοὺς τῶν στρατιωτῶν ἀπέβαλον. τροπῆς δὲ γενομένης καθ' ἅπαν τὸ στρατόπεδον, ὁ μὲν Αὔλιος καταισχυνθεὶς ἐπὶ τῇ φυγῇ μόνος ὑπέστη τῷ πλήθει τῶν πολεμίων, οὐ κρατήσειν ἐλπίζων, ἀλλ' ἀήττητον τὴν πατρίδα τὸ καθ' αὑτὸν μέρος ἀποδεικνύων. οὗτος μὲν 375 οὖν οὐ μετασχὼν τοῖς πολίταις τῆς κατὰ τὴν φυγὴν αἰσχύνης ἰδίᾳ περιεποιήσατο θάνατον ἔνδοξον. οἱ δὲ Ῥωμαῖοι φοβηθέντες μὴ τὰ κατὰ τὴν Ἀπουλίαν πράγματα τελέως ἀποβάλωσιν, ἀποικίαν ἐξέπεμψαν εἰς Λουκερίαν πόλιν ἐπιφανεστάτην τῶν ἐν τοῖς τόποις· ἐκ ταύτης δὲ ὁρμώμενοι διεπολέμουν τοῖς Σαμνίταις, οὐ κακῶς τῆς ἀσφαλείας προνοησάμενοι. διὰ γὰρ ταύτην τὴν πόλιν οὐ μόνον ἐν τούτῳ τῷ πολέμῳ ἐπροτέρησαν, ἀλλὰ καὶ κατὰ τοὺς μετὰ ταῦτα γενομένους ἕως τῶν καθ' ἡμᾶς χρόνων διετέλεσαν ὁρμητηρίῳ χρώμενοι κατὰ τῶν πλησίον ἐθνῶν.

73 Τῶν δὲ κατὰ τοῦτον τὸν ἐνιαυτὸν πράξεων τέλος ἐχουσῶν Ἀθήνησι μὲν παρέλαβε τὴν ἀρχὴν Θεόφραστος,

77. ἀμφοτέρων] scribendum videtur ἀμφοτέροις: v. ad p. 378. 61. 86. διαγωνιάσας] διαγωνίσας Bas., διαγωνισάμενος FV προέπεμψε] προύπεμψε W, προύπεμπε F 87. ἐπικινδύνοις] κινδύνοις Bas. 88. καθιστάναι] καθιστᾶν T Bas. τινὰ om. Bas. 89. προεχειρίσαντο τότε] τότε μὲν προεχειρίσαντο FW 90. 95. Αὔλιον] Ὤλιον XY Bas., caeteri Αἴλιον: verum restituit Rhodomannus 91. παραλαβόντες] ἀναλαβόντες Bas. 93. Λαυστόλας libri: correxit Cluverius 96. τῷ Rhodomannus: libri τῷ τε

375. 2. Λουκερίαν Stephanus, Λουκρίαν FW, Λοκρίαν VXY Bas., caeteri Λουκείαν 7. ἐπροτέρησαν Wesselingius: ἐπροετέρησαν Bas., caeteri προετέρησαν καὶ κατὰ Stephanus: libri καὶ



ἐν Ῥώμῃ δ' ὕπατοι κατεστάθησαν Μάρκος Ποιτήλιος καὶ Γάϊος Σουλπίκιος. ἐπὶ δὲ τούτων Καλλατιανοὶ κατοικοῦντες ἐν τοῖς ἀριστεροῖς μέρεσι τοῦ Πόντου, καὶ φρουρὰν ἔχοντες παρὰ τοῦ Λυσιμάχου, ταύτην ἐξέβαλον καὶ τῆς αὐτονομίας ἀντείχοντο. ὡσαύτως δὲ τήν τε τῶν Ἰστριανῶν πόλιν καὶ τὰς ἄλλας τὰς πλησιοχώρους ἐλευθερώσαντες συνέθεντο συμμαχίαν ὡς κοινῇ πολεμεῖν τῷ δυνάστῃ· προσελάβοντο δ' εἰς τὴν φιλίαν τῶν τε Θρᾳκῶν καὶ Σκυθῶν τοὺς ὁμοροῦντας, ὥστε τὸ πᾶν εἶναι σύστημα βάρος ἔχον καὶ δυνάμενον ἁδραῖς δυνάμεσιν ἀντιτάττεσθαι. ὁ δὲ Λυσίμαχος πυθόμενος τὰ πεπραγμένα, μετὰ τῆς δυνάμεως ὥρμησεν ἐπὶ τοὺς ἀφεστηκότας. ποιούμενος δὲ τὴν πορείαν διὰ τῆς Θρᾴκης καὶ τὸν Αἷμον ὑπερβαλών, κατεστρατοπέδευσε πλησίον τῆς Ὀδησσοῦ. πολιορκίαν δὲ συστησάμενος ταχὺ τοὺς ἔνδον κατεπλήξατο, καὶ δι' ὁμολογίας παρέλαβε τὴν πόλιν. μετὰ δὲ ταῦτα τῷ παραπλησίῳ τρόπῳ τοὺς Ἰστριανοὺς ἀνακτησάμενος ἀνέζευξεν ἐπὶ Καλλατιανούς. καθ' ὃν δὴ χρόνον ἧκον οἵ τε Σκύθαι καὶ Θρᾷκες σὺν πολλῇ δυνάμει βοηθήσοντες τοῖς συμμάχοις κατὰ τὰς συνθήκας. οἷς ἀπαντήσας Λυσίμαχος καὶ συμβαλὼν ἐξ ἐφόδου, τοὺς μὲν Θρᾷκας καταπληξάμενος ἔπεισε μεταθέσθαι, τοὺς δὲ Σκύθας ἐκ παρατάξεως νικήσας καὶ πολλοὺς ἀνελών, τούτων μὲν τοὺς ὑπολειφθέντας ἐδίωξεν ἐκτὸς τῶν ὅρων, τὴν δὲ τῶν Καλλατιανῶν πόλιν περιστρατοπεδεύσας συνεστήσατο πολιορκίαν, φιλοτιμούμενος ἐκ παντὸς τρόπου κολάσαι τοὺς αἰτίους τῆς ἀποστάσεως. περὶ ταῦτα δ' ὄντος αὐτοῦ παρῆσάν τινες ἀπαγγέλλοντες ὅτι δύο δυνάμεις ἀπέσταλκεν Ἀντίγονος ἐπὶ βοήθειαν τοῖς Καλλατιανοῖς, τὴν μὲν πεζῇ, τὴν δὲ κατὰ θάλατταν, καὶ ὅτι τῷ μὲν στόλῳ Λύκων ὁ στρατηγὸς παραπέπλευκεν εἰς
376 τὸν Πόντον, Παυσανίας δ' ἔχων οὐκ ὀλίγους στρατιώ-

13. Ποιτήλιος Livius: libri Πόπλιος 14. Καλλατιανοὶ Wesselingius: libri Καλλαντιανοί: Κολλατίνων est p. 315. 81. 15. ἀριστεροῖς] ἐν ἀριστερᾷ QT Bas. 15. τοῦ om. Bas. 17. πόλιν om. FV 18. ἄλλας τὰς] ἄλλας Bas. 20. δ' F 22. ἀντιτάττεσθαι] libri ἀντιτάσσεσθαι 27. Ὀδησσοῦ] ὀδισσοῦ FV 29. πόλιν] ὀδισσόν F 30. τοὺς om. Bas. 31. Καλλατιανοὺς Wesselingius, Καλαντίαν FW, caeteri Καλλαντιανούς 34. ἐξ] ὡς ἐξ QW 37. ἀνελών] ἀνεῖλε καὶ VW, et omisso καὶ ante πολλοὺς F 38. Καλλατιανῶν Wesselingius, Καλλαντίνων VW, καλαντίνων F, caeteri Καλλαντιανῶν 41. ταῦτα δ'] ταῦτ' Bas. 43. ἐπὶ βοήθειαν] βοηθήσων FVW 44. Καλλατιανοῖς] καλαντινοῖς F, caeteri Καλλαντιανοῖς θάλατταν] θάλασσαν omnes 45. ὅτι] διότι T Bas. 46. τὸν om. Bas.

τας περὶ τὸ καλούμενον Ἱερὸν κατεστρατοπέδευσεν. ἐφ' οἷς ὁ Λυσίμαχος διαταραχθείς, ἐπὶ μὲν τῆς πολιορκίας ἀπέλιπε τοὺς ἱκανοὺς στρατιώτας, τὸ δὲ κράτιστον τῆς δυνάμεως ἀναλαβὼν αὐτὸς ἠπείγετο, σπεύδων συνάψαι τοῖς πολεμίοις. παραγενόμενος δὲ ἐπὶ τὴν κατὰ τὸν Αἷμον ὑπερβολὴν εὗρε Σεύθην τὸν βασιλέα τῶν Θρᾳκῶν ἀφεστηκότα πρὸς Ἀντίγονον καὶ μετὰ πολλῶν στρατιωτῶν φυλάττοντα τὰς παρόδους. συνάψας δ' αὐτῷ μάχην ἐφ' ἱκανὸν χρόνον τῶν τε ἰδίων ἀπέβαλεν οὐκ ὀλίγους, καὶ τῶν πολεμίων ἀνελὼν παμπληθεῖς ἐβιάσατο τοὺς βαρβάρους. ἐπιφανεὶς δὲ καὶ τοῖς περὶ τὸν Παυσανίαν, καὶ καταλαβὼν αὐτοὺς εἰς δυσχωρίας συμπεφευγότας, ταύτας τ' ἐξεπολιόρκησε καὶ Παυσανίαν ἀνελὼν τῶν στρατιωτῶν οὓς μὲν ἐλύτρωσεν, οὓς δὲ εἰς τὰς ἰδίας τάξεις διένειμε. τὰ μὲν οὖν περὶ Λυσίμαχον ἐν τούτοις ἦν.

74 Ὁ δ' Ἀντίγονος ἀποτυχὼν ταύτης τῆς ἐπιβολῆς ἐξέπεμψε Τελεσφόρον εἰς Πελοπόννησον, δοὺς αὐτῷ πεντήκοντα ναῦς καὶ στρατιώτας τοὺς ἱκανούς, καὶ τὰς πόλεις ἐλευθεροῦν ἐνετείλατο. τοῦτο γὰρ πράξας ἤλπιζε πίστιν κατασκευάζειν παρὰ τοῖς Ἕλλησιν ὅτι πρὸς ἀλήθειαν φροντίζει τῆς αὐτονομίας αὐτῶν, καὶ ἅμα γινώσκειν ὑπέλαβε τὰ Κασσάνδρου πράγματα. ὁ δὲ Τελεσφόρος ἐπειδὴ τάχιστα κατέπλευσεν εἰς τὴν Πελοπόννησον, ἐπῆλθε τὰς ὑπ' Ἀλεξάνδρου φρουρουμένας πόλεις, καὶ πάσας ἠλευθέρωσε πλὴν Σικυῶνος καὶ Κορίνθου· ἐν ταύταις γὰρ Πολυσπέρχων διέτριβε δυνάμεις ἁδρὰς ἔχων καὶ πιστεύων ταύταις τε καὶ ταῖς τῶν τόπων ὀχυρότησιν. ἅμα δὲ τούτοις πραττομένοις Φίλιππος ὑπὸ Κασσάνδρου πεμφθεὶς στρατηγὸς εἰς τὸν πρὸς Αἰτωλοὺς πόλεμον ὡς τάχισθ' ἧκεν εἰς τὴν Ἀκαρνανίαν μετὰ τῆς δυνάμεως, τὸ μὲν πρῶτον ἐπεχείρει λεηλατεῖν τὴν Αἰτωλίαν, μετ' ὀλίγον δὲ πυθόμενος Αἰακίδην τὸν Ἠπειρώτην εἰς τὴν βασιλείαν διεληλυθότα καὶ δύναμιν ἁδρὰν συνηθροικότα, ταχέως ὥρμησεν ἐπ' αὐτόν· ἔσπευδε γὰρ κατ' ἰδίαν διαγωνίσασθαι πρὶν ἢ συμμῖξαι τὴν τῶν Αἰτωλῶν δύναμιν· εὑρὼν δὲ τοὺς Ἠπειρώτας ἑτοίμους εἰς μάχην, ἐξ ἐφόδου συνῆψεν εἰς χεῖρας, καὶ πολλοὺς μὲν ἀνεῖλεν, οὐκ ὀλίγους δ' ἐζώγρησεν, ἐν οἷς συνέβαινεν εἶναι καὶ τῶν αἰτίων τῆς τοῦ βασιλέως καθόδου περὶ πεντήκοντα τὸν ἀριθμόν, οὓς δήσας ἀπέστειλε πρὸς Κάσσανδρον. τῶν δὲ περὶ τὸν Αἰακίδην ἀθροισθέντων ἐκ τῆς φυγῆς καὶ τοῖς Αἰτωλοῖς συμμιξάντων, πάλιν ἐπελθὼν ὁ Φίλιππος μάχῃ ἐκράτησε καὶ πολλοὺς ἀνεῖλεν, ἐν οἷς ἦν καὶ Αἰακίδης ὁ βασιλεύς. ἐν ὀλίγαις δ' ἡμέραις τηλικαῦτα ποιήσας προτερήματα κατεπλήξατο πολλοὺς τῶν Αἰτωλῶν ἐπὶ τοσοῦτον ὥστε τὰς ἀνωχύρους πόλεις ἐκλιπεῖν, εἰς δὲ τὰ δυσβατώτατα τῶν ὀρῶν συμφυγεῖν μετὰ τέκνων καὶ
377 γυναικῶν. καὶ τὰ μὲν περὶ τὴν Ἑλλάδα πραχθέντα τοιοῦτον ἔσχε τὸ τέλος.

75 Κατὰ δὲ τὴν Ἀσίαν Ἄσανδρος ὁ τῆς Καρίας κυριεύων πιεζόμενος τῷ πολέμῳ, διελύσατο πρὸς Ἀντίγονον ἐφ' ᾧ τοὺς μὲν στρατιώτας παραδώσειν πάντας Ἀντιγόνῳ, τὰς δ' Ἑλληνίδας πόλεις αὐτονόμους ἀφήσειν, τὴν δὲ σατραπείαν ἣν πρότερον εἶχε δωρεὰν καθέξειν βέβαιος ὢν φίλος Ἀντιγόνῳ. δοὺς δὲ περὶ τούτων ὅμηρον Ἀγάθωνα τὸν ἀδελφόν, καὶ μετ' ὀλίγας ἡμέρας μεταμεληθεὶς ἐπὶ ταῖς συνθήκαις, τὸν μὲν ἀδελφὸν ἐξέκλεψεν ἐκ τῆς ὁμηρείας, πρὸς δὲ Πτολεμαῖον καὶ Σέλευκον διαπρεσβευσάμενος ἠξίου βοηθεῖν τὴν ταχίστην. ἐφ' οἷς Ἀντίγονος δεινοπαθήσας δύναμιν ἀπέστειλεν ἐπὶ τὴν ἐλευθέρωσιν τῶν πόλεων καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, τοῦ μὲν στόλου ναύαρχον ἀποδείξας Μήδιον, τοῦ δὲ στρατοπέδου καταστήσας στρατηγὸν Δόκιμον. οὗτοι δὲ παραγενόμενοι πρὸς τὴν πόλιν τῶν Μιλησίων τούς τε πολίτας ἐκάλουν ἐπὶ τὴν ἐλευθερίαν καὶ τὴν φρουρουμένην ἄκραν ἐκπολιορκήσαντες εἰς αὐτονομίαν ἀποκατέστησαν τὸ πολίτευμα. περὶ ταῦτα δ' ὄντων τούτων Ἀντίγονος Τράλλεις ἐξεπολιόρκησεν· εἰς δὲ Καῦνον παρελθών, καὶ τὸν στόλον μεταπεμψάμενος, εἷλε καὶ ταύ-

376 49. ἀπέλιπε] κατέλιπε FVW 52. παραγενόμενος] παραγινόμενος W 55. φυλάττοντα] φυλασσόντων F, caeteri φυλάσσοντα 57. ἀνελὼν — ἐβιάσατο] ἀνεῖλε — βιασάμενος QVW, et qui βιασάμενος post βαρβάρους ponit F 59. καὶ om. F 68. πίστιν] πιστὸν ἑαυτὸν QVW κατασκευάζειν] κατασκευάσειν F, ζ super σ posito 72. τὴν om. Bas. 73. πάσας ἠλευθέρωσε] ἠλευθέρωσε τὰς ἄλλας FW 74. πλὴν] ἄνευ FW 75. δυνάμεις ἁδρὰς] δύναμιν ἁδρὰν FW 82. διεληλυθότα] κατεληλυθότα Reiskius 86. ἑτοίμους omisit F

96. ἀνωχύρους Bas., caeteri ἀνοχύρους 97. δυσβατώτατα] δύσβατα Q

377. 1. Ἄσανδρος Wesselingius: libri Κάσσανδρος Καρίας Palmerius: libri Ἀσίας 3. παραδώσειν] παραδώσει Bas. 5. ἀφήσειν] ἀφήσει Y Bas. τὴν δὲ σατραπείαν ἣν — δωρεὰν] τὰς δὲ σατραπείας δωρεὰς ἃς π. ε. QTXY Bas.,
ἣν αν ἣν
τὰς δὲ σατραπείας ἃς F 6. καθέξειν] καθέξει XY Bas. 7. δοὺς] δέδωκε F 9. ὁμηρείας] ὁμηρίας F Bas. 10. Σέλευκον] Κάσσανδρον FTVW: conf. ad p. 371. 11. 12. δεινοπαθήσας] ἀναβοήσας TX Bas. 13. θάλατταν] libri θάλασσαν 20. Τράλλεις] Τράλλεις τε F 21. Καῦνον] Πεύκανον FQVW

την τὴν πόλιν πλὴν τῆς ἄκρας· ταύτην δὲ περιχαρακώσας καθ' ὃ μέρος ἦν προςμάχεσθαι συνεχεῖς προςβολὰς ἐποιεῖτο. ἐπὶ δὲ τὴν Ἴασον πόλιν ἐκπεμφθεὶς Πτολεμαῖος μετὰ δυνάμεως ἱκανῆς ἠνάγκασε προςθέσθαι τοῖς περὶ Ἀντίγονον. αὗται μὲν οὖν τῆς Καρίας οὖσαι τοῦτον τὸν τρόπον ὑπετάγησαν Ἀντιγόνῳ. μετ' ὀλίγας δ' ἡμέρας ἐλθόντων πρὸς αὐτὸν πρεσβευτῶν παρ' Αἰτωλῶν καὶ Βοιωτῶν, πρὸς μὲν τούτους συμμαχίαν συνέθετο· τῷ δὲ Κασσάνδρῳ συνελθὼν εἰς λόγους ὑπὲρ εἰρήνης περὶ τὸν Ἑλλήςποντον ἀπῆλθεν ἄπρακτος, οὐ δυναμένων αὐτῶν οὐδαμῶς συμφωνῆσαι. διόπερ ὁ Κάσσανδρος ἀπογνοὺς τὰς διαλύσεις διέγνω τῶν κατὰ τὴν Ἑλλάδα πραγμάτων πάλιν ἀντέχεσθαι. ἀναζεύξας οὖν μετὰ τριάκοντα νεῶν εἰς Ὠρεὸν ἐπολιόρκει τὴν πόλιν. ἐνεργῶς δ' αὐτοῦ ταῖς προςβολαῖς χρωμένου, καὶ τοῦ πολίσματος ἤδη κατὰ κράτος ἁλισκομένου, παρεγένετο βοηθήσων τοῖς Ὠρείταις Τελεσφόρος μὲν ἐκ Πελοποννήσου μετὰ νεῶν εἴκοσι καὶ στρατιωτῶν χιλίων, Μήδιος δ' ἐκ τῆς Ἀσίας ἔχων ναῦς ἑκατόν. οὗτοι δ' ὁρῶντες ἐφορμούσας τῷ λιμένι τὰς τοῦ Κασσάνδρου ναῦς, πῦρ ἐνῆκαν, καὶ τέτταρας μὲν κατέκαυσαν, παρ' ὀλίγον δὲ καὶ πάσας διέφθειραν· τοῖς δ' ἐλαττουμένοις παραγενομένης βοηθείας ἐξ Ἀθηνῶν ἐπέπλευσαν οἱ περὶ Κάσσανδρον καταφρονοῦσι τοῖς πολεμίοις. συμβαλόντες δ' αὐτοῖς μίαν μὲν κατέδυσαν, τρεῖς δ' αὐτάνδρους ἔλαβον. καὶ τὰ μὲν πραχθέντα περὶ τὴν Ἑλλάδα καὶ τὸν Πόντον τοιαῦτ' ἦν.

76 Κατὰ δὲ τὴν Ἰταλίαν Σαμνῖται μὲν μετὰ πολλῆς 378 δυνάμεως ἐπῄεσαν πορθοῦντες τῶν κατ' Ἰταλίαν πόλεων ὅσαι τοῖς ἐναντίοις συνηγωνίζοντο· οἱ δ' ὕπατοι τῶν Ῥωμαίων μετὰ στρατοπέδου παραγενόμενοι παραβοηθεῖν ἐπειρῶντο τοῖς κινδυνεύουσι τῶν συμμάχων. ἀντεστρατοπεδεύσαντο δὲ τοῖς πολεμίοις περὶ Κίνναν πόλιν, καὶ

25. Ἴασον] Ἰασόνων VW, τῶν Ἰασόνων F 26. ἠνάγκασε Wesselingius: libri ἠναγκάσθη 28. ὑπετάγησαν post οὖσαι ponit F 31. συνέθετο] συνέθεντο Bas. συνελθὼν] συνειςελθὼν FW 35. πραγμάτων πάλιν] invertit F 37. Ὠρεὸν] Ὠραιὸν Bas. 40. Ὠρείταις F, caeteri Ὠρίταις 43. ἐφορμούσας] ἐφορμώσας Bas. 44. τέτταρας] libri τέσσαρας 47. ἐπέπλευσαν] ἔπλευσαν FQVW καταφρονοῦσι τοῖς πολεμίοις] καταφρονοῦντες τῶν πολεμίων FQVW 48. συμβαλόντες δ' αὐτοῖς] καὶ QVW Bas. 50. περὶ] κατὰ FW τὸν Πόντον FW, caeteri Πόντον τοιαῦτ' F, caeteri τοιαῦτα

378. 53. κατ'] κατὰ τὴν F 57. ἀντεστρατοπεδεύσαντο] ἀντιστρατοπεδεύσαντες FW Κίνναν] Κίναν F 58. καὶ om. W



ταύτην μὲν εὐθὺς ἐῤῥύσαντο τῶν ἐπικειμένων φόβων· μετ' ὀλίγας δ' ἡμέρας ἐκταξάντων ἀμφοτέρων τὰς δυνάμεις ἐγένετο μάχη καρτερά, καὶ συχνοὶ παρ' ἀμφοτέροις ἔπεσον. τὸ δὲ τέλος οἱ Ῥωμαῖοι βιασάμενοι κατὰ κράτος περιεγένοντο τῶν πολεμίων· ἐπὶ πολὺν δὲ τόπον χρησάμενοι τῷ διωγμῷ πλείους τῶν μυρίων ἀνεῖλον. καὶ τῆς μάχης ἀγνοουμένης ἔτι Καμπανοὶ μὲν καταφρονήσαντες τῶν Ῥωμαίων ἀπέστησαν· ὁ δὲ δῆμος εὐθὺς δύναμίν τε τὴν ἱκανὴν ἐξέπεμψεν ἐπ' αὐτοὺς καὶ στρατηγὸν αὐτοκράτορα Γάϊον Μαίνιον καὶ μετ' αὐτοῦ κατὰ τὸ πάτριον ἔθος Μάνιον Φούλβιον ἵππαρχον. τούτων δὲ πλησίον τῆς Καπύης καταστρατοπεδευσάντων, οἱ Καμπανοὶ τὸ μὲν πρῶτον ἐπεχείρουν ἀγωνίζεσθαι· μετὰ δὲ ταῦτα πυθόμενοι τὴν τῶν Σαμνιτῶν ἧτταν, καὶ νομίσαντες πάσας τὰς δυνάμεις ἥξειν ἐπ' αὐτούς, διελύσαντο πρὸς Ῥωμαίους. τοὺς γὰρ αἰτίους τῆς ταραχῆς ἐξέδωκαν, οἳ προτεθείσης κρίσεως οὐ περιμείναντες τὴν ἀπόφασιν αὐτοὺς ἀνεῖλον. αἱ δὲ πόλεις τυχοῦσαι συγγνώμης εἰς τὴν προϋπάρχουσαν συμμαχίαν ἀποκατέστησαν.

77 Τοῦ δ' ἔτους τούτου διελθόντος Ἀθήνησι μὲν ἦρχε Πολέμων, ἐν Ῥώμῃ δ' ὑπῆρχον ὕπατοι Λεύκιος Παπίριος τὸ πέμπτον καὶ Γάϊος Ἰούνιος, ἤχθη δὲ καὶ Ὀλυμπιὰς κατὰ τοῦτον τὸν ἐνιαυτὸν ἑβδόμη πρὸς ταῖς ἑκατὸν καὶ δέκα. καθ' ἣν ἐνίκα στάδιον Παρμενίων Μυτιληναῖος. ἐπὶ δὲ τούτων τῶν χρόνων Ἀντίγονος ἀπέστειλεν εἰς τὴν Ἑλλάδα στρατηγὸν Πτολεμαῖον τοὺς Ἕλληνας ἐλευθερώσοντα· συνέπεμψε δ' αὐτῷ ναῦς μὲν μακρὰς ἑκατὸν καὶ πεντήκοντα, Μήδιον ἐπιστήσας ναύαρχον, στρατιώτας δὲ πεζοὺς μὲν πεντακιςχιλίους, ἱππεῖς δὲ πεντακοσίους. ἐποιήσατο δὲ καὶ πρὸς Ῥοδίους συμμαχίαν, καὶ προςελάβετο παρ' αὐτῶν ναῦς ἐξηρτυμένας πρὸς τὸν πόλεμον δέκα πρὸς τὴν τῶν Ἑλλήνων ἐλευθέρωσιν. ὁ δὲ Πτολεμαῖος μετὰ παντὸς τοῦ στόλου καταπλεύσας τῆς Βοιωτίας εἰς τὸν βαθὺν καλούμενον λιμένα παρὰ μὲν τοῦ κοινοῦ τῶν Βοιωτῶν προςελάβετο στρα-

61. ἀμφοτέροις FVW, caeteri ἀμφοτέρων 63. τόπον] χρόνον QXY Bas. 68. Μαίνιον] libri Μάνιον 70. ἵππαρχον om. FTVW, asterisco notavit Stephanus δὲ] δὲ τὰ T Bas. 73. νομίσαντες] νομίζοντες FW 74. ἐπ'] πρὸς FV 77. ἀνεῖλον] ἀνεῖλαν T Bas. 81. ὑπῆρχον] ἦρχον, alterum γρ. in marg. ponens, F 82. Παπίριος] Παπείριος F Bas. τὸ πέμπτον FW, caeteri πέμπτον ἤχθη] ἦν FV 85. τούτων τῶν χρόνων] τοῦτον τὸν χρόνον W 87. Πτολεμαῖον Palmerius: libri Πολέμωνα 92. ἐξηρτυμένας] ἐξηρτημένας F, caeteri ἐξηρτισμένας

τιώτας πεζοὺς μὲν διςχιλίους διακοσίους, ἱππεῖς δὲ χιλίους τριακοσίους. μετεπέμψατο δὲ καὶ τὰς ἐξ Ὠρεοῦ 379 ναῦς, καὶ τειχίσας τὸν Σαλγανέα συνήγαγεν ἐνταῦθα πᾶσαν τὴν δύναμιν· ἤλπιζε γὰρ προςδέξασθαι τοὺς Χαλκιδεῖς, οἵπερ μόνοι τῶν Εὐβοέων ὑπὸ τῶν πολεμίων ἐφρουροῦντο. ὁ δὲ Κάσσανδρος ἀγωνιῶν ὑπὲρ τῆς Χαλκίδος τὴν Ὠρεοῦ πολιορκίαν ἔλυσεν, εἰς δὲ τὴν Χαλκίδα παρῆλθε, καὶ τὰς δυνάμεις μετεπέμπετο. Ἀντίγονος δὲ πυθόμενος περὶ τὴν Εὔβοιαν ἐφεδρεύειν ἀλλήλοις τὰ στρατόπεδα, μετεπέμψατο τὸν Μήδιον εἰς τὴν Ἀσίαν μετὰ τοῦ στόλου· εὐθὺς δὲ καὶ τὰς δυνάμεις ἀναλαβὼν προῆγεν ἐφ' Ἑλληςπόντου κατὰ τάχος, ὡς διαβησόμενος εἰς Μακεδονίαν, ὅπως ἢ μένοντος Κασσάνδρου περὶ τὴν Εὔβοιαν αὐτὸς ἔρημον καταλάβῃ Μακεδονίαν τῶν ἀμυνομένων ἢ τῇ βασιλείᾳ βοηθῶν ἀποβάλῃ τὰ κατὰ τὴν Ἑλλάδα πράγματα. ὁ δὲ Κάσσανδρος συνιδὼν τὴν ἐπίνοιαν αὐτοῦ, Πλείσταρχον μὲν ἀπέλιπεν ἐπὶ τῆς ἐν Χαλκίδι φρουρᾶς· αὐτὸς δὲ μετὰ πάσης τῆς δυνάμεως ἀναζεύξας Ὠρωπὸν μὲν κατὰ κράτος εἷλε, Θηβαίους δ' εἰς τὴν αὐτοῦ συμμαχίαν κατέστησε· πρὸς δὲ τοὺς ἄλλους Βοιωτοὺς ἀνοχὰς ποιησάμενος, καὶ καταλιπὼν ἐπὶ τῆς Ἑλλάδος στρατηγὸν Εὐπόλεμον, ἀπῆλθεν εἰς Μακεδονίαν, ἀγωνιῶν περὶ τῆς τῶν πολεμίων διαβάσεως. ὁ δ' Ἀντίγονος ἐπειδὴ κατήντησεν εἰς τὴν Προποντίδα, διεπρεσβεύσατο πρὸς τοὺς Βυζαντίους, ἀξιῶν μετέχειν τῆς συμμαχίας. παραγενομένων δὲ καὶ παρὰ Λυσιμάχου πρεσβευτῶν, καὶ παρακαλούντων μηδὲν ποιεῖν μήτε κατ' αὐτοῦ μήτε κατὰ Κασσάνδρου, τοῖς μὲν Βυζαντίοις ἔδοξε μένειν ἐφ' ἡσυχίας καὶ τηρεῖν τὴν πρὸς ἀμφοτέρους εἰρήνην ἅμα καὶ φιλίαν. ὁ δ' Ἀντίγονος δυςχρηστούμενος ἐπὶ τούτοις, ἅμα δὲ καὶ τῆς χειμερινῆς ὥρας συγκλειούσης, διέδωκε τοὺς στρατιώτας κατὰ πόλιν εἰς τὴν χειμασίαν.

97. διςχιλίους διακοσίους] διςχιλίους τριακοσίους FW, πενταкιςχιλίους Bas., et pro χιλίους] φ', ut ait Wesselingius, alius ut videtur libri scripturas editioni Bas., quae neutram earum refert, tribuens: διακοσίους asterisco notavit Stephanus
379. 98. Ὠρεοῦ] Ὥρου Bas., Ὠρεοῦ (sic) W 99. Σαλγανέα Palmerius, σαλμόαν F, Σαλμονέα Q, Σαλμονέαν TVW, caeteri Σαγονέα 100. τὴν om. Bas.
3. Ὠρεοῦ] Ὠραιοῦ Bas. 5. Εὔβοιαν] εὔοιαν F
9. Ἑλληςπόντου] Ἑλληςπόντῳ Bas. 11. καταλάβῃ] καταλάβοι F 12. ἀποβάλῃ τὰ κατὰ TX Bas., caeteri ὑπὲρ τῶν οἰκείων ἀγωνίσασθαι (ἀγωνίζεσθαι F) τὸν Κάσσανδρον ἀφέντα
17. Ὠρωπὸν] εὸν super ωπ ponit F 31. διέδωκε] ἔδωκε FQV τοὺς στρατιώτας] τοῖς στρατιώταις Q



Ἅμα δὲ τούτοις πραττομένοις Κερκυραῖοι μὲν βοη- 78
θήσαντες Ἀπολλωνιάταις καὶ τοῖς Ἐπιδαμνίοις τοὺς μὲν στρατιώτας Κασσάνδρου ὑποσπόνδους ἀφῆκαν, τῶν δὲ πόλεων Ἀπολλωνίαν μὲν ἠλευθέρωσαν, Ἐπίδαμνον δὲ Γλαυκίᾳ τῷ τῶν Ἰλλυριῶν βασιλεῖ παρέδωκαν. ὁ δ' Ἀντιγόνου στρατηγὸς Πτολεμαῖος χωρισθέντος εἰς Μακεδονίαν Κασσάνδρου καταπληξάμενος τοὺς φρουροῦντας τὴν Χαλκίδα παρέλαβε τὴν πόλιν, καὶ τοὺς Χαλκιδεῖς ἀφῆκεν ἀφρουρήτους, ὥςτε γενέσθαι φανερὸν ὡς πρὸς ἀλήθειαν Ἀντίγονος ἐλευθεροῦν προῄρηται τοὺς 380 Ἕλληνας· ἐπίκαιρος γὰρ ἡ πόλις ἐστὶ τοῖς βουλομένοις ἔχειν ὁρμητήριον διαπολεμεῖν περὶ τῶν ὅλων. ὁ δ' οὖν Πτολεμαῖος ἐκπολιορκήσας Ὠρωπὸν παρέδωκε τοῖς Βοιωτοῖς, καὶ τοὺς Κασσάνδρου στρατιώτας ὑποχειρίους ἔλαβε. μετὰ δὲ ταῦτα Ἐρετριεῖς καὶ Καρυστίους εἰς τὴν συμμαχίαν προςλαβόμενος ἐστράτευσεν εἰς τὴν Ἀττικήν, Δημητρίου τοῦ Φαληρέως ἐπιστατοῦντος τῆς πόλεως. οἱ δ' Ἀθηναῖοι τὸ μὲν πρῶτον λάθρᾳ διεπέμποντο πρὸς Ἀντίγονον, ἀξιοῦντες ἐλευθερῶσαι τὴν πόλιν· τότε δὲ τοῦ Πτολεμαίου παραγενηθέντος πλησίον τῆς πόλεως, θαῤῥήσαντες ἠνάγκασαν τὸν Δημήτριον ἀνοχὰς ποιήσασθαι καὶ πρεσβείας ἀποστέλλειν πρὸς Ἀντίγονον περὶ συμμαχίας. ὁ δὲ Πτολεμαῖος ἀναζεύξας ἐκ τῆς Ἀττικῆς εἰς τὴν Βοιωτίαν τήν τε Καδμείαν εἷλε καὶ τὴν φρουρὰν ἐκβαλὼν ἠλευθέρωσε τὰς Θήβας. μετὰ δὲ ταῦτα πορευθεὶς εἰς τὴν Φωκίδα, τὰς μὲν πλείους τῶν πόλεων προςαγαγόμενος ἐξέβαλε πανταχόθεν τὰς Κασσάνδρου φρουράς· ἐπῆλθε δὲ καὶ τὴν Λοκρίδα καὶ τῶν Ὀπουντίων τὰ Κασσάνδρου φρονούντων συνεστήσατο πολιορκίαν καὶ συνεχεῖς προςβολὰς ἐποιεῖτο.

Τῆς δ' αὐτῆς θερείας Κυρηναῖοι μὲν ἀποστάντες 79
Πτολεμαίου τὴν ἄκραν περιεστρατοπέδευσαν, ὡς αὐτίκα μάλα τὴν φρουρὰν ἐκβαλοῦντες, παραγενομένων δὲ πρεσβευτῶν ἐκ τῆς Ἀλεξανδρείας, καὶ παρακαλούντων παύσασθαι τῆς φιλοτιμίας, τούτους μὲν ἀπέκτειναν, τὴν δὲ ἄκραν ἐνεργέστερον ἐπολιόρκουν. ἐφ' οἷς παρο-

33. Κερκυραῖοι] Κορκυραῖοι Y 35. στρατιώτας Κασσάνδρου] invertit F 42. ὡς] ὅτι W
380. 45. Πτολεμαῖος Palmerius: libri Πολέμων 60. τὰς F, τὰ W, caeteri καὶ τὰς πλείους] πλείω Bas. προςαγαγόμενος] προςαγόμενος omnes 63. Κασσάνδρου] πρὸς Κασσάνδρου FQVW 62. τῶν] τὴν τῶν Bas. 63. τὰ Κασσάνδρου φρονούντων] Κασσάνδρου φρουρὰν ἐχόντων FQVW
65. θερείας] θηρίας F 69. φιλοτιμίας TY Bas., caeteri πολιορκίας

ξυνθεὶς ὁ Πτολεμαῖος ἀπέστειλεν Ἄγιν στρατηγὸν μετὰ δυνάμεως πεζῆς· ἐξέπεμψε δὲ καὶ στόλον τὸν συλληψόμενον τοῦ πολέμου, ναύαρχον ἐπιστήσας Ἐπαίνετον. ὁ δὲ Ἄγις ἐνεργῶς διαπολεμήσας τοῖς ἀφεστηκόσιν ἐκυρίευσε κατὰ κράτος τῆς πόλεως, καὶ τοὺς μὲν αἰτίους τῆς ἀποστάσεως δήσας ἀπέστειλεν εἰς τὴν Ἀλεξάνδρειαν, καὶ τῶν ἄλλων τὰ ὅπλα παρελόμενος, καὶ τὰ κατὰ τὴν πόλιν διοικήσας ὥς ποτ' ἔδοξεν αὐτῷ συμφέρειν, ἐπανῆλθεν εἰς τὴν Αἴγυπτον. Πτολεμαῖος δέ, τῶν περὶ Κυρήνην αὐτῷ κατὰ νοῦν ἀπηντηκότων, διῆρεν ἐκ τῆς Αἰγύπτου μετὰ δυνάμεως εἰς τὴν Κύπρον ἐπὶ τοὺς ἀπειθοῦντας τῶν βασιλέων. Πυγμαλίωνα δὲ εὑρὼν διαπρεσβευόμενον πρὸς Ἀντίγονον ἀνεῖλε· Πράξιππον δὲ τὸν τῆς Λαπηθίας βασιλέα καὶ τὸν τῆς Κερυνίας δυνάστην ὑποπτεύσας ἀλλοτρίως ἔχειν συνέλαβε, καὶ Στασίοικον τὸν τῶν Μαριέων· καὶ τὴν μὲν πόλιν κατέσκαψε, τοὺς δ' οἰκοῦντας μετήγαγεν εἰς Πάφον. ταῦτα δὲ διαπραξάμενος τῆς μὲν Κύπρου κατέστησε στρατηγὸν Νικοκρέοντα, παραδοὺς τάς τε πόλεις καὶ τὰς προσόδους τῶν ἐκπεπτωκότων βασιλέων. αὐτὸς δὲ μετὰ δυνάμεως 381 ἐκπλεύσας ἐπὶ Συρίας τῆς ἄνω καλουμένης, Ποσίδειον καὶ ποταμοὺς Καρῶν ἐκπολιορκήσας διήρπασεν. ἑτοίμως δὲ πλεύσας ἐπὶ Κιλικίαν Μαλλὸν εἷλε καὶ τοὺς ἐγκαταληφθέντας ἐλαφυροπώλησεν. ἐπόρθησε δὲ καὶ τὴν ἐγγὺς χώραν, καὶ τὸ στρατόπεδον ὠφελείας ἐμπλήσας ἀπέπλευσεν εἰς τὴν Κύπρον. ἐπολιτεύετο δὲ πρὸς τοὺς στρατιώτας, οὕτως ἐκκαλούμενος αὐτῶν τὰς προθυμίας εἰς τοὺς ἐπιφερομένους κινδύνους.

80 Δημήτριος δ' ὁ Ἀντιγόνου διέτριβεν ἀεὶ περὶ κοίλην Συρίαν, ἐφεδρεύων ταῖς τῶν Αἰγυπτίων δυνάμεσιν. ὡς δ' ἤκουσε τὰς τῶν πόλεων ἁλώσεις, Πύθωνα μὲν ἐπὶ τῶν τόπων κατέλιπε στρατηγόν, δοὺς αὐτῷ τοὺς ἐλέφαντας καὶ τὰ βαρέα τῶν ταγμάτων· αὐτὸς δὲ ἀναλαβὼν τούς τε ἱππεῖς καὶ τὰ ψιλικὰ τάγματα προῆγεν

72. δὲ καὶ] δὲ Bas. 74. Ἐπαίνετον] ἐπαινετὸν F
84. Λαπηθίας Stephanus: libri Λαπιθίας 85. Κερυνίας] Κερυννίας Q Bas., Κεραυνίας F, Κεραυνίας VW, caeteri Κερανίας 86. καὶ Στασίοικον] Στασιοίκου Bas. τὸν τῶν Μαριέων Rhodomannus: τοῦ Μαλιέως Bas., caeteri τὸν τοῦ Μαριέως
381. 92. δυνάμεως] τῶν δυνάμεων FQW Συρίας F Bas., caeteri τῆς Συρίας 93. Ποσίδειον] Ποσίδιον F, Ποσυίδιον Bas. ποταμοὺς] ποταμον F (superscr. ους) 94. Κιλικίαν W, caeteri Κιλικίας 95. Μαλλὸν] Μαλὸν Bas. 1. δ' F διέτριβεν ἀεὶ] aptius videtur διέτριβε μὲν



ἐπὶ Κιλικίας συντόμως, βοηθήσων τοῖς κινδυνεύουσιν. ὑστερήσας δὲ τῶν καιρῶν καὶ καταλαβὼν ἀποπεπλευκότας τοὺς πολεμίους, ἐπανῆλθε συντόμως ἐπὶ τὸ στρατόπεδον, ἀποβεβληκὼς τῶν ἵππων τοὺς πλείους κατὰ τὴν ὁδοιπορίαν· διέτεινε γὰρ ἓξ ἡμέραις ἀπὸ Μαλλοῦ σταθμοὺς εἴκοσι καὶ τέτταρας, ὥςτε διὰ τὴν ὑπερβολὴν τῆς κακοπαθείας μήτε σκευοφόρων ἀκολουθῆσαι μηδένα μήτε τοὺς ἱπποκόμους. ὁ δὲ Πτολεμαῖος, κατὰ νοῦν αὐτῷ τῶν πραγμάτων ἀπηντηκότων, τότε μὲν ἀπῆρεν εἰς Αἴγυπτον· μετ' ὀλίγον δὲ χρόνον παροξυνόμενος ὑπὸ Σελεύκου διὰ τὴν πρὸς τὸν Ἀντίγονον ἀλλοτριότητα, διέγνω στρατεύειν ἐπὶ τὴν κοίλην Συρίαν καὶ παρατάττεσθαι τοῖς περὶ τὸν Δημήτριον. συναγαγὼν οὖν πανταχόθεν τὰς δυνάμεις ἀνέζευξεν ἀπὸ Ἀλεξανδρείας εἰς Πηλούσιον, ἔχων πεζοὺς μὲν μυρίους ὀκτακιςχιλίους, ἱππεῖς δὲ τετρακιςχιλίους, ὧν ἦσαν οἱ μὲν Μακεδόνες, οἱ δὲ μισθοφόροι, Αἰγυπτίων δὲ πλῆθος, τὸ μὲν κομίζον βέλη καὶ τὴν ἄλλην παρασκευήν, τὸ δὲ καθωπλισμένον καὶ πρὸς μάχην χρήσιμον. ἀπὸ δὲ Πηλουσίου διὰ τῆς ἐρήμου διελθὼν κατεστρατοπέδευσε πλησίον τῶν πολεμίων περὶ τὴν παλαιὰν Γάζαν τῆς Συρίας. ὁμοίως δὲ καὶ Δημήτριος μεταπεμψάμενος πανταχόθεν τοὺς ἐκ τῆς χειμασίας στρατιώτας εἰς τὴν παλαιὰν Γάζαν ὑπέμενε τὴν τῶν ἐναντίων ἔφοδον.

81 τῶν δὲ φίλων αὐτῷ συμβουλευόντων μὴ παρατάττεσθαι πρὸς ἡγεμόνα τηλικοῦτον καὶ δύναμιν μείζω, τούτοις μὲν οὐ προςεῖχεν, εἰς δὲ τὸν κίνδυνον παρεσκευάζετο τεθαῤῥηκώς, καίπερ νέος ὢν παντελῶς καὶ τηλικαύτην μάχην μέλλων ἀγωνίζεσθαι χωρὶς τοῦ πατρός. 382 συναγαγόντος δ' ἐν τοῖς ὅπλοις ἐκκλησίαν αὐτοῦ, καὶ στάντος ἐπί τινος ἀναστήματος μετ' ἀγωνίας καὶ διατροπῆς, ὁ μὲν ὄχλος ἀνεβόησε μιᾷ φωνῇ θαῤῥεῖν, καὶ πρὸ τοῦ τὸν κήρυκα καταπαῦσαι τοὺς θορυβοῦντας ἅπαντες σιωπὴν παρείχοντο. οὔτε γὰρ στρατιωτικὸν ἔγκλημα ὑπῆρχε περὶ αὐτὸν οὔτε πολιτικόν, ἅτε προςφάτως ἐφ' ἡγεμονίας τεταγμένον· ὅπερ εἴωθε γίνεσθαι τοῖς παλαιοῖς στρατηγοῖς, ὅταν ἐκ πολλῶν

7. συντόμως] immo συντόνως 9. ἀποπεπλευκότας] ὑποπλευκότας F (superscr. ἀ πε) 12. ἡμέρας F (superscr. αις), caeteri ἡμέρας τέτταρας F, δ Bas., caeteri τέσσαρας 18. τὸν om. T Bas. 19. ἐπὶ τὴν FW, caeteri ἐπὶ 34. μείζω] μείζονα F 36. καίπερ] καὶ γὰρ Bas.
382. 45. τεταγμένον] τεταγμένος F γίνεσθαι F, caeteri γίγνεσθαι

προφάσεων ἓν ἔγκλημα πρὸς ἕνα καιρὸν ἀθροίζηται· τὸ γὰρ πλῆθος ἀεὶ δυςάρεστον ἐπὶ τῶν αὐτῶν μένον, καὶ πᾶν τὸ μὴ πλεονάζον κεχαρισμένην ἔχει τὴν μεταβολήν· τοῦ τε πατρὸς ἤδη γεγηρακότος αἱ τῆς βασιλείας ἐλπίδες εἰς τὴν τούτου διαδοχὴν ἦγον ἅμα τὴν ἀρχὴν καὶ τὴν τῶν ὄχλων εὔνοιαν. ἦν δὲ καὶ τῷ κάλλει καὶ τῷ μεγέθει διάφορος, ἔτι δὲ κεκοσμημένος ὅπλοις βασιλικοῖς εἶχε πολλὴν ὑπεροχὴν καὶ κατάπληξιν, δι' ἧς εἰς ἐλπίδας ἁδρὰς ἦγε τοὺς πολλούς· πρὸς δὲ τούτοις πρᾳότης τις ἦν περὶ αὐτόν, ἁρμόζουσα νέῳ βασιλεῖ, δι' ἧς εἰς προθυμίαν ἐξεκαλεῖτο πάντας, ὥςτε καὶ τοὺς ἐκτὸς τάξεως συνδραμεῖν ἐπὶ τὴν ἀκρόασιν, συναγωνιῶντας τῇ νεότητι καὶ τῇ μελλούσῃ γίνεσθαι κρίσει διὰ τῆς παρατάξεως. οὐ μόνον γὰρ πρὸς πλείονας ἤμελλε διακινδυνεύειν, ἀλλὰ καὶ πρὸς ἡγεμόνας σχεδὸν μεγίστους Πτολεμαῖον καὶ Σέλευκον. οὗτοι γὰρ πάντας τοὺς πολέμους Ἀλεξάνδρῳ συστρατευσάμενοι, καὶ πολλάκις καθ' αὑτοὺς δυνάμεων ἡγησάμενοι, μέχρι τῶν καιρῶν τούτων ὑπῆρχον ἀνίκητοι. ὁ δ' οὖν Δημήτριος παρακαλέσας τὰ πλήθη τοῖς οἰκείοις λόγοις, καὶ δωρεάς τε δώσειν κατὰ τὴν ἀξίαν καὶ τὰ λάφυρα συγχωρήσειν ἐπαγγειλάμενος, ἐξέταξε τὴν δύναμιν εἰς τὴν μάχην.

82 Ἐπὶ μὲν οὖν τὸ λαιὸν κέρας ἔταξε, καθ' ὃ τὸν κίνδυνον αὐτὸς ἤμελλε ποιεῖσθαι, πρώτους μὲν τοὺς περὶ αὐτὸν ἱππεῖς ἐπιλέκτους διακοσίους, ἐν οἷς ἦσαν οἵ τε ἄλλοι φίλοι πάντες καὶ Πύθων ὁ συνεστρατευμένος μὲν Ἀλεξάνδρῳ, συγκαθεσταμένος δὲ ὑπ' Ἀντιγόνου στρατηγὸς καὶ τῶν ὅλων μέτοχος. πρόταγμα δὲ τρεῖς ἴλας ἱππέων ἔταξε καὶ πλαγιοφύλακας τὰς ἴσας, καὶ χωρὶς ἔξω τοῦ κέρατος ἀπολελυμένας τρεῖς Ταραντίνων· ὥςτ' εἶναι τοὺς περὶ τὸ σῶμα τεταγμένους ἱππεῖς ξυστοφόρους μὲν πεντακοσίους, Ταραντίνους δὲ ἑκατόν. ἑξῆς δ' ἔταξε τῶν ἱππέων τοὺς καλουμένους μὲν ἑταίρους, ὄντας δὲ τὸν ἀριθμὸν ὀκτακοσίους· μετὰ δὲ τούτους παντοδαποὺς ἱππεῖς οὐκ ἐλάττους τῶν χιλίων πεν-

48. ἀεὶ] αἰεὶ F 53. τῷ μεγέθει] μεγέθει F ἔτι — ὅπλοις] καὶ μᾶλλον ὅτε περιεβέβλητο ὅπλοις FQW 60. γινέσθαι F, caeteri γίγνεσθαι 64. πάντας τοὺς πολέμους] πάντες QTX Bas. συστρατευσάμενοι] συστρατευόμενοι Bas., στρατευσάμενοι X 71. ἔταξε] ἐξέταξε FW Bas. 75. συγκαθεσταμένος] συγκαθιστάμενος omnes 76. ὅλων] ἄλλων Y Bas. 78. πλαγιοφύλακας] πλαγιοφυλάκους T, πλαγιοφυλακοὺς Bas. 79. ἀπολελυμένας] ἀπολελειμμένας (υ) F



τακοσίων. πρὸ παντὸς δὲ τοῦ κέρατος ἔστησε τῶν ἐλεφάντων τριάκοντα, καὶ τὰ διαστήματα αὐτῶν ἐπλήρωσε τοῖς ψιλικοῖς τάγμασιν, ὧν ἦσαν ἀκοντισταὶ μὲν καὶ τοξόται χίλιοι, σφενδονῆται δὲ Πέρσαι πεντακόσιοι. τὸ μὲν οὖν εὐώνυμον κέρας οὕτω κατασκευάσας διενοεῖτο τούτῳ κρίνειν τὴν μάχην. ἐχομένην δ' ἔστησε τὴν τῶν πεζῶν φάλαγγα, συνεστῶσαν ἐξ ἀνδρῶν μυρίων καὶ χιλίων. τούτων δ' ἦσαν Μακεδόνες μὲν διςχίλιοι, Λύκιοι δὲ καὶ Παμφύλιοι χίλιοι, μισθοφόροι δ' ὀκτακιςχίλιοι. ἐπὶ δὲ τὸ δεξιὸν κέρας ἔταξε τοὺς λοιποὺς ἱππεῖς χιλίους
383 πεντακοσίους, ὧν Ἀνδρόνικος ἡγεῖτο. τούτῳ δ' ἦν συντεταγμένον λοξὴν φυλάττειν τὴν στάσιν καὶ φυγομαχεῖν καραδοκοῦντα τὴν δι' αὐτοῦ γινομένην κρίσιν. τοὺς δὲ λοιποὺς τῶν ἐλεφάντων τρειςκαίδεκα ἔστησε πρὸ τῆς τῶν πεζῶν φάλαγγος, μίξας εἰς τὰ διαστήματα τῶν ψιλῶν τοὺς ἱκανούς. Δημήτριος μὲν οὖν διεκόσμησε τὴν ἰδίαν δύναμιν τὸν τρόπον τοῦτον.

83 Οἱ δὲ περὶ τὸν Πτολεμαῖον καὶ Σέλευκον τὸ μὲν πρῶτον ἔταξαν ἰσχυρὰν τὴν εὐώνυμον τάξιν, ἀγνοοῦντες τὴν τῶν ἐναντίων ἐπιβολήν· μαθόντες δὲ παρὰ τῶν κατασκόπων τὸ γεγονός, ταχέως ἐξέταξαν τὴν δύναμιν ὅπως τὸ δεξιὸν κέρας ἰσχὺν ἔχον καὶ δύναμιν τὴν κρατίστην διαγωνίσηται πρὸς τοὺς μετὰ Δημητρίου τεταγμένους ἐν τοῖς εὐωνύμοις μέρεσιν. ἔταξαν δὲ ἐπὶ τοῦ κέρατος τούτου τῶν ἱππέων τοὺς κρατίστους τριςχιλίους, ἐν οἷς καὶ αὐτοὶ διεγνώκεισαν ἀγωνίσασθαι. προέταξαν δὲ τῆς στάσεως ταύτης τοὺς κομίζοντας χάρακα σεσιδηρωμένον καὶ δεδεμένον ἁλύσεσιν, ὃν παρεσκευάσαντο πρὸς τὴν τῶν ἐλεφάντων ἔφοδον· ταθέντος γὰρ τούτου ῥᾴδιον ἦν εἴργειν τὰ θηρία τῆς εἰς τοὔμπροσθεν πορείας. προέταξαν δὲ τοῦ κέρατος τούτου καὶ τὰ ψιλικὰ τάγματα, παραγγείλαντες τοῖς τε ἀκοντισταῖς καὶ τοῖς τοξόταις συνεχῶς κατατιτρώσκειν τὰ θηρία καὶ τοὺς ἐπ' αὐτοῖς ἀναβεβηκότας. τοῦτον δὲ τὸν τρόπον ὀχυρωσάμενοι τὸ δεξιὸν κέρας, καὶ τὴν ἄλλην δύναμιν ἐκτάξαντες ἐνδεχο-

88. καὶ τοξόται] τοξόται Bas. 90. τούτῳ] οὕτω τούτῳ F κρίνειν Sintenis: libri κινεῖν 92. καὶ χιλίων] χιλίων Bas. 93. διςχίλιοι] χίλιοι Bas. 383. 98. γινομένην] γενομένην Bas., asterisco notavit Stephanus 99. τρειςκαίδεκα] δεκατρεῖς F 100. τὰ] τινα omnes 6. τὴν τῶν ἐναντίων ἐπιβολὴν] τῶν ἐναντίων τὴν ἐπιβολὴν Bas. 10. ἔταξαν] ἔταξε Bas. 11. τούτου τῶν Wesselingius, τούτων W, caeteri τοῦ τῶν 16. ταθέντος] ταχθέντος Bas. 17. 18. προέταξαν — παραγγείλαντες] προέταξε — παραγγείλας FW 19. τοῖς τοξόταις] τοξόταις Bas. 22. ἐκτάξαντες] τάξαντες Bas.

μένως, ἐπῆγον τοῖς πολεμίοις μετὰ πολλῆς κραυγῆς. ἀντεπαγόντων δὲ καὶ τῶν ἐναντίων, τὸ μὲν πρῶτον ἐπ' ἄκρων τῶν κεράτων ἱππομαχία συνέστη τῶν προτεταγμένων ἱππέων, ἐν οἷς πολὺ ἐπροτέρουν οἱ περὶ τὸν Δημήτριον. μετ' ὀλίγον δὲ τῶν περὶ Πτολεμαῖον καὶ Σέλευκον περιιππευσάντων τὸ κέρας καὶ βιαιότερον ἐπενεχθέντων ὀρθαῖς ταῖς ἴλαις, συνέστη καρτερὰ μάχη διὰ τὰς ἑκατέρων προθυμίας. κατὰ μὲν οὖν τὴν πρώτην ἔφοδον τοῖς ξυστοῖς ἀγωνισάμενοι τούτων τε τὰ πλεῖστα συνέτριψαν καὶ τῶν ἀγωνιζομένων οὐκ ὀλίγους κατετραυμάτισαν· κατὰ δὲ τὴν δευτέραν ἐπιστροφὴν εἰς τὴν ἀπὸ τοῦ ξίφους μάχην ὥρμησαν, καὶ συμπλεκόμενοι πολλοὺς ἀλλήλων ἀνῄρουν, οἵ τε ἡγεμόνες αὐτοὶ πρὸ πάντων κινδυνεύοντες προετρέποντο τοὺς ὑποτεταγμένους εὐρώστως ὑπομένειν τὸ δεινόν, οἵ τ' ἐπὶ τῶν κεράτων ἱππεῖς ἅπαντες ἐπιλελεγμένοι κατ' ἀρετὴν ἡμιλλῶντο πρὸς ἀλλήλους, θεατὰς ἔχοντες τῆς ἀνδρείας τοὺς

84 συναγωνιζομένους στρατηγούς. ἐπὶ πολὺν δὲ χρόνον τῆς ἱππομαχίας οὔσης ἐφαμίλλου, τὰ θηρία διὰ τῶν Ἰνδῶν εἰς τὸν ἀγῶνα παρορμηθέντα μέχρι μέν τινος προῆγε καταπληκτικῶς, ὡς οὐδενὸς ὑποστησομένου· ὡς δ' ἐπὶ τὸν σεσιδηρωμένον χάρακα κατήντησε, τὸ μὲν πλῆθος τῶν ἀκοντιστῶν καὶ τοξοτῶν συνεχῶς βαλλόντων κατετίτρωσκε τὰ σώματα τῶν ἐλεφάντων καὶ τοὺς ἐπ' αὐτοῖς ἀναβεβηκότας. βιαζομένων δὲ τῶν Ἰνδῶν, καὶ κολαζόντων τὰ θηρία, τινὰ μὲν αὐτῶν περιεπείροντο τῷ φιλοτεχνηθέντι χάρακι, καὶ ταῖς πληγαῖς καὶ πυκνότησι τῶν τιτρωσκόντων περιώδυνα γινόμενα ἐποίει θόρυ- 384
βον. τὸ γὰρ γένος τοῦτο κατὰ μὲν τοὺς ὁμαλοὺς καὶ μαλακοὺς τόπους ἀνυπόστατον παρέχεται κατὰ στόμα τὴν ῥώμην, ἐν δὲ τοῖς τραχέσι καὶ δυσβάτοις τελέως ἄπρακτον ἔχει τὴν ἀλκὴν διὰ τὴν τῶν ποδῶν μαλακότητα. διὸ καὶ τότε τῶν περὶ Πτολεμαῖον συνετῶς προεωραμένων τὸ μέλλον, ἐκ τοῦ χάρακος τῆς πήξεως

27. ἐπροτέρουν Wesselingius, ἐπροετέρουν Bas., caeteri ἐπροτέρουν
ότερον
29. βιαιότερον] βίαιον F 30. ταῖς om. F 34. ἐπιστροφὴν] ἀναστροφὴν FQTXY Bas. 36. πολλοὺς ἀλλήλων] πολλοὺς Bas., πολλοὶ ἀλλήλους FVW 37. προετρέποντο] προετρέψαντο F 52. ταῖς πληγαῖς καὶ πυκνότησι] τὰς πληγὰς καὶ πυκνότητας F
οὺς
384. 54. ὁμαλοὺς] ὁμαλεῖς F 55. κατὰ στόμα] κατ' αὐτοὺς F, alterum γρ. in marg. ponens 56. ῥώμην] ῥύμην Reiskius 60. τῆς πήξεως om. T Bas., asterisco notavit Stephanus



ἄπρακτον ἐποίει τὴν βίαν αὐτῶν. τέλος δὲ τῶν πλείστων Ἰνδῶν κατακοντισθέντων ὑποχειρίους συνέβη γενέσθαι πάντας τοὺς ἐλέφαντας. οὗ τελεσθέντος οἱ πολλοὶ τῶν περὶ Δημήτριον ἱππέων καταπλαγέντες πρὸς φυγὴν ὥρμησαν· αὐτὸς δὲ μετ' ὀλίγων ἀπολειφθείς, καὶ δεόμενος ἑκάστου στῆναι καὶ μὴ καταλιπεῖν αὐτόν, ὡς οὐδεὶς προςεῖχε, συναποχωρεῖν ἠναγκάζετο. μέχρι μὲν οὖν Γάζης οἱ πολλοὶ τῶν ἱππέων συνακολουθοῦντες ὑπήκουον καὶ κατέστησαν εἰς τάξεις, ὥςτε μηδένα ῥᾳδίως τολμᾶν προςάγειν τῶν εἰκῇ διωκόντων· τὸ γὰρ πεδίον εὐρύχωρον ὂν καὶ μαλακὸν συνήργει τοῖς βουλομένοις ἐν τάξει ποιεῖσθαι τὴν ἀποχώρησιν. συνείποντο δὲ καὶ πεζῶν οἱ βουληθέντες λιπεῖν τὰς τάξεις καὶ χωρὶς τῶν ὅπλων διασώζειν ἑαυτοὺς ἐλαφρούς. παραλλάττοντος δὲ αὐτοῦ Γάζαν περὶ ἡλίου δύσιν, ἀπολιπόντες τῶν ἱππέων τινὲς παρῆλθον εἰς τὴν πόλιν, ἐκκομίσαι βουλόμενοι τὰς ἀποσκευάς. ἀνοιχθεισῶν οὖν τῶν πυλῶν, καὶ πλήθους ὑποζυγίων ἀθροισθέντος, ἔτι δὲ ἑκάστου πρώτου σπεύδοντος ἐξαγαγεῖν τὰ σκευοφόρα, τοσοῦτον θόρυβον γενέσθαι συνέβη περὶ τὰς πύλας ὥςτε τῶν περὶ Πτολεμαῖον ἐπιόντων μηδένα δύνασθαι φθάσαι συγκλείσαντα. διόπερ εἰςπεσόντων τῶν πολεμίων ἐντὸς τοῦ τείχους ἡ πόλις ὑποχείριος ἐγένετο τοῖς περὶ Πτολεμαῖον.

85 Τῆς δὲ μάχης τοιοῦτο τὸ τέλος λαβούσης, Δημήτριος μὲν διέτεινεν εἰς Ἄζωτον περὶ μέσας νύκτας, διελθὼν σταδίους ἑβδομήκοντα καὶ διακοσίους. ἐντεῦθεν δὲ κήρυκα περὶ τῆς τῶν νεκρῶν ἀναιρέσεως ἐξέπεμψε, σπεύδων ἐκ παντὸς τρόπου τῆς ἐπιβαλλούσης κηδείας ἀξιῶσαι τοὺς τετελευτηκότας. ἐτύγχανον γὰρ οἱ πλεῖστοι τῶν φίλων πεπτωκότες, ὧν ἦσαν ἐπιφανέστατοι Πύθων τε ὁ μετέχων τῆς στρατηγίας ἐπ' ἴσης αὐτῷ καὶ Βοίωτος πολὺν χρόνον συνεζηκὼς Ἀντιγόνῳ τῷ πατρὶ καὶ μετεσχηκὼς παντὸς ἀποῤῥήτου. κατὰ δὲ τὴν παράταξιν ἔπεσον μὲν πλείους τῶν πεντακιςχιλίων, ὧν ἦσαν οἱ πλείους

71. πεδίον εὐρύχωρον ὂν] τοῦ χωρίου εὐρύχωρον FVW
73. τὰς τάξεις FQTWX Bas., caeteri τὴν τάξιν 75. παραλλάττοντος] libri παραλλάσσοντος 79. πρώτου om. Bas., asterisco notavit Stephanus 80. γενέσθαι συνέβη] invertit F
82. συγκλείσαντα] τὰς πύλας συγκλείσαντα FQVW
86. τοιοῦτο] τοιοῦτον W, omisso τὸ F 87. διέτεινεν] ὑπέτεινεν F 90. ἐκ] ἐπὶ F τῆς ἐπιβαλλούσης κηδείας]
ῆς ης ας
τὴν ἐπιβάλλουσαν κηδείαν F 94. libri Βοιωτὸς 95. Ἀντιγόνῳ τῷ πατρὶ om. T Bas. 97. τῶν πεντακιςχιλίων Wesselingius: libri τῶν πεντακοσίων, πεντακοσίων F

ἱππεῖς τῶν ἐπιφανῶν ἀνδρῶν, ἑάλωσαν δ' ὑπὲρ τοὺς ὀκτακισχιλίους. οἱ δὲ περὶ Πτολεμαῖον καὶ Σέλευκον δόντες τὴν ἀναίρεσιν τῶν νεκρῶν τήν τε ἁλοῦσαν βασιλικὴν ἀποσκευὴν καὶ τῶν αἰχμαλώτων τοὺς περὶ τὴν αὐλὴν εἰωθό- 385 τας διατρίβειν χωρὶς λύτρων ἀπέστειλαν πρὸς Δημήτριον· οὐ γὰρ περὶ τούτων ἔφασαν διαφέρεσθαι πρὸς Ἀντίγονον, ἀλλ' ὅτι τοῦ πολέμου γενομένου κοινοῦ, πρότερον μὲν πρὸς Περδίκκαν, ὕστερον δὲ πρὸς Εὐμένη, τὰ μέρη τῆς δορικτήτου χώρας οὐκ ἀποδοίη τοῖς φίλοις, καὶ συνθέμενος πάλιν πρὸς αὐτὸν τοὐναντίον ἀφέλοιτο τὴν σατραπείαν τῆς Βαβυλωνίας Σελεύκου παρὰ πάντα τὰ δίκαια. ὁ δὲ Πτολεμαῖος τοὺς μὲν ἁλόντας στρατιώτας ἀποστείλας εἰς Αἴγυπτον προσέταξεν ἐπὶ τὰς ναυαρχίας διελεῖν· αὐτὸς δὲ θάψας τῶν ἰδίων τοὺς ἐν τῇ μάχῃ τελευτήσαντας ἅπαντας μεγαλοπρεπῶς μετὰ τῆς δυνάμεως ἐπῄει τῶν κατὰ Φοινίκην πόλεων τὰς μὲν πολιορκῶν, τὰς δὲ πειθοῖ προσαγόμενος. Δημήτριος δὲ δύναμιν οὐκ ἔχων ἀξιόχρεων, πρὸς μὲν τὸν πατέρα βιβλιαφόρον ἀπέστειλεν, ἀξιῶν βοηθεῖν τὴν ταχίστην· αὐτὸς δὲ παρελθὼν εἰς Τρίπολιν τῆς Φοινίκης μετεπέμπετό τε τοὺς ἐκ Κιλικίας στρατιώτας καὶ τῶν ἄλλων ὅσοι παρεφύλαττον ἢ πόλεις ἢ φρούρια μακρὰν ἀφεστῶτα τῶν πολεμίων.

86 Πτολεμαῖος δὲ κρατῶν τῶν ὑπαίθρων Σιδῶνα μὲν προσηγάγετο, τῆς δὲ Τύρου πλησίον στρατοπεδεύσας παρεκάλεσεν Ἀνδρόνικον τὸν φρούραρχον παραδοῦναι τὴν πόλιν, καὶ δωρεάς τε καὶ τιμὰς ἁδρὰς ἐπηγγείλατο δοῦναι. ὁ δὲ φήσας μηδενὶ τρόπῳ προδώσειν τὴν δεδομένην ὑπ' Ἀντιγόνου καὶ Δημητρίου πίστιν ἐλοιδόρησε φορτικῶς τὸν Πτολεμαῖον. ὕστερον δὲ στασιασάντων τῶν στρατιωτῶν ἐκπεσὼν ἐκ Τύρου καὶ γενόμενος ὑποχείριος, προσεδόκα μὲν τιμωρίας τεύξεσθαι διά τε τὴν γενομένην λοιδορίαν καὶ διὰ τὸ μὴ βεβουλῆσθαι τὴν Τύρον παραδοῦναι· οὐ μὴν ὅ γε Πτολεμαῖος ἐμνησικάκησεν, ἀλλὰ τοὐναντίον δοὺς δωρεὰς εἶχε περὶ αὐ-

98. τοὺς om. Bas.
385. 2. εἰωθότας ante περὶ ponit F 5. γενομένου W, γινομένου F, caeteri γιγνομένου 6. δορυκτήτου F 7. ὀν πάλιν om. F 8. αὐτὸν] αὐτὰ F ἀφέλοιτο] διαφείλετο W, διαφέλοιτο F τὴν om. Bas. 12. ναυαρχίας] νομαρχίας Wesselingius 14. τῶν κατὰ] τὴν κατὰ FW 15. πόλεων] τῶν πόλεων W 17. βιβλιαφόρον] βιβλιοφόρον F 19. τε om. FX 32. τεύξεσθαι] τεύξασθαι F Bas. 35. εἶχε] οὓς εἶχε F



τόν, ἕνα τῶν φίλων ποιησάμενος καὶ προάγων ἐντίμως. ἦν γὰρ ὁ δυνάστης οὗτος καθ' ὑπερβολὴν ἐπιεικὴς καὶ συγγνωμονικός, ἔτι δ' εὐεργετικός. ὅπερ καὶ μάλιστ' αὐτὸν ηὔξησέ τε καὶ πολλοὺς ἐποίησεν ἐπιθυμεῖν κοινωνῆσαι τῆς φιλίας. καὶ γὰρ τὸν Σέλευκον ἐκ τῆς Βαβυλωνίας ἐκπεσόντα φιλοτίμως ὑπεδέξατο, καὶ κοινὴν παρείχετο τούτῳ τε καὶ τοῖς ἄλλοις φίλοις τὴν περὶ αὐτὸν εὐδαιμονίαν. διὸ καὶ τότε παρακαλοῦντος αὐτὸν Σελεύκου δοῦναι στρατιώτας τοὺς ἀναβησομένους εἰς Βαβυλῶνα, προθύμως ὡμολόγησε καὶ προσεπηγγείλατο πάντα συμπράξειν μέχρι ἀνακτήσαιτο τὴν προϋπάρχουσαν σατραπείαν. καὶ τὰ μὲν κατὰ τὴν Ἀσίαν ἐν τούτοις ἦν.

386 87 Κατὰ δὲ τὴν Εὐρώπην Τελεσφόρος μὲν ὁ Ἀντιγόνου ναύαρχος διατρίβων περὶ Κόρινθον, ἐπειδὴ Πτολεμαῖον ἑώρα μᾶλλον ἑαυτοῦ προαγόμενον καὶ τῶν κατὰ τὴν Ἑλλάδα πραγμάτων πιστευόμενον ἁπάντων, ἐγκαλέσας Ἀντιγόνῳ περὶ τούτων, τὰς μὲν ναῦς ἃς εἶχεν ἀπέδοτο, τῶν δὲ στρατιωτῶν τοὺς βουλομένους κοινωνεῖν τῆς προαιρέσεως ἀναλαβὼν ἴδια πράγματα συνίστατο. παρελθὼν γὰρ εἰς Ἦλιν ὡς ἔτι φυλάττων τὴν πρὸς Ἀντίγονον φιλίαν, τὴν ἀκρόπολιν ἐνετείχισε καὶ τὴν πόλιν κατεδουλώσατο. ἐσύλησε δὲ καὶ τὸ ἱερὸν τὸ κατὰ τὴν Ὀλυμπίαν, καὶ συναγαγὼν ἀργυρίου πλείω τῶν πεντήκοντα ταλάντων ξένους ἐμισθοῦτο. Τελεσφόρος μὲν οὖν ζηλοτυπήσας τὴν προαγωγὴν Πτολεμαίου τοῦτον τὸν τρόπον ἐγένετο προδότης τῆς πρὸς Ἀντίγονον φιλίας. Πτολεμαῖος δ' ὁ Ἀντιγόνου στρατηγὸς ἦν μὲν τεταγμένος ἐπὶ τῶν κατὰ τὴν Ἑλλάδα πραγμάτων, πυθόμενος δὲ τὴν ἀπόστασιν τὴν Τελεσφόρου καὶ τὴν κατάληψιν τῆς Ἠλείων πόλεως, ἔτι δὲ τὴν σύλησιν τῶν κατὰ τὴν Ὀλυμπίαν χρημάτων, παρῆλθεν εἰς Πελοπόννησον μετὰ δυνάμεως. καταντήσας δ' εἰς Ἦλιν καὶ τὴν ἐντετειχισμένην ἀκρόπολιν κατασκάψας, τήν τ' ἐλευθερίαν ἀπέδωκε τοῖς Ἠλείοις καὶ τὰ χρήματα ἀποκατέστησε τῷ θεῷ. μετὰ δὲ ταῦτα τὸν Τελεσφόρον πείσας παρέλαβε

38. μάλιστ' Bas., caeteri μάλιστα ἠξίωσε μειζόνων post αὐτὸν om. QTXY Bas. 46. μέχρι Bas., caeteri μέχρις 47. ἀνακτήσαιτο F, ἀνακτήσεται T Bas., caeteri ἂν ἀνακτήσαιτο
386. 52. ἁπάντων] ἅπαντα Bas. 54. ἀπέδοτο TY Bas., caeteri ἀπέδωκε 56. Ἦλιν] Ἠλείους FVW 57. ἔτι φυλάττων] ἐπιφυλάττων Bas. 62. προαγωγὴν Πτολεμαίου] τοῦ πτολεμαίου προαγωγὴν F 63. Ἀντιγονον] Ἀντιγόνου Bas. 66. τὴν Τελεσφόρου] τοῦ τελεσφόρου F 69. Ἦλιν] Ἠλείους FVW 70. τ' Bas. 72. τὸν Τ. πείσας] πείσας τὸν τ. F, τὸν μὲν Τ. πείσας Bas.

τὴν Κυλλήνην, φρουρουμένην ὑπ' αὐτοῦ, καὶ τοῖς Ἠλείοις ἀποκατέστησεν.

88 Ἅμα δὲ τούτοις πραττομένοις Ἠπειρῶται τελευτήσαντος Αἰακίδου τοῦ βασιλέως αὐτῶν Ἀλκέτᾳ τὴν βασιλείαν παρέδωκαν, ὃς ἦν πεφυγαδευμένος μὲν ὑπὸ Ἀρύμβου τοῦ πατρός, ἀλλοτρίως δὲ διακείμενος πρὸς Κάσσανδρον. διὸ καὶ Λυκίσκος ὁ τεταγμένος ἐπὶ τῆς Ἀκαρνανίας στρατηγὸς ὑπὸ Κασσάνδρου παρῆλθε μετὰ δυνάμεως εἰς τὴν Ἤπειρον, ἐλπίδας ἔχων ῥᾳδίως τὸν Ἀλκέταν ἀποστήσειν τῆς ἀρχῆς, ἀσυντάκτων ἔτι τῶν κατὰ τὴν βασιλείαν ὄντων. καταστρατοπεδεύσαντος δ' αὐτοῦ περὶ Κασσωπίαν πόλιν, Ἀλκέτας τοὺς μὲν υἱοὺς Ἀλέξανδρον καὶ Τεῦκρον ἀπέστειλεν ἐπὶ τὰς πόλεις, διακελευσάμενος στρατολογεῖν ὡς πλείστους, αὐτὸς δὲ μεθ' ἧς εἶχε δυνάμεως ἀναζεύξας, ἐπειδὴ πλησίον ἐγένετο τῶν πολεμίων, ἀνέμενε τὴν τῶν υἱῶν παρουσίαν. τῶν δὲ περὶ Λυκίσκον ἐπικειμένων, καὶ πολὺ τοῖς πλήθεσιν ὑπερεχόντων, οἱ μὲν Ἠπειρῶται καταπλαγέντες προσεχώρησαν τοῖς πολεμίοις, ὁ δ' Ἀλκέτας καταλειφθεὶς κατέφυγεν εἰς Εὐρυμενὰς πόλιν Ἠπειρωτικήν. ἐνταῦθα δ' αὐτοῦ πολιορκουμένου, παρεγενήθησαν οἱ περὶ τὸν Ἀλέξανδρον βοήθειαν φέροντες τῷ πατρί. γενομένης οὖν μάχης ἰσχυρᾶς ἀνηρέθησαν πολλοὶ τῶν στρατιωτῶν, ἐν οἷς ἦσαν ἄλλοι τέ τινες τῶν ἀνδρῶν καὶ Μίκυθος ὁ στρατηγὸς καὶ Λύσανδρος Ἀθηναῖος ὁ κατασταθεὶς ἐπὶ τῆς Λευκάδος ὑπὸ Κασσάνδρου. μετὰ δὲ ταῦτα Δεινίου βοηθήσαντος τοῖς ἐλαττουμένοις ἐγένετο δευτέρα μάχη, καθ' ἣν οἱ μὲν περὶ Ἀλέξανδρον καὶ Τεῦκρον ἡττηθέντες ἔφυγον εἴς τι χωρίον ἐρυμνὸν μετὰ τοῦ πατρός· 387 ὁ δὲ Λυκίσκος Εὐρυμενὰς ἐκπολιορκήσας καὶ διαρπάσας κατέσκαψε.

89 Καθ' ὃν δὴ χρόνον Κάσσανδρος ἀκηκοὼς μὲν τὴν τῶν ἰδίων ἧτταν, ἀγνοῶν δὲ τὸ μετὰ ταῦτα γεγονὸς εὐτύχημα, κατὰ σπουδὴν ἧκεν εἰς τὴν Ἤπειρον βοηθήσων τοῖς περὶ Λυκίσκον. καταλαβὼν δ' αὐτοὺς ἐπὶ τοῦ προτερήματος γεγονότας, πρὸς μὲν Ἀλκέταν διαλυσάμενος φιλίαν συνέθετο· τῆς δὲ δυνάμεως μέρος ἀναλαβὼν ἀνέζευξεν εἰς τὸν Ἀδρίαν, πολιορκήσων τοὺς Ἀπολλωνιάτας, ὅτι τὴν φρουρὰν ἐκβαλόντες τὴν αὐτοῦ προσέθεντο τοῖς Ἰλλυριοῖς. οὐ μὴν οἵ γε ἐν τῇ πόλει κατεπλάγησαν, ἀλλὰ βοήθειαν μεταπεμψάμενοι παρὰ τῶν ἄλλων συμμάχων πρὸ τῶν τειχῶν παρετάξαντο. γενομένης δὲ καρτερᾶς μάχης ἐπὶ πολὺν χρόνον, οἱ μὲν Ἀπολλωνιᾶται τοῖς πλήθεσιν ὑπερέχοντες τοὺς ἀντιτεταγμένους φυγεῖν ἠνάγκασαν, ὁ δὲ Κάσσανδρος πολλοὺς στρατιώτας ἀποβαλών, καὶ δύναμιν μὲν οὐκ ἔχων περὶ αὑτὸν ἀξιόχρεων, τὴν δὲ χειμερινὴν ὥραν θεωρῶν, ἐπανῆλθεν εἰς Μακεδονίαν. τούτου δὲ χωρισθέντος, Λευκάδιοι προσλαβόμενοι βοήθειαν παρὰ Κερκυραίων ἐξέβαλον τὴν φρουρὰν τοῦ Κασσάνδρου. οἱ δ' Ἠπειρῶται χρόνον μέν τινα διέμενον ὑπ' Ἀλκέτου βασιλευόμενοι· χρωμένου δ' αὐτοῦ χαλεπώτερον τοῖς πλήθεσιν, αὐτόν τε κατέσφαξαν καὶ δύο τῶν υἱῶν παῖδας ὄντας τὴν ἡλικίαν, Ἠϊονέα καὶ Νῖσον.

90 Κατὰ δὲ τὴν Ἀσίαν Σέλευκος μετὰ τὴν γενομένην ἧτταν Δημητρίῳ περὶ Γάζαν τῆς Συρίας ἀναλαβὼν παρὰ Πτολεμαίου πεζοὺς μὲν οὐ πλείους τῶν ὀκτακοσίων, ἱππεῖς δὲ περὶ διακοσίους, ἀνέζευξεν ἐπὶ Βαβυλῶνος, ἐπὶ τοσοῦτον μεμετεωρισμένος ταῖς ἐλπίσιν ὥστ' εἰ καὶ μηδεμίαν εἶχε δύναμιν τὸ παράπαν, μετὰ τῶν φίλων καὶ τῶν ἰδίων παίδων τὴν εἰς τοὺς ἄνω τόπους ἀνάβασιν ποιεῖσθαι. ὑπελάμβανε γὰρ τοὺς μὲν Βαβυλωνίους διὰ τὴν προϋπάρχουσαν εὔνοιαν ἑτοίμως αὑτῷ προσθήσεσθαι, τοὺς δὲ περὶ Ἀντίγονον μετὰ δυνάμεως μακρὰν ἀπεσπασμένους παραδεδωκέναι καιρὸν οἰκεῖον ταῖς ἰδίαις ἐπιβολαῖς. τοιαύτης δ' οὔσης τῆς περὶ αὐτὸν ὁρμῆς, οἱ συνόντες φίλοι θεωροῦντες ὅτι μετ' αὐτῶν μέν εἰσι παντελῶς ὀλίγοι συστρατεύοντες, τοῖς δὲ πολεμίοις ἐφ' οὓς προάγουσι καὶ δυνάμεις ὑπάρχουσιν ἕτοιμαι μεγάλαι καὶ χορηγίαι λαμπραὶ καὶ συμμάχων πλῆθος, οὐ μετρίως ἠθύμουν. οὓς ὁρῶν καταπεπληγμένους ὁ Σέλευκος παρεκάλει, διδάσκων ὅτι τοὺς Ἀλεξάνδρῳ συνεστρα-

78. Ἀρύμβου Palmerius, Ἀριβήλου FQW, Ἀῤῥιβύλου Q, caeteri Ἀρυβίλου  79. πρὸς Κάσσανδρον] ὑπὸ Κασσάνδρου F, altero suprascripto  80. ὁ τεταγμένος om. Bas.  83. τὴν βασιλείαν] τὴν ἀρχὴν τῆς βασιλείας Q  85. Κασσωπίαν] Κασωπίαν Bas.  96. φέροντες] ἔχοντες Bas.  98. ἀνδρῶν] desidero ἐπιφανῶν ἀνδρῶν vel eiusmodi quod  Μίκυθος] Μίκιλος W (θ suprascripto), Μίκυλος F
387. 9. αὐτοὺς ante γεγονότας ponit F

13. τοὺς om. F  16. παρὰ] παρά γε F  21. μὲν om. W  22. ἀξιόχρεων] ἀξιόχρεω F  25. Κερκυραίων] Κορκυραίων Bas.  28. Ἠπειρῶται] ὑπηρέται F  ὑπ' F, caeteri ὑπὸ  29. Ἡσιονέα] Ἡσιονέαν FV, Ἡσιονέα Bas.: quorum quum nihil graecum videretur, scripsi Ἠϊονέα: v. ad vol. I. p. 314. 56.  32. Δημητρίῳ] Δημητρίου FW  36. εἶχε] ἔχει F (οι suprascripto)  37. μετὰ] μετ' αὐτῶν F  post ὀλίγοι addit φίλοι F  45. παντελῶς om. FVW  46. οὓς] οἷς Bas.
47. ἕτοιμοι — χορηγίας λαμπρὰς Bas.

τευκότας καὶ δι᾽ ἀρετὴν ὑπ᾽ ἐκείνου προηγμένους προςήκει μὴ πάντως δυνάμει καὶ χρήμασι πεποιθότας ἀντέχεσθαι τῶν πραγμάτων, ἀλλ᾽ ἐμπειρίᾳ καὶ συνέσει. δι᾽ ὧν κἀκεῖνος τὰ μεγάλα καὶ παρὰ πᾶσι θαυμαζόμενα κατειργάσατο· πιστεύειν δὲ δεῖν καὶ ταῖς τῶν θεῶν προῤῥήσεσι τὸ τέλος ἔσεσθαι τῆς στρατείας ἄξιον τῆς ἐπιβολῆς. ἐν μὲν γὰρ Βραγχίδαις αὐτοῦ χρηστηριαζομένου
τὸν θεὸν προςαγορεῦσαι Σέλευκον βασιλέα· τὸν δὲ Ἀλέ- 388
ξανδρον καθ᾽ ὕπνον ἐπιστάντα φανερῶς διασημῆναι περὶ τῆς ἐσομένης ἡγεμονίας, ἧς δεῖ τυχεῖν αὐτὸν προϊόντος τοῦ χρόνου. πρὸς δὲ τούτοις ἀπεφαίνετο διότι πάντα γίνεται τὰ καλὰ καὶ παρ᾽ ἀνθρώποις θαυμαζόμενα διὰ πόνων καὶ κινδύνων. ἐπολιτεύετο δὲ καὶ πρὸς τοὺς συστρατεύοντας, καὶ κατεσκεύαζεν αὑτὸν ἴσον ἅπασιν, ὥςθ᾽ ἕκαστον αἰδεῖσθαι καὶ τὸ παράβολον τῆς τόλμης ἑκουσίως ὑπομένειν. ἐπεὶ δὲ προάγων κατήντησεν εἰς Μεσοποταμίαν, τῶν ἐν Κάῤῥαις κατῳκισμένων Μακεδόνων οὓς μὲν ἔπεισεν οὓς δ᾽ ἐβιάσατο συστρατεύειν αὐτῷ· ὡς δ᾽ εἰς τὴν Βαβυλωνίαν ἐνέβαλεν, οἱ πλείους τῶν ἐγχωρίων ἀπήντων, καὶ προςτιθέμενοι πᾶν ἔφασαν τὸ δοκοῦν αὐτῷ συμπράξειν. τετραέτη γὰρ χρόνον γεγονὼς σατράπης τῆς χώρας ταύτης πᾶσι προςενήνεκτο καλῶς, ἐκκαλούμενος τὴν εὔνοιαν τοῦ πλήθους καὶ πόῤῥωθεν προπαρασκευαζόμενος τοὺς συμπράξοντας, ἐὰν αὐτῷ δοθῇ καιρὸς ἀμφισβητεῖν ἡγεμονίας. προςεχώρησε δ᾽ αὐτῷ καὶ Πολύαρχος, τεταγμένος ἐπί τινος διοικήσεως, μετὰ στρατιωτῶν πλειόνων ἢ χιλίων. οἱ δὲ διαφυλάττοντες τὴν πρὸς Ἀντίγονον φιλίαν ὁρῶντες ἀκατάσχετον οὖσαν τὴν τοῦ πλήθους ὁρμήν, συνέφευγον εἰς τὴν ἄκραν, ἧς φύλαξ ἀπεδέδεικτο Δίφιλος. ὁ δὲ Σέλευκος συστησάμενος πολιορκίαν, καὶ κατὰ κράτος ἑλὼν τὴν ἄκραν, ἐκομίσατο τὰ φυλαττόμενα σώματα

52. τῶν πραγμάτων] πραγμάτων T 55. δεῖν Bas., caeteri δεῖ 57. Βραγχίδαις] Βραγχίδεσιν Bas., Βραχίδεσι V 58. προςαγορεῦσαι] προαγορεῦσαι F

388. 60. διασημῆναι VW, caeteri διασημᾶναι 64. δὲ καὶ] δὲ W 69. Κάῤῥαις Wesselingius: libri Κάραις κατῳκισμένων om. Bas. 70. δ᾽ F 71. ἐνέβαλεν] ἐνέβαλλον T Bas. 72. τὸ δοκοῦν αὐτῷ] αὐτῷ τὸ δοκοῦν Bas. 73. τετραέτη] τετραετῆ libri 74. προςενήνεκτο] προςανηνέγκετο F 75. πόῤῥωθεν] πόῤῥω Bas. 77. δοθῇ] δόσῃ FW, δώσῃ V 78. Πολύαρχος] Πολίαρχος W 79. στρατιωτῶν — χιλίων] τῶν χιλίων στρατιωτῶν ἢ καὶ πλειόνων Q 80. πλειόνων] πλέον F 82. συνέφευγον] συνέφυγον F



τῶν παίδων καὶ τῶν φίλων ὅσοι παρεδόθησαν εἰς φυλακὴν παρ᾽ Ἀντιγόνου μετὰ τὴν ἐκ Βαβυλῶνος εἰς Αἴγυπτον ἀποχώρησιν. ἀπὸ δὲ τούτων γενόμενος στρατιώτας συνήγαγε, καὶ συναγοράσας ἵππους ἀνεδίδου τοῖς δυναμένοις χρῆσθαι. πᾶσι δὲ φιλανθρώπως ὁμιλῶν καὶ καθιστὰς εἰς ἀγαθὰς ἐλπίδας, ἑτοίμους εἶχε καὶ προθύμους ἐν πάσῃ περιστάσει τοὺς συγκινδυνεύοντας. Σέλευκος μὲν οὖν τοῦτον τὸν τρόπον ἀνεκτήσατο τὴν Βαβυλωνίαν.

92

Νικάνορος δὲ τοῦ περὶ Μηδίαν στρατηγοῦ συναγαγόντος ἐπ᾽ αὐτὸν ἔκ τε Μηδίας καὶ Περσίδος καὶ τῶν σύνεγγυς τόπων στρατιώτας πεζοὺς μὲν πλείους τῶν μυρίων, ἱππεῖς δὲ περὶ ἑπτακιςχιλίους, ὥρμησε κατὰ σπουδὴν ἀπαντήσων τοῖς πολεμίοις. εἶχε δὲ τοὺς σύμπαντας πεζοὺς μὲν πλείους τῶν τριςχιλίων, ἱππεῖς δὲ τετρακοσίους. διαβὰς δὲ τὸν Τίγριν ποταμόν, καὶ πυνθανόμενος ὀλίγων ἡμερῶν ὁδὸν ἀπέχειν τοὺς πολεμίους, ἔκρυψε τοὺς στρατιώτας ἐν τοῖς πλησίον ἕλεσι, διανοούμενος ἀπροσδόκητον ποιήσασθαι τὴν ἐπίθεσιν. ὁ δὲ Νικάνωρ ἐπειδὴ παραγενηθεὶς ἐπὶ τὸν Τίγριν ποταμὸν οὐχ εὕρισκε τοὺς πολεμίους, κατεστρατοπέδευσε πρός τινι βασιλικῷ σταθμῷ, νομίζων αὐτοὺς πεφευγέναι μακρότερον. ἐπιγενομένης δὲ νυκτός, καὶ τῶν περὶ Νικάνορα καταπεφρονηκότως καὶ ῥαθύμως ἐχόντων τὰ περὶ τὰς φυλακάς, ἐπιπεσὼν ὁ Σέλευκος ἄφνω πολλὴν
389 ταραχὴν καὶ κατάπληξιν κατεσκεύασε. συναψάντων γὰρ μάχην τῶν Περσῶν συνέβη τόν τε σατράπην αὐτῶν Εὔαγρον πεσεῖν καί τινας τῶν ἄλλων ἡγεμόνων. οὗ συμβάντος οἱ πλείους τῶν στρατιωτῶν τὰ μὲν τὸν κίνδυνον καταπεπληγμένοι, τὰ δὲ προςκόπτοντες τοῖς ὑπ᾽ Ἀντιγόνου πραττομένοις, μετεβάλοντο πρὸς Σέλευκον. ὁ δὲ Νικάνωρ μετ᾽ ὀλίγων ἀπολειφθείς, καὶ δεδιὼς μὴ παραδοθῇ τοῖς πολεμίοις, ἔφυγε μετὰ τῶν φίλων διὰ τῆς ἐρήμου. Σέλευκος δὲ δυνάμεως ἁδρᾶς κυριεύσας, καὶ φιλανθρώπως πᾶσι προςφερόμενος, ῥᾳδίως προςηγάγετο τήν τε Σουσιανὴν καὶ Μηδίαν καί τινας τῶν σύνεγγυς τόπων· περί τε τῶν διῳκημένων ἔγραψε πρὸς

86. παίδων καὶ τῶν φίλων] φίλων καὶ τῶν παίδων Bas. 92. τοὺς om. Bas. 93. τὸν τρόπον τοῦτον] invertit F 95. Μηδίαν] Μηδείαν Bas. et mox Μηδείας, μήδειαν F 98. τῶν om. F 2. ὀλίγων ἡμερῶν] ὀλίγην Bas. 6. εὕρισκε V, caeteri ηὕρισκε 9. καταπεφρονηκότως Stephanus: libri καταπεφρονηκότων 11. πολλὴν] καὶ πολλὴν Bas.

389. 14. κατεσκεύασε] παρεσκεύασε F 18. πραττομένοις] προςταττομένοις Q, προςτεταγμένοις FQVW

Πτολεμαῖον καὶ τοὺς ἄλλους φίλους, ἔχων ἤδη βασιλικὸν ἀνάστημα καὶ δόξαν ἀξίαν ἡγεμονίας.

93 Ἅμα δὲ τούτοις πραττομένοις Πτολεμαῖος μὲν διέτριβε περὶ τὴν κοίλην Συρίαν, νενικηκὼς Δημήτριον τὸν Ἀντιγόνου παρατάξει μεγάλῃ. ὃν πυνθανόμενος ἐκ Κιλικίας ἀνεστροφέναι καὶ στρατοπεδεύειν περὶ τὴν ἄνω Συρίαν, προεχειρίσατο τῶν περὶ αὑτὸν φίλων Κίλλην τὸν Μακεδόνα. τούτῳ δὲ δοὺς δύναμιν ἱκανὴν προσέταξεν ἐκδιῶξαι τὸν Δημήτριον τὸ παράπαν ἐκ τῆς Συρίας ἢ περικαταλαβόντα συντρῖψαι. τούτου δ' ὄντος κατὰ πορείαν, Δημήτριος διὰ τῶν σκοπῶν ἀκούσας τὸν Κίλλην στρατοπεδεύειν καταπεφρονηκότως περὶ Μυοῦντα, τὴν μὲν ἀποσκευὴν ἀπέλιπε, τοὺς δὲ στρατιώτας εὐζώνους παραλαβὼν νυκτὸς πορείαν σύντομον ἐποιήσατο. προςπεσὼν δὲ τοῖς πολεμίοις ἑωθινῆς φυλακῆς ἄφνω τῆς τε δυνάμεως ἄνευ μάχης ἐκυρίευσε καὶ αὐτὸν τὸν Κίλλην τὸν στρατηγὸν ἐζώγρησε. τηλικούτου δ' εὐτυχήματος γεγενημένου, τὴν ἧτταν ἀναμαχέσασθαι διελήφθη. οὐ μὴν ἀλλὰ τὸν Πτολεμαῖον ὑπολαμβάνων ἥξειν ἐπ' αὐτὸν μετὰ πάσης τῆς δυνάμεως, ἐστρατοπέδευσε προβλήματα τῆς παρεμβολῆς ποιησάμενος ἕλη καὶ λίμνας. ἔγραψε δὲ καὶ πρὸς τὸν πατέρα περὶ τοῦ γενομένου κατορθώματος, παρακαλῶν αὐτὸν ἢ δύναμιν ἀποστεῖλαι τὴν ταχίστην ἢ καὶ αὐτὸν παραβαλεῖν εἰς Συρίαν. ὁ δ' Ἀντίγονος ἐτύγχανε μὲν ὢν ἐν Κελαιναῖς τῆς Φρυγίας, κομισάμενος δὲ τὴν ἐπιστολὴν ἐχάρη διαφερόντως ἐπὶ τῷ δοκεῖν τὸν υἱὸν νέον ὄντα καὶ κατωρθωκέναι δι' ἑαυτοῦ καὶ φαίνεσθαι βασιλείας ἄξιον. αὐτὸς δὲ τὴν δύναμιν ἀναλαβὼν ἀνέζευξεν ἐκ τῆς Φρυγίας, καὶ τὸν Ταῦρον ὑπερβαλὼν ὀλίγαις ἡμέραις συνέμιξε τοῖς περὶ τὸν Δημήτριον. Πτολεμαῖος δὲ πυθόμενος τὴν Ἀντιγόνου παρουσίαν, καὶ συναγαγὼν τοὺς ἡγεμόνας καὶ φίλους, ἐβουλεύετο πότερον συμφέρει μένειν καὶ ἀγωνίζεσθαι περὶ τῶν ὅλων κατὰ Συρίαν ἢ προάγειν εἰς Αἴγυπτον καὶ πολεμεῖν ἐκεῖθεν, καθάπερ καὶ πρότερον, Περδίκκᾳ. πάντες οὖν συνεβούλευον μὴ διακινδυνεύειν πρὸς δύναμιν πολλαπλασίονα καὶ θη-
390 ρίων πλῆθος, ἔτι δὲ στρατηγὸν ἀήττητον· εὐχερέστερον γὰρ πολλῷ διαγωνιεῖσθαι κατὰ τὴν Αἴγυπτον, ταῖς τε χορηγίαις ὑπερέχοντα καὶ τόπων ὀχυρότητι πιστεύοντα. διὸ καὶ κρίνας ἐκλιπεῖν τὴν Συρίαν, κατέσκαψε τὰς ἀξιολογωτάτας τῶν κεκρατημένων πόλεων, Ἄκην μὲν τῆς Φοινίκης Συρίας, Ἰόπην δὲ καὶ Σαμάρειαν καὶ Γάζαν τῆς Συρίας, αὐτὸς δὲ τὴν δύναμιν ἀναλαβὼν καὶ τῶν χρημάτων ὅσα δυνατὸν ἦν ἄγειν καὶ φέρειν ἐπανῆλθεν εἰς Αἴγυπτον.

94 Ἀντίγονος δ' ἀκινδύνως ἀνακτησάμενος τήν τε Συρίαν πᾶσαν καὶ Φοινίκην, ἐπεβάλετο στρατεύειν ἐπὶ τὴν χώραν τῶν Ἀράβων τῶν καλουμένων Ναβαταίων. κρίνας γὰρ τὸ ἔθνος τοῦτο τῶν ἑαυτοῦ πραγμάτων ἀλλότριον εἶναι, προεχειρίσατο τῶν ἑαυτοῦ φίλων Ἀθήναιον. δοὺς δ' αὐτῷ πεζοὺς μὲν εὐζώνους τετρακιςχιλίους, ἱππεῖς δὲ τοὺς ἐπιτηδείους εἰς δρόμον ἑξακοσίους, συνέταξεν ἐπιθέσθαι τοῖς βαρβάροις ἄφνω καὶ τὴν λείαν πᾶσαν ἀποτεμέσθαι. χρήσιμον δ' ἐστὶ τῶν ἀγνοούντων ἕνεκα διελθεῖν τὰ νόμιμα τῶν Ἀράβων τούτων, οἷς χρώμενοι δοκοῦσι τὴν ἐλευθερίαν διαφυλάττειν. ἔχουσι τοίνυν τὸν βίον ὑπαίθριον, πατρίδα καλοῦντες τὴν ἀοίκητον τὴν μήτε ποταμοὺς ἔχουσαν μήτε κρήνας δαψιλεῖς, ἐξ ὧν δυνατὸν στρατόπεδον πολέμιον ὑδρεύσασθαι. νόμος δ' ἐστὶν αὐτοῖς μήτε σῖτον σπείρειν μήτε φυτεύειν μηδὲν φυτὸν καρποφόρον μήτε οἴνῳ χρῆσθαι μήτε οἰκίαν κατασκευάζειν· ὃς δ' ἂν παρὰ ταῦτα ποιῶν εὑρίσκηται, θάνατον αὐτῷ πρόστιμον εἶναι. χρῶνται δὲ τῷ νόμῳ τούτῳ διαλαμβάνοντες τοὺς ταῦτα κτωμένους ἀναγκασθήσεσθαι ῥᾳδίως ὑπὸ τῶν δυνατῶν ἕνεκα τῆς τούτων χρείας ποιεῖν τὸ προςταττόμενον· τρέφουσι δ' αὐτῶν οἱ μὲν καμήλους οἱ δὲ πρόβατα, τὴν ἔρημον ἐπινε-

28. τὴν κοίλην] κοίλην Bas. 30. ἀνεστροφέναι] ἀνεστραφέναι FW Bas. 31. αὑτὸν] αὐτὸν F 32. ἱκανὴν] τὴν ἱκανὴν F 37. ἀποσκευὴν] παρασκευὴν FX Bas. 39. σύντομον] videtur aptius σύντονον 41. τὸν Κίλλην om. Bas., τὸν κίλλαν, si recte lego, F 43. γεγενημένου] γενομένου F ἀναμαχέσασθαι F super ἀναμεμηχανῆσθαι, ἀναμαχήσασθαι W Bas., caeteri ἀναμαχήσεσθαι διελήφθη] διειλήφει FWY, διειλήφθει Bas. 47. τοῦ om. Bas. 48. παρακαλῶν] libri καὶ παρακαλῶν 49. παραβαλεῖν εἰς] παραλαβεῖν τὴν QY Bas. (φ superscr.) 50. ὢν om. F 52. τῷ] τὸ F καὶ κατ.] κατ. Bas. 53. δι' ἑαυτοῦ ante κατωρθωκέναι ponit F 55. συνέμιξε] συνέζευξε TX Bas. 58. καὶ φίλους om. FVW, asterisco notavit Stephanus

61. Περδίκκᾳ] πρὸς Περδίκκαν FW 62. πολλαπλασίονα FVW, caeteri πολλαπλάσιον 63. post στρατηγὸν om. ὄντα T Bas., asterisco notavit Stephanus 390. 66. ἐκλιπεῖν] ἔτι λιπεῖν FW 69. ἰόπην F, caeteri Ἰόππην 71. καὶ φέρειν] ἢ φέρειν FQW 75. Ναβαταίων] Νομάδων QVW et qui alterum γρ. in marg. ponit F 77. ἑαυτοῦ] ὑπ' αὐτοῦ F, αὐτοῦ Bas. 78. δ' abest libris αὐτῷ om. Bas. 81. ἀποτεμέσθαι] ἀποτέμνεσθαι FW 82. δ' ἐστὶ] δὲ F 89. χρῆσθαι] χρᾶσθαι FT Bas. 92. τῷ νόμῳ] νόμῳ Bas.

μοντες. οὐκ ὀλίγων δ' ὄντων Ἀραβικῶν ἐθνῶν τῶν τὴν ἔρημον ἐπινεμόντων οὗτοι πολὺ τῶν ἄλλων προέχουσι ταῖς εὐπορίαις, τὸν ἀριθμὸν ὄντες οὐ πολὺ πλείους τῶν μυρίων. εἰώθασι γὰρ αὐτῶν οὐκ ὀλίγοι κατάγειν ἐπὶ θάλατταν λιβανωτόν τε καὶ σμύρναν καὶ τὰ πολυτελέστατα τῶν ἀρωμάτων, διαδεχόμενοι παρὰ τῶν κομιζόντων ἐκ τῆς εὐδαίμονος καλουμένης Ἀραβίας. φιλελεύθεροι δέ εἰσι διαφερόντως, καὶ ὅταν πολεμίων δύναμις ἁδρὰ προςίῃ, φεύγουσιν εἰς τὴν ἔρημον, ταύτῃ χρώμενοι ὀχυρώματι. ἄνυδρος γὰρ οὖσα τοῖς μὲν ἄλλοις ἀνεπίβατός ἐστι, τούτοις δὲ κατεσκευακόσιν ἀγγεῖα κατὰ 391 γῆς ὀρυκτὰ κεκονιαμένα μόνοις παρέχεται τὴν ἀσφάλειαν. τῆς γὰρ γῆς οὔσης τῆς μὲν ἀργιλλώδους, τῆς δὲ πέτραν ἐχούσης μαλακήν, ὀρύγματα μεγάλα ποιοῦσιν ἐν αὐτῇ· ὧν τὰ μὲν στόμια μικρὰ παντελῶς κατασκευάζουσι, κατὰ βάθους δ' ἀεὶ μᾶλλον εὐρυχωρῆ ποιοῦντες τὸ τελευταῖον τηλικοῦτον ἀποτελοῦσι τὸ μέγεθος ὥςτε γίνεσθαι πλευρὰν ἑκάστην πλέθρου. ταῦτα δὲ τὰ ἀγγεῖα πληροῦντες ὕδατος ὀμβρίου τὰ στόμαт' ἐμφράττουσι, καὶ ποιοῦντες ἰσόπεδον τῇ λοιπῇ χώρᾳ σημεῖα καταλείπουσιν ἑαυτοῖς μὲν γινωσκόμενα, τοῖς δ' ἄλλοις ἀνεπινόητα. ποτίζουσι δὲ καὶ τὴν λείαν δι' ἡμερῶν τριῶν, ὅπως ἐν ταῖς ἀνυδρίαις καὶ φυγαῖς μὴ προςδέωνται συνεχῶν ὑδάτων. αὐτοὶ δὲ χρῶνται τροφῇ κρέασι καὶ γάλακτι καὶ τῶν ἐκ τῆς γῆς φυομένων τοῖς ἐπιτηδείοις. φύεται γὰρ παρ' αὐτοῖς τὸ πέπερι καὶ ἀπὸ τῶν δένδρων μέλι πολὺ τὸ καλούμενον ἄγριον, ᾧ χρῶνται ποτῷ μεθ' ὕδατος. ἔστι δὲ καὶ ἄλλα γένη τῶν Ἀράβων, ὧν ἔνια καὶ γεωργεῖ μιγνύμενα τοῖς φορολογουμένοις καὶ μετέχει τῶν αὐτῶν τοῖς Σύροις πλὴν τοῦ κατασκηνοῦν ἐν οἰκίαις.

95 Τὰ μὲν οὖν νόμιμα τῶν Ἀράβων τοιαῦτ' εἶναι συμβέβηκεν. ὑπογύου δ' αὐτοῖς οὔσης πανηγύρεως, εἰς ἣν

98. πολὺ] πολλοὶ F 100. θάλατταν] libri θάλασσαν
3. καλουμένης om. Bas.
391. 8. κεκονιαμένα] supra versum ponit F, κεκονιασμένα VW
ἣν αν
μόνοις] ἃ μόνοις F 9. τῆς ἀσφαλείας F
ἀργιλλώδους] ἀργελλώδους TY, ἀργυλλώδους Bas.
12. μᾶλλον om. Bas. 13. εὐρυχωρῆ] εὐρυχωρίαν QVW, εὐρυ-
ίαν
χωρῆ F τηλικοῦτον] τηλικοῦτ' T Bas. 14. τὸ om. Bas.
15. τὰ om. Bas. 16. στόματ' Bas., caeteri στόματα
ἐμφράττουσι] ἐμφράσσουσι F 18. γιγνωσκόμενα omnes
20. ταῖς om. Bas. 23. καὶ ἀπὸ τῶν δένδρων Wesselingius: libri ἀπὸ τῶν δένδρων καὶ 29. μὲν οὖν] μὲν F
30. ὑπογύου] ὑπογυίου omnes



εἰώθεισαν οἱ περίοικοι καταντᾶν οἱ μὲν ἀποδωσόμενοι τῶν φορτίων, οἱ δ' ἀγοράσοντές τι τῶν αὐτοῖς χρησίμων, εἰς ταύτην ἐπορεύθησαν, ἀπολιπόντες ἐπί τινος πέτρας τὰς κτήσεις καὶ τοὺς πρεσβυτάτους, ἔτι δὲ τέκνα καὶ γυναῖκας. τὸ δὲ χωρίον ὑπῆρχεν ὀχυρὸν μὲν καθ' ὑπερβολήν, ἀτείχιστον δὲ καὶ τῆς οἰκουμένης ἀπέχον δυοῖν ἡμερῶν ὁδόν. οἱ δὲ περὶ τὸν Ἀθήναιον παρατηρήσαντες τοῦτον τὸν καιρόν, ὥρμησαν ἐπὶ τὴν πέτραν εὔζωνον ἔχοντες τὴν δύναμιν. διανύσαντες δ' ἀπὸ τῆς Ἰδουμαίας ἐπαρχίας ἐν ἡμέραις τρισὶ καὶ νυξὶ ταῖς ἴσαις σταδίους διςχιλίους καὶ διακοσίους, ἔλαθον τοὺς Ἄραβας περὶ μέσας νύκτας καταλαβόμενοι τὴν πέτραν. εὐθὺς δὲ τῶν ἐγκατειλημμένων οὓς μὲν ἀνῄρουν, οὓς δ' ἐζώγρουν, ἐνίους δὲ τραυματίας ἀπέλειπον. καὶ τοῦ μὲν λιβανωτοῦ καὶ τῆς σμύρνης συνεσκευάσαντο τὸ πλεῖον μέρος, ἀργυρίου δὲ περὶ πεντακόσια τάλαντα. ἐνδιατρίψαντες δ' οὐ πλείω χρόνον φυλακῆς εὐθὺς ἀνέστρεψαν κατὰ σπουδήν, διαλαμβάνοντες ὑπὸ τῶν βαρβάρων διωχθήσεσθαι. διατείναντες δὲ σταδίους διακοσίους κατεστρατοπέδευσαν, ὄντες κατάκοποι καὶ ῥᾳ-
392 θύμως ἔχοντες τὰ περὶ τὰς φυλακάς, ὡς ἂν νομίζοντες μὴ πρότερον δύνασθαι τοὺς πολεμίους ἐλθεῖν δυοῖν ἢ τριῶν ἡμερῶν. οἱ δ' Ἄραβες πυθόμενοι παρὰ τῶν ἑωρακότων τὸ στρατόπεδον, παραχρῆμα ἠθροίσθησαν, καὶ τὴν πανήγυριν ἀπολιπόντες ἧκον ἐπὶ τὴν πέτραν. παρὰ δὲ τῶν τραυματιῶν μαθόντες τὰ γεγονότα, κατὰ σπουδὴν ἐδίωκον τοὺς Ἕλληνας. τῶν δὲ περὶ τὸν Ἀθήναιον στρατοπεδευσάντων καταπεφρονηκότως καὶ διὰ τὸν κόπον ἐν ὕπνῳ καθεστώτων, ἔλαθόν τινες τῶν αἰχμαλώτων διαδράντες, παρ' ὧν οἱ Ναβαταῖοι μαθόντες τὰ κατὰ τοὺς πολεμίους, ἐπέθεντο τῇ στρατοπεδείᾳ περὶ τρίτην φυλακήν, ὄντες οὐκ ἐλάττους ὀκτακιςχιλίων. καὶ τοὺς πλείους μὲν ἐν ταῖς κοίταις ὄντας ἔτι κατέσφαξαν,

31. εἰώθεισαν W, caeteri εἰώθασιν 32. ἀγοράσοντες] ἀγοράσαντες F 37. δυοῖν] δυεῖν Bas. 43. νύκτας FW Bas., caeteri τὰς νύκτας 45. ἀπέλειπον] ἀπέλιπον FW Bas.
46. συνεσκευάσαντο] ἀνεσκευάσαντο VW 47. πλεῖον] πλείω Bas.
περὶ om. Bas. 49. ἀνέστρεψαν] ἀνέτρεψαν Bas.
52. κατάκοποι] κατάσκοποι Bas.

392. 54. δυοῖν] δυεῖν T Bas. ἡμερῶν] διάστημα addunt FW 59. Ἀθήναιον] ἀθηναῖον F hic et infra στρατοπεδευσάντων] στρατοπεδευόντων FVW 62. Ναβαταῖοι] Νομάδες QVW, et alterum γρ. in marg. ponens F hic et infra
64. ἐλάττους] ἐλάσσω Y Bas., caeteri ἐλάσσους 66. ἔτι om. Bas.

τοὺς δὲ διεγειρομένους καὶ χωροῦντας εἰς ὅπλα κατηκόντιζον· καὶ πέρας οἱ μὲν πεζοὶ πάντες ἀνηρέθησαν, τῶν δ' ἱππέων διεσώθησαν εἰς πεντήκοντα, καὶ τούτων οἱ πλείους τραυματίαι. οἱ μὲν οὖν περὶ τὸν Ἀθήναιον ἐν ἀρχῇ κατορθώσαντες ἐξ ὑστέρου διὰ τὴν ἑαυτῶν ἀβουλίαν τοῦτον τὸν τρόπον ἐσφάλησαν. ταῖς γὰρ εὐτυχίαις εἴωθεν ὡς ἐπίπαν ἀκολουθεῖν ῥαθυμία τε καὶ καταφρόνησις. διόπερ ἔνιοι προςηκόντως ὑπολαμβάνουσιν εὐχερέστερον ὑπάρχειν συμφορὰς ἐνεγκεῖν ἐπιδεξίως ἢ τὰς εὐμεγέθεις εὐημερίας ἐμφρόνως. αἱ μὲν γὰρ διὰ τὸν περὶ τοῦ μέλλοντος φόβον ἐπαναγκάζουσιν ἐπιμελεῖσθαι, αἱ δὲ διὰ τὸ προγεγονὸς εὐτύχημα προτρέπονται καταφρονεῖν πάντων.

96 Οἱ δὲ Ναβαταῖοι τοὺς πολεμίους κολάσαντες ἀνδρωδῶς, αὐτοὶ μὲν ἐπανῆλθον εἰς τὴν πέτραν τὰ σφέτερα κεκομισμένοι· πρὸς δ' Ἀντίγονον ἐπιστολὴν γράψαντες Συρίοις γράμμασι τῶν μὲν περὶ Ἀθήναιον κατηγόρουν, ὑπὲρ ἑαυτῶν δὲ ἀπελογοῦντο. ὁ δ' Ἀντίγονος ἀντέγραψεν αὐτοῖς, προςμαρτυρῶν ὡς δικαίως μὲν ἠμύναντο, τῶν δὲ περὶ Ἀθήναιον κατηγόρει, φάσκων παρὰ τὰς δεδομένας ἐντολὰς ὑπ' αὐτοῦ πεποιῆσθαι τὴν ἐπίθεσιν. τοῦτο δ' ἔπραττε κρύπτων τὴν ἑαυτοῦ προαίρεσιν καὶ βουλόμενος ὑπαγαγέσθαι τοὺς βαρβάρους εἰς ῥαθυμίαν, ὅπως ἀνελπίστως ἐπιθέμενος κρατήσῃ τῆς ἐπιβολῆς· οὐ γὰρ ῥᾴδιον ἦν ἄνευ δόλου τινὸς ἀνδρῶν περιγενέσθαι νομάδα βίον ἐζηλωκότων καὶ καταφυγὴν ἀπρόςιτον ἐχόντων τὴν ἔρημον. οἱ δ' Ἄραβες περιχαρεῖς μὲν ἦσαν ἐπὶ τῷ δοκεῖν ἀπολελύσθαι μεγάλων φόβων, οὐ μὴν παντελῶς ἐπίστευόν γε τοῖς Ἀντιγόνου λόγοις, ἀλλὰ τὰς ἐλπίδας ἔχοντες ἀμφιδοξουμένας σκοποὺς μὲν κατέστησαν ἐπὶ τῶν λόφων, ἀφ' ὧν ἦν ῥᾴδιον συνορᾶν πόῤῥωθεν τὰς εἰς τὴν Ἀραβίαν ἐμβολάς· αὐτοὶ δὲ συνταξάμενοι τὰ περὶ ἑαυτοὺς προςηκόντως ἐκαραδόκουν τὸ ἀποβησόμενον. ὁ δ' Ἀντίγονος φιλοποιησάμενος χρόνον τινὰ τοὺς βαρβάρους, καὶ νομίσας αὐτοὺς ἐξηπατημένους παραδεδωκέναι τὸν καθ' αὐτῶν καιρόν, ἐξέλεξεν ἐξ ἁπάσης τῆς δυνάμεως πεζοὺς

68. δ' F  71. ἐξ ὑστέρου] ἐξύστερον Bas.  73. τε om. Bas. et Florileg. Vat. post Exc. Vat. p. 145. 19.  75. ἐνεγκεῖν] ὑπενεγκεῖν Floril.  77. ἐπαναγκ.] συναναγκ. FW Flor.  78. προγεγονὸς] παραγεγονὸς FW  79. εὐτύχημα om. Flor.  80. Ναβαταῖοι] Νομάδες QW  82. κεκομισμένοι] κεκοσμημένοι Bas.  88. πεποιῆσθαι] ποιεῖσθαι FV  δ' Bas.  91. ἐπιβολῆς] ἐπιβολῆς (ου) F  94. τὴν ἔρημον] ἔρημον T Bas.  96. γε] τὲ Bas.  2. δ' Bas.



393 μὲν ψιλοὺς καὶ πρὸς δρόμον εὖ πεφυκότας τετρακιςχιλίους, ἱππεῖς δὲ πλείους τῶν τετρακιςχιλίων. καὶ τούτοις μὲν παρήγγειλε φέρειν ἄπυρα σῖτα πλειόνων ἡμερῶν· Δημήτριον δὲ τὸν υἱὸν καταστήσας ἡγεμόνα πρώτης φυλακῆς ἐξέπεμψε, προςτάξας κολάσαι τοὺς Ἄραβας καθ' ὃν ἂν δύνηται τρόπον. οὗτος μὲν οὖν ἐφ' ἡμέρας τρεῖς ἀνοδίᾳ πορευόμενος ἔσπευδε λαθεῖν τοὺς βαρβάρους. οἱ δὲ σκοποὶ κατανοήσαντες πολεμίαν δύναμιν εἰςβεβληκυῖαν, ἐσήμηναν τοῖς Ναβαταίοις διὰ τῶν συγκειμένων πυρσῶν. διόπερ οἱ βάρβαροι νομίσαντες συντόμως ἥκειν τοὺς Ἕλληνας, εἰς μὲν τὴν πέτραν ἀπέθεντο τὰς ἀποσκευὰς καὶ φυλακὴν τὴν ἱκανὴν ἐπέστησαν, οὔσης μιᾶς ἀναβάσεως χειροποιήτου· αὐτοὶ δὲ διελόμενοι τὴν λείαν ἄλλοι κατ' ἄλλους τόπους ἀπήλαυνον εἰς τὴν ἔρημον. Δημήτριος δὲ παραγενόμενος εἰς τὴν πέτραν, καὶ τὴν λείαν καταλαβὼν ἀπηλλαγμένην, προςβολὰς συνεχεῖς ἐποιεῖτο τῷ χωρίῳ. ἀμυνομένων δὲ τῶν ἔνδον εὐρώστως, καὶ περιγινομένων ῥᾳδίως διὰ τὴν ὑπεροχὴν τῶν τόπων, τότε μὲν μέχρι δείλης ἀγωνισάμενος ἀνεκαλέσατο τῇ σάλπιγγι τοὺς στρατιώτας. τῇ δ' ὑστεραίᾳ προςαγαγόντος αὐτοῦ τῇ πέτρᾳ τῶν βαρβάρων τις ἀνεβόησε, Βασιλεῦ Δημήτριε, τί βουλόμενος ἢ τίνος ἀναγκάζοντος πολεμεῖς ἡμᾶς, οἰκοῦντας ἐν ἐρημίᾳ καὶ τόποις οὔθ' ὕδωρ ἔχουσιν οὔτε σῖτον οὔτ' οἶνον οὔτ' ἄλλο τι ἁπλῶς οὐδὲν τῶν παρ' ὑμῖν εἰς τὴν χρείαν ἀνηκόντων; ἡμεῖς γὰρ οὐδενὶ τρόπῳ προςιέμενοι δουλεύειν συμπεφεύγαμεν εἰς χώραν σπανίζουσαν πάντων τῶν ἐν τοῖς ἄλλοις χρησίμων, καὶ βίον εἱλόμεθα ζῆν ἔρημον καὶ θηριώδη παντελῶς, οὐδὲν ὑμᾶς βλάπτοντες. ἀξιοῦμεν οὖν καὶ σὲ καὶ τὸν πατέρα μὴ ἀδικεῖν ἡμᾶς, ἀλλὰ λαβόντας δωρεὰς παρ' ἡμῶν ἀπαγαγεῖν τὸ στρατόπεδον, καὶ φίλους νομίζειν Ναβαταίους εἰς τὸν λοιπὸν χρόνον. οὔτε γὰρ βουλόμενος δύνασαι μένειν ἐνταῦθα πλείους ἡμέρας, ἀπορούμενος ὕδατος καὶ τῶν ἄλλων ἐπιτηδείων ἁπάντων, οὔθ' ἡμᾶς δύνασαι συναναγκάσαι βίον ζῆν ἕτερον, ἀλλά τινας αἰχμαλώτους [δούλους]

393. 15. εἰςβεβληκυῖαν] libri εἰςβεβηκυῖαν  Ναβαταίοις] Νομάσι QVW  24. περιγινομένων F, caeteri περιγιγνομένων  30. τίνος ἀναγκάζοντος] ὑπὸ τίνος ἀναγκαζόμενος F  32. οὔτ' ο. F, caeteri οὔτε ο.  ἄλλο τι] ἄλλο T Bas.  34. προςιέμενοι] βουλόμενοι QVW  35. ἐν om. Bas.  39. λαβόντας — ἡμῶν] βιοῦν τῶν ἡμῶν οὕτως X  40. ἀπαγαγεῖν] ἀπάγειν F  41. χρόνον om. F  Ναβαταίους] Νομάδας QVW  γὰρ om. Bas.  44. βίον ζῆν] ζῆν βίον F  45. δούλους om T Bas., asterisco notavit Stephanus

ἕξεις ἀθύμους καὶ ζῆν οὐκ ἂν ὑπομείναντας ἐν ἄλλοις
νομίμοις. ῥηθέντων δὲ τοιούτων λόγων, Δημήτριος μὲν
ἀπαγαγὼν τὴν στρατιὰν ἐκέλευσεν αὐτοὺς πρέσβεις ἀπο-
στέλλειν περὶ τούτων. οἱ δὲ Ἄραβες ἐξέπεμψαν τοὺς
πρεσβυτάτους, οἳ παραπλήσια τοῖς προειρημένοις διελ-
θόντες ἔπεισαν δεξάμενον δῶρα πολυτελέστατα τῶν παρ'
αὐτοῖς διαλύσασθαι.
98 Ὁ μὲν οὖν Δημήτριος λαβὼν ὁμήρους καὶ τὰς ὁμο-
λογηθείσας δωρεὰς ἀνέζευξεν ἀπὸ τῆς πέτρας. διατεί-
νας δὲ σταδίους τριακοσίους κατεστρατοπέδευσε πλησίον
τῆς Ἀσφαλτίτιδος λίμνης· ἧς τὴν φύσιν οὐκ ἄξιον πα-
ραδραμεῖν ἀνεπισήμαντον. κεῖται γὰρ κατὰ μέσην τὴν 394
σατραπείαν τῆς Ἰδουμαίας, τῷ μὲν μήκει παρεκτείνου-
σα σταδίους μάλιστά που πεντακοσίους, τῷ δὲ πλάτει
περὶ ἑξήκοντα. τὸ δ' ὕδωρ ἔχει διάπικρον καὶ καθ'
ὑπερβολὴν δυςῶδες, ὥςτε μήτ' ἰχθὺν δύνασθαι τρέφειν
μήτ' ἄλλο τῶν καθ' ὕδατος εἰωθότων ζῴων εἶναι. ἐμ-
βαλλόντων δ' εἰς αὐτὴν ποταμῶν μεγάλων τῇ γλυκύτητι
διαφόρων, τούτων μὲν περιγίνεται κατὰ τὴν δυςωδίαν,
ἐξ αὐτῆς δὲ μέσης ἐκφυσᾷ κατ' ἐνιαυτὸν ἀσφάλτου στε-
ρεᾶς μέγεθος ποτὲ μὲν μεῖζον ἢ τρίπλεθρον, ἔστι δ'
ὅτ' οὐ πολὺ λειπόμενον πλέθρου· ἐφ' ᾧ δὴ συνήθως
οἱ περιοικοῦντες βάρβαροι τὸ μὲν μεῖζον καλοῦσι ταῦ-
ρον, τὸ δ' ἔλαττον μόσχον. ἐπιπλεούσης δὲ τῆς ἀσφάλ-
του πελαγίας ὁ τόπος φαίνεται τοῖς ἐξ ἀποστήματος
θεωροῦσιν οἱονεί τις νῆσος. τὴν δ' ἔκπτωσιν φανερὰν
συμβαίνει γίνεσθαι πρὸ ἡμερῶν εἴκοσι. κύκλῳ γὰρ τῆς
λίμνης ἐπὶ πολλοὺς σταδίους ὀσμὴ τῆς ἀσφάλτου προς-
πίπτει μετὰ πνεύματος μοχθηροῦ, καὶ πᾶς ὁ περὶ τὸν
τόπον ἄργυρος καὶ χρυσὸς καὶ χαλκὸς ἀποβάλλει τὴν
ἰδιότητα τοῦ χρώματος. ἀλλ' αὕτη μὲν ἀποκαθίσταται
πάλιν, ἐπειδὰν ἀναφυσηθῆναι συμβῇ πᾶσαν τὴν ἄσφαλ-
τον· ὁ δὲ πλησίον τόπος ἔμπυρος ὢν καὶ δυςώδης ποιεῖ
τὰ σώματα τῶν περιοικούντων ἐπίνοσα καὶ παντελῶς
ὀλιγοχρόνια. ἀγαθὴ δ' ἐστὶ φοινικόφυτος ὅσην αὐτῆς
συμβαίνει διειλῆφθαι ποταμοῖς χρησίμοις ἢ πηγαῖς δυ-

58. ἄξιον] ἀνάξιον F
394. 59. τῆς Ἰδουμαίας om. Bas., asterisco notavit Stephanus 60. που] πως T Bas., om. W, ὡς F 64. ζῴων εἶναι II. 48.: hic libri ζῴων 66. αὐτῆς F, caeteri αὐτῆς
η ν
69. ᾧ] ὧν F, ὧν Bas. 71. ἔλαττον II. 48.: hic libri ἔλασσον 72. ἐξ ἀποστήματος] ἐκ διαστήματος FQVW 74. φανερὰν post γίνεσθαι ponit F 75. πολλοὺς σταδίους] πολλῶν σταδίων W 76. μετὰ accessit ex II. 48. μοχθηροῦ om. X Bas.



ναμέναις ἀρδεύειν. γίνεται δὲ περὶ τοὺς τόπους τού-
τους ἐν αὐλῶνί τινι καὶ τὸ καλούμενον βάλσαμον, ἐξ
οὗ πρόςοδον ἁδρὰν εἶναι συμβαίνει, οὐδαμοῦ μὲν τῆς
ἄλλης οἰκουμένης εὑρισκομένου τοῦ φυτοῦ, τῆς δ' ἐξ
αὐτοῦ χρείας εἰς φάρμακα τοῖς ἰατροῖς καθ' ὑπερβολὴν
εὐθετούσης. τὴν δ' ἐκπίπτουσαν ἄσφαλτον οἱ περιοι- 99
κοῦντες ἐξ ἀμφοτέρων τῶν μερῶν τὴν λίμνην διαρπά-
ζουσι πολεμικῶς διακείμενοι πρὸς ἀλλήλους, ἄνευ πλοί-
ων ἰδιαζόντως τὴν κομιδὴν ποιούμενοι. παρασκευασά-
μενοι γὰρ δέσμας καλάμων εὐμεγέθεις ἐμβάλλουσιν εἰς
τὴν λίμνην· ἐπὶ δὲ τούτων ἐπικάθηνται οὐ πλείω τριῶν,
ὧν δύο μὲν ἔχοντες προςδεδεμένας πλάτας κωπηλατοῦ-
σιν, εἷς δὲ φορῶν τόξα τοὺς προςπλέοντας ἐκ τοῦ πέραν
ἢ βιάζεσθαι τολμῶντας ἀμύνεται. ὅταν δὲ πλησίον γέ-
νωνται τῆς ἀσφάλτου, πελέκεις ἔχοντες ἐπιπηδῶσι, καὶ
καθάπερ μαλακῆς πέτρας ἀποκόπτοντες γεμίζουσι τὴν
δέσμην, εἶτα ἀποπλέουσιν εἰς τοὐπίσω. ἂν δέ τις αὐ-
τῶν ἀποπέσῃ τῆς δέσμης διαλυθείσης μὴ δυνάμενος νεῖν,
οὐ καταδύεται, καθάπερ ἐν τοῖς ἄλλοις ὕδασιν, ἀλλὰ
ἐπινήχεται τοῖς ἐπισταμένοις ὁμοίως. φύσει γὰρ τοῦτο
τὸ ὑγρὸν παραδέχεται βάρος ὃ συμβαίνει μετέχειν αὐξή-
σεως ἢ πνεύματος, ἔξω τῶν στερεῶν, ἃ τὴν πυκνότητα
δοκεῖ παραπλησίαν ἔχειν ἀργύρῳ καὶ χρυσῷ καὶ μολί-
βδῳ καὶ τοῖς ὁμοίοις· καὶ ταῦτα μὲν πολὺ βραδύτερον
395 καταφέρεται τῶν ἐν ταῖς ἄλλαις λίμναις ῥιπτουμένων.
ταύτην δ' ἔχοντες οἱ βάρβαροι πρόςοδον, ἀπάγουσι τὴν
ἄσφαλτον εἰς τὴν Αἴγυπτον, καὶ πωλοῦσιν εἰς τὰς τα-
ριχείας τῶν νεκρῶν· μὴ μιγνυμένης γὰρ ταύτης τοῖς
λοιποῖς ἀρώμασιν οὐ δυνατὸν γενέσθαι τὴν τῶν σωμά-
των φυλακὴν πολυχρόνιον.
Ὁ δ' Ἀντίγονος, ἐπανελθόντος τοῦ Δημητρίου καὶ 100
τὰ κατὰ μέρος τῶν πεπραγμένων ἀπαγγείλαντος, ἐπὶ
μὲν τῇ συνθέσει τῇ πρὸς τοὺς Ναβαταίους ἐπετίμησεν
αὐτῷ, λέγων ὅτι πολλῷ θρασυτέρους πεποίηκε τοὺς βαρ-
βάρους ἐάσας ἀτιμωρήτους· δόξειν γὰρ αὐτοὺς τετευχέ-
ναι συγγνώμης οὐ δι' ἐπιείκειαν, ἀλλὰ δι' ἀδυναμίαν

86. αὐλῶνι] αὐλῷ Bas. 87. μὲν] γὰρ W 88. εὑρισκομένου] εὑρίσκεσθαι W, εὑρισκόμενον τὸ φυτὸν F 96. οὐ πλείω τριων] τρεῖς FQW: πλείους Rhodomannus 97. ὧν addidit Schaeferus ad Bosii Ell. p. 292. προςδεδεμένας] δεδεμένας FV, προςδεδομένας Bas. 98. φορῶν] φέρων FW 8. αὐξήσεως ἢ] αὐξήσεως F 10. μολίβδῳ F, caeteri μολύβδῳ 11. μὲν] immo μέντοι
395. 16. τὴν τῶν om. F 20. Ναβαταίους] Νομάδας FQVW 21. πολλῷ om. F 24. ἀλλὰ δι'] ἀλλ' F

τοῦ κρατῆσαι. ἐπὶ δὲ τῷ κατασκέψασθαι τὴν λίμνην καὶ δοκεῖν εὑρηκέναι τινὰ τῇ βασιλείᾳ πρόσοδον ἐπαινέσας, ἐπὶ μὲν ταύτης ἐπιμελητὴν ἔταξεν Ἱερώνυμον τὸν τὰς ἱστορίας συγγράψαντα. τούτῳ δὲ συνετέτακτο πλοῖα παρασκευάσασθαι, καὶ πᾶσαν τὴν ἄσφαλτον ἀναλαβόντα συνάγειν εἴς τινα τόπον. οὐ μὴν ἀπέβη γε καὶ τὸ τέλος κατὰ τὴν ἐλπίδα τοῖς περὶ τὸν Ἀντίγονον. οἱ γὰρ Ἄραβες συστραφέντες εἰς ἑξακισχιλίους ἐπιπλεύσαντες ἐν ταῖς δέσμαις ἐπὶ τοὺς ἐν τοῖς πλοίοις σχεδὸν ἅπαντας κατετόξευσαν. ἐξ οὗ δὴ συνέβη τὸν Ἀντίγονον ἀπογνῶναι τὰς προσόδους ταύτας διὰ τὸ γεγονὸς παράπτωμα καὶ διὰ τὸ τὸν νοῦν ἔχειν πρὸς ἑτέροις μείζοσι. παρεγένετο γὰρ κατὰ τούτους τοὺς καιροὺς βιβλιαφόρος ἔχων ἐπιστολὴν παρὰ Νικάνορος τοῦ στρατηγοῦ τῆς τε Μηδίας καὶ τῶν ἄνω σατραπειῶν· ἐν ταύτῃ δ' ἦν γεγραμμένον περί τε τῆς ἀναβάσεως τῆς Σελεύκου καὶ τῶν γεγονότων περὶ αὐτὸν εὐτυχημάτων. διόπερ ἀγωνιῶν ὁ Ἀντίγονος καὶ περὶ τῶν ἄνω σατραπειῶν, ἐξέπεμψε Δημήτριον τὸν υἱὸν ἔχοντα πεζοὺς Μακεδόνας μὲν πεντακισχιλίους, μισθοφόρους δὲ μυρίους, ἱππεῖς δὲ τετρακισχιλίους. συνετέτακτο δ' αὐτῷ μέχρι Βαβυλῶνος ἀναβῆναι, καὶ τὴν σατραπείαν ἀνακτησάμενον καταβαίνειν συντόμως ἐπὶ θάλατταν. ὁ μὲν οὖν Δημήτριος ὁρμήσας ἐκ Δαμασκοῦ τῆς Συρίας τὸ συνταχθὲν ὑπὸ τοῦ πατρὸς ἐπετέλει μετὰ σπουδῆς. ὁ δὲ καθεσταμένος ὑπὸ Σελεύκου τῆς Βαβυλωνίας στρατηγὸς Πατροκλῆς πυθόμενος περὶ Μεσοποταμίαν εἶναι τοὺς πολεμίους, ὑπομεῖναι μὲν τὴν ἔφοδον αὐτῶν οὐκ ἐτόλμησεν, ὀλίγους ἔχων περὶ αὐτόν, ἀλλὰ τοῖς μὲν ἄλλοις προσέταξεν ἐκλιπεῖν τὴν πόλιν, καὶ τοὺς μὲν αὐτῶν ἐκλιπόντας τὸν Εὐφράτην φυγεῖν εἰς την ἔρημον, τοὺς δὲ περάσαντας τὸν Τίγριν ἀπελθεῖν εἰς τὴν Σουσιανὴν [πρὸς Εὐτελῆ] καὶ τὴν ἐρυθρὰν θάλατταν. αὐτὸς δὲ μεθ' ὧν εἶχε στρατιωτῶν προβολαῖς χρώμενος ποταμῶν καὶ διώρυξιν ἀνεστρέφετο περὶ τὴν

ῷ
25. τῷ] τὸ F 27. Ἱερώνυμον] Ἀντίγονον Y Bas.
31. τὸν om. F 33. ἐπιπλεύσαντες Bas., ἐπέπλευσαν VW, caeteri ἐπιπλεύσαντες οἱ δέσμαις ἐπὶ τοὺς ἐν] δεσμαῖς τοὺς εἰς ἐπὶ F 34. σχεδὸν] καὶ σχεδὸν FW 40. ἄνω] libri ἄλλων 41. τῆς FT Bas., caeteri τοῦ 42. εὐτυχημάτων] ἀτυχημάτων TY Bas. 45. μὲν om. F 48. θάλατταν] libri θάλασσαν 56. ἐκλιπόντας] διαβάντας Rhodomannus 58. τὸν T.] εἰς τὸν T. Y Bas. προς Εὐτελῆ om. FVW, asterisco notavit Stephanus



σατραπείαν, ἅμα μὲν ἐφεδρεύων τοῖς πολεμίοις, ἅμα δὲ πέμπων πρὸς Σέλευκον εἰς Μηδίαν περὶ τῶν ἀεὶ συντελουμένων καὶ παρακαλῶν βοηθεῖν τὴν ταχίστην. ὁ δὲ
396 Δημήτριος ἐπειδὴ παραγενόμενος εἰς Βαβυλῶνα τὴν πόλιν ἐκλελειμμένην εὗρε, πολιορκεῖν ἐπεχείρει τὰς ἀκροπόλεις. ὧν τὴν ἑτέραν ἑλὼν ἔδωκε τοῖς ἰδίοις στρατιώταις εἰς διαρπαγήν· τὴν δ' ἑτέραν πολιορκήσας ἡμέρας τινάς, ἐπειδὴ χρόνου προσεδεῖτο, Ἀρχέλαον μὲν ἕνα τῶν φίλων ἀπέλιπε στρατηγὸν ἐπὶ τῆς πολιορκίας, δοὺς αὐτῷ πεζοὺς μὲν πεντακισχιλίους, ἱππεῖς δὲ χιλίους, αὐτὸς δέ, τοῦ χρόνου συντρέχοντος ἐν ᾧ συντεταγμένον ἦν τὴν ἄφοδον αὐτῷ ποιήσασθαι, μετὰ τῆς λοιπῆς δυνάμεως τὴν ἐπὶ θάλατταν κατάβασιν ἐποιεῖτο.

Ἅμα δὲ τούτοις πραττομένοις κατὰ μὲν τὴν Ἰταλίαν 101
Ῥωμαίων διαπολεμούντων τὸν πρὸς Σαμνίτας πόλεμον συνεχεῖς ἐγίνοντο προνομαὶ τῆς χώρας καὶ πολιορκίαι πόλεων καὶ δυνάμεων ἐν ὑπαίθρῳ στρατοπεδεῖαι· τὰ γὰρ μαχιμώτατα τῶν κατὰ τὴν Ἰταλίαν ἐθνῶν περὶ ἡγεμονίας φιλοτιμούμενα παντοίους συνίσταντο κινδύνους. οἱ μὲν οὖν τῶν Ῥωμαίων ὕπατοι μέρος τῆς δυνάμεως ἀναλαβόντες ἀντεστρατοπέδευσαν ταῖς τῶν πολεμίων παρεμβολαῖς, καὶ πρὸς μὲν μάχην καιρὸν ἐπετήρουν οἰκεῖον, ταῖς δὲ συμμαχίσι πόλεσι παρείχοντο τὴν ἀσφάλειαν. τὸ δὲ λοιπὸν στρατόπεδον ἀναλαβὼν Κόϊντος Φάβιος, ὃς ἦν αὐτοκράτωρ ᾑρημένος, τήν τε Φρεγελλανῶν πόλιν εἷλε καὶ τῶν ἀλλοτρίως διακειμένων πρὸς τὴν Ῥώμην τοὺς ἐπιφανεστάτους ἐζώγρησε. τούτους δὲ τὸν ἀριθμὸν ὄντας πλείους τῶν διακοσίων ἀπήγαγεν εἰς Ῥώμην, καὶ προαγαγὼν εἰς τὴν ἀγορὰν ῥαβδίσας ἐπελέκισε κατὰ τὸ πάτριον ἔθος. μετ' ὀλίγον δ' ἐμβαλὼν εἰς τὴν τῶν πολεμίων χώραν Κελίαν καὶ τὴν Νωλανῶν ἀκρόπολιν ἐξεπολιόρκησε, καὶ λαφύρων μὲν πλῆθος ἀπέδοτο,

62. πέμπων] προπέμπων VW, προσπέμπων F πρὸς] εἰς FVW 63. εἰς] πρὸς FVW
396. 67. τὴν ἑτέραν] ἑτέραν W 70. post ἕνα om. τινὰ T Bas., asterisco notavit Stephanus 73. ἄφοδον Wesselingius: libri ἔφοδον 74. αὐτῷ post ἦν ponit F 75. θάλατταν] libri θάλασσαν ἐποιεῖτο] ἐποίει FW 78. προνομαὶ Reiskius: libri προσβολαὶ 79. πολιορκίαι] πολιορκία Bas. 83. ἀναλαβόντες] λαβόντες W κατεστρατοπέδευσαν] κατεστρατοπέδευον FW: scribendum ἀντεστρατοπέδευσαν 84. Ῥωμαίων] πολεμίων Rhodomannus, Σαμνιτῶν Wesselingius 88.
ο
Φρεγελλανῶν Cluverius, φρετεμανῶν F, caeteri Φρετομανῶν 90. ὄντας πλείους] invertit F 92. ἐπελέκισε P. Faber: libri ἐπελέκησε 93. μετ' ὀλίγον] μετολίγην F, caeteri μετ' ὀλίγων 94. Κελίαν] καὶ λείαν Bas.

τοῖς δὲ στρατιώταις πολλὴν τῆς χώρας κατεκληρούχησεν. ὁ δὲ δῆμος, κατὰ νοῦν τῶν πραγμάτων αὐτῷ προχωρούντων, ἀποικίαν ἀπέστειλεν εἰς τὴν νῆσον τὴν Ποντίαν καλουμένην.

102 Ἐν δὲ τῇ Σικελίᾳ τῆς εἰρήνης ἄρτι γεγενημένης Ἀγαθοκλεῖ πρὸς τοὺς Σικελιώτας πλὴν Μεσσηνίων, οἱ μὲν φυγάδες τῶν Συρακοσίων ἠθροίσθησαν εἰς τὴν Μεσσήνην, ταύτην ὁρῶντες λοιπὴν οὖσαν τῶν ἀλλοτρίως ἐχουσῶν πρὸς τὸν δυνάστην. ὁ δ' Ἀγαθοκλῆς σπεύδων αὐτῶν καταλῦσαι τὸ σύστημα, Πασίφιλον στρατηγὸν ἐξαπέστειλε μετὰ δυνάμεως εἰς τὴν Μεσσήνην, ἐντειλάμενος ἐν ἀποῤῥήτοις ἃ χρὴ πράττειν. οὗτος δὲ ἀπροσδοκήτως ἐμβαλὼν εἰς τὴν χώραν, καὶ πολλῶν αἰχμαλώτων καὶ τῆς ἄλλης λείας ἐγκρατὴς γενόμενος, ἠξίου τοὺς Μεσσηνίους βούλεσθαι τὴν φιλίαν καὶ μὴ συναναγκάζεσθαι τοῖς πολεμιωτάτοις αὐτοῦ διαλύεσθαι. οἱ δὲ Μεσσήνιοι λαβόντες ἐλπίδας τοῦ χωρὶς κινδύνων ἀπο- 397
λυθήσεσθαι τοῦ πολέμου, τούς τε φυγάδας τοὺς ἐκ Συρακουσῶν ἐξέβαλον καὶ τὸν Ἀγαθοκλέα παραγενόμενον μετὰ δυνάμεως προσεδέξαντο. ὁ δὲ τὸ μὲν πρῶτον φιλανθρώπως αὐτοῖς προσεφέρετο, καὶ τοὺς φυγάδας ἔπεισε καταδέξασθαι τοὺς συστρατευομένους μὲν αὐτῷ, πεφυγαδευμένους δὲ νόμῳ ὑπὸ τῶν Μεσσηνίων. μετὰ δὲ ταῦτα τοὺς ἐναντιουμένους ἐν τοῖς ἔμπροσθεν χρόνοις τῇ δυναστείᾳ τῇ ἑαυτοῦ μεταπεμψάμενος ἔκ τε Ταυρομενίου καὶ τῆς Μεσσήνης, ἅπαντας ἀπέσφαξεν, οὐκ ἐλάττους ὄντας ἑξακοσίων. διανοούμενος γὰρ πόλεμον ἐκφέρειν τοῖς Καρχηδονίοις, πᾶν τὸ διακείμενον ἀλλοτρίως κατὰ τὴν Σικελίαν ἐκποδὼν ἐποιεῖτο. οἱ δὲ Μεσσήνιοι τῶν ξένων τοὺς εὐνουστάτους αὐτοῖς καὶ δυναμένους ἀμύνασθαι τὸν τύραννον ἐκβεβληκότες ἐκ τῆς πόλεως, καὶ τῶν πολιτῶν τοὺς ἀλλοτρίως ἔχοντας πρὸς τὸν δυνάστην ὁρῶντες ἀνῃρημένους, ἔτι δὲ τοὺς ἐπὶ κακουργίᾳ καταδεδικασμένους ἠναγκασμένοι καταδέξασθαι, μετεμέλοντο μὲν ἐπὶ τοῖς πεπραγμένοις, ἠναγκάζοντο δὲ καρτερεῖν, καταπεπληγμένοι τὴν ὑπεροχὴν τοῦ κρατοῦντος. ὁ δ' Ἀγαθοκλῆς τὸ μὲν πρῶτον ἀνέζευξεν

99. νῆσον τὴν] νῆσον Bas. Ποντίαν] Ποτίδαιαν Q Bas. 100. ἄρτι] ἤδη QVW 2. 397. 42. 59. Συρακοσίων Bas. 4. δυνάστην] δεσπότην FQVW 6. ἐξαπέστειλε] ἀπέστειλε FW 7. ἃ] τί FV

397. 18. συστρατευομένους] στρατευομένους omnes 21. τῇ ἑαυτοῦ om. T Bas., asterisco notavit Stephanus 22. ἀπέσφαξεν] κατέσφαξεν FVW 31. μὲν om. Bas. 33. τοῦ κρατοῦντος] τῶν κρατούντων QY Bas.



ἐπ' Ἀκράγαντος, διανοούμενος καὶ ταύτην τὴν πόλιν συσκευάζεσθαι. τῶν δὲ Καρχηδονίων καταπλευσάντων ναυσὶν ἑξήκοντα, ταύτης μὲν τῆς προθέσεως ἀπέστη, τὴν δὲ χώραν τὴν ὑπὸ Καρχηδονίους ἐπιὼν ἐλεηλάτει, καὶ τῶν φρουρίων ἃ μὲν ᾕρει κατὰ κράτος, ἃ δὲ δι' ὁμολογίας προσήγετο.

Ἅμα δὲ τούτοις πραττομένοις Δεινοκράτης ὁ τῶν 103
Συρακοσίων φυγάδων ἡγούμενος πρὸς μὲν τοὺς Καρχηδονίους διεπέμπετο, βοηθεῖν ἀξιῶν πρὶν ἢ τὸν Ἀγαθοκλέα πᾶσαν ὑφ' ἑαυτὸν ποιήσασθαι Σικελίαν. αὐτὸς δὲ προσδεξάμενος τοὺς ἐκ Μεσσήνης ἐκβεβλημένους φυγάδας, ἔχων ἁδρὰν δύναμιν, ἀπέστειλέ τινα τῶν περὶ αὐτὸν Νυμφόδωρον δοὺς μέρος τῶν στρατιωτῶν ἐπὶ τὴν Κεντοριπίνων πόλιν. ταύτην γὰρ φρουρουμένην ὑπ' Ἀγαθοκλέους τῶν πολιτικῶν τινες ἐπηγγείλαντο παραδώσειν, ἐφ' ᾧ τὴν αὐτονομίαν δοθῆναι τῷ δήμῳ. παρειςπεσόντος δ' εἰς τὴν πόλιν αὐτοῦ νυκτός, οἱ προεστῶτες τῆς φρουρᾶς αἰσθόμενοι τὸ γεγονός, αὐτόν τε τὸν Νυμφόδωρον ἀνεῖλον καὶ τοὺς βιαζομένους ἐντὸς τοῦ τείχους. ταύτης δὲ τῆς ἀφορμῆς λαβόμενος Ἀγαθοκλῆς ἐνεκάλεσέ τε τοῖς Κεντοριπίνοις καὶ τοὺς δόξαντας αἰτίους γεγονέναι τοῦ νεωτερισμοῦ πάντας ἀπέσφαξε. περὶ ταῦτα δ' ὄντος τοῦ δυνάστου Καρχηδόνιοι καταπλεύσαντες εἰς τὸν μέγαν λιμένα τῶν Συρακοσίων πεντήκοντα σκάφεσιν ἄλλο μὲν οὐδὲν ἠδυνήθησαν πρᾶξαι, δυσὶ δὲ περιπεσόντες φορτηγοῖς πλοίοις, τὴν μὲν
398 ἐξ Ἀθηνῶν κατέδυσαν, τῶν δ' ἐπιπλεόντων τὰς χεῖρας ἀπέκοψαν. δοξάντων δ' αὐτῶν ὠμῶς κεχρῆσθαι μηδ' ὁτιοῦν ἀδικοῦσι, ταχὺ τὸ δαιμόνιον αὐτοῖς ἐπεσήμηνεν. εὐθὺς γὰρ τοῦ στόλου τινὲς νῆες ἀποσχισθεῖσαι περὶ τὴν Βρεττίαν ἑάλωσαν ὑπὸ τῶν Ἀγαθοκλέους στρατηγῶν, καὶ τὸ παραπλήσιον οἱ ζωγρηθέντες τῶν Φοινίκων ἔπαθον οἷα ἔπραξαν εἰς τοὺς ἁλόντας.

35. συσκευάζεσθαι] συσκευάσασθαι F Bas. 38. ὑπὸ Καρχηδονίους] ἐπὶ καρχηδονίοις F, altero suprascripto 39. ᾕρει] ᾑρήκει W, ᾕρηκε F 40. προσήγετο] προσηγάγετο FVW 41. πραττομένοις] libri πρασσομένοις 43. βοηθεῖν] βοεῖν ήθειαν F Σικελίαν] μὴ περιιδεῖν addunt FV 48. κεντοριπίνων et 56. κεντοριπίνοις F, caeteri Κεντοριππίνων et Κεντοριππίνοις 50. ᾧ] ὅτῳ Bas. 54. βιαζομένους] βιασαμένους W τοῦ τείχους] τῶν τειχῶν QVW 60. οὐδὲν] οὐκ FVW: sequentia non videntur integra

398. 64. ἐπεσήμηνεν] ἐπεσήμαινεν T Bas. 65. εὐθὺς] εὐθὺ Bas. νῆες FVW, caeteri ναῦς 66. Βρεττίαν] Βρεττανίαν TY Bas. 67. τῶν] τε τῶν F 69. τὸν om. F

104 Οἱ δὲ περὶ τὸν Δεινοκράτην φυγάδες, ἔχοντες πεζοὺς μὲν ὑπὲρ τοὺς τρισχιλίους, ἱππεῖς δ' οὐκ ἐλάττους δισχιλίων, τὴν καλουμένην Γαλαρίαν κατελάβοντο, τῶν πολιτῶν ἑκουσίως ἐπικαλεσαμένων, καὶ τοὺς μὲν Ἀγαθοκλέους ἐξέβαλον, αὐτοὶ δὲ πρὸ τῆς πόλεως ἐστρατοπέδευσαν. Ἀγαθοκλέους δὲ ταχέως ἀποστείλαντος ἐπ' αὐτοὺς Πασίφιλον καὶ Δημόφιλον μετὰ στρατιωτῶν πεντακισχιλίων, ἐγένετο μάχη πρὸς τοὺς φυγάδας, ὧν ἡγεῖτο Δεινοκράτης καὶ Φιλωνίδης, τὰ κέρατα διειληφότες. ἐφ' ἱκανὸν μὲν οὖν χρόνον ἰσόῤῥοπος ἦν ὁ κίνδυνος, φιλοτίμως ἀμφοτέρων τῶν στρατοπέδων ἀγωνιζομένων· τοῦ δ' ἑτέρου τῶν στρατηγῶν Φιλωνίδου πεσόντος, καὶ τοῦ κατὰ τοῦτον μέρους τραπέντος, ἠναγκάσθη καὶ Δεινοκράτης ἀποχωρῆσαι. οἱ δὲ περὶ τὸν Πασίφιλον τούτων τε πολλοὺς κατὰ τὴν φυγὴν ἀνεῖλον καὶ τὴν Γαλαρίαν ἀνακτησάμενοι τοὺς αἰτίους τῆς ἀποστάσεως ἐκόλασαν. Ἀγαθοκλῆς δὲ πυνθανόμενος τοὺς Καρχηδονίους τὸν Ἔκνομον καλούμενον λόφον ἐν τῇ Γελῴᾳ κατειληφέναι, διέγνω πάσῃ τῇ δυνάμει διαγωνίσασθαι. ὁρμήσας δ' ἐπ' αὐτούς, καὶ πλησίον γενόμενος, προεκαλεῖτο εἰς μάχην, ἐπηρμένος τῇ προγεγενημένῃ νίκῃ. οὐ τολμώντων δὲ τῶν βαρβάρων παρατάξασθαι, νομίσας ἀκονιτὶ κρατεῖν τῶν ὑπαίθρων. ἐπανῆλθεν εἰς τὰς Συρακούσας καὶ τῶν ναῶν τοὺς ἐπιφανεστάτους τοῖς σκύλοις ἐκόσμησε. ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτὸν ὧν ἡμεῖς ἐδυνήθημεν ἐφικέσθαι.

105 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Σιμωνίδου Ῥωμαῖοι μὲν ὑπάτους κατέστησαν Μάρκον Οὐαλέριον καὶ Πόπλιον Δέκιον. ἐπὶ δὲ τούτων οἱ περὶ Κάσσανδρον καὶ Πτολεμαῖον καὶ Λυσίμαχον διαλύσεις ἐποιήσαντο πρὸς Ἀντίγονον καὶ συνθήκας ἔγραψαν. ἐν δὲ ταύταις ἦν Κάσσανδρον μὲν εἶναι στρατηγὸν τῆς Εὐρώπης, μέχρι ἂν Ἀλέξανδρος ὁ ἐκ Ῥωξάνης εἰς ἡλικίαν ἔλθῃ, καὶ Λυσίμαχον μὲν τῆς Θρᾴκης κυριεύειν, Πτολεμαῖον δὲ τῆς Αἰγύπτου καὶ τῶν συνοριζουσῶν ταύτῃ πόλεων κατά τε τὴν Λιβύην καὶ τὴν Ἀραβίαν, Ἀντίγονον δὲ ἀφηγεῖσθαι τῆς Ἀσίας πάσης· τοὺς δ' Ἕλληνας αὐτονόμους εἶναι. οὐ μὴν ἐνέμειναν γε ταῖς ὁμολογίαις ταύταις, ἀλλ' ἕκα-

70. τοὺς om. F 71. Γαλαρίαν] Καλαβρίαν V, γαλαβρίαν F 72. πολιτῶν] πολιτικῶν FVW 78. κέρατα] κέντρα καὶ κέρατα Q 80. στρατοπέδων] στρατιωτῶν καὶ στρατοπέδων Q 84. Γαλαρίαν] Γαλέριαν T, γαλαυρίαν F 89. αὐτοὺς] αὐτοῖς FT 93. τὰς om. F ναῶν] νεῶν F 94. τοῖς σκύλοις post ἐκόσμησε ponit F, 3. μέχρι T Bas., caeteri μέχρις ὁ om. Bas.



στος αὐτῶν προφάσεις εὐλόγους ποριζόμενος πλεονεκτεῖν ἐπειρᾶτο. Κάσσανδρος δὲ ὁρῶν Ἀλέξανδρον τὸν ἐκ Ῥωξάνης αὐξανόμενον, καὶ κατὰ τὴν Μακεδονίαν λόγους ὑπό τινων διαδιδομένους ὅτι καθήκει προάγειν
399 ἐκ τῆς φυλακῆς τὸν παῖδα καὶ τὴν πατρῴαν βασιλείαν παραδιδόναι, φοβηθεὶς ὑπὲρ ἑαυτοῦ προσέταξε Γλαυκίᾳ τῷ προεστηκότι τῆς τοῦ παιδὸς φυλακῆς τὴν μὲν Ῥωξάνην καὶ τὸν βασιλέα κατασφάξαι καὶ κρύψαι τὰ σώματα, τὸ δὲ γεγονὸς μηδενὶ τῶν ἄλλων ἀπαγγεῖλαι. ποιήσαντος δ' αὐτοῦ τὸ προσταχθέν, οἱ περὶ Κάσσανδρον καὶ Λυσίμαχον καὶ Πτολεμαῖον ἔτι δ' Ἀντίγονον ἀπηλλάγησαν τῶν ἀπὸ τοῦ βασιλέως προσδοκωμένων φόβων. οὐκέτι γὰρ ὄντος οὐδενὸς τοῦ διαδεξομένου τὴν ἀρχήν, τὸ λοιπὸν ἕκαστος τῶν κρατούντων ἐθνῶν ἢ πόλεων βασιλικὰς εἶχεν ἐλπίδας, καὶ τὴν ὑφ' ἑαυτὸν τεταγμένην χώραν εἶχεν ὡσανεί τινα βασιλείαν δορίκτητον. τὰ μὲν οὖν κατὰ τὴν Ἀσίαν καὶ τὴν Εὐρώπην καὶ τὰ περὶ τὴν Ἑλλάδα καὶ Μακεδονίαν ἐν τούτοις ἦν. κατὰ δὲ τὴν Ἰταλίαν Ῥωμαῖοι δυνάμεσιν ἁδραῖς πεζῶν τε καὶ ἱππέων ἐστράτευσαν ἐπὶ Πολλίτιον, Μαῤῥουκίνων οὖσαν πόλιν. ἀπέστειλαν δὲ καὶ τῶν πολιτῶν εἰς ἀποικίαν, καὶ κατῴκισαν τὴν προσαγορευομένην Ἰντέραμναν.

106 Κατὰ δὲ τὴν Σικελίαν ἀεὶ μᾶλλον αὐξομένου Ἀγαθοκλέους καὶ δυνάμεις ἁδροτέρας ἀθροίζοντος, Καρχηδόνιοι πυνθανόμενοι τὸν δυνάστην συσκευαζόμενον τὰς ἐν τῇ νήσῳ πόλεις, ταῖς δὲ δυνάμεσιν ὑπερέχοντα τῶν σφετέρων στρατηγῶν, ἔδοξαν ἐνεργέστερον ἅψασθαι τοῦ πολέμου. εὐθὺς οὖν τριήρεις μὲν κατήρτυσαν τριάκοντα πρὸς ταῖς ἑκατόν, στρατηγὸν δὲ προχειρισάμενοι τῶν παρ' αὐτοῖς ἐπιφανεστάτων Ἀμίλκαν ἔδωκαν αὐτῷ τῶν μὲν πολιτικῶν στρατιωτῶν δισχιλίους, ἐν οἷς ἦσαν πολλοὶ καὶ τῶν ἐπιφανῶν, τῶν δ' ἀπὸ τῆς Λιβύης μυρίους, ἐκ δὲ τῆς Τυῤῥηνίας μισθοφόρους χιλίους καὶ ξευγίππας διακοσίους, ἔτι δὲ Βαλιάρας σφενδονήτας χιλίους,

12. Ῥωξάνης αὐξανόμενον] ῥοξάνης αὐξόμενον F 13. διαδιδομένους] διδομένους Bas.
399. 15. παραδιδόναι] παραδοῦναι Y Bas. ἑαυτοῦ] αὐτοῦ Bas. 19. ἀπαγγεῖλαι] ὑπαγγεῖλαι Bas. 20. καὶ Λυσίμαχον καὶ Πτολεμαῖον] καὶ πτολεμαῖον καὶ λυσίμαχον F 22. ἀπὸ] libri ὑπὸ 25. εἶχεν] εἶχον Bas. 30. τε om. F Πολλίτιον] Πολίτιον FW 31. Μαῤῥουκίνων] Μαρουκινῶν W 33. Ἰντέραμναν] Ἰντέραμνον FV 38. στρατηγῶν] στρατιωτῶν QTY Bas. et γρ. margo F 39. οὖν] μὲν ουν F 40. κατήρτυσαν] κατήρτησαν FV Bas. 41. δὲ om. F 44. τῆς Λιβύης μυρίους] λιβύης μυρίων F 45. ξευγίππας] ξευγίτας Reiskius

ὁμοίως δὲ χρημάτων πλῆθος καὶ βελῶν καὶ σίτου καὶ τῶν ἄλλων τῶν εἰς πόλεμον χρησίμων τὴν καθήκουσαν παρασκευήν. ἀναχθέντος δ' ἐκ τῆς Καρχηδόνος τοῦ στόλου παντός, καὶ γενομένου πελαγίου, χειμὼν ἐξαίφνης ἐπιπεσὼν ἑξήκοντα μὲν τριήρεις ἠφάνισε, διακόσια δὲ τῶν σιτηγῶν πλοίων διέφθειρεν· ὁ δὲ λοιπὸς στόλος μεγάλοις περιπεσὼν χειμῶσι μόγις διεσώθη πρὸς τὴν Σικελίαν. ἀπώλοντο δὲ καὶ τῶν ἐπιφανῶν Καρχηδονίων οὐκ ὀλίγοι, δι' οὓς συνέβη τὴν πόλιν δημόσιον ἄρασθαι πένθος. εἰώθασι γάρ, ἐπειδὰν μείζων τις ἀτυχία γένηται περὶ τὴν πόλιν, μέλασι σακκίοις κατακαλύπτειν τὰ τείχη. Ἀμίλκας δ' ὁ στρατηγὸς ἀναλαβὼν τοὺς διασωθέντας ἐκ τοῦ χειμῶνος, μισθοφόρους συνῆγε καὶ τῶν κατὰ Σικελίαν συμμάχων ἐστρατολόγει τοὺς εὐθέτους. παρέλαβε δὲ καὶ τὰς προϋπαρχούσας δυνάμεις, καὶ πάντων τῶν εἰς τὸν πόλεμον εὐθέτων ἐπιμέλειαν ποιησάμενος ἐν ὑπαίθρῳ συνεῖχε τὰ στρατόπεδα, πεζοὺς μὲν ἔχων περὶ τοὺς τετρακισμυρίους, ἱππεῖς δὲ σχεδὸν πεντακισχιλίους. ταχὺ δὲ τὴν γεγενημένην ἀτυχίαν διορ- 400 θωσάμενος, καὶ δόξας ἀγαθὸς εἶναι, τῶν μὲν συμμάχων τὰς ψυχὰς προκαταπεπληγμένας ἀνεκτήσατο, τοῖς δὲ πολεμίοις οὐ τὴν τυχοῦσαν ἀγωνίαν ἐπέστησεν.

107 Ἀγαθοκλῆς δὲ τὰς τῶν Καρχηδονίων δυνάμεις ὁρῶν ὑπερεχούσας τῶν ἑαυτοῦ, διέλαβε τῶν τε φρουρίων οὐκ ὀλίγα μεταθήσεσθαι πρὸς τοὺς Φοίνικας καὶ τῶν πόλεων ὅσαι προσέκοπτον αὐτῷ. μάλιστα δ' εὐλαβεῖτο περὶ τῆς τῶν Γελῴων, πυνθανόμενος ἐν τῇ τούτων χώρᾳ πάσας εἶναι τὰς τῶν πολεμίων δυνάμεις. ἐγένετο δ' αὐτῷ περὶ τοῦτον τὸν χρόνον καὶ περὶ τὸν στόλον οὐ μικρὸν ἐλάττωμα· τῶν γὰρ νεῶν εἴκοσιν ἐπὶ τὸν πορθμὸν ὑποχείριοι τοῖς Καρχηδονίοις κατέστησαν σὺν αὐτοῖς ἀνδράσιν. οὐ μὴν ἀλλὰ κρίνας τὴν τῶν Γελῴων πόλιν ἀσφαλίσασθαι φρουρᾷ, φανερῶς οὐκ ἐτόλμα δύναμιν εἰσαγαγεῖν, ἵνα μὴ φθάσαι συμβῇ τοὺς Γελῴους προφάσεως δεομένους, καὶ τὴν πόλιν ἀποβάλῃ μεγάλας ἀφορμὰς αὐτῷ παρεχομένην. ἀπέστειλεν οὖν κατ' ὀλίγους τῶν στρατιωτῶν ὡς ἐπί τινας χρείας, ἕως ὅτου συνέβη τῷ πλήθει πολὺ προτερῆσαι τῶν πολιτικῶν. μετ' ὀλίγον δὲ καὶ αὐτὸς παραγενόμενος, προδοσίαν ἐνεκάλεσε καὶ μετάθεσιν τοῖς Γελῴοις, εἴτε καὶ κατ' ἀλήθειαν αὐτῶν διανοηθέντων τι πρᾶξαι τοιοῦτον εἴτε καὶ ψευδέσι διαβολαῖς φυγάδων πεισθείς, ἢ καὶ χρημάτων βουλόμενος εὐπορῆσαι, ἀπέσφαξε τῶν Γελῴων πλείους τῶν τετρακισχιλίων καὶ τὰς οὐσίας αὐτῶν ἀνέλαβε. προσέταξε δὲ καὶ τοῖς ἄλλοις Γελῴοις πᾶσι τά τε νομίσματα καὶ τὸν ἄσημον ἄργυρόν τε καὶ χρυσὸν ἀνενεγκεῖν, διαπειλησάμενος τιμωρήσασθαι τοὺς ἀπειθήσαντας. ταχὺ δὲ πάντων πραξάντων τὸ προσταχθὲν διὰ τὸν φόβον, χρημάτων τε πλῆθος ἤθροισε καὶ πᾶσι τοῖς ταττομένοις ὑφ' ἑαυτὸν δεινὴν ἐνεποίησε κατάπληξιν. δόξας δ' ὠμότερον κεχρῆσθαι τοῦ καθήκοντος τοῖς Γελῴοις, τοὺς μὲν ἀποσφαγέντας εἰς τὰς ἐκτὸς τῶν τειχῶν τάφρους συνέχωσεν, ἐν δὲ τῇ πόλει τὴν ἱκανὴν φρουρὰν ἀπολιπὼν ἀντεστρατοπέδευσε τοῖς πολεμίοις.

108 κατεῖχον δὲ Καρχηδόνιοι μὲν τὸν Ἔκνομον λόφον, ὅν φασι φρούριον γεγενῆσθαι Φαλάριδος. ἐν τούτῳ δὲ λέγεται κατεσκευακέναι τὸν τύραννον ταῦρον χαλκοῦν τὸν διαβεβοημένον πρὸς τὰς τῶν βεβασανισμένων τιμωρίας, ὑποκαιομένου τοῦ κατασκευάσματος· διὸ καὶ τὸν τόπον Ἔκνομον ἀπὸ τῆς εἰς τοὺς ἀτυχοῦντας ἀσεβείας προσηγορεῦσθαι. ἐκ δὲ θατέρου μέρους Ἀγαθοκλῆς ἕτερον τῶν Φαλάριδος γεγενημένων φρουρίων κατεῖχε, τὸ προσαγορευθὲν ἀπ' ἐκείνου Φαλάριον. καὶ διὰ μέσων μὲν τῶν παρεμβολῶν ἦν ποταμός, ὃν ἀμφότεροι πρόβλημα τῶν πολεμίων ἐπεποίηντο. φῆμαι δὲ κατεῖχον ἐπὶ τῶν προτέρων χρόνων ὅτι δεῖ περὶ τὸν τόπον τοῦτον πλῆθος ἀνθρώπων ἐν μάχῃ διαφθαρῆναι. οὐκ ὄντος δὲ φανεροῦ παρ' ὁποτέροις γενήσεται τὸ ἀτύχημα, συνέβαινε δεισιδαιμονεῖν τὰ στρατόπεδα καὶ πρὸς μάχην ὀκνηρῶς 401 ἔχειν. διόπερ ἐπὶ πολὺν χρόνον οὐδέτεροι τὸν ποταμὸν

48. τῶν εἰς] εἰς Bas. πόλεμον] τὸν πόλεμον F 49. δ' F 53. μόγις F, caeteri μόλις 56. εἰώθασι] εἰώθεσαν FVW: εἰώθεισαν non improbabat Wesselingius: conf. p. 412, 96. 58. σακκίοις QX Bas., caeteri ῥακίοις, unde potius videtur σακίοις κατακαλύπτειν] καταλύπτειν Bas., quid si legendum est καταλυπεῖν τὴν τυχὴν margo eiusdem 62. δυνάμεις] καὶ δυνάμεις F 63. τὸν πόλεμον] πόλεμον Bas. 64. ἐν — 400. 67. διορθωσάμενος omisit F 400. 68. προκαταπεπληγμένας] καταπεπληγμένας F 72. τῶν ἑαυτοῦ om. FW, asterisco notavit Stephanus 75. τῆς τῶν] τῶν Bas. 78. ἐλάττωμα] libri ἐλάσσωμα 79. εἴκοσιν ante ὑποχείρια (sic) ponit F ἐπὶ] περὶ Reiskius 82. φρουρᾷ] φρουραῖς F εἰσαγαγεῖν] εἰσαγεῖν Bas.

90. αὐτῶν] αὐτῷ F 92. νὴ Δία post ἢ καὶ om. T Bas., asterisco notavit Stephanus 93. τῶν om. F 97. ἀπειθήσαντας] ἀπαιτήσοντας F 100. ταττομένοις] πραττομένοις Bas. 2. τοῦ καθήκοντος] τοὺς καθήκοντας F 7. φρούριον] φράριον Bas., sed in marg., forte φρούριον 10. ὑποκαιομένου FVW, ὑποκαιουμένου Bas., caeteri ὑποκαομένου 15. διὰ μέσων] διαμέσου F 16. ὃν] ᾧ F πρόβλημα] προβλήματα FVW 20. γενήσεται] γένηται Bas.

ἐτόλμων διαβαίνειν ἀθρόοις στρατιώταις, ἕως ὅτου παράλογός τις αἰτία προεκαλέσατ' αὐτοὺς εἰς τὸν ὁλοσχερῆ κίνδυνον. τῶν γὰρ Λιβύων κατατρεχόντων τὴν πολεμίαν, Ἀγαθοκλῆς παρωξύνθη τὸ παραπλήσιον ποιῆσαι. ἀγόντων δὲ λείαν τῶν Ἑλλήνων, καί τινα τῶν ἀπὸ τῆς παρεμβολῆς ὑποζυγίων ἀπαγαγόντων, ἐπεξῆλθον ἐκ τοῦ τῶν Καρχηδονίων χάρακος οἱ τούτους διώξοντες. ὁ δ' Ἀγαθοκλῆς προϊδόμενος τὸ μέλλον ἔσεσθαι, παρὰ τὸν ποταμὸν ἔθηκεν ἐνέδραν ἀνδρῶν ἐπιλέκτων ταῖς ἀρεταῖς. οὗτοι δέ, τῶν Καρχηδονίων τοὺς τὴν λείαν ἄγοντας ἐπιδιωκόντων καὶ διαβάντων τὸν ποταμόν, ἐξανέστησαν ἐκ τῆς ἐνέδρας ἄφνω, καὶ προςπεσόντες ἀτάκτοις ῥᾳδίως ἐτρέψαντο. φονευομένων δὲ τῶν βαρβάρων καὶ πρὸς τὴν ἰδίαν παρεμβολὴν φευγόντων, Ἀγαθοκλῆς νομίσας ἥκειν τὸν καιρὸν τοῦ διαγωνίσασθαι, πᾶσαν ἤγαγε τὴν δύναμιν ἐπὶ τὴν τῶν πολεμίων στρατοπεδείαν. προςπεσὼν δ' αὐτοῖς ἀπροςδοκήτως, καὶ ταχὺ μέρος τῆς τάφρου χώσας, ἀνέσπασε τὸν χάρακα καὶ βιαζόμενος εἰς τὴν παρεμβολὴν παρειςέπεσεν. οἱ δὲ Καρχηδόνιοι διά τε τὸ παράδοξον καταπεπληγμένοι καὶ πρὸς ἔκταξιν οὐ δυνάμενοι λαβεῖν ἀναστροφήν, ὡς ἔτυχε τοῖς πολεμίοις ἀπήντων καὶ ἠγωνίζοντο. περὶ δὲ τὴν τάφρον ἀμφοτέρων ἐῤῥωμένως κινδυνευόντων, ταχὺ πᾶς ὁ πλησίον τόπος νεκρῶν κατεστρώθη. οἵ τε γὰρ τῶν Καρχηδονίων ἐπιφανέστατοι τὴν παρεμβολὴν ὁρῶντες ἁλισκομένην ἐβοήθουν, οἵ τε περὶ τὸν Ἀγαθοκλέα τῷ προτερήματι τεθαῤῥηκότες, καὶ νομίζοντες ἑνὶ κινδύνῳ καταλύσειν πάντα τὸν πόλεμον,
109 ἐνέκειντο τοῖς βαρβάροις. ὁ δ' Ἀμίλκας ὁρῶν κατισχυομένους τοὺς ἑαυτοῦ, καὶ τῶν Ἑλλήνων ἀεὶ πλείους παρειςπίπτοντας εἰς τὴν παρεμβολήν, ἐπέστησε τοὺς σφενδονήτας τοὺς ἐκ τῶν Βαλιαρίδων νήσων, ὄντας οὐκ ἐλάττους τῶν χιλίων. οὗτοι δὲ συνεχεῖς καὶ μεγάλους λίθους ἀφιέντες πολλοὺς μὲν ἐτραυμάτιζον, οὐκ ὀλίγους δὲ καὶ τῶν βιαζομένων ἀπέκτεινον, τῶν δὲ πλείστων τὰ σκεπάζοντα τῶν ὅπλων συνέτριβον· οἱ γὰρ ἄνδρες οὗτοι μναιαίους λίθους βάλλειν εἰωθότες μεγάλα συμβάλλονται πρὸς νίκην ἐν τοῖς κινδύνοις, ὡς ἂν ἐκ παίδων παρ' αὐτοῖς τῆς ἐν ταῖς σφενδόναις γυμνασίας διαπο-

401. 23. ἐτόλμων] ἐτόλμουν Bas. 24. προεκαλέσατ' F, προςεκαλέσατο Bas., caeteri προεκαλέσατο 29. τῶν om. Bas. 32. ἔθηκεν] ἐνέθηκεν W 38. τοῦ om. F 40. δ' οὖν] οὖν om. FW, asterisco notavit Stephanus 57. Βαλιαρίδων] Βαλαρίδων T Bas., βαλλιαρίδων F



νουμένης. τούτῳ δὲ τῷ τρόπῳ τοὺς Ἕλληνας ἐκ τῆς παρεμβολῆς ἐκβαλόντες ἐκράτησαν. πάλιν δὲ οἱ περὶ τὸν Ἀγαθοκλέα κατ' ἄλλους τόπους προςβολὰς ἐποιοῦντο, καὶ δὴ τῆς παρεμβολῆς ἤδη κατὰ κράτος ἁλισκομένης κατέπλευσε τοῖς Καρχηδονίοις δύναμις ἐκ Λιβύης ἀνέλπιστος. διὸ καὶ ταῖς ψυχαῖς πάλιν θαῤῥήσαντες οἱ μὲν ἐκ τῆς παρεμβολῆς κατὰ στόμα ἐκινδύνευον, οἱ δὲ παρόντες ἐπὶ τὴν βοήθειαν κύκλῳ περιίσταντο τοὺς Ἕλληνας. ὧν τιτρωσκομένων παραδόξως, ἡ μὲν μάχη ταχὺ παλίντροπος ἐγένετο, ἔφευγον δ' οἱ μὲν εἰς τὸν Ἱμέραν ποταμόν, οἱ δ' εἰς τὴν παρεμβολήν. τετταράκοντα σταδίους δ' ἐχούσης τῆς ἀποχωρήσεως, καὶ ταύτα σχεδὸν πάσης πεδινῆς οὔσης, ἐπεδίωκον τῶν βαρβάρων ἱππεῖς, οὐκ ἐλάττονες ὄντες πεντακισχιλίων. διὸ καὶ
402 συνέβη τὸν μεταξὺ τόπον νεκρῶν πληρωθῆναι, πολλὰ συμβαλλομένου καὶ τοῦ ποταμοῦ πρὸς τὴν τῶν Ἑλλήνων ἀπώλειαν. ὑπὸ κύνα γὰρ οὔσης τῆς ὥρας, καὶ τοῦ διωγμοῦ περὶ μέσον ἡμέρας γινομένου, οἱ πολλοὶ τῶν φευγόντων διά τε τὸ καῦμα καὶ τὴν ἐκ τῆς φυγῆς κακοπάθειαν ἔκδιψοι γενόμενοι λάβρως ἔπινον, καὶ ταῦθ' ἁλυκοῦ τοῦ ῥεύματος ὄντος. διόπερ οὐκ ἐλάττους τῶν ἐν τῷ διωγμῷ σφαγέντων εὑρέθησαν παρὰ τὸν ποταμὸν τετελευτηκότες ἄτρωτοι. ἔπεσον δ' ἐν τῇ μάχῃ ταύτῃ τῶν μὲν βαρβάρων περὶ πεντακοσίους, τῶν δ' Ἑλλήνων οὐκ ἐλάττους ἑπτακισχιλίων.

Ἀγαθοκλῆς δὲ τηλικαύτῃ συμφορᾷ περιπεσών, τοὺς 110
ἐκ τῆς τροπῆς διασωθέντας ἀνέλαβε καὶ τὴν παρεμβολὴν ἐμπρήσας εἰς Γέλαν ἀπεχώρησε. διαδόντος δ' αὐτοῦ λόγον ὡς κατὰ σπουδὴν εἰς Συρακούσας ἀναζευγνύειν διέγνωκε, τριακόσιοι τῶν ἐκ Λιβύης ἱππέων κατὰ τὴν χώραν περιέπεσόν τισι τῶν Ἀγαθοκλέους στρατιωτῶν. ὧν εἰπόντων ὡς Ἀγαθοκλῆς εἰς Συρακούσας ἀποκεχώρηκεν, εἰςῆλθον εἰς Γέλαν ὡς φίλοι, καὶ διαψευσθέντες τῆς ἐλπίδος κατηκοντίσθησαν. ὁ δ' Ἀγαθοκλῆς συνέκλεισεν αὑτὸν εἰς τὴν Γέλαν, οὐκ ἀδυνατῶν εἰς Συρακούσας διασωθῆναι, βουλόμενος δὲ περισπάσαι τοὺς Καρχηδονίους πρὸς τὴν πολιορκίαν τῆς Γέλας, ἵν' οἱ Συρακόσιοι πολλὴν ἄδειαν σχῶσι συγκομίσαι τοὺς

76. τετταρ.] τεσσαρ. omnes δ'] abest ab libris 79. ἐλάττονες] ἔλασσον T Bas., ἔλασσονες ed. Steph., caeteri ἐλάσσονες
402. 83. οἱ πολλοὶ] πολλοὶ W et qui γινόμενοι F 85. γιγνόμενοι Y, caeteri γινόμενοι 86. ἁλυκοῦ] ἁλικοῦ Bas. 93. τοὺς] καὶ τοὺς F 95. δ' om. F 96. ἀναζευγνύειν διέγνωκε] ἀναζευγνύει T Bas. 2. διασωθῆναι] ἀποσωθῆναι FQVW

καρπούς, ἀναγκάζοντος τοῦ καιροῦ. ὁ δ' Ἀμίλκας τὸ μὲν πρῶτον ἐπεχείρει πολιορκεῖν τὴν Γέλαν· πυνθανόμενος δ' ἐν ταύτῃ καὶ δύναμιν εἶναι τὴν ἀμυνομένην καὶ πάντων εὐπορεῖν τὸν Ἀγαθοκλέα, ταύτης μὲν ἀπέστη τῆς ἐπιβολῆς, τὰ δὲ φρούρια καὶ τὰς πόλεις ἐπιπορευόμενος προςήγετο, καὶ πᾶσιν ἐχρῆτο φιλανθρώπως, ἐκκαλούμενος τοὺς Σικελιώτας πρὸς εὔνοιαν. καὶ Καμαριναῖοι μὲν καὶ Λεοντῖνοι, πρὸς δὲ τούτοις Καταναῖοι καὶ Ταυρομενῖται, παραχρῆμα πρέσβεις ἐκπέμψαντες προςέθεντο Καρχηδονίοις. μετ' ὀλίγας δ' ἡμέρας οἵ τε Μεσσήνιοι καὶ Ἀβακαινῖνοι καὶ συχναὶ τῶν πόλεων ἀλλήλας φθάνουσαι πρὸς Ἀμίλκαν ἀφίσταντο. τοσαύτη τοῖς ὄχλοις ἐνέπεσεν ὁρμὴ μετὰ τὴν ἧτταν διὰ τὸ πρὸς τὸν τύραννον μῖσος. ὁ δ' Ἀγαθοκλῆς ἀπαγαγὼν τὴν ὑπολελειμμένην δύναμιν εἰς Συρακούσας τὰ πεπονηκότα τῶν τειχῶν ἐπεσκεύαζε καὶ τὸν ἀπὸ τῆς χώρας σῖτον ἀπεκόμιζε, διανοούμενος τῆς μὲν πόλεως τὴν ἱκανὴν ἀπολιπεῖν φυλακήν, τῆς δὲ δυνάμεως τὴν κρατίστην μετάγειν εἰς Λιβύην καὶ μετατιθέναι τὸν πόλεμον εἰς τὴν ἤπειρον ἐκ τῆς νήσου. ἡμεῖς δὲ κατὰ τὴν ἐν ἀρχῇ πρόθεσιν τὴν εἰς Λιβύην Ἀγαθοκλέους διάβασιν ἀρχὴν ποιησόμεθα τῆς ἑπομένης βίβλου.

13. μὲν καὶ] καὶ Bas. 16. Ἀβακαινῖνοι] Ἀβακηνῖνοι T Bas., Βακίνειοι VW, ἀβακίνειοι F 17. ἀλλήλας φθάνουσαι] ἀλλήλαις φθονοῦσαι FQVW 20. ἀπαγαγὼν TV Bas., caeteri ἀπολιπών 25. μετατιθέναι] μεταθεῖναι W, μεταθῆναι V

403 ΤΑΔΕ ΕΝΕΣΤΙΝ

# ΕΝ ΤΗΙ ΕΙΚΟΣΤΗΙ

## ΤΩΝ ΔΙΟΔΩΡΟΥ ΒΙΒΛΩΝ.

---

α'. Ὡς Ἀγαθοκλῆς διαβὰς εἰς Λιβύην ἐνίκησε παρατάξει Καρχηδονίους καὶ πολλῶν πόλεων ἐκυρίευσεν.

β'. Ὡς Κάσσανδρος Αὐτολέοντι μὲν ἐβοήθησε, πρὸς δὲ Πτολεμαῖον τὸν Ἀντιγόνου στρατηγὸν ἀποστάτην γενόμενον συμμαχίαν ἐποιήσατο.

γ'. Ὡς Πτολεμαῖος μὲν τῶν περὶ Κιλικίαν πόλεών τινας εἷλε, Δημήτριος δ' ὁ Ἀντιγόνου ταύτας ἀνεκτήσατο.

δ'. Ὡς Πολυσπέρχων μὲν Ἡρακλέα τὸν ἐκ Βαρσίνης ἐπεχείρησε κατάγειν ἐπὶ τὴν πατρῴαν βασιλείαν, Πτολεμαῖος δὲ Νικοκρέοντα τὸν βασιλέα τῶν Παφίων ἐπανείλατο.

ε'. Περὶ τῶν πραχθέντων ἐν μὲν τῷ Βοσπόρῳ τοῖς βασιλεῦσι, κατὰ δὲ τὴν Ἰταλίαν Ῥωμαίοις καὶ Σαμνίταις.

ς'. Πτολεμαίου στρατεία ἐπὶ Κιλικίαν καὶ τὴν ἑξῆς παραθαλάττιον.

ζ'. Ἡρακλέους ἀναίρεσις ὑπὸ Πολυσπέρχοντος.

η'. Ἀμίλκου τοῦ στρατηγοῦ τῶν Καρχηδονίων ἅλωσις ὑπὸ Συρακουσίων.

θ'. Ὡς Ἀκραγαντῖνοι τοὺς Σικελιώτας ἐλευθεροῦν ἐπεχείρησαν.

ι'. Ὡς τῶν Συρακουσίων εἴκοσι ναῦς ἥλωσαν.

ια'. Περὶ τῆς ἐν Λιβύῃ γενομένης στάσεως καὶ τοῦ κινδύνου τοῦ περὶ τὸν Ἀγαθοκλέα.

ιβ'. Περὶ τῶν πραχθέντων Ἀππίῳ Κλαυδίῳ κατὰ τὴν τιμητικὴν ἀρχήν.

403. inscr. τῶν om. Bas. 4. Αὐτολέοντι] Λέοντι T Bas. 8. ταύτας] πάσας W 12. Νικοκρέοντα] Νικοκλέα p. 420, 17. seq. 15. κατὰ δὲ τὴν Ἰταλίαν] ἐν δὲ τῇ Ἰταλίᾳ W 18. παραθαλάττιον] παραθαλασσίαν W 24. εἴκοσι] δέκα p. 428, 59.

ιγ'. Παράδοσις Κορίνθου καὶ Σικυῶνος Πτολεμαίῳ.
ιδ'. Κλεοπάτρας ἐν Σάρδεσιν ἀναίρεσις.
ιε'. Ὡς Ἀγαθοκλῆς Καρχηδονίους μὲν ἐνίκησε μάχῃ, τὸν δὲ δυνάστην τῆς Κυρήνης Ὀφέλλαν μεταπεμψάμενος ἐπὶ κοινοπραγίαν κατέσφαξε καὶ τὴν μετὰ τούτου δύναμιν παρέλαβεν.
ις'. Ὡς Καρχηδόνιοι Βομίλκαν ἐπιθέμενον τυραννίδι κατέλυσαν.
ιζ'. Ὡς Ἀγαθοκλέους ἀποπέμψαντος εἰς Σικελίαν τὰ λάφυρα 404
τινὰ τῶν πλοίων ἐναυάγησεν.
ιη'. Ὡς Ῥωμαῖοι Μαρσοῖς μὲν πολεμουμένοις ὑπὸ Σαμνιτῶν ἐβοήθησαν, ἐν δὲ τῇ Τυῤῥηνίᾳ Κάπριον ἐξεπολιόρκησαν.
ιθ'. Δημητρίου τοῦ πολιορκητοῦ κατάπλους εἰς τὸν Πειραιᾶ καὶ τῆς Μουνυχίας ἅλωσις.
κ'. Ἐλευθέρωσις Ἀθηναίων καὶ Μεγαρέων.
κα'. Πλοῦς ἐπὶ Κύπρον Δημητρίου καὶ μάχη πρὸς Μενέλαον τὸν στρατηγὸν καὶ Σαλαμῖνος πολιορκία.
κβ'. Ναυμαχία Δημητρίου πρὸς Πτολεμαῖον καὶ νίκη Δημητρίου.
κγ'. Παράληψις Κύπρου τε πάσης καὶ τῆς Πτολεμαίου δυνάμεως.
κδ'. Ὡς μετὰ τὴν νίκην ταύτην Ἀντιγόνου καὶ Δημητρίου περιθεμένων διάδημα ζηλοτυπήσαντες οἱ λοιποὶ δυνάσται βασιλεῖς ἑαυτοὺς ἀνηγόρευσαν.
κε'. Ὡς Ἀγαθοκλῆς Ἰτύκην ἐκπολιορκήσας διεβίβασε μέρος τῆς δυνάμεως εἰς τὴν Σικελίαν.
κς'. Ὡς Ἀκραγαντῖνοι παραταξάμενοι πρὸς τοὺς Ἀγαθοκλέους στρατηγοὺς ἡττήθησαν.
κζ'. Ὡς Ἀγαθοκλῆς Ἡράκλειαν μὲν καὶ Θέρμα καὶ Κεφαλοίδιον προσηγάγετο, τὴν δὲ τῶν Ἀπολλωνιατῶν χώραν καὶ πόλιν ἐξηνδραποδίσατο.
κη'. Ὡς Ἀγαθοκλῆς ἐν Σικελίᾳ ναυμαχίᾳ μὲν ἐνίκησε Καρχηδονίους, μάχῃ δ' Ἀκραγαντίνους.
κθ'. Διάβασις εἰς Λιβύην Ἀγαθοκλέους τὸ δεύτερον καὶ ἧττα.
λ'. Αἱ γενόμεναι ταραχαὶ κατὰ τὰ ἑκατέρων στρατόπεδα.
λα'. Ἀγαθοκλέους δρασμὸς εἰς Σικελίαν.
λβ'. Αἱ γενόμεναι σφαγαὶ τῶν Σικελιωτῶν ὑπὸ Ἀγαθοκλέους.
λγ'. Στρατεία Ἀντιγόνου βασιλέως μεγάλαις δυνάμεσιν ἐπ' Αἴγυπτον.

33. καὶ τὴν] καὶ Bas. 35. Βομίλκαν Bas., Βορμίλκαν caeteri 36. κατέλυσαν] κατέλευσαν Wesselingius

404. 37. ἀποπέμψαντος] ἀποστειλάντων W 39. Μαρσοῖς] Μαρίοις Y Bas., Ἰάπυξι W 42. Πειραιᾶ] Πειραιέα W 47. νίκη Δημητρίου] ἧττα Πτολεμαίου QW 53. ἀνηγόρευσαν] προανηγόρευσαν W 63. τὸ δεύτερον om. Bas. 71. ἐπ'] εἰς W



λδ'. Ἀπόστασις Πασιφίλου στρατηγοῦ ἀπὸ Ἀγαθοκλέους.
λε'. Ὡς Καρχηδόνιοι συνέθεντο τὴν εἰρήνην πρὸς Ἀγαθοκλέα.
λς'. Ὡς Ῥόδον πολιορκήσας Δημήτριος διελύσατο τὴν πολιορκίαν.
λζ'. Ὡς Ῥωμαῖοι Σαμνίτας δυσὶ μάχαις ἐνίκησαν.
λη'. Ὡς Δημήτριος ἀπὸ τῆς Ῥόδου πλεύσας εἰς τὴν Ἑλλάδα τὰς πλείστας πόλεις ἠλευθέρωσεν.
λθ'. Ὡς Ἀγαθοκλῆς Λιπαραίους χρήματα ἀδίκως εἰςπραξάμενος ἀπέβαλε τὰς ναῦς ἐν αἷς ἦν τὰ χρήματα.
μ'. Ὡς Ῥωμαῖοι τὸ μὲν ἔθνος τῶν Αἴκλων κατεπολέμησαν, πρὸς δὲ τοὺς Σαμνίτας συνέθεντο τὴν εἰρήνην.
μα'. Τὰ πραχθέντα Κλεωνύμῳ περὶ τὴν Ἰταλίαν.
μβ'. Δι' ἃς αἰτίας οἱ περὶ Κάσσανδρον καὶ Λυσίμαχον ἔτι δὲ Σέλευκον καὶ Πτολεμαῖον συνδραμόντες ἐνεστήσαντο τὸν πόλεμον πρὸς τὸν Ἀντίγονον.
μγ'. Στρατεία Κασσάνδρου μὲν ἐπὶ Δημήτριον εἰς Θεσσαλίαν, Λυσιμάχου δ' εἰς τὴν Ἀσίαν.
μδ'. Ἀπόστασις Δοκίμου καὶ Φοίνικος τῶν στρατηγῶν ἀπ' Ἀντιγόνου.
με'. Ὡς Ἀντίγονος ἀντιστρατοπεδεύσας Λυσιμάχῳ πολὺ προεῖχε ταῖς δυνάμεσιν.
μς'. Ὡς Δημήτριον τὸν υἱὸν ἐκ τῆς Ἑλλάδος μετεπέμψατο.
405 μζ'. Ὡς Πτολεμαῖος μὲν ἐχειρώσατο τὰς πόλεις τὰς ἐν τῇ κοίλῃ Συρίᾳ, Σέλευκος δ' ἐκ τῶν ἄνω σατραπειῶν τὴν κατάβασιν ἐποιήσατο μέχρι Καππαδοκίας.
μη'. Διάλυσις ἁπασῶν τῶν δυνάμεων εἰς χειμασίαν.

75. πολιορκήσας] πολιορκῶν W διελύσατο] διέλυσε W 81. ἦν] ἦσαν W 83. Αἴκλων Rhodomannus: libri Ἄσκλων 89. τὸν πρὸς Bas., caeteri πρὸς

405. 100. τὴν κατάβ.] κατάβ. W μέχρι]. μάχῃ Bas.

## ΔΙΟΔΩΡΟΥ ΤΟΥ ΣΙΚΕΛΙΩΤΟΥ 406

# ΒΙΒΛΙΟΘΗΚΗΣ ΙΣΤΟΡΙΚΗΣ

### ΒΙΒΛΟΣ ΕΙΚΟΣΤΗ.

Τοῖς εἰς τὰς ἱστορίας ὑπερμήκεις δημηγορίας παρεμβάλλουσιν ἢ πυκναῖς χρωμένοις ῥητορείαις δικαίως ἄν τις ἐπιτιμήσειεν. οὐ μόνον γὰρ τὸ συνεχὲς τῆς διηγήσεως διὰ τὴν ἀκαιρίαν τῶν ἐπειςαγομένων λόγων διασπῶσιν, ἀλλὰ καὶ τῶν φιλοτίμως ἐχόντων πρὸς τὴν τῶν πράξεων ἐπίγνωσιν. καίτοι γε τοὺς ἐπιδείκνυσθαι βουλομένους λόγου δύναμιν ἔξεστι κατ' ἰδίαν δημηγορίας καὶ πρεσβευτικοὺς λόγους ἔτι δὲ ἐγκώμια καὶ ψόγους καὶ τἄλλα τὰ τοιαῦτα συντάττεσθαι. τῇ γὰρ οἰκονομίᾳ τῶν λόγων χρησάμενοι, καὶ τὰς ὑποθέσεις χωρὶς ἑκατέρας ἐξεργασάμενοι, κατὰ λόγον ἂν ἐν ἀμφοτέραις ταῖς πραγματείαις εὐδοκιμοῖεν. νῦν δ' ἔνιοι πλεονάσαντες ἐν τοῖς ῥητορικοῖς λόγοις προσθήκην ἐποιήσαντο τὴν ὅλην ἱστορίαν τῆς δημηγορίας. λυπεῖ δ' οὐ μόνον τὸ κακῶς γραφέν, ἀλλὰ καὶ τὸ δοκοῦν ἐν τοῖς ἄλλοις ἐπιτετεῦχθαι τόπων καὶ καιρῶν τῆς οἰκείας τάξεως διημαρτηκός. διὸ καὶ τῶν ἀναγινωσκόντων τὰς τοιαύτας πραγματείας οἱ μὲν ὑπερβαίνουσι τὰς ῥητορείας, κἂν ὅλως ἐπιτετεῦχθαι δόξωσιν, οἱ δὲ διὰ τὸ μῆκος καὶ τὴν ἀκαιρίαν τοῦ συγγραφέως ἐκλυθέντες τὰς ψυχὰς τὸ παράπαν ἀφίστανται τῆς ἀναγνώσεως, οὐκ ἀλόγως τοῦτο πάσχοντες. τὸ γὰρ τῆς ἱστορίας γένος ἁπλοῦν ἐστι καὶ συμφυὲς ἑαυτῷ καὶ τὸ σύνολον ἐμψύ-

406. inscr. τοῦ — εἰκοστή] Σ. ἱστοριῶν βίβλος κ Bas.
1. τὰς om. W  8. ἀλλὰ καὶ] manca haec esse vidit Stephanus  9. καίτοι γε] καίτοι F  ἐπιδείκνυσθαι] ἐνδείκνυσθαι F  15. εὐδοκιμοῖεν] εὐδοκίμουν TXY Bas., εὐδοκιμεῖεν (οῖ suprascr.) F  18. γραφὲν] γράφειν omnes  19. τοῖς] ἐπὶ τοῖς FW  22. ὅλως om. W  27. ἑαυτῷ] αὐτῷ F Bas.



χῳ σώματι παραπλήσιον, οὗ τὸ μὲν ἐσπαραγμένον ἐστέ-
407 ρηται τῆς ψυχικῆς χάριτος, τὸ δὲ τὴν ἀναγκαίαν σύν-
θεσιν ἔχον εὐκαίρως τετήρηται καὶ τῷ συμφυεῖ τῆς ὅλης
περιγραφῆς ἐπιτερπῆ καὶ σαφῆ παρίστησι τὴν ἀνάγνω-
σιν. οὐ μὴν παντελῶς γε τοὺς ῥητορικοὺς λόγους ἀπο- 2
δοκιμάζοντες ἐκβάλλομεν ἐκ τῆς ἱστορικῆς πραγματείας
τὸ παράπαν. ὀφειλούσης γὰρ τῆς ἱστορίας τῇ ποικιλίᾳ
κεκοσμῆσθαι, κατ' ἐνίους τόπους ἀνάγκη προςλαμβάνεσθαι καὶ τοὺς τοιούτους λόγους· καὶ ταύτης τῆς εὐκαιρίας οὐδ' ἂν ἐμαυτὸν ἀποστερῆσαι βουληθείην· ὥςθ' ὅταν τὰ τῆς περιστάσεως ἀπαιτῇ πρεσβευτοῦ ἢ συμβούλου δημηγορίαν ἢ τῶν ἄλλων τι τοιοῦτον, ὁ μὴ τεθαῤῥηκότως συγκαταβαίνων πρὸς τοὺς ἐν τοῖς λόγοις ἀγῶνας καὶ αὐτὸς ὑπαίτιος ἂν εἴη. οὐκ ὀλίγας γὰρ ἄν τις αἰτίας εὕροι, καθ' ἃς κατὰ πολλὰ ἀναγκαίως παραληφθήσεται τὰ τῆς ῥητορείας. ἢ γὰρ πολλῶν εἰρημένων εὐστόχως καὶ καλῶς οὐ παραλειπτέον δι' ὀλιγωρίαν τὰ μνήμης ἄξια καὶ τῇ ἱστορίᾳ κεκραμένην ἔχοντα τὴν ὠφέλειαν, ἢ μεγάλων καὶ λαμπρῶν τῶν ὑποθέσεων οὐσῶν οὐ περιορατέον ἐλάττονα τῶν ἔργων φανῆναι τὸν λόγον· ἔστι δ' ὅτε παρὰ προςδοκίαν τοῦ τέλους ἐκβάντος ἀναγκασθησόμεθα τοῖς τῆς ὑποθέσεως λόγοις χρήσασθαι χάριν τοῦ λῦσαι τὴν ἀλογίαν. ἀλλὰ περὶ μὲν τούτων ἅλις ἡμῖν ἐχέτω· περὶ δὲ τῶν ὑποκειμένων πράξεων ῥητέον, παραθέντας πρότερον τοὺς οἰκείους τῇ γραφῇ χρόνους. ἐν μὲν οὖν ταῖς προηγουμέναις βίβλοις ἀναγεγράφαμεν ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων τὰς πράξεις τάς τε τῶν Ἑλλήνων καὶ βαρβάρων ἕως ἐπὶ τὸν προηγούμενον ἐνιαυτὸν τῆς Ἀγαθοκλέους στρατείας εἰς τὴν Λιβύην, εἰς ἣν ἀπὸ Τροίας ἁλώσεως ἔτη συνάγεται τρισὶ πλείω τῶν ὀκτακοσίων ἑβδομήκοντα· ἐν ταύτῃ δὲ τὸ συνεχὲς προςτιθέντες τῆς ἱστορίας ἀρξόμεθα μὲν ἀπὸ τῆς εἰς Λιβύην διαβάσεως Ἀγαθοκλέους, καταλήξομεν δ' εἰς τὸν ἐνιαυτὸν καθ' ὃν οἱ βασιλεῖς συμφρονήσαντες κοινῇ διαπολεμεῖν ἤρξαντο πρὸς Ἀντίγονον τὸν Φιλίππου, περιλαβόντες ἔτη ἐννέα.

407. 30. τετήρηται] τε εἴρηται Reiskius  34. ἱστορικῆς πραγματείας FQTXY Bas., caeteri ἱστορίας  38. ἀποστερῆσαι] ἀποστῆσαι (ερῆ suprascr.) F  40. πρεσβευτοῦ] πραγματευτικοῦ λόγου (λόγου W) QW, πραγματικοῦ, suprascripto γρ. πρεσβευτοῦ, F  41. τι τοιοῦτον FQW, caeteri τῶν τοιούτων  44. παραληφθ. FW Bas., caeteri παραλειφθ.  45. ῥητορείας] ἱστορίας F  47. κεκραμένην Stephanus: libri κεκρατημένην  48. ὠφέλειαν om. X  61. ἑβδομήκοντα Wesselingius: libri ὀγδοήκοντα  64. συμφρονήσαντες] συμφωνήσαντες F

3 Ἐπ' ἄρχοντος γὰρ Ἀθήνησιν Ἱερομνήμονος Ῥωμαῖοι μὲν ὑπάτους κατέστησαν Γάϊον Ἰούνιον καὶ Κόϊντον Αἰμίλιον. κατὰ δὲ τὴν Σικελίαν Ἀγαθοκλῆς ἡττημένος ὑπὸ Καρχηδονίων τῇ περὶ τὸν Ἱμέραν μάχῃ, καὶ τὸ πλεῖστον καὶ κράτιστον τῆς δυνάμεως ἀποβεβληκώς, συνέφυγεν εἰς τὰς Συρακούσας. ὁρῶν δὲ τοὺς συμμάχους ἅπαντας μεταβεβλημένους, καὶ τοὺς βαρβάρους πλὴν Συρακουσῶν ἁπάσης σχεδὸν Σικελίας κυριεύοντας, καὶ πολὺ προέχοντας ταῖς τε πεζικαῖς καὶ ναυτικαῖς δυνάμεσιν, ἐπετελέσατο πρᾶξιν ἀνέλπιστον καὶ παραβολωτάτην. πάντων γὰρ διειληφότων μηδ' ἂν ἐγχειρήσειν αὐτὸν τοῖς Καρχηδονίοις ἀντιταχθῆναι, διενοήσατο τῆς μὲν πόλεως τὴν ἱκανὴν ἀπολιπεῖν φυλακήν, τῶν δὲ στρατιωτῶν τοὺς εὐθέτους ἐπιλέξαι καὶ μετὰ τούτων εἰς τὴν Λιβύην διακομισθῆναι· τοῦτο γὰρ πράξας ἤλπιζε τοὺς μὲν ἐν τῇ Καρχηδόνι τετρυφηκότας ἐν εἰρήνῃ πολυχρονίῳ, καὶ διὰ τοῦτ' ἀπείρους ὄντας τῶν [408] ἐν ταῖς μάχαις κινδύνων, ὑπὸ τῶν ἐνηθληκότων τοῖς δεινοῖς ῥαδίως ἡττηθήσεσθαι, τοὺς δὲ κατὰ τὴν Λιβύην συμμάχους, βαρυνομένους τοῖς προστάγμασιν ἐκ πολλῶν χρόνων, λήψεσθαι καιρὸν τῆς ἀποστάσεως, τὸ δὲ μέγιστον, διαρπάσειν ἀπροσδοκήτως ἐπιφανεὶς χώραν ἀπόρθητον καὶ διὰ τὴν τῶν Καρχηδονίων εὐδαιμονίαν πεπληρωμένην παντοίων ἀγαθῶν, τὸ δ' ὅλον ἀπὸ τῆς πατρίδος καὶ πάσης Σικελίας περισπάσειν τοὺς βαρβάρους, καὶ πάντα τὸν πόλεμον μετάξειν εἰς τὴν Λιβύην·

4 ὅπερ καὶ συνετελέσθη. τὴν γὰρ ἐπίνοιαν ταύτην οὐδενὶ τῶν φίλων δηλώσας, τῆς μὲν πόλεως ἐπιμελητὴν Ἄντανδρον τὸν ἀδελφὸν κατέστησε μετὰ τῆς ἱκανῆς φυλακῆς, αὐτὸς δὲ τῶν στρατιωτῶν ἐπιλέγων τοὺς εὐθέτους κατέγραφε, τοῖς μὲν πεζοῖς παραγγέλλων ἑτοίμους εἶναι μετὰ τῶν ὅπλων, τοῖς δ' ἱππεῦσι διακελευόμενος ἔχειν μεθ' ἑαυτῶν χωρὶς τῆς πανοπλίας ὑπηρέσιον καὶ χαλινόν, ὅπως, ὅταν ἵππων κυριεύσῃ, τοὺς ἀναβησομένους ἑτοίμους ἔχειν τὰ πρὸς τὴν χρείαν ἐξηρτυμένους. κατὰ γὰρ τὴν προγεγενημένην ἧτταν τῶν μὲν πεζῶν ἀπολώλεισαν οἱ πλείους, οἱ δ' ἱππεῖς ὑπῆρχον διασεσωσμένοι

67. γὰρ] δ' W 68. Ἰούνιον Livius: libri Ἰούλιον 70. ὑπὸ] ὑπὸ τῶν F 73. τούς τε W, caeteri τοὺς 76. ἐπετελέσατο] ἐπεθέσατο Bas. 78. ἐγχειρήσειν FW, caeteri ἐγχειρίσειν 80. ἀπολιπεῖν om. Bas. 81. τούτων] αὐτῶν FW
408. 86. τὴν om F 90. ἀπόρθητον] ἀπροσδοκήτως addit F 92. πάσης Σικελίας περισπάσειν] σικελίας περισπάσαι F 93. μετάξειν] μετατάξειν F 100. δ' F
3. τὰ om. W ἐξηρτυμένους] ἐξηρτημένους W



σχεδὸν ἅπαντες, ὧν τοὺς ἵππους οὐκ ἠδύνατο διακομίζειν εἰς τὴν Λιβύην. ἵνα δὲ χωρισθέντος αὐτοῦ μὴ νεωτερίζωσιν οἱ Συρακόσιοι, διεζεύγνυε τὰς συγγενείας ἀπ' ἀλλήλων, καὶ μάλιστα ἀδελφοὺς ἀπ' ἀδελφῶν καὶ πατέρας ἀπὸ παίδων, τοὺς μὲν ἐπὶ τῆς πόλεως ἀπολείπων, τοὺς δὲ μεθ' ἑαυτοῦ διακομίζων. πρόδηλον γὰρ ἦν ὡς οἱ μένοντες ἐν ταῖς Συρακούσαις, κἂν ἀλλοτριώτατοι τυγχάνωσι πρὸς τὸν δυνάστην, διὰ τὴν πρὸς τοὺς ἀπογόνους εὔνοιαν οὐδὲν ἂν πράξειαν ἄτοπον κατ' Ἀγαθοκλέους. ἀπορούμενος δὲ χρημάτων, τά τε τῶν ὀρφανῶν παρὰ τῶν ἐπιτροπευόντων εἰςεπράξατο, φάσκων πολὺ βέλτιον ἐκείνων ἐπιτροπεύσειν καὶ τοῖς παισὶν εἰς ἡλικίαν ἐλθοῦσι πιστότερον ἀποδώσειν, ἐδανείσατο δὲ καὶ παρὰ τῶν ἐμπόρων καί τινα τῶν ἐν τοῖς ἱεροῖς ἀναθημάτων ἔλαβε καὶ τῶν γυναικῶν τὸν κόσμον περιείλετο. ἔπειθ' ὁρῶν καὶ τῶν εὐπορωτάτων τοὺς πλείστους δυςχεραίνοντας τοῖς πραττομένοις καὶ πρὸς αὐτὸν ἀλλοτριώτατα διακειμένους, συνήγαγεν ἐκκλησίαν, ἐν ᾗ περί τε τῆς προγεγενημένης συμφορᾶς καὶ τῶν προσδοκωμένων δεινῶν κατοδυρόμενος αὐτὸς μὲν ῥαδίως ὑπομένειν ἔφησε τὴν πολιορκίαν, συνήθης ὢν πάσῃ κακοπαθείᾳ, ἐλεεῖν δὲ τοὺς πολίτας, εἰ συγκλεισθέντες ἀναγκασθήσονται πολιορκίαν ὑπομένειν. διεκελεύετο οὖν σώζειν ἑαυτοὺς μετὰ τῶν ἰδίων κτήσεων τοὺς μὴ βουλομένους ὑπομένειν ὅ,τι ποτ' ἂν δοκῇ τῇ τύχῃ πάσχειν. ἐξορμησάντων δ' ἐκ τῆς πόλεως τῶν μάλιστ' εὐπόρων καὶ μισούντων τὸν δυνάστην, τούτους μὲν ἐπαποστείλας τινὰς τῶν μισθοφόρων ἀνεῖλε καὶ τὰς οὐσίας εἰς αὐτὸν ἀνέλαβε. διὰ δὲ μιᾶς ἀνοσίου πράξεως χρημάτων εὐπορήσας καὶ τῶν ἀλλοτρίως διακειμένων πρὸς αὐτὸν καθαρὰν ποιήσας τὴν πόλιν, ἠλευθέρωσε τῶν οἰκετῶν τοὺς εὐθέτους εἰς στρατείαν.

409 5 Ὡς δ' εὐτρεπῆ πάντ' ἦν, πληρώσας ἑξήκοντα ναῦς ἐπετήρει καιρὸν οἰκεῖον πρὸς τὸν ἔκπλουν. ἀγνοουμένης δὲ τῆς ἐπινοίας αὐτοῦ, τινὲς μὲν εἰς τὴν Ἰταλίαν

7. ἠδύνατο Reiskius: libri ἠδύναντο 12. ἑαυτοῦ] αὐτοῦ Bas. 13. ἀλλοτριώτατοι] ἀλλοτριώτατα Bas., cui addendum erit διακείμενοι, ut paullo post 14. δυνάστην] δεσπότην W 15. πράξειαν] πράξαιεν F 21. ἐν om. F
22. περιείλετο] περιείλατο FW 23. πλείστους] πλείους FW 25. προγεγενημένης] γεγενημένης FW 27. ὑπομένειν ἔφησε] ἔφησεν ὑπομένειν F 34. ἐπαποστείλας F, caeteri ἐξαποστείλας 35. εἰς αὐτὸν] αὐτῶν FQW 36. ἀνοσίου om. T Bas., asterisco notavit Stephanus 39. στρατείαν] στρατιάν F
409. 40. εὐτρεπῆ] εὐπρεπῆ Bas.

ὑπελάμβανον αὐτὸν στρατεύειν, τινὲς δὲ πορθήσειν τῆς Σικελίας τὴν ὑπὸ Καρχηδονίους, πάντες δ' ἀπεγίνωσκον τῶν ἐκπλεῖν μελλόντων τὴν σωτηρίαν καὶ τοῦ δυνάστου τὴν μανίαν κατεγίνωσκον. ἐφορμούντων δὲ τῶν πολεμίων πολλαπλασίαις τριήρεσι, τὸ μὲν πρῶτον ἐφ' ἡμέρας τινὰς ἠναγκάζετο συνέχειν ἐν ταῖς ναυσὶ τοὺς στρατιώτας, οὐ δυνάμενος ἐκπλεῦσαι. ἔπειτα δὲ σιτηγῶν πλοίων τῇ πόλει προςθεόντων, οἱ μὲν Καρχηδόνιοι παντὶ τῷ στόλῳ πρὸς τὰς ναῦς ἀνήχθησαν· ὁ δ' Ἀγαθοκλῆς ἀπελπίζων ἤδη τὴν ἐπιβολήν, ὡς εἶδε τὸ στόμα τοῦ λιμένος ἔρημον τῶν ἐφορμούντων, ἐξέπλευσεν ὀξείαις ταῖς εἰρεσίαις χρώμενος. εἶθ' οἱ μὲν Καρχηδόνιοι πλησίον ἤδη τῶν φορτηγῶν ὄντες, ὡς εἶδον τοὺς πολεμίους ἀθρόαις ταῖς ναυσὶ πλέοντας, τὸ μὲν πρῶτον ὑπολαβόντες αὐτὸν ὡρμηκέναι πρὸς τὴν τῶν σιτηγῶν βοήθειαν, ἀνέστρεφον καὶ τὸν στόλον ἐξήρτυον εἰς ναυμαχίαν· ὡς δ' ἐπ' εὐθείας ἑώρων παραθέοντας καὶ πολὺ τοῦ πλοῦ προλαμβάνοντας, ἐποιοῦντο τὸν διωγμόν. ἔνθα δὴ τούτων πρὸς ἀλλήλους φιλοτιμουμένων, τὰ μὲν τὴν ἀγορὰν κομίζοντα πλοῖα παραδόξως ἐκφυγόντα τὸν κίνδυνον πολλὴν εὐπορίαν ἐποίησεν ἐν ταῖς Συρακούσαις τῶν ἐπιτηδείων, σιτοδείας ἤδη τὴν πόλιν ἐχούσης, ὁ δ' Ἀγαθοκλῆς περικατάληπτος ἤδη γινόμενος ἐπιλαβούσης τῆς νυκτὸς ἀνελπίστου σωτηρίας ἔτυχε. τῇ δ' ὑστεραίᾳ τηλικαύτην ἔκλειψιν ἡλίου συνέβη γενέσθαι ὥςτε ὁλοσχερῶς φανῆναι νύκτα, θεωρουμένων τῶν ἀστέρων πανταχοῦ. διόπερ οἱ περὶ τὸν Ἀγαθοκλέα νομίσαντες καὶ τὸ θεῖον αὐτοῖς προσημαίνειν τὸ δυςχερές, ἔτι μᾶλλον ὑπὲρ τοῦ μέλλοντος ἐν ἀγωνίᾳ καθειστήκεισαν.

6 Ἒξ δ' ἡμέρας καὶ τὰς ἴσας νύκτας αὐτῶν πλευσάντων, ὑποφαινούσης τῆς ἕω παραδόξως ὁ στόλος τῶν Καρχηδονίων οὐκ ἄποθεν ὢν ἑωράθη. διόπερ ἀμφοτέροις ἐμπεσούσης σπουδῆς, ἡμιλλῶντο πρὸς ἀλλήλους ταῖς εἰρεσίαις, οἱ μὲν Φοίνικες νομίζοντες ἅμα τῇ τῶν νεῶν ἁλώσει Συρακούσας μὲν ὑποχειρίους ἕξειν, τὴν δὲ πατρίδα μεγάλων ἐλευθερώσειν κινδύνων· οἱ δ' Ἕλληνες, εἰ μὴ φθάσειαν τῆς χώρας ἁψάμενοι, προκειμένην ἑώρων αὐτοῖς μὲν τιμωρίαν, τοῖς δὲ καταλειφθεῖσιν ἐν

44. δ' F ἀπεγίνωσκον et 46. κατεγίνωσκον F, caeteri per γ 48. ἠναγκάζετο Wesselingius: libri ἠνάγκαζε 49. δυνάμενος] libri δυναμένους 61. ἐποιοῦντο] fort. ὀξὺν ἐποιοῦντο 64. ἐκφυγόντα] ἐκφεύγοντα F ἐποίησαν post συῤῥακούσαις ponit F 67. γινόμενος F Bas., caeteri γενόμενος 76. Καρχηδονίων] συῤῥακουσίων F ἄποθεν] ἄπωθεν Bas. διόπερ] διὸ παρ' omnes 81. φθάσειαν] φθάσαιεν F



οἴκῳ τὰ τῆς δουλείας δεινά. καθορωμένης δὲ τῆς Λιβύης, παρακελευσμὸς ἐγίνετο τοῖς πληρώμασι καὶ φιλοτιμίας ὑπερβολή· καὶ τάχιον μὲν ἔπλεον αἱ τῶν βαρβάρων, ἐν πολυχρονίῳ μελέτῃ τῶν ἐρετῶν διαπεπονημένων, ἱκανὸν δὲ διάστημα προεῖχον αἱ τῶν Ἑλλήνων. ὀξύτατα δὲ τοῦ πλοῦ διανυσθέντος, ἐπειδὴ πλ..ίον ἐγενήθησαν τῆς γῆς, συνεξέπιπτον ἀλλήλοις εἰς τον αἰγιαλὸν ὡςπερεὶ τινες ἀγωνισταί. ταῖς γὰρ ἐσχάταις τῶν Ἀγαθοκλέους αἱ πρῶται τῶν Καρχηδονίων ἐνέβαλλον ἐντὸς βέλους οὖσαι. διόπερ ἐπ' ὀλίγον χρόνον τοῖς τε τόξοις καὶ σφενδόναις διαγωνισαμένων αὐτῶν, καὶ ναυσὶν 410 ὀλίγαις τῶν βαρβάρων συμπλακέντων, οἱ περὶ τὸν Ἀγαθοκλέα ἐπροτέρουν, τὸ τῶν στρατιωτῶν ἔχοντες πλῆθος. εἶθ' οἱ μὲν Καρχηδόνιοι πρύμναν ἀνακρουσάμενοι μικρὸν ἔξω βέλους ἐφώρμουν, ὁ δ' Ἀγαθοκλῆς ἀποβιβάσας τὴν δύναμιν πρὸς τὰς καλουμένας Λατομίας, καὶ χάρακα βαλόμενος ἐκ θαλάττης εἰς θάλατταν, ἐνεώλκησε τὰς ναῦς.

7 Οὕτω δὲ παράβολον ἐπιτελεσάμενος πρᾶξιν, ἄλλην ἐτόλμησε ταύτης μᾶλλον κεκινδυνευμένην. παραστησάμενος γὰρ τοὺς ἐν ἡγεμονίαις ὄντας εὐπειθεῖς πρὸς τὴν ἰδίαν ἐπιβολήν, καὶ θυσίαν ποιησάμενος Δήμητρι καὶ Κόρῃ, συνήγαγεν ἐκκλησίαν. κἄπειτα προελθὼν ἐπὶ τὴν δημηγορίαν ἐστεφανωμένος ἐν ἱματίῳ λαμπρῷ, καὶ προδιαλεχθεὶς οἰκείως τοῖς ἐγχειρουμένοις, ἔφησε ταῖς κατεχούσαις Σικελίαν θεαῖς Δήμητρι καὶ Κόρῃ πεποιῆσθαι καθ' ὃν καιρὸν ἐδιώχθησαν ὑπὸ τῶν Καρχηδονίων εὐχὰς λαμπαδεύσειν ἁπάσας τὰς ναῦς. καλῶς ουν ἔχειν τετευχότας τῆς σωτηρίας ἀποδιδόναι τὰς εὐχάς. ἀντὶ δὲ τούτων ἐπηγγέλλετο πολλαπλασίους ἀποδώσειν προθύμως αὐτῶν ἀγωνισαμένων· καὶ γὰρ τὰς θεὰς διὰ τῶν ἱερῶν προσημαίνειν νίκην τοῦ σύμπαντος πολέμου. ἅμα δὲ ταῦτα λέγοντος αὐτοῦ τῶν ὑπηρετῶν τις προςήνεγκεν ἡμμένην δᾷδα· ἣν δεξάμενος καὶ τοῖς τριηράρχοις ὁμοίως ἅπασι προςτάξας ἀναδοῦναι, τάς τε θεὰς ἐπεκαλέσα-

94. σφενδόναις] σφενδονήταις Bas.
410. 96. ἐπροτέρουν Wesselingius, ἐπροετέρουν Bas., caeteri προετέρουν 3. οὕτω] οὗτος suprascripto ω F ἐπιτελεσάμενος] ἀγωνισάμενος ἐπιτελέσαι FQW 6. θυσίαν] θυσίας W 11. πεποιῆσθαι] ποιεῖσθαι F 12. τῶν om. F 13. λαμπαδεύσειν — ἀποδιδόναι τὰς om. F 16. αὐτῶν ἀγωνισαμένων] ἀνταγωνισαμένων F 17. σύμπαντος] συμ ἅπαντος F 20. τριηράρχοις W, caeteri τριηράρχαις ὁμοίως post προςτάξας ponit W, ante προςτάξας F

το καὶ πρῶτος ὥρμησεν ἐπὶ τὴν ναυαρχίδα τριήρη· στὰς δ' ἐπὶ τὴν πρύμναν καὶ τοῖς ἄλλοις τὸ παραπλήσιον ποιεῖν παρεκελεύετο. ἔνθα δὴ τῶν τριηράρχων ἁπάντων ἐνέντων τὸ πῦρ, καὶ ταχὺ τῆς φλογὸς εἰς ὕψος ἀρθείσης, οἱ μὲν σαλπιγκταὶ τὸ πολεμικὸν ἐσήμαινον, τὸ δὲ στρατόπεδον ἐπηλάλαξε, συνευχομένων ἁπάντων ὑπὲρ τῆς εἰς οἶκον σωτηρίας. τοῦτο δ' ἔπραξεν Ἀγαθοκλῆς μάλιστα μὲν ἕνεκα τοῦ συναναγκάσαι τοὺς στρατιώτας ἐν τοῖς κινδύνοις ἐπιλαθέσθαι τὸ παράπαν τῆς φυγῆς· δῆλον γὰρ ὅτι τῆς ἐπὶ τὰς ναῦς καταφυγῆς ἀποκοπείσης ἐν μόνῳ τῷ νικᾶν ἕξουσι τὰς ἐλπίδας τῆς σωτηρίας· ἔπειτα καὶ δύναμιν ὀλίγην ἔχων, ἐθεώρει διότι φυλάττων μὲν τὰς ναῦς ἀναγκασθήσεται μερίζειν τὸ στρατόπεδον καὶ μηδαμῶς ἀξιόμαχος εἶναι, καταλιπὼν δ' ἐρήμους ὑποχειρίους ποιήσει γενέσθαι Καρχηδονίοις.

8 οὐ μὴν ἀλλὰ τῶν νεῶν ἁπασῶν φλεγομένων, καὶ τοῦ πυρὸς πολὺν ἐπέχοντος τόπον, ἔκπληξις κατεῖχε τοὺς Σικελιώτας. ἐν ἀρχῇ μὲν γὰρ ὑπὸ τῆς Ἀγαθοκλέους γοητείας παραλογισθέντες, καὶ τῆς τῶν ἐγχειρουμένων 411
ὀξύτητος ἀναθεώρησιν οὐ διδούσης, πάντες συγκατετίθεντο τοῖς πραττομένοις· τοῦ δὲ χρόνου τὸν περὶ ἑκάστων ἀναλογισμὸν παριστάντος, εἰς μεταμέλειαν ἐνέπιπτον καὶ τὸ μέγεθος τοῦ διείργοντος πελάγους ἀναλογιζόμενοι τὴν σωτηρίαν ἀπεγίνωσκον. ὁ δ' Ἀγαθοκλῆς σπεύδων ἀπαλλάξαι τῆς ἀθυμίας τοὺς στρατιώτας, ἦγε τὴν δύναμιν ἐπὶ τὴν ὀνομαζομένην Μεγάλην πόλιν, οὖσαν τῶν Καρχηδονίων. ἡ δ' ἀνὰ μέσον χώρα, δι' ἧς ἀναγκαῖον πορευθῆναι, διείληπτο κηπείαις καὶ παντοίαις φυτουργίαις, πολλῶν ὑδάτων διωχετευμένων καὶ πάντα τόπον ἀρδευόντων. ἀγροικίαι τε συνεχεῖς ὑπῆρχον οἰκοδομαῖς πολυτελέσι καὶ κονιάμασι διαπεπονημέναι καὶ τὸν τῶν κεκτημένων αὐτὰς διασημαίνουσαι πλοῦτον. ἔγεμον δ' αἱ μὲν ἐπαύλεις πάντων τῶν πρὸς ἀπόλαυσιν, ὡς ἂν τῶν ἐγχωρίων ἐν εἰρήνῃ πολυχρονίῳ τεθησαυρικότων γεννημάτων ἀφθονίαν· ἡ δὲ χώρα ἡ μὲν ἦν ἀμπελόφυτος, ἡ δὲ ἐλαιοφόρος καὶ τῶν ἄλλων τῶν καρπίμων δένδρων ἀνάπλεως. ἐπὶ θάτερα δὲ μέρη τὸ πεδίον ἐνέμοντο βοῶν ἀγέλαι καὶ ποῖμναι, καὶ τὰ πλησίον ἕλη φορβάδων ἵππων ἔγεμε. καθόλου δὲ παντοία τις ἦν ἐν τοῖς τόποις εὐδαιμονία, τῶν ἐπιφανεστάτων Καρχηδονίων διειληφότων τὰς κτήσεις καὶ τοῖς πλούτοις πεφιλοκαληκότων πρὸς ἀπόλαυσιν. διόπερ οἱ Σικελιῶται τό τε τῆς χώρας κάλλος καὶ τὴν εὐδαιμονίαν τὴν ἐν αὐτῇ θαυμάζοντες μετέωροι ταῖς ἐλπίσιν ἐγίνοντο, θεωροῦντες ἄξια τῶν κινδύνων ἔπαθλα τοῖς νικῶσι προκείμενα. ὁ δ' Ἀγαθοκλῆς ὁρῶν τοὺς στρατιώτας ἀναλαμβάνοντας αὐτοὺς ἐκ τῆς ἀθυμίας καὶ προθύμους ὄντας εἰς τοὺς κινδύνους, ἐξ ἐφόδου προσέβαλε τοῖς τείχεσιν. ἀπροσδοκήτου δὲ τῆς ἐπιθέσεως γενομένης, καὶ τῶν ἔνδον διὰ τὴν ἄγνοιαν καὶ τὴν τῶν πολέμων ἀπειρίαν ὀλίγον ὑποστάντων χρόνον, εἷλε τὴν πόλιν κατὰ κράτος· δοὺς δὲ τοῖς στρατιώταις εἰς ἁρπαγὴν ἐνέπλησε τὴν δύναμιν ὠφελείας ἅμα καὶ θάῤῥους. εὐθὺς δὲ καὶ πρὸς τὸν Λευκὸν Τύνητα καλούμενον ἀναζεύξας ἐχειρώσατο τὴν πόλιν, ἀπέχουσαν Καρχηδόνος δισχιλίους σταδίους. ἀμφοτέρας δὲ τὰς ἁλούσας πόλεις οἱ μὲν στρατιῶται διαφυλάττειν ἠβούλοντο καὶ τὰς ὠφελείας εἰς αὐτὰς ἀποτίθεσθαι· ὁ δ' Ἀγαθοκλῆς ἀκόλουθα τοῖς πεπραγμένοις διανοηθεὶς, καὶ διδάξας τὸ πλῆθος ὡς οὐδεμίαν συμφέρει καταφυγὴν ἀπολιπεῖν, ἕως ἂν παρατάξει νικήσωσι, κατέσκαψέ τε τὰς πόλεις καὶ κατεστρατοπέδευσεν ἐν ὑπαίθρῳ.

412 Οἱ δ' ἐφορμοῦντες Καρχηδόνιοι τῷ ναυστάθμῳ τῷ 9
Σικελιωτῶν τὸ μὲν πρῶτον ὁρῶντες καομένας τὰς ναῦς περιχαρεῖς ἦσαν, ὡς διὰ τὸν ἀπ' αὐτῶν φόβον ἠναγκασμένων τῶν πολεμίων διαφθεῖραι τὰ σκάφη· ὡς δ' εἶδον εἰς τὴν χώραν προάγουσαν τὴν τῶν ἐναντίων δύναμιν, συλλογιζόμενοι περὶ τῶν ἀποβησομένων συμφο-

24. τριηραρχῶν omnes 26. σαλπιγκταὶ] σαλπιγηταὶ Bas. 27. συνευχομένων] εὐχομένων FW 34. φυλάττων] libri φυλάσσων 37. ποιήσει γ.] invertunt FW Καρχηδονίοις] Καρχηδονίων FW 39. πολὺν ἐπέχοντος] invertit F κατεῖχε] κατέσχε F 40. γὰρ om. F 41. καὶ ἀνοίας post γοητείας om. T Bas.
411. 44. παριστάντος] παριστῶντος FW 49. τῶν om. F 50. ἦν om. Bas. 51. διείληπτο] διείληπται FW 52. διωχετευμένων] διοχετευομένων W 53. ἀγροικίαι] ἄγροι F, alterum γρ. in marg. ponens τε om. W 54. οἰκοδομαῖς] οἰκοδομί- αι αις F κονιάμασι] κονιάσμασι W 55. διαπεπονημένοι F

59. ἀφθονίαν] ἀφθόνως XY Bas., ἀφθόνων FW 61. θάτερα δὲ μέρη τὸ πεδίον ἐνέμοντο T Bas., θατέρου δὲ μέρους τοῦ πεδίου ἐνέμοντο QX, caeteri θάτερα δὲ μέρη πεδίον, ἐνέμοντο δ' ἐπ' αὐτῷ 67. Σικελιῶται] Συρακούσιοι W, συῤῥακούσιοι F 78. θάῤῥους] libri θάρσους εὐθὺς] εὐθὺ Bas. Λευκὸν Τύνητα] Λευκοτύνητα FW 83. ἀποτίθεσθαι FW, caeteri ἀπετίθεντο πεπραμένοις] προπεπραγμένοις Q Bas. 86. κατέσκαψε FQW, caeteri κατέστρεψε
412. 88. ἐφορμοῦντες] ἐφορμῶντες F Bas. 89. Σικελιωτῶν] non videtur articulo carere posse, nunc vel eliso vel in τῷ mutato καομένας] scribe καιομένας 90. ἀπ'] ὑπ' T Bas. 92. προάγουσαν Rhodomannus: libri προσάγουσαν

ϱὰν ἰδίαν ἡγοῦντο τὴν τῶν νεῶν ἀπώλειαν. διὸ καὶ ταῖς πρῴραις δέῤῥεις κατεπέτασαν, ὅπερ ἀεὶ ποιεῖν εἰώθασιν, ὅταν τι κακὸν δημοσίᾳ συμβεβηκέναι δόξῃ τῇ Καρχηδονίων πόλει. ἔλαβον δὲ καὶ τὰ χαλκώματα τῶν Ἀγαθοκλέους νεῶν εἰς τὰς ἰδίας τριήρεις, καὶ τοὺς ἀπαγγελοῦντας ὑπὲρ τῶν συμβεβηκότων τἀκριβὲς ἐξαπέστειλαν εἰς τὴν Καρχηδόνα. πρὶν δὲ τούτους δηλῶσαι τὸ γεγονός, ἀπὸ τῆς χώρας τινὲς αἰσθόμενοι τὸν κατάπλουν τοῦ Ἀγαθοκλέους ἀπήγγειλαν κατὰ σπουδὴν τοῖς Καρχηδονίοις. οἱ δ' ἐκπλαγέντες διὰ τὸ παράδοξον ὑπέλαβον ἀπολωλέναι τὰς ἰδίας δυνάμεις ἐν Σικελίᾳ καὶ τὰς πεζικὰς καὶ τὰς ναυτικάς· οὐ γὰρ ἄν ποτε τὸν Ἀγαθοκλέα μὴ νενικηκότα τολμῆσαι καταλιπεῖν ἐρήμους βοηθείας τὰς Συρακούσας, οὐδ' ἂν ἐπιβαλέσθαι περαιοῦν δύναμιν θαλαττοκρατούντων τῶν πολεμίων. διόπερ θόρυβος καὶ πολλὴ ταραχὴ κατεῖχε τὴν πόλιν, καὶ συνδρομὴ τῶν ὄχλων εἰς τὴν ἀγορὰν ἐγίνετο καὶ βουλὴ τῆς γερουσίας ὅ,τι δέοι πράττειν. στρατόπεδον μὲν γὰρ οὐκ ἦν ἕτοιμον τὸ δυνάμενον ἀντιτάξασθαι, τὸ δὲ πολιτικὸν πλῆθος ἄπειρον ὂν πολέμου προκατεπεπτώκει ταῖς ψυχαῖς, οἱ πολέμιοι δὲ πλησίον εἶναι τῶν τειχῶν προσεδοκῶντο. ἔνιοι μὲν οὖν ἔφασκον πρεσβευτὰς ὑπὲρ εἰρήνης ἀποστέλλειν πρὸς Ἀγαθοκλέα, τοὺς αὐτοὺς ἅμα καὶ κατασκόπους ἐσομένους τῶν παρὰ τοῖς πολεμίοις, τινὲς δὲ ἀναμεῖναι μέχρι ἂν γνῶσιν ἀκριβῶς ἕκαστον τῶν πεπραγμένων. τοιαύτης δὲ συγχύσεως τὴν πόλιν
10 ἐχούσης, κατέπλευσαν οἱ πεμφθέντες ὑπὸ τοῦ ναυάρχου καὶ τὰς αἰτίας τῶν πεπραγμένων ἐδήλωσαν. ἀναθαῤῥησάντων οὖν πάντων πάλιν ταῖς ψυχαῖς, ἡ γερουσία τοὺς μὲν ναυάρχους ἅπαντας κατεμέμψατο ὅτι θαλαττοκρατοῦντες εἴασαν πολεμίαν δύναμιν ἐπιβῆναι τῆς Λιβύης, στρατηγοὺς δὲ ἀπέδειξε τῶν δυνάμεων Ἄννωνα καὶ Βομίλκαν, πατρῴαν ἔχθραν ἔχοντας. ἡγοῦντο γὰρ διὰ τὴν ἰδίαν τούτοις ἀπιστίαν καὶ διαφορὰν κοινὴν

96. εἰώθασιν] εἰώθησαν Bas.: v. ad p. 399. 56. 97. Καρχηδονίων πόλει] Καρχηδονίων T, Καρχηδονίᾳ FQW 98. ἔλαβον δὲ Reiskius: libri ἔλαβόν τε 100. τἀκριβὲς] τἀκριβῆ QW, τὰ ἀκριβῆ F 1. πρὶν δὲ] πρὶν δ' ἢ FW 2. αἰσθόμενοι] αἰσθανόμενοι X 9. ἐπιβαλέσθαι] ἐπιβάλλέσθαι F θαλαττοκρ.] libri θαλασσοκρ. 12. ἐγίνετο] ἐγένετο FW 15. προκατεπ.] προςκατεπ. FW, προκαταπ. T 17. ἔφασκον] ἔφασαν T 20. μέχρι Bas., caeteri μέχρις 25. ἀναθαρσησάντων Bas. πάντων om. FW 27. πολεμίαν] πολεμίων W 28. ἀπέδειξε] ἀπέδειξαν Y Bas. 29. Βομίλκαν Bas. constanter, Βολμίλκαν X, caeteri Βορμίλκαν 30. διὰ deleo



ἔσεσθαι τῆς πόλεως ἀσφάλειαν· πολὺ δὲ διεσφάλησαν τῆς ἀληθείας. ὁ γὰρ Βομίλκας πάλαι μὲν ἦν ἐπιθυμητὴς τυραννίδος, οὐκ ἔχων δ' ἐξουσίαν οὐδὲ καιρὸν οἰκεῖον ταῖς ἐπιβολαῖς, τότε ἔλαβεν ἀφορμὰς ἀξιολόγους, τυχὼν τῆς στρατηγίας. αἰτία δὲ μάλιστα τούτων ἡ πρὸς τὰς τιμωρίας πικρία τῶν Καρχηδονίων· τοὺς γὰρ ἐπιφανεστάτους τῶν ἀνδρῶν ἐν μὲν τοῖς πολέμοις προά-
413 γουσιν ἐπὶ τὰς ἡγεμονίας, νομίζοντες δεῖν αὐτοὺς τῶν ὅλων προκινδυνεύειν· ὅταν δὲ τύχωσι τῆς εἰρήνης, τοὺς αὐτοὺς τούτους συκοφαντοῦσι καὶ κρίσεις ἀδίκους ἐπιφέροντες διὰ τὸν φθόνον τιμωρίαις περιβάλλουσι. διὸ καὶ τῶν ἐπὶ τὰς ἡγεμονίας ταττομένων τινὲς μὲν φοβούμενοι τὰς ἐν τῷ δικαστηρίῳ κρίσεις ἀποστάται γίνονται τῆς ἡγεμονίας, τινὲς δ' ἐπιτίθενται τυραννίσιν· ὅπερ καὶ τότε Βομίλκας ὁ ἕτερος τῶν στρατηγῶν ἐποίησε· περὶ οὗ μικρὸν ὕστερον ἐροῦμεν. οἱ δ' οὖν στρατηγοὶ τῶν Καρχηδονίων ὁρῶντες τὸν καιρὸν οὐδαμῶς ἀναβολῆς οἰκεῖον, τοὺς μὲν ἀπὸ τῆς χώρας καὶ τῶν συμμαχίδων πόλεων στρατιώτας οὐκ ἀνέμειναν, αὐτοὺς δὲ τοὺς πολιτικοὺς ἐξήγαγον εἰς ὕπαιθρον, ὄντας πεζοὺς μὲν οὐκ ἐλάττους τετρακισμυρίων, ἱππεῖς δὲ χιλίους, ἅρματα δὲ δισχίλια. καταλαβόμενοι δέ τινα γεώλοφον οὐ μακρὰν τῶν πολεμίων ἐξέταττον τὴν δύναμιν εἰς μάχην· καὶ τοῦ μὲν δεξιοῦ κέρατος Ἄννων εἶχε τὴν ἡγεμονίαν, συναγωνιζομένων αὐτῷ τῶν εἰς τὸν ἱερὸν λόχον συντεταγμένων, τοῦ δ' εὐωνύμου Βομίλκας ἡγούμενος βαθεῖαν ἐποίει τὴν φάλαγγα, κωλύοντος τοῦ τόπου παρεκτείνειν ἐπὶ πλεῖον· τὰ δ' ἅρματα καὶ τοὺς ἱππεῖς πρὸ τῆς φάλαγγος ἔστησαν, διεγνωκότες τούτοις πρῶτον ἐμβαλεῖν καὶ τῶν Ἑλλήνων ἀποπειραθῆναι.

Ὁ δ' Ἀγαθοκλῆς κατασκεψάμενος τὰς τῶν βαρβά- 11
ρων τάξεις, τὸ μὲν δεξιὸν κέρας ἔδωκεν Ἀρχαγάθῳ τῷ υἱῷ, παραδοὺς αὐτῷ πεζοὺς δισχιλίους καὶ πεντακοσίους· ἐξῆς δ' ἔταξε τοὺς Συρακοσίους, ὄντας τρισχιλίους πεντακοσίους, εἶτα μισθοφόρους Ἕλληνας τρισχιλίους, τελευταίους δὲ Σαμνίτας καὶ Τυῤῥηνοὺς καὶ Κελτοὺς τρισχιλίους· μετὰ δὲ τῆς θεραπείας αὐτὸς τοῦ

32. ἀσφάλειαν] τῆς σωτηρίας addunt QW: ex F ita notatur: τῆς πόλεως ἀσφάλειαν τῆς σωτηρίας (*in marg.* ἐν ἄλλῳ γρ. ἀληθείας) *et pone legitur* κείμενον. πολὺ δὲ διεσφάλησαν τῆς ἀληθείας
39. τὰς] τῆς F νομίζοντες] ὀνομάζοντες F
413. 40. τῆς om. Bas. 45. δ' F 48. δ' ουν F, caeteri γοῦν 56. ἄνων F saepius 67. εἶτα — τρισχιλίους om. F 68. τελευταίους] τελευταῖον Y Bas. σαυνίτας F

ἡμίσους κέρατος προηγωνίζετο, χιλίοις ὁπλίταις πρὸς τὸν ἱερὸν λόχον τῶν Καρχηδονίων ἀντιτεταγμένος· τοὺς δὲ τοξότας καὶ σφενδονήτας πεντακοσίους ὄντας ἐπὶ τὰ κέρατα διεῖλεν. ὅπλα μὲν οὖν οἱ στρατιῶται μόγις εἶχον ἱκανά· τοὺς δ' ἐκ τῶν ἀφράκτων ὁρῶν ἀνόπλους ὄντας, τὰ τῶν ἀσπίδων ἔλυτρα ῥάβδοις διέτεινε, καὶ τῇ φαντασίᾳ τὸν τῆς ἀσπίδος κύκλον μιμησάμενος ἀνέδωκεν αὐτοῖς πρὸς μὲν τὴν χρείαν οὐδαμῶς ἐπιτήδεια, πρὸς δὲ τὴν πόῤῥωθεν ὁρωμένην ὄψιν δυνάμενα δόξαν ὅπλων ἐμποιῆσαι τοῖς ἀγνοοῦσι τἀληθές. ὁρῶν δὲ τοὺς στρατιώτας καταπεπληγμένους τὸ πλῆθος τῆς βαρβαρικῆς ἵππου καὶ δυνάμεως, ἀφῆκεν εἰς τὸ στρατόπεδον κατὰ πλείονας τόπους γλαῦκας, ἃς ἐκ χρόνου παρεσκευάσατο πρὸς τὰς ἀθυμίας τῶν πολλῶν. αὗται δὲ διὰ τῆς φάλαγγος πετόμεναι καὶ προςκαθίζουσαι ταῖς ἀσπίσι καὶ τοῖς κράνεσιν εὐθαρσεῖς ἐποίουν τοὺς στρατιώτας, ἑκάστων οἰωνιζομένων διὰ τὸ δοκεῖν ἱερὸν εἶναι τὸ ζῷον τῆς Ἀθηνᾶς. ταῦτα δέ, καίπερ ἄν τισι δόξαντα κενὴν ἔχειν ἐπίνοιαν, πολλάκις αἴτια γίνεται μεγάλων προτερημάτων· ὃ καὶ τότε συνέβη γενέσθαι. ἐμπεσόν- 414
τος γὰρ εἰς τὰ πλήθη θάῤῥους, καὶ διαδοθέντων λόγων
12 ὡς τὸ θεῖον αὐτοῖς φανερῶς προσημαίνει νίκην, παραστατικώτερον τὸν κίνδυνον ὑπέμειναν. προεμβαλόντων γὰρ εἰς αὐτοὺς τῶν ἁρμάτων, ἃ μὲν κατηκόντισαν, ἃ δ' εἴασαν διεκπεσεῖν, τὰ δὲ πλεῖστα συνηνάγκασαν στρέψαι πρὸς τὴν τῶν πεζῶν τάξιν. παραπλησίως δὲ καὶ τὴν τῶν ἱππέων ἐπιφορὰν ὑποστάντες, καὶ πολλοὺς αὐτῶν κατατιτρώσκοντες, ἐποίησαν φυγεῖν εἰς τοὐπίσω. προαγωνισαμένων δ' αὐτῶν ἐν τούτοις λαμπρῶς, ἡ πεζὴ δύναμις τῶν βαρβάρων ἅπασα συνῆψεν εἰς χεῖρας. γενναίας δὲ μάχης γενομένης, Ἄννων μὲν ἔχων συναγωνιζόμενον τὸν ἱερὸν λόχον τῶν ἐπιλέκτων ἀνδρῶν, καὶ σπεύδων ποιῆσαι δι' αὐτοῦ τὴν νίκην, ἐνέκειτο βαρὺς τοῖς Ἕλλησι καὶ συχνοὺς ἀνῄρει. φερομένων δ' ἐπ' αὐτὸν παντοδαπῶν βελῶν οὐκ εἶκεν, ἀλλὰ

70. ἡμίσους] scribe λαιοῦ vel ἀριστεροῦ vel εὐωνύμου 71. τῶν Καρχηδονίων om. W, asterisco notavit Stephanus 82. δυνάμεως] nonne πεζῆς δυνάμεως? 85. πετόμεναι F, caeteri πετάμεναι καὶ προςκαθίζουσαι] προςκαθίζουσαι T Bas. 87. ἐποίουν] ἐποιοῦντο FW 89. κενὴν] καινὴν Bas., αι super ε ponit F
414. 92. θάῤῥους] libri θάρσους 98. ἱππέων] ἵππων omnes 100. προαγωνισαμένων] προαγονιζομένων Bas. 3. γενομένης] γινομένης FW, γιγνομένης T Bas. 4. τῶν om. Bas. 5. δι' αὐτοῦ] διὰ τούτων FQW τὴν om. F 7. οὐκ εἶκεν] οὐχ εἶξεν F



καίπερ πολλοῖς τραύμασι περιπίπτων ἐβιάζετο, μέχρι ὅτου καταπονηθεὶς ἐτελεύτησε. τούτου δὲ πεσόντος, οἱ μὲν ταύτῃ τεταγμένοι τῶν Καρχηδονίων ἀνετράπησαν ταῖς ψυχαῖς, οἱ δὲ περὶ τὸν Ἀγαθοκλέα μετεωρισθέντες πολὺ μᾶλλον ἐπεῤῥώσθησαν. ἃ δὴ πυθόμενός τινων Βομίλκας ὁ ἕτερος στρατηγός, καὶ νομίσας παρὰ θεῶν αὐτῷ δεδόσθαι τὸν καιρὸν τοῦ λαβεῖν ἀφορμὰς πρὸς τὴν ἐπίθεσιν τῆς τυραννίδος, διελογίζετο πρὸς ἑαυτόν, εἰ μὲν ἡ μετ' Ἀγαθοκλέους διαφθαρείη δύναμις, μὴ δυνήσεσθαι τὴν ἐπίθεσιν ποιήσασθαι τῇ δυναστείᾳ, τῶν πολιτῶν ἰσχυόντων, εἰ δ' ἐκεῖνος νικήσας τὰ φρονήματα παρέλοιτο τῶν Καρχηδονίων, εὐχειρώτους μὲν ἑαυτῷ τοὺς προηττημένους ἔσεσθαι, τὸν δ' Ἀγαθοκλέα ῥᾳδίως καταπολεμήσειν, ὅταν αὐτῷ δόξῃ. ταῦτα δὲ διανοηθεὶς ἀνεχώρησε μετὰ τῶν πρωτοστατῶν, δοὺς τοῖς μὲν πολεμίοις ἄσημον ἔκκλιμα, τοῖς δ' ἰδίοις δηλώσας τὸν Ἄννωνος θάνατον καὶ παρακελευόμενος ἀναχωρεῖν ἐν τάξει πρὸς τὸν γεώλοφον· τοῦτο γὰρ συμφέρειν. ἐπικειμένων δὲ τῶν πολεμίων, καὶ τῆς ὅλης ὑποχωρήσεως φυγῇ παραπλησίας γινομένης, οἱ μὲν συνεχεῖς Λίβυες ἀπὸ κράτους ἡττῆσθαι τοὺς πρωτοστάτας νομίσαντες, πρὸς φυγὴν ὥρμησαν, οἱ δὲ τὸν ἱερὸν λόχον ἔχοντες μετὰ τὸν Ἄννωνος τοῦ στρατηγοῦ θάνατον τὸ μὲν πρῶτον ἀντεῖχον εὐῤῥώστως καὶ τοὺς ἐξ αὐτῶν πίπτοντας ὑπερβαίνοντες ὑπέμενον πάντα κίνδυνον· ἐπεὶ δὲ κατενόησαν τὸ πλεῖον μέρος τῆς δυνάμεως πρὸς φυγὴν ὡρμημένον καὶ τοὺς πολεμίους περιισταμένους κατὰ νώτου, συνηναγκάσθησαν ἐκκλῖναι. διὸ καὶ τροπῆς γενομένης κατὰ πᾶν τὸ τῶν Καρχηδονίων στρατόπεδον, οἱ μὲν βάρβαροι τὴν φυγὴν ἐποιοῦντο πρὸς τὴν Καρχηδόνα, Ἀγαθοκλῆς δὲ μέχρι τινὸς ἐπιδιώξας ἐπανῆλθε καὶ τὴν στρατοπεδείαν τῶν Καρχηδονίων διήρπασεν.

415 Ἔπεσον δ' ἐν τῇ μάχῃ τῶν μὲν Ἑλλήνων εἰς δια- 13
κοσίους, τῶν δὲ Καρχηδονίων οὐ πλείους χιλίων, ὡς δ' ἔνιοι γεγράφασιν, ὑπὲρ τοὺς ἑξακισχιλίους. ἐν δὲ τῇ τῶν Καρχηδονίων παρεμβολῇ σὺν ταῖς ἄλλαις ὠφε-

8. μέχρι] μέχρις omnes 9. καταπονηθεὶς] καταπολεμηθεὶς W 16. ἑαυτὸν] αὐτὸν Bas. 17. διαφθαρείη] διαφθαρῇ Bas. 23. πρωτοστατῶν] στρατιωτῶν FQW 24. ἔκκλιμα] ἔκκλειμμα Bas. 28. παραπλησίας] παραπλησίως F 35. δυνάμεως] φάλαγγος FQW πρὸς] εἰς F 37. γενομένης] γινομένης F τῶν om. F
415. 42. μὲν om. F 43. χιλίων] τῶν χιλίων FW 44. γεγράφασιν] γεγράφεισαν F 46. πλείους] πλήρεις W, margo F

λείαις εὑρέθησαν ἅμαξαι πλείους, ἐν αἷς ἐκομίζετο ζεύγη χειροπεδῶν πλείω τῶν δισμυρίων. ἐξ ἑτοίμου γὰρ οἱ βάρβαροι κρατήσειν ὑπειληφότες τῶν Ἑλλήνων, παρηγγέλκεισαν ἀλλήλοις ζωγρεῖν ὡς πλείστους καὶ δήσαντες εἰς συνεργασίαν ἐμβαλεῖν. ἀλλ', οἶμαι, τὸ δαιμόνιον ὥςπερ ἐπίτηδες τοῖς ὑπερηφάνως διαλογιζομένοις τὸ τέλος τῶν κατελπισθέντων εἰς τοὐναντίον μετατίθησιν. Ἀγαθοκλῆς μὲν οὖν Καρχηδονίους παραλόγως νικήσας τειχήρεις συνεῖχεν· ἡ τύχη δ' ἐναλλὰξ τὰ προτερήματα τοῖς ἐλαττώμασιν ἐπειςάγουσα τοὺς ὑπερέχοντας ἴσον ἐταπείνωσε τοῖς ἡττημένοις. ἐν Σικελίᾳ μὲν γὰρ Καρχηδόνιοι μεγάλῃ νενικηκότες παρατάξει Ἀγαθοκλέα τὰς Συρακούσας ἐπολιόρκουν, ἐν Λιβύῃ δ' Ἀγαθοκλῆς τηλικαύτῃ μάχῃ προτερήσας εἰς πολιορκίαν συνέκλεισε Καρχηδονίους, καὶ τὸ θαυμασιώτατον, ὁ δυνάστης κατὰ μὲν τὴν νῆσον ἀκεραίους ἔχων τὰς δυνάμεις ἐλείπετο τῶν βαρβάρων, ἐπὶ δὲ τῆς ἠπείρου τῷ μέρει τῆς προηττημένης στρατιᾶς περιεγένετο τῶν νενικηκότων. διό-
14 περ οἱ Καρχηδόνιοι νομίσαντες ἐκ θεῶν αὐτοῖς γεγονέναι τὴν συμφοράν, ἐτράπησαν πρὸς παντοίαν ἱκεσίαν τοῦ δαιμονίου, καὶ νομίσαντες μάλιστα μηνίειν αὐτοῖς τὸν Ἡρακλέα τὸν παρὰ τοῖς ἀποίκοις, χρημάτων πλῆθος καὶ τῶν πολυτελεστάτων ἀναθημάτων ἔπεμψαν εἰς τὴν Τύρον οὐκ ὀλίγα. ἀποικισθέντες γὰρ ἐκ ταύτης εἰώθεισαν ἐν τοῖς ἔμπροσθεν χρόνοις δεκάτην ἀποστέλλειν τῷ θεῷ πάντων τῶν εἰς πρόςοδον πιπτόντων· ὕστερον δὲ μεγάλους κτησάμενοι πλούτους, καὶ προςόδους ἀξιολογωτέρας λαμβάνοντες, μικρὰ παντελῶς ἀπέστελλον, ὀλιγωροῦντες τοῦ δαιμονίου. διὰ δὲ τὴν συμφορὰν ταύτην εἰς μεταμέλειαν ἐλθόντες πάντων τῶν ἐν τῇ Τύρῳ θεῶν ἐμνημόνευον. ἔπεμψαν δὲ καὶ τοὺς ἐκ τῶν ἱερῶν χρυσοῦς ναοὺς τοῖς ἀφιδρύμασι πρὸς τὴν ἱκεσίαν, ἡγούμενοι μᾶλλον ἐξιλάσεσθαι τὴν τοῦ θεοῦ μῆνιν τῶν ἀναθημάτων πεμφθέντων ἐπὶ τὴν παραίτησιν. ᾐτιῶντο δὲ καὶ τὸν Κρόνον αὐτοῖς ἐναντιοῦσθαι, καθ' ὅσον ἐν τοῖς ἔμπροσθεν χρόνοις θύοντες τούτῳ τῷ θεῷ τῶν υἱῶν τοὺς κρατίστους ὕστερον ὠνούμενοι λάθρᾳ παῖδας καὶ

49. ὡς om. F 53. μετατίθησιν] περιτίθησιν FW 55. δ' F 56. ἐπειςάγουσα] ἐπειςαγαγοῦσα Bas. ἴσον] ἴσως W 57. ἡττημένοις] ἡττωμένοις Bas. 61. συνέκλεισε] ἐνέκλεισε Bas. 69. αὐτοῖς] αὑτοῖς FW ἀποίκοις] ἀποικισταῖς Wesselingius: possis etiam ἀποικίσασι 78. πάντων] πάλιν Reiskius 79. χρυσοῦς ναοὺς] χρυσᾶς ναῦς T 81. ἐξιλάσεσθαι] ἐξιλάσασθαι FW 83. αὐτοῖς] αὑτοῖς FW Bas., Eusebius



θρέψαντες ἔπεμπον ἐπὶ τὴν θυσίαν· καὶ ζητήσεως γενομένης εὑρέθησάν τινες τῶν καθιερουργημένων ὑποβολιμαῖοι γεγονότες. τούτων δὲ λαβόντες ἔννοιαν, καὶ τοὺς πολεμίους πρὸς τοῖς τείχεσιν ὁρῶντες στρατοπεδεύοντας, ἐδεισιδαιμόνουν ὡς καταλελυκότες τὰς πατρίους τῶν θεῶν τιμάς. διορθώσασθαι δὲ τὰς ἀγνοίας σπεύδοντες,
416 διακοσίους μὲν τῶν ἐπιφανεστάτων παίδων προκρίναντες ἔθυσαν δημοσίᾳ· ἄλλοι δ' ἐν διαβολαῖς ὄντες ἑκουσίως ἑαυτοὺς ἔδοσαν, οὐκ ἐλάττους ὄντες τριακοσίων. ἦν δὲ παρ' αὐτοῖς ἀνδριὰς Κρόνου χαλκοῦς, ἐκτετακὼς τὰς χεῖρας ὑπτίας ἐγκεκλιμένας ἐπὶ τὴν γῆν, ὥςτε τὸν ἐπιτεθέντα τῶν παίδων ἀποκυλίεσθαι καὶ πίπτειν εἴς τι χάσμα πλῆρες πυρός. εἰκὸς δὲ καὶ τὸν Εὐριπίδην ἐντεῦθεν εἰληφέναι τὰ μυθολογούμενα παρ' αὐτῷ περὶ τὴν ἐν Ταύροις θυσίαν ἐν οἷς εἰςάγει τὴν Ἰφιγένειαν ὑπὸ Ὀρέστου διερωτωμένην

Τάφος δὲ ποῖος δέξεταί μ', ὅταν θάνω;
Πῦρ ἱερὸν ἔνδον χάσμα τ' εὐρωπὸν χθονός.

καὶ ὁ παρὰ τοῖς Ἕλλησι δὲ μῦθος ἐκ παλαιᾶς φήμης παραδεδομένος ὅτι Κρόνος ἠφάνιζε τοὺς ἰδίους παῖδας παρὰ Καρχηδονίοις φαίνεται διὰ τούτου τοῦ νομίμου τετηρημένος.

Οὐ μὴν ἀλλὰ τοιαύτης ἐν τῇ Λιβύῃ γεγενημένης 15
μεταβολῆς, οἱ μὲν Καρχηδόνιοι διεπέμποντο πρὸς Ἀμίλκαν εἰς τὴν Σικελίαν, ἀξιοῦντες κατὰ τάχος πέμψαι βοήθειαν, καὶ τὰ ληφθέντα χαλκώματα τῶν Ἀγαθοκλέους νεῶν ἀπέστειλαν αὐτῷ. ὁ δὲ τοῖς καταπλεύσασι παρεκελεύσατο σιωπᾶν μὲν τὴν γεγενημένην ἧτταν, διαδιδόναι δὲ λόγον εἰς τοὺς στρατιώτας ὡς Ἀγαθοκλῆς ἄρδην ἀπώλεσε καὶ τὰς ναῦς καὶ τὴν δύναμιν ἅπασαν. αὐτὸς δὲ πέμψας τινὰς τῶν παρόντων ἐκ Καρχηδόνος εἰς τὰς Συρακούσας πρεσβευτάς, καὶ τὰ χαλκώματα συναποστείλας, ἠξίου παραδιδόναι τὴν πόλιν. τὴν μὲν γὰρ δύναμιν τῶν Συρακοσίων ὑπὸ Καρχηδονίων κατακεκόφθαι, τὰς δὲ ναῦς ἐμπεπυρίσθαι· τοῖς δ' ἀπιστοῦσιν ἀπόδειξιν παρέχεσθαι τὴν τῶν ἐμβόλων κομιδήν. τῶν δ' ἐν τῇ πόλει πυθομένων τὴν περὶ τὸν Ἀγαθοκλέα

87. καθιερουργημένων] καθιερουργημάτων F 92. σπεύδοντες] νομίζοντες Q 416. 97. ἐγκεκλιμένας] ἐκτεταμένας Eusebius τὴν γῆν] τῆς γῆς Eusebius 98. ἐπιτεθέντα] συντιθέντα Eusebius ἀποκυλίεσθαι] ἀποκωλύεσθαι Eusebius 1. αὐτῷ Rhodomannus: libri αὐτοῖς 6. ἠφάνιζε] ἠφάνισε F 8. νομίμου FW, caeteri νόμου 9. ἐν τῇ Λιβύῃ] εἰς Λιβύην FW 11. τὴν om. F 22. ναῦς] ναῦς ταύτας F

προςηγγελμένην συμφοράν, οἱ πολλοὶ μὲν ἐπίστευσαν, οἱ προεστηκότες δὲ διστάζοντες διετήρησαν μὲν χάριν τοῦ μὴ γενέσθαι ταραχήν, τοὺς πρεσβευτὰς δὲ ταχέως ἐξέπεμψαν· τοὺς δὲ τῶν φυγάδων συγγενεῖς καὶ φίλους καὶ τῶν ἄλλων τοὺς δυςχεραίνοντας τοῖς ὑπ᾽ αὐτῶν πραττομένοις ἐξέβαλον ἐκ τῆς πόλεως, ὄντας οὐκ ἐλάττους ὀκτακιςχιλίων. κἄπειτα τοσούτου πλήθους ἄφνω συναναγκαζομένου τὴν πατρίδα φεύγειν ἔγεμεν ἡ πόλις διαδρομῆς καὶ θορύβου καὶ γυναικείων κλαυθμῶν· οὐδεμία γὰρ ἦν οἰκία πένθους ἀκοινώνητος κατὰ τοῦτον τὸν καιρόν. οἱ μὲν γὰρ περὶ τὴν τυραννίδα τοῦ Ἀγαθοκλέους καὶ τῶν τέκνων αὐτοῦ τὴν συμφορὰν ὠδύροντο· τῶν δ᾽ ἰδιωτῶν οἱ μὲν τοὺς ἀπολωλέναι δοκοῦντας κατὰ Λιβύην ἔκλαιον, οἱ δὲ τοὺς ἐκπίπτοντας ἀφ᾽ ἑστίας καὶ πατρῴων θεῶν, οἷς οὔτε μένειν ἐξῆν οὔτε ἐκτὸς τῶν τειχῶν προάγειν, πολιορκούντων τῶν βαρβάρων, πρὸς δὲ τοῖς εἰρημένοις κακοῖς τηλικούτοις οὖσιν ἠναγκάζοντο νηπίους παῖδας καὶ γυναῖκας συνεφέλκεσθαι 417 τῇ φυγῇ. ὁ δ᾽ Ἀμίλκας, καταφυγόντων πρὸς αὐτὸν τῶν φυγάδων, τούτοις μὲν τὴν ἀσφάλειαν παρέσχετο, τὴν δὲ δύναμιν παρασκευάσας προῆγεν ἐπὶ τὰς Συρακούσας, ὡς αἱρήσων τὴν πόλιν διά τε τὴν ἐρημίαν καὶ διὰ τὴν προςηγγελμένην τοῖς ὑπολελειμμένοις συμφοράν.

16 Προαποστείλαντος δ᾽ αὐτοῦ πρεσβείαν, καὶ διδόντος Ἀντάνδρῳ καὶ τοῖς μετ᾽ αὐτοῦ, εἰ παραδιδόασι τὴν πόλιν, ἀσφάλειαν, συνήδρευσαν τῶν ἡγεμόνων οἱ μάλιστα ἀξίωμα δοκοῦντες ἔχειν. ῥηθέντων οὖν πολλῶν λόγων Ἄντανδρος μὲν ᾤετο δεῖν παραδιδόναι τὴν πόλιν, ὢν ἄνανδρος φύσει καὶ τῆς τἀδελφοῦ τόλμης καὶ πράξεως ἐναντίαν ἔχων διάθεσιν· Ἐρύμνων δ᾽ ὁ Αἰτωλός, παρακαθεσταμένος ὑπ᾽ Ἀγαθοκλέους τἀδελφῷ σύνεδρος, τὴν ἐναντίαν δοὺς γνώμην ἔπεισεν ἅπαντας διακαρτερεῖν μέχρι ἂν πύθωνται τἀληθές. εἶτα Ἀμίλκας μὲν μαθὼν τὰ δόξαντα τοῖς ἐν τῇ πόλει, συνεπήγνυε μηχανὰς παντοίας, διεγνωκὼς προςβάλλειν. Ἀγαθοκλῆς δὲ δύο τριακοντόρους μετὰ τὴν μάχην νεναυπηγημένος, τὴν ἑτέραν ἀπέστειλεν

35. περὶ] τὰ περὶ F 36. αὐτοῦ] αὐτῶν omnes
417. 45. παρέσχετο] παρείχετο FW 51. συνήδρευσαν Stephanus: libri συνεδρευσάντων 52. ῥηθέντων οὖν F, caeteri ῥηθέντων 53. μὲν] μὲν οὖν F 55. καὶ πράξεως om. TX Bas., asterisco notavit Stephanus Ἐρύμνων] Ἐρύμων Bas.
56. δ᾽] δ᾽ ὢν F 58. μέχρι] μέχρις FW ἂν] ἂν ὅπου W, ἂν ὅτου F 59. εἶτα Ἀμίλκας μὲν] Ἀμίλκας δὲ Bas. 61. διεγνωκὼς] συνεγνωκὼς F 62. νεναυπηγημένος] ναυπηγημένος Bas.



εἰς Συρακούσας, ἐρέτας ἐμβιβάσας τοὺς κρατίστους καὶ τῶν περὶ αὐτὸν πιστευομένων φίλων ἕνα Νέαρχον, ἀπαγγελοῦντα τοῖς ἰδίοις τὴν νίκην. ἔπειτ᾽ εὐπλοίας γενομένης πεμπταῖοι ταῖς Συρακούσαις νύκτωρ προςεπέλασαν, καὶ στεφανωσάμενοι καὶ παιανίσαντες κατὰ τὸ πλοῖον ἅμ᾽ ἡμέρᾳ κατέπλεον ἐπὶ τὴν πόλιν. αἱ δὲ φυλακίδες τῶν Καρχηδονίων αἰσθόμεναι, κατὰ σπουδὴν ἐπεδίωκον· καὶ οὐ πολὺ προειληφότων τῶν ὑποφευγόντων, ἀγὼν τῆς εἰρεσίας ἐγίνετο. ἅμα δὲ τῇ τῶν ἐρετῶν φιλοτιμίᾳ συνέβη τούς τ᾽ ἐκ τῆς πόλεως καὶ τοὺς πολιορκοῦντας αἰσθομένους συνδραμεῖν ἐπὶ τὸν λιμένα, καὶ τοῖς ἰδίοις ἑκατέρους συναγωνιῶντας ἀναβοᾶν θαῤῥεῖν. ἤδη δὲ τῆς τριακοντόρου καταλαμβανομένης, οἱ βάρβαροι μὲν ἐπηλάλαξαν, οἱ δ᾽ ἐκ τῆς πόλεως ἀδυνατοῦντες βοηθεῖν τοῖς θεοῖς ηὔχοντο περὶ τῆς σωτηρίας τῶν καταπλεόντων. τῆς πρῴρας δὲ τῶν διωκόντων εἰς ἐμβολὴν ἤδη φερομένης οὐκ ἄποθεν τῆς γῆς, ἔφθασε τὸ διωκόμενον σκάφος ἐντὸς βέλους γενόμενον, καὶ τῶν Συρακοσίων προςβοηθησάντων ἐξέφυγε τὸν κίνδυνον. Ἀμίλκας δ᾽ ὁρῶν τοὺς ἐκ τῆς πόλεως διὰ τὴν ἀγωνίαν καὶ τὸ παράδοξον τῆς προςδοκωμένης ἀγγελίας ἐπὶ τὸν λιμένα συνδεδραμηκότας, ὑπολαβὼν εἶναι μέρος τι τοῦ τείχους ἀφύλακτον, ἔπεμψε τῶν στρατιωτῶν τοὺς κρατίστους μετὰ κλιμάκων. οὗτοι δ᾽ εὑρόντες ἐκλελειμμένας τὰς φυλακὰς ἔλαθον προςαναβάντες· καὶ σχεδὸν αὐτῶν μεσοπύργιον ἤδη κατειληφότων ἡ κατὰ τὸ σύνηθες ἐφοδεία παραγενομένη κατενόησε. γενομένης δὲ 418 μάχης, οἱ μὲν ἐκ τῆς πόλεως συνέδραμον, καὶ φθάσαντες τοὺς μέλλοντας τοῖς ἀναβεβηκόσι προςβοηθεῖν οὓς μὲν ἀπέκτειναν οὓς δ᾽ ἀπὸ τῶν ἐπάλξεων κατεκρήμνισαν. ἐφ᾽ οἷς Ἀμίλκας περιαλγὴς γενόμενος ἀπήγαγε τὴν δύναμιν ἀπὸ τῆς πόλεως, καὶ τοῖς εἰς Καρχηδόνα βοήθειαν ἐξέπεμψε μετὰ στρατιωτῶν πεντακιςχιλίων.

17 Ἅμα δὲ τούτοις πραττομένοις ὁ μὲν Ἀγαθοκλῆς κρατῶν τῶν ὑπαίθρων τὰ περὶ τὴν Καρχηδόνα χωρία κατὰ κράτος ᾕρει καὶ τῶν πόλεων ἃς μὲν διὰ φόβον ἃς

68. ἅμ᾽] ἅμα F 72. ἐγίνετο] ἐγένετο W τῶν ἐρετῶν] τούτων TX Bas. 73. τ᾽ F 80. εἰς ἐμβολὴν ἤδη φερομένης] τῆς ἐμβολῆς ἤδη γενομένης FQW ἄποθεν] ἄπωθε T Bas. 82. Συρακοσίων Bas. 85. ἐπὶ] ὑπὸ FQW 87. τῶν στρατιωτῶν τοὺς κρατίστους] τοὺς κρατίστους τῶν στρατιωτῶν F 88. ἐκλελειμμένας] λελειμμένας T Bas. 90. ἡ om. F 91. ἐφοδεία] ἐφορεία T, caeteri ἐφοδία
418. 100. τὰ περὶ τὴν] καὶ τοῖς εἰς F

δὲ διὰ τὸ πρὸς Καρχηδονίους μῖσος προςηγάγετο. παρεμβολὴν δὲ πλησίον τοῦ Τύνητος ὀχυρωσάμενος καὶ τὴν ἱκανὴν ἀπολιπὼν φυλακήν, ἀνέζευξε πρὸς τὰς ἐπὶ θαλάττῃ κειμένας πόλεις. καὶ πρώτην μὲν ἑλὼν Νέαν πόλιν κατὰ κράτος φιλανθρώπως ἐχρήσατο τοῖς χειρωθεῖσιν· εἶτα παρελθὼν ἐπ' Ἀδρύμητα, πρὸς μὲν ταύτην πολιορκίαν συνεστήσατο, Ἐλύμαν δὲ τὸν βασιλέα τῶν Λιβύων εἰς συμμαχίαν προςελάβετο. ἃ δὴ πυθόμενοι οἱ Καρχηδόνιοι, πᾶσαν τὴν δύναμιν προςήγαγον ἐπὶ τὸν Τύνητα, καὶ τῆς μὲν Ἀγαθοκλέους στρατοπεδείας ἐκυρίευσαν, τῇ πόλει δὲ μηχανὰς προςαγαγόντες συνεχεῖς προςβολὰς ἐποιοῦντο. ὁ δ' Ἀγαθοκλῆς, ἀπαγγειλάντων τινῶν αὐτῷ τὰ περὶ τοὺς ἰδίους ἐλαττώματα, τὸ μὲν πολὺ τῆς δυνάμεως κατέλιπεν ἐπὶ τῆς πολιορκίας, τὴν δὲ θεραπείαν καὶ τῶν στρατιωτῶν ὀλίγους ἀναλαβὼν λάθρᾳ προςῆλθεν ἐπί τινα τόπον ὀρεινόν, ὅθεν ὁρᾶσθαι δυνατὸν ἦν αὐτὸν ὑπό τε τῶν Ἀδρυμητινῶν καὶ τῶν Καρχηδονίων τῶν τὸν Τύνητα πολιορκούντων. νυκτὸς δὲ συντάξας τοῖς στρατιώταις ἐπὶ πολὺν τόπον πυρὰ κάειν, δόξαν ἐποίησε τοῖς μὲν Καρχηδονίοις ὡς μετὰ μεγάλης δυνάμεως ἐπ' αὐτοὺς πορευόμενος, τοῖς δὲ πολιορκουμένοις ὡς ἄλλης δυνάμεως ἁδρᾶς τοῖς πολεμίοις εἰς συμμαχίαν παραγεγενημένης. ἀμφότεροι δὲ τῷ ψευδεῖ τοῦ στρατηγήματος παραλογισθέντες παραλόγως ἡλαττώθησαν, οἱ μὲν τὸν Τύνητα πολιορκοῦντες φυγόντες εἰς Καρχηδόνα καὶ τὰς μηχανὰς ἀπολιποντες, οἱ δ' Ἀδρυμητινοὶ διὰ τὸν φόβον παραδόντες τὴν πατρίδα. Ἀγαθοκλῆς δὲ ταύτην δι' ὁμολογίας παραλαβὼν Θάψον εἷλε κατὰ κράτος, καὶ τῶν ἄλλων τῶν ταύτῃ πόλεων ἃς μὲν ἐξεπολιόρκησεν ἃς δὲ προςηγάγετο· τὰς ἁπάσας δὲ πόλεις πλείους τῶν διακοσίων κεχειρωμένος εἰς τοὺς ἄνω τόπους τῆς Λιβύης διενοεῖτο στρατεύειν.

18 ἀναζεύξαντος οὖν αὐτοῦ καὶ πλείους ἡμέρας ὁδοιποροῦντος, Καρχηδόνιοι τὴν ἐκ Σικελίας διακομισθεῖσαν δύναμιν καὶ τὴν ἄλλην στρατιὰν προαγαγόντες πάλιν τὸν Τύνητα πολιορκεῖν ἐπεχείρησαν, καὶ τῶν χωρίων οὐκ
419 ὀλίγα τῶν ὑπὸ τοὺς πολεμίους ὄντων ἀνεκτήσαντο. Ἀγαθοκλῆς δέ, βιβλιαφόρων αὐτῷ παραγεγενημένων ἀπὸ τοῦ Τύνητος καὶ τὰ πεπραγμένα τοῖς Φοίνιξι διασαφούντων, εὐθὺς ἀνέστρεψεν. ὡς δ' ἀπέσχε τῶν πολεμίων σταδίους διακοσίους, κατεστρατοπέδευσε καὶ τοῖς στρατιώταις πυρὰ καίειν ἀπηγόρευσε. χρησάμενος δὲ νυκτοπορίᾳ προςέπεσεν ἅμ' ἡμέρᾳ τοῖς τε προνομεύουσι τὴν χώραν καὶ τοῖς ἐκτὸς τῆς παρεμβολῆς ἄνευ τάξεως πλανωμένοις· καὶ φονεύσας μὲν ὑπὲρ τοὺς διςχιλίους, ζωγρήσας δ' οὐκ ὀλίγους, πολλὰ πρὸς τὸ μέλλον ἐπλεονέκτησεν. οἱ γὰρ Καρχηδόνιοι τῆς ἐκ Σικελίας προςγενομένης βοηθείας καὶ τῶν κατὰ Λιβύην συμμάχων συναγωνιζομένων ἐδόκουν ὑπερέχειν τῶν περὶ τὸν Ἀγαθοκλέα· τούτου δὲ τοῦ προτερήματος γενομένου πάλιν συνεστάλη τὰ φρονήματα τῶν βαρβάρων. καὶ γὰρ Ἐλύμαν τὸν βασιλέα τῶν Λιβύων ἀποστάτην γενόμενον ἐνίκησε μάχῃ, καὶ τόν τε δυνάστην καὶ πολλοὺς τῶν βαρβάρων ἀνεῖλε. καὶ τὰ μὲν περὶ Σικελίαν καὶ Λιβύην ἐν τούτοις ἦν.

Κατὰ δὲ τὴν Μακεδονίαν Κάσσανδρος μὲν βοηθή- 19
σας Αὐδολέοντι τῷ τῶν Παιόνων βασιλεῖ διαπολεμοῦντι πρὸς Αὐταριάτας, τοῦτον μὲν ἐκ τῶν κινδύνων ἐῤῥύσατο, τοὺς δὲ Αὐταριάτας σὺν τοῖς ἀκολουθοῦσι παισὶ καὶ γυναιξὶν ὄντας εἰς διςμυρίους κατῴκισε παρὰ τὸ καλούμενον Ὄρβηλον ὄρος. τούτου δὲ περὶ ταῦτ' ὄντος κατὰ μὲν τὴν Πελοπόννησον Πτολεμαῖος ὁ στρατηγὸς Ἀντιγόνου δυνάμεις πεπιστευμένος, καὶ τῷ δυνάστῃ προςκόψας ὡς οὐ κατὰ τὴν ἀξίαν τιμώμενος, Ἀντιγόνου μὲν ἀπέστη, πρὸς δὲ Κάσσανδρον συμμαχίαν ἐποιήσατο. καταλελοιπὼς δὲ τῆς ἐφ' Ἑλληςπόντῳ σατραπείας ἐπιστάτην Φοίνικα τῶν πιστοτάτων φίλων, ἀπέστειλεν αὐτῷ στρατιώτας, ἀξιῶν διαφυλάττειν τὰ φρούρια καὶ τὰς πόλεις καὶ μὴ προςέχειν Ἀντιγόνῳ. τῶν δὲ κοινῶν συνθηκῶν τοῖς ἡγεμόσι περιεχουσῶν ἐλευθέρας

5. ἐπὶ] ἐπὶ τῇ FW 9. Ἐλύμαν] Αἰλύμαν Q, Αιλύμαν Bas., Ἀλύμαν T 11. οἱ om. F Bas. προςήγαγον] προήγαγον F 13. προςαγαγόντες μηχανὰς post ἐποιοῦντο ponit F 14. δ' Bas. 15. τινῶν αὐτῷ] invertit F 20. ὑπό τε] libri ὑπὸ τῆς Ἀδρυμητινῶν καὶ τῶν Καρχηδονίων τὸν T. πολιορκούντων QTY Bas., caeteri Ἀδρυμητινῶν (ἀδραμυτήνων τῶν F) τὸν T. πολιορκούντων χώρας: τῶν alterum de meo addidi 22. κάειν] scribe καίειν 24. ἐπ' αὐτοὺς] καὶ ἁδρᾶς ἐπ' αὐτοὺς FW 27. ψευδεῖ] ψεύδει omnes 30. Ἀδρυμητινοὶ] ἀδραμυτινοὶ F 32. Θάψον] Θάττον X

41. χωρίων] libri ἐγχωρίων
419. 46. τοῖς στρατιώταις] τοὺς στρατιώτας W 51. τοὺς om. Bas. 57. Ἐλύμαν Wesselingius, Ἐλύμαντον FQW, caeteri Ἀλύμαν 58. ἐνίκησε] ἐνίκησαν FWY 60. ἀνεῖλε] ἀνεῖλον FTWY 63. Αὐδολέοντι T Bas., caeteri Αὐτολέοντι (ον) τῶν om. T Bas. 64. τοῦτον] τούτους F 67. Ὀρβηλὸν Barbeyracius, Ὀρβηδὸν QTX Bas., caeteri Ὀρβίταον 72. ἐποιήσατο] συνεστήσατο FQW 73. Ἑλληςπόντῳ] Ἑλλήςποντον FW 75. ἀξιῶν] προςαξιῶν F

ἀφεῖσθαι τὰς Ἑλληνίδας πόλεις, οἱ περὶ Πτολεμαῖον τὸν Αἰγύπτου δυνάστην ἐγκαλέσαντες Ἀντιγόνῳ διότι φρουραῖς τινας διείληφε τῶν πόλεων, πολεμεῖν παρεσκευάζοντο. καὶ τὴν μὲν δύναμιν ἐξαποστείλας Πτολεμαῖος καὶ στρατηγὸν Λεωνίδην τὰς ἐν τῇ τραχείᾳ Κιλικίᾳ πόλεις οὔσας ὑπ' Ἀντίγονον ἐχειρώσατο. διεπέμπετο δὲ καὶ τὰς ὑπὸ Κάσσανδρον καὶ Λυσίμαχον πόλεις, ἀξιῶν συμφρονεῖν ἑαυτῷ καὶ κωλύειν Ἀντίγονον ἰσχυρὸν γίνεσθαι. ὁ δ' Ἀντίγονος τῶν υἱῶν Φίλιππον μὲν τὸν νεώτερον ἐξέπεμψεν ἐφ' Ἑλλήσποντον, διαπολεμήσοντα Φοίνικι καὶ τοῖς ἀφεστηκόσι, Δημήτριον δ' ἐπὶ Κιλικίαν· ὃς ἐνεργὸν ποιησάμενος τὴν στρατείαν ἐνί- 420
κησε τοὺς τοῦ Πτολεμαίου στρατηγοὺς καὶ τὰς πόλεις ἀνεκτήσατο.

20 Ἅμα δὲ τούτοις πραττομένοις Πολυσπέρχων περὶ Πελοπόννησον διατρίβων, καὶ Κασσάνδρῳ μὲν ἐγκαλῶν, τῆς δὲ Μακεδόνων ἡγεμονίας πάλαι ὀρεγόμενος, ἐκ Περγάμου μετεπέμψατο τὸν ἐκ Βαρσίνης Ἡρακλέα, ὃς ἦν Ἀλεξάνδρου μὲν υἱός, τρεφόμενος δ' ἐν Περγάμῳ, τὴν δ' ἡλικίαν περὶ ἑπτακαίδεκα ἔτη γεγονώς. ὁ δ' οὖν Πολυσπέρχων διαπέμπων πολλαχοῦ πρὸς τοὺς ἰδιοξένους καὶ τοὺς ἀλλοτρίως διακειμένους πρὸς Κάσσανδρον ἠξίου κατάγειν τὸ μειράκιον ἐπὶ τὴν πατρῴαν βασιλείαν. ἔγραψε δὲ καὶ πρὸς τὸ κοινὸν τῶν Αἰτωλῶν, ἀξιῶν δίοδόν τε δοῦναι καὶ συστρατεύειν, ἐπαγγελλόμενος πολλαπλασίους χάριτας ἀποδώσειν, ἐὰν συγκαταγάγωσι τὸ μειράκιον ἐπὶ τὴν πατρῴαν βασιλείαν. τῶν δὲ πραγμάτων αὐτῷ κατὰ νοῦν γενομένων, προθύμως θ' ὑπακουόντων τῶν Αἰτωλῶν, καὶ πολλῶν ἄλλων συντρεχόντων ἐπὶ τὴν κάθοδον τοῦ βασιλέως, οἱ σύμπαντες ἠθροίσθησαν πεζοὶ μὲν ὑπὲρ τοὺς δισμυρίους, ἱππεῖς δ' οὐκ ἐλάττους χιλίων. καὶ Πολυσπέρχων μὲν περὶ τὰς εἰς τὸν πόλεμον παρασκευὰς γινόμενος χρήματά τε συνῆγε καὶ πρὸς τοὺς οἰκείως ἔχοντας τῶν Μακεδόνων διαπεμπόμενος ἠξίου συνεργεῖν.

21 Πτολεμαῖος δὲ τῶν ἐν Κύπρῳ πόλεων κυριεύων, ἐπειδή τινων ἐπύθετο Νικοκλέα τὸν βασιλέα τῶν Παφίων ἐν ἀποῤῥήτοις [ἰδίᾳ] πρὸς Ἀντίγονον συντεθεῖσθαι

81. τὴν μὲν] τότε τὴν FW 84. τὰς] πρὸς τὰς Rhodomannus, ego κατὰ τὰς
420. 95. πάλαι FQW, caeteri πάλιν 2. ἔγραψε — 6. βασιλείαν om. Bas. 3. δίοδον F, caeteri δύναμιν, quod γρ. in margine ponit F 8. θ' ὑπακουόντων] τ' ἀκουόντων Bas. 10. μὲν om. Bas. 13. γινόμενος] γενόμενος F



φιλίαν, ἔπεμψε τῶν φίλων Ἀργαῖον καὶ Καλλικράτην, προστάξας αὐτοῖς ἀνελεῖν τὸν Νικοκλέα. πάνυ γὰρ εὐλαβεῖτο μὴ καὶ τῶν ἄλλων τινὲς ὁρμήσωσι πρὸς μεταβολήν, ὁρῶντες ἀθῴους γεγονότας τοὺς πρότερον ἀφεστηκότας. οὗτοι μὲν οὖν πλεύσαντες εἰς τὴν νῆσον, καὶ παρὰ Μενελάου τοῦ στρατηγοῦ στρατιώτας λαβόντες, περιέστησαν τὴν οἰκίαν τοῦ Νικοκλέους, καὶ τὰ δόξαντα τῷ βασιλεῖ δηλώσαντες προσέταξαν ἑαυτὸν ἀπαλλάξαι τοῦ ζῆν. ὁ δὲ τὸ μὲν πρῶτον πρὸς τὴν ἀπολογίαν ἐτρέπετο τῶν ἐγκαλουμένων· ὡς δ' οὐδεὶς προσεῖχεν, ἑαυτὸν ἀπέκτεινεν. Ἀξιοθέα δὲ ἡ γυνὴ τοῦ Νικοκλέους ἀκούσασα τὴν τοῦ ἀνδρὸς τελευτήν, τὰς μὲν θυγατέρας τὰς ἑαυτῆς παρθένους οὔσας ἀπέσφαξεν, ὅπως μηδεὶς αὐτῶν πολέμιος κυριεύσῃ, τὰς δὲ τῶν ἀδελφῶν τῶν Νικοκλέους γυναῖκας προετρέψατο μεθ' αὑτῆς ἑλέσθαι τὸν θάνατον, οὐδὲν συντεταχότος Πτολεμαίου περὶ τῶν γυναικῶν, ἀλλὰ συγκεχωρηκότος αὐταῖς τὴν ἀσφάλειαν. τῶν δὲ βασιλείων πεπληρωμένων φόνων καὶ συμπτωμάτων ἀπροσδοκήτων, οἱ τοῦ Νικοκλέους ἀδελφοὶ συγκλείσαντες τὰς θύρας τὴν μὲν οἰκίαν ἐνέπρησαν, ἑαυτοὺς δ' ἀπέσφαξαν. ἡ μὲν οὖν τῶν ἐν Πάφῳ βασιλέων οἰκία τραγικοῖς συγκυρήσασα πάθεσι τὸν εἰρημένον τρό-
421 πον κατελύθη. ἡμεῖς δὲ τὴν ἀπαγγελίαν τῶν γεγονότων διελθόντες ἐπὶ τὰς συνεχεῖς πράξεις μεταβιβάσομεν τὸν λόγον.

Περὶ γὰρ τοὺς αὐτοὺς καιροὺς ἐν τῷ Πόντῳ μετὰ 22
τὴν Παρυσάδου τελευτήν, ὃς ἦν βασιλεὺς τοῦ Κιμμερικοῦ Βοσπόρου, διετέλουν οἱ παῖδες αὐτοῦ διαπολεμοῦντες πρὸς ἀλλήλους ὑπὲρ τῆς ἡγεμονίας Εὔμηλός τε καὶ Σάτυρος καὶ Πρύτανις. τούτων δὲ ὁ μὲν Σάτυρος ὢν πρεσβύτερος παρὰ τοῦ πατρὸς παρειλήφει τὴν ἀρχήν, βεβασιλευκότος ἔτη τριάκοντα ὀκτώ· ὁ δ' Εὔμηλος φιλίαν συντεθειμένος πρός τινας τῶν πλησιοχώρων βαρβάρων καὶ δύναμιν ἁδρὰν ἠθροικώς, ἠμφισβήτει τῆς βασιλείας. ἃ δὴ πυθόμενος ὁ Σάτυρος, ἀνέζευξεν ἐπ'

22. ὁρῶντες] ὁρῶν Bas. ἀθῴους Kaltwasserus: libri ἀθρόους: unde pro illis ὁρῶντες — ἀφεστηκότας haec supponunt QW, οὓς ἀθρόους γεγονότας οὐ ῥᾴδιον ἦν πάντας συλλαβεῖν, solum οὓς ἀθρόους γεγονότας F 31. τοῦ ἀνδρὸς] ἀνδρὸς T Bas. 33. μηδεὶς] μηθεὶς Bas. 34. προετρέψατο] ἐτρέψατο Bas. 35. αὑτῆς] ἑαυτῆς F οὐδὲν] οὐδὲν οὖν T Bas. 41. οἰκία] συγγένεια FQW
421. 43. ἀπαγγελίαν Wesselingius: libri ἐπαγγελίαν 44. διελθόντες] διαλαβόντες FQW 53. τινας] τινα Bas.

αὐτὸν μετὰ δυνάμεως ἁδρᾶς, καὶ διαβὰς τὸν Θάψιν ποταμόν, ἐπειδὴ πλησίον ἐγένετο τῶν πολεμίων, τὴν μὲν παρεμβολὴν ταῖς ἁμάξαις περιλαβὼν αἷς ἦν κεκομικὼς τὰς ἀγορὰς οὔσας παμπληθεῖς, τὴν δὲ δύναμιν ἐκτάξας, αὐτὸς κατὰ μέσην ὑπῆρχε τὴν φάλαγγα, καθάπερ ἐστὶ Σκύθαις νόμιμον. συνεστρατεύοντο δ' αὐτῷ μισθοφόροι μὲν Ἕλληνες οὐ πλείους δισχιλίων, καὶ Θρᾷκες ἴσοι τούτοις, οἱ δὲ λοιποὶ πάντες ὑπῆρχον σύμμαχοι Σκύθαι, πλείους τῶν δισμυρίων, ἱππεῖς δ' οὐκ ἐλαττους μυρίων. τῷ δ' Εὐμήλῳ συνεμάχει μὲν Ἀριφάρνης ὁ τῶν Θρᾳκῶν βασιλεύς, ἱππεῖς μὲν ἔχων δισμυρίους, πεζοὺς δὲ δισχιλίους πρὸς τοῖς δισμυρίοις. γενομένης δὲ μάχης ἰσχυρᾶς, Σάτυρος μὲν ἔχων περὶ ἑαυτὸν ἐπιλέκτους ἄνδρας ἱππομαχίαν συνεστήσατο πρὸς τοὺς περὶ Ἀριφάρνην ἀνθεστηκότας κατὰ μέσην τὴν τάξιν, καὶ πολλῶν παρ' ἀμφοτέροις πεσόντων τέλος ἐκβιασάμενος ἐτρέψατο τὸν βασιλέα τῶν βαρβάρων. καὶ τὸ μὲν πρῶτον ἐπέκειτο φονεύων τοὺς ἀεὶ καταλαμβανομένους· μετ' ὀλίγον δὲ πυθόμενος τὸν ἀδελφὸν Εὔμηλον προτερεῖν περὶ τὸ δεξιὸν κέρας, καὶ τοὺς παρ' αὐτῷ μισθοφόρους τετράφθαι, τοῦ μὲν διώκειν ἀπέστη, παραβοηθήσας δὲ τοῖς ἡττημένοις, καὶ τὸ δεύτερον αἴτιος γενόμενος τῆς νίκης, ἅπαν ἐτρέψατο τῶν πολεμίων τὸ στρατόπεδον, ὥστε πᾶσι γενέσθαι φανερὸν ὅτι καὶ κατὰ γένος καὶ κατ' ἀρετὴν προσῆκον ἦν αὐτῷ διαδέχεσθαι τὴν πατρῴαν βασιλείαν.

23 οἱ δὲ περὶ τὸν Ἀριφάρνην καὶ τὸν Εὔμηλον λειφθέντες ἐν τῇ μάχῃ συνέφυγον εἰς τὰ βασίλεια. ταῦτα δ' ἔκειτο μὲν παρὰ τὸν Θάψιν ποταμόν, ὃς περιῤῥέων αὐτὰ καὶ βάθος ἔχων ἱκανὸν ἐποίει δυσπρόσιτα, περιείχετο δὲ κρημνοῖς μεγάλοις, ἔτι δ' ὕλης πλήθει, τὰς πάσας εἰσβολὰς δύο ἔχοντα χειροποιήτους, ὧν ἡ μὲν ἦν ἐν αὐτοῖς τοῖς βασιλείοις, ὠχυρωμένη πύργοις ὑψηλοῖς καὶ προτειχίσμασιν, ἡ δ' ἐκ θατέρου μέρους ἐν ἕλεσιν ὑπῆρχε, φρουρουμένη ξυλίνοις ἐρύμασι· διεστύλωτο δ' εὖ κίοσιν, ὑπεράνω δὲ τῶν ὑδάτων εἶχε τὰς οἰκήσεις. 422

57. 87. Θάψιν] Θάψιν F, Θάτην QXY Bas.: Ψάθιν Barbeyracius 63. δ' αὐτῷ om. F 64. δισχιλίων] χιλίων FQW 67. seq. Ἀριφάρνης FTY Bas., Ἀριστοφάνης W, caeteri Ἀριοφάρνης 82. ὅτι om. F 86. συνέφυγον] συνέφευγον F 87. ἔκειτο] ἔκειντο W 94. δυσπρόσιτα Wesselingius: libri δυσπρόσιτον 95. ἔχοντα] libri ἔχοντι 98. ἡ δ' ἐκ θατέρου μέρους] ἡ δὲ καθ' ἕτερον μέρος W, caeteri ἡ δὲ καθ' ἑτέρου μέρους 99. ἐρύμασι] πείσμασι QW, δὲ πείσμασι F δ' εὖ κίοσιν Wesselingius, δ' εὐκίοσι T, om. FW, caeteri δ' οἴκοις: sed εὖ vel corruptum vel cum Reiskio delendum censeo



τοιαύτης δ' οὔσης τῆς περὶ τὸν τόπον ὀχυρότητος, τὸ μὲν πρῶτον ὁ Σάτυρος τήν τε χώραν τῶν πολεμίων ἐδῄωσε καὶ τὰς κώμας ἐνεπύρισεν, ἐξ ὧν αἰχμάλωτα σώματα καὶ λείας πλῆθος ἤθροισε. μετὰ δὲ ταῦτα ἐγχειρήσας διὰ τῶν παρόδων βιάζεσθαι, κατὰ μὲν τὸ προτείχισμα καὶ τοὺς πύργους πολλοὺς ἀποβαλὼν τῶν στρατιωτῶν ἀπεχώρησε· κατὰ δὲ τὰ ἕλη βιασάμενος ἐκράτησε τῶν ξυλίνων φρουρίων. ταῦτα δὲ διαρπάσας καὶ διαβὰς τὸν ποταμόν, ἤρξατο κόπτειν τὴν ὕλην, δι' ἧς ἀναγκαῖον ἦν ἐλθεῖν ἐπὶ τὰ βασίλεια. τούτων δ' ἐνεργῶς συντελουμένων, Ἀριφάρνης ὁ βασιλεὺς ἀγωνιάσας μὴ κατὰ κράτος ἁλῶναι συμβῇ τὴν ἀκρόπολιν, διηγωνίζετο τολμηρότερον, ὡς ἐν μόνῳ τῷ νικᾶν κειμένης τῆς σωτηρίας. διείλετο δὲ καὶ τοὺς τοξότας ἐπ' ἀμφότερα τὰ μέρη τῆς παρόδου, δι' ὧν ῥᾳδίως κατετίτρωσκε τοὺς τὴν ὕλην κόπτοντας, μὴ δυναμένους μήτε προορᾶσθαι τὰ βέλη μήτ' ἀμύνεσθαι τοὺς βάλλοντας διὰ τὴν πυκνότητα τῶν δένδρων. οἱ δὲ περὶ τὸν Σάτυρον ἐπὶ τρεῖς μὲν ἡμέρας ἔτεμνον τὴν ὕλην, ὁδοποιούμενοι καὶ διακαρτεροῦντες ἐπιπόνως· τῇ δὲ τετάρτῃ συνήγγισαν μὲν τῷ τείχει, νικώμενοι δὲ τῷ πλήθει τῶν βελῶν καὶ τῇ τῶν τόπων στενοχωρίᾳ μεγάλοις ἐλαττώμασι περιέπιπτον. Μενίσκος μὲν γὰρ ὁ τῶν μισθοφόρων ἡγεμών, ἀνὴρ καὶ συνέσει καὶ τόλμῃ διαφέρων, προσπεσὼν διὰ τῆς διόδου πρὸς τὸ τεῖχος, καὶ μετὰ τῶν περὶ αὐτὸν λαμπρῶς ἀγωνισάμενος, ἐξεβιάσθη, πολλαπλασίων ἐπ' αὐτὸν ἐπεξελθόντων. ὃν ἰδὼν ὁ Σάτυρος κινδυνεύοντα, ταχέως παρεβοήθει, καὶ τὴν ἐπιφορὰν τῶν πολεμίων ὑποστὰς ἐτρώθη λόγχῃ διὰ τοῦ βραχίονος. κακῶς δ' ἀπαλλάττων ὑπὸ τοῦ τραύματος ἐπανῆλθεν εἰς τὴν παρεμβολήν, καὶ νυκτὸς ἐπιγενομένης ἐξέλιπε τὸν βίον, ἐννέα μόνον μῆνας βασιλεύσας μετὰ τὴν τοῦ πατρὸς τελευτὴν Παρυσάδου. Μενίσκος δ' ὁ τῶν μισθοφόρων ἡγεμὼν λύσας τὴν πολιορκίαν ἀπήγαγε τὴν δύναμιν εἰς Γάργαζαν πόλιν· κἀκεῖθεν τὸ τοῦ βασιλέως σῶμα διὰ τοῦ ποταμοῦ διεκόμισεν εἰς Παντικάπαιον πρὸς τὸν ἀδελφὸν Πρύτανιν. ὃς ταφὴν συντελέσας μεγαλοπρεπῆ καὶ καταθέμενος εἰς τὰς βασιλικὰς θήκας τὸ σῶμα, ταχέως ἧκεν εἰς Γάργαζαν, καὶ τὴν δύναμιν ἅμα καὶ τὴν

422. 11. δ' F 12. ἀγωνιάσας] ἀγωνιασάμενος καὶ ἀγωνιάσας X 15. διείλετο] διείλατο FW 22 μὲν om. Bas. 27. αὐτὸν] ἑαυτὸν F 28. πολλαπλασίων] πολλαπλασιόνων FW 31. κακῶς δ'] καὶ κακῶς Bas. 34. μόνον μῆνας] μῆνας μόνον Bas. 38. διὰ τοῦ ποταμοῦ om. F

δυναστείαν παρέλαβεν. Εὐμήλου δὲ διαπρεσβευομένου περὶ μέρους τῆς βασιλείας, τούτῳ μὲν οὐ προσεῖχεν· ἐν δὲ Γαργάζῃ φρουρὰν ἀπολιπὼν ἐπανῆλθεν εἰς Παντικάπαιον, ἀσφαλισόμενος τὰ κατὰ τὴν βασιλείαν. καθ᾽ ὃν δὴ χρόνον Εὔμηλος συναγωνισαμένων αὐτῷ τῶν βαρβάρων τήν τε Γάργαζαν κατελάβετο καὶ τῶν ἄλλων πολισμάτων καὶ χωρίων οὐκ ὀλίγα. ἐπιστρατεύσαντος δὲ τοῦ Πρυτάνιδος μάχῃ τε ἐνίκησε τὸν ἀδελφόν, καὶ συγκλείσας εἰς τὸν ἰσθμὸν τὸν πλησίον τῆς Μαιώτιδος λίμνης [423] συνηνάγκασεν ὁμολογίας θέσθαι, καθ᾽ ἃς τούς τε στρατιώτας παρέδωκε καὶ τῆς βασιλείας ἐκχωρεῖν ὡμολόγησεν. ὡς δὲ παρεγένετο εἰς Παντικάπαιον, ἐν ᾧ τὸ βασίλειον ἦν ἀεὶ τῶν ἐν Βοσπόρῳ βασιλευσάντων, ἐπεχείρησε μὲν πάλιν ἀνακτᾶσθαι τὴν βασιλείαν, κατισχυθεὶς δὲ καὶ φυγὼν εἰς τοὺς καλουμένους Κήπους ἀνῃρέθη. Εὔμηλος δὲ μετὰ τὸν τῶν ἀδελφῶν θάνατον βουλόμενος ἀσφαλῶς θέσθαι τὰ κατὰ τὴν ἀρχήν, ἀνεῖλε τούς τε φίλους τῶν περὶ τὸν Σάτυρον καὶ Πρύτανιν, ἔτι δὲ τὰς γυναῖκας καὶ τὰ τέκνα. μόνος δὲ διέφυγεν αὐτὸν ὁ παῖς ὁ Σατύρου Παρυσάδης, νέος ὢν παντελῶς τὴν ἡλικίαν· ἐξιππεύσας γὰρ ἐκ τῆς πόλεως κατέφυγε πρὸς Ἄγαρον τὸν βασιλέα τῶν Σκυθῶν. ἀγανακτούντων δὲ τῶν πολιτῶν ἐπὶ τῷ φόνῳ τῶν οἰκείων, συναγαγὼν εἰς ἐκκλησίαν τὰ πλήθη περί τε τούτων ἀπελογήσατο καὶ τὴν πάτριον πολιτείαν ἀποκατέστησε. συνεχώρησε δὲ καὶ τὴν ἀτέλειαν ἔχειν τὴν ἐπὶ τῶν προγόνων οὖσαν τοῖς Παντικάπαιον οἰκοῦσι. προσεπηγγείλατο δὲ καὶ τῶν εἰςφορῶν ἅπαντας ἀφήσειν, καὶ πολλὰ διελέχθη δημαγωγῶν τὰ πλήθη. ταχὺ δὲ πάντων εἰς τὴν προϋπάρχουσαν εὔνοιαν ἀποκαταστάντων διὰ τὰς εὐεργεσίας, τὸ λοιπὸν ἐβασίλευεν ἄρχων νομίμως τῶν ὑποτεταγμένων καὶ διὰ τὴν ἀρετὴν οὐ μετρίως θαυμαζόμενος.

25 Βυζαντίους μὲν γὰρ καὶ Σινωπεῖς καὶ τῶν ἄλλων Ἑλλήνων τῶν τὸν Πόντον οἰκούντων τοὺς πλείστους διετέλεσεν εὐεργετῶν· Καλλατιανῶν δὲ πολιορκουμένων ὑπὸ Λυσιμάχου καὶ πιεζομένων τῇ σπάνει τῶν ἀναγκαίων, χιλίους ὑπεδέξατο τοὺς διὰ τὴν σιτοδείαν ἐκχωρήσαντας. οἷς οὐ μόνον τῆς καταφυγῆς παρέσχετο τὴν

48. δὴ om. F
423. 66. κατέφυγε] προςέφυγε F 70. τὴν om. Bas. 72. οὖσαν om. FW 73. εἰςφορῶν] μισθοφόρων FW 79. γὰρ om. F 80. τὸν Πόντον] τὴν Πόντου W 81. Καλλατιανῶν Wesselingius: libri Καλλαντιανῶν 84. ἐκχωρήσαντας Y Bas., caeteri ἀποχωρήσαντας



ἀσφάλειαν, ἀλλὰ καὶ πόλιν ἔδωκε κατοικεῖν, ἐπὶ δὲ τούτοις τὴν ὀνομαζομένην Ψόαν καὶ τὴν χώραν κατεκληρούχησεν. ὑπὲρ δὲ τῶν πλεόντων τὸν Πόντον πόλεμον ἐξενέγκας πρὸς τοὺς λῃστεύειν εἰωθότας βαρβάρους Ἡνιόχους καὶ Ταύρους ἔτι δ᾽ Ἀχαιούς, καθαρὰν λῃστῶν ἀπέδειξε τὴν θάλατταν, ὥςτε μὴ μόνον κατὰ τὴν βασιλείαν, ἀλλὰ καὶ κατὰ πᾶσαν σχεδὸν τὴν οἰκουμένην, διαγγελλόντων τῶν ἐμπόρων τὴν μεγαλοψυχίαν, ἀπολαμβάνειν τῆς εὐεργεσίας καρπὸν κάλλιστον τὸν ἔπαινον. προςεκτήσατο δὲ καὶ τῆς συνοριζούσης βαρβάρου πολλήν, καὶ τὴν βασιλείαν ἐπιφανεστέραν ἐπὶ πολὺ κατεσκεύασε· καθόλου δ᾽ ἐπεχείρησε πάντα τὰ περὶ τὸν Πόντον ἔθνη καταστρέφεσθαι, καὶ τάχα ἂν ἐκράτησε τῆς ἐπιβολῆς, εἰ μὴ σύντομον ἔσχε τὴν τοῦ βίου τελευτήν. πέντε γὰρ ἔτη καὶ τοὺς ἴσους μῆνας βασιλεύσας κατέστρεψε τὸν βίον, παραδόξῳ συμπτώματι χρησάμενος. ἐκ γὰρ τῆς Σινδικῆς ἐπανιὼν εἰς τὴν οἰκείαν, καὶ σπεύδων πρός τινα θυσίαν, ἤλαυνε μὲν ἐπί τινος τεθρίππου πρὸς τὰ βασίλεια, τοῦ δ᾽ ἅρματος ὄντος τετρακύκλου καὶ σκηνὴν ἔχοντος συνέβη τοὺς ἵππους διαταραχθέντας ἐξενεγκεῖν αὐτόν. τοῦ γὰρ ἡνιόχου μὴ [424] δυναμένου κρατῆσαι τῶν ἡνιῶν, φοβηθεὶς μὴ κατενεχθῇ πρὸς τὰς φάραγγας, ἐπεχείρησεν ἀφάλλεσθαι· ἐμπλακέντος δὲ τοῦ ξίφους εἰς τὸν τροχόν, συνεφειλκύσθη τῇ φορᾷ καὶ παραχρῆμ᾽ ἐτελεύτησε. περὶ δὲ τῆς τῶν ἀδελφῶν τελευτῆς Εὐμήλου τε καὶ Σατύρου παραδέδονται χρησμοί, μικρὸν μὲν ἠλιθιώτεροι, πιστευόμενοι δὲ παρὰ τοῖς ἐγχωρίοις. τῷ μὲν γὰρ Σατύρῳ λέγουσι χρῆσαι τὸν θεὸν φυλάξασθαι τὸν μῦν μήποτ᾽ αὐτὸν ἀνέλῃ. διόπερ οὔτε δοῦλον οὔτ᾽ ἐλεύθερον τῶν τεταγμένων ὑφ᾽ ἑαυτὸν εἴα τοῦτ᾽ ἔχειν ὄνομα· ἔπειτα δὲ καὶ τοὺς ἐν ταῖς οἰκίαις καὶ ταῖς ἀρούραις ἐφοβεῖτο μῦς, καὶ τοῖς παισὶν ἀεὶ συνέταττε τούτους ἀποκτείνειν καὶ τὰς κοίτας ἐμπλάττειν. πάντα δ᾽ ἐνδεχομένως αὐτοῦ ποιοῦντος οἷς ᾤετο κατισχύσειν τὸ πεπρωμένον, κατέστρεψε τὸν βίον πληγεὶς τοῦ βραχίονος εἰς τὸν μῦν. τῷ δ᾽ Εὐμήλῳ χρησμὸς ἦν τὴν φερομένην οἰκίαν φυλάξασθαι. ὅθεν πάλιν οὗτος εἰς οἰκίαν οὐκ εἰςῄει προχείρως μὴ

86. κατοικεῖν] εἰς ἀσφάλειαν κατοικεῖν X 90. θάλατταν] libri θάλασσαν 91. κατὰ om. F 2. Σινδικῆς Wesselingius, Ἰνδικῆς Y Bas., caeteri Σκυθικῆς
424. 9. τὸν om. F 10. παραχρῆμ᾽ F, caeteri παραχρῆμα 14. τὸν μὲν γὰρ σάτυρον λέγουσι χρήσασθαι F 16. μήποτ᾽ F, caeteri μήποτε οὔτ᾽ F, caeteri οὔτε 18. ὄνομα] τοὔνομα F καὶ om. Bas. 21. οἷς Reiskius: libri ὡς 22. κατισχύσειν] κατισχύειν FW

προδιερευνησάντων τῶν παίδων τὴν ὀροφὴν καὶ τὰ θεμέλια. τελευτήσαντος δ' αὐτοῦ διὰ τὴν ὀχουμένην ἐπὶ τοῦ τεθρίππου σκηνήν, ἕκαστος ὑπελάμβανε τετελέσθαι τὸν χρησμόν. καὶ περὶ μὲν τῶν ἐν τῷ Βοσπόρῳ πραχθέντων ἅλις ἡμῖν ἐχέτω.

Κατὰ δὲ τὴν Ἰταλίαν οἱ τῶν Ῥωμαίων ὕπατοι μετὰ δυνάμεως ἐμβαλόντες εἰς τὴν Ἀπουλίαν ἐνίκησαν μάχῃ Σαμνίτας περὶ τὸ καλούμενον Τάλιον. τῶν δ' ἡττηθέντων καταλαβομένων τὸν ἱερὸν λόφον ὀνομαζόμενον, τότε μὲν τῆς νυκτὸς ἐπιλαβούσης οἱ Ῥωμαῖοι πρὸς τὴν ἰδίαν στρατοπεδείαν ἀπεχώρησαν· τῇ δ' ὑστεραίᾳ πάλιν μάχης γενομένης πολλοὶ μὲν ἀνῃρέθησαν τῶν Σαμνιτῶν, αἰχμάλωτοι δ' ἐλήφθησαν ὑπὲρ τοὺς διςχιλίους καὶ διακοσίους. τοιούτων δὲ προτερημάτων γενομένων τοῖς Ῥωμαίοις, ἀδεῶς ἤδη τῶν ὑπαίθρων συνέβαινε κυριεύειν τοὺς ὑπάτους καὶ τὰς ἀπειθούσας τῶν πόλεων χειροῦσθαι. Καταράκταν μὲν οὖν καὶ Κεραυνιλίαν ἐκπολιορκήσαντες φρουροὺς ἐπέθηκαν, τῶν δ' ἄλλων τινὰς πείσαντες προςηγάγοντο.

27 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Δημητρίου τοῦ Φαληρέως τὴν ὕπατον ἀρχὴν ἐν Ῥώμῃ παρέλαβον Κόϊντος Φάβιος τὸ δεύτερον καὶ Γάϊος Μάρκιος. ἐπὶ δὲ τούτων Πτολεμαῖος ὁ τῆς Αἰγύπτου βασιλεύων πυθόμενος τοὺς ἰδίους στρατηγοὺς ἀποβεβληκέναι τὰς ἐν Κιλικίᾳ πόλεις, πλεύσας μετὰ δυνάμεως ἐπὶ Φασηλίδα, ταύτην μὲν ἐξεπολιόρκησεν, εἰς δὲ τὴν Λυκίαν παρακομισθεὶς Ξάνθον φρουρουμένην ὑπ' Ἀντιγόνου κατὰ κράτος εἷλεν. εἶτα τῇ Καύνῳ προςπλεύσας τὴν μὲν πόλιν παρέλαβε, τὰς δ' ἀκροπόλεις φρουρουμένας τῇ βίᾳ κατισχύσας τὸ μὲν Ἡράκλειον ἐξεῖλε, τὸ δὲ Περσικὸν παραδόντων τῶν στρατιωτῶν ὑποχείριον ἐποιήσατο. μετὰ δὲ ταῦτα εἰς [425] τὴν Κῶν πλεύσας μετεπέμψατο Πτολεμαῖον, ὃς ὢν ἀδελφιδοῦς Ἀντιγόνου καὶ δύναμιν πεπιστευμένος, τοῦτον μὲν κατέλιπε, πρὸς δὲ Πτολεμαῖον κοινοπραγίαν ἐτίθετο. πλεύσαντος δ' ἐκ τῆς Χαλκίδος αὐτοῦ καὶ κομισθέντος εἰς Κῶν, τὸ μὲν πρῶτον ὁ Πτολεμαῖος φιλανθρώπως

26. προδιερευνησάντων] προδιερευνησαμένων FW 28. ἐπὶ] ὑπὸ W 30. τῷ om. Bas. 31. οἱ — 32. Ἀπουλίαν om. Bas. 32. Ἀπουλίαν T, caeteri Ἰταλίαν 33. σαυνίτας F Τάλιον QX Bas., caeteri Ἰτάλιον 34. καταλαβομένων] καταλαμβανομένων Bas. 38. σαυνιτῶν F 42. καταῤῥάκταν F Κεραυνιλίαν] Κεραυναίαν FQ, Κεραυναίαν W 48. βασιλεύων] δυναστεύων FQW

425. 54. δ' F 61. τῆς om. Bas. 62. εἰς Κῶν] εἰς Κῶ W, εἰς τὴν Κῶ πλεύσας τὸ μὲν πρῶτον F nescio hic an 57.



αὐτὸν προςεδέξατο· εἶτα ὁρῶν πεφρονηματισμένον καὶ τοὺς ἡγεμόνας ὁμιλίαις καὶ δωρεαῖς ἐξιδιοποιούμενον, φοβηθεὶς μή τινα ἐπιβουλὴν μηχανήσηται, φθάσας αὐτὸν συνέλαβε καὶ πιεῖν κώνειον συνηνάγκασε· τοὺς δὲ συνηκολουθηκότας στρατιώτας ἐπαγγελίαις δημαγωγήσας κατέμιξε τοῖς μεθ' ἑαυτοῦ στρατευομένοις.

28 Ἅμα δὲ τούτοις πραττομένοις Πολυσπέρχων μὲν ἠθροικὼς ἁδρὰν δύναμιν κατήγαγεν ἐπὶ τὴν πατρῴαν βασιλείαν Ἡρακλέα τὸν Ἀλεξάνδρου καὶ Βαρσίνης. Κασσάνδρου δὲ καταστρατοπεδεύσαντος αὐτοῦ περὶ τὴν καλουμένην Στυμφαίαν ἧκε μετὰ τῆς δυνάμεως. οὐ μακρὰν δὲ τῶν παρεμβολῶν ἀπεχουσῶν ἀλλήλων, καὶ τῶν Μακεδόνων οὐκ ἀηδῶς ὁρώντων τὴν κάθοδον τοῦ βασιλέως, δείσας ὁ Κάσσανδρος μήποτε φύσει πρὸς μεταβολὴν ὄντες ὀξεῖς οἱ Μακεδόνες αὐτομολήσωσι πρὸς τὸν Ἡρακλέα, διεπρεσβεύσατο πρὸς Πολυσπέρχοντα. καὶ περὶ μὲν τοῦ βασιλέως ἐπειρᾶτο διδάσκειν αὐτὸν ὅτι γινομένης τῆς καθόδου ποιήσει τὸ προςταττόμενον ὑφ' ἑτέρων, συναγωνισάμενος δ' αὐτῷ καὶ τὸν νεανίσκον ἀνελὼν παραχρῆμα μὲν ἀπολήψεται τὰς προγεγενημένας κατὰ Μακεδονίαν δωρεάς, εἶτα καὶ δύναμιν ἀναλαβὼν στρατηγὸς ἀποδειχθήσεται περὶ Πελοπόννησον καὶ πάντων τῶν ἐν τῇ δυναστείᾳ τῇ Κασσάνδρου κοινωνὸς ἔσται, τιμωμενος διαφόρως· πέρας δὲ πολλαῖς καὶ μεγάλαις ἐπαγγελίαις πείσας τὸν Πολυσπέρχοντα, καὶ συνθήκας ἐν ἀποῤῥήτοις συνθέμενος, προετρέψατο δολοφονῆσαι τὸν βασιλέα. ὁ δὲ Πολυσπέρχων ἀνελὼν τὸν νεανίσκον καὶ φανερῶς κοινοπραγῶν τοῖς περὶ τὸν Κάσσανδρον, τάς τ' ἐν τῇ Μακεδονίᾳ δωρεὰς ἐκομίσατο καὶ κατὰ τὰς ὁμολογίας παρέλαβε στρατιώτας πεζοὺς μὲν Μακεδόνας τετρακιςχιλίους, ἱππεῖς δὲ Θετταλοὺς πεντακοσίους. προςλαβόμενος δὲ καὶ τῶν ἄλλων τοὺς βουλομένους ἐπεχείρησε μὲν διὰ τῆς Βοιωτίας προάγειν εἰς Πελοπόννησον, ὑπὸ δὲ Βοιωτῶν καὶ Πελοποννησίων κωλυθεὶς ἀνέστρεψε, καὶ προελθὼν εἰς Λοκροὺς ἐνταῦθα τὴν παραχειμασίαν ἐποιήσατο.

64. καὶ τοὺς — 65. φοβηθεὶς om. X 67. κώνειον] χώνιον T Bas., κώνιον F συνηνάγκασε] κατηνάγκασε FW 71. ἠθροικὼς] συνηθροικὼς F κατήγαγεν] fortasse scribendum κατῆγεν 74. περὶ] ἐπὶ W Στυμφαίαν Palmerius: libri Στυμφαλίαν 79. αὐτομολήσωσι] αὐτομολήσουσι Bas. 82. ἑτέρων] ἑτέρῳ T Bas. 84. κατὰ TW, caeteri praeponunt καί, quod asterisco notavit Stephanus 87. τῇ] τοῦ F 88. πολλαῖς] πολλάκις F 93. τὸν om. Bas. τ' om. F 100. προελθὼν F, caeteri προςελθὼν

29 Ἅμα δὲ τούτοις πραττομένοις Λυσίμαχος μὲν ἐν Χεῤῥονήσῳ πόλιν ἔκτισεν ἀφ' ἑαυτοῦ Λυσιμάχειαν καλέσας. Κλεομένης δ' ὁ τῶν Λακεδαιμονίων βασιλεὺς ἐτελεύτησεν ἄρξας ἔτη ἑξήκοντα καὶ μῆνας δέκα, τὴν δὲ βασιλείαν διαδεξάμενος ὁ Ἄρευς υἱὸς ἦρξεν ἔτη τέτταρα 426 πρὸς τοῖς τετταράκοντα. περὶ δὲ τοὺς αὐτοὺς καιροὺς Ἀμίλκας ὁ τῶν ἐν Σικελίᾳ δυνάμεων στρατηγὸς τὰ λοιπὰ τῶν χωρίων χειρωσάμενος προῆγε μετὰ τῆς δυνάμεως ἐπὶ τὰς Συρακούσας, ὡς καὶ ταύτας αἱρήσων κατὰ κράτος. τὴν μὲν οὖν σιτοπομπίαν διεκώλυε πολὺν ἤδη χρόνον θαλαττοκρατῶν· τοὺς δ' ἐπὶ τῆς χώρας καρποὺς καταφθείρας ἐπεβάλετο καταλαβέσθαι τοὺς περὶ τὸ Ὀλύμπιον τόπους, κειμένους μὲν πρὸ τῆς πόλεως· εὐθὺς δὲ καὶ προσβάλλειν ἐξ ἐφόδου τοῖς τείχεσι διεγνώκει, τοῦ μάντεως εἰρηκότος αὐτῷ κατὰ τὴν ἐπίσκεψιν τῶν ἱερῶν ὅτι τῇ μετὰ ταύτην ἡμέρᾳ πάντως ἐν Συρακούσαις δειπνήσει. οἱ δ' ἐκ τῆς πόλεως αἰσθόμενοι τὴν ἐπίνοιαν τῶν πολεμίων ἐξέπεμψαν τῶν μὲν πεζῶν νυκτὸς περὶ τρισχιλίους καὶ τῶν ἱππέων περὶ τετρακοσίους, προστάξαντες καταλαβέσθαι τὸν Εὐρύηλον. ταχὺ δὲ τούτων τὸ παραγγελθὲν πραξάντων, οἱ Καρχηδόνιοι νυκτὸς οὔσης προσῆγον, νομίζοντες λήσεσθαι τοὺς πολεμίους. ἡγεῖτο μὲν οὖν Ἀμίλκας πάντων, ἔχων τοὺς ἀεὶ περὶ αὐτὸν τεταγμένους· ἐπηκολούθει δὲ Δεινοκράτης, τῶν ἱππέων εἰληφὼς τὴν ἡγεμονίαν. τὸ δὲ τῶν πεζῶν στρατόπεδον εἰς δύο φάλαγγας διῄρητο, τήν τε τῶν βαρβάρων καὶ τὴν τῶν συμμαχούντων Ἑλλήνων. παρηκολούθει δὲ καὶ πλῆθος ὄχλου παντοδαπὸν ἐκτὸς τῆς τάξεως ὠφελείας ἕνεκα, χρείαν μὲν στρατιωτικὴν οὐδεμίαν παρεχόμενον, θορύβου δὲ καὶ ταραχῆς ἀλόγου γινόμενον αἴτιον· ἐξ ὧν πολλάκις ὁλοσχερέστεροι συμβαίνουσι κίνδυνοι. καὶ τότε δὲ τῶν ὁδῶν στενῶν οὐσῶν καὶ τραχειῶν, οἱ μὲν τὰ σκευοφόρα κομίζοντες καὶ τῶν ἐκτὸς τῆς τάξεως συνακολουθούντων τινὲς ἐβάδιζον πρὸς ἀλλήλους φιλοτιμούμενοι περὶ τῆς ὁδοιπορίας· στενοχωρουμένου δὲ τοῦ πλήθους, καὶ διὰ τοῦτό τισιν ἐγγενομένης ἀψιμαχίας, καὶ πολλῶν ἑκατέροις παραβοηθούντων, κραυγὴ καὶ πολὺς θόρυβος κατεῖχε τὸ στρατόπεδον. καθ' ὃν δὴ χρόνον οἱ κατειληφότες τὸν Εὐρύηλον Συρακόσιοι μετὰ θορύβου προσιόντας τοὺς πολεμίους αἰσθόμενοι, καὶ τόπους ἔχοντες ὑπερδεξίους, ὥρμησαν ἐπὶ τοὺς πολεμίους. καὶ τινὲς μὲν ἐν τοῖς ὑψηλοῖς ἑστῶτες ἔβαλλον τοὺς ἐπιόντας, τινὲς δὲ τοὺς εὐκαίρους τῶν τόπων καταλαβόντες ἀπέκλειον τῆς ὁδοῦ τοὺς βαρβάρους, ἄλλοι δὲ κατὰ τῶν κρημνῶν τοὺς φεύγοντας ῥίπτειν ἑαυτοὺς ἠνάγκαζον· διὰ γὰρ τὸ σκότος καὶ τὴν ἄγνοιαν ὑπελήφθησαν μεγάλῃ δυνάμει παραγεγονέναι πρὸς τὴν ἐπίθεσιν. οἱ δὲ Καρχηδόνιοι, τὰ μὲν διὰ τὴν τῶν ἰδίων ταραχὴν τὰ δὲ διὰ τὴν τῶν πολεμίων ἐπιφάνειαν ἐλαττούμενοι, μάλιστα δὲ διὰ τὴν ἀπειρίαν τῶν τόπων καὶ στενοχωρίαν ἀπορούμενοι, πρὸς φυγὴν ἐτράπησαν. οὐκ ἐχόντων δὲ τῶν τόπων εὐρυχωρῆ διέξοδον, οἱ μὲν ὑπὸ τῶν ἰδίων ἱππέων συνεπατοῦντο πολλῶν ὄντων, οἱ δὲ πρὸς ἀλλήλους ὡς πολέμιοι διεμάχοντο, τῆς ἀγνοίας ἐπισχούσης διὰ τὴν νύκτα. Ἀμίλκας δὲ τὸ μὲν πρῶτον ὑπέστη τοὺς πολεμίους εὐρώστως, καὶ τοὺς περὶ 427 αὐτὸν τεταγμένους ἠξίου συγκινδυνεύειν· μετὰ δὲ ταῦτα διὰ τὴν ταραχὴν καὶ τὸν φόβον ἐγκαταλιπόντων αὐτὸν τῶν στρατιωτῶν, μονωθεὶς ὑπὸ τῶν Συρακοσίων συνηρπάγη.

30 εἰκότως δ' ἂν τις παρασημήναιτο τὴν ἀνωμαλίαν τῆς τύχης καὶ τὸ παράλογον τῶν παρὰ τὰς ὑπολήψεις συντελουμένων παρ' ἀνθρώποις. Ἀγαθοκλῆς μὲν γὰρ ἀνδρείᾳ διαφέρων καὶ πολλὴν δύναμιν ἐσχηκὼς τὴν συναγωνισαμένην περὶ τὸν Ἱμέραν, οὐ μόνον ὑπὸ τῶν βαρβάρων ἡττήθη κατὰ κράτος, ἀλλὰ καὶ τῆς στρατιᾶς τὴν κρατίστην καὶ πλείστην ἀπέβαλεν· οἱ δὲ τειχήρεις ἀπολῃφθέντες ἐν ταῖς Συρακούσαις μικρῷ μέρει τῶν προηττηθέντων οὐ μόνον τὴν πολιορκήσασαν δύναμιν ἐχειρώσαντο τῶν Καρχηδονίων, ἀλλὰ καὶ τὸν στρατηγὸν Ἀμίλκαν, ἐπιφανέστατον ὄντα τῶν πολιτῶν, ἐζώγρησαν,

3. Χεῤῥονήσῳ] libri Χεῤῥοννήσῳ libri Λυσιμαχίαν 4. καλέσας om. TX Bas., asterisco notavit Stephanus 6. Ἀρεὺς Ios. Scaliger: libri Ἀρέτας praeter FW, qui Ἀρέον

426. 7. τέτταρα] τέσσαρα libri, ut mox τεσσαράκοντα, δ—μ Bas. 12. σιτοπομπίαν F, caeteri σιτοπομπείαν 13. θαλαττ.] libri θαλασσ. 23. Εὐρύηλον F, caeteri Εὐρύκλον 26. αὐτὸν FW, caeteri ἑαυτὸν 28. εἰληφὼς] προειληφὼς FQW, i. e. παρειληφὼς τὸ] τὸ δὲ Bas. 30. τὴν om. F 31. ἐκτὸς] ἔξω FW 34. ὧν] οὗ FW 36. τραχειῶν] τραχέων FW Bas.



40. ἐγγενομένης] ἐγγινομένης FW 47. ἐπιόντας] παρεπιόντας FQW καταλαβόντες] καταλαμβάνοντες F 51. ὑπελήφθησαν] ὑπείληφον FW 53. δὲ — 54. μάλιστα servarunt QTWY, et qui δὲ διὰ τῶν F 55. στενοχωρίαν] στενοχωρούμενοι καὶ QX 59. πολέμιοι] οἱ πολέμιοι F 61. αὐτὸν] ἑαυτὸν F

427. 64. μονωθεὶς Sintenis: libri μόγις σωθεὶς 70. τὸν] τὴν F 72. στρατιᾶς F, caeteri στρατείας 73. ἀπολῃφθέντες] ἀπολειφθέντες FW 75. πολιορκήσασαν] πολιορκοῦσαν FQW 76. Ἀμίλκαν] τὸν Ἀμίλκαν Bas.

καὶ τὸ θαυμασιώτατον, δώδεκα μυριάδας πεζῶν καὶ πεντακιςχιλίους ἱππεῖς ὀλίγος ἀριθμὸς πολεμίων προςλαβόμενος ἀπάτην καὶ τόπον κατὰ κράτος ἥττησεν, ὥςτ᾽ ἀληθὲς εἶναι τὸ λεγόμενον ὅτι πολλὰ τὰ κενὰ τοῦ πολέμου. μετὰ δὲ τὴν τροπὴν οἱ μὲν Καρχηδόνιοι ἄλλος κατ᾽ ἄλλους τόπους διασπαρέντες μόγις εἰς τὴν ὑστεραίαν ἠθροίσθησαν. οἱ δὲ Συρακόσιοι μετὰ λαφύρων πολλῶν ἐπανελθόντες εἰς τὴν πόλιν τὸν Ἀμίλκαν παρέδοσαν τοῖς βουλομένοις λαμβάνειν παρ᾽ αὐτοῦ τιμωρίαν· ἀνεμιμνήσκοντο δὲ καὶ τῆς τοῦ μάντεως φωνῆς, ὃς ἔφησεν αὐτὸν εἰς τὴν ὑστεραίαν εἰς Συρακούσας δειπνήσειν, τοῦ δαιμονίου παραγαγόντος τἀληθές. τὸν δ᾽ οὖν Ἀμίλκαν οἱ τῶν ἀπολωλότων συγγενεῖς δεδεμένον ἀγαγόντες διὰ τῆς πόλεως, καὶ δειναῖς αἰκίαις κατ᾽ αὐτοῦ χρησάμενοι, μετὰ τῆς ἐσχάτης ὕβρεως ἀνεῖλον. εἶθ᾽ οἱ μὲν τῆς πόλεως προεστηκότες ἀποκόψαντες αὐτοῦ τὴν κεφαλὴν ἀπέστειλαν τοὺς κομιοῦντας εἰς τὴν Λιβύην πρὸς Ἀγαθοκλέα καὶ περὶ τῶν γεγονότων εὐτυχημάτων ἀπαγγελοῦντας.

**31** Ἡ δὲ τῶν Καρχηδονίων στρατιὰ μετὰ τὴν γενομένην συμφορὰν μαθοῦσα τὴν αἰτίαν τῶν ἀτυχημάτων μόγις ἀπηλλάγη τῶν φόβων. ἀναρχίας δ᾽ οὔσης διέστησαν οἱ βάρβαροι πρὸς τοὺς Ἕλληνας. οἱ μὲν οὖν φυγάδες μετὰ τῶν λοιπῶν Ἑλλήνων Δεινοκράτην στρατηγὸν ἀπέδειξαν, οἱ δὲ Καρχηδόνιοι τοῖς δευτερεύουσι μετὰ τὸν στρατηγὸν τῇ τιμῇ τὴν ἡγεμονίαν ἐνεχείρισαν. καθ᾽ ὃν δὴ χρόνον Ἀκραγαντῖνοι θεωροῦντες τὴν ἐν Σικελίᾳ κατάστασιν εὐφυεστάτην οὖσαν πρὸς ἐπίθεσιν, ἠμφιςβήτησαν τῆς κατὰ τὴν νῆσον ἡγεμονίας. ὑπελάμβανον γὰρ Καρχηδονίους μὲν μόγις ἀνθέξειν τῷ πρὸς Ἀγαθοκλέα πολέμῳ, Δεινοκράτην δ᾽ εὐκαταγώνιστον εἶναι, συνηθροικότα φυγαδικὴν στρατιάν, τοὺς δ᾽ ἐν ταῖς Συρακούσαις θλιβομένους τῇ σιτοδείᾳ μηδ᾽ ἐγχειρήσειν ἀμφιςβητεῖν τῶν πρωτείων, τὸ δὲ μέγιστον, τὴν στρατείαν αὐτῶν ποιουμένων ἐπ᾽ ἐλευθερώσει τῶν πόλεων, ἀσμένως ἅπαντας ὑπακούσεσθαι διά τε τὸ πρὸς τοὺς βαρβάρους μῖσος καὶ διὰ τὴν ἔμφυτον πᾶσιν ἐπιθυμίαν

80. ἀπάτην καὶ τόπον] ἀπάτῃ καὶ φόβῳ W, ἀπάτῃ καὶ τόπῳ F κατὰ κράτος] ἀπὸ κράτους FW 82. μὲν om. F 85. Συρακόσιοι Bas. λαφύρων πολλῶν] invertit F 91. διὰ] ἐπὶ F 93. μὲν] τε F 100. φόβων] πόνων W et qui alterum γρ. in margine ponit F 4. libri τῇ μετὰ τὸν στρατηγὸν τιμῇ 8. μόγις] μόλις F 13. αὐτῶν] ἑαυτῶν Bas. 14. ὑπακούσεσθαι] ἐπακούσασθαι F (ε)



428 τῆς αὐτονομίας. οὗτοι μὲν οὖν ἑλόμενοι στρατηγὸν Ξενόδικον, καὶ τὴν ἁρμόζουσαν δόντες δύναμιν, ἐξέπεμψαν ἐπὶ τὸν πόλεμον. ὁ δὲ παραχρῆμα ἐπὶ τὴν Γέλαν ὁρμήσας, καὶ διά τινων ἰδιοξένων νυκτὸς εἰςαχθείς, ἐκυρίευσε τῆς πόλεως ἅμα καὶ δυνάμεως ἁδρᾶς καὶ χρημάτων. ἐλευθερωθέντες οὖν οἱ Γελῷοι προθυμότατα πανδημεὶ συστρατεύοντες ἠλευθέρουν τὰς πόλεις. διαβοηθείσης δὲ τῆς τῶν Ἀκραγαντίνων ἐπιβολῆς κατὰ πᾶσαν τὴν νῆσον, ἐνέπεσεν ὁρμὴ ταῖς πόλεσι πρὸς τὴν ἐλευθερίαν. καὶ πρῶτοι μὲν Ἐνναῖοι πέμψαντες τὴν πόλιν τοῖς Ἀκραγαντίνοις παρέδωκαν· οἱ δὲ ταύτην ἐλευθερώσαντες παρῆλθον ἐπὶ τὸν Ἐρβησσόν, φρουρᾶς ἐν αὐτῷ παραφυλαττούσης τὴν πόλιν. γενομένης δὲ μάχης ἰσχυρᾶς, καὶ τῶν πολιτικῶν συνεργησάντων, συνέβη τὴν φρουρὰν ἁλῶναι, καὶ πολλοὺς μὲν πεσεῖν τῶν βαρβάρων, εἰς πεντακοσίους δὲ θεμένους τὰ ὅπλα παραδοῦναι σφᾶς αὐτούς.

**32** Περὶ ταῦτα δ᾽ ὄντων τῶν Ἀκραγαντίνων τῶν ἐν ταῖς Συρακούσαις καταλελειμμένων στρατιωτῶν ὑπ᾽ Ἀγαθοκλέους καταλαβόμενοί τινες τὴν Ἔχετλαν ἐπόρθουν τήν τε Λεοντίνην καὶ Καμαριναίαν. κακῶς οὖν πασχουσῶν τῶν πόλεων διὰ τὸ τὴν χώραν δῃοῦσθαι καὶ τοὺς καρποὺς ἅπαντας διαφθείρεσθαι, ἐμβαλὼν εἰς τοὺς τόπους ὁ Ξενόδικος Λεοντίνους μὲν καὶ Καμαριναίους ἀπήλλαξε τοῦ πολέμου, τὴν δ᾽ Ἔχετλαν χωρίον ὀχυρὸν ἐκπολιορκήσας τοῖς μὲν πολίταις τὴν δημοκρατίαν ἀποκατέστησε, τοὺς δὲ Συρακοσίους κατεπλήξατο· καθόλου δ᾽ ἐπιπορευόμενος τά τε φρούρια καὶ τὰς πόλεις ἠλευθέρου τῆς τῶν Καρχηδονίων ἐπιστασίας. ἅμα δὲ τούτοις πραττομένοις Συρακόσιοι πιεζόμενοι τῇ σιτοδείᾳ, καὶ πυνθανόμενοι σιτηγὰ πλοῖα μέλλοντα ποιεῖσθαι πλοῦν ἐπὶ Συρακούσας, ἐπλήρουν τριήρεις εἴκοσι. τηρήσαντες δὲ τοὺς ἐφορμεῖν εἰωθότας βαρβάρους ἀφυλάκτους ὄντας ἔλαθον ἐκπλεύσαντες, καὶ παρακομισθέντες εἰς τοὺς Μεγαρεῖς ἐπετήρουν τὸν τῶν ἐμπόρων κατάπλουν. μετὰ δὲ ταῦτα τῶν Καρχηδονίων τριάκοντα ναυσὶν ἐκπλευσάντων ἐπ᾽ αὐτούς, τὸ μὲν πρῶτον ἐπεβάλοντο ναυμαχεῖν· ταχὺ δὲ πρὸς τὴν γῆν ἐκδιωχθέν-

428. 17. Ξενόδικον X, caeteri Ξενόκιδον 23. συστρατεύοντες] συστρατεύσαντες FW 28. Ἐρβησσόν] Ἐρεβησσόν Bas. 29. ἐν] οὖν ἐν Bas. 30. πολιτικῶν] πολιτῶν QW 34. τῶν om. F 36. 41. Ἔχετλαν] libri Ἐχέτλαν 37. τήν τε Λεοντίνην] ταύτην καὶ Νεατίνην QW, et qui τε καὶ F 40. Λεοντίνους] Νεατίνους FQW 48. μέλλοντα] μέλλειν FW 49. ἐπλήρουν] ἐπλήρωσαν Y 54. ἐπεβάλοντο] ἐπεβάλλοντο F

τες ἐξεκολύμβησαν πρός τινα ναὸν τῆς Ἥρας. γενομένης οὖν μάχης περὶ τῶν σκαφῶν, καὶ τῶν Καρχηδονίων ἐπιβαλλόντων σιδηρᾶς χεῖρας καὶ βιαιότερον ἀποσπώντων ἀπὸ τῆς γῆς, δέκα μὲν τριήρεις ἑάλωσαν· τὰς δ' ἄλλας ἐκ τῆς πόλεως ἐπιβοηθήσαντές τινες διέσωσαν. καὶ τὰ μὲν περὶ Σικελίαν ἐν τούτοις ἦν.

33 Περὶ δὲ τὴν Λιβύην Ἀγαθοκλῆς, ἐπειδὴ κατέπλευσαν οἱ τὴν Ἀμίλκα κεφαλὴν κομίζοντες, ἀναλαβὼν ταύτην καὶ παριππεύσας πλησίον τῆς παρεμβολῆς τῶν πολεμίων εἰς φωνῆς ἀκοήν, ἔδειξε τοῖς πολεμίοις καὶ τὴν τῶν στρατοπέδων ἧτταν διεσάφησεν. οἱ δὲ Καρχηδόνιοι περιαλγεῖς γενόμενοι, καὶ βαρβαρικῶς προςκυνήσαντες, συμφορὰν ἑαυτῶν ἐποιοῦντο τὸν τοῦ βασιλέως θάνατον, 429 καὶ πρὸς τὸν ὅλον πόλεμον ἄθυμοι καθειστήκεισαν. οἱ δὲ περὶ τὸν Ἀγαθοκλέα τοῖς περὶ Λιβύην προτερήμασιν ἐπαρθέντες, τηλικούτων εὐτυχημάτων προςγενομένων μετέωροι ταῖς ἐλπίσιν ἐγενήθησαν, ὡς ἀπηλλαγμένοι τῶν δεινῶν. οὐ μὴν ἡ τύχη γε εἴασε τὴν εὔροιαν μένειν ἐπὶ τῆς αὐτῆς τάξεως, ἀλλ' ἐκ τῶν ἰδίων στρατιωτῶν τῷ δυνάστῃ τοὺς μεγίστους ἐπήνεγκε κινδύνους. Λυκίσκος γάρ τις τῶν ἐφ' ἡγεμονίᾳ τεταγμένων παραληφθεὶς ὑπ' Ἀγαθοκλέους ἐπὶ τὸ δεῖπνον οἰνωθεὶς ἐβλασφήμει τὸν δυνάστην. ὁ μὲν οὖν Ἀγαθοκλῆς διὰ τὰς ἐν τῷ πολέμῳ χρείας ἀποδεχόμενος τὸν ἄνδρα, τῇ παιδιᾷ τὰ πρὸς πικρίαν λεγόμενα διέσυρεν· ὁ δ' υἱὸς Ἀρχάγαθος χαλεπῶς φέρων ἐπετίμα τε καὶ διηπειλεῖτο. διαλυθέντος δὲ τοῦ πότου καὶ πρὸς τὴν σκηνὴν ἀπιόντων ἐλοιδόρησεν ὁ Λυκίσκος τὸν Ἀρχάγαθον εἰς τὴν τῆς μητρυιᾶς μοιχείαν· ἐδόκει γὰρ ἔχειν λάθρᾳ τοῦ πατρὸς τὴν Ἀλκίαν· τοῦτο γὰρ ἦν ὄνομα τῇ γυναικί. ὁ δ' Ἀρχάγαθος εἰς ὀργὴν ὑπερβάλλουσαν προαχθείς, καὶ παρά τινος τῶν ὑπασπιστῶν ἁρπάσας σιβύνην, διήλασε διὰ τῶν πλευρῶν. τοῦτον μὲν οὖν παραχρῆμα τελευτήσαντα πρὸς τὴν ἰδίαν ἀπήνεγκαν σκηνὴν οἷς ἦν ἐπιμελές· ἅμα δ' ἡμέρᾳ συνελθόντες οἱ τοῦ φονευθέντος φίλοι καὶ πολλοὶ τῶν ἄλλων στρατιωτῶν συνδραμόντες ἠγανάκτουν ἐπὶ τοῖς πραχθεῖσι καὶ θορύβου τὴν παρεμβολὴν ἐπλήρωσαν. πολλοὶ

56. ἐκολύμβησαν F τῆς Ἥρας] Ἥρας T Bas. 58.
ἐπιβαλλόντων] ἐπιβαλόντων F 61. διέσωσαν] ἔσωσαν
F 65. παριππεύσας] περιππεύσας F, περιιππεύσας W
τῆς παρεμβολῆς om. TX Bas., asterisco notavit Stephanus
69. ἐποιοῦντο] ἐποίησαν W, ἐποιήσαντο F
429. 75. εὔροιαν] εὔνοιαν Q Bas. 81. τῷ πολέμῳ]
πολέμῳ Bas. 84. τε om. F 87. Ἀλκίαν] ἀλκείαν F
92. οἷς ἦν ἐπιμελὲς om. X, asterisco notavit Stephanus
96. ἐπλήρωσαν FTWY Bas., caeteri ἐπλήρουν



δὲ καὶ τῶν ἐφ' ἡγεμονίας τεταγμένων, ἐν ἐγκλήμασιν ὄντες καὶ φοβούμενοι περὶ σφῶν αὐτῶν, συνεπιθέμενοι τῷ καιρῷ στάσιν οὐ τὴν τυχοῦσαν ἐξέκαυσαν· παντὸς δὲ τοῦ στρατεύματος μισοπονηροῦντος ἕκαστοι τὰς πανοπλίας ἀνελάμβανον ἐπὶ τὴν τοῦ φονεύσαντος τιμωρίαν· καὶ πέρας τὸ πλῆθος ᾤετο δεῖν Ἀρχάγαθον ἀναιρεῖσθαι, μὴ ἐκδιδόντος δὲ τὸν υἱὸν Ἀγαθοκλέους αὐτὸν ἀντ' ἐκείνου τὴν τιμωρίαν ὑπέχειν. ἀπῄτουν δὲ καὶ τοὺς μισθοὺς τοὺς ὀφειλομένους, καὶ στρατηγοὺς ᾑροῦντο τοὺς ἀφηγησομένους τοῦ στρατοπέδου, καὶ τὸ τελευταῖον τὰ τείχη κατελαμβάνοντό τινες τοῦ Τύνητος καὶ πανταχόθεν φυλακαῖς περιέλαβον τοὺς δυνάστας.

34 Οἱ δὲ Καρχηδόνιοι γνόντες τὴν παρὰ τοῖς πολεμίοις στάσιν, ἔπεμψάν τινας ἀξιοῦντες μεταβαλέσθαι, καὶ τούς τε μισθοὺς μείζους καὶ δωρεὰς ἀξιολόγους δώσειν ἐπηγγέλλοντο. πολλοὶ μὲν οὖν τῶν ἡγεμόνων ἀπάξειν πρὸς αὐτοὺς τὴν στρατιὰν ἐπηγγείλαντο. ὁ δ' Ἀγαθοκλῆς ὁρῶν τὴν σωτηρίαν ἐπὶ ῥοπῆς κειμένην, καὶ φοβούμενος μὴ τοῖς πολεμίοις παραδοθεὶς μεθ' ὕβρεως καταστρέψῃ τὸν βίον, ὑπέλαβε κρεῖττον εἶναι, κἂν δέῃ τι πάσχειν, ὑπὸ τῶν στρατιωτῶν ἀποθανεῖν. διόπερ ἀποθέμενος τὴν πορφύραν καὶ μεταλαβὼν ἰδιωτικὴν καὶ ταπεινὴν ἐσθῆτα παρῆλθεν εἰς τὸ μέσον. σιωπῆς οὖν γενομένης διὰ τὸ παράδοξον καὶ πολλῶν γενομένων τῶν 430 συνδραμόντων, διεξῆλθε λόγους οἰκείους τῆς περιστάσεως, καὶ τῶν προκατεργασθεισῶν αὐτῷ πράξεων ἀναμνήσας ἔφησεν ἕτοιμος εἶναι τελευτᾶν, εἰ τοῦτο δόξει συμφέρειν τοῖς συστρατευομένοις. οὐδέποτε γὰρ αὐτὸν δειλίᾳ συνεσχημένον ὑπομεῖναί τι παθεῖν ἄτοπον ἕνεκα τοῦ φιλοψυχεῖν· καὶ τούτου μάρτυρας ἐκείνους ὑπάρχειν ἀποφαινόμενος ἐγύμνωσε τὸ ξίφος, ὡς σφάξων ἑαυτόν. μέλλοντος δ' ἐπιφέρειν πληγὴν ἀνεβόησε τὸ στρατόπεδον διακωλῦον, καὶ πανταχόθεν ἐγίνοντο φωναὶ τῶν ἐγκλημάτων ἀπολύουσαι. προςτάττοντος δὲ τοῦ πλήθους ἀναλαβεῖν τὴν βασιλικὴν ἐσθῆτα, δακρύων καὶ τοῖς ὄχλοις εὐχαριστῶν ἐνεδύετο τὸν προςήκοντα κόσμον, τοῦ πλήθους τὴν ἀποκατάστασιν κρότῳ παραμυθησαμέ-

97. ἡγεμονίας] ἡγεμονίαις T, ἡγεμονίᾳ FW 4. ἀντ'] ὑπὲρ
FW ὑπέχειν] παρασχεῖν F 11. μεταβαλέσθαι] με-
ταβάλλεσθαι F 12. δωρεὰς W, caeteri τὰς δωρεὰς
18. εἶναι om. W κἂν] immo ἐὰν vel ἂν
430. 24. προκατεργασθεισῶν] libri προκατεργασθέντων
25. εἰς τοῦτο δόξαι F 26. συμφέρειν om. FW, aste-
risco notavit Stephanus 28. ἕνεκα] ἕνεκεν F 35.
ἐνεδύετο] ἐνεδέδυτο FW

νου. τῶν δὲ Καρχηδονίων καραδοκούντων ὡς αὐτίκα μάλα τῶν Ἑλλήνων πρὸς αὐτοὺς μεταθησομένων, Ἀγαθοκλῆς οὐ παρεὶς τὸν καιρὸν ἐξήγαγεν ἐπ' αὐτοὺς τὴν δύναμιν. οἱ μὲν οὖν βάρβαροι νομίζοντες τοὺς ἐναντίους ἀποχωρεῖν πρὸς αὐτούς, οὐδεμίαν τῶν πρὸς ἀλήθειαν πεπραγμένων ἔννοιαν ἐλάμβανον. ὁ δ' Ἀγαθοκλῆς ὡς ἐπλησίασε τοῖς πολεμίοις, ἄφνω τὸ πολεμικὸν προσέταξε σημαίνειν, καὶ προσπεσὼν πολὺν ἐποίει φόνον. οἱ δὲ Καρχηδόνιοι παραδόξῳ συμπτώματι περιπεσόντες καὶ πολλοὺς τῶν στρατιωτῶν ἀποβαλόντες συνέφυγον εἰς τὴν παρεμβολήν. Ἀγαθοκλῆς μὲν οὖν διὰ τὸν υἱὸν εἰς τοὺς ἐσχάτους ἐλθὼν κινδύνους διὰ τῆς ἰδίας ἀρετῆς οὐ μόνον λύσιν εὗρε τῶν κακῶν, ἀλλὰ καὶ τοὺς πολεμίους ἠλάττωσεν. οἱ δὲ τῆς στάσεως μάλιστα αἴτιοι γενόμενοι καὶ τῶν ἄλλων ὅσοι πρὸς τὸν δυνάστην ἀλλοτρίως διέκειντο, ὑπὲρ τοὺς διακοσίους ὄντες, ἐτόλμησαν πρὸς τοὺς Καρχηδονίους αὐτομολῆσαι.

Ἡμεῖς δὲ τὰ περὶ Λιβύην καὶ Σικελίαν διεληλυθότες
35 μνησθησόμεθα καὶ τῶν ἐν Ἰταλίᾳ πραχθέντων. τῶν γὰρ Τυῤῥηνῶν στρατευσάντων ἐπὶ πόλιν Σούτριον ἄποικον Ῥωμαίων, οἱ μὲν ὕπατοι δυνάμεσιν ἁδραῖς ἐκβοηθήσαντες ἐνίκησαν μάχῃ τοὺς Τυῤῥηνοὺς καὶ συνεδίωξαν εἰς τὴν παρεμβολήν. οἱ δὲ Σαμνῖται κατὰ τοῦτον τὸν χρόνον, μακρὰν ἀπηρτημένης τῆς Ῥωμαίων δυνάμεως, ἀδεῶς ἐπόρθουν τῶν Ἰαπύγων τοὺς τὰ Ῥωμαίων φρονοῦντας. διόπερ ἠναγκάσθησαν οἱ ὕπατοι διαιρεῖν τὰς δυνάμεις, καὶ Φάβιος μὲν ἐν τῇ Τυῤῥηνίᾳ κατέμεινε, ὁ δὲ Μάρκιος ἐπὶ τοὺς Σαμνίτας ἀναζεύξας Ἀλλίφας μὲν πόλιν εἷλε κατὰ κράτος, τοὺς δὲ πολιορκουμένους τῶν συμμάχων ἐκ τῶν κινδύνων ἐῤῥύσατο. ὁ δὲ Φάβιος, Τυῤῥηνῶν πολλοῖς πλήθεσιν ἐπὶ τὸ Σούτριον συνδραμόντων, ἔλαθε τοὺς 431 πολεμίους διὰ τῆς τῶν ὁμόρων χώρας ἐμβαλὼν εἰς τὴν ἀνωτέρω Τυῤῥηνίαν, ἀπόρθητον γενομένην πολλῶν χρόνων. ἐπιπεσὼν δ' ἀνελπίστως τῆς τε χώρας πολλὴν ἐδῄωσε καὶ τοὺς ἐπελθόντας τῶν ἐγχωρίων νικήσας πολλοὺς μὲν ἀνεῖλεν, οὐκ ὀλίγους δὲ καὶ ζῶντας ὑποχειρίους ἔλαβε. μετὰ δὲ ταῦτα περὶ τὴν καλουμένην Περουσίαν δευτέρᾳ μάχῃ τῶν Τυῤῥηνῶν κρατήσας, πολλοὺς ἀνελὼν κατεπλήξατο τὸ ἔθνος, πρῶτος Ῥωμαίων μετὰ δυνάμεως ἐμβεβληκὼς εἰς τοὺς τόπους τούτους. καὶ πρὸς μὲν Ἀῤῥητίνους καὶ Κροτωνιάτας ἔτι δὲ Περυσίνους ἀνοχὰς ἐποιήσατο· πόλιν δὲ τὴν ὀνομαζομένην Καστόλαν ἐκπολιορκήσας συνηνάγκασε τοὺς Τυῤῥηνοὺς λῦσαι τὴν τοῦ Σουτρίου πολιορκίαν.

Ἐν δὲ τῇ Ῥώμῃ κατὰ τοῦτον τὸν ἐνιαυτὸν τιμητὰς 36
εἵλοντο· καὶ τούτων ὁ ἕτερος Ἄππιος Κλαύδιος ὑπήκοον ἔχων τὸν συνάρχοντα Λεύκιον Πλαύτιον πολλὰ τῶν πατρῴων νομίμων ἐκίνησε· τῷ δήμῳ γὰρ τὸ κεχαρισμένον ποιῶν οὐδένα λόγον ἐποιεῖτο τῆς συγκλήτου. καὶ πρῶτον μὲν τὸ καλούμενον Ἄππιον ὕδωρ ἀπὸ σταδίων ὀγδοήκοντα κατήγαγεν εἰς τὴν Ῥώμην καὶ πολλὰ τῶν δημοσίων χρημάτων εἰς ταύτην τὴν κατασκευὴν ἀνήλωσεν ἄνευ δόγματος τῆς συγκλήτου· μετὰ δὲ ταῦτα τῆς ἀφ' ἑαυτοῦ κληθείσης Ἀππίας ὁδοῦ τὸ πλεῖον μέρος λίθοις στερεοῖς κατέστρωσεν ἀπὸ Ῥώμης μέχρι Καπύης, ὄντος τοῦ διαστήματος σταδίων πλειόνων ἢ χιλίων, καὶ τῶν τόπων τοὺς μὲν ὑπερέχοντας διασκάψας, τοὺς δὲ φαραγγώδεις ἢ κοίλους ἀναλήμμασιν ἀξιολόγοις ἐξισώσας, κατηνάλωσεν ἁπάσας τὰς δημοσίας προσόδους, αὐτοῦ δὲ μνημεῖον ἀθάνατον κατέλιπεν, εἰς κοινὴν εὐχρηστίαν φιλοτιμηθείς. κατέμιξε δὲ καὶ τὴν σύγκλητον, οὐ τοὺς εὐγενεῖς καὶ προέχοντας τοῖς ἀξιώμασι προσγράφων μόνους, ὡς ἦν ἔθος, ἀλλὰ πολλοὺς καὶ τῶν ἀπελευθέρων υἱοὺς ἀνέμιξεν· ἐφ' οἷς βαρέως ἔφερον οἱ καυχώμενοι ταῖς εὐγενείαις. ἔδωκε δὲ τοῖς πολίταις καὶ τὴν ἐξουσίαν ὅποι προαιροῖντο τιμήσασθαι·

38. μεταθησομένων] μεταβησομένων FQW, caeteri μετατεθησομένων: conf. ad p. 308. 32. 48. ἐλθὼν κινδύνους] invertit F 60. σαυνῖται F: sic et 65. 61. ἀπηρτημένης] ἀπηρτημένοι (ης) F 64. τῇ Τυῤῥηνίᾳ] Τυῤῥηνίᾳ Bas. 65. δὲ Μάρκιος] Μάρκος δὲ Bas. 66. Ἀλλίφας] ἀλλείφας F 67. τοὺς δὲ π. τῶν συμμάχων] καὶ πολιορκουμένους τοὺς συμμάχους FW 431. 70. ὁμόρων] ὁμοάρχων, et in marg. ὁμόρων κάλλιον F 71. ἀνωτέρω] ἀνωτέραν Bas. ἐμβαλὼν] legebatur συνεμβαλὼν 71. γενομένην] γεγενημένην FW

74. ἀνελὼν F 79. τοὺς om. Bas. 80. libri Ἀῤῥητινοὺς et Περυσινοὺς, περυσίους F 86. Πλαύτιον Rhodomannus: libri Κλαύδιον 94. πλεῖον] πλείω T Bas. 96. ἢ om. Bas. 97. ὑπερέχοντας] ὑπάρχοντας Bas. 98. ἀναλήμμασιν] ἀναλώμασιν FW 99. ἐξισώσας] ἐξισάζων F 1. κατέμιξε] κατέλυσε (μιξε) F 3. μόνους om. Bas., asterisco notavit Stephanus, μόνον FW ἔθος] ἦθος F 4. υἱοὺς Oudendorpius ad Suetonium p. 603.: libri ἐνίους 6. δὲ W Bas., caeteri addunt καὶ, quod asterisco notavit Stephanus ἐξουσίαν ἐν ὁποίᾳ τις βούλεται φυλῇ τάττεσθαι καὶ τὴν ἐξουσίαν ὅποι προαιροῖντο τιμήσασθαι] ad haec ex F notatum habeo: ἐξουσίαν ὅποι προαιροῖντο τιμήσασθαι, ut mediis carere videatur: ἐξουσίαν ὅποι προαιροῖντο τιμήσασθαι καὶ ἐν ὁποίᾳ τις βούλεται φυλῇ τάττεσθαι QW, quae mihi infelix esse coniectura videtur eius qui non videret ἐξουσίαν — τάττεσθαι tollenda potius esse ὅποι] praestat, opinor, ὅπου

τὸ δ' ὅλον, ὁρῶν τεθησαυρισμένον κατ' αὐτοῦ παρὰ τοῖς ἐπιφανεστάτοις τὸν φθόνον, ἐξέκλινε τὸ προσκόπτειν τισὶ τῶν ἄλλων πολιτῶν, ἀντίταγμα κατασκευάζων τῇ τῶν εὐγενῶν ἀλλοτριότητι τὴν παρὰ τῶν πολλῶν εὔνοιαν. καὶ κατὰ μὲν τὴν τῶν ἱππέων δοκιμασίαν οὐδενὸς ἀφείλετο τὸν ἵππον, κατὰ δὲ τὴν τῶν συνέδρων καταγραφὴν οὐδένα τῶν ἀδοξούντων συγκλητικῶν ἐξέβαλεν, ὅπερ ἦν ἔθος ποιεῖν τοῖς τιμηταῖς. εἶθ' οἱ μὲν ὕπατοι διὰ τὸν φθόνον καὶ διὰ τὸ βούλεσθαι τοῖς 432
ἐπιφανεστάτοις χαρίζεσθαι συνῆγον τὴν σύγκλητον οὐ τὴν ὑπὸ τούτου καταλεγεῖσαν, ἀλλὰ τὴν ὑπὸ τῶν προγεγενημένων τιμητῶν καταγραφεῖσαν. ὁ δὲ δῆμος τούτοις μὲν ἀντιπράττων, τῷ δὲ Ἀππίῳ συμφιλοτιμούμενος καὶ τὴν τῶν συγγενῶν προαγωγὴν βεβαιῶσαι βουλόμενος, ἀγορανόμον εἵλετο τῆς ἐπιφανεστέρας ἀγορανομίας υἱὸν ἀπελευθέρου Γναῖον Φλάβιον, ὃς πρῶτος Ῥωμαίων ἔτυχε ταύτης τῆς ἀρχῆς πατρὸς ὢν δεδουλευκότος. ὁ δ' Ἄππιος τῆς ἀρχῆς ἀπολυθείς, καὶ τὸν ἀπὸ τῆς συγκλήτου φθόνον εὐλαβηθείς, προσεποιήθη τυφλὸς εἶναι καὶ κατ' οἰκίαν ἔμενεν.

37 Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Χαρίνου Ῥωμαῖοι μὲν τὴν ὕπατον ἀρχὴν παρέδοσαν Ποπλίῳ Δεκίῳ καὶ Κοΐντῳ Φαβίῳ, παρὰ δὲ τοῖς Ἠλείοις Ὀλυμπιὰς ἤχθη ὀγδόη πρὸς ταῖς ἑκατὸν δέκα, καθ' ἣν ἐνίκα στάδιον Ἀπολλωνίδης Τεγεάτης. κατὰ δὲ τούτους τοὺς χρόνους Πτολεμαῖος μὲν ἐκ τῆς Μύνδου πλεύσας ἁδρῷ στόλῳ διὰ νήσων ἐν παράπλῳ τὴν Ἄνδρον ἠλευθέρωσε καὶ τὴν φρουρὰν ἐξήγαγε. κομισθεὶς δ' ἐπὶ τὸν Ἰσθμὸν Σικυῶνα καὶ Κόρινθον παρέλαβε παρὰ Κρατησιπόλεως· τὰς δ' αἰτίας δι' ἃς ἐκυρίευσε πόλεων ἐπιφανῶν προδεδηλωκότες ἐν ταῖς πρὸ ταύτης βίβλοις τὸ διλογεῖν ὑπὲρ τῶν αὐτῶν παρήσομεν. ἐπεβάλετο μὲν οὖν καὶ τὰς ἄλλας Ἑλληνίδας πόλεις Πτολεμαῖος ἐλευθεροῦν, μεγάλην προσθήκην ἡγούμενος ἔσεσθαι τοῖς ἰδίοις πράγμασι τὴν τῶν

9. παρὰ τοῖς ἐπιφανεστάτοις om. F 13. ἀφείλετο] ἀφείλατο F 15. ποιεῖν om. T Bas. 16. εἶθ' Y Bas., caeteri καὶ γὰρ
432. 17. συνῆγον τὴν FW, caeteri συνῆγον εἰς τὴν 18. τούτου] τούτων FW καταλεγεῖσαν] καταλλαγεῖσαν Bas. 22. συγγενῶν] δυςγενῶν FQW ἀγορανόμον] ἀγορανομεῖν FW 23. εἵλετο] εἵλατο FW 24. Γναῖον QT Bas., caeteri γναίον Φλάβιον F, caeteri Φλάνιον 30. ὕπατον] ὑπατικὴν W 33. Ἀπολλωνίδης Τεγεάτης om. T Bas. 41. ἐπεβάλετο] ἐπεβάλλετο F Ἑλληνίδας] τὰς κατὰ τὴν Ἑλλάδα FQW



Ἑλλήνων εὔνοιαν· ἐπεὶ δὲ οἱ Πελοποννήσιοι συνταξάμενοι χορηγήσειν σῖτον καὶ χρήματα τῶν ὡμολογημένων οὐδὲν συνετέλουν, ἀγανακτήσας ὁ δυνάστης πρὸς μὲν Κάσσανδρον εἰρήνην ἐποιήσατο, καθ' ἣν ἑκατέρους ἔδει κυριεύειν τῶν πόλεων ὧν εἶχον· τὴν δὲ Σικυῶνα καὶ Κόρινθον ἀσφαλισάμενος φρουρᾷ διῆρεν εἰς τὴν Αἴγυπτον. ἅμα δὲ τούτοις πραττομένοις Κλεοπάτρα τῷ μὲν Ἀντιγόνῳ προσκόπτουσα, τῇ δ' αἱρέσει πρὸς τὸν Πτολεμαῖον ἀποκλίνουσα, προῆγεν ἐκ Σάρδεων, ὡς διακομισθησομένη πρὸς ἐκεῖνον. ἦν δὲ ἀδελφὴ μὲν Ἀλεξάνδρου τοῦ Πέρσας καταπολεμήσαντος, θυγάτηρ δὲ Φιλίππου τοῦ Ἀμύντου, γυνὴ δὲ γεγενημένη τοῦ εἰς Ἰταλίαν στρατεύσαντος Ἀλεξάνδρου. διὰ τὴν ἐπιφάνειαν οὖν τοῦ γένους οἱ περὶ Κάσσανδρον καὶ Λυσίμαχον ἔτι δὲ Ἀντίγονον καὶ Πτολεμαῖον καὶ καθόλου πάντες οἱ μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν ἀξιολογώτατοι τῶν ἡγεμόνων ταύτην ἐμνήστευον. ἕκαστος γὰρ τούτῳ τῷ γάμῳ συνακολουθήσειν Μακεδόνας ἐλπίζων ἀντείχετο τῆς βασιλικῆς οἰκίας, ὡς τὴν τῶν ὅλων ἀρχὴν περιστήσων εἰς ἑαυτόν. ὁ δὲ ἐπιμελητὴς τῶν Σάρδεων ἔχων παράγγελμα παρ' Ἀντιγόνου τηρεῖν τὴν Κλεοπάτραν, διεκώλυεν αὐτῆς τὴν ἔξοδον· ὕστερον δὲ προστάξαντος τοῦ δυνάστου διά τινων γυναικῶν ἐδολοφόνησεν. ὁ δ' Ἀντίγονος οὐ βουλόμενος λέγεσθαι κατ' αὐτοῦ περὶ τῆς ἀναιρέσεως, τῶν γυναικῶν τινας ἐκόλασεν ὡς ἐπιβεβουλευ-
433 κυίας καὶ τὰ περὶ τὴν ἐκφορὰν βασιλικῶς ἐφιλοκάλησε. Κλεοπάτρα μὲν οὖν περιμάχητος γενομένη παρὰ τοῖς ἐπιφανεστάτοις ἡγεμόσι, πρὸ τοῦ συντελεσθῆναι τὸν γάμον τοιαύτης ἔτυχε καταστροφῆς.

Ἡμεῖς δὲ διεληλυθότες τὰ κατὰ τὴν Ἀσίαν καὶ τὴν Ἑλλάδα μεταβιβάσομεν τὸν λόγον ἐπὶ τὰ ἄλλα μέρη τῆς
οἰκουμένης. κατὰ γὰρ τὴν Λιβύην Καρχηδονίων ἐκπεμ- 38
ψάντων δύναμιν τὴν προσαξομένην τοὺς ἀφεστηκότας Νομάδας, Ἀγαθοκλῆς ἐπὶ μὲν τοῦ Τύνητος ἀπέλιπεν Ἀρχάγαθον τὸν υἱὸν μετὰ μέρους τῆς στρατιᾶς, αὐτὸς δ' ἀναλαβὼν τοὺς κρατίστους πεζοὺς μὲν ὀκτακισχιλίους, ἱππεῖς δὲ ὀκτακοσίους, ζεύγη δὲ Λιβύων πεντήκοντα, κατὰ σπουδὴν ἐπηκολούθει τοῖς πολεμίοις. οἱ δὲ Καρ-

50. τὴν om. F 54. μὲν om. F 61. τούτῳ] τούτων FQW 66. διεκώλυεν] διεκώλυσεν FW 68. οὐ] μὴ F 69. ἀναιρέσεως] αἱρέσεως W
433. 75. μεταβιβάσομεν] διαβιβάσομεν FW 78. προσαξομένην] libri προσδεξομένην 79. ἀπέλιπεν] κατέλιπεν FW

χηδόνιοι παραγενηθέντες εἰς τοὺς Νομάδας τοὺς καλουμένους Ζούφωνας πολλοὺς τῶν ἐγχωρίων προσηγάγοντο καὶ τῶν ἀφεστηκότων ἐνίους εἰς τὴν προϋπάρχουσαν ἀποκατέστησαν συμμαχίαν· ἐπεὶ δ' ἤκουσαν πλησίον εἶναι τοὺς πολεμίους, κατεστρατοπέδευσαν ἐπί τινος γεωλόφου περιεχομένου ῥείθροις βαθέσι καὶ δυσπεράτοις. καὶ πρὸς μὲν τὰς ἀπροσδοκήτους ἐπιθέσεις τῶν ἐναντίων ταῦτα προεβάλοντο, τῶν δὲ Νομάδων τοὺς μάλιστ' εὐθέτους προσέταξαν ἐπακολουθεῖν τοῖς Ἕλλησι καὶ παρενοχλοῦντας κωλύειν αὐτῶν τὴν εἰς τοὔμπροσθεν πορείαν. ὧν ποιησάντων τὸ προσταχθέν, Ἀγαθοκλῆς ἐπὶ μὲν τούτους ἀπέστειλε τούς τε σφενδονήτας καὶ τοξότας, αὐτὸς δὲ μετὰ τῆς ἄλλης δυνάμεως ὥρμησεν ἐπὶ τὴν στρατοπεδείαν τῶν πολεμίων. οἱ δὲ Καρχηδόνιοι τὴν ἐπίνοιαν αὐτοῦ κατανοήσαντες, ἐξήγαγον τὴν στρατιὰν ἐκ τῆς παρεμβολῆς καὶ παρατάξαντες ἕτοιμοι πρὸς μάχην καθειστήκεισαν. ἐπεὶ δ' ἑώρων τοὺς περὶ τὸν Ἀγαθοκλέα διαβαίνοντας ἤδη τὸν ποταμόν, συντεταγμένοι ἐνέβαλον, καὶ περὶ τὸ ῥεῖθρον δυσπέρατον ὑπάρχον πολλοὺς τῶν ἐναντίων ἀνῄρουν. προσβιαζομένων δὲ τῶν μετ' Ἀγαθοκλέους, οἱ μὲν Ἕλληνες ταῖς ἀρεταῖς ὑπερεῖχον, οἱ δὲ βάρβαροι τοῖς πλήθεσι περιεγίνοντο. ἔνθα δὴ τῶν στρατοπέδων ἐπὶ πολὺν χρόνον φιλοτίμως ἀγωνιζομένων οἱ παρ' ἀμφοτέροις Νομάδες τῆς μὲν μάχης ἀφειστήκεισαν, ἐπετήρουν δὲ τὸ τέλος τοῦ κινδύνου, διεγνωκότες τῶν ἡττημένων τὰς ἀποσκευὰς διαρπάσαι. Ἀγαθοκλῆς δὲ τοὺς ἀρίστους ἔχων περὶ αὐτὸν πρῶτος ἐβιάσατο τοὺς ἀνθεστηκότας, καὶ τῇ τούτων τροπῇ τοὺς λοιποὺς βαρβάρους φυγεῖν ἐποίησε· μόνοι δὲ τῶν ἱππέων οἱ συναγωνιζόμενοι τοῖς Καρχηδονίοις Ἕλληνες, ὧν Κλείνων ἡγεῖτο, τοὺς περὶ τὸν Ἀγαθοκλέα βαρεῖς ἐπικειμένους ὑπέστησαν. ἀγωνισαμένων δ' αὐτῶν λαμπρῶς οἱ πλεῖστοι μὲν ἀνῃρέθησαν μαχόμενοι γενναίως, οἱ δὲ περιλειφθέντες αὐτῶν τύχῃ τινὶ διεσώθησαν.

39 ὁ δ' Ἀγαθοκλῆς ἀφεὶς τὸ διώκειν τούτους ὥρμησεν ἐπὶ τοὺς καταφυγόντας βαρβάρους εἰς τὴν παρεμβολήν· καὶ προσβιαζόμενος τόποις προσάντεσι καὶ δυσπροσίτοις οὐχ ἧτ- 434

87. προϋπάρχουσαν ἀποκατέστησαν σ.] προϋπάρξασαν σ. ἀποκατέστησαν F 92. μάλιστ' F, caeteri μάλιστα 94. τὴν εἰς] εἰς τὴν Bas. 96. τούτους] τούτοις F 98. τὴν] libri τὴν ἄλλην 2. ἤδη om. F 3. συντεταγμένοι ἐνέβαλον] invertit F 16. ὧν] ὧ F Κλείνων F, caeteri Κλίνων 17. ἐπικειμένους] ἐγκειμένους FQW 19. αὐτῶν om. T Bas., asterisco notavit Stephanus 22. καταφυγόντας] καταφύγοντας Bas., caeteri καταφεύγοντας



τον ἔπασχεν ἢ διετίθει τοὺς Καρχηδονίους. οὐ μὴν ἔληγε τῆς τόλμης, ἀλλὰ τῇ νίκῃ μετεωριζόμενος ἐνέκειτο, διαλαμβάνων κατὰ κράτος αἱρήσειν τὴν στρατοπεδείαν. ἐν τοσούτῳ δὲ τὸ τέλος τῆς μάχης καραδοκοῦντες οἱ Νομάδες ταῖς μὲν τῶν Καρχηδονίων ἀποσκευαῖς οὐχ οἷοί τε ἦσαν ἐπιθέσθαι διὰ τὸ τὰς δυνάμεις ἀμφοτέρας πλησίον τῆς παρεμβολῆς ἀγωνίζεσθαι, ἐπὶ δὲ τὴν τῶν Ἑλλήνων στρατοπεδείαν ὥρμησαν, εἰδότες τὸν Ἀγαθοκλέα μακρὰν ἀπεσπασμένον. ἐρήμου δ' αὐτῆς οὔσης τῶν δυναμένων ἀμύνασθαι ῥᾳδίως ἐπιπεσόντες τοὺς μὲν ἀντιστάντας ὀλίγους ὄντας ἀπέκτειναν, αἰχμαλώτων δὲ πλήθους καὶ τῆς ἄλλης ὠφελείας ἐκυρίευσαν. ἃ δὴ πυθόμενος ὁ Ἀγαθοκλῆς ἦγε κατὰ τάχος τὴν δύναμιν, καὶ τινὰ μὲν τῶν ἀφῃρπασμένων ἀνέσωσε, τῶν δὲ πλείστων οἱ Νομάδες ἐκυρίευον καὶ νυκτὸς ἐπιγενομένης μακρὰν ἑαυτοὺς ἐξετόπισαν. ὁ δὲ δυνάστης στήσας τρόπαιον τὰ μὲν λάφυρα διεῖλε τοῖς στρατιώταις, ὅπως μηδεὶς ἀγανακτήσῃ περὶ τῶν ἀπολωλότων, τοὺς δ' αἰχμαλώτους Ἕλληνας τοὺς συστρατευσαμένους τοῖς Καρχηδονίοις εἰς τὸ φρούριον ἀπέθετο. οὗτοι μὲν οὖν εὐλαβούμενοι τὴν ἀπὸ τοῦ δυνάστου τιμωρίαν νυκτὸς ἐπέθεντο τοῖς ἐν τῷ φρουρίῳ, καὶ τῇ μάχῃ κρατούμενοι κατελάβοντο λόφον ἐρυμνόν, ὄντες οὐκ ἐλάττους τῶν χιλίων, ὧν ἦσαν Συρακόσιοι πλείους τῶν πεντακοσίων. Ἀγαθοκλῆς δὲ πυθόμενος τὸ πεπραγμένον, ἧκε μετὰ τῆς δυνάμεως, καὶ καταβιβάσας ὑποσπόνδους τοὺς ἐπιθεμένους ἅπαντας ἀπέσφαξεν.

40 Ἀπὸ δὲ τῆς μάχης ταύτης γενόμενος, καὶ πάντα τῇ διανοίᾳ σκοπούμενος πρὸς τὸ λαβεῖν τοὺς Καρχηδονίους ὑποχειρίους, ἐξέπεμψε πρεσβευτὴν Ὄρθωνα τὸν Συρακόσιον πρὸς Ὀφέλλαν εἰς Κυρήνην. οὗτος δ' ἦν μὲν τῶν φίλων τῶν συνεστρατευμένων Ἀλεξάνδρῳ, κυριεύων δὲ τῶν περὶ Κυρήνην πόλεων καὶ δυνάμεως ἁδρᾶς περιεβάλετο ταῖς ἐλπίσι μείζονα δυναστείαν. τοιαύτην οὖν αὐτοῦ διάνοιαν ἔχοντος ἧκεν ὁ παρ' Ἀγαθοκλέους πρεσβευτής, ἀξιῶν συγκαταπολεμῆσαι Καρχηδονίους· ἀντὶ δὲ ταύτης τῆς χρείας ἐπηγγέλλετο τὸν Ἀγαθοκλέα συγχωρήσειν αὐτῷ τῶν ἐν Λιβύῃ πραγμάτων κυριεύειν. εἶναι γὰρ ἱκανὴν αὐτῷ τὴν Σικελίαν, ἵν' ἐξῇ τῶν ἀπὸ

434. 29. οἷοί] οἷόν F 40. ἐκυρίευον TY, caeteri ἐκυρίευσαν 42. διεῖλε] διείλετο Bas. 45. τὸ] τι Wesselingius οὗτοι] libri αὐτοὶ 48. λόφον] libri τόπον 49. Συρακόσιοι Bas. 53. πάντῃ] πάντα FQW 65. ἵν'] malim ἦν ἐξῇ ἀπὸ τῶν τῆς κ. F

τῆς Καρχηδόνος κινδύνων ἀπαλλαχθέντα μετ' ἀδείας κρατεῖν ἁπάσης τῆς νήσου· παρακεῖσθαι δὲ καὶ τὴν Ἰταλίαν αὐτῷ πρὸς ἐπαύξησιν τῆς ἀρχῆς, ἐὰν κρίνῃ μει- ζόνων ὀρέγεσθαι. τὴν μὲν γὰρ Λιβύην διεζευγμένην μεγάλῳ καὶ χαλεπῷ πελάγει μηδαμῶς ἁρμόζειν αὐτῷ, εἰς ἣν καὶ νῦν οὐ κατ' ἐπιθυμίαν ἀλλὰ κατ' ἀνάγκην ἀφῖχθαι. ὁ δὲ Ὀφέλλας τῇ πάλαι βεβουλευμένῃ κρίσει προςτεθείσης τῆς γενομένης ἐλπίδος ἀσμένως ὑπήκουσε, καὶ πρὸς μὲν Ἀθηναίους περὶ συμμαχίας διεπέμπετο, γε- γαμηκὼς Εὐθυδίκην τὴν Μιλτιάδου θυγατέρα τοῦ τὴν προςηγορίαν φέροντος εἰς τὸν στρατηγήσαντα τῶν ἐν Μαραθῶνι νικησάντων. διὰ δὴ ταύτην τὴν ἐπιγαμίαν 435 καὶ τὴν ἄλλην σπουδὴν ὑπῆρχεν ἀποδεδεγμένος εἰς τὴν πόλιν, καὶ πολλοὶ τῶν Ἀθηναίων προθύμως ὑπήκουσαν εἰς τὴν στρατείαν· οὐκ ὀλίγοι δὲ καὶ τῶν ἄλλων Ἑλλή- νων ἔσπευδον κοινωνῆσαι τῆς ἐπιβολῆς, ἐλπίζοντες τήν τε κρατίστην τῆς Λιβύης κατακληρουχήσειν καὶ τὸν ἐν Καρχηδόνι διαρπάσειν πλοῦτον. τὰ μὲν γὰρ κατὰ τὴν Ἑλλάδα διὰ τοὺς συνεχεῖς πολέμους καὶ τὰς τῶν δυνα- στῶν πρὸς ἀλλήλους φιλοτιμίας ἀσθενῆ καὶ ταπεινὰ κα- θειστήκει· ὥςθ' ὑπελάμβανον μὴ μόνον ἐγκρατεῖς ἔσε- σθαι πολλῶν ἀγαθῶν, ἀλλὰ καὶ τῶν παρόντων κακῶν ἀπαλλαγήσεσθαι.

41 Ὁ δ' οὖν Ὀφέλλας, ἐπειδὴ πάντ' αὐτῷ πρὸς τὴν στρατείαν κατεσκεύαστο λαμπρῶς, ἐξώρμησε μετὰ τῆς δυνάμεως, ἔχων πεζοὺς μὲν πλείους τῶν μυρίων, ἱπ- πεῖς δὲ ἑξακοσίους, ἅρματα δὲ ἑκατόν, ἡνιόχους δὲ καὶ παραβάτας πλείους τῶν τριακοσίων· ἠκολούθουν δὲ καὶ τῶν ἔξω τάξεως λεγομένων οὐκ ἐλάττους τῶν μυρίων· πολλοὶ δὲ τούτων τέκνα καὶ γυναῖκας καὶ τὴν ἄλλην παρασκευὴν ἦγον, ὥςτε ἐμφερῆ τὴν στρατιὰν ὑπάρχειν ἀποικίᾳ. ὀκτωκαίδεκα μὲν οὖν ἡμέρας ὁδοιπορήσαντες καὶ διελθόντες σταδίους τριςχιλίους, κατεσκήνωσαν περὶ Αὐτό- μαλα· ἐντεῦθεν δὲ πορευομένοις ὑπῆρχεν ὄρος ἐξ ἀμφοτέ- ρων τῶν μερῶν ἀπόκρημνον, ἐν μέσῳ δ' ἔχον φάραγγα βα- θεῖαν, ἐξ ἧς ἀνέτεινε λισσὴ πέτρα πρὸς ὀρθὸν ἀνατείνουσα

72. ἀφῖχθαι] ἀφῖκται Bas.
435. 79. ὑπῆρχεν ἀποδεδεγμένος] scribendum videtur ἦν ὑπῆρχεν ἀποδεδειγμένος deleto quod instat καὶ 80. τὴν om. Bas. στρατείαν] στρατοπεδείαν F 91. κατεσκεύαστο] κατεσκευάσατο F 93. ἑξακοσίους] ἑπτακοσίους FQW 94. παραβάτας] παραιβά- τας W Bas. 96. τῶν om. T 1. Αὐτόμαλα Wesse- lingius: libri Αὐτομόλας 3. ἀνέτεινε] ἀνέτειλε Bas. λισὴ λισσὴ] δισσὴ F



σκόπελον. περὶ δὲ τὴν ῥίζαν αὐτῆς ἄντρον ἦν εὐμέγε- θες κιττῷ καὶ σμίλακι συνηρεφές, ἐν ᾧ μυθεύουσι γε- γονέναι βασίλισσαν Λάμιαν τῷ κάλλει διαφέρουσαν· διὰ δὲ τὴν τῆς ψυχῆς ἀγριότητα διατυπῶσαί φασι τὴν ὄψιν αὐτῆς τὸν μετὰ ταῦτα χρόνον θηριώδη. τῶν γὰρ γινομένων αὐτῇ παίδων ἁπάντων τελευτώντων, βαρυθυ- μοῦσαν ἐπὶ τῷ πάθει καὶ φθονοῦσαν ταῖς τῶν ἄλλων γυναικῶν εὐτεκνίαις κελεύειν ἐκ τῶν ἀγκαλῶν ἐξαρπά- ζεσθαι τὰ βρέφη καὶ παραχρῆμα ἀποκτείνειν. διὸ καὶ καθ' ἡμᾶς μέχρι τοῦ νῦν βίου παρὰ τοῖς νηπίοις δια- μένειν τὴν περὶ τῆς γυναικὸς ταύτης φήμην, καὶ φοβε- ρωτάτην αὐτοῖς εἶναι τὴν ταύτης προςηγορίαν. ὅτε δὲ μεθύσκοιτο, τὴν ἄδειαν διδόναι πᾶσιν ἃ βούλοιντο ποι- εῖν ἀπαρατηρήτως. μὴ πολυπραγμονούσης οὖν αὐτῆς κατ' ἐκεῖνον τὸν χρόνον τὰ γινόμενα τοὺς κατὰ τὴν χώραν ὑπολαμβάνειν μὴ βλέπειν αὐτήν· καὶ διὰ τοῦτ' ἐμυθο- λόγησάν τινες ὡς εἰς ἄρσιχον ἐμβάλοι τοὺς ὀφθαλμούς, τὴν ἐν οἴνῳ συντελουμένην ὀλιγωρίαν εἰς τὸ προειρη- 436 μένον μέτρον μεταφέροντες, ὡς τούτου παρῃρημένου τὴν ὅρασιν. ὅτι δὲ κατὰ τὴν Λιβύην γέγονεν αὕτη καὶ τὸν Εὐριπίδην δεῖξαι τις ἂν μαρτυροῦντα· λέγει γὰρ

τίς τοὔνομα τὸ ἐπονείδιστον βροτοῖς
οὐκ οἶδε Λαμίας τῆς Λιβυστικῆς γένος; 42

Ὁ δ' οὖν Ὀφέλλας ἀναλαβὼν τὴν δύναμιν προῆγε διὰ τῆς ἀνύδρου καὶ θηριώδους ἐπιπόνως· οὐ μόνον γὰρ ὕδατος ἐσπάνιζεν, ἀλλὰ καὶ τῆς ξηρᾶς τροφῆς ἀπο- λιπούσης ἐκινδύνευσεν ἅπαν ἀπολέσαι τὸ στρατόπεδον. δακέτων δὲ θηρίων παντοίων ἐπεχόντων τὰ περὶ τὰς σύρτεις ἔρημα, καὶ τῶν πλείστων ὀλέθριον ἐχόντων τὸ δῆγμα, πολλῇ τῇ συμφορᾷ περιέπιπτον, ἀβοήθητον ἔχοντες τὴν ἐκ τῶν ἰατρῶν καὶ φίλων ἐπικουρίαν. καὶ γὰρ ἔνιοι τῶν ὄφεων ὁμοίαν ἔχοντες τὴν χρόαν τῇ κατ' αὐτοὺς οὔσῃ χώρᾳ τὴν ἰδίαν φύσιν ἀπροόρατον ἐποί- ουν· οἷς πολλοὶ διὰ τὴν ἄγνοιαν ἐπιβαίνοντες δήγμασι

6. Λάμιαν Bas., caeteri Λαμίαν 9 παίδων] παιδίων FW 17. τὴν ἄδειαν T Bas., caeteri ἄδειαν 18. ἀπα- ρατηρήτως] ἀπαρατηρήτους W 19. τοὺς κατὰ Wesselin- gius: libri κατὰ 21. ἄρσιχον QTXY Bas. et γρ. mar- go F, caeteri μάρσιπον 23. μέτρον] μέθυ Rhodoman- nus: an ἄμετρον? μεταφέροντες] παραφέροντες FW
25. αὕτη] αὐτὴ F 28. οἶδε] εἶδε F Λιβυ- στικῆς] Λιγυστικῆς WXY et correctus in marg. T 29. δ' οὖν] libri γοῦν
436. 32. ἀπολιπούσης] ὑπολιπούσης FW ἐκινδύνευ- σεν] ἐκινδύνευσε F 33. δακέτων] δακετῶν W δὲ] τε FW

θανατηφόροις περιέπιπτον. τέλος δὲ κατὰ τὴν ὁδοιπορίαν πλεῖον ἢ δύο μῆνας κακοπαθήσαντες μόγις διήνυσαν πρὸς τοὺς περὶ Ἀγαθοκλέα, καὶ βραχὺ διαχωρίσαντες ἀπ᾽ ἀλλήλων τὴν δύναμιν κατεστρατοπέδευσαν. εἶθ᾽ οἱ μὲν Καρχηδόνιοι πυθόμενοι τὴν τούτων παρουσίαν κατεπλάγησαν, ὁρῶντες τηλικαύτην δύναμιν κατ᾽ αὐτῶν ἥκουσαν· ὁ δ᾽ Ἀγαθοκλῆς ἀπαντήσας τοῖς περὶ τὸν Ὀφέλλαν καὶ φιλοφρόνως ἅπαντα χορηγήσας τούτους μὲν ἠξίου τὴν στρατιὰν ἀναλαμβάνειν ἐκ τῆς κακοπαθείας, αὐτὸς δ᾽ ἐπιμείνας ἡμέρας ὀλίγας καὶ κατασκεψάμενος ἕκαστα τῶν πραττομένων ἐν τῇ παρεμβολῇ τῶν παρόντων, ἐπεὶ τὸ πλεῖον μέρος τῶν στρατιωτῶν ἐπὶ χορτάσματα καὶ σιτολογίαν ἐξεληλύθει, τὸν δὲ Ὀφέλλαν ἑώρα μηδὲν τῶν ὑφ᾽ ἑαυτοῦ βεβουλευμένων ὑπονοοῦντα, συνήγαγεν ἐκκλησίαν τῶν ἰδίων στρατιωτῶν· κατηγορήσας δὲ τοῦ παρόντος ἐπὶ τὴν συμμαχίαν ὡς ἐπιβουλεύοντος καὶ παροξύνας τὸ πλῆθος, εὐθὺς διεσκευασμένην τὴν δύναμιν ἦγεν ἐπὶ τοὺς Κυρηναίους. εἶθ᾽ ὁ μὲν Ὀφέλλας διὰ τὸ παράδοξον καταπλαγεὶς ἐπεχείρησε μὲν ἀμύνασθαι, καταταχούμενος δὲ καὶ τὴν ὑπολελειμμένην δύναμιν οὐκ ἔχων ἀξιόχρεων, μαχόμενος ἐτελεύτησεν. ὁ δ᾽ Ἀγαθοκλῆς συναναγκάσας τὸ λοιπὸν πλῆθος ἀποθέσθαι τὰ ὅπλα, καὶ φιλανθρώποις ἐπαγγελίαις παραστησάμενος ἅπαντας, κύριος ἐγένετο τῆς δυνάμεως πάσης. Ὀφέλλας μὲν οὖν ἐλπίσας μεγάλα, καὶ προχειρότερον ἑαυτὸν πιστεύσας, τοιαύτης ἔτυχε τῆς τοῦ βίου καταστροφῆς.

43 Ἐν δὲ τῇ Καρχηδόνι Βομίλκας πάλαι διανενοημένος ἐπιθέσθαι τυραννίδι καιρὸν ἐπεζήτει ταῖς ἰδίαις ἐπιβολαῖς οἰκεῖον. πολλάκις δὲ διδόντος τοῦ καιροῦ τὰς ἀφορμὰς τοῦ πράττειν τὸ βεβουλευμένον ἀεί τις αἰτία μικρὰ παρεμπίπτουσα διεκώλυε· δεισιδαίμονες γὰρ οἱ μέλλοντες ἐγχειρεῖν ταῖς παρανόμοις καὶ μεγάλαις πράξεσι καὶ τὸ μέλλειν ἀεὶ τοῦ πράττειν καὶ τὴν ὑπέρθεσιν τῆς συντελείας προκρίνουσιν· ὃ καὶ τότε συνέβαινε

41. πλεῖον] πλείω T Bas. 43. διαχωρίσαντες T Bas., caeteri διαχωρήσαντες 45. τούτων] τούτου F 48. ἅπαντα om. F 49. ἀναλαμβάνειν] ἀναλαβεῖν W et fortasse F 51. καὶ om. Bas. 54. ἐξεληλύθει] ἐξεληλύθη F 57. τὴν συμμαχίαν] τῇ συμμαχίᾳ FQW 64. ἀποθέσθαι] libri ἀποδόσθαι 67. ἑαυτὸν] αὐτὸν T Bas. 69. τῇ om. F Βομίλκας Bas., caeteri Βορμίλκας 71. τοῦ καιροῦ om. Bas. 73. 75. ἀεὶ] αἰεὶ F 76. προκρίνουσιν] προκρινούσης F 77. συνέβαινε (συνέβαινεν εἶναι Bas.) καὶ περὶ ἐκεῖνον. ἐξέπεμψε μὲν γὰρ τοὺς ἐπιφανεστάτους QTY Bas.,



καὶ περὶ ἐκεῖνον. ἐξέπεμψε μὲν γὰρ τοὺς ἐπιφανεστά-
437 τους τῶν πολιτῶν εἰς τὴν ἐπὶ τοὺς Νομάδας στρατείαν, ἵνα μηδένα τῶν ἀξιολόγων ἔχῃ τὸν ἀντιστησόμενον, οὐκ ἐτόλμα δὲ ἀποκαλύψασθαι πρὸς τὴν τυραννίδα, μετακαλούμενος ὑπὸ τῆς εὐλαβείας. καθ᾽ ὃν δὲ καιρὸν Ἀγαθοκλῆς ἐπέθετο τοῖς περὶ τὸν Ὀφέλλαν, ὁρμῆσαι καὶ τοῦτον συνέβη πρὸς τὴν δυναστείαν, ἀγνοούντων ἀμφοτέρων τὰ παρὰ τοῖς πολεμίοις πραττόμενα. οὔτε γὰρ Ἀγαθοκλῆς ἔγνω τὴν ἐπίθεσιν τῆς τυραννίδος καὶ τὴν ἐν τῇ πόλει ταραχήν, ἐπεὶ ῥᾳδίως ἂν ἐκράτησε τῆς Καρχηδόνος· εἵλετο γὰρ ἂν Βομίλκας ἐπ᾽ αὐτοφώρῳ γενόμενος συνεργεῖν Ἀγαθοκλεῖ μᾶλλον ἢ τοῖς πολίταις δοῦναι τὴν ἐκ τοῦ σώματος τιμωρίαν· οὔτε πάλιν οἱ Καρχηδόνιοι τὴν ἐπίθεσιν τὴν Ἀγαθοκλέους ἐπύθοντο· ῥᾳδίως γὰρ ἂν αὐτὸν ἐχειρώσαντο προσλαβόμενοι τὴν μετ᾽ Ὀφέλλα δύναμιν. ἀλλ᾽, οἶμαι, παρ᾽ ἀμφοτέροις οὐκ ἀλογίστως συνέβη γενέσθαι ταύτην τὴν ἄγνοιαν, καίπερ μεγάλων μὲν οὐσῶν τῶν πράξεων, ἐγγὺς δ᾽ ἀλλήλων ἐπικεχειρηκότων τοῖς τηλικούτοις τολμήμασιν. ὅ τε γὰρ Ἀγαθοκλῆς ἄνδρα φίλον μέλλων ἀναιρεῖν πρὸς οὐδὲν ἐπέβαλλε τὴν διάνοιαν τῶν παρὰ τοῖς πολεμίοις συντελουμένων, ὅ τε Βομίλκας τὴν τῆς πατρίδος ἐλευθερίαν ἀφαιρούμενος οὐδὲν ὅλως ἐπολυπραγμόνει τῶν παρὰ τοῖς ἀντιστρατοπεδεύουσιν, ὡς ἂν ἔχων προκείμενον ἐν τῇ ψυχῇ τὸ μὴ τοὺς πολεμίους ἐπὶ τοῦ παρόντος ἀλλὰ τοὺς πολίτας καταπολεμῆσαι. ταύτῃ δ᾽ ἄν τις καὶ τὴν ἱστορίαν καταμέμψαιτο, θεωρῶν ἐπὶ μὲν τοῦ βίου πολλὰς καὶ διαφόρους πράξεις συντελουμένας κατὰ τὸν αὐτὸν καιρόν, τοῖς δ᾽ ἀναγράφουσιν ἀναγκαῖον ὑπάρχον τὸ μεσολαβεῖν τὴν διήγησιν καὶ τοῖς ἅμα συντελουμένοις μερίζειν τοὺς χρόνους παρὰ φύσιν, ὥστε τὴν μὲν ἀλή-

caeteri συνέβαινεν· ἀλλ ἐπεὶ καιρὸν ἐξευρεῖν ἐνόμισε, τοὺς μὲν περὶ ἐκεῖνον ἐπιφανεστάτους
437. 81. οὐκ ἐτόλμα — τυραννίδα] ἀλλ᾽ ὅμως ἀποκαλύψασθαι πρὸς τὴν τυραννίδα οὐκ ἐτόλμα F, ἀλλ᾽ ὅμως οὐκ ἐτόλμα W 84. ὁρμῆσαι καὶ τοῦτον συνέβη] συνέβη καὶ τοῦτον ὁρμῆσαι FW 86. οὔτε] εἴτε FW ἔγνω] ἐγένετο νοήσας FW 87. τῆς τυραννίδος FW, caeteri τῆς ἐν τῇ πόλει τυραννίδος 88. ἐπεὶ ante εἵλετο ponunt FW, omisso ibi γὰρ 91. τὴν om. Bas. οὔτε] εἴτε FW, omisso 92. γὰρ 96. μὲν om. Bas. 99. φίλον μέλλων] ὀφείλων μὲν Bas. ἐπέβαλλε] ἐπέβαλε F 1. τὴν πατρίδος ἐλευθερίας F 5. ἀλλὰ τοὺς] τοὺς δὲ F πολίτας] πολλοὺς W 6. ταύτῃ δ᾽ QTW Bas., γρ. margo F, caeteri τούτων δ᾽ οὕτως ἐχόντων ταύτῃ 11. τοὺς χρόνους]
οὓς ους
τὸν χρόνον QW, τὸν χρόνον F

θειαν τῶν πεπραγμένων τὸ πάθος ἔχειν, τὴν δ' ἀναγραφὴν ἐστερημένην τῆς ὁμοίας ἐξουσίας μιμεῖσθαι μὲν τὰ γεγενημένα, πολὺ δὲ λείπεσθαι τῆς ἀληθοῦς διαθέ-
44 σεως. ὁ δ' οὖν Βομίλκας ἐξετασμὸν τῶν στρατιωτῶν ποιησάμενος ἐν τῇ καλουμένῃ Νέᾳ πόλει μικρὸν ἔξω τῆς ἀρχαίας Καρχηδόνος οὔσῃ τοὺς μὲν ἄλλους διαφῆκε, τοὺς δὲ συνειδότας περὶ τῆς ἐπιθέσεως, ὄντας πολίτας μὲν πεντακοσίους, μισθοφόρους δὲ τετρακισχιλίους, ἀνέδειξεν ἑαυτὸν τύραννον. εἰς πέντε δὲ μέρη τοὺς στρατιώτας διελόμενος, ἐπῄει πάντας τοὺς ἐν ταῖς ὁδοῖς ἀπαντῶντας ἀποσφάττων. φυγῆς δὲ γενομένης κατὰ τὴν πόλιν καὶ ταραχῆς ἐξαισίου, τὸ μὲν πρῶτον οἱ Καρχηδόνιοι τοὺς πολεμίους ὑπέλαβον παρειςπεπτωκέναι προδιδομένης τῆς πόλεως· ὡς δ' ἐπεγνώσθη τἀληθές, συνέτρεχον οἱ νέοι καὶ εἰς τάξεις καταστάντες ὥρμησαν ἐπὶ 438
τὸν τύραννον. ὁ δὲ Βομίλκας τοὺς ἐν ταῖς ὁδοῖς ἀναιρῶν ὥρμησεν εἰς τὴν ἀγοράν, καὶ πολλοὺς τῶν πολιτῶν ἀνόπλους καταλαβὼν ἀπέκτεινε. τῶν δὲ Καρχηδονίων καταλαβομένων τὰς περὶ τὴν ἀγορὰν οἰκίας ὑψηλὰς οὔσας, καὶ τοῖς βέλεσι πυκνοῖς χρωμένων, οἱ μετέχοντες τῆς ἐπιθέσεως κατετραυματίζοντο, τοῦ τόπου παντὸς ἐμβελοῦς ὄντος. διόπερ κακοπαθοῦντες συνέφραξαν ἑαυτούς, καὶ διὰ τῶν στενωπῶν συνεξέπεσον εἰς τὴν Νέαν πόλιν, βαλλόμενοι συνεχῶς ἀπὸ τῶν οἰκιῶν καθ' ἃς τυγχάνοιεν ἀεὶ γινόμενοι. καταλαβομένων δ' αὐτῶν ὑπερδέξιόν τινα τόπον, οἱ Καρχηδόνιοι τῶν πολιτῶν πάντων συνδραμόντων ἐν τοῖς ὅπλοις ἀντεστρατοπέδευσαν τοῖς ἀφεστηκόσι. τέλος δὲ πρέσβεις πέμψαντες τῶν πρεσβυτάτων τοὺς εὐθέτους, καὶ τῶν ἐγκλημάτων δόντες ἄφεσιν, διελύθησαν· καὶ τοῖς μὲν ἄλλοις οὐδὲν ἐμνησικάκησαν διὰ τοὺς περιεστῶτας τὴν πόλιν κινδύνους, αὐ-

17. *Νέᾳ πόλει*] *Νεαπόλει* QW Bas. 18. ἔξω] ἔξωθεν FW οὔσῃ Wesselingius: libri οὔσης 19. ἐπιθέσεως] ὑποθέσεως F 20. πολίτας μὲν] invertit F 21. τετρακισχιλίους FQW, caeteri περὶ χ[illegible]ους: ἀναλαβὼν addit Rhodomannus, παρακατασχὼν Reiskius ἑαυτὸν] αὐτὸν F 22. τοὺς στρατιώτας om. F 24. φυγῆς δὲ γενομένης] γενομένης δέ, omisso καὶ post πόλιν, TX Bas. 26. ὑπέλαβον] ὑπελάμβανον F

438. 29. ἐπὶ — 30. ὥρμησεν om. X Bas. et ut ex sequenti varietate coniicit Wesselingius TY 31. καταλαβὼν ἀπέκτεινε] καταλαβόντες ἀπέκτειναν TXY Bas., ον super νε posit F 33. οἰκίας] οἰκήσεις (ιας superscr.) F 35. ἐμβελοῦς] ἐν βελοῦς (μ superscr.) F 37. συνεξέπεσαν F 38. ἀπὸ W, ὑπὸ (α superscr.) F, caeteri ὑπὸ 39. αἰεὶ F 45. τὴν πόλιν] τῇ πόλει FW



τὸν δὲ τὸν Βομίλκαν αἰκισάμενοι δεινῶς τοῦ ζῆν ἐστέρησαν, οὐδὲν φροντίσαντες τῶν δεδομένων ὅρκων. Καρχηδόνιοι μὲν οὖν κινδυνεύσαντες τοῖς ὅλοις σφαλῆναι τοῦτον τὸν τρόπον ἐκομίσαντο τὴν πατρῴαν πολιτείαν. Ἀγαθοκλῆς δὲ πλοῖα φορτηγὰ γεμίσας τῶν λαφύρων, καὶ τοὺς ἀχρήστους εἰς πόλεμον τῶν ἐκ Κυρήνης παραγενομένων ἐμβιβάσας, ἀπέστειλεν εἰς Συρακούσας. χειμώνων δ' ἐπιγενομένων ἃ μὲν διεφθάρη τῶν πλοίων, ἃ δ' ἐξέπεσε πρὸς τὰς κατ' Ἰταλίαν Πιθηκούσσας νήσους, ὀλίγα δ' εἰς τὰς Συρακούσας διεσώθη. κατὰ δὲ τὴν Ἰταλίαν οἱ τῶν Ῥωμαίων ὕπατοι Μαρσοῖς πολεμουμένοις ὑπὸ Σαμνιτῶν βοηθήσαντες τῇ τε μάχῃ ἐπροτέρησαν καὶ συχνοὺς τῶν πολεμίων ἀνεῖλον. εἶτα διὰ τῆς Ὀμβρικῶν χώρας διελθόντες ἐνέβαλον εἰς τὴν Τυῤῥηνίαν πολεμίαν οὖσαν, καὶ τὸ καλούμενον Κάπριον φρούριον ἐξεπολιόρκησαν. διαπρεσβευομένων δὲ τῶν ἐγχωρίων ὑπὲρ ἀνοχῶν πρὸς μὲν Ταρκυνίτας εἰς ἔτη τετταράκοντα, πρὸς δὲ τοὺς ἄλλους Τυῤῥηνοὺς ἅπαντας εἰς ἐνιαυτὸν ἀνοχὰς ἐποιήσαντο.

Τοῦ δ' ἐνιαυσίου χρόνου διεληλυθότος Ἀθήνησι μὲν ἦρχεν Ἀναξικράτης, ἐν Ῥώμῃ δὲ ὕπατοι κατέστησαν Ἄππιος Κλαύδιος καὶ Λεύκιος Οὐολόμνιος. 45
ἐπὶ δὲ τούτων Δημήτριος μὲν ὁ Ἀντιγόνου παραλαβὼν παρὰ τοῦ πατρὸς δύναμιν ἁδρὰν πεζικήν τε καὶ ναυτικήν, ἔτι δὲ βελῶν καὶ τῶν ἄλλων τῶν εἰς πολιορκίαν χρησίμων τὴν ἁρμόζουσαν παρασκευήν, ἐξέπλευσεν ἐκ τῆς Ἐφέσου· παράγγελμα δ' εἶχεν ἐλευθεροῦν πάσας μὲν τὰς κατὰ τὴν Ἑλλάδα πόλεις, πρώτην δὲ τὴν Ἀθηναίων, φρουρουμένην ὑπὸ Κασσάνδρου. καταπλεύσαντος δ' αὐτοῦ
439 μετὰ τῆς δυνάμεως εἰς τὸν Πειραιᾶ, καὶ πανταχόθεν προσβαλόντος ἐξ ἐφόδου καὶ κήρυγμα ποιησαμένου, Διονύσιος ὁ καθεσταμένος ἐπὶ τῆς Μουνυχίας φρούραρχος καὶ Δημήτριος ὁ Φαληρεὺς ἐπιμελητὴς τῆς πόλεως γε-

46. αἰκισάμενοι δεινῶς] invertit F 55. *Πιθηκούσσας*] *Πιθηκούσας* FW 56. οἱ τῶν *Ῥ.* ὕπατοι ante βοηθήσαντες ponunt FW 58. ἐπροτέρησαν Wesselingius, ἐπροετέρησαν Bas., caeteri προετέρησαν 57. σαυνιτῶν F 59. *Ὀμβρικῶν*] *Ἰμβρικῶν* FW, caeteri *Ὀμβρίκων* 61. *Κάπριον*] *Καίριον* QTY Bas., *Κώριον* X 63. *Ταρκυνίτας*] *Ταρκηνίτας* Bas., *Ταρκυκνίταν* T, ταρκυνιήτας F: verum videtur *Ταρκυινίτας* 64. τετταράκοντα F, caeteri τεσσαράκοντα, μ Bas. 65. ἀνοχὰς] τὰς ἀνοχὰς F 68. *Οὐολόμνιος*] *Οὐολούμνιος* FW 69. παραλαβὼν] λαβὼν FW 70. πεζικήν] πεζήν F

439. 77. 85. *Πειραιᾶ*] *Πειραιέα* FW προςβαλόντος ἐξ ἐφόδου] ἐξ ἐφόδου προςβαλόντος F 78. κήρυγμα] κηρύγματα FQW 79. ἐπὶ om. T Bas.

γενημένος ὑπὸ Κασσάνδρου, πολλοὺς ἔχοντες στρατιώτας, ἀπὸ τῶν τειχῶν ἠμύνοντο. τῶν δ' Ἀντιγόνου στρατιωτῶν τινες βιασάμενοι, καὶ κατὰ τὴν ἀκτὴν ὑπερβάντες ἐντὸς τοῦ τείχους, παρεδέξαντο πλείους τῶν συναγωνιζομένων. τὸν μὲν οὖν Πειραιᾶ τοῦτον τὸν τρόπον ἁλῶναι συνέβη. τῶν δ' ἔνδον Διονύσιος μὲν ὁ φρούραρχος εἰς τὴν Μουνυχίαν συνέφυγε, Δημήτριος δ' ὁ Φαληρεὺς ἀπεχώρησεν εἰς ἄστυ. τῇ δ' ὑστεραίᾳ πεμφθεὶς μεθ' ἑτέρων πρεσβευτὴς ὑπὸ τοῦ δήμου πρὸς Δημήτριον, καὶ περὶ τῆς αὐτονομίας διαλεχθεὶς καὶ τῆς ἰδίας ἀσφαλείας, ἔτυχε παραπομπῆς, καὶ τὰ κατὰ τὰς Ἀθήνας ἀπογινώσκων ἔφυγεν εἰς τὰς Θήβας, ὕστερον δὲ πρὸς Πτολεμαῖον εἰς Αἴγυπτον. οὗτος μὲν οὖν ἔτη δέκα τῆς πόλεως ἐπιστατήσας ἐξέπεσεν ἐκ τῆς πατρίδος τὸν εἰρημένον τρόπον· ὁ δὲ δῆμος τῶν Ἀθηναίων κομισάμενος τὴν ἐλευθερίαν ἐψηφίσατο τιμὰς τοῖς αἰτίοις τῆς αὐτονομίας. Δημήτριος δ' ἐπιστήσας τοὺς πετροβόλους καὶ τὰς ἄλλας μηχανὰς καὶ τὰ βέλη προςέβαλλε τῇ Μουνυχίᾳ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. ἀμυνομένων δὲ τῶν ἔνδον ἀπὸ τῶν τειχῶν εὐρώστως συνέβαινε τοὺς μὲν περὶ Διονύσιον προέχειν ταῖς δυςχωρίαις καὶ ταῖς τῶν τόπων ὑπεροχαῖς, οὔσης τῆς Μουνυχίας ὀχυρᾶς οὐ μόνον ἐκ φύσεως ἀλλὰ καὶ ταῖς τῶν τειχῶν κατασκευαῖς, τοὺς δὲ περὶ τὸν Δημήτριον τῷ τε πλήθει τῶν στρατιωτῶν πολλαπλασίους εἶναι καὶ ταῖς παρασκευαῖς πολλὰ πλεονεκτεῖν. τέλος δ' ἐπὶ δύο ἡμέρας συνεχῶς τῆς πολιορκίας γενομένης, οἱ μὲν φρουροὶ τοῖς καταπέλταις καὶ πετροβόλοις συντιτρωσκόμενοι καὶ διαδόχους οὐκ ἔχοντες ἡλαττοῦντο, οἱ δὲ περὶ τὸν Δημήτριον ἐκ διαδοχῆς κινδυνεύοντες καὶ νεαλεῖς ἀεὶ γινόμενοι, διὰ τῶν πετροβόλων ἐρημωθέντος τοῦ τείχους, ἐνέπεσον εἰς τὴν Μουνυχίαν· καὶ τοὺς μὲν φρουροὺς ἠνάγκασαν θέσθαι τὰ ὅπλα, τὸν δὲ φρούραρχον Διονύσιον ἐξώγρησαν.

46 τούτων δ' ἐν ὀλίγαις ἡμέραις κατευτυχηθέντων, ὁ μὲν Δημήτριος κατασκάψας τὴν Μουνυχίαν ὁλόκληρον τῷ δήμῳ τὴν ἐλευθερίαν ἀποκατέστησε καὶ φιλίαν καὶ συμμαχίαν πρὸς αὐτοὺς συνέθετο. οἱ δ' Ἀθηναῖοι γράψαντος ψήφισμα Στρατοκλέους ἐψηφίσαντο χρυσᾶς μὲν εἰκόνας ἐφ' ἅρματος στῆσαι τοῦ τε Ἀντιγόνου καὶ Δημητρίου πλησίον Ἁρμοδίου καὶ Ἀριστογείτονος· στεφανῶσαι δὲ ἀμφοτέρους ἀπὸ ταλάντων διακοσίων, καὶ βωμὸν ἱδρυσαμένους προςαγορεῦσαι σωτήρων· πρὸς δὲ τὰς δέκα φυλὰς προςθεῖναι δύο, Δημητριάδα καὶ Ἀντιγονίδα, καὶ συντελεῖν αὐτοῖς κατ' ἐνιαυτὸν ἀγῶνας καὶ πομπὴν καὶ θυσίαν, ἐνυφαινόντων αὐτοὺς εἰς τὸν τῆς Ἀθηνᾶς πέπλον κατ' ἐνιαυτόν. ὁ μὲν οὖν δῆμος ἐν τῷ Λαμιακῷ πολέμῳ καταλυθεὶς ὑπ' Ἀντιπάτρου μετ' ἔτη πεντεκαίδεκα παραδόξως ἐκομίσατο τὴν πάτριον πολιτείαν. ὁ δὲ Δημήτριος, φρουρουμένης τῆς Μεγαρέων πόλεως, ἐκπολιορκήσας αὐτὴν ἀπέδωκε τὴν αὐτονομίαν τῷ δήμῳ, καὶ τιμῶν ἀξιολόγων ἔτυχεν
440 ὑπὸ τῶν εὖ παθόντων. Ἀντίγονος δέ, παραγενομένων πρὸς αὐτὸν Ἀθήνηθεν πρεσβευτῶν, καὶ τό τε περὶ τῶν τιμῶν ἀναδόντων ψήφισμα καὶ περὶ σίτου καὶ ξύλων εἰς ναυπηγίαν διαλεχθέντων, ἔδωκεν αὐτοῖς πυροῦ μὲν μεδίμνων πεντεκαίδεκα μυριάδας, ὕλην δὲ τὴν ἱκανὴν ναυσὶν ἑκατόν. ἐξ Ἴμβρου δὲ τὴν φρουρὰν ἐξαγαγὼν ἀπέδωκεν αὐτοῖς τὴν πόλιν. πρὸς δὲ τὸν υἱὸν Δημήτριον ἔγραψε, κελεύων τῶν μὲν συμμαχίδων πόλεων συνέδρους συστήσασθαι τοὺς βουλευσομένους κοινῇ περὶ τῶν τῇ Ἑλλάδι συμφερόντων, αὐτὸν δὲ μετὰ τῆς δυνάμεως εἰς Κύπρον πλεῦσαι καὶ διαπολεμῆσαι τὴν ταχίστην πρὸς τοὺς Πτολεμαίου στρατηγούς. οὗτος μὲν οὖν συντόμως πάντα πράξας κατὰ τὰς ἐντολὰς τοῦ πατρός, καὶ κομισθεὶς ἐπὶ Καρίας, παρεκάλει τοὺς Ῥοδίους πρὸς τὸν κατὰ Πτολεμαίου πόλεμον. οὐ προςεχόντων δ' αὐτῶν, ἀλλὰ κοινὴν εἰρήνην αἱρουμένων ἄγειν πρὸς ἅπαντας, ταύτην ἀρχὴν συνέβη γενέσθαι τῷ δήμῳ τῆς πρὸς Ἀντίγονον ἀλλοτριότητος.

47 Ὁ δὲ Δημήτριος παραπλεύσας εἰς Κιλικίαν, κἀκεῖθεν ναῦς καὶ στρατιώτας προςλαβόμενος, διέπλευσεν εἰς τὴν Κύπρον ἔχων πεζοὺς μὲν μυρίους πεντακιςχιλίους, ἱππεῖς δὲ τετρακοσίους, ναῦς δὲ ταχυναυτούσας μὲν τριήρεις πλείους τῶν ἑκατὸν δέκα, τῶν δὲ βαρυτέρων στρατιωτίδων πεντήκοντα καὶ τρεῖς, καὶ πορεῖα τῶν παντο-

95. περὶ] ὑπὲρ FW 96. τῆς] περὶ τῆς FW παραπομπῆς] παραφυλακῆς FQW 4. προςέβαλλε] προςέβαλε FW 7. προέχειν] προςέχειν F ταῖς — ὑπεροχαῖς] τὰς — (αῖς) ὑπεροχὰς (αῖς) F 9. ὀχυρᾶς] ἰσχυρᾶς F 17. αἰεὶ F

30. τὰς — φυλὰς QY Bas., caeteri ταῖς — φυλαῖς
440. 33. ἐνυφαινόντων] praestat fortasse ἐνυφαίνειν τε 34. κατ' ἐνιαυτὸν delet Wesselingius 42. ἀναδόντων] αὐτοδιδόντων W „pro αὐτῷ διδόντων" Wessel.: mihi potius ἀποδιδόντων voluisse videtur 47. ἔγραψε] ἔγραφε F 48. συστήσασθαι] στήσασθαι T Bas. 49. τοὺς om. Bas. 51. τὴν ταχίστην fortasse post πλεῦσαι ponenda 56. αὐτῶν] αὐτῷ FW αἱρουμένων om. F 62. ἱππεῖς δὲ om. T Bas. τετρακοσίους Bas. 63. πλείους] πλείω Bas. 64. στρατιωτίδων] στρατιωτικῶν Q
65. πορεῖα] πόρια T Bas. hic et postea

δαπῶν ἱκανὰ τῷ πλήθει τῶν ἱππέων τε καὶ πεζῶν. καὶ τὸ μὲν πρῶτον κατεστρατοπέδευσεν ἐν τῇ παραλίᾳ τῆς Καρπασίας, καὶ νεωλκήσας τὰ σκάφη χάρακι καὶ τάφρῳ βαθείᾳ τὴν παρεμβολὴν ὠχύρωσεν. ἔπειτα τοῖς πλησιοχώροις προσβολὰς ποιησάμενος εἷλε κατὰ κράτος Οὐρανίαν καὶ Καρπασίαν· τῶν δὲ νεῶν τὴν ἱκανὴν φυλακὴν ἀπολιπὼν ἀνέζευξε μετὰ τῆς δυνάμεως ἐπὶ τὴν Σαλαμῖνα. ὁ δὲ τεταγμένος ὑπὸ Πτολεμαίου τῆς νήσου στρατηγὸς Μενέλαος συναγαγὼν τοὺς στρατιώτας ἐκ τῶν φρουρίων διέτριβεν ἐν Σαλαμῖνι. ἀπεχόντων δὲ τετταράκοντα σταδίους τῶν πολεμίων, ἐξῆλθεν ἔχων πεζοὺς μὲν μυρίους καὶ δισχιλίους, ἱππεῖς δὲ περὶ ὀκτακοσίους.
γενομένης δὲ μάχης ἐπ' ὀλίγον χρόνον, οἱ μὲν περὶ τὸν 441
Μενέλαον ἐκβιασθέντες ἐτράπησαν, ὁ δὲ Δημήτριος συνδιώξας τοὺς πολεμίους εἰς τὴν πόλιν αἰχμαλώτους μὲν ἔλαβεν οὐ πολὺ ἐλάττους τρισχιλίων, ἀνεῖλε δὲ περὶ χιλίους. τοὺς δ' ἁλόντας τὸ μὲν πρῶτον ἀπολύσας τῶν ἐγκλημάτων καταδιεῖλεν εἰς τὰς τῶν ἰδίων στρατιωτῶν τάξεις· ἀποδιδρασκόντων δ' αὐτῶν πρὸς τοὺς περὶ τὸν Μενέλαον διὰ τὸ τὰς ἀποσκευὰς ἐν Αἰγύπτῳ καταλελοιπέναι παρὰ Πτολεμαίῳ, γνοὺς ἀμεταθέτους ὄντας ἐνεβίβασεν εἰς τὰς ναῦς καὶ πρὸς Ἀντίγονον εἰς Συρίαν ἀπέστειλεν. οὗτος δὲ τοῦτον τὸν χρόνον διέτριβε περὶ τὴν ἄνω Συρίαν, πόλιν κτίζων περὶ τὸν Ὀρόντην ποταμόν, ἣν ὠνόμασεν Ἀντιγόνειαν ἀφ' ἑαυτοῦ· κατεσκεύαζε δὲ πολυτελῶς, τὴν περίμετρον ὑποστησάμενος σταδίων ἑβδομήκοντα· εὐφυὴς γὰρ ἦν ὁ τόπος ἐφεδρεῦσαι τῇ τε Βαβυλωνίᾳ καὶ ταῖς ἄνω σατραπείαις καὶ πάλιν τῇ κάτω σατραπείᾳ καὶ ταῖς ἀπ' Αἰγύπτου σατραπείαις. οὐ μὴν πολύν γε χρόνον συνέβη μεῖναι τὴν πόλιν, Σελεύκου καθελόντος αὐτὴν καὶ μεταγαγόντος ἐπὶ τὴν κτισθεῖσαν μὲν ὑπ' αὐτοῦ, ἀπ' ἐκείνου δὲ κληθεῖσαν Σελεύκειαν. ἀλλὰ περὶ μὲν τούτων ἀκριβῶς ἕκαστα δηλώσομεν ἐπὶ τοὺς οἰκείους χρόνους παραγενηθέντες. τῶν δὲ κατὰ τὴν Κύπρον οἱ περὶ τὸν Μενέλαον ἡττημένοι τῇ μάχῃ τὰ μὲν βέλη καὶ τὰς μηχανὰς παρεκόμισαν ἐπὶ τὰ τείχη, καὶ τοῖς στρατιώταις διαλαβόντες τὰς ἐπάλξεις παρεσκευάζοντο πρὸς τὸν κίνδυνον, ὁρῶντες καὶ τὸν Δημήτριον πρὸς πολιορκίαν ἑτοιμαζόμενον. πρὸς δὲ Πτολεμαῖον ἀπέστειλαν εἰς Αἴγυπτον τοὺς δηλώσοντας περὶ τῶν ἐλαττωμάτων καὶ ἀξιώσοντας βοηθεῖν, ὡς κινδυνευόντων αὐτῷ τῶν ἐν τῇ νήσῳ πραγμάτων.

48 Δημήτριος δὲ τήν τε τῶν Σαλαμινίων ὁρῶν πόλιν οὐκ εὐκαταφρόνητον οὖσαν καὶ στρατιωτῶν πλῆθος ὑπάρχον ἐν αὐτῇ τῶν ἀμυνομένων, ἔκρινε μηχανάς τε τοῖς μεγέθεσιν ὑπεραιρούσας κατασκευάζειν καὶ καταπέλτας ὀξυβελεῖς καὶ λιθοβόλους παντοίους καὶ τὴν ἄλλην κατασκευὴν καταπληκτικήν. μετεπέμψατο δὲ καὶ τεχνίτας ἐκ τῆς Ἀσίας καὶ σίδηρον, ἔτι δ' ὕλης πλῆθος καὶ τῆς ἄλλης χορηγίας τὴν ἐπιτήδειον κατασκευήν. ταχὺ δὲ πάντων εὐτρεπῶν αὐτῷ γενομένων, συνέπηξε μηχανὴν τὴν ὀνομαζομένην ἑλέπολιν, τὸ πλάτος ἔχουσαν ἑκάστην πλευρὰν τετταράκοντα καὶ πέντε πήχεις, τὸ δ'
442 ὕψος πηχῶν ἐνενήκοντα, διειλημμένην στέγαις ἐννέα, ὑπότροχον δὲ πᾶσαν τροχοῖς στερεοῖς τέτταρσιν ὀκταπήχεσι τὸ ὕψος. κατεσκεύασε δὲ καὶ κριοὺς ὑπερμεγέθεις καὶ χελώνας δύο κριοφόρους. τῆς δ' ἑλεπόλεως εἰς μὲν τὰς κάτω στέγας εἰσήνεγκε πετροβόλους παντοίους, ὧν ἦσαν οἱ μέγιστοι τριτάλαντοι, εἰς δὲ τὰς μέσας καταπέλτας ὀξυβελεῖς μεγίστους, εἰς δὲ τὰς ἀνωτάτας ὀξυβελεῖς τε τοὺς ἐλαχίστους καὶ πετροβόλων πλῆθος, ἄνδρας τε τοὺς χρησομένους τούτοις κατὰ τρόπον πλείους τῶν διακοσίων. προσαγαγὼν δὲ τὰς μηχανὰς τῇ πόλει καὶ πυκνοῖς χρώμενος τοῖς βέλεσι τῇ μὲν τὰς ἐπάλξεις ἀπέσυρε τοῖς πετροβόλοις, τῇ δὲ τὰ τείχη διέσεισε τοῖς κριοῖς. ἀμυνομένων δὲ καὶ τῶν ἔνδον εὐρώστως καὶ τοῖς μηχανήμασιν ἑτέρας μηχανὰς ἀντιταττόντων, ἐφ' ἡμέρας μέν τινας ἀμφίδοξος ἦν ὁ κίνδυνος, ἀμφοτέρων κακοπαθούντων καὶ κατατραυματιζομένων· τὸ δὲ τελευταῖον

69. πλησιοχώροις] fort. πλησίον χωρίοις 71. Οὐρανίαν] Ἡρανίαν Q, unde Κερυνίαν Wesselingius 72. ἐπὶ] ὡς ἐπὶ Bas. 74. τοὺς στρατιώτας post τῶν φρουρίων ponit F 75. ἀπεχόντων] προεχόντων QW 76. τετταράκοντα F, μ Bas., caeteri τεσσαράκοντα

441. 84. στρατιωτῶν om. FW, asterisco notavit Stephanus 87. καταλελοιπέναι] ἀπολελοιπέναι F Πτολεμαίῳ] πτολεμαῖον F 91. ἣν] τὴν TY Bas. ὠνόμασεν] ὠνομασμένην Y Bas. scribebatur Ἀντιγονίαν 93. ὑποστησάμενος] ὑποστάμενος W σταδίων] σταδίους F 95. Βαβυλωνίᾳ] Βαβυλῶνι TX Bas. 96. πάλιν τῇ] τῇ πάλιν Bas. σατραπείᾳ καὶ ταῖς ἀπ' Αἰγύπτου] Ἀσίᾳ (quidni Συρίᾳ?) καὶ ταῖς περὶ Αἴγυπτον Reiskius 97. γε om. F 98. αὐτὴν] ταύτην FW 99. μεταγαγόντος TWY Bas., caeteri καταγαγόντος

100. ἀπ' ἐκείνου δὲ κληθεῖσαν Σελεύκειαν] sententiam talem esse debere ἀπὸ δὲ τοῦ πατρὸς ἐκείνου κληθεῖσαν Ἀντιόχειαν vidit Wesselingius 14. τῶν ἀμυνομένων] ἀμυνομένων T Bas. 18. καὶ τεχνίτας post Ἀσίας ponunt FW 21. εὐτρεπῶν] εὐπρεπῶν Bas. 23. τετταρ.] libri τεσσαρ. καὶ πεντε] ε Bas. 24. ἐνενήκοντα] libri ἐννενήκοντα 25. στέγαις] ταῖς στέγαις FW

τοῦ τείχους πίπτοντος καὶ τῆς πόλεως κινδυνευούσης ἁλῶναι κατὰ κράτος, νυκτὸς ἐπιγενομένης ἔληξε τὰ τῆς τειχομαχίας. οἱ δὲ περὶ τὸν Μενέλαον ἀκριβῶς εἰδότες ἁλωσομένην τὴν πόλιν, εἰ μή τι καινοτομεῖν ἐπιχειρήσειαν, ἤθροισαν ὕλης ξηρᾶς πλῆθος· ταύτην δὲ περὶ τὸ μεσονύκτιον ἐμβαλόντες ταῖς τῶν πολεμίων μηχαναῖς, καὶ ἅμα πάντας τοὺς πυρσοφόρους ἀπὸ τῶν τειχῶν ἀφέντες, ἀνῆψαν τὰ μέγιστα τῶν ἔργων. ἄφνω δὲ τῆς φλογὸς εἰς ὕψος ἀρθείσης οἱ περὶ τὸν Δημήτριον ἐπεχείρησαν μὲν βοηθεῖν, τοῦ δὲ πυρὸς καταταχήσαντος συνέβη τὰς μηχανὰς κατακαυθῆναι καὶ πολλοὺς τῶν ἐν αὐταῖς ὄντων διαφθαρῆναι. ὁ δὲ Δημήτριος ἀποσφαλεὶς τῆς ἐλπίδος οὐδ' ὣς ἔληγεν, ἀλλὰ προσεκαρτέρει τῇ πολιορκίᾳ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, νομίζων τῷ χρόνῳ καταπολεμήσειν τοὺς πολεμίους.

49 Πτολεμαῖος δὲ πυθόμενος τὴν τῶν ἰδίων ἧτταν, ἐξέπλευσεν ἐκ τῆς Αἰγύπτου δύναμιν ἔχων ἀξιόλογον πεζικήν τε καὶ ναυτικήν. κατενεχθεὶς δὲ τῆς Κύπρου πρὸς τὴν Πάφον ἔκ τε τῶν πόλεων παρεδέξατο τὰ σκάφη καὶ παρέπλευσεν εἰς Κίτιον, τῆς Σαλαμῖνος ἀπέχον σταδίους διακοσίους. εἶχε δὲ τὰς πάσας ναῦς μακρὰς ἑκατὸν καὶ τετταράκοντα· τούτων δ' ἦν ἡ μεγίστη πεντήρης, ἡ δ' ἐλαχίστη τετρήρης· στρατιωτικὰ δὲ πορεῖα ταύταις ἐπηκολούθει πλείω τῶν διακοσίων, ἄγοντα πεζοὺς οὐκ ἐλάττους τῶν μυρίων. οὗτος μὲν οὖν πρὸς τὸν Μενέλαον κατὰ γῆν ἔπεμψέ τινας, διακελευόμενος τὰς ναῦς, ἂν ᾖ δυνατόν, κατὰ τάχος ἐκ τῆς Σαλαμῖνος πρὸς αὐτὸν ἀποστεῖλαι, οὔσας ἑξήκοντα. ἤλπιζε γάρ, εἰ προσλάβοι ταύ- 443
τας, ῥᾳδίως κρατήσειν τῇ ναυμαχίᾳ, διακοσίοις σκάφεσιν ἀγωνιζόμενος. ὁ δὲ Δημήτριος νοήσας αὐτοῦ τὴν ἐπιβολήν, ἐπὶ μὲν τῆς πολιορκίας ἀπέλιπε μέρος τῆς δυνάμεως, τὰς δὲ ναῦς ἁπάσας πληρώσας καὶ τῶν στρατιωτῶν τοὺς κρατίστους ἐμβιβάσας βέλη καὶ πετροβόλους ἐνέθετο καὶ τῶν τρισπιθάμων ὀξυβελῶν τοὺς ἱκανοὺς ταῖς πρῴραις ἐπέστησε. κοσμήσας δὲ πολυτελῶς πρὸς ναυμαχίαν τὸν στόλον περιέπλευσε τὴν πόλιν, καὶ κατὰ τὸ στόμα τοῦ λιμένος μικρὸν ἔξω βέλους ἀφεὶς

442. 45. ἐπιχειρήσειαν] ἐπεχείρησαν Bas. 50. εἰς ὕψος om. W 53. τῶν ἐν αὐταῖς ὄντων QTX Bas., caeteri τῶν στρατιωτῶν ἐν αὐταῖς ὄντας 55. εκαρτέρει — θάλατταν om. Bas. 62. παρέπλευσεν TY Bas., caeteri κατέπλευσεν 64. μακρὰς] μικρὰς W, om. Bas. τετταράκοντα F, μ Bas., caeteri τεσσαράκοντα 67. πεζοὺς] πεζοὺς μὲν F 71. πρὸς αὐτὸν ἀποστεῖλαι] ἀποστεῖλαι πρὸς αὐτὸν F
443. 73. προσλάβοι] προλάβοι W 74. νοήσας] ἐπινοήσας W 77. ἐμβιβάσας] ἐπιβιβάσας Y Bas. 81. τὸ om. Bas.



τὰς ἀγκύρας διενυκτέρευσεν, ἅμα μὲν τὰς ἐκ τῆς πόλεως ναῦς κωλύσων συμμῖξαι ταῖς ἄλλαις, ἅμα δὲ καραδοκῶν τὸν ἐπίπλουν τῶν πολεμίων καὶ πρὸς ναυμαχίαν ὢν ἕτοιμος. τοῦ δὲ Πτολεμαίου πλέοντος ἐπὶ τὴν Σαλαμῖνα, καὶ τῶν ὑπηρετικῶν πλοίων συνεπομένων, πόῤῥωθεν καταπληκτικὸν ὁρᾶσθαι συνέβαινε τὸν στόλον διὰ τὸ πλῆθος. ὁ δὲ Δημήτριος κατανοήσας τὸν ἐπίπλουν, 50
Ἀντισθένην μὲν τὸν ναύαρχον ἔχοντα ναῦς δέκα τῶν πεντηρικῶν ἀπέλιπε κωλύσοντα τὰς ἐκ τῆς πόλεως ναῦς ἐπεξιέναι πρὸς τὴν ναυμαχίαν, ἔχοντος τοῦ λιμένος στενὸν τὸν ἔκπλουν. τοῖς δ' ἱππεῦσι προςέταξε παράγειν παρὰ τὸν αἰγιαλόν, ἵν' ἐάν τι γένηται πταῖσμα, διασώσαιεν τοὺς πρὸς τὴν γῆν διανηξομένους. αὐτὸς δ' ἐκτάξας τὰς ναῦς ἀπήντα τοῖς πολεμίοις, ἔχων τὰς ἁπάσας ὀκτὼ πλείους τῶν ἑκατὸν σὺν ταῖς πληρωθείσαις ἐκ τῶν χωρίων τῶν ληφθέντων· τούτων δ' ἦσαν αἱ μέγισται μὲν ἑπτήρεις, αἱ πλεῖσται δὲ πεντήρεις. καὶ τὸ μὲν εὐώνυμον κέρας ἐπεῖχον ἑπτήρεις μὲν ἑπτὰ Φοινίκων, τετρήρεις δὲ τριάκοντα τῶν Ἀθηναίων, Μηδίου τοῦ ναυάρχου τὴν ἡγεμονίαν ἔχοντος· ἐπίπλους δὲ τούτοις ἔταξεν ἑξήρεις δέκα καὶ πεντήρεις ἄλλας τοσαύτας, διεγνωκὼς ἰσχυρὸν κατασκευάσαι τοῦτο τὸ κέρας ἐφ' οὗ καὶ αὐτὸς ἤμελλε διαγωνίζεσθαι. κατὰ μέσην δὲ τὴν τάξιν τὰ ἐλάχιστα τῶν σκαφῶν ἔστησεν, ὧν ἡγοῦντο Θεμίσων τε ὁ Σάμιος καὶ Μαρσύας ὁ τὰς Μακεδονικὰς πράξεις συνταξάμενος. τὸ δὲ δεξιὸν εἶχε κέρας Ἡγήσιππός τε ὁ Ἁλικαρνασσεὺς καὶ Πλειστίας ὁ Κῷος, ἀρχικυβερνήτης ὢν τοῦ σύμπαντος στόλου. Πτολεμαῖος δὲ τὸ μὲν πρῶτον ἔτι νυκτὸς ἐπέπλει κατὰ σπουδὴν ἐπὶ τὴν Σαλαμῖνα, νομίζων φθάσαι τοὺς πολεμίους τὸν εἴςπλουν ποιησάμενος· ὡς δ' ἡμέρας ἐπιγενομένης οὐ μακρὰν ὁ τῶν ἐναντίων στόλος ἐκτεταγμένος ἑωρᾶτο, καὶ αὐτὸς τὰ πρὸς τὴν ναυμαχίαν παρεσκευάζετο. τὰ μὲν οὖν πορεῖα πόῤῥωθεν ἐπακολουθεῖν παρήγγειλε, τῶν δὲ ἄλλων νεῶν
444 τὴν ἁρμόζουσαν τάξιν ποιησάμενος αὐτὸς τὸ λαιὸν κέρας διακατεῖχε, συναγωνιζομένων αὐτῷ τῶν μεγίστων

82. ἀγκύρας] ἀγγύρας F 83. κωλύσων] κωλύων TY Bas. 85. Πτολεμαίου] πολεμίου F 90. ἔχοντα] καὶ Bas. 92. τὴν om. F 94. παρὰ om. Bas. 95. διασώσαιεν] διασώσῃ μὲν Y Bas. 96. αὐτὸς — 97. πολεμίοις om. X 1. μὲν ἑπτὰ F, caeteri ἑπτὰ τριάκοντα om. T Bas. 3. ἐπίπλους QX Bas., caeteri ἐπὶ 4. διεγνωκὼς] libri διεγνωκὼς ἴσως κατασκευάσαι] ἑκασταχοῦ σκευάσαι FW 7. Θεμίσων] Θεμιστίων FQW 9. τε om. T Bas. 10. ἁλικαρνασεὺς F 13. τὸν εἴςπλουν ποιησάμενος] τοὺς εἴςπλους ποιησαμένους QTX Bas. 14. ἐπιγενομένης] γενομένης FW

σκαφῶν. τοιαύτης δὲ τῆς διατάξεως γενομένης, εὐχὰς ἑκάτεροι τοῖς θεοῖς ἐποιοῦντο, καθάπερ ἦν ἔθος, διὰ

51 τῶν κελευστῶν, συνεπιλαβομένου καὶ τοῦ πλήθους τῇ φωνῇ. οἱ δὲ δυνάσται, ὡς ἂν περὶ τοῦ βίου καὶ τῶν ὅλων μέλλοντες διακινδυνεύειν, ἐν ἀγωνίᾳ πολλῇ καθειστήκεισαν. Δημήτριος μὲν οὖν τῶν ἐναντίων ἀποσχὼν ὡς ἂν τρεῖς σταδίους ἦρε τὸ συγκείμενον πρὸς μάχην σύσσημον, ἀσπίδα κεχρυσωμένην, φανερὰν πᾶσιν ἐκ διαδοχῆς. τὸ παραπλήσιον δὲ καὶ τῶν περὶ Πτολεμαῖον ποιησάντων, ταχὺ τὸ διεῖργον διάστημα συνῃρέθη. ὡς δ' αἵ τε σάλπιγγες τὸ πολεμικὸν ἐσήμαινον καὶ συνηλάλαξαν αἱ δυνάμεις ἀμφότεραι, φερομένων ἁπασῶν τῶν νεῶν εἰς ἐμβολὴν καταπληκτικῶς, τὸ μὲν πρῶτον τοῖς τόξοις καὶ τοῖς πετροβόλοις ἔτι δὲ τοῖς ἀκοντίσμασι πυκνοῖς χρώμενοι κατετραυμάτιζον τοὺς ὑποπίπτοντας· εἶτα συνεγγισάντων τῶν σκαφῶν, καὶ μελλούσης γίνεσθαι τῆς ἐμβολῆς βιαίου, οἱ μὲν ἐπὶ τῶν καταστρωμάτων συγκαθῆκαν, οἱ δ' ἐρέται παρακληθέντες ὑπὸ τῶν κελευστῶν ἐκθυμότερον ἐνέκειντο. ἀπὸ κράτους δὲ καὶ βίας ἐλαθεισῶν τῶν νεῶν, αἱ μὲν παρέσυρον ἀλλήλων τοὺς ταρσούς, ὥςτε πρὸς φυγὴν καὶ διωγμὸν ἀχρήστους γίνεσθαι καὶ τοὺς ἐπιβεβηκότας ἄνδρας ὡρμηκότας πρὸς ἀλκὴν κωλύεσθαι τῆς πρὸς τὸν κίνδυνον ὁρμῆς· αἱ δὲ κατὰ πρῷραν τοῖς ἐμβόλοις συῤῥάττουσαι πρύμναν ἀνεκρούοντο πρὸς ἄλλην ἐμβολήν, καὶ κατετραυμάτιζον ἀλλήλους οἱ ταύταις ἐφεστῶτες, ἅτε τοῦ σκοποῦ σύνεγγυς ἑκάστοις κειμένου. τινὲς δὲ τῶν τριηράρχων ἐκ πλαγίας ἔτυπτον, καὶ τῶν ἐμβόλων δυςαποσπάστως ἐχόντων ἐπεπήδων ἐπὶ τὰς τῶν πολεμίων ναῦς, πολλὰ καὶ πάσχοντες δεινὰ καὶ διατιθέντες. οἱ μὲν γὰρ τῶν ἐγγιζόντων τοίχων ἐφαψάμενοι καὶ σφαλέντες τῆς βάσεως περιέπιπτον εἰς θάλατταν καὶ παραχρῆμα τοῖς δόρασιν ὑπὸ τῶν ἐφεστώτων ἐφονεύοντο, οἱ δὲ κρατήσαντες τῆς ἐπιβολῆς τοὺς μὲν ἀνῄρουν, τοὺς δὲ κατὰ τὴν στενοχωρίαν ἐκβιαζόμενοι περιέτρεπον εἰς τὸ πέλαγος. ὅλως δὲ ποικίλαι καὶ παράλογοι συνίσταντο μάχαι, πολλάκις τῶν μὲν ἡττόνων ἐπικρατούντων διὰ τὴν τῶν σκαφῶν

444. 21. τῆς om. Bas. 23. κελευστῶν] ἐπικελευστῶν FQW 28. ὡς ἂν] ὡςεὶ FW 32. αἵ τε] αἱ Bas. 35. μὲν] μὲν οὖν F 42. libri ἐλασθεισῶν 46. συῤῥάττουσαι T, συρράττουσαι Bas., συναῤῥάττουσαι F, caeteri συναράττουσαι 47. ἀνεκρούοντο] ἐνεκρούοντο W 50. libri τριηραρχῶν 53. ἐγγιζόντων] μενόντων QTXY Bas. 55. εἰς τὴν θάλασσαν F 59. ὅλως Rhodomannus: libri ὅμως



ὑπεροχήν, τῶν δὲ κρειττόνων θλιβομένων διὰ τὸ περὶ τὴν στάσιν ἐλάττωμα καὶ τὴν ἀνωμαλίαν τῶν συμβαινόντων ἐν τοῖς τοιούτοις κινδύνοις. ἐπὶ μὲν γὰρ τῶν ἐπὶ τῆς γῆς ἀγώνων διάδηλος ἡ ἀρετὴ γίνεται, δυναμένη τυγχάνειν τῶν πρωτείων μηδενὸς ἔξωθεν αὐτομάτου παρενοχλοῦντος· κατὰ δὲ τὰς ναυμαχίας πολλὰς καὶ ποικίλας αἰτίας συμβαίνει παραλόγως ἐλαττοῦν τοὺς δι' ἀνδρείαν 52

δικαίως ἂν τυχόντας τῆς νίκης. λαμπρότατα δὲ πάντων Δημήτριος ἠγωνίσατο τῆς ἑπτήρους ἐπιβεβηκὼς ἐπὶ τῇ πρύμνῃ. ἀθρόων γὰρ αὐτῷ περιχυθέντων οὓς μὲν ταῖς λόγχαις ἀκοντίζων, οὓς δ' ἐκ χειρὸς τῷ δόρατι τύπτων ἀνῄρει· πολλῶν δὲ καὶ παντοίων βελῶν ἐπ' αὐ-

445 τὸν φερομένων, ἃ μὲν προορώμενος ἐξέκλινεν, ἃ δὲ τοῖς σκεπαστηρίοις ὅπλοις ἐδέχετο. τριῶν δ' ὑπερασπιζόντων αὐτόν, εἷς μὲν λόγχῃ πληγεὶς ἔπεσεν, οἱ δὲ δύο κατετραυματίσθησαν. τέλος δὲ τοὺς ἀντιστάντας ὁ Δημήτριος ἐκβιασάμενος καὶ τροπὴν τοῦ δεξιοῦ κέρατος ποιήσας, εὐθὺς καὶ τὰς συνεχεῖς φυγεῖν ἠνάγκασε. Πτολεμαῖος δὲ τὰ μέγιστα τῶν σκαφῶν καὶ τοὺς κρατίστους ἄνδρας ἔχων μεθ' ἑαυτοῦ ῥᾳδίως ἐτρέψατο τοὺς καθ' αὑτὸν τεταγμένους, καὶ τῶν νεῶν ἃς μὲν κατέδυσεν, ἃς δὲ αὐτάνδρους εἷλεν. ὑποστρέφων δ' ἀπὸ τοῦ νικήματος ἤλπιζε καὶ τὰς ἄλλας ῥᾳδίως χειρώσασθαι· θεωρήσας δὲ τό τε εὐώνυμον κέρας τῶν ἰδίων συντετριμμένον καὶ τὰς συνεχεῖς ἁπάσας πρὸς φυγὴν ὡρμημένας, ἔτι δὲ τοὺς περὶ τὸν Δημήτριον μετὰ βάρους ἐπιφερομένους, ἀπέπλευσεν εἰς Κίτιον. Δημήτριος δὲ νικήσας τῇ ναυμαχίᾳ τῷ μὲν Νέωνι καὶ Βουρίχῳ παρέδωκε τὰ στρατιωτικὰ τῶν πλοίων, προστάξας διώκειν καὶ τοὺς ἐν τῇ θαλάττῃ διανηχομένους ἀναλαμβάνειν· αὐτὸς δὲ τὰς ἰδίας ναῦς κοσμήσας τοῖς ἀκροστολίοις καὶ τὰς ἁλούσας ἐφελκόμενος τὸν πλοῦν ἐποιεῖτο πρὸς τὸ στρατόπεδον καὶ τὸν οἰκεῖον λιμένα. κατὰ δὲ τὸν τῆς ναυμαχίας καιρὸν Μενέλαος ὁ ἐν τῇ Σαλαμῖνι στρατηγὸς πληρώσας τὰς ἑξήκοντα ναῦς ἐξαπέστειλε πρὸς βοήθειαν τῷ Πτολεμαίῳ, ναύαρχον ἐπιστήσας Μενοίτιον. γενομένου δ' ἀγῶνος περὶ τὸ στόμα τοῦ λιμένος πρὸς τὰς ἐφορμούσας ναῦς, καὶ τῶν ἐκ τῆς πόλεως βιασαμένων, αἱ μὲν τοῦ Δημη-

68. ἀνδρείαν] ἀνδρείας F 72. αὐτῷ] αὐτοῦ F
445. 84. εὐθὺς] εὐθὺ Bas. 85. τὰ μέγιστα T Bas., caeteri καὶ τὰ μέγιστα 88. κατέδυσεν] κατέλυσεν Bas.
95. νικήσας τῇ ναυμαχίᾳ] ναυμαχήσας QW, et qui alterum γρ. in margine ponit F 96. πλοίων] ὅπλων καὶ πλοίων X
2. ὁ μενέλαος F 3. ἐξαπέστειλε] ἀπέστειλε FW πρὸς] πρὸς τὴν F

τρίου δέκα νῆες ἔφυγον πρὸς τὸ πεζὸν στρατόπεδον, οἱ δὲ περὶ τὸν Μενοίτιον ἀναπλεύσαντες καὶ τῶν καιρῶν μικρὸν ὑστερήσαντες ἀνέστρεψαν πάλιν εἰς τὴν Σαλαμῖνα. τῆς δὲ ναυμαχίας τοιοῦτο τέλος λαβούσης τῶν μὲν πορείων ἥλω πλείω τῶν ἑκατόν, ἐν οἷς ἦσαν σχεδὸν στρατιῶται ὀκτακιςχίλιοι· τῶν δὲ μακρῶν αὔτανδροι μὲν ἐλήφθησαν τετταράκοντα, διεφθάρησαν δὲ περὶ ὀγδοήκοντα, ἃς πλήρεις οὔσας θαλάττης κατήγαγον οἱ κρατήσαντες εἰς τὴν πρὸς τῇ πόλει στρατοπεδείαν. διεφθάρη δὲ καὶ τῶν Δημητρίου σκαφῶν εἴκοσι· πάντα δὲ τῆς προςηκούσης ἐπιμελείας τυχόντα παρείχετο τὰς ἁρμοζούσας χρείας.

53 Μετὰ δὲ ταῦτα Πτολεμαῖος ἀπογνοὺς τὰ κατὰ τὴν Κύπρον ἀπῆρεν εἰς Αἴγυπτον. Δημήτριος δὲ πάσας τὰς ἐν τῇ νήσῳ πόλεις παραλαβὼν καὶ τοὺς φρουροῦντας στρατιώτας, τούτους μὲν εἰς τάξεις κατεχώρισεν, ὄντας πεζοὺς μὲν μυρίους ἑξακιςχιλίους συντεταγμένους, ἱππεῖς δὲ περὶ ἑξακοσίους· πρὸς δὲ τὸν πατέρα ταχέως ἐμβιβάσας εἰς τὴν μεγίστην ναῦν τοὺς δηλώσοντας περὶ τῶν κατορθωθέντων ἐξαπέστειλεν. ὁ δ' Ἀντίγονος πυθόμενος τὴν γεγενημένην νίκην, καὶ μετεωρισθεὶς ἐπὶ τῷ μεγέθει τοῦ προτερήματος, διάδημα περιέθετο καὶ τὸ λοιπὸν ἐχρημάτιζε βασιλεύς, συγχωρήσας καὶ τῷ Δημητρίῳ τῆς αὐτῆς τυγχάνειν προςηγορίας καὶ τιμῆς. ὁ δὲ Πτολεμαῖος οὐδὲν τῇ ψυχῇ ταπεινωθεὶς διὰ τὴν ἧτταν καὶ αὐτὸς ὁμοίως ἀνέλαβε τὸ διάδημα καὶ πρὸς ἅπαντας ἀνέγραφεν ἑαυτὸν βασιλέα. παραπλησίως δὲ τούτοις καὶ οἱ λοιποὶ δυνάσται ζηλοτυπήσαντες ἀνηγόρευον ἑαυ- 446
τοὺς βασιλεῖς, Σέλευκος μὲν προςφάτως τὰς ἄνω σατραπείας προςκεκτημένος, Λυσίμαχος δὲ καὶ Κάσσανδρος τὰς ἐξ ἀρχῆς δοθείσας μερίδας διατηροῦντες.

Ἡμεῖς δὲ περὶ τούτων ἱκανῶς εἰρηκότες ἐν μέρει διέξιμεν περὶ τῶν κατὰ Λιβύην καὶ Σικελίαν πραχθέν-
54 των. Ἀγαθοκλῆς γὰρ πυθόμενος τοὺς προειρημένους δυνάστας ἀνῃρημένους, καὶ νομίζων μήτε δυνάμεσι μήτε

8. νῆες] ναῦς W Bas. 9. τῶν καιρῶν] τοῦ καιροῦ FW 11. δὲ] μὲν F τοιοῦτο] τοιοῦτον F Bas. 12. σχεδὸν στρατιῶται] στρατιῶται σχεδὸν F 14. μ Bas., caeteri τεσσαράκοντα 15. πλήρεις] πλήρης F 24. τάξεις] immo τὰς ἰδίας τάξεις 27. κατορθωθέντων] κατορθωμάθέντων των QW, κατορθωμάτων F 35. ἀνέγραφεν] ἔγραφεν Q Bas.
446. 43. γὰρ] δὲ F 44. ἀνῃρημένους] τὸ διάδημα ἀνῃρημένους Rhodomannus, βασιλεῖς ἀνειρημένους Reiskius



χώρᾳ μήτε τοῖς πραχθεῖσι λείπεσθαι τούτων, ἑαυτὸν ἀνηγόρευσε βασιλέα. καὶ διάδημα μὲν οὐκ ἔκρινεν ἔχειν· ἐφόρει γὰρ ἀεὶ στέφανον, ὃν κατὰ τὴν ἐπίθεσιν τῆς τυραννίδος ἔκ τινος ἱερωσύνης περικείμενος οὐκ ἀπέθετο περὶ τῆς δυναστείας ἀγωνιζόμενος· ἔνιοι δέ φασιν αὐτὸν ἐπιτετηδεῦσθαι τοῦτον ἐξ ἀρχῆς φορεῖν διὰ τὸ μὴ λίαν αὐτὸν εὐχαίτην εἶναι. οὐ μὴν ἀλλὰ τῆς προςηγορίας ταυτης ἄξιόν τι σπεύδων πρᾶξαι, ἐπὶ μὲν Ἰτυκαίους ἐστράτευσεν ἀφεστηκότας· ἄφνω δ' αὐτῶν τῇ πόλει προςπεσών, καὶ τῶν ἐπὶ τῆς χώρας ἀπειλημμένων πολιτικῶν ζωγρήσας εἰς τριακοσίους, τὸ μὲν πρῶτον διδοὺς ἄφεσιν τῶν ἐγκλημάτων ἠξίου παραδιδόναι τὴν πόλιν· οὐ προςεχόντων δὲ τῶν ἔνδον, συνεπήγνυε μηχανήν, καὶ κρεμάσας ἐπ' αὐτῇ τοὺς αἰχμαλώτους προςήγαγε τοῖς τείχεσιν. οἱ δ' Ἰτυκαῖοι τοὺς μὲν ἠτυχηκότας ἠλέουν, πλείονα δὲ λόγον τῆς τῶν ἁπάντων ἐλευθερίας ἢ τῆς ἐκείνων σωτηρίας ποιούμενοι διέλαβον τὰ τείχη τοῖς στρατιώταις, καὶ τὴν πολιορκίαν εὐγενῶς ὑπέμενον. εἶθ' ὁ μὲν Ἀγαθοκλῆς ἐπιστήσας τῇ μηχανῇ τούς τε ὀξυβελεῖς καὶ σφενδονήτας καὶ τοξότας, ἀπὸ ταύτης ἀγωνιζόμενος ἤρχετο τῆς πολιορκίας, καὶ ταῖς ψυχαῖς τῶν ἔνδον ὥςπερ καυτήριά τινα προςῆγεν. οἱ δ' ἐπὶ τῶν τειχῶν ἑστῶτες τὸ μὲν πρῶτον ὤκνουν τοῖς βέλεσι χρήσασθαι, προκειμένων αὐτοῖς σκοπῶν πολιτικῶν ἀνδρῶν, ὧν ἦσάν τινες καὶ τῶν ἐπιφανεστάτων· ἐπικειμένων δὲ τῶν πολεμίων βαρύτερον ἠναγκάζοντο τοὺς ἐπὶ τῆς μηχανῆς ὄντας ἀμύνεσθαι. ἔνθα δὴ συνέβαινε γίνεσθαι παράλογα πάθη τοῖς Ἰτυκαίοις καὶ τύχης ἐπηρεασμὸν ἐν ἀνάγκαις κείμενον ἀνέκφευκτον. προβεβλημένων γὰρ τῶν Ἑλλήνων τοὺς ἡλωκότας τῶν ἐξ Ἰτύκης, ἀναγκαῖον ἦν ἢ τούτων φειδομένους περιορᾶν ὑποχείριον τοῖς πολεμίοις γινομένην τὴν πατρίδα, ἢ τῇ πόλει βοηθοῦντας ἀνηλεῶς φονεῦσαι πλῆθος πολιτῶν ἠτυχηκότων· ὅπερ καὶ συνέβη γενέσθαι. ἀμυνό-

45. χώρᾳ] χώραις F 46. ἑαυτὸν ἀνηγόρευσε] ἀνηγόρευσεν ἑαυτὸν F 47. αἰεὶ F ὃν omittunt libri post στέφανον, addunt post ἱερωσύνης 50. αὐτὸν om. T Bas. ἐπιτετηδεῦσθαι] ἐπιτηδεύεσθαι F 51. διὰ τὸ] ἐπὶ τῷ TY Bas. λίαν] τέλειον QW, ὡς τέλειον F εὐχαίτην] εὐχαιτίαν FQW 53. ἄξιόν τι] ἄξια Q σπεύδων et post ταύτης et post τι ponit F 59. μηχανὴν] μηχανὰς FQW αὐτῇ] αὐταῖς FQW 61. τῶν om. FW 68. προςῆγεν] προῆγεν FW 73. συνέβαινε] συνέβη Bas. 74. γίνεσθαι] γενέσθαι F 76. τῶν om. Bas. 78. γινομένην] γενομένην F 80. συνέβη γενέσθαι] συνετελέσθη F

μενοι γὰρ τοὺς πολεμίους καὶ παντοίοις βέλεσι χρώμε-
νοι καὶ τὰ τῶν ἐφεστηκότων τῇ μηχανῇ σώματα κατη-
κίσαντο καὶ τινὰς μὲν τῶν κρεμαμένων πολιτῶν κατη-
κόντισαν, τινὰς δὲ τοῖς ὀξυβελέσι πρὸς τῇ μηχανῇ κα-
θήλωσαν καθ' οὓς ποτε τύχοι τοῦ σώματος τόπους,
ὥςτε σταυρῷ παραπλησίαν εἶναι τὴν ὕβριν ἅμα καὶ τὴν 447
τιμωρίαν. καὶ ταῦτ' ἐγίνετό τισιν ὑπὸ συγγενῶν ἢ φί-
λων, εἰ τύχοι, τῆς ἀνάγκης οὐ πολυπραγμονούσης τι
τῶν παρ' ἀνθρώποις ὁσίων. ὁ δ' Ἀγαθοκλῆς ὁρῶν
55 αὐτοὺς ἀπαθῶς ὡρμηκότας πρὸς τὸν κίνδυνον, περιστή-
σας πανταχόθεν τὴν δύναμιν, καὶ κατά τινα τόπον φαύ-
λως ᾠκοδομημένον βιασάμενος, εἰςέπεσεν εἰς τὴν πόλιν.
τῶν δ' Ἰτυκαίων τῶν μὲν εἰς τὰς οἰκίας τῶν δ' εἰς τὰ
ἱερὰ καταφευγόντων, δι' ὀργῆς αὐτοὺς ἔχων φόνου τὴν
πόλιν ἐπλήρωσε. τοὺς μὲν γὰρ ἐν χειρῶν νόμῳ διέφθει-
ρε, τοὺς δ' ἁλόντας ἐκρέμασε, τοὺς δ' ἐπὶ θεῶν ἱερὰ
καὶ βωμοὺς καταφυγόντας διαψευσθῆναι τῆς ἐλπίδος
ἐποίησε. διαφορήσας δὲ τὰς κτήσεις καὶ φυλακὴν ἀπο-
λιπὼν ἐπὶ τῆς πόλεως, ἐστρατοπέδευσεν ἐπὶ τὴν Ἵππου
καλουμένην ἄκραν, ὠχυρωμένην φυσικῶς τῇ παρακειμέ-
νῃ λίμνῃ. πολιορκήσας δὲ αὐτὴν ἐνεργῶς, καὶ τῶν ἐγ-
χωρίων ναυμαχίᾳ περιγενόμενος, κατὰ κράτος εἷλε. τού-
τῳ δὲ τῷ τρόπῳ τὰς πόλεις χειρωσάμενος τῶν τε ἐπὶ
θαλάττῃ τόπων τῶν πλείστων ἐκυρίευσε καὶ τῶν τὴν
μεσόγειον οἰκούντων πλὴν τῶν Νομάδων· ὧν τινὲς μὲν
φιλίαν πρὸς αὐτὸν ἐποιήσαντο, τινὲς δ' ἐκαραδόκουν
τὴν τῶν ὅλων κρίσιν. τέτταρα γὰρ τὴν Λιβύην διείλη-
φε γένη, Φοίνικες μὲν οἱ τὴν Καρχηδόνα τότε κατοι-
κοῦντες, Λιβυφοίνικες δὲ πολλὰς ἔχοντες πόλεις ἐπιθα-
λαττίους καὶ κοινωνοῦντες τοῖς Καρχηδονίοις ἐπιγαμίας,
οἷς ἀπὸ τῆς συμπεπλεγμένης συγγενείας συνέβη τυχεῖν
ταύτης τῆς προςηγορίας· ὁ δὲ πολὺς λαὸς τῶν ἐγχω-
ρίων, ἀρχαιότατος ὤν, Λίβυς ὠνομάζετο, μισῶν διαφε-
ρόντως τοὺς Καρχηδονίους διὰ τὸ βάρος τῆς ἐπιστα-
σίας· οἱ δὲ τελευταῖοι Νομάδες ὑπῆρχον, πολλὴν τῆς

85. καθήλωσαν] προςκαθήλωσαν TX, et qui τὴν μηχανὴν ἦν F τύχοι FW, caeteri τύχῃ 447. 89. πολυπραγμονούσης QTY Bas., ἐώσης πολυπραγμονεῖν caeteri τι om. FW 94. εἰςέπεσεν] εἰςέπεσεν F 95. τὰ om. Bas. 99. καὶ βωμοὺς καταφυγόντας] καταφεύγοντας Bas. 1. ἐπὶ] ἀπὸ W, ἄπο F ἐπεστρατοπέδευσεν F 10. Λιβύην] Λιβύην ταύτην FW διείληφε] διειλήφει F 11. Λιβυφοίνικες] libri Λιβοφοίνικες 18. Νομάδες] οἱ Νομάδες FW



Λιβύης νεμόμενοι μέχρι τῆς ἐρήμου. Ἀγαθοκλῆς δὲ τοῖς
μὲν κατὰ Λιβύην συμμάχοις καὶ ταῖς δυνάμεσιν ὑπερέ-
χων τῶν Καρχηδονίων, περὶ δὲ τῶν ἐν Σικελίᾳ πρα-
γμάτων ἀγωνιῶν, ἄφρακτα καὶ πεντηκοντόρους ναυπη-
γησάμενος ἐνεβίβασε στρατιώτας διςχιλίους. καταλιπὼν
δὲ τῶν ἐν τῇ Λιβύῃ πραγμάτων στρατηγὸν Ἀγάθαρχον
τὸν υἱὸν ἀνήχθη ταῖς ναυσίν, ἐπὶ Σικελίας τὸν πλοῦν
ποιούμενος.
"Αμα δὲ τούτοις πραττομένοις Ξενόδοκος ὁ τῶν 56
Ἀκραγαντίνων στρατηγὸς πολλὰς μὲν τῶν πόλεων ἠλευ-
θερωκώς, ἐλπίδας δὲ μεγάλας παρεσχηκὼς τοῖς Σικελιώ-
ταις τῆς καθ' ὅλην τὴν νῆσον αὐτονομίας, ἐξήγαγε τὴν
δύναμιν ἐπὶ τοὺς Ἀγαθοκλέους στρατηγούς, οὖσαν πε-
ζῶν μὲν πλειόνων ἢ μυρίων, ἱππέων δὲ σχεδὸν χιλίων.
οἱ δὲ περὶ Λεπτίνην καὶ Δημόφιλον ἐκ τῶν Συρακου-
σῶν καὶ τῶν φρουρίων ἐπιλέξαντες ὅσους ἠδύναντο
πλείστους ἀντεστρατοπέδευσαν πεζοῖς μὲν ὀκτακιςχιλίοις
448 καὶ διακοσίοις, ἱππεῦσι δὲ χιλίοις καὶ διακοσίοις. γενο-
μένης οὖν παρατάξεως ἰσχυρᾶς ἡττηθεὶς ὁ Ξενόδοκος
ἔφυγεν εἰς τὸν Ἀκράγαντα, καὶ τῶν στρατιωτῶν ἀπέβα-
λεν οὐκ ἐλάττους τῶν χιλίων καὶ πεντακοσίων. οἱ μὲν
οὖν Ἀκραγαντῖνοι ταύτῃ τῇ συμφορᾷ περιπεσόντες διέ-
λυσαν ἑαυτῶν μὲν τὴν καλλίστην ἐπιβολήν, τῶν δὲ συμ-
μάχων τὰς τῆς ἐλευθερίας ἐλπίδας. Ἀγαθοκλῆς δὲ τῆς
μάχης ἄρτι γεγενημένης καταπλεύσας τῆς Σικελίας εἰς
Σελινοῦντα, Ἡρακλεώτας μὲν ἠλευθερωκότας τὴν πό-
λιν ἠνάγκασε πάλιν ὑποτάττεσθαι· παρελθὼν δὲ ἐπὶ
θάτερον μέρος τῆς νήσου Θερμίτας μὲν προςαγαγόμενος
ὑποσπόνδους ἀφῆκε, τῶν Καρχηδονίων φρουρούντων
ταύτην τὴν πόλιν, Κεφαλοίδιον δὲ ἐκπολιορκήσας Λε-
πτίνην μὲν ταύτης ἐπιμελητὴν ἀπέλιπεν, αὐτὸς δὲ διὰ
τῆς μεσογείου ποιούμενος τὴν πορείαν ἐπεβάλετο μὲν
νυκτὸς εἰς τὰ Κεντόριπα παρειςπεσεῖν, εἰδεχομένων αὐ-
τόν τινων πολιτικῶν ἀνδρῶν, καταφανοῦς δὲ τῆς ἐπι-
βολῆς γενομένης καὶ τῶν φρουρῶν παραβοηθησάντων,
ἐξέπεσεν ἐκ τῆς πόλεως ἀποβαλὼν τῶν στρατιωτῶν πλεί-

22. ἄφρακτα] ἀφράκτων ὄντων FQW 25. Ἀγάθαρχον XY Bas., caeteri Ἀρχάγαθον 26. Σικελίας] Σικελίαν T Bas. 30. ἐξήγαγε] ἐξῆγε FW 35. ὅσους] libri οὓς πλείστους] libri πλείους 448. 38. τὸν Ἀκράγαντα TY Bas., caeteri τὴν Ἀκράγαντα 43. ἄρτι γεγεν.] ἀντιγεγεν. X 49. φρουρούντων] τοὺς φρουροῦντας Reiskius Κεφαλοίδιον] Κεφαλόδιν W „ex scriptura recentiore. Vid. ad Anton. Itiner. p. 92." Wess., κεφαλοίδιν F 52. τὰ Cluverius: libri τὸν 54. ἐπιβολῆς] libri ἐπιβουλῆς 56. τῶν om. F

ους τῶν πεντακοσίων. μετὰ δὲ ταῦτά τινων ἐκ τῆς Ἀπολλωνίας μεταπεμπομένων αὐτὸν καὶ τὴν πατρίδα προδώσειν ἐπαγγελλομένων, ἧκε πρὸς τὴν πόλιν. τῶν δὲ προδοτῶν καταφανῶν γενομένων καὶ κολασθέντων, κατὰ μὲν τὴν πρώτην ἡμέραν πολιορκήσας ἄπρακτος ἐγένετο, τῇ δ' ὑστεραίᾳ πολλὰ κακοπαθήσας καὶ συχνοὺς ἀποβαλὼν μόγις εἷλε τὴν πόλιν, καὶ τῶν Ἀπολλωνιατῶν τοὺς πλείστους ἀποσφάξας διήρπασε τὰς κτήσεις.

57 Τούτου δὲ περὶ ταῦτ' ὄντος, Δεινοκράτης ὁ τῶν φυγάδων ἡγούμενος ἀναλαβὼν τὴν Ἀκραγαντίνων προαίρεσιν, καὶ προστάτην αὐτὸν ἀναδείξας τῆς κοινῆς ἐλευθερίας, ἐποίησε πολλοὺς ἀπανταχόθεν συνδραμεῖν πρὸς αὐτόν. οἱ μὲν γὰρ διὰ τὴν ἔμφυτον πᾶσιν ἐπιθυμίαν τῆς αὐτονομίας οἱ δὲ διὰ τὸν Ἀγαθοκλέους φόβον προθύμως ὑπήκουον τοῖς παραγγελλομένοις. ἠθροισμένων δ' αὐτῶν πεζῶν μὲν οὐ πολὺ ἐλαττόνων διςμυρίων, ἱππέων δὲ χιλίων καὶ πεντακοσίων, καὶ πάντων τούτων ἐν φυγαῖς καὶ μελέταις τοῦ πονεῖν συνεχῶς γεγονότων, κατεστρατοπέδευσεν ἐν ὑπαίθρῳ, προκαλούμενος τῇ μάχῃ τὸν δυνάστην. τοῦ δ' Ἀγαθοκλέους λειπομένου πολὺ ταῖς δυνάμεσι καὶ φυγομαχοῦντος, ἐκ ποδὸς ἠκολούθει συνεχῶς, ἀκονιτὶ περιπεποιημένος τὴν νίκην. ἀπὸ δὲ τούτων τῶν καιρῶν τοῖς περὶ τὸν Ἀγαθοκλέα συνέβαινε πρὸς τὸ χεῖρον μεταβάλλειν οὐ μόνον τὰ κατὰ Σικελίαν ἀλλὰ καὶ τὰ κατὰ τὴν Λιβύην πράγματα. Ἀρχάγαθος γὰρ ὁ καταλειφθεὶς ὑπ' αὐτοῦ στρα- 449
τηγὸς μετὰ τὴν ἀναγωγὴν τοῦ πατρὸς τὸ μὲν πρῶτον ἐπλεονέκτει, πέμψας εἰς τοὺς ἄνω τόπους μέρος τι τῆς δυνάμεως, ἧς ἦν ἡγεμὼν Εὔμαχος. οὗτος γὰρ Τώκας πόλιν εὐμεγέθη χειρωσάμενος πολλοὺς προςηγάγετο τῶν πλησίον κατοικούντων Νομάδων. εἶθ' ἑτέραν ἐκπολιορκήσας τὴν ὀνομαζομένην Φελλίνην ἠνάγκασε πειθαρχεῖν τοὺς τὴν ἑξῆς χώραν νεμομένους τοὺς καλουμένους Ἀσφοδελώδεις, ὄντας τῷ χρώματι παραπλησίους τοῖς

61. τὴν πρώτην FW, caeteri πρώτην 63. μόγις F, caeteri μόλις 69. ἀπανταχόθεν] πολλαχόθεν FQW 70. συνδραμεῖν] δραμεῖν Bas. 72. παραγγελλομένοις] παραγγελμένοις Bas. 73. αὐτῶν] malim αὐτῷ 74. ἐλαττόνων] ἔλαττω τῶν F 76. πονεῖν] ποιεῖν Bas. 79. συνεχῶς] συνέχων QXY Bas. 80 περιπ.] καὶ περιπ. QXY Bas. 82. μεταβάλλειν W, caeteri μεταβαλεῖν 83. τὴν om. F 449. 86. μέρος] μέρους W 87. τι om. F ἦν] ἦν γε W, an omisso ἡγεμὼν nescio 88. Τώκας] τόκας F 92. τῷ χρώματι] τοῖς χρώμασι W



Αἰθίοψι. τρίτην δ' εἷλε Μεσχέλαν, μεγίστην οὖσαν, ᾠκισμένην δὲ τὸ παλαιὸν ὑπὸ τῶν ἐκ Τροίας ἀνακομιζομένων Ἑλλήνων, περὶ ὧν ἐν τῇ τρίτῃ βίβλῳ προειρήκαμεν, ἑξῆς δὲ τὴν ὀνομαζομένην ἄκραν Ἵππου, τὴν ὁμώνυμον τῇ χειρωθείσῃ κατὰ κράτος ὑπ' Ἀγαθοκλέους, καὶ τελευταίαν τὴν προςαγορευομένην Ἀκρίδα πόλιν αὐτόνομον, ἣν ἐξανδραποδισάμενος ἐξέδωκε τοῖς στρατιώταις διαρπάσαι.

58 ἐμπλήσας δ' ὠφελείας τὸ στρατόπεδον κατέβη πρὸς τοὺς περὶ τὸν Ἀρχάγαθον, καὶ δόξας ἀγαθὸς ἀνὴρ γεγονέναι πάλιν ἐστράτευσεν εἰς τοὺς ἄνω τῆς Λιβύης τόπους. ὑπερβαλὼν δὲ τὰς πόλεις ὧν πρότερον ἐγεγόνει κύριος παρειςέπεσεν εἰς τὴν καλουμένην Μιλτίνην πόλιν, ἀπροςδοκήτως ἐπιφανείς. συστραφέντων δ' ἐπ' αὐτὸν τῶν βαρβάρων καὶ κρατησάντων ἐν ταῖς ὁδοῖς, ἐξεβλήθη παραλόγως καὶ πολλοὺς τῶν στρατιωτῶν ἀπέβαλεν. ἐντεῦθεν δ' ἀναζεύξας προῆγε δι' ὄρους ὑψηλοῦ παρήκοντος ἐπὶ σταδίους διακοσίους, πλήρους δ' ὄντος αἰλούρων, ἐν ᾧ συνέβαινε μηδὲν ὅλως πτηνὸν νεοττεύειν μήτε ἐπὶ τοῖς δένδρεσι μήτε ἐπὶ ταῖς φάραγξι διὰ τὴν ἀλλοτριότητα τῶν προειρημένων ζῴων. διελθὼν δὲ τὴν ὀρεινὴν ταύτην ἐνέβαλεν εἰς χώραν ἔχουσαν πλῆθος πιθήκων καὶ πόλεις τρεῖς τὰς ἀπὸ τούτων τῶν ζῴων ὀνομαζομένας εἰς τὸν Ἑλληνικὸν τρόπον τῆς διαλέκτου μεθερμηνευομένας Πιθηκούσσας. ἐν δὲ ταύταις οὐκ ὀλίγα τῶν νομίμων πολὺ παρήλλαττε τῶν παρ' ἡμῖν. τάς τε γὰρ αὐτὰς οἰκίας οἱ πίθηκοι κατῴκουν τοῖς ἀνθρώποις, θεοὶ παρ' αὐτοῖς νομιζόμενοι, καθάπερ παρ' Αἰγυπτίοις οἱ κύνες, ἔκ τε τῶν παρεσκευασμένων ἐν τοῖς ταμιείοις τὰ ζῷα τὰς τροφὰς ἐλάμβανον ἀκωλύτως ὁπότε βούλοιντο. καὶ τὰς προςηγορίας δ' ἐτίθεσαν οἱ γονεῖς τοῖς παισὶ κατὰ τὸ πλεῖστον ἀπὸ τῶν πιθήκων, ὥςπερ παρ' ἡμῖν ἀπὸ τῶν θεῶν. τοῖς δ' ἀποκτείνασι τοῦτο τὸ ζῷον ὡς ἠσεβηκόσι τὰ μέγιστα θάνατος ὥριστο πρόςτιμον· διὸ δὴ καὶ παρά τισιν ἐνίσχυσεν ἐν παροιμίας μέρει λεγό-

94. Μεσχέλαν] Μασχάλαν FQW 96. τρίτῃ] vide annotationem 99. τελευταίαν] τελευταῖον W 100. αὐτόνομον ἣν] αὐτονομουμένην FQW 7. Μιλτίνην] Μιλτιάνην FW 10. ἀναζεύξας] διαζεύξας καὶ ἀναζεύξας X 11. προῆγε] προῆλθε W δι' ὄρους] προῆγεν ἐπ' ὄρους F 13. μηδὲν] μηδὲ ἓν FW ὅλως om. F 14. ἐπὶ ταῖς] ἐν ταῖς Reiskius 18. τῶν ζῴων om. FW, asterisco notavit Stephanus 19. Πιθηκούσας F Bas. 21. παρ'] ἐν TX Bas. 24. ταμιείοις TW, caeteri ταμείοις 26. βούλοιντο F, caeteri βούλοιτο

μενον ἐπὶ τῶν ἀνατὶ κτεινομένων ὅτι πιθήκου αἷμα 450 ἀποτίσειαν. ὁ δ' οὖν Εὔμαχος μίαν μὲν τούτων τῶν πόλεων ἑλὼν κατὰ κράτος διήρπασε, τὰς δὲ δύο προςηγάγετο. πυνθανόμενος δὲ τοὺς περιοικοῦντας βαρβάρους ἀθροίζειν ἐπ' αὐτὸν μεγάλας δυνάμεις, προῆγε συντονώτερον, διεγνωκὼς ἐπανιέναι πρὸς τοὺς ἐπὶ θαλάττῃ τόπους.

59 Μέχρι μὲν δὴ τούτων τῶν καιρῶν ἐν τῇ Λιβύῃ κατὰ νοῦν ἅπαντα τὰ πράγματα τοῖς περὶ τὸν Ἀρχάγαθον ἦν. μετὰ δὲ ταῦτα τῆς γερουσίας ἐν Καρχηδόνι βουλευσαμένης περὶ τοῦ πολέμου καλῶς ἔδοξε τοῖς συνέδροις τρία στρατόπεδα ποιήσαντας ἐκ τῆς πόλεως ἐκπέμψαι, τὸ μὲν ἐπὶ τὰς παραθαλαττίους πόλεις, τὸ δ' εἰς τὴν μεσόγειον, τὸ δ' εἰς τοὺς ἄνω τόπους. ἐνόμιζον γὰρ τοῦτο πράξαντες πρῶτον μὲν τὴν πόλιν ἀπαλλάξειν τῆς πολιορκίας, ἅμα δὲ καὶ τῆς σιτοδείας· πολλῶν γὰρ καὶ παντοδαπῶν ὄχλων συμπεφευγότων εἰς τὴν Καρχηδόνα συνέβαινε πάντων γεγονέναι σπάνιν, ἐξανηλωμένων ἤδη τῶν ἐπιτηδείων· ὁ δὲ τῆς πολιορκίας οὐκ ἦν κίνδυνος, ἀπροςίτου τῆς πόλεως οὔσης διὰ τὴν ἀπὸ τῶν τειχῶν καὶ τῆς θαλάττης ὀχυρότητα· ἔπειθ' ὑπελάμβανον καὶ τοὺς συμμάχους διαμενεῖν μᾶλλον πλειόνων στρατοπέδων ὄντων ἐν ὑπαίθρῳ τῶν παραβοηθούντων· τὸ δὲ μέγιστον, ἤλπιζον καὶ τοὺς πολεμίους ἀναγκασθήσεσθαι μερίζειν τὰς δυνάμεις καὶ μακρὰν ἀποσπᾶσθαι τῆς Καρχηδόνος· ἅπερ ἅπαντα κατὰ τὴν ἐπίνοιαν αὐτῶν συνετελέσθη. τρισμυρίων μὲν γὰρ στρατιωτῶν ἐκ τῆς πόλεως ἐκπεμφθέντων οἱ καταλειπόμενοι ἔμποροι οὐχ οἷον ἱκανὰ πρὸς αὐτάρκειαν εἶχον, ἀλλ' ἐκ περιουσίας ἐχρῶντο δαψιλέσι πᾶσιν· οἵ τε σύμμαχοι τὸ πρὸ τοῦ διὰ τὸν ἀπὸ τῶν πολεμίων φόβον ἀναγκαζόμενοι προςτίθεσθαι τοῖς πολε-

31. ἀνατὶ κτεινομένων] ἀνατεὶ κτεινομένων T, ἀνακτεινομένων W, caeteri ἀνατεινομένων

450. 32. ἀποτίσειαν Stephanus: libri ποτίσειαν 34. πυνθανόμενος] πυθόμενος F 36. συντονώτερον] libri συντομώτερον 37. ἐπὶ θαλάττῃ] ἐπιθαλαττίους FQW 39. μὲν] μὲν οὖν FW 45. μεσόγειον] μεσόγαιαν W, μεσόγαιαν F, qui totum locum sic invertit: τόδ' ἐπὶ τοὺς ἄνω τόπους, τὸ δὲ εἰς τὴν μεσόγαιαν 46. πράξαντες] πράξαντας F 47. ἀπαλλάξειν] ἀπαλλάξαι FW 48. ἅμα δὲ] malim ἅμα τε 50. ἐξανηλ.] ἐξαναλ. X 58. ἀποσπᾶσθαι] ἀπεσπάσθαι Bas. 61. καταλειπόμενοι] καταλιπόμενοι FW ἔμποροι] desidero ἐν τῇ πόλει vel tale quid 62. ἐκ FQW, caeteri εἰς 63. τε] malim δὲ



μίοις τότε πάλιν θαῤῥήσαντες ἀνέτρεχον εἰς τὴν προϋ-
πάρχουσαν φιλίαν.
Ὁ δ' Ἀρχάγαθος ὁρῶν διειλημμένην ἅπασαν τὴν 60
Λιβύην πολεμίοις στρατοπέδοις, καὶ αὐτὸς διεῖλε τὴν
δύναμιν· καὶ μέρος μὲν ἐξέπεμψεν εἰς τὴν παραθαλάτ-
τιον, τῆς δ' ἄλλης στρατιᾶς ἣν μὲν Αἰσχρίωνι παρα-
δοὺς ἐξέπεμψεν, ἧς δ' αὐτὸς ἡγεῖτο, καταλιπὼν τὴν
ἱκανὴν φυλακὴν ἐπὶ τοῦ Τύνητος. τοσούτων δὲ στρα-
τοπέδων ἐπὶ τῆς χώρας πανταχῇ πλαζομένων, καὶ προς-
δοκωμένης ἔσεσθαι πραγμάτων ὁλοσχεροῦς μεταβολῆς,
ἅπαντες ἠγωνίων, καραδοκοῦντες τὸ τέλος τῶν ἀποβη-
σομένων. Ἄννων μὲν οὖν ἡγούμενος τοῦ κατὰ τὴν με-
σόγειον στρατοπέδου θεὶς ἐνέδραν τοῖς περὶ τὸν Αἰ-
σχρίωνα, καὶ παραδόξως ἐπιθέμενος, ἀνεῖλε πεζοὺς μὲν
πλείους τῶν τετρακισχιλίων, ἱππεῖς δὲ περὶ διακοσίους,
ἐν οἷς ἦν καὶ αὐτὸς ὁ στρατηγός· τῶν δ' ἄλλων οἳ μὲν
ἥλωσαν, οἱ δὲ διεσώθησαν πρὸς Ἀρχάγαθον, ἀπέχοντα
σταδίους πεντακοσίους. Ἰμίλκων δ' ἐπὶ τοὺς ἄνω τό-
πους στρατεύειν ἀποδειχθεὶς τὸ μὲν πρῶτον ἐφήδρευε
τῇ πόλει πρὸς τὸν Εὔμαχον, ἐφελκόμενον βαρὺ τὸ στρα-
451 τόπεδον διὰ τὰς ἐκ τῶν ἁλουσῶν πόλεων ὠφελείας. με-
τὰ δὲ ταῦτα τῶν Ἑλλήνων ἐκταξάντων τὴν δύναμιν καὶ
προκαλουμένων εἰς μάχην, Ἰμίλκων μέρος μὲν τῆς στρα-
τιᾶς κατέλιπε διεσκευασμένον ἐν τῇ πόλει, διακελευσά-
μενος, ὅταν αὐτὸς ἀναχωρῇ προςποιούμενος φεύγειν,
ἐπεξελθεῖν τοῖς ἐπιδιώκουσιν· αὐτὸς δὲ προαγαγὼν τοὺς
ἡμίσεις τῶν στρατιωτῶν καὶ μικρὸν πρὸ τῆς παρεμβο-
λῆς συνάψας μάχην, εὐθὺς ἔφευγεν ὡς καταπεπληγμέ-
νος. οἱ δὲ περὶ τὸν Εὔμαχον ἐπαρθέντες τῇ νίκῃ καὶ
τῆς τάξεως οὐδὲν φροντίσαντες ἐδίωκον καὶ τεθορυβη-
μένως τῶν ὑποχωρούντων ἐξήπτοντο· ἄφνω δὲ καθ'
ἕτερον μέρος τῆς πόλεως ἐκχυθείσης τῆς δυνάμεως κα-
τεσκευασμένης, καὶ πλήθους ἱκανοῦ πρὸς ἓν παρακέλευ-
σμα συναλαλάξαντος, κατεπλάγησαν. ἐμβαλόντων οὖν
τῶν βαρβάρων εἰς ἀσυντάκτους καὶ πεφοβημένους διὰ

65. ἀνέτρεχον] ἔτρεχον TX Bas. εἰς] πρὸς FW 74. 77. τὴν om. Bas. 82. ὁλοσχεροῦς] libri ὁλοσχερῶν 83. στρατεύειν QTXY Bas., caeteri στρατηγὸς Ἰμίλκων] Ἀμίλκων FW 84. 89. 97. πόλει — πόλεως] παρεμβολῇ — παρεμβολῆς Reiskius πρὸς] προςδοκῶν vel προςδεχόμενος Reiskius 85. ἐφελκόμενον FTW, caeteri ἐφελκόμενος 451. 87. προκαλ.] προςκαλ. Bas. 88. Ἰμίλκων] Ἀμίλκων FW μέρος μὲν] μὲν μέρος F 92. προαγαγὼν Y, caeteri προάγων τοὺς ἡμίσεις om. F 93. ἔφευγεν] ἔφυγεν Bas. 1. ἀσυντάκτους — Ἑλλήνων] τὰς ἀσυντάκτους αὐτῶν φάλαγγας, ταχὺ τροπὴν συνέβη γενέσθαι τῶν Ἑλλήνων πεφοβημένων QX

τὸ παράδοξον, ταχὺ τροπὴν συνέβη γενέσθαι τῶν Ἑλλήνων. ὑποτεμομένων γὰρ τῶν Καρχηδονίων τὴν εἰς τὴν στρατοπεδείαν ἀποχώρησιν τῶν πολεμίων, ἠναγκάσθησαν οἱ περὶ τὸν Εὔμαχον καταφυγεῖν ἐπὶ τον πλησίον λόφον ὕδατος σπανίζοντα. περιστρατοπεδευσάντων δὲ τὸν τόπον τῶν Φοινίκων, ἅμα μὲν ὑπὸ τοῦ δίψους καταπονηθέντες, ἅμα δ' ὑπὸ τῶν πολεμίων κρατούμενοι, σχεδὸν ἅπαντες ἀνῃρέθησαν. ἀπὸ μὲν γὰρ πεζῶν ὀκτακιςχιλίων τριάκοντα μόνον διεσώθησαν, ἀπὸ δ' ἱππέων ὀκτακοσίων τετταράκοντα διέφυγον τὸν κίνδυνον.

61 Ὁ δ' Ἀρχάγαθος τηλικαύτῃ συμφορᾷ περιπεσὼν ἐπανῆλθεν εἰς Τύνητα. καὶ τῶν μὲν ἐκπεμφθέντων στρατιωτῶν τοὺς περιλειπομένους μετεπέμπετο πανταχόθεν, εἰς δὲ τὴν Σικελίαν ἐξέπεμψε τοὺς δηλώσοντας τῷ πατρὶ τὰ συμβεβηκότα καὶ παρακαλέσοντας βοηθεῖν τὴν ταχίστην. τοῖς δὲ προγεγονόσιν ἀτυχήμασιν ἑτέρα τοῖς Ἕλλησιν ἐλάττωσις ἐπεγένετο· ἀπέστησαν μὲν γὰρ ἀπ' αὐτῶν πλὴν ὀλίγων ἅπαντες σύμμαχοι, συνεστράφησαν δὲ αἱ τῶν πολεμίων δυνάμεις καὶ πλησίον ποιησάμενοι παρεμβολὰς ἐφήδρευον. Ἰμίλκων μὲν γὰρ κατελάβετο τὰ στενά, καὶ τῶν ἀπὸ τῆς χώρας εἰςβολῶν ἀπέκλεισε τοὺς ἐναντίους, ἀπέχοντας σταδίους ἑκατόν· ἐκ δὲ θατέρου μέρους ἐστρατοπέδευσεν Ἀτάρβας ἀπὸ τετταράκοντα σταδίων τοῦ Τύνητος. διόπερ τῶν πολεμίων οὐ μόνον τῆς θαλάττης ἀλλὰ καὶ τῆς χώρας κυριευόντων σιτοδείᾳ τε συνέβαινε συνέχεσθαι τοὺς Ἕλληνας καὶ τῷ φόβῳ πάντοθεν κατείχοντο. ἐν ἀθυμίᾳ δὲ δεινῇ πάντων ὄντων, Ἀγαθοκλῆς ὡς ἐπύθετο τὰ κατὰ τὴν Λιβύην ἐλαττώματα, παρεσκευάσατο ναῦς μακρὰς ἑπτακαίδεκα, διανοούμενος βοηθεῖν τοῖς περὶ τὸν Ἀρχάγαθον. καὶ τῶν κατὰ Σικελίαν δὲ πραγμάτων ἐπὶ τὸ χεῖρον αὐτῷ μεταβεβληκότων διὰ τὸ τοὺς περὶ Δεινοκράτην φυγάδας ηὐξῆσθαι ἐπὶ πλεῖον, τὸν μὲν ἐν τῇ νήσῳ πόλεμον τοῖς περὶ Λεπτίνην στρατηγοῖς ἐνεχείρισεν, αὐτὸς δὲ πληρώσας τὰς ναῦς ἐπετήρει τὸν τοῦ πλοῦ καιρόν, ἐφορμούντων τῶν Καρχηδονίων τριάκοντα ναυσί. καθ' ὃν δὴ 452

19. ἑτέρα — ἐλάττωσις ἐπεγένετο] ἕτεραι — ἐλαττώσεις ἐπεγένοντο FQW 20. ἐπεγένετο] ἐγένετο T Bas. μὲν γὰρ] γὰρ Bas. ἀπ' αὐτῶν] ἁπάντων F 24. τῶν — εἰςβολῶν] ῶν ῶν τὴν — εἰςβολὴν F 25. δὲ om. Bas. 26. ἐστρατοπέδευσεν [Ἀ.] Ἀ. ἐστρατοπέδευσεν F τετταράκοντα] μ Bas., caeteri τεσσαράκοντα 29. τε] δὲ Bas. 31. πάντων] τούτων FW 33. ναῦς] libri ναῦς τε 35. μεταβεβληκότων] διαβεβηκότων FW 36. περὶ] περὶ τὸν F 40. τῶν] τε τῶν F



χρόνον ἐκ τῆς Τυῤῥηνίας αὐτῷ κατέπλευσαν ὀκτωκαίδεκα νῆες ἐπὶ βοήθειαν, αἳ διὰ νυκτὸς εἰς τὸν λιμένα εἰςπεσοῦσαι τοὺς Καρχηδονίους ἔλαθον. ὁ δ' Ἀγαθοκλῆς ταύτης τυχὼν τῆς ἀφορμῆς κατεστρατήγησε τοὺς πολεμίους, τοῖς μὲν συμμάχοις μένειν παραγγείλας μέχρι ἂν αὐτὸς ἐκπλεύσας ἐπισπάσηται τοὺς Φοίνικας εἰς τὸν διωγμόν, αὐτὸς δέ, καθάπερ ἦν συντεθειμένος, ἐκ τοῦ λιμένος ἀνήχθη κατὰ σπουδὴν τοῖς ἑπτακαίδεκα σκάφεσιν. εἶθ' οἱ μὲν ἐφορμοῦντες ἐδίωκον, οἱ δὲ περὶ τὸν Ἀγαθοκλέα κατανοήσαντες τοὺς Τυῤῥηνοὺς παραφαινομένους ἐκ τοῦ λιμένος, ἄφνω τὰς ναῦς ἐπέστρεψαν, καὶ καταστάντες εἰς ἐμβολὴν διεναυμάχουν τοῖς βαρβάροις. οἱ δὲ Καρχηδόνιοι διά τε τὸ παράδοξον καὶ διὰ τὸ τῶν πολεμίων εἰς μέσον ἀπολαμβάνεσθαι τὰς ἰδίας τριήρεις καταπλαγέντες ἔφυγον. εἶθ' οἱ μὲν Ἕλληνες πέντε νεῶν αὐτάνδρων ἐκυρίευσαν, ὁ δὲ τῶν Καρχηδονίων στρατηγὸς ἁλισκομένης ἤδη τῆς ναυαρχίδος ἀπέσφαξεν ἑαυτόν, προκρίνας τὸν θάνατον τῆς προσδοκηθείσης αἰχμαλωσίας. οὐ μὴν ἐφάνη γε εὖ βεβουλευμένος· ἡ γὰρ ναῦς φοροῦ πνεύματος ἐπιλαβομένη τοῦ δόλωνος ἀρθέντος ἐξέφυγε τὸν κίνδυνον.

62 Ἀγαθοκλῆς μὲν οὖν οὐδ' ἐλπίδας ἔχων τοῦ κατὰ θάλατταν περιέσεσθαί ποτε τῶν Καρχηδονίων ἐνίκησε ναυμαχίᾳ παραδόξως, καὶ τὸ λοιπὸν θαλαττοκρατῶν παρείχετο τοῖς ἐμπόροις τὴν ἀσφάλειαν. διόπερ οἱ Συρακόσιοι, πάντοθεν πρὸς αὐτοὺς κομιζομένης ἀγορᾶς, ἀντὶ τῆς τῶν ἐπιτηδείων σπάνεως ταχέως πάντων ἔσχον δαψίλειαν. ὁ δὲ δυνάστης μετεωρισθεὶς τῷ γεγονότι προτερήματι Λεπτίνην ἐξαπέστειλε λεηλατήσοντα τὴν πολεμίαν, καὶ μάλιστα τὴν Ἀκραγαντίνην. ὁ γὰρ Ξενόδοκος διὰ τὴν γεγενημένην ἧτταν βλασφημούμενος ὑπὸ τῶν ἀντιπολιτευομένων ἐστασίαζε πρὸς αὐτούς. παρήγγειλεν οὖν τῷ Λεπτίνῃ πειρᾶσθαι προκαλέσασθαι τὸν

452. 41. ἐκ τῆς] ἐκ F Bas. 42. νῆες FW, caeteri ναῦς 46. μέχρι] μέχρις F 47. εἰς] πρὸς T Bas. 48. συντεθειμένος] συντεθειμένον FW 50. ἐφορμοῦντες] ἐφορμῶντες Bas. 52. ἐπέστρεψαν] ἀπέστρεψαν Q 53. ἐμβολὴν] ἔμβολον W, ἔμβολον F (ἦν superscr.) διεναυμάχουν] διεναυμάχει F 55. ἀπολαμβάνεσθαι] ἀναλαμβάνεσθαι Bas. 61. φοροῦ] ἐφόρου F 62. τοῦ δόλωνος] ἅμα τοῦ ἱστίου FQW 65. ποτε post θάλατταν ponit F libri θαλασσοκρατῶν 68. Συρακόσιοι Y Bas. 70. τῶν om. Bas. πάντων ἔσχον] ἔσχον πάντων F 73. Ἀκραγαντίνην] Ἀκραγαντίνων W 75. ἐστασίαζε] ἐστασιάζετο FW παρήγγειλεν F, caeteri παρήγγειλε μὲν 76. προκαλέσασθαι] καὶ προκαλεῖσθαι W, καὶ προςκαλεῖσθαι F

ἄνδρα πρὸς τὴν μάχην· ῥᾳδίως γὰρ προτερήσειν ὡς στασιαζούσης δυνάμεως καὶ προηττημένης· ὅπερ καὶ συνετελέσθη. ὁ μὲν γὰρ Λεπτίνης ἐμβαλὼν εἰς τὴν Ἀκραγαντίνην τὴν χώραν ἐδῄου· ὁ δὲ Ξενόδοκος τὸ μὲν πρῶτον ἡσυχίαν εἶχεν, οὐ νομίζων αὐτὸν ἀξιόμαχον εἶναι· ὀνειδιζόμενος δὲ ὑπὸ τῶν πολιτῶν εἰς δειλίαν, προήγαγε τὴν στρατιάν, τῷ μὲν ἀριθμῷ βραχὺ λειπομένην τῶν ἐναντίων, τῇ δ' ἀρετῇ πολὺ καταδεεστέραν οὖσαν, ὡς ἂν τῆς μὲν πολιτικῆς ἐν ἀνέσει καὶ σκιατραφίᾳ γεγενημένης, τῆς δ' ἐν ἀγραυλίᾳ καὶ συνεχέσι στρατείαις γεγυμνασμένης. διὸ καὶ μάχης γενομένης οἱ περὶ τὸν Λεπτίνην 453 ταχὺ τοὺς Ἀκραγαντίνους τρεψάμενοι συνεδίωξαν εἰς τὴν πόλιν· ἔπεσον δ' ἐπὶ τῆς παρατάξεως τῶν ἡττηθέντων πεζοὶ μὲν περὶ πεντακοσίους, ἱππεῖς δὲ πλείω τῶν πεντήκοντα. εἶθ' οἱ μὲν Ἀκραγαντῖνοι δυςφοροῦντες ἐπὶ τοῖς ἐλαττώμασιν ἐν αἰτίαις εἶχον τὸν Ξενόδοκον, ὡς δι' ἐκεῖνον δὶς ἡττημένοι· ὁ δὲ φοβηθεὶς τὰς ἐπιφερομένας εὐθύνας καὶ κρίσεις ἀπεχώρησεν εἰς τὴν Γέλαν.

63 Ἀγαθοκλῆς δὲ ἐν ἡμέραις ὀλίγαις καὶ πεζῇ καὶ κατὰ θάλατταν νενικηκὼς τοὺς πολεμίους ἔθυε τοῖς θεοῖς καὶ λαμπρὰς ὑποδοχὰς τῶν φίλων ἐποιεῖτο. ἀπετίθετο δ' ἐν τοῖς πότοις τὸ τῆς τυραννίδος ἀξίωμα, καὶ τῶν τυχόντων ἰδιωτῶν ταπεινότερον ἑαυτὸν ἀπεδείκνυεν, ἅμα μὲν διὰ τῆς τοιαύτης πολιτείας θηρώμενος τὴν παρὰ τῶν πολλῶν εὔνοιαν, ἅμα δὲ διδοὺς ἐν τῇ μέθῃ καθ' αὑτοῦ παῤῥησίαν ἀκριβῶς κατενόει τὴν ἑκάστου διάνοιαν, τῆς ἀληθείας ἐκφερομένης ἀπαρακαλύπτως διὰ τὸν οἶνον. ὑπάρχων δὲ καὶ φύσει γελωτοποιὸς καὶ μῖμος οὐδ' ἐν ταῖς ἐκκλησίαις ἀπείχετο τοῦ σκώπτειν τοὺς καθημένους καί τινας αὐτῶν εἰκάζειν, ὥςτε τὸ πλῆθος πολλάκις εἰς γέλωτα ἐκτρέπεσθαι, καθάπερ τινὰ τῶν ἠθολόγων ἢ θαυματοποιῶν θεωροῦντας. δορυφορούμενος δὲ ὑπὸ πλήθους, εἰς τὰς ἐκκλησίας εἰςῄει μόνος, οὐχ ὁμοίως Διονυσίῳ τῷ τυράννῳ· οὗτος γὰρ ἐπὶ τοσοῦτον ἀπίστως διέκειτο πρὸς ἅπαντας ὥςτε κατὰ μὲν τὸ πλεῖστον κομᾶν καὶ πωγωνοτροφεῖν, ὅπως μὴ συναναγκασθῇ τῷ τοῦ κουρέως σιδήρῳ παραβάλλειν τὰ κυριώτατα μέρη τοῦ σώματος· εἰ δὲ καί ποτε χρεία γένοιτο τὴν κεφαλὴν ἀποκείρασθαι, περιέκαε τὰς τρίχας, μίαν ἀσφάλειαν τυραννίδος ἀποφαινόμενος τὴν ἀπιστίαν. ὁ δ' οὖν Ἀγαθοκλῆς παρὰ τὸν πότον λαβὼν ῥυτὸν μέγαν χρυσοῦν εἶπεν ὡς οὐ πρότερον ἀπέστη τῆς κεραμευτικῆς τέχνης, ἕως τοιαῦτα ἐκπωμάτων πλάσματα φιλοτεχνῶν ἐκεραμεύσατο. οὐ γὰρ ἀπηρνεῖτο τὴν ἐπιστήμην, ἀλλὰ καὶ τοὐναντίον ἐκαυχᾶτο, διὰ τῆς ἰδίας ἀρετῆς ἀποφαινόμενος ἀντὶ τοῦ ταπεινοτάτου βίου τὸν ἐπιφανέστατον μετειληφέναι. καί ποτε πολιορκοῦντος αὐτοῦ τινα τῶν οὐκ ἀδόξων πόλεων, καὶ τῶν ἀπὸ τοῦ τείχους ἀποβοώντων, Κεραμεῦ καὶ καμινεῦ, πότε τοὺς μισθοὺς ἀποδώσεις τοῖς στρατιώταις; ὑπολαβὼν εἶπεν, Ὅταν ταύτην ἐξέλω. οὐ μὴν ἀλλὰ διὰ τὴν ἐν τοῖς πότοις εὐτραπελίαν κατανοήσας τῶν μεθυόντων τοὺς ἀλλοτρίως τὰ πρὸς τὴν δυναστείαν ἔχοντας, παρέλαβεν αὐτούς ποτε κατ' ἰδίαν πάλιν ἐπὶ τὴν ἑστίασιν καὶ τῶν ἄλλων Συρακοσίων τοὺς μάλιστα πεφρονηματισμένους, τὸν ἀριθμὸν πεντακοσίους ὄντας· οἷς περιστήσας τῶν μισθοφόρων τοὺς εὐθέτους ἅπαντας ἀπέσφαξε. σφόδρα γὰρ εὐλαβεῖτο μὴ χωρισθέντος αὐτοῦ εἰς Λιβύην καταλύσωσι τὴν 454 δυναστείαν ἐπικαλεσάμενοι τοὺς μετὰ Δεινοκράτους φυγάδας.

Τοῦτον δὲ τὸν τρόπον ἀσφαλισάμενος τὰ κατὰ τὴν ἀρχὴν ἐξέπλευσεν ἐκ τῶν Συρακουσῶν. καὶ κομισθεὶς 64 εἰς Λιβύην κατέλαβε τὸ στρατόπεδον ἐν ἀθυμίᾳ καὶ σπάνει πολλῇ· διόπερ κρίνων συμφέρειν διαγωνίζεσθαι, παρεκάλεσε τοὺς στρατιώτας εἰς τὸν κίνδυνον, καὶ προαγαγὼν τὴν δύναμιν ἐκτεταγμένην προεκαλεῖτο τοὺς βαρβάρους εἰς μάχην. εἶχε δὲ πεζοὺς μὲν τοὺς ἅπαντας ὑπολειπομένους Ἕλληνας ἑξακιςχιλίους, Κελτοὺς δὲ καὶ Σαμνίτας καὶ Τυῤῥηνοὺς τούτων οὐκ ἐλάττους, Λίβυας δὲ μικρὸν ἀπολείποντας τῶν μυρίων, οὓς ἐφέδρους εἶναι συνέβαινε, συμμεταβαλλομένους ἀεὶ τοῖς καιροῖς. χωρὶς δὲ τούτων ἠκολούθουν ἱππεῖς χίλιοι πεντακόσιοι, ζεύγη

79. Ἀκραγαντίνην] Ἀκραγαντίνων F Bas. 80. τὴν χώραν ἐδῄου] invertit F 83. προήγαγε] ἦγε Q 86. σκιατραφίᾳ F, caeteri σκιατροφίᾳ 87. στρατείαις] πόνοις καὶ στρατίαις F
453. 91. πλείω] scribe πλείους vel πλεῖον 97. ἡμέραις ὀλίγαις] invertit F 98. νενικηκὼς] νικήσας T 3. παρὰ om. F 6. ἐκφερομένης] φαινομένης FQW 9. τὸ πλῆθος πολλάκις] πολλάκις τὸ πλῆθος F 14. ἀπίστως] ἀπιστίας FW



17. παραβάλλειν] παραβαλεῖν Bas. 19. περιέκαε] scribendum περιέκαιε 23. πλάσματα] πλασμάτων W 29. καμινεῦ] κεραμιεῦ Bas. 33. τὰ om. W 35. Συρακοσίων Bas. 39. αὐτοῦ εἰς Λιβύην] εἰς λιβύην αὐτοῦ F
454. 44. κατέλαβε] κατελάβετο FW et omisso τὸ Bas. 45. κρίνων] κρίνας FW 47. προαγαγὼν] προαπαγὼν F 48. εἰς] ἐς F 49. πεζοὺς μὲν om. FW ὑπολιπομένους F 50. Σαμνίτας — τούτων] Σαυνίτας (sic et F) τῶν μυρίων X 52. ἀπολιπόντας F 53. συμμεταβαλλομένοις F

δὲ Λιβύων πλείω τῶν ἑξακιςχιλίων. οἱ δὲ Καρχηδόνιοι κατεστρατοπεδευκότες ἐπὶ τῶν ὑπερδεξίων καὶ δυςπροςίτων διακινδυνεύειν μὲν πρὸς ἀνθρώπους ἀπογινώσκοντας τὴν σωτηρίαν οὐκ ἔκρινον, μένοντες δ' ἐν τῇ παρεμβολῇ καὶ πάντων εὐποροῦντες τῇ σπάνει καὶ τῷ χρόνῳ καταπολεμήσειν τοὺς ἐναντίους ἤλπιζον. ὁ δ' Ἀγαθοκλῆς, οὐ δυνάμενος μὲν αὐτοὺς εἰς τὰ πεδία προάγεσθαι, τῶν δὲ καιρῶν ἀναγκαζόντων τολμᾶν τι καὶ παραβάλλεσθαι, τὴν δύναμιν ἤγαγεν ἐπὶ τὴν τῶν βαρβάρων στρατοπεδείαν. ἐπεξελθόντων οὖν τῶν Καρχηδονίων, καὶ πολὺ τῷ πλήθει καὶ ταῖς δυςχωρίαις ὑπερεχόντων, ἐπὶ μέν τινα χρόνον οἱ περὶ τὸν Ἀγαθοκλέα διεκαρτέρουν πάντοθεν ἐκθλιβόμενοι, μετὰ δὲ ταῦτ' ἐνδόντων τῶν τε μισθοφόρων καὶ τῶν ἄλλων ἠναγκάσθησαν ἀναχωρῆσαι πρὸς τὴν στρατοπεδείαν. οἱ δὲ βάρβαροι βαρέως ἐπικείμενοι τοὺς μὲν Λίβυας παρήλλαττον οὐδὲν ἐνοχλοῦντες, ἵνα τὴν εὔνοιαν αὐτῶν ἐκκαλέσωνται, τοὺς δ' Ἕλληνας καὶ μισθοφόρους γνωρίζοντες διὰ τῶν ὅπλων ἐφόνευον, μέχρι ὅτου συνεδίωξαν εἰς τὴν παρεμβολήν. τότε μὲν οὖν ἀνηρέθησαν Ἀγαθοκλέους εἰς τριςχιλίους· κατὰ δὲ τὴν ἐπιοῦσαν νύκτα τὰς δυνάμεις ἀμφοτέρας συνέβη περιπεσεῖν παραλόγῳ τινὶ συμφορᾷ καὶ πᾶσιν ἀνελπίστῳ.

65 Τῶν γὰρ Καρχηδονίων μετὰ τὴν νίκην τοὺς καλλίστους τῶν αἰχμαλώτων θυόντων χαριστήρια νυκτὸς τοῖς θεοῖς, καὶ πολλοῦ πυρὸς τοὺς ἱεροκαυτουμένους ἄνδρας κατέχοντος, ἐξαίφνης πνεύματος ἐπιπεσόντος συνέβη τὴν ἱερὰν σκηνὴν ἀναφθῆναι, πλησίον οὖσαν τοῦ βωμοῦ, ἀπὸ δὲ ταύτης τὴν στρατηγικὴν καὶ κατὰ τὸ συνεχὲς οὔσας τῶν ἡγεμόνων, ὥςτε πολλὴν ἔκπληξιν γενέσθαι καὶ φόβον κατὰ πᾶν τὸ στρατόπεδον. τινὲς μὲν γὰρ τὸ πῦρ ἐπιχειροῦντες σβέσαι, τινὲς δὲ τὰς πανοπλίας καὶ τὰ πολυτελέστατα τῶν παρεσκευασμένων ἐκκομίζοντες, ὑπὸ τῆς φλογὸς ἀπελαμβάνοντο· τῶν γὰρ σκηνῶν ἐκ καλάμου καὶ χόρτου συγκειμένων, καὶ τοῦ πυρὸς ὑπὸ τοῦ πνεύματος βιαιότερον ἐκριπισθέντος, ἡ

57. διακινδυνεύειν] καὶ διακινδυνεύειν F 61. μὲν om. Bas. 62. προάγεσθαι] προαγαγέσθαι F 64. τῶν βαρβάρων] βάρβαρον Bas. 65. πολὺ] πολλῷ FW 68. τῶν τε FW, caeteri τῶν 71. ἐνοχλοῦντες Wesselingius: libri ἐνοχλοῦντας 73. διὰ τῶν ὅπλων om. FW, asterisco notavit Stephanus 74. μέχρι] libri μέχρις 75. Ἀγαθοκλέους] τῶν Ἀγαθοκλέους Stephanus 78. ἀνελπίστῳ] ἀνελπίστως F 81. ἱεροκαυστουμένους F 83. τοῦ] τι Bas. 84. aut καὶ τὰς scribendum cum Reiskio aut τὰς τῶν 86. τινὲς μὲν FT, caeteri τινὲς



παρὰ τῶν στρατιωτῶν βοήθεια κατεταχεῖτο. διὸ καὶ τῆς παρεμβολῆς ταχὺ πάσης φλεγομένης, πολλοὶ μὲν ἐν στεναῖς ταῖς διόδοις ἀποληφθέντες ζῶντες κατεκαύθησαν, καὶ τῆς εἰς τοὺς αἰχμαλώτους ὠμότητος παραχρῆμα τὴν κόλασιν ὑπέσχον, αὐτῆς τῆς ἀσεβείας ἴσην τὴν τιμωρίαν

455 πορισαμένης· τοῖς δ' ἐκ τῆς παρεμβολῆς ἐκπίπτουσι μετὰ θορύβου καὶ κραυγῆς ἕτερος μείζων ἐπηκολούθησε κίνδυνος.

66 τῶν μὲν γὰρ Ἀγαθοκλεῖ συντεταγμένων Λιβύων εἰς πεντακιςχιλίους ἀποστάντες τῶν Ἑλλήνων νυκτὸς ηὐτομόλουν πρὸς τοὺς βαρβάρους. τούτους δὲ οἱ πρὸς τὴν κατασκοπὴν ἐκπεμφθέντες ὡς εἶδον ἐπὶ τὴν παρεμβολὴν τῶν Καρχηδονίων προςάγοντας, νομίσαντες τὴν τῶν Ἑλλήνων δύναμιν ἅπασαν διεσκευασμένην εἶναι, ταχὺ τοῖς στρατιώταις ἐδήλωσαν τὴν προςιοῦσαν δύναμιν. διαδοθέντος οὖν πρὸς ἅπαντας τοῦ λόγου θόρυβος ἐνέπιπτε καὶ προςδοκία τῆς τῶν πολεμίων ἐφόδου. ἑκάστου δὲ τὴν σωτηρίαν ἐν τῇ φυγῇ τιθεμένου, καὶ μήτε παραγγέλματος δοθέντος ὑπὸ τῶν στρατηγῶν μήτε τάξεως οὔσης μηδεμιᾶς, οἱ φεύγοντες ἐνέπιπτον ἀλλήλοις· ὧν οἱ μὲν διὰ τὸ σκότος οἱ δὲ διὰ τὴν ἔκπληξιν ἀγνοοῦντες τοὺς οἰκείους ὡς πολεμίους ἠμύνοντο. πολλοῦ δὲ φόνου γινομένου, καὶ τῆς ἀγνοίας ἐπικρατούσης, οἱ μὲν ἐν χειρῶν νόμῳ διεφθάρησαν, οἱ δ' ἐκπεπηδηκότες ἄνοπλοι καὶ τὴν φυγὴν ποιούμενοι διὰ τῶν δυςχωριῶν κατεκρημνίζοντο, τῆς ψυχῆς ἐπτοημένης διὰ τὸν ἀπροςδόκητον φόβον· τὸ δὲ τέλος πλειόνων ἢ πεντακιςχιλίων ἀπολομένων τὸ λοιπὸν πλῆθος διεσώθη πρὸς τὴν Καρχηδόνα. οἱ δ' ἐν τῇ πόλει τότε μὲν συνεξαπατηθέντες τῇ φήμῃ τῶν ἰδίων ὑπέλαβον ἡττῆσθαι μάχῃ καὶ τῆς δυνάμεως τὸ πλεῖστον διεφθάρθαι. διόπερ ἀγωνιῶντες ἀνέῳξαν τὰς πύλας, καὶ μετὰ θορύβου καὶ πτοήσεως ἐδέχοντο τοὺς στρατιώτας, φοβούμενοι μὴ τοῖς ἐσχάτοις οἱ πολέμιοι συνειςπέσωσιν. ἡμέρας δὲ γενομένης μαθόντες τἀληθὲς μόγις ἀπελύθησαν τῆς τῶν δεινῶν προςδοκίας.

Οἱ δὲ περὶ τὸν Ἀγαθοκλέα κατὰ τὸν αὐτὸν χρόνον

η οἷς
455. 95. ἀπολειφθέντες F 99. αὐτῆς τῆς] αὐτης F τὴν om. F 3. τῶν μὲν] τῷ FW 6. εἶδον] ἴδον Bas. 7. νομίσαντες] καὶ νομίσαντες FW 15. ἀλλήλοις om. Bas. 16. τοὺς οἰκείους om. Bas. 17. ὡς] ὡς τοὺς Bas. γινομένου] γενομένου F 23. ἀπολλωμένων post τέλος ponit F 25. συνεξαπατηθέντες] ἐξαπατηθέντες FW 26. ἡττῆσθαι] ἡττᾶσθαι FQ 30. μόγις F, caeteri μόλις 32. κατὰ] περὶ TY Bas. χρόνον] καιρὸν F

δι' ἀπάτην καὶ προςδοκίαν ψευδῆ ταῖς ὁμοίαις περιέπεσον συμφοραῖς. τῶν γὰρ ἀποστατῶν Λιβύων μετὰ τὸν ἐμπυρισμὸν τῆς παρεμβολῆς καὶ τὸν γενόμενον θόρυβον οὐ τολμησάντων προάγειν, ἀλλ' εἰς τοὐπίσω πάλιν ἐπανιόντων, τῶν Ἑλλήνων τινὲς αἰσθόμενοι προςιόντας αὐτούς, καὶ δόξαντες τὴν τῶν Καρχηδονίων δύναμιν ἥκειν, ἀπήγγειλαν τοῖς περὶ τὸν Ἀγαθοκλέα πλησίον ὑπάρχειν τὸ τῶν πολεμίων στρατόπεδον. τοῦ δυνάστου δὲ παραγγείλαντος εἰς ὅπλα χωρεῖν, ἐξέπιπτον ἐκ τῆς στρατοπεδείας οἱ στρατιῶται μετὰ πολλοῦ θορύβου. ἅμα δὲ τῆς τε κατὰ τὴν παρεμβολὴν φλογὸς εἰς ὕψος ἀρθείσης καὶ τῆς τῶν Καρχηδονίων κραυγῆς ἐξακούστου γινομένης, ὑπέλαβον πρὸς ἀλήθειαν τοὺς βαρβάρους ἁπάσῃ τῇ δυνάμει προςάγειν ἐπ' αὐτούς. τῆς δ' ἐκπλήξεως τὸ βουλεύεσθαι παραιρουμένης, ἐνέπεσε φόβος εἰς τὸ στρατόπεδον, καὶ πάντες πρὸς φυγὴν ὥρμησαν. εἶτα προςμιξάντων αὐτοῖς τῶν Λιβύων, καὶ τῆς νυκτὸς μείζονα τὴν ἄγνοιαν φυλαττούσης, οἱ περιτυγχάνοντες ἀλλήλους ὡς πολεμίους ἠμύνοντο. ὅλην δὲ τὴν νύκτα πανταχῇ διασπειρομένων αὐτῶν καὶ πανικῷ θορύβῳ συνεχομένων, συνέβη πλείους τῶν τετρακιςχιλίων ἀναιρεθῆναι. 456
ἐπιγνωσθείσης δὲ μόγις τῆς ἀληθείας, οἱ διασωθέντες ἐπανῆλθον εἰς τὴν παρεμβολήν. αἱ μὲν οὖν δυνάμεις ἀμφότεραι τὸν εἰρημένον τρόπον ἠτύχησαν, ἐξαπατηθεῖσαι κατὰ τὴν παροιμίαν τοῖς κενοῖς τοῦ πολέμου.

68 Ἀγαθοκλῆς δέ, μετὰ τὴν γενομένην ἀτυχίαν τῶν μὲν Λιβύων ἁπάντων ἀποστάντων ἀπ' αὐτοῦ, τῆς δὲ ὑπολειπομένης δυνάμεως ἀδυνατούσης διαπολεμεῖν πρὸς τοὺς Καρχηδονίους, διέγνω τὴν Λιβύην ἐκλιπεῖν. διακομίσαι δὲ τοὺς στρατιώτας οὐχ ὑπελάμβανε δυνήσεσθαι διὰ τὸ μήτε πορεῖα παρεσκευάσθαι μήτε τοὺς Καρχηδονίους ἐπιτρέψαι ποτ' ἂν θαλαττοκρατοῦντας. διαλύσεις δ' οὐκ ἐνόμιζε ποιήσεσθαι τοὺς βαρβάρους, πολὺ προέχοντας ταῖς δυνάμεσι καὶ διαβεβαιουμένους ταῖς τῶν πρώτων διαβάντων ἀπωλείαις ἀποτρέψαι τοὺς ἄλλους ἐπιτίθεσθαι τῇ Λιβύῃ. ἔκρινεν οὖν μετ' ὀλίγων λάθρᾳ

34. ἀποστατῶν] malim ἀποστάντων  35. ἐμπυρισμὸν] ἐμπρισμὸν (superscr. ευ) Bas.  47. βούλεσθαι F

456. 62. ὑπολειπομένης] ὑπολιπομένης FW  64. οὐχ] οὓς F  67. θαλαττοκρ.] libri θαλασσοκρ.  68. ποιήσεσθαι] ποιήσασθαι F  69. διαβεβαιουμένους] ἐκβεβαιουμένους W et alterum γρ. in margine ponens F  70. ἀποτρέψαι] ἀποστρέψαι F  71. ὀλίγων] ὀλίγον Bas.



ποιήσασθαι τὴν ἀναγωγήν, καὶ συνενεβίβασε τὸν νεώτερον τῶν υἱῶν Ἡρακλείδην· τὸν γὰρ Ἀρχάγαθον εὐλαβεῖτο μήποτε συνὼν τῇ μητρυιᾷ, καὶ φύσει τολμηρὸς ὤν, ἐπιβουλὴν κατ' αὐτοῦ συστήσῃ. ὁ δ' Ἀρχάγαθος ὑποπτεύσας αὐτοῦ τὴν ἐπίνοιαν, παρετήρει τὸν ἔκπλουν, διανοούμενος μηνῦσαι τῶν ἡγεμόνων τοῖς διακωλύσουσι τὴν ἐπιβολήν. ἡγεῖτο γὰρ δεινὸν εἶναι τὸ τῶν μὲν κινδύνων ἑαυτὸν προθύμως μετεσχηκέναι, προαγωνιζόμενον τοῦ πατρὸς καὶ τἀδελφοῦ, τῆς δὲ σωτηρίας μόνον ἀποστερεῖσθαι, καταλειπόμενον ἔκδοτον τοῖς πολεμίοις. διὸ δὴ τοὺς περὶ τὸν Ἀγαθοκλέα μέλλοντας λάθρᾳ τὸν ἀπόπλουν ποιεῖσθαι νυκτὸς ἐμήνυσέ τισι τῶν ἡγεμόνων. οἱ δὲ συνδραμόντες οὐ μόνον διεκώλυσαν, ἀλλὰ καὶ τῷ πλήθει τὴν ῥᾳδιουργίαν ἐξέθηκαν· ἐφ' οἷς οἱ στρατιῶται περιαλγεῖς γενόμενοι συνέλαβον τὸν δυνάστην καὶ δήσαντες παρέδωκαν εἰς φυλακήν.

69 Ἀναρχίας οὖν γενομένης ἐν τῷ στρατοπέδῳ θόρυβος ἦν καὶ ταραχή, καὶ τῆς νυκτὸς ἐπιλαβούσης διεδόθη λόγος ὡς πλησίον εἰσὶν οἱ πολέμιοι. ἐμπεσούσης δὲ πτοίας καὶ φόβου πανικοῦ, διεσκευασμένος ἕκαστος προῆγεν ἐκ τῆς παρεμβολῆς οὐδενὸς παραγγέλλοντος. καθ' ὃν δὴ χρόνον οἱ τὸν δυνάστην παραφυλάττοντες, οὐχ ἧττον τῶν ἄλλων ἐκπεπληγμένοι καὶ δόξαντες ὑπό τινων καλεῖσθαι, ταχέως ἐξῆγον τὸν Ἀγαθοκλέα διειλημμένον δεσμοῖς. τὸ δὲ πλῆθος ὡς εἶδεν, εἰς ἔλεον ἐτράπη, καὶ πάντες ἐπεβόων ἀφεῖναι. ὁ δὲ λυθεὶς καὶ μετ' ὀλίγων ἐμβὰς εἰς τὸ πορθμεῖον, ἔλαθεν ἐκπλεύσας κατὰ τὴν δύσιν τῆς Πλειάδος χειμῶνος ὄντος. οὗτος μὲν οὖν τῆς ἰδίας σωτηρίας φροντίσας ἐγκατέλιπε τοὺς υἱούς· οὓς οἱ στρατιῶται τὸν δρασμὸν ἀκούσαντες εὐθὺς ἀπέσφαξαν, καὶ στρατηγοὺς ἐξ ἑαυτῶν ἑλόμενοι διελύθησαν πρὸς Καρχηδονίους, ὥςτε τὰς πόλεις ἃς εἶχον παρα-
457 δοῦναι καὶ λαβεῖν τάλαντα τριακόσια, καὶ τοὺς μὲν αἱρουμένους μετὰ Καρχηδονίων στρατεύειν κομίζεσθαι τοὺς ἀεὶ διδομένους μισθούς, τοὺς δ' ἄλλους εἰς Σικελίαν διακομισθέντας λαβεῖν οἰκητήριον Σολοῦντα. τῶν μὲν οὖν στρατιωτῶν οἱ πλείους ἐμμείναντες ταῖς συνθήκαις

72. συνενεβίβασε] libri συνεβίβασε  74. συνὼν] συνόντα F  ὢν] ὄντα F  86. συνέλαβον] συνελάβοντο WY, λάβοντο τὸν δυνάστην συνέπεσον τῷ δυνάστῃ F  γενόμενοι] γινόμενοι Bas.  94. γενομένης] γινομένης F  96. ἐμπεσούσης Rhodomannus: libri ἐκπεσούσης  97. πτοίας] πτοῆς Bas.  2. ἐξῆγον] ἐξῆλθον, addito ἀπολιπόντες post δεσμοῖς, FW  3. εἶδεν] ἴδεν Bas.
457. 13. ἀεὶ διδομένους FW, caeteri δεδομένους

ἔτυχον τῶν ὁμολογηθέντων· ὅσοι δὲ τὰς πόλεις διακατέχοντες ἀντεῖχον ταῖς παρ' Ἀγαθοκλέους ἐλπίσιν, ἐξεπολιορκήθησαν κατὰ κράτος. ὧν οἱ Καρχηδόνιοι τοὺς μὲν ἡγεμόνας ἀνεσταύρωσαν, τοὺς δ' ἄλλους δήσαντες πέδαις ἣν διὰ τὸν πόλεμον ἐξηγρίωσαν χώραν ἐξηνάγκαζον τοῖς ἰδίοις πόνοις πάλιν ἐξημεροῦν. Καρχηδόνιοι μὲν οὖν ἔτος τέταρτον πολεμούμενοι τοῦτον τὸν τρόπον ἐκομίσαντο τὴν ἐλευθερίαν.

70 Τῆς δ' Ἀγαθοκλέους στρατείας εἰς Λιβύην ἐπισημήναιτ' ἄν τις τό τε παράδοξον καὶ τὴν εἰς τὰ τέκνα γενομένην τιμωρίαν οἷον τῆς θείας προνοίας. ἐπὶ μὲν γὰρ τῆς Σικελίας ἡττηθεὶς καὶ τὴν πλείστην τῆς δυνάμεως ἀπολέσας ἐπὶ τῆς Λιβύης μικρῷ μέρει τοὺς προνενικηκότας κατεπολέμησε. καὶ τὰς μὲν ἐν τῇ Σικελίᾳ πόλεις ἁπάσας ἀποβαλὼν πρὸς Συρακούσαις ἐπολιορκεῖτο, κατὰ δὲ τὴν Λιβύην πασῶν τῶν ἄλλων πόλεων ἐγκρατὴς γενόμενος εἰς πολιορκίαν κατέκλεισε τοὺς Καρχηδονίους, τῆς τύχης ὥςπερ ἐπίτηδες ἐπιδεικνυμένης τὴν ἰδίαν δύναμιν ἐπὶ τῶν ἀπηλπισμένων. εἰς τηλικαύτην δ' ὑπεροχὴν προελθόντος αὐτοῦ, καὶ τὸν Ὀφέλλαν φονεύσαντος ὄντα φίλον καὶ ξένον, φανερῶς ἐπεσημήνατο τὸ δαιμόνιον ὡς διὰ τὴν εἰς τοῦτον παρανομίαν τῶν ὕστερον αὐτῷ γεγενημένων τὸ θεῖον ἐπιστήσαι. τοῦ γὰρ αὐτοῦ μηνὸς καὶ τῆς αὐτῆς ἡμέρας Ὀφέλλαν ἀνελὼν παρέλαβε τὴν δύναμιν καὶ πάλιν τοὺς υἱοὺς ἀπολέσας ἀπέβαλε τὸ στρατόπεδον. καὶ τὸ πάντων ἰδιώτατον, ὁ θεὸς ὥςπερ ἀγαθὸς νομοθέτης διπλῆν ἔλαβε παρ' αὐτοῦ τὴν κόλασιν· ἕνα γὰρ φίλον ἀδίκως φονεύσας δυοῖν υἱῶν ἐστερήθη, τῶν μετ' Ὀφέλλα παραγενομένων προςενεγκάντων τὰς χεῖρας τοῖς νεανίσκοις. ταῦτα μὲν οὖν ἡμῖν εἰρήσθω πρὸς τοὺς καταφρονοῦντας τῶν τοιούτων.

71 Ὁ δ' Ἀγαθοκλῆς ἐπειδὴ διεκομίσθη ταχέως ἐκ τῆς Λιβύης εἰς τὴν Σικελίαν, μεταπεμψάμενος μέρος τῆς δυνάμεως παρῆλθεν εἰς τὴν τῶν Ἐγεσταίων πόλιν οὖσαν σύμμαχον. ἀπορούμενος δὲ χρημάτων, εἰςφέρειν ἠνάγκαζε τοὺς εὐπόρους τὸ πλεῖον μέρος τῆς ὑπάρξεως, οὔ-

18. ἐλπίσιν T Bas., caeteri addunt θαῤῥοῦντες, quod asterisco notavit Stephanus 27. τῆς θείας προνοίας] τῇ θείᾳ προνοίᾳ Bas. 28. πλείστην TXY Bas., caeteri addunt μοῖραν, quod asterisco notavit Stephanus 30. ἐν τῇ] ἐν F 34. κατέκλεισε] κατέστησε W 40. ἐπιστήσαι] libri ἐπιστῆσαι, nisi quod ἐπισημήνατο F, in marg. ponens γρ. ἐπιστῆσαι 46. δυοῖν] δυεῖν Bas. 47. τὰς χεῖρας] χεῖρα F 48. ἡμῖν om. F 51. τὴν om. F 52. libri Αἰγεσταίων, et sic deinceps, αἰγεστέων etc. F



σης τῆς πόλεως τότε μυριάνδρου. πολλῶν δ' ἐπὶ τούτοις ἀγανακτούντων καὶ συντρεχόντων, αἰτιασάμενος τοὺς Ἐγεσταίους ἐπιβουλεύειν αὐτῷ δειναῖς περιέβαλε συμφοραῖς τὴν πόλιν. τοὺς μὲν γὰρ ἀπορωτάτους προαγαγὼν ἐκτὸς τῆς πόλεως παρὰ τὸν Σκάμανδρον ποταμὸν ἀπέσφαξε, τοὺς δὲ δοκοῦντας οὐσίαν κεκτῆσθαι μείζονα βασανίζων ἠνάγκαζε λέγειν ὁπόσα ἔχων τις τυγ-
458 χάνει χρήματα, καὶ τοὺς μὲν αὐτῶν ἐτρόχιζε, τοὺς δ' εἰς τοὺς καταπέλτας ἐνδεσμεύων κατετόξευεν, ἐνίοις δ' ἀστραγάλους προςτιθεὶς βιαιότερον δειναῖς ἀλγηδόσι περιέβαλλεν. ἐξεῦρε δὲ καὶ ἑτέραν τιμωρίαν ἐμφερῆ τῷ Φαλάριδος ταύρῳ. κατεσκεύασε γὰρ κλίνην χαλκῆν ἀνθρωπίνου σώματος τύπον ἔχουσαν καὶ καθ' ἕκαστον μέρος κλεισὶ διειλημμένην· εἰς ταύτην δ' ἐναρμόζων τοὺς βασανιζομένους ὑπέκαιε ζῶντας, τούτῳ διαφερούσης τῆς κατασκευῆς ταύτης παρὰ τὸν ταῦρον, τῷ καὶ θεωρεῖσθαι τοὺς ἐν ταῖς ἀνάγκαις ἀπολλυμένους. τῶν δὲ γυναικῶν τῶν εὐπόρων τινῶν μὲν καρκίνοις σιδηροῖς τὰ σφυρὰ πιέζων συνέτριβε, τινῶν δὲ τοὺς τιτθοὺς ἀπέτεμνε, ταῖς δ' ἐγκύοις πλίνθους ἐπὶ τὴν ὀσφῦν ἐπιτιθεὶς τὸ ἔμβρυον ἀπὸ τοῦ βάρους ἐξέθλιβε. τούτῳ δὲ τῷ τρόπῳ τὰ χρήματα πάντα τοῦ τυράννου ζητοῦντος, καὶ μεγάλου φόβου τὴν πόλιν ἐπέχοντος, τινὲς μὲν αὑτοὺς συγκατέκαυσαν ταῖς οἰκίαις, τινὲς δὲ ἀγχόνῃ τὸ ζῆν ἐξέλιπον. ἡ μὲν οὖν Ἔγεστα τυχοῦσα μιᾶς ἡμέρας ἀτυχοῦς ἡβηδὸν ἐθανατώθη. ὁ δ' Ἀγαθοκλῆς παρθένους μὲν καὶ παῖδας εἰς τὴν Ἰταλίαν διακομίσας ἀπέδοτο τοῖς Βρεττίοις· τῆς δὲ πόλεως οὐδὲ τὴν προςηγορίαν ἀπολιπών, ἀλλὰ Δικαιόπολιν μετονομάσας, ἔδωκεν οἰκητήριον τοῖς αὐτομόλοις.

72 Ἀκούσας γὰρ τὴν τῶν υἱῶν ἀναίρεσιν, καὶ δι' ὀργῆς ἔχων ἅπαντας τοὺς ἀπολελειμμένους κατὰ Λιβύην, ἔπεμψε τῶν φίλων τινὰς εἰς Συρακούσας πρὸς Ἄντανδρον τὸν ἀδελφόν, διακελευσάμενος τοὺς τῶν συστρατευσάντων ἐπὶ Καρχηδόνα συγγενεῖς ἅπαντας ἀποσφάξαι.

59. ἀπορωτάτους] ἀπορωτέρους FQW 458. 64. ἐνδεσμεύων] μὲν δεσμεύων Bas. ἐνίοις Bas., ἐνίων FQW, caeteri ἐνίους 65. προςτιθεὶς] ἐπέτεμε προςτιθεὶς Z, ἐπέτεμε καὶ προςτιθέμενος FQW 69. καὶ καθ' W, caeteri καθ' 70. δ'] οὖν F 72. τῷ] ὡς F 73. ταῖς om. F 74. μὲν] ἐν Z σιδηροῖς] τοῖς σιδηροῖς TZ Bas. 75. συνέτριβε FQTZ, caeteri συνέτεινε 76. ἐγκύοις] ἐγγύοις F 77. ὀσφῦν Bas., caeteri ὀσφὺν 78. ἀεὶ ante τὰ om. FW, asterisco notavit Stephanus 81. ἀγχόνῃ] τῇ ἀγχόνῃ Bas. 82. μὲν οὖν] μὲν Bas.

ταχὺ δὲ τούτου τὸ προσταχθὲν ποιήσαντος ποικιλώτατον γενέσθαι συνέβη φόνον τῶν προγεγονότων. οὐ γὰρ μόνον τοὺς ἀκμάζοντας ταῖς ἡλικίαις ἀδελφοὺς ἢ πατέρας ἢ παῖδας ἐξῆγεν ἐπὶ τὸν θάνατον, ἀλλὰ καὶ πάππους καὶ τούτων, εἰ τύχοι, καὶ πατέρας περιόντας ἐσχατογήρως καὶ ταῖς ὅλαις αἰσθήσεσι διὰ τὸν χρόνον ἤδη παραλελυμένους, ἔτι δὲ νηπίους παῖδας ἐν ἀγκάλαις φερομένους καὶ τῆς ἐπιφερομένης αὐτοῖς συμφορᾶς οὐδεμίαν αἴσθησιν λαμβάνοντας· ἤγοντο δὲ καὶ γυναῖκες ὅσαι μετεῖχον οἰκειότητος ἢ συγγενείας καὶ καθόλου πᾶς ὁ μέλλων τῇ καθ' αὑτὸν τιμωρίᾳ λύπην ἐμποιήσειν τοῖς ἐπὶ τῆς Λιβύης ἀπολειφθεῖσι. πολλοῦ δὲ πλήθους καὶ παντοίου πρὸς τὴν θάλατταν ἀχθέντος ἐπὶ τὴν τιμωρίαν, καὶ τῶν σφαγέων ἐφεστώτων, δάκρυα καὶ δεήσεις καὶ θρῆνος ἐγίνετο συμφορητός, ὧν μὲν ἀνηλεῶς φονευομένων, ὧν δὲ ἐπὶ ταῖς τῶν πλησίον συμφοραῖς ἐκπληττομένων καὶ 459 διὰ τὸ προσδοκώμενον οὐδὲν διαφερόντων ταῖς ψυχαῖς τῶν προαποθνησκόντων. τὸ δὲ πάντων χαλεπώτατον, πολλῶν ἀναιρεθέντων, καὶ παρὰ τὸν αἰγιαλὸν ἐῤῥιμμένων τῶν σωμάτων, οὔτε συγγενὴς οὐδεὶς οὔτε φίλος ἐτόλμα τινὰ κηδεύειν, φοβούμενος μὴ δόξῃ προσαγγέλλειν ἑαυτὸν μετέχοντα τῆς ἐκείνων οἰκειότητος. διὰ δὲ τὸ πλῆθος τῶν φονευθέντων ἐπὶ τοῦ κύματος συνέβη τὴν θάλατταν ἐφ' ἱκανὸν τόπον αἵματι κραθεῖσαν πόῤῥωθεν διαφαίνειν τὴν ὑπερβολὴν τῆς τοῦ πάθους ὠμότητος.

73 Τοῦ δ' ἐνιαυσίου χρόνου διεληλυθότος Ἀθήνησι μὲν ἦρχε Κόροιβος, ἐν Ῥώμῃ δὲ τὴν ὕπατον ἀρχὴν παρέλαβον Κόϊντος Μάρκιος καὶ Πόπλιος Κορνήλιος. ἐπὶ δὲ τούτων Ἀντίγονος ὁ βασιλεύς, τελευτήσαντος αὐτῷ τοῦ νεωτέρου τῶν υἱῶν Φοίνικος, τοῦτον μὲν βασιλικῶς ἔθαψε, τὸν δὲ Δημήτριον ἐκ τῆς Κύπρου μεταπεμψάμενος

94. γενέσθαι συνέβη] invertit F  96. ἢ πατέρας ἢ παῖδας] ἢ παῖδας ἢ πατέρας F  98. καὶ om. F  ἐσχάτῳ γήρᾳ FQW, caeteri ἐσχατογήρους  99. ὅλαις] ἄλλαις FW  αἰσθήσεσι] ἐσθήσεσι Bas.  2. ἤγοντο — γυναῖκες] ἦγον — γυναῖκας omnes  5. ἐμποιήσειν] ἐμποιῆσαι T Bas.  9. συμφορητός] ἀφορητός QW, ἀφόρητος F, altero in marg. posito  ὧν — ὧν] τῶν — τῶν FQ  ἀνηλεῶς] ὡς FQ

459. 13. πολλῶν] ὅτι πολλῶν FW  14. οὐδεὶς post σωμάτων ponit FW  οὔτε συγγενὴς — οὔτε φίλος invertit F  18. τὴν] ἐπὶ τὴν Bas.  22. Κόροιβος FW, caeteri Κόρυβος  23. Κόϊντος Μάρκιος καὶ Πόπλιος Κορνήλιος] κόϊντος πόβλιος καὶ μάρκιος κορνήλιος F  25. τοῦ om. Bas.



ἤθροιζε τὰς δυνάμεις εἰς τὴν Ἀντιγόνειαν. ἔκρινε δὲ στρατεύειν ἐπὶ τὴν Αἴγυπτον. αὐτὸς μὲν οὖν τοῦ πεζοῦ στρατεύματος ἀφηγούμενος προῆγε διὰ τῆς κοίλης Συρίας, ἔχων πεζοὺς μὲν πλείους τῶν ὀκτακισμυρίων, ἱππεῖς δὲ περὶ ὀκτακισχιλίους, ἐλέφαντας δὲ τρισὶ πλείους τῶν ὀγδοήκοντα. τῷ δὲ Δημητρίῳ παραδοὺς τὸν στόλον συνέταξε συμπαραπλεῖν ἅμα πορευομένῃ τῇ δυνάμει, παρεσκευασμένων τῶν ἁπασῶν νεῶν μακρῶν μὲν ἑκατὸν πεντήκοντα, πορείων δὲ στρατιωτικῶν ἑκατόν, ἐν οἷς ἐκομίζετο βελῶν πλῆθος. τῶν δὲ κυβερνητῶν οἰομένων δεῖν ἀπιδεῖν τὴν τῆς Πλειάδος δύσιν δοκοῦσαν ἔσεσθαι μεθ' ἡμέρας ὀκτώ, τούτοις μὲν ἐπετίμησεν ὡς κατοῤῥωδοῦσι τοὺς κινδύνους, αὐτὸς δὲ στρατοπεδεύων περὶ Γάζαν, καὶ σπεύδων φθάσαι τὴν τοῦ Πτολεμαίου παρασκευήν, τοῖς μὲν στρατιώταις παρήγγειλε δέχ' ἡμερῶν ἔχειν ἐπισίτησιν, ἐπὶ δὲ ταῖς καμήλοις ταῖς ἀθροισθείσαις ὑπὸ τῶν Ἀράβων ἐπέθηκε σίτου μυριάδας μεδίμνων τρειςκαίδεκα καὶ χόρτου πλῆθος τοῖς τετράποσι· τά τε βέλη κομίζων τοῖς ζεύγεσι προῆγε διὰ τῆς ἐρήμου μετὰ κακοπαθείας διὰ τὸ πολλοὺς εἶναι τῶν τόπων τελματώδεις, καὶ μάλιστα περὶ τὰ καλούμενα βάραθρα.

74 οἱ δὲ περὶ τὸν Δημήτριον ἐκ τῆς Γάζης ἐκπλεύσαντες περὶ μέσας νύκτας τὸ μὲν πρῶτον εὐδίας οὔσης ἐφ' ἡμέρας τινὰς ταῖς ταχυναυτούσαις ναυσὶν ἐῤῥυμούλκουν τὰ στρατιωτικὰ πορεῖα· ἔπειτα τῆς Πλειάδος περικαταλαμβανούσης αὐτούς, καὶ πνεύματος ἐπιγενομένου βορείου, συνέβη πολλὰ τῶν τετρηρικῶν σκαφῶν ὑπὸ τοῦ χειμῶνος κατενεχθῆναι παραβόλως ἐπὶ πόλιν 460 Ῥαφίαν, οὖσαν δυςπροσόρμιστον καὶ τεναγώδη. τῶν δὲ πλοίων τῶν κομιζόντων τὰ βέλη τὰ μὲν ὑπὸ τοῦ χειμῶνος συγκλυσθέντα διεφθάρη, τὰ δ' ἐπαλινδρόμησεν εἰς τὴν Γάζαν· τοῖς δὲ κρατίστοις τῶν σκαφῶν βιασάμενοι διέτειναν μέχρι τοῦ Κασίου. τοῦτο δὲ τοῦ μὲν Νείλου διέστηκεν οὐ μακράν, ἀλίμενον δέ ἐστι καὶ κατὰ τὰς χειμερίους περιστάσεις ἀπροσόρμιστον. διόπερ ἠναγκάζοντο τὰς ἀγκύρας ἀφέντες ὡς ἂν ἐν δυσὶ σταδίοις ἀπὸ τῆς γῆς ἀποσαλεύειν, ἅμα πολλοῖς περιεχόμενοι δεινοῖς· τοῦ μὲν

28. libri Ἀντιγονίαν  29. μὲν οὖν] δὲ Bas.  31. ὀκτακιςμυρίων] ὀκτα πεντακιςμυρίων F  35. τῶν ἁπασῶν νεῶν] νεῶν τῶν ἁπασῶν F Bas.  44. ταῖς καμήλοις ταῖς ἀθροισθείσαις] τὰς καμήλους τὰς ἀθροισθείσας FW  45. τρειςκαίδεκα] δεκατρεῖς F  49. περὶ τὰ καλούμενα] περικλειόμενα W et qui alterum γρ. in marg. ponit F  54. libri ἐρυμούλκουν  57. ὑπὸ] ἀπὸ Bas.  58. δυςπροσόρμιστον] δυςπροσόρμητον FW

460. 67. τοῦ μὲν γὰρ] καὶ τοῦ μὲν F

γὰρ κλύδωνος ῥηγνυμένου τραχύτερον ἐκινδύνευεν αὔτανδρα τὰ σκάφη συγκλυσθῆναι, τῆς δὲ γῆς οὔσης ἀπροσορμίστου καὶ πολεμίας οὔτε ναῦς ἀκινδύνως ἦν προσπλεῖν οὔτε τοὺς ἄνδρας προσνήξασθαι, τὸ δὲ μέγιστον, ἐκλελοίπει τὸ εἰς πότον αὐτοῖς ὕδωρ, εἰς τοιαύτην δὲ σπάνιν κατεκλείσθησαν ὥστ' εἰ μίαν ἡμέραν ὁ χειμὼν ἐπέμεινε, πάντες ἂν τῷ δίψει διεφθάρησαν. ἐν ἀθυμίᾳ δ' ὄντων ἁπάντων, καὶ προσδοκωμένης ἤδη τῆς ἀπωλείας, τὸ μὲν πνεῦμα κατέπαυσεν, ἡ δὲ μετ' Ἀντιγόνου δύναμις καταντήσασα πλησίον τοῦ στόλου κατεστρατοπέδευσεν. ἐκβάντες οὖν ἐκ τῶν σκαφῶν καὶ προσαναλαβόντες ἑαυτοὺς ἐν τῇ στρατοπεδείᾳ προσέμενον τῶν νεῶν τὰς ἀποσπασθείσας. διεφθάρη δ' ἐν τούτῳ τῷ σάλῳ τρία σκάφη τῶν πεντηρικῶν, ἐξ ὧν ἔνιοι τῶν ἀνδρῶν διενήξαντο πρὸς τὴν γῆν. ἔπειτα Ἀντίγονος μὲν προαγαγὼν τὴν δύναμιν πλησίον τοῦ Νείλου κατεστρατοπέδευσεν, ἀπέχων δύο σταδίους τοῦ ποταμοῦ.

75 Πτολεμαῖος δὲ προκατειληφὼς τοὺς εὐκαιροτάτους τόπους ἀσφαλέσι φυλακαῖς, ἀπέστειλέ τινας ἐν τοῖς κοντωτοῖς, παρακελευσάμενος προσπλεῖν πλησίον τῆς ἐκβάσεως καὶ κηρύττειν ὅτι δώσει τοῖς μεταβαλλομένοις ἀπ' Ἀντιγόνου τῶν μὲν ἰδιωτῶν ἑκάστοις δύο μνᾶς, τοῖς δ' ἐφ' ἡγεμονίας τεταγμένοις τάλαντον. γενομένων οὖν τῶν κηρυγμάτων τοιούτων ἐνέπεσέ τις ὁρμὴ πρὸς μετάθεσιν τοῖς μετ' Ἀντιγόνου μισθοφόροις, ἐν οἷς καὶ τῶν ἡγεμόνων πλείους εἶναι συνέβαινε δι' αἰτίας τινὰς εἰς τὸ μεταβολῆς ἐπιθυμεῖν. πολλῶν δὲ πρὸς αὐτὸν αὐτομολούντων, ὁ μὲν Ἀντίγονος ἐπιστήσας τῷ χείλει τοῦ ποταμοῦ τοξότας καὶ σφενδονήτας καὶ πολλὰ τῶν ὀξυβελικῶν τοὺς προσπλέοντας ἐν τοῖς κοντωτοῖς ἀνέστελλε· τῶν δ' αὐτομολούντων συλλαβών τινας δεινῶς ᾐκίσατο, βουλόμενος καταπλήξασθαι τοὺς τῆς ὁμοίας ὁρμῆς ἀντεχομένους. καὶ προσλαβὼν τὰ καθυστεροῦντα

68. τραχύτερον tacite Rhodomannus in annotatione, quem tacite sequitur ed. Wesselingii: ταχύτερον ed. Steph. F 71. δὲ] δὲ δὴ F 72. αὐτοῖς FQW, caeteri ἀνθρώποις 73. εἰς τ. δὲ] καὶ εἰς τ. FW ὥστ' F, caeteri ὥστε 76. ἤδη] δὴ F 79. ἑαυτοὺς] αὐτοὺς F 82. πεντηρικῶν] πεντήρεων F 85. σταδίους] στάδια F ἀπὸ ante τοῦ om. FWY 87. Πτολεμαῖος] καὶ Πτολεμαῖος F 89. κοντωτοῖς παρακελευσάμενος] κάτω τοῖς παρακελευσαμένοις W, — παρακελευσομένοις F, γρ. κοντωτοῖς in marg. ponens 91. ἰδιωτῶν] ἰδιωτικῶν FW ἑκάστοις] ἑκάστῳ F 92. τεταγμένοις om. W 96. εἰς τὸ] ad hoc deesse quippiam monuit Wesselingius 99. ὀξυβελικῶν] ὀξυβελῶν F 100. κοντωτοῖς ἀνέστελλε] κόντοις ἀνέστελλον W, ἀνέστελλον (εν) etiam F



τῶν σκαφῶν προσέπλευσεν ἐπὶ τὸ καλούμενον Ψευδόστομον, νομίζων ἐνταῦθα δυνήσεσθαί τινας τῶν στρατιωτῶν ἀποβιβάσαι. εὑρὼν δὲ πρὸς αὐτῷ φυλακὴν ἰσχυράν, καὶ τοῖς τε ὀξυβελέσι καὶ τοῖς ἄλλοις παντοίοις βέλεσιν ἀνειργόμενος, ἀπέπλευσε περικαταλαμβανούσης νυκτός. ἔπειτα παραγγείλας τοῖς κυβερνήταις ἀκολουθεῖν τῇ στρατηγίδι νηὶ προσέχοντας τῷ λαμπτῆρι, προσ-
461 έπλευσεν ἐπὶ τὸ στόμα τοῦ Νείλου τὸ καλούμενον Φατνιτικόν· ἡμέρας δὲ γενομένης, ἐπειδὴ πολλαὶ τῶν νεῶν ἀπεπλανήθησαν, ἠναγκάσθη ταύτας περιμένειν καὶ τὰς μάλιστα ταχυναυτούσας τῶν ἠκολουθηκυιῶν ἐξαποστέλλειν ἐπὶ τὴν τούτων ζήτησιν.

Διόπερ χρόνου γενομένου πλείονος οἱ μὲν περὶ τὸν 76
Πτολεμαῖον πυθόμενοι τὸν κατάπλουν τῶν πολεμίων ἧκον ὀξέως βοηθήσοντες, καὶ τὴν δύναμιν διασκευάσαντες ἔστησαν παρὰ τὸν αἰγιαλόν. ὁ δὲ Δημήτριος ἀποτυχὼν καὶ ταύτης τῆς ἐκβάσεως, καὶ τὴν συνάπτουσαν παραλίαν ἀκούων ἕλεσι καὶ λίμναις ὠχυρῶσθαι φυσικῶς, ἐπαλινδρόμει παντὶ τῷ στόλῳ. εἶτ' ἐμπεσόντος βορέου λαμπροῦ, καὶ τοῦ κλύδωνος εἰς ὕψος αἰρομένου, τρία μὲν σκάφη τῶν τετρηρικῶν καὶ τῶν στρατιωτικῶν πορείων ἅμα κατὰ τὸ αὐτὸ βιαιότερον ὑπὸ τοῦ κύματος ἐπὶ τὴν γῆν ἐξεβράσθη καὶ τοῖς περὶ τὸν Πτολεμαῖον ὑποχείρια κατέστη, αἱ δ' ἄλλαι ἐκβιασαμένων τῶν πληρωμάτων διεσώθησαν πρὸς τὴν Ἀντιγόνου στρατοπεδείαν. τῶν δὲ περὶ τὸν Πτολεμαῖον διειληφότων πᾶσαν τὴν περὶ τὸν ποταμὸν ἔκβασιν φυλακαῖς ἰσχυραῖς, καὶ πολλῶν μὲν σκαφῶν ποταμίων αὐτῷ παρεσκευασμένων, πάντων δὲ τούτων ἐχόντων βέλη παντοῖα καὶ τοὺς χρησομένους αὐτοῖς ἄνδρας, οἱ περὶ τὸν Ἀντίγονον οὐ μετρίως ἠποροῦντο. ἡ γὰρ ναυτικὴ δύναμις ἄχρηστος ἦν αὐτοῖς προκατειλημμένου τοῦ Πηλουσιακοῦ στόματος ὑπὸ τῶν πολεμίων, τό τε πεζὸν στράτευμα τὴν ὁρμὴν ἄπρακτον εἶχε τῷ μεγέθει τοῦ ποταμοῦ διειργόμενον, τὸ

5. νομίζων] νομίσας T Bas. ἐνταῦθα] ἐντεῦθεν T Bas. 7. τε om. F 8. ἀνειργόμενος] εἰργόμενος FW 9. περικαταλαμβανούσης FW, caeteri προκαταλαμβανούσης

461. 12. Φατνιτικόν Stephanus: libri Φαγνητικόν 15. ἠκολουθηκυιῶν Schaeferus ad schol. Apollon. p. 628.: libri ἠκολουθηκότων 23. παντὶ om. W 25. τρία τε σκάφη τῶν τετριηρικῶν F 26. πορείων] addendum fortasse est πολλὰ 27. ὑπὸ] ἐπὶ F ἐπὶ τὴν] εἰς F ἐξεβράσθη] ἐξεβιάσθη Bas. 32. ἰσχυραῖς W, caeteri addunt καὶ πολλαῖς, asterisco notata ab Stephano

δὲ μέγιστον, ἡμερῶν ἤδη συχνῶν διεληλυθυιῶν ἀπολείπειν ἤδη συνέβαινε τόν τε σῖτον καὶ τὰ χορτάσματα τοῖς κτήνεσι. διὰ δὴ ταῦτα τῆς δυνάμεως ἀθυμούσης, παραλαβὼν τὸ στρατόπεδον καὶ τοὺς ἡγεμόνας Ἀντίγονος προέθηκε βουλὴν πότερον συμφέρει μένειν καὶ διαπολεμεῖν, ἢ νῦν μὲν ἐπανελθεῖν εἰς Συρίαν, ὕστερον δὲ κάλλιον παρεσκευασμένους στρατεῦσαι καθ' ὃν ἂν χρόνον ἐλάχιστος ὁ Νεῖλος εἶναι δόξῃ. πάντων δὲ κατενεχθέντων ἐπὶ τὸ τὴν ταχίστην ἀπιέναι, παρήγγειλε τοῖς στρατιώταις ἀναζευγνύειν, καὶ ταχὺ πάλιν ἐπανῆλθεν εἰς τὴν Συρίαν, συμπαραπλέοντος αὐτῷ καὶ τοῦ στόλου παντός. Πτολεμαῖος δὲ μετὰ τὴν ἀπαλλαγὴν τῶν πολεμίων περιχαρὴς γενόμενος, καὶ θύσας τοῖς θεοῖς χαριστήρια, τοὺς φίλους εἱστία λαμπρῶς. καὶ πρὸς μὲν τοὺς περὶ Σέλευκον καὶ Λυσίμαχον καὶ Κάσσανδρον ἔγραψε περὶ τῶν εὐτυχημάτων καὶ περὶ τοῦ πλήθους τῶν πρὸς αὐτὸν αὐτομολησάντων, αὐτὸς δὲ τὸ δεύτερον ἠγωνισμένος ὑπὲρ τῆς Αἰγύπτου, καὶ νομίσας δορίκτητον ἔχειν τὴν χώραν, ἐπανῆλθεν εἰς τὴν Ἀλεξάνδρειαν.

77 Ἅμα δὲ τούτοις πραττομένοις Διονύσιος ὁ τῆς Ἡρακλείας τῆς ἐν τῷ Πόντῳ τύραννος ἐτελεύτησεν ἄρξας ἔτη τριάκοντα δύο, τὴν δὲ δυναστείαν διαδεξάμενοι οἱ υἱοὶ Ὀξάθρας καὶ Κλέαρχος ἦρξαν ἔτη ἑπτακαίδεκα. κατὰ δὲ τὴν Σικελίαν Ἀγαθοκλῆς ἐπῄει τὰς ὑπ' αὐτὸν 462
πόλεις ἀσφαλιζόμενος φρουραῖς καὶ χρήματα πραττόμενος· σφόδρα γὰρ εὐλαβεῖτο μήποτε διὰ τὰς γεγενημένας περὶ αὐτὸν ἀτυχίας ὁρμήσωσιν οἱ Σικελιῶται πρὸς τὴν αὐτονομίαν. καθ' ὃν δὴ χρόνον Πασίφιλος ὁ στρατηγός, ἀκούσας τὴν τῶν Ἀγαθοκλέους υἱῶν ἀναίρεσιν καὶ τὰ περὶ τὴν Λιβύην ἐλαττώματα, τοῦ μὲν δυνάστου κατεφρόνησε, πρὸς δὲ Δεινοκράτην ἀποστὰς καὶ φιλίαν αὐτῷ συνθέμενος τάς τε πόλεις ἃς ἦν πεπιστευμένος διακατέσχε, καὶ τὴν μετ' αὐτοῦ δύναμιν ἐλπίσι ψυχαγωγήσας ἀλλοτρίαν κατεσκεύασε τοῦ τυράννου. ὁ δὲ Ἀγαθοκλῆς πανταχόθεν τῶν ἐλπίδων περικοπτομένων οὕτως ἐταπεινώθη τὴν ψυχὴν ὥστε διαπρεσβεύσασθαι πρὸς Δεινοκράτην καὶ παρακαλεῖν ἐπὶ τοῖσδε συνθήκας ποιήσασθαι· ἐκχωρῆσαι μὲν τῆς δυναστείας Ἀγαθοκλέα, παραδοῦναι δὲ τὰς Συρακούσας τοῖς πολίταις, καὶ μηκέτι εἶναι φυγάδα Δεινοκράτην· ἐξαίρετα δὲ δοθῆναι τῶν ἐρυμάτων Ἀγαθοκλεῖ δύο, Θέρμα καὶ Κεφαλοίδιον, καὶ 78
τὴν χώραν τὴν τούτων. θαυμάσαι δ' ἄν τις εἰκότως ἐν τούτοις πῶς Ἀγαθοκλῆς, ὑποστατικὸς ἐν τοῖς ἄλλοις πᾶσι γενόμενος καὶ μηδέποθ' ἑαυτὸν ἐν ταῖς ἐσχάταις προσδοκίαις ἀπελπίσας, τότε δειλιάσας ἀκονιτὶ παρεχώρησε τοῖς πολεμίοις τῆς τυραννίδος, ὑπὲρ ἧς πολλοὺς καὶ μεγάλους κινδύνους προηγωνίσατο, καὶ τὸ πάντων παραλογώτατον, Συρακουσῶν τε κυριεύσας καὶ τῶν ἄλλων πόλεων καὶ ναῦς καὶ χρήματα κεκτημένος καὶ δύναμιν σύμμετρον ἐξησθένησε τοῖς λογισμοῖς, οὐδὲν τῶν γενομένων περὶ Διονύσιον τὸν τύραννον μνησθείς. τούτου γάρ ποτε συνδιωχθέντος εἰς περίστασιν ὁμολογουμένως ἀπεγνωσμένην, καὶ διὰ τὸ μέγεθος τῶν ἐπηρτημένων κινδύνων ἀπελπίσαντος μὲν τὰ κατὰ τὴν δυναστείαν, μέλλοντος δ' ἐκ τῶν Συρακουσῶν ἐξιππεύειν πρὸς ἑκούσιον φυγήν, Ἔλωρις ὁ πρεσβύτατος τῶν φίλων ἐπιλαβόμενος τῆς ὁρμῆς, Διονύσιε, φησί, καλὸν ἐντάφιον ἡ τυραννίς. παραπλησίως δὲ τούτῳ καὶ ὁ κηδεστὴς Μεγακλῆς ἀπεφήνατο πρὸς αὐτόν, εἰπὼν ὅτι δεῖ τὸν ἐκ τῆς τυραννίδος ἐκπίπτοντα τοῦ σκέλους ἑλκόμενον ἀπιέναι καὶ μὴ κατὰ προαίρεσιν ἀπαλλάττεσθαι. ὑπὸ δὲ τούτων τῶν παρακλήσεων ὁ Διονύσιος μετεωρισθεὶς ἐνεκαρτέρησε πᾶσι τοῖς δοκοῦσιν εἶναι δεινοῖς, καὶ τὴν μὲν ἀρχὴν μείζονα κατεσκεύασεν, αὐτὸς δὲ ἐν τοῖς ταύτης καλοῖς ἐγγηράσας ἀπέλιπε τοῖς ἐκγόνοις μεγίστην τῶν κατὰ τὴν Εὐρώπην δυναστείαν. Ἀγαθοκλῆς
463 δ' ἐπ' οὐδενὶ τούτων μετεωρισθεὶς οὐδὲ τὰς ἀνθρωπίνας ἐλπίδας ἐξελέγξας τῇ πείρᾳ τηλικαύτην ἀρχὴν ἔκδοτον πεποίηται ταῖς ὁμολογίαις. ταύτας δ' ἀσυντελέστους συνέβη γενέσθαι, τῇ μὲν Ἀγαθοκλέους προαιρέσει κυρωθείσας, διὰ δὲ τὴν Δεινοκράτους πλεονεξίαν μὴ προσδεχθείσας. οὗτος γὰρ μοναρχίας ὢν ἐπιθυμητὴς τῆς μὲν ἐν ταῖς Συρακούσαις δημοκρατίας ἀλλότριος ἦν, τῇ δὲ ἡγεμονίᾳ τῇ τότε οὔσῃ περὶ αὐτὸν εὐηρεστεῖτο. ἀφηγεῖτο γὰρ πεζῶν μὲν πλειόνων ἢ δισμυ-

40. διεληλυθυσῶν F ἀπολείπειν] ὑπολείπειν FW, caeteri ὑπολιπεῖν 42. τῆς] τῆς τε F 47. εἶναι om. F 52. καὶ om. F 53. χαριστήρια] εὐχαριστήρια F 54. καὶ Λυσίμαχον καὶ Κάσσανδρον] καὶ κάσσανδρον καὶ λυσίμαχον F 63. Ὀξάθρας Wesselingius: libri Ζάθρας 64. ἑπτακαίδεκα] δεκαεπτά F
462. 65. αὐτὸν] αὐτοῦ FW 67. τὰς γεγενημένας — ἀτυχίας FQTWY Bas., caeteri τὰ γεγενημένα — ἀτυχήματα

86. ὑποστατικὸς F (ω̃ superscript) 87. μηδέποθ' ἑαυτὸν] μηδέποτ' αὐτὸν Bas. 88. δειλιάσας] δειλωθεὶς Y, δηλωθεὶς Bas. 98. τὰ om. Bas. 99. Ἔλωρις] Ἔλωρος F, Ἔλωρος W
463. 13. ἀρχὴν ἔκδοτον] ἔκδοτον ἀρχὴν F πεποίηται] immo ἐποιεῖτο 16. μὴ] οὐ F 19. τότε οὔσῃ] τελούσῃ QY Bas. εὐηρεστεῖτο] εὐαρεστεῖτο Bas.

ρίων, ἱππέων δὲ τριςχιλίων, πόλεων δὲ πολλῶν καὶ με-
γάλων, ὥςτε αὐτὸν καλεῖσθαι μὲν τῶν φυγάδων στρα-
τηγόν, τῇ δ' ἀληθείᾳ βασιλικὴν ἔχειν ὑπεροχήν, τῆς
ἐξουσίας οὔσης περὶ αὐτὸν αὐτοκράτορος. εἰ κατέλθοι
δ' εἰς τὰς Συρακούσας, πάντως ἀναγκαῖον ἂν ἦν ἰδιώ-
την ὑπάρχειν καὶ ἕνα τῶν πολλῶν ἀριθμεῖσθαι, τῆς αὐ-
τονομίας ἀγαπώσης τὴν ἰσότητα, ἔν τε ταῖς χειροτονί-
αις ὑπὸ τοῦ τυχόντος δημαγωγοῦ παρευημερεῖσθαι, τοῦ
πλήθους ἀντικειμένου ταῖς ὑπεροχαῖς τῶν ἀνδρῶν τῶν
ἀγόντων παῤῥησίαν. διόπερ Ἀγαθοκλῆς μὲν δικαίως ἂν
λέγοιτο λελοιπέναι τὴν τῆς τυραννίδος τάξιν, Δεινοκρά-
της δ' αἴτιος εἶναι νομίζοιτο τῶν ὕστερον τῷ δυνάστῃ
κατορθωθέντων. οὗτος γάρ, συνεχῶς Ἀγαθοκλέους δια-
πρεσβευομένου περὶ τῶν ὁμολογιῶν, καὶ δεομένου συγ-
χωρῆσαι τὰ δύο φρούρια πρὸς καταβίωσιν, ἀεὶ προφά-
σεις εὐλόγους κατεσκεύαζε, δι' ὧν διέκοπτε τὰς ἐλπίδας
τῶν ὁμολογιῶν, ποτὲ μὲν ἀποφαινόμενος ἐκ Σικελίας
αὐτὸν ἀπαλλάττεσθαι, ποτὲ δὲ τὰ τέκνα πρὸς ὁμηρείαν
αἰτῶν. ὁ δ' Ἀγαθοκλῆς γνοὺς αὐτοῦ τὴν ἐπίνοιαν, πρὸς
μὲν τοὺς φυγάδας διεπέμπετο κατηγορῶν τοῦ Δεινο-
κράτους, ὡς διακωλύοντος αὐτοῦ τυχεῖν αὐτοὺς τῆς
αὐτονομίας, πρὸς δὲ τοὺς Καρχηδονίους πρεσβευτὰς
ἀποστείλας συνέθετο τὴν εἰρήνην ἐφ' οἷς τὰς πόλεις κο-
μίσασθαι τοὺς Φοίνικας πάσας τὰς πρότερον ὑπ' αὐτοὺς
γεγενημένας· ἀντὶ δὲ τούτων ἔλαβε παρὰ Καρχηδονίων
χρυσίον μὲν εἰς ἀργυρίου λόγον τριακοσίων ταλάντων,
ὡς δὲ Τίμαιός φησιν, ἑκατὸν πεντήκοντα, σίτου δὲ με-
δίμνων εἴκοσι μυριάδας. καὶ τὰ μὲν περὶ Σικελίαν ἐν
τούτοις ἦν.

80 Κατὰ δὲ τὴν Ἰταλίαν Σαμνῖται μὲν Σῶραν καὶ Καλ-
λατίαν πόλεις Ῥωμαίοις συμμαχούσας ἐκπολιορκήσαντες
ἐξηνδραποδίσαντο· οἱ δ' ὕπατοι δυνάμεσιν ἁδραῖς εἰς
τὴν Ἰαπυγίαν ἐμβαλόντες πλησίον Σιλβίου πόλεως κα-
τεστρατοπέδευσαν. φρουρουμένης δ' αὐτῆς ὑπὸ Σαμνι-
τῶν συνεστήσαντο πολιορκίαν ἐφ' ἱκανὰς ἡμέρας, καὶ
κατὰ κράτος ἑλόντες αἰχμάλωτα σώματα πλείω τῶν πεν-
τακιςχιλίων ἔλαβον καὶ τῶν ἄλλων λαφύρων ἱκανόν τι 464
πλῆθος. ἀπὸ δὲ τούτων τὴν τῶν Σαμνιτῶν χώραν

22. καλεῖσθαι μὲν] invertit Bas. 23. ὑπεροχήν] ἀρχήν QW 24. κατέλθοι δ'] κατέλθῃ et alterum γρ. in margine ponens F 30. μὲν om. F 36. αἰεὶ F 39. αἰτῶν] αὐτῶν Bas. 42. αὐτοῦ Q Bas., caeteri τοῦ 48. φησιν om. Bas. 52. Καλατίαν Wesselingius: libri Ἀτίαν 56. σαυνίτων F 58. σώματα om. W τῶν om. F



ἐπῆλθον δενδροτομοῦντες καὶ πάντα τόπον καταφθεί-
ροντες. πολλὰ γὰρ ἔτη τῆς Ῥώμης πρὸς τοῦτο τὸ ἔθνος
διαπολεμούσης ὑπὲρ τῆς ἡγεμονίας, ἤλπιζον τῶν ἐπὶ
τῆς χώρας κτήσεων στερήσαντες τοὺς πολεμίους ἀνα-
γκάσειν εἶξαι τοῖς ὑπερέχουσι. διὸ καὶ πέντε μῆνας κα-
ταναλώσαντες εἰς τὴν τῆς πολεμίας γῆς καταφθορὰν τάς
τε ἐπαύλεις σχεδὸν ἁπάσας ἐπυρπόλησαν καὶ τὴν χώραν
ἐξηγρίωσαν, ἀφανίσαντες πᾶν τὸ δυνάμενον ἐνεγκεῖν
ἥμερον καρπόν. μετὰ δὲ ταῦτα τοῖς μὲν Ἀναγνίταις
ἀδικήματα ποιοῦσι πόλεμον κατήγγειλαν, Φρουσίνωνα
δὲ ἐκπολιορκήσαντες ἀπέδοντο τὴν χώραν.

Τοῦ δ' ἐνιαυσίου χρόνου διεληλυθότος Ἀθήνησι μὲν 81
ἦρχεν Εὐξένιππος, ἐν Ῥώμῃ δ' ὑπῆρχον ὕπατοι Λεύκιος
Ποστούμιος καὶ Τιβέριος Μινούκιος. ἐπὶ δὲ τούτων Ῥο-
δίοις ἐνέστη πόλεμος πρὸς Ἀντίγονον διὰ τοιαύτας
τινὰς αἰτίας. ἡ πόλις ἡ τῶν Ῥοδίων ἰσχύουσα ναυτι-
καῖς δυνάμεσι καὶ πολιτευομένη κάλλιστα τῶν Ἑλλήνων
περιμάχητος τοῖς δυνάσταις καὶ βασιλεῦσιν ἦν, ἑκάστου
σπεύδοντος εἰς τὴν αὐτοῦ φιλίαν προςλαμβάνεσθαι. προ-
ορωμένη δὲ πόῤῥωθεν τὸ συμφέρον, καὶ πρὸς ἅπαντας
κατ' ἰδίαν συντιθεμένη τὴν φιλίαν, τῶν πρὸς ἀλλήλους
τοῖς δυνάσταις πολέμων οὐ μετεῖχε. διόπερ συνέβαινεν
αὐτὴν τιμᾶσθαι μὲν ὑφ' ἑκάστου βασιλικαῖς δωρεαῖς,
ἄγουσαν δὲ πολὺν χρόνον εἰρήνην μεγάλην ἐπίδοσιν
λαβεῖν πρὸς αὔξησιν. ἐπὶ τοσοῦτον γὰρ προεληλύθει
δυνάμεως ὥςθ' ὑπὲρ μὲν τῶν Ἑλλήνων ἰδίᾳ τὸν πρὸς
τοὺς πειρατὰς πόλεμον ἐπαναιρεῖσθαι, καὶ καθαρὰν πα-
ρέχεσθαι τῶν κακούργων τὴν θάλατταν, τὸν δὲ πλεῖστον
ἰσχύσαντα τῶν μνημονευομένων Ἀλέξανδρον προτιμή-
σαντ' αὐτὴν μάλιστα τῶν πόλεων καὶ τὴν ὑπὲρ ὅλης
τῆς βασιλείας διαθήκην ἐκεῖ θέσθαι καὶ τἄλλα θαυμά-
ζειν καὶ προάγειν εἰς ὑπεροχήν. οἱ δ' οὖν Ῥόδιοι πρὸς
ἅπαντας τοὺς δυνάστας συντεθειμένοι τὴν φιλίαν διετή-
ρουν μὲν ἑαυτοὺς ἐκτὸς ἐγκλήματος δικαίου, ταῖς δ'
εὐνοίαις ἔῤῥεπον μάλιστα πρὸς Πτολεμαῖον. συνέβαινε
γὰρ αὐτοῖς τῶν τε προςόδων τὰς πλείστας εἶναι διὰ
τοὺς εἰς Αἴγυπτον πλέοντας ἐμπόρους καὶ τὸ σύνολον

464. 61. καταφθείροντες] καταφθείραντες F 67. ἐπαύλεις om. Bas. 69. Ἀναγνίταις Cluverius, αἰγινίταις F, caeteri Αἰγινήταις 71. Φρουσίνωνα] φρούσινα F 74. Εὐξένιππος FQW, caeteri Ξένιππος 76. τὸν ante Ἀντίγονον om. T Bas. 89. ἐπαναιρεῖσθαι] ἐπαναίρεσθαι FW 91. προτιμήσαντα F 92. τὴν] τὴν τῆς F 95. ἅπαντας FW, caeteri πάντας 98. αὐτοῖς] αὐτοὺς F τε προςόδων] τετραπόδων Bas.

82 τρέφεσθαι τὴν πόλιν ἀπὸ ταύτης τῆς βασιλείας. ὃ δὴ συνορῶν ὁ Ἀντίγονος, καὶ σπεύδων αὐτοὺς ἀποσπάσαι τῆς πρὸς ἐκεῖνον ἐπιπλοκῆς, τὸ μὲν πρῶτον πρεσβευτὰς ἀπέστειλε καθ᾽ ὃν καιρὸν ὑπὲρ τῆς Κύπρου διεπολέμει πρὸς Πτολεμαῖον, ἀξιῶν αὐτῷ συμμαχεῖν καὶ ναῦς συναποστεῖλαι τῷ Δημητρίῳ. οὐ προςεχόντων δ᾽ αὐτῶν, ἀπέστειλέ τινα τῶν στρατηγῶν μετὰ νεῶν, συντάξας τοὺς πλέοντας εἰς Αἴγυπτον ἐκ τῆς Ῥόδου κατάγειν καὶ περιαιρεῖσθαι τὰ φορτία. τούτου δ᾽ ἐκβληθέντος ὑπὸ τῶν Ῥοδίων, φήσας αὐτοὺς ἀδίκου κατῆρχθαι πολέμου διηπειλήσατο πολιορκήσειν δυνάμεσιν ἁδραῖς τὴν πόλιν. οἱ δὲ Ῥόδιοι τὸ μὲν πρῶτον ἐψηφίσαντο μεγάλας αὐτῷ τιμάς, καὶ πέμψαντες πρέσβεις ἠξίουν μὴ βιάσασθαι τὴν πόλιν προπεσεῖν παρὰ τὰς συνθήκας εἰς τὸν πόλεμον 465 πρὸς Πτολεμαῖον. τραχύτερον δὲ τοῦ βασιλέως ἀπαντῶντος, καὶ τὸν υἱὸν Δημήτριον ἐκπέμψαντος μετὰ δυνάμεως καὶ πολιορκητικῶν ὀργάνων, φοβηθέντες τὴν ὑπεροχὴν τοῦ βασιλέως τὸ μὲν πρῶτον ἀπέστειλαν πρὸς τὸν Δημήτριον, φήσαντες συμπολεμήσειν Ἀντιγόνῳ πρὸς Πτολεμαῖον. ὡς δ᾽ ἐκεῖνος ὁμήρους ἑκατὸν ᾔτει τοὺς ἐπιφανεστάτους καὶ τοῖς λιμέσι δέχεσθαι τὸν στόλον προςέταττεν, ὑπολαβόντες ἐπιβουλεύειν αὐτὸν τῇ πόλει, τὰ πρὸς πόλεμον παρεσκευάζοντο. Δημήτριος δὲ πᾶσαν τὴν δύναμιν ἀθροίσας εἰς τὸν ἐν Δωρύμοις λιμένα στόλον ἐξήρτυε πρὸς τὸν ἐπίπλουν τὸν ἐπὶ τὴν Ῥόδον. εἶχε δὲ ναῦς μακρὰς μὲν παντοίας μεγέθει διακοσίας, ὑπηρετικὰ δὲ πλείω τῶν ἑκατὸν ἑβδομήκοντα. ἐν δὲ τούτοις ἐκομίζοντο στρατιῶται βραχὺ λειπόμενοι τῶν τετρακιςμυρίων σὺν ἱππεῦσι καὶ τοῖς συμμαχοῦσι πειραταῖς· ὑπῆρχε δὲ καὶ βελῶν παντοίων πλῆθος καὶ πάντων τῶν πρὸς πολιορκίαν χρησίμων μεγάλη παρασκευή. χωρὶς δὲ τούτων ἰδιωτικὰ πορεῖα συνηκολούθει τῶν ταῖς ἀγοραῖς χρωμένων βραχὺ λειπόμενα τῶν χιλίων. πολλὰ γὰρ ἔτη τῆς χώρας τῆς Ῥοδίων ἀπορθήτου γεγενημένης, συνέῤῥει πανταχόθεν πλῆθος τῶν εἰωθότων ὠφελείας ἰδίας ἡγεῖσθαι τὰ τῶν πολεμουμένων ἀτυχήματα.

83 ὁ μὲν οὖν Δημήτριος ὥςπερ εἴς τινα ναυμαχίαν ἐκτάξας τὸν στόλον καταπληκτικῶς προηγεῖσθαι μὲν ἐποίησε τὰς μακρὰς ναῦς, ἐχούσας ἐπὶ ταῖς πρῴραις τοὺς τρισπιθάμους τῶν ὀξυβελῶν, ἐπακολουθεῖν δὲ τὰς στρατιωτικὰς καὶ τὰς ἱππηγοὺς ῥυμουλκουμένας ὑπὸ τῶν ταῖς εἰρεσίαις χρωμένων, ἐπὶ πᾶσι δὲ καὶ τὰ τῶν πειρατῶν πορεῖα καὶ τὰ τῶν ἐμπόρων καὶ ἀγοραίων, ὑπεράγοντα τῷ πλήθει, καθάπερ προείρηται, ὥςτε πάντα τὸν ἀνὰ μέσον τόπον τῆς τε νήσου καὶ τῆς ἀντικειμένης παραλίας συμπεπληρωμένον φαίνεσθαι τοῖς πλοίοις, καὶ πολὺν φόβον καὶ κατάπληξιν παρέχεσθαι τοῖς ἀπὸ τῆς πόλεως θεωροῦσιν. οἱ μὲν γὰρ στρατιῶται τῶν Ῥοδίων διειληφότες τὰ τείχη τὸν ἐπίπλουν ἐκαραδόκουν τῶν πολεμίων, πρεσβῦται δὲ καὶ γυναῖκες ἀπὸ τῶν οἰκιῶν ἀφεώρων, οὔσης τῆς πόλεως θεατροειδοῦς, πάντες δὲ τό τε μέγεθος τοῦ στόλου καὶ τὴν αὐγὴν τῶν ἀποστιλβόντων ὅπλων καταπληττόμενοι περὶ τῶν ὅλων οὐ μετρίως ἠγωνίων. εἶθ᾽ ὁ μὲν Δημήτριος κατέπλευσεν εἰς τὴν νῆσον· ἀποβιβάσας δὲ τὴν δύναμιν κατεστρατοπέδευσε πλησίον τῆς πόλεως, ἐκτὸς βέλους ποιησάμενος τὴν παρεμβολήν. εὐθὺς δὲ τῶν τε πειρατῶν καὶ τῶν ἄλλων τοὺς εὐθέτους ἐξέπεμψε πορθήσοντας τὴν νῆσον καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. ἐδενδροτόμησε δὲ καὶ τὴν πλησίον χώραν καὶ καθεῖλε τὰς ἐπαύλεις, ἐξ ὧν ὠχύρωσε τὴν στρατοπεδείαν περιλαβὼν τριπλῷ χάρακι καὶ σταυρώμασι πυκνοῖς καὶ μεγάλοις, ὥςτε τὴν τῶν πολεμίων βλάβην γίνεσθαι τῶν ἰδίων ἀσφάλειαν. μετὰ δὲ ταῦτα πάσῃ τῇ δυνάμει καὶ τοῖς πληρώμασιν ἔχωσεν ἐν ὀλίγαις ἡμέραις τὸ μεταξὺ τῆς πόλεως διαλεῖπον πρὸς τὴν ἔκβασιν, καὶ κατεσκεύασε λιμένα ταῖς ναυσὶν ἀρκοῦντα.

466 Οἱ δὲ Ῥόδιοι μέχρι μέν τινος πρέσβεις ἐκπέμποντες 84 ἠξίουν μηδὲν πρᾶξαι κατὰ τῆς πόλεως ἀνήκεστον· ὡς δ᾽ οὐδεὶς αὐτοῖς προςεῖχεν, ἀπογνόντες τὰς διαλύσεις ἐξέπεμψαν πρεσβευτὰς πρὸς Πτολεμαῖον καὶ Λυσίμαχον καὶ Κάσσανδρον, ἀξιοῦντες βοηθεῖν, ὡς τῆς πόλεως προπολεμούσης ὑπὲρ αὐτῶν. τῶν δ᾽ ἐν τῇ πόλει κατοικούντων παροίκων καὶ ξένων δόντες ἐξουσίαν τοῖς βουλομένοις συναγωνίζεσθαι, τοὺς λοιποὺς ἀχρήστους

6. ναῦς] ναῦς αὐτῶν FW 7. αὐτῶν] αὐτῷ FW 11. ἀδίκου om. Bas., asterisco notavit Stephanus 15. προπεσεῖν] libri προςπεσεῖν

465. 18. πολιορκητικῶν] πολιτικῶν F 26. Δωρύμοις Palmerius: libri Ἐλωρύμνοις 27. τὴν Ῥόδον] τῆς ῥόδου F 29. ὑπηρετικὰ FW, caeteri ὑπηρετικὰς 35. συνηκολούθει] ἐπηκολούθει FW 39. πολεμουμένων] πολεμίων FQW

45. δὲ καὶ] δὲ Bas. 46. τῶν ante ἐμπόρων om. Bas. 47. ἀγοραίων] τὰ τῶν ἀγοραίων F ὑπεράγοντα] ὑπερέχοντα FQW 49. καὶ τῆς] καὶ Bas. 55. δὲ, quod post πάντες posui, in libris est post οὔσης 61. δὲ om. F τῶν τε FW, caeteri τῶν 67. τῶν] τὴν τῶν F 69. διαλεῖπον] διαλιπὼν F

466. 77. προπολεμούσης Wesselingius; libri προςπολεμούσης 80. ἀχρήστους] ὡς ἀχρήστους FW

ἐκ τῆς πόλεως ἐξέπεμψαν, ἅμα μὲν τῆς τῶν ἀναγκαίων ἐνδείας προνοηθέντες, ἅμα δὲ καὶ τοῦ μηδένα τῇ καταστάσει δυσχεραίνοντα γίνεσθαι τῆς πόλεως προδότην. ἀριθμὸν δὲ ποιησάμενοι τῶν δυναμένων ἀγωνίζεσθαι, πολιτῶν μὲν εὗρον περὶ ἑξακισχιλίους, τῶν δὲ παροίκων καὶ ξένων εἰς χιλίους. ἐψηφίσαντο δὲ καὶ τῶν δούλων τοὺς ἄνδρας ἀγαθοὺς γενομένους ἐν τοῖς κινδύνοις ἀγοράσαντας παρὰ τῶν δεσποτῶν ἐλευθεροῦν καὶ πολίτας εἶναι· ἔγραψαν δὲ καὶ τῶν τελευτησάντων ἐν τῷ πολέμῳ τὰ μὲν σώματα δημοσίᾳ θάπτεσθαι, τοὺς δὲ γονεῖς καὶ παῖδας τρέφεσθαι λαμβάνοντας τὴν χορηγίαν ἀπὸ τοῦ κοινοῦ ταμιείου, καὶ τὰς μὲν παρθένους δημοσίᾳ προικίζεσθαι, τοὺς δ' υἱοὺς ἐν ἡλικίᾳ γενομένους ἐν τῷ θεάτρῳ στεφανῶσαι τοῖς Διονυσίοις πανοπλίᾳ. διὰ δὲ τούτων ἐκκαλεσάμενοι τὰς ἁπάντων προθυμίας εἰς τὸ τοὺς κινδύνους ὑπομένειν εὐψύχως, ἐποιήσαντο καὶ τῶν ἄλλων τὴν ἐνδεχομένην παρασκευήν. ὁμονοοῦντος γὰρ τοῦ πλήθους, οἱ μὲν εὔποροι χρήματ' εἰσέφερον, οἱ δὲ τεχνῖται τὰς αὐτῶν ἐπιστήμας παρείχοντο πρὸς τὴν τῶν ὅπλων κατασκευήν, ἅπας δ' ἦν ἐνεργός, τῇ φιλοτιμίᾳ τοὺς ἄλλους ὑπερθέσθαι σπεύδων. διόπερ οἱ μὲν ἐγίνοντο περὶ τοὺς ὀξυβελεῖς καὶ πετροβόλους, οἱ δὲ περὶ τὴν τῶν ἄλλων κατασκευήν, τινὲς δὲ τὰ πεπονηκότα τῶν τειχῶν ἐπεσκεύαζον, πλεῖστοι δὲ λίθους πρὸς τὰ τείχη φέροντες ἐσώρευον. ἐξέπεμψαν δὲ καὶ τῶν ἄριστα πλεουσῶν νεῶν τρεῖς ἐπὶ τοὺς πολεμίους καὶ τοὺς παρακομίζοντας αὐτοῖς ἀγορὰς ἐμπόρους. αὗται δὲ παραδόξως ἐπιφανεῖσαι πολλὰ μὲν πλοῖα τῶν ἐπὶ τὴν προνομὴν τῆς χώρας ὠφελείας χάριν πλεόντων ἐμπόρων κατεπόντισαν, οὐκ ὀλίγα δὲ καὶ πρὸς τὸν αἰγιαλὸν κατασπῶσαι συνέκαυσαν, καὶ τῶν αἰχμαλώτων τὰ δυνάμενα δοῦναι λύτρον παρεκόμιζον εἰς τὴν πόλιν. συνέθεντο γὰρ οἱ Ῥόδιοι πρὸς τὸν Δημήτριον ὥστε ἀλλήλοις διδόναι λύτρον, ἐλευθέρου μὲν χιλίας δραχμάς, δούλου δὲ πεντακοσίας.

85 Πρὸς τὰς θέσεις τῶν ὀργάνων δὲ ὁ Δημήτριος ἄφθονον ἔχων ἁπάντων χορηγίαν ἤρξατο κατασκευάζειν

88. ἐλευθεροῦν καὶ] τὴν ἐλευθερίαν F, alterum γρ. in margine ponens 94. τοῖς] ταῖς [οῖς] F πανοπλίᾳ] πανοπλίαις FQW 100. ἅπας δ' ἦν ἐνεργὸς — σπεύδων] ἐνεργῶς — σπεύδοντες FQW 3. κατασκευήν FW, caeteri παρασκευήν 9. πολλὰ] καὶ πολλὰ F 10. ὠφελείας] τῆς ὠφελείας F ἐμπόρων suspectum est Reiskio 13. λύτρον] λύτρα W, λούτρα F 17. δὲ ὁ] ὁ δὲ Bas., praecedentia cum πεντακοσίας coniungens: neque Diodorus alibi particulam sic solet collocare



δύο χελώνας, τὴν μὲν πρὸς τοὺς πετροβόλους, τὴν δὲ πρὸς τοὺς ὀξυβελεῖς, ἀμφοτέρας δὲ ταύτας ἐπὶ δύο πλοίων φορτηγῶν διαβεβηκότων καὶ κατεζευγμένων, δύο
467 δὲ πύργους τετραστέγους ὑπερέχοντας τοῖς ὕψεσι τῶν ἐπὶ τοῦ λιμένος πύργων, ἑκάτερον δὲ τούτων ἐπὶ δύο πλοίων ἴσων βεβηκότων καὶ κατειλημμένων, ὅπως ἐν τῷ προσάγειν ἡ στάσις ἑκατέρα τῶν πλευρῶν ἰσόῤῥοπον ἔχῃ τὸ βάρος. κατεσκεύασε δὲ καὶ χάρακα πλωτὸν ἐπὶ τετραπόδων ξύλων καθηλωμένων, ὅπως προπλέων οὗτος κωλύῃ τοὺς πολεμίους ἐπιπλέοντας ἐμβολὰς διδόναι τοῖς φέρουσι τὰς μηχανὰς πλοίοις. ἐν ὅσῳ δὲ ταῦτα τὴν συντέλειαν ἐλάμβανεν, ἀθροίσας τοὺς ἀδροτάτους τῶν λέμβων, καὶ τούτους καταφράξας σανίσι καὶ θυρίδας κλειστὰς κατασκευάσας, ἐνέθετο μὲν τῶν τρισπιθάμων ὀξυβελῶν τοὺς πορρωτάτω βάλλοντας καὶ τοὺς τούτοις κατὰ τρόπον χρησομένους, ἔτι δὲ τοξότας Κρῆτας· τὰς δὲ ναῦς προσαγαγὼν ἐντὸς βέλους κατετίτρωσκε τοὺς κατὰ τὴν πόλιν ὑψηλότερα τὰ παρὰ τὸν λιμένα τείχη κατασκευάζοντας. οἱ δὲ Ῥόδιοι θεωροῦντες τοῦ Δημητρίου τὴν πᾶσαν ἐπιβολὴν οὖσαν ἐπὶ τὸν λιμένα, καὶ αὐτοὶ τὰ πρὸς τὴν ἀσφάλειαν τούτου παρεσκευάζοντο. δύο μὲν οὖν ἔστησαν μηχανὰς ἐπὶ τοῦ χώματος, τρεῖς δ' ἐπὶ φορτηγῶν πλοίων πλησίον τῶν κλείθρων τοῦ μικροῦ λιμένος· ἐν δὲ ταύταις ἔθηκαν πλῆθος ὀξυβελῶν καὶ πετροβόλων παντοίων τοῖς μεγέθεσιν, ὅπως, ἐάν τε ἀποβιβάζωσιν οἱ πολέμιοι πρὸς τὸ χῶμα στρατιώτας ἐάν τε τὰς μηχανὰς προσάγωσι, διὰ τούτων αὐτοὺς εἴργεσθαι τῆς ἐπιβολῆς. ἐπέστησαν δὲ καὶ τοῖς ὁρμοῦσι τῶν φορτηγῶν πλοίων ἐν τῷ λιμένι βελοστάσεις οἰκείας τοῖς ἐπιτίθεσθαι μέλλουσι καταπέλταις.

86 Ἀμφοτέρων δὲ τοῦτον τὸν τρόπον παρεσκευασμένων, ὁ Δημήτριος τὸ μὲν πρῶτον ἐπιβαλόμενος προσάγειν τὰς μηχανὰς τοῖς λιμέσιν ἐκωλύθη κλύδωνος ἐπιγενομένου τραχυτέρου. μετὰ δὲ ταῦτα νυκτὸς εὐδίας λαβόμενος ἔλαθε παραπλεύσας, καὶ καταλαβόμενος ἄκρον τὸ χῶμα τοῦ μεγάλου λιμένος εὐθύς τε περιεχαράκωσε τὸν τόπον καὶ διέφραξε θυρώμασι καὶ πέτροις· ἐξεβί-

467. 24. βεβηκότων] βεβηκότα T Bas. κατειλημμένων] κατειλημμένον Bas. 25. προσάγειν] προάγειν FW 27. τετραπόδων] v. Lobeck. ad Phryn. p. 546. 28. προπλέων] libri προσπλέων 29. ἐπιπλέοντας] ἐπὶ τὰς F 40. πρὸς τὴν] πρὸς F 47. ἐάν τε] ἄν τε Bas. 48. ὁρμοῦσι] libri ὁρμῶσι 50. καταπέλταις Rhodomannus: libri καταπέλτας 52. ἐπιβαλλόμενος F 57. τε] δὲ καὶ F 58. πέτροις] πέτραις Bas.

βασε δ' εἰς αὐτὸν στρατιώτας τετρακοσίους καὶ βελῶν πλῆθος παντοδαπῶν, ἀπέχοντος ἀπὸ τῶν τειχῶν τοῦ τόπου τούτου πέντε πλέθρα. ἐπειθ' ἡμέρας γενομένης παρεκόμισαν τὰς μηχανὰς εἰς τὸν λιμένα μετὰ σάλπιγγος καὶ κραυγῆς, καὶ τοῖς μὲν ἐλάττοσιν ὀξυβελέσι καὶ μακρὰν φερομένοις ἀνεῖργε τοὺς ἐργαζομένους τὸ παρὰ τὸν λιμένα τεῖχος, τοῖς δὲ πετροβόλοις τάς τε μηχανὰς τῶν πολεμίων καὶ τὸ διὰ τοῦ χώματος τεῖχος τῇ μὲν διέσεισε τῇ δὲ κατέβαλεν, ἀσθενὲς ὑπάρχον καὶ ταπεινὸν ἐκείνοις τοῖς καιροῖς. ἀμυνομένων δὲ καὶ τῶν ἐκ τῆς πόλεως εὐρώστως, τότε μὲν ὅλην τὴν ἡμέραν διετέλεσαν ἀμφότεροι πολλὰ κακὰ καὶ δρῶντες καὶ πάσχοντες· τῆς δὲ νυκτὸς ἤδη καταλαμβανούσης, ὁ μὲν Δημήτριος ταῖς ῥυμουλκούσαις ναυσὶν ἀπήγαγε τὰς μηχανὰς 468 πάλιν ἔξω βέλους, οἱ δὲ Ῥόδιοι ξηρᾶς ὕλης καὶ δᾳδὸς ἀκάτια πληρώσαντες καὶ πῦρ ἐνθέμενοι, τὸ μὲν πρῶτον ἐπιδιώξαντες προσέπλεον ταῖς μηχαναῖς ταῖς τῶν πολεμίων καὶ τὴν ὕλην ὑφῆψαν, μετὰ δὲ ταῦτα τῷ πλωτῷ χάρακι καὶ τοῖς βέλεσιν ἀνειρχθέντες συνηναγκάσθησαν χωρεῖν εἰς τοὐπίσω. τῆς δὲ φλογὸς ἐπισχούσης, ὀλίγοι μὲν κατασβέσαντες ἐπανῆλθον σὺν τοῖς σκάφεσιν, οἱ πλεῖστοι δὲ καιομένων τῶν ἀκατίων ἐξεκολύμβησαν. τῇ δ' ὑστεραίᾳ κατὰ μὲν θάλατταν ὁ Δημήτριος παραπλησίαν ἐποιήσατο τὴν ἐπίθεσιν, κατὰ δὲ τὴν γῆν προσέταξεν ἅμα πανταχόθεν προσβάλλειν μετ' ἀλαλαγμοῦ καὶ σάλπιγγος, ὅπως εἰς ἀγωνίαν καὶ φόβον ἀγάγῃ τοὺς Ῥοδίους πολλῶν τῶν ἀντισπασμάτων ὄντων.

87 Τοιαύτην δὲ τὴν πολιορκίαν ποιησάμενος ἐφ' ἡμέρας ὀκτὼ τὰς μὲν μηχανὰς τὰς ἐπὶ τοῦ χώματος τοῖς ταλαντιαίοις πετροβόλοις συνέτριψε, τοῦ δὲ διατειχίσματος τὸ μεσοπύργιον σὺν αὐτοῖς τοῖς πύργοις διέσεισε. κατελάβοντο δὲ καὶ τῶν στρατιωτῶν στρατιωτῶν τινες μέρος τοῦ παρὰ τὸν λιμένα διατειχίσματος· ἐφ' οὗ συστραφέντες οἱ Ῥόδιοι μάχην συνῆψαν, καὶ πολλαπλά-

59. τετρακοσίους] τριακοσίους QW Bas. 61. παρεκόμισαν] παρεκόμισε Wesselingius 63. καὶ om. Bas. 67. διέσεισε] διέσειε W 70. κακὰ καὶ] κακὰ F 71. καταλαμβανούσης] καταλαβούσης FQW
ῢ
468. 73. πάλιν om. W 79. ἐπισχούσης] ἐπισχούσης F 80. κατασβέσαντες] συσκευασάμενοι QW, et γρ. margo F 81. καομένων F 86. ἀγάγῃ post ἀγωνίαν ponunt FW τῶν om. F 91. τὸ om. F σὺν] ἦν ὁ σὺν F 92. κατελάβοντο] κατέλαβον FW 93. διατειχίσματος Bas.



σιοι γενόμενοι τοὺς μὲν ἀνεῖλον, τοὺς δ' ἐπανελθεῖν εἰς τοὐπίσω συνηνάγκασαν· συνήργει δὲ τοῖς ἐκ τῆς πόλεως ἡ τοῦ παρὰ τὸ τεῖχος τόπου τραχύτης, πολλῶν καὶ μεγάλων πετρῶν κατὰ τὸ συνεχὲς κειμένων παρὰ τὴν οἰκοδομὴν ἔξω τοῦ τείχους. τῶν δὲ τοὺς στρατιώτας τούτους κομισάντων σκαφῶν οὐκ ὀλίγων διὰ τὴν ἀγωνίαν ἐποκειλάντων, οἱ Ῥόδιοι ταχέως τὰ μὲν ἀκροστόλια περιέσπασαν, 87 ὕλην δὲ ξηρὰν καὶ δᾷδας ταῖς ναυσὶν ἐνέντες ἐνέπρησαν. τούτων δὲ περὶ ταῦτ' ὄντων οἱ μὲν τοῦ Δημητρίου στρατιῶται πανταχοῦ περιπλέοντες κλίμακας προσέφερον τοῖς τείχεσι καὶ βιαιότερον ἐνέκειντο, συναγωνιζομένων καὶ τῶν ἀπὸ τῆς γῆς πανταχόθεν καὶ συναλαλαζόντων. ἔνθα δὴ πολλῶν παραβόλως κινδυνευσάντων, καὶ συχνῶν ἀναβάντων ἐπὶ τὰ τείχη, συνίστατο καρτερὰ μάχη, τῶν μὲν ἔξωθεν βιαζομένων, τῶν δ' ἐκ τῆς πόλεως ἀθρόων παραβοηθούντων. τέλος δὲ τῶν Ῥοδίων ἐκθύμως ἀγωνιζομένων οἱ μὲν ἔπεσον τῶν προσαναβάντων, οἱ δὲ κατατραυματισθέντες ἑάλωσαν, ἐν οἷς ἦσάν τινες καὶ τῶν ἐπιφανεστάτων ἡγεμόνων. τοιούτων δὲ γενομένων τοῖς ἔξωθεν ἐλαττωμάτων, ὁ μὲν Δημήτριος ἀπεκόμισε τὰς μηχανὰς εἰς τὸν ἴδιον λιμένα καὶ τὰ πεπονηκότα τῶν πλοίων καὶ μηχανῶν ἐπεσκεύασεν, οἱ δὲ Ῥόδιοι τοὺς μὲν τελευτήσαντας τῶν πολιτῶν ἔθαψαν, τὰ δὲ ὅπλα τῶν πολεμίων καὶ τὰ ἀκροστόλια
469 τοῖς θεοῖς ἀνέθηκαν, τὰ δὲ διὰ τῶν πετροβόλων πεπτωκότα τῶν τειχῶν ἀνῳκοδόμουν.

Δημήτριος δὲ περὶ τὴν ἐπισκευὴν τῶν μηχανῶν 88
καὶ τῶν πλοίων ἡμέρας ἑπτὰ γενόμενος, καὶ πάντα τὰ πρὸς τὴν πολιορκίαν παρασκευασάμενος, πάλιν ἐπέπλευσε τῷ λιμένι· πᾶσα γὰρ ἦν ἡ σπουδὴ περὶ τὸ κρατῆσαι τούτου καὶ τῆς σιτοπομπίας ἀποκλεῖσαι τοὺς κατὰ τὴν πόλιν. γενόμενος δ' ἐντὸς βέλους τοῖς μὲν πυρφόροις πολλοῖς οὖσιν εἰς τὰ διωρισμένα πλοῖα τῶν Ῥοδίων ἐνέβαλε, τοῖς δὲ πετροβόλοις τὰ τείχη διέσεισε, τοῖς δ' ὀξυβελέσι τὰ φαινόμενα τῶν σωμάτων κατετίτρωσκε. συνεχοῦς οὖν καὶ καταπληκτικῆς γενομένης τῆς προσβο-

96. δὲ] δὲ καὶ FW 5. πανταχοῦ] πανταχόθεν FW 8. συναλαλαζόντων] συναλαλαξάντων Bas. πολλῶν om. F 11. ἀθρόων Y Bas., caeteri ἀθρόως 14. τινες om. FW 16. τοῖς] τῶν F
469. 25. τὴν] τὰς F 26. ἦν ἡ FWY, caeteri ἦν 27. σιτοπομπίας F, σιτοπομπείας caeteri 31. διέσεισε] διέσεις W

λῆς, οἱ μὲν παρὰ τοῖς Ῥοδίοις ναύκληροι διαγωνιάσαντες περὶ τῶν πλοίων κατέσβεσαν τὰ πυρφόρα, οἱ δὲ πρυτάνεις κινδυνεύοντος ἁλῶναι τοῦ λιμένος παρεκάλεσαν τοὺς ἀρίστους τῶν πολιτῶν τὸν ὑπὲρ τῆς κοινῆς σωτηρίας ὑπομεῖναι κίνδυνον. πολλῶν οὖν προθύμως ὑπακουόντων, τρεῖς ναῦς τὰς κρατίστας ἐπλήρωσαν ἐπιλέκτων ἀνδρῶν, οἷς παρήγγειλαν πειρᾶσθαι τοῖς ἐμβόλοις βυθίσαι τὰ πλοῖα τὰ τὰς μηχανὰς κομίζοντα τῶν πολεμίων. οὗτοι μὲν οὖν, καίπερ πολλῶν ἐπ' αὐτοὺς φερομένων βελῶν, ὠσάμενοι τὸ μὲν πρῶτον τὸν σεσιδηρωμένον χάρακα διέσπασαν, τοῖς δὲ πλοίοις πολλὰς ἐμβολὰς δόντες, καὶ θαλάττης αὐτὰ πληρώσαντες δύο μὲν τῶν μηχανῶν κατέβαλον, τῆς δὲ τρίτης ὑπὸ τῶν περὶ τὸν Δημήτριον εἰς τοὐπίσω τοῖς ῥύμασιν ἑλκομένης, οἱ μὲν Ῥόδιοι θαῤῥήσαντες τοῖς κατωρθωμένοις θρασύτερον τοῦ καθήκοντος προέπιπτον εἰς τὸν κίνδυνον. διὸ πολλῶν αὐτοῖς καὶ μεγάλων νεῶν περιχυθεισῶν καὶ τοῖς ἐμβόλοις πολλὰ μέρη τῶν τοίχων ἀναῤῥηττουσῶν, ὁ μὲν ναύαρχος Ἐξήκεστος καὶ ὁ τριήραρχος καί τινες ἄλλοι κατατραυματισθέντες ἥλωσαν· τοῦ δ' ἄλλου πλήθους ἐκκολυμβήσαντος καὶ διανηξαμένου πρὸς τοὺς ἰδίους, μία μὲν τῶν νεῶν ὑποχείριος ἐγένετο τοῖς περὶ τὸν Δημήτριον, αἱ δ' ἄλλαι διέφυγον τὸν κίνδυνον. τοιαύτης οὖν γενομένης τῆς ναυμαχίας, ὁ μὲν Δημήτριος ἄλλην μηχανὴν κατεσκεύασε τριπλασίαν τῷ ὕψει καὶ πλάτει τῆς πρότερον. προςάγοντος δ' αὐτὴν πρὸς τὸν λιμένα νότος ἐκνεφίας ἐπιγενόμενος τὰ μὲν ὁρμοῦντα τῶν πλοίων συνέκλυσε, τὴν δὲ μηχανὴν κατέβαλε. καθ' ὃν δὴ χρόνον οἱ Ῥόδιοι τῷ καιρῷ δεξιῶς χρησάμενοι πύλην ἀνοίξαντες ἐπέθεντο τοῖς τὸ χῶμα κατειληφόσι. γενομένης δὲ μάχης ἐπὶ πολὺν χρόνον ἰσχυρᾶς, καὶ τοῦ μὲν Δημητρίου διὰ τὸν χειμῶνα μὴ δυναμένου βοηθῆσαι, τῶν δὲ Ῥοδίων ἐκ διαδο-

34. διαγωνιάσαντες] διαγωνίσαντες W Bas. et α super ισ posito F  35. τὰ πυρφόρα] τὰς πυρφόρους TY Bas., quos τοὺς saltem debuisse monuit Wesselingius  37. ὑπομεῖναι] αἱρεῖσθαι QW et qui in marg. γρ. ὑπομεῖναι F  38. οὖν Bas., caeteri μὲν οὖν  ὑπακουόντων] ὑπακουσάντων FW  39. τὰς om. Bas.  45. αὐτὰ om. F  49. προέπιπτον] προςέπιπτον FW  50. αὐτοῖς καὶ μεγάλων] καὶ μεγάλων αὐτοῖς F  52. τοίχων] τειχῶν F  ἀναῤῥηττουσῶν] ἀνορυττόντων F, caeteri ἀναῤῥηττόντων  58. τῆς om. F Bas.  60. πρότερον] προτέρας FW: conf. ad p. 202. 56.  προςάγοντος] προςαγαγόντος QW, προαγαγόντος F  62. ὁρμοῦντα margo F, caeteri ὁρμαίνοντα  64. πύλην X, πόλην Y, πόλιν Bas., caeteri πάλιν  67. βοηθῆσαι μὴ δυναμένου F



470 χῆς ἀγωνιζομένων, ἠναγκάσθησαν οἱ τοῦ βασιλέως ἀποθέμενοι τὰ ὅπλα παραδοῦναι σφᾶς αὐτούς, ὄντες σχεδὸν τετρακόσιοι. τούτων δὲ τῶν προτερημάτων γενομένων τοῖς Ῥοδίοις κατέπλευσαν τῇ πόλει σύμμαχοι παρὰ μὲν Κνωσίων ἑκατὸν πεντήκοντα, παρὰ δὲ Πτολεμαίου πλείους τῶν πεντακοσίων, ὧν ἦσάν τινες Ῥόδιοι μισθοφοροῦντες παρὰ τῷ βασιλεῖ. καὶ τὰ μὲν περὶ τὴν ἐν Ῥόδῳ πολιορκίαν ἐν τούτοις ἦν.

89 Κατὰ δὲ τὴν Σικελίαν Ἀγαθοκλῆς οὐ δυνάμενος διαλύσασθαι πρὸς τοὺς περὶ Δεινοκράτην φυγάδας, ἀνέζευξεν ἐπ' αὐτοὺς μεθ' ἧς εἶχε δυνάμεως, νομίζων ἀναγκαῖον ὑπάρχειν αὐτῷ διακινδυνεύειν καὶ παραβάλλεσθαι περὶ τῶν ὅλων. συνηκολούθουν δ' αὐτῷ πεζοὶ μὲν οὐ πλείους τῶν πεντακιςχιλίων, ἱππεῖς δὲ εἰς ὀκτακοσίους. οἱ δὲ περὶ Δεινοκράτην φυγάδες ὁρῶντες τὴν τῶν πολεμίων ὁρμήν, ἄσμενοι κατήντησαν εἰς τὴν μάχην, ὄντες πολλαπλάσιοι· πεζοὶ μὲν γὰρ ὑπῆρχον πλείους τῶν διςμυρίων καὶ πεντακιςχιλίων, ἱππεῖς δ' οὐκ ἐλάττους τριςχιλίων. ἀντιστρατοπεδευσάντων δ' αὐτῶν περὶ τὸ καλούμενον Γόργιον, καὶ μετὰ ταῦτα παραταξαμένων, ἐπ' ὀλίγον μὲν χρόνον συνέστη καρτερὰ μάχη διὰ τὰς ἀμφοτέρων προθυμίας· μετὰ δὲ ταῦτα τῶν πρὸς τὸν Δεινοκράτην διαφερομένων τινὲς ὄντες πλείους τῶν διςχιλίων μετεβάλοντο πρὸς τὸν τύραννον, καὶ τοῖς φυγάσιν αἴτιοι κατέστησαν τῆς ἥττης. οἱ μὲν γὰρ μετ' Ἀγαθοκλέους ὄντες πολὺ μᾶλλον ἐθάῤῥησαν, οἱ δὲ Δεινοκράτῃ συναγωνιζόμενοι κατεπλάγησαν, καὶ νομίσαντες πλείους εἶναι τοὺς ἀφισταμένους, πρὸς φυγὴν ὥρμησαν. εἶθ' ὁ μὲν Ἀγαθοκλῆς διώξας αὐτοὺς μέχρι τινός, καὶ τοῦ φονεύειν ἀποσχόμενος, διεπέμψατο πρὸς τοὺς ἡττημένους, ἀξιῶν παύσασθαι μὲν τῆς διαφορᾶς, καταπορευθῆναι δ' εἰς τὰς πατρίδας· εἰληφέναι γὰρ αὐτοὺς πεῖραν τοῦ μηδέποτ' ἂν δύνασθαι περιγενέσθαι τοὺς φυγάδας ἀγωνιζομένους πρὸς αὐτόν, ὅτε καὶ νῦν πολλαπλασίους ὄντας αὐτοὺς ἡττῆσθαι. τῶν δὲ φυγάδων οἱ μὲν ἱππεῖς ἅπαντες ἀπὸ τῆς φυγῆς διεσώθησαν εἰς Ἄμβικας χωρίον, τῶν δὲ πεζῶν ἔνιοι μὲν νυκτὸς ἐπιγενομένης διέδρασαν, οἱ δὲ πλείους καταλαβόμενοι λόφον,

470. 70. τῶν om. Bas.  75. περὶ τὴν ἐν Ῥόδῳ] ἐν ῥόδῳ περὶ τὴν F  82. πεντακιςχιλίων] ὀκτακιςχιλίων F, et in marg. γρ. πεντακι  85. τὴν om. F  89. Γόργιον] Γοργόνιον FQW, Τόργιον Cluverius  90. διὰ τὰς] διὰ τῆς FW  99. διεπέμψατο] διεπέμπετο FW  6. Ἄμβικας] Ἄμβυκας FW

καὶ τὴν μὲν ἐκ τοῦ διαγωνίζεσθαι νίκην ἀπελπίσαντες,
ἐπιθυμοῦντες δὲ συγγενῶν καὶ φίλων καὶ πατρίδος καὶ
τῶν ἐν ταύτῃ καλῶν, διελύσαντο πρὸς Ἀγαθοκλέα. λα-
βόντων οὖν αὐτῶν πίστεις, καὶ καταβάντων ἀπό τινος
ἐρυμνοῦ λόφου, τὰ μὲν ὅπλα παρείλετο, τὴν δὲ δύναμιν
περιστήσας ἅπαντας κατηκόντισεν, ὄντας περὶ ἑπτακις-
χιλίους, ὡς Τίμαιός φησιν, ὡς δ' ἔνιοι γράφουσιν, εἰς
τετρακισχιλίους. ἀεὶ γὰρ ὁ τύραννος οὗτος πίστεως μὲν
καὶ τῶν ὅρκων κατεφρόνει, τὴν δ' ἰδίαν ἰσχὺν οὐκ ἐκ
τῆς περὶ αὐτὸν δυνάμεως ἀλλ' ἐκ τῆς τῶν ὑποτεταγμέ-
νων ἀσθενείας περιεποιεῖτο, πλεῖον δεδοικὼς τοὺς συμ-
90 μάχους ἢ τοὺς πολεμίους. τὴν δὲ ἀντιτεταγμένην δύνα-
μιν οὕτω διαφθείρας προσεδέξατο τοὺς ὑπολελειμμένους
τῶν φυγάδων, καὶ πρὸς Δεινοκράτην διαλυθεὶς στρατη- 471
γὸν αὐτὸν μέρους τῆς δυνάμεως ἀπέδειξε καὶ διετέλεσε
πιστεύων τὰ μέγιστα. θαυμάσειε δ' ἄν τις ἐν τούτοις
τὸν Ἀγαθοκλέα, πῶς πρὸς ἅπαντας ὑπόπτως ἔχων καὶ
μηδέποτε μηδενὶ βεβαίως πιστεύσας πρὸς μόνον Δεινο-
κράτην διετήρησε τὴν φιλίαν μέχρι τελευτῆς. ὁ δὲ Δει-
νοκράτης προδοὺς τοὺς συμμάχους τὸν μὲν Πασίφιλον
ἐν τῇ Γέλᾳ συναρπάσας ἀπέκτεινε, τὰ δὲ φρούρια καὶ
τὰς πόλεις ἐνεχείρισεν Ἀγαθοκλεῖ, διέτη χρόνον ἀναλώ-
σας εἰς τὴν τῶν πολεμίων παράθεσιν. κατὰ δὲ τὴν Ἰτα-
λίαν Ῥωμαῖοι μὲν Πελιγνοὺς καταπολεμήσαντες τὴν χώ-
ραν ἀφείλοντο, καί τισι τῶν δοξάντων τὰ Ῥωμαίων πε-
φρονηκέναι μετέδωκαν τῆς πολιτείας. μετὰ δὲ ταῦτα
Σαμνιτῶν τὴν Φαλερνῖτιν πορθούντων, ἀνέζευξαν ἐπ'
αὐτοὺς οἱ ὕπατοι. καὶ γενομένης παρατάξεως ἐπροτέ-
ρησαν οἱ Ῥωμαῖοι. σημαίας μὲν οὖν εἷλον εἴκοσι, στρα-
τιώτας δ' ἐζώγρησαν ὑπὲρ τοὺς δισχιλίους. τῶν δ' ὑπά-
των εὐθὺς ἑλόντων πόλιν Βῶλαν, Γέλλιος Γάϊος ὁ τῶν
Σαμνιτῶν ἡγεμὼν ἐφάνη μετὰ στρατιωτῶν ἑξακισχιλίων.
γενομένης δὲ μάχης ἰσχυρᾶς, αὐτός τε ὁ Γέλλιος ἑάλω

10. ταύτῃ] αὐτῇ F 11. οὖν] δ' W, om. F 12. καταβάντων] μεταβάντων Bas. λόφου] τόπου F 13. παρείλετο] παρείλατο FW 14. ὡς — 15. τετρακισχ. om. X 15. γράφουσιν, εἰς] γράφουσι FW 18. ὑποτεταγμένων] ἐπιγινομένων F
471. 22. μέρους] μὲν μέρους Bas. 30. διέτη] libri διετῆ 31. παράθεσιν] παράδοσιν Rhodomannus 32. Πελιγνοὺς Cluverius, Παληνίους FQ, caeteri Παλινίους 33. ἀφείλοντο] ἀφείλαντο F 35. Φαλερνῖτιν Wesselingius: libri Φαλερῖτιν
37. ἐπροτέρησαν Wesselingius, ἐπροετέρησαν Bas., caeteri προετέρησαν σημαίας] σημεῖα F, caeteri σημείας 38. εἷλον Bas., ἀνεῖλον caeteri 40. Βῶλαν] βόλααν F γέλιος F bis



καὶ τῶν ἄλλων Σαμνιτῶν οἱ πλεῖστοι μὲν κατεκόπησαν,
τινὲς δὲ καὶ ζῶντες συνελήφθησαν. οἱ δ' ὕπατοι τοι-
ούτοις προτερήμασι χρησάμενοι τῶν συμμαχίδων πόλεων
τὰς ἁλούσας ἀνεκτήσαντο Σώραν, Ἅρπιναν καὶ Σε-
ρεννίαν.
Τοῦ δ' ἐνιαυσίου χρόνου διεληλυθότος Ἀθήνησι 91
μὲν ἦρχε Φερεκλῆς, ἐν Ῥώμῃ δὲ τὴν ὑπατικὴν ἀρχὴν
διεδέξαντο Πόπλιος Σεμπρώνιος καὶ Πόπλιος Σολπί-
κιος, Ὀλυμπιὰς δ' ἤχθη παρὰ τοῖς Ἠλείοις ἐνάτη πρὸς
ταῖς ἑκατὸν δέκα, καθ' ἣν ἐνίκα στάδιον Ἀνδρομένης
Κορίνθιος. ἐπὶ δὲ τούτων Δημήτριος μὲν Ῥόδον πο-
λιορκῶν ἐπὶ ταῖς κατὰ θάλατταν προσβολαῖς ἀποτυγχά-
νων, ἀπὸ τῆς γῆς διέγνω τὰς ἐπιθέσεις ποιεῖσθαι. πα-
ρασκευασάμενος οὖν ὕλης παντοίας πλῆθος κατεσκεύασε
μηχανὴν τὴν καλουμένην ἑλέπολιν, ὑπεραίρουσαν πολὺ
τῷ μεγέθει τῶν πρὸ αὐτῆς γενομένων. ἐσχαρίου γὰρ
ὄντος τετραγώνου τὴν μὲν πλευρὰν ἑκάστην ὑπεστήσατο
πηχῶν σχεδὸν πεντήκοντα, συμπεπηγυῖαν ἐκ τετραγώνων
ξύλων σιδήρῳ δεδεμένων· τὴν δὲ ἀνὰ μέσον χώραν διέ-
λαβε δοκοῖς ἀλλήλων ἀπεχούσαις ὡσανεὶ πῆχυν, ὅπως
παράστασις ᾖ τοῖς προωθεῖν τὴν μηχανὴν μέλλουσι. τὸ
δὲ πᾶν βάρος ἦν ὑπότροχον, στερεοῖς καὶ μεγάλοις
ὀκτὼ τροχοῖς ὑπειλημμένον· τὰ γὰρ πάχη τῶν ἀψίδων
ὑπῆρχε πηχῶν δυοῖν, σεσιδηρωμένα λεπίσιν ἰσχυραῖς.
πρὸς δὲ τὴν ἐκ πλαγίας μετάθεσιν ἦσαν ἀντίστρεπτα πε-
πραγματευμένα, δι' ὧν ἡ πᾶσα μηχανὴ ῥᾳδίως παν-
τοίαν ὑπελάμβανε κίνησιν. ἐκ δὲ τῶν γωνιῶν ὑπῆρχον
κίονες ἴσοι τῷ μήκει, βραχὺ λείποντες τῶν ἑκατὸν πηχῶν,
472 οὕτω συννενευκότες εἰς ἀλλήλους ὥστε τοῦ παντὸς κατα-
σκευάσματος ὄντος ἐννεαστέγου τὴν μὲν πρώτην στέγην
ὑπάρχειν κλινῶν τετταράκοντα τριῶν, τὴν δ' ἀνωτάτω
ἐννέα. τὰς δὲ τρεῖς πλευρὰς τῆς μηχανῆς ἔξωθεν συνε-
κάλυψε λεπίσι σιδηραῖς καθηλωμέναις, ἵνα μηδὲν ὑπὸ

47. Ἅρπιναν] Ἀρπίνας F Bas., caeteri Ἀρπίναν Σερεννίαν] Σερίνεαν Q, Σερίνειαν FQ 49. ὑπατικὴν] ὕπατον FW 51. Σολπίκιος T, οὐλπίκιος F, caeteri Σουλπίκιος 52. ἐνάτη Bas., caeteri ἐννάτη 54. μὲν om. Bas. 58. ὑπεραίρουσαν] ὑπερέχουσαν QW, αιρ super εχ scribit F 60. ὑπεστήσατο] ὑπεστήσαντο Bas. 63. διέλαβε FW, caeteri διέλαβον δοκοῖς] δοκαῖς F 64. προωθεῖν Reiskius: libri παρωθεῖν 65. ὑπότροχον] ὑπὸ τρόχοις FW, omisso hic postea τροχοῖς 67. ἀψίδων omnes 68. δυοῖν] δυεῖν T Bas. 69. τὴν Reiskius: libri ταῖς ἐκ πλαγίας] πλαγίαις F μετάθεσιν Bas., caeteri μεταθέσεσιν 72. κίονες addidit Rhodomannus 73. οὕτω] libri οὕτως ὥστε] ὡς Bas.
472. 75. τετταράκοντα F, μ Bas., τεσσαράκοντα caeteri

τῶν πυρφόρων βλάπτηται. θυρίδας δ' εἶχον αἱ στέγαι κατὰ πρόςωπον, τοῖς μεγέθεσι καὶ τοῖς σχήμασι πρὸς τὰς ἰδιότητας τῶν μελλόντων ἀφίεσθαι βελῶν ἁρμοζούσας. αὗται δὲ εἶχον καλύμματα διὰ μηχανῆς ἀνασπώμενα, δι' ὧν ἀσφάλειαν ἐλάμβανον οἱ κατὰ τὰς στέγας περὶ τὴν ἄφεσιν τῶν βελῶν ἀναστρεφόμενοι. ἦσαν μὲν γὰρ ἐκ βυρσῶν περιεῤῥαμμένα, πλήρη δὲ ἐρίων, εἰς τὸ τὴν πληγὴν ἐνδιδόναι τῶν λιθοβόλων. ἑκάστη δὲ τῶν στεγῶν εἶχε δύο κλίμακας πλατείας, ὧν τῇ μὲν πρὸς τὴν ἀνακομιδὴν τῶν χρησίμων, τῇ δὲ πρὸς τὴν κατάβασιν ἐχρῶντο, πρὸς τὸ χωρὶς θορύβου πᾶν ὑπηρετεῖσθαι. οἱ δὲ μέλλοντες κινήσειν τὴν μηχανὴν ἐξελέχθησαν ἐξ ἁπάσης τῆς δυνάμεως οἱ ταῖς ῥώμαις διαφέροντες ἄνδρες τριςχίλιοι καὶ τετρακόσιοι. τούτων δ' οἱ μὲν ἐντὸς ἀποληφθέντες οἱ δ' ἐκ τῶν ὄπισθεν μερῶν παριστάμενοι προεώθουν, πολλὰ τῆς τέχνης συνεργούσης εἰς τὴν κίνησιν. κατεσκεύασε δὲ καὶ χελώνας τὰς μὲν χωστρίδας τὰς δὲ κριοφόρους, καὶ στοὰς δι' ὧν ἔμελλον οἱ τοῖς ἔργοις προςιόντες ἐλεύσεσθαι καὶ πάλιν ἐπιστρέψειν ἀσφαλῶς. τοῖς δ' ἐκ τῶν νεῶν πληρώμασιν ἀνεκάθαρε τὸν τόπον ἐπὶ σταδίους τέτταρας, δι' ὧν ἔμελλε προςάξειν τὰς κατασκευασθείσας μηχανάς, ὥςτε γίνεσθαι τὸ ἔργον ἐπὶ μῆκος μεσοπυργίων ἓξ καὶ πύργων ἑπτά. τὸ δ' ἠθροισμένον πλῆθος τῶν τεχνιτῶν καὶ τῶν τοῖς ἔργοις προςιόντων οὐ πολὺ ἐλείπετο τῶν τριςμυρίων.

92 Διόπερ τῇ πολυχειρίᾳ τάχιον τῆς προςδοκίας ἁπάντων ἐπιτελουμένων, φοβερὸς ἦν ὁ Δημήτριος τοῖς Ῥοδίοις. οὐ μόνον γὰρ τὰ μεγέθη τῶν μηχανῶν καὶ τὸ πλῆθος τῆς ἠθροισμένης δυνάμεως ἐξέπληττεν αὐτοὺς ἀλλὰ καὶ τὸ τοῦ βασιλέως βίαιον καὶ φιλότεχνον ἐν ταῖς πολιορκίαις. εὐμήχανος γὰρ ὢν καθ' ὑπερβολὴν ἐν ταῖς ἐπινοίαις, καὶ πολλὰ παρὰ τὴν τῶν ἀρχιτεκτόνων τέχνην παρευρίσκων ὠνομάσθη μὲν πολιορκητής, τὴν δ' ἐν ταῖς προςβολαῖς ὑπεροχὴν καὶ βίαν τοιαύτην εἶχεν ὥςτε δόξαι μηδὲν οὕτως ὀχυρὸν εἶναι τεῖχος ὃ δύναιτ' ἂν τὴν ἀπ' ἐκείνου τοῖς πολιορκουμένοις ἀσφάλειαν παρέχεσθαι. ἦν δὲ καὶ κατὰ τὸ μέγεθος τοῦ σώματος καὶ κατὰ τὸ κάλλος ἡρωικὸν ἀποφαίνων ἀξίωμα, ὥςτε καὶ τοὺς ἀφικνουμένους τῶν ξένων θεωροῦντας εὐπρέπειαν 473 κεκοσμημένην ὑπεροχῇ βασιλικῇ θαυμάζειν καὶ παρακολουθεῖν ἐν ταῖς ἐξόδοις ἕνεκεν τῆς θέας. ἐπὶ δὲ τούτοις ὑπῆρχε καὶ τῇ ψυχῇ μετέωρος καὶ μεγαλοπρεπὴς καὶ καταφρονῶν οὐ τῶν πολλῶν μόνον ἀλλὰ καὶ τῶν ἐν ταῖς δυναστείαις ὄντων· καὶ τὸ πάντων ἰδιαίτατον, κατὰ μὲν τὴν εἰρήνην ἐν μέθαις διέτριβε καὶ συμποσίοις ἔχουσιν ὀρχήσεις καὶ κώμους καὶ τὸ σύνολον ἐζήλου τὴν μυθολογουμένην ποτὲ γενέσθαι κατ' ἀνθρώπους τοῦ Διονύσου διάθεσιν, κατὰ δὲ τοὺς πολέμους ἐνεργὸς ἦν καὶ νήφων, ὥςτε παρὰ πάντας τοὺς ἐργατευομένους ἐναγώνιον παρέχεσθαι τὸ σῶμα καὶ τὴν ψυχήν. ἐπὶ γὰρ τούτου βέλη τὰ μέγιστα συνετελέσθη καὶ μηχαναὶ παντοῖαι πολὺ τὰς παρὰ τοῖς ἄλλοις γενομένας ὑπεραίρουσαι· καὶ σκάφη δὲ μέγιστα καθείλκυσεν οὗτος μετὰ τὴν πολιορκίαν ταύτην καὶ τὴν τοῦ πατρὸς τελευτήν.

93 Οἱ δὲ Ῥόδιοι θεωροῦντες τὴν προκοπὴν τῶν παρὰ τοῖς πολεμίοις ἔργων, κατεσκεύασαν ἐντὸς ἕτερον τεῖχος παράλληλον τῷ μέλλοντι πονεῖν κατὰ τὰς προςβολάς. ἐχρῶντο δὲ λίθοις καθαιροῦντες τοῦ θεάτρου τὸν περίβολον καὶ τὰς πλησίον οἰκίας, ἔτι δὲ τῶν ἱερῶν ἔνια, τοῖς θεοῖς εὐξάμενοι καλλίονα κατασκευάσειν σωθείσης τῆς πόλεως. ἐξέπεμψαν δὲ καὶ τῶν νεῶν ἐννέα, διακελευσάμενοι τοῖς ἀφηγουμένοις πανταχῇ πλεῖν, καὶ παραδόξως ἐπιφαινομένους ἃ μὲν βυθίζειν τῶν ἁλισκομένων πλοίων, ἃ δὲ κατάγειν εἰς τὴν πόλιν. ἐκπλευσάντων δὲ τούτων καὶ τριχῇ διαιρεθέντων, Δαμόφιλος μὲν ἔχων ναῦς τὰς καλουμένας παρὰ Ῥοδίοις φυλακίδας ἔπλευσεν εἰς Κάρπαθον. καὶ πολλὰ μὲν πλοῖα τῶν Δημητρίου καταλαβὼν ἃ μὲν τοῖς ἐμβόλοις θραύων κατεπόντιξεν, ἃ δ' ἐπὶ τὸν αἰγιαλὸν κομίζων ἐνεπύριζεν, ἐκλεγόμενος τῶν σωμάτων τὰ χρησιμώτατα, οὐκ ὀλίγα δὲ τῶν κομιζόντων τοὺς ἐκ τῆς νήσου καρποὺς κατήγαγεν εἰς τὴν πατρίδα. Μενέδημος δὲ τριῶν ἀφηγούμενος τρι-

82. ἀνασπώμενα] ἀνασπασάμενα Bas. 85. πλήρη] πληρης Bas. 86. τὴν πληγὴν] scribendum videtur τῇ πληγῇ 93. ἀπολειφθέντες F 94. προεώθουν] libri προςώθουν, quod corrigendum esse monuit Wesselingius ad p. 475. 31. 98. ἐπιστρέψειν] ἐπιστρέφειν F 99. ἀνεκάθηρε FW, caeteri ἀνεκάθαιρε 100. τέσσαρας F ἔμελλε QW, caeteri ἔμελλον προςάξειν] προάξειν FQ 14. δόξαι] δόξας Bas. 16. τοῖς πολιορκουμένοις] τοὺς πολιορκουμένους F

473. 24. ἰδιαίτατον] ἰδιώτατον T Bas. 26. τὸ σύνολον] σύνολον Bas. 34. καθείλκυσεν] καθείλκυσαν sequente
ὑς οὐς
signo lacunae Bas. 43. τοῖς ἀφηγουμένοις F, τοὺς ἀφηγουμένους Bas. 50. τοῖς ἐμβόλοις] ταῖς ἐμβολαῖς Bas. 54. κατήγαγεν] εἰςήγαγεν W 55. τριημιολιῶν T, τριημολκείων F, caeteri τριημιολκίων

ἡμιολιῶν πλεύσας τῆς Λυκίας ἐπὶ Πάταρα, καὶ καταλαβὼν ὁρμοῦσαν ναῦν τοῦ πληρώματος ἐπὶ τῆς γῆς ὄντος, ἐνεπύρισε τὸ σκάφος· πολλὰ δὲ πλοῖα τῶν κομιζόντων τὴν ἀγορὰν ἐπὶ τὸ στρατόπεδον ὑποχείρια λαβὼν ἐξαπέστειλεν εἰς τὴν Ῥόδον. εἷλε δὲ καὶ τετρήρη πλέουσαν μὲν ἐκ τῆς Κιλικίας, ἔχουσαν δ' ἐσθῆτα βασιλικὴν καὶ τὴν ἄλλην ἀποσκευήν, ἣν ἡ γυνὴ Δημητρίου Φίλα παρασκευασαμένη φιλοτιμότερον ἀπεστάλκει τἀνδρί. τὸν μὲν οὖν ἱματισμὸν ἀπέστειλεν εἰς Αἴγυπτον, οὐσῶν τῶν στολῶν ἁλουργῶν καὶ βασιλεῖ φορεῖν πρεπουσῶν, τὴν δὲ ναῦν ἐνεώλκησε καὶ τοὺς ναύτας ἀπέδοτο τούς τ' ἐκ τῆς τετρήρους καὶ τοὺς ἐκ τῶν ἄλλων πλοίων τῶν ἁλόντων. τῶν δ' ὑπολοίπων νεῶν τριῶν 474
Ἀμύντας ἡγούμενος ἔπλευσεν ἐπὶ νήσων, καὶ πολλοῖς πλοίοις περιτυχὼν κομίζουσι τὰ πρὸς τὰς μηχανὰς ἁρμόζοντα τοῖς πολεμίοις ἃ μὲν αὐτῶν κατέδυσεν, ἃ δὲ κατήγαγεν εἰς τὴν πόλιν, ἐν οἷς ἑάλωσαν καὶ τεχνῖται τῶν ἀξιολόγων καὶ πρὸς βέλη καὶ καταπέλτας ἐμπειρίᾳ διαφέροντες ἕνδεκα. μετὰ δὲ ταῦτα ἐκκλησίας συναχθείσης συνεβούλευόν τινες τὰς εἰκόνας τὰς Ἀντιγόνου καὶ Δημητρίου κατασπάσαι, δεινὸν εἶναι λέγοντες ἐν ἴσῳ τιμᾶσθαι τοὺς πολιορκοῦντας τοῖς εὐεργέταις· ἐφ' οἷς ὁ δῆμος ἀγανακτήσας τούτοις μὲν ὡς ἁμαρτάνουσιν ἐπετίμησε, τῶν δὲ περὶ Ἀντίγονον τιμῶν οὐδεμίαν μετεκίνησε, καλῶς πρός τε δόξαν καὶ τὸ συμφέρον βουλευσάμενος. ἥ τε γὰρ μεγαλοψυχία καὶ τὸ βέβαιον τῆς ἐν δημοκρατίᾳ κρίσεως παρὰ μὲν τοῖς ἄλλοις ἐπαίνων ἐτύγχανε, παρὰ δὲ τοῖς πολιορκοῦσι μεταμελείας· τὰς γὰρ κατὰ τὴν Ἑλλάδα πόλεις οὐδεμίαν ἐνδεδειγμένας εὔνοιαν εἰς τοὺς εὐεργέτας ἐλευθεροῦντες τὴν διὰ τῆς πείρας φανεῖσαν βεβαιοτάτην εἰς ἀμοιβὴν χάριτος ἐφαίνοντο καταδουλούμενοι· ἔτι δὲ πρὸς τὸ παράδοξον τῆς τύχης, εἰ συμβαίη τὴν πόλιν ἁλῶναι, κατελείπετ' αὐτοῖς πρὸς παραίτησιν τῆς τηρηθείσης ὑπ' αὐτῶν φιλίας ἀνάμνησις. ταῦτα μὲν οὖν τοῖς Ῥοδίοις ἐπράχθη συνετῶς.

56. πάταρα F, caeteri τὰ Πάταρα 61. ἐκ κιλικίας F 63. παρεσκευασμένη F 67. τετρήρους] τριήρους F 474. 74. καταπέλτας] καταπελταφέτας F διαφέροντες Y Bas, caeteri τῶν διαφερόντων 79. ὡς om. F 81. πρός τε Reiskius: libri πρὸς τὸ καὶ τὸ om. W 85. τὰς γὰρ] ὅτι τὰς μὲν F 86. ἐλευθεροῦντες] ἐλευθεροῦντας F τὴν] αὐτάς, ταύτην δὲ FW 88. ἐφαίνοντο] ἐφαίνετο F καταδουλούμενοι] καταδεδουλωμένοι W, καταδεδουλωμένη F ἔτι δὲ πρὸς] ἔτι τε καὶ πρὸς FW, πρός τε T Bas.



94 Δημητρίου δὲ διὰ τῶν μεταλλέων ὑπορύξαντος τὸ τεῖχος, τῶν αὐτομόλων τις ἐμήνυσε τοῖς πολιορκουμένοις ὡς οἱ ταῖς ὑπονομαῖς χρώμενοι σχεδὸν ἐντός εἰσι τοῦ τείχους. διόπερ οἱ Ῥόδιοι τάφρον ὀρύξαντες βαθεῖαν, παράλληλον τῷ δοκοῦντι πεσεῖσθαι τείχει, ταχὺ καὶ αὐτοὶ ταῖς μεταλλείαις χρώμενοι συνῆψαν ὑπὸ γῆν τοῖς ἐναντίοις καὶ διεκώλυσαν τῆς εἰς τοὔμπροσθεν πορείας. τῶν δὲ διορυγμάτων παρ' ἀμφοτέροις τηρουμένων, ἐπεχείρησάν τινες τῶν παρὰ τοῦ Δημητρίου διαφθείρειν χρήμασι τὸν τεταγμένον ἐπὶ τῆς φυλακῆς ὑπὸ τῶν Ῥοδίων Ἀθηναγόραν· οὗτος δ' ἦν Μιλήσιος μὲν τὸ γένος, ὑπὸ Πτολεμαίου δ' ἐξαπεσταλμένος ἡγεμὼν τῶν μισθοφόρων. ἐπαγγειλάμενος δὲ προδώσειν συνετάξαθ' ἡμέραν καθ' ἣν ἔδει παρὰ Δημητρίου πεμφθῆναί τινα τῶν ἀξιολόγων ἡγεμόνων τὸν νυκτὸς ἀναβησόμενον διὰ τοῦ ὀρύγματος εἰς τὴν πόλιν, ὅπως κατασκέψηται τὸν τόπον τὸν μέλλοντα δέξασθαι τοὺς στρατιώτας. εἰς ἐλπίδας δὲ μεγάλας ἀγαγὼν τοὺς περὶ Δημήτριον, ἐμήνυσε τῇ βουλῇ· καὶ πέμψαντος τοῦ βασιλέως τῶν περὶ αὐτὸν φίλων Ἀλέξανδρον τὸν Μακεδόνα, τοῦτον μὲν ἀναβάντα διὰ τῆς διώρυγος συνέλαβον οἱ Ῥόδιοι, τὸν δ' Ἀθηναγόραν ἐστεφάνωσαν χρυσῷ στεφάνῳ καὶ δωρεὰν ἔδωκαν ἀργυρίου τάλαντα πέντε, σπεύδοντες καὶ τῶν ἄλλων μισθοφόρων καὶ ξένων ἐκκαλεῖσθαι τὴν πρὸς τὸν δῆμον εὔνοιαν. 95

475 Δημήτριος δέ, τῶν τε μηχανῶν αὐτῷ τέλος ἐχουσῶν καὶ τοῦ πρὸς τὸ τεῖχος τόπου παντὸς ἀνακαθαρθέντος, τὴν μὲν ἑλέπολιν μέσην ἔστησε, τὰς δὲ χωστρίδας χελώνας ἐπιδιεῖλεν, οὔσας εἰς ὀκτώ· κατέστησε δ' εἰς ἑκάτερον μέρος τῆς μηχανῆς τέτταρας, καὶ τούτων ἑκάστῃ συνῆψε στοὰν μίαν εἰς τὸ δύνασθαι μετ' ἀσφαλείας ἐπιτελεῖν τὸ προσταττόμενον τοὺς εἰσιόντας τε καὶ πάλιν ἐξιόντας, κριοφόρους δὲ δύο πολλαπλασίας τοῖς μεγέθεσιν· εἶχε γὰρ ἑκατέραν πηχῶν ἑκατὸν εἴκοσι σεσιδηρωμένην καὶ τὴν ἐμβολὴν ἔχουσαν παραπλησίαν νεὼς ἐμβόλῳ, καὶ προωθουμένην μὲν εὐκινήτως, ὑπότροχον δὲ καὶ τὴν ἐναγώνιον ἐνέργειαν λαμβάνουσαν δι' ἀνδρῶν οὐκ ἐλαττόνων ἢ χιλίων. μέλλων δὲ προσάγειν

93. μεταλλέων FW, caeteri μετάλλων 97. τῷ δοκοῦντι] τῷ κοδομοῦντι Bas. 98. ταχὺ καὶ αὐτοὶ] καὶ αὐτοὶ ταχὺ F 2. τοῦ om. F 10. τὸν μέλλοντα] μέλλοντα Bas. δέξασθαι] δέξεσθαι FW 20. αὐτῷ om. Bas. 475. 21. ἀνακαθαρθέντος] ἀνακαθαρέντος Bas. 25. συνῆψε om. Bas. 31. προωθουμένην] προςωθουμένην TY Bas.

τὰς μηχανὰς τοῖς τείχεσι, τοὺς μὲν πετροβόλους καὶ τοὺς ὀξυβελεῖς παρήνεγκε τῆς ἑλεπόλεως εἰς ἑκάστην στέγην τοὺς ἁρμόζοντας. ἐπὶ δὲ τοὺς λιμένας καὶ τοὺς πλησίον τόπους ἀπέστειλε τὴν ναυτικὴν δύναμιν, πρὸς δὲ τὸ λοιπὸν τεῖχος τὸ δυνάμενον προςβολὰς δέξασθαι τὸ πεζὸν στρατόπεδον ἐπιδιεῖλεν. ἔπειτα δὲ πρὸς ἓν παρακέλευσμα καὶ σημεῖον πάντων συναλαλαξάντων πανταχόθεν τῇ πόλει προςβολὰς ἐποιεῖτο. διασείοντος δ' αὐτοῦ τοῖς κριοῖς καὶ τοῖς πετροβόλοις τὰ τείχη, παρεγενήθησαν Κνιδίων πρέσβεις, ἀξιοῦντες ἐπισχεῖν καὶ πείσειν ἐπαγγελλόμενοι τοὺς Ῥοδίους δέχεσθαι τὰ δυνατώτατα τῶν προςταγμάτων. ἀνέντος δὲ τοῦ βασιλέως, καὶ τῶν πρέσβεων δεῦρο κἀκεῖσε πολλὰ διαλεχθέντων, πέρας οὐ δυναμένων συμφωνῆσαι, πάλιν ἐνηργεῖτο τὰ τῆς πολιορκίας. καὶ Δημήτριος μὲν κατέβαλε τὸν στερεώτατον τῶν πύργων, ᾠκοδομημένον ἐκ λίθων τετραπέδων, καὶ μεσοπύργιον ὅλον διέσεισεν, ὥςτε μὴ δύνασθαι τοὺς ἐν τῇ πόλει πάροδον ἔχειν ἐπὶ τὰς ἐπάλξεις κατὰ τοῦτον τὸν τόπον.

96 Ἐν δὲ ταῖς αὐταῖς ἡμέραις Πτολεμαῖος ὁ βασιλεὺς ἀπέστειλε τοῖς Ῥοδίοις πλοίων πλῆθος τῶν τὴν ἀγορὰν κομιζόντων, ἐν οἷς ἦσαν σίτου τριάκοντα μυριάδες ἀρταβῶν σὺν τοῖς ὀσπρίοις. προςφερομένων δ' αὐτῶν πρὸς τὴν πόλιν, ἐπεχείρησε Δημήτριος ἀποστέλλειν σκάφη τὰ κατάξοντα πρὸς τὴν αὑτοῦ στρατοπεδείαν. φοροῦ δὲ πνεύματος αὐτοῖς ἐπιγενομένου, ταῦτα μὲν πλήρεσι τοῖς ἱστίοις φερόμενα κατηνέχθη πρὸς τοὺς οἰκείους λιμένας, οἱ δ' ὑπὸ Δημητρίου πεμφθέντες ἐπανῆλθον ἄπρακτοι. ἔπεμψε δὲ τοῖς Ῥοδίοις καὶ Κάσσανδρος κριθῶν μεδίμνους μυρίους καὶ Λυσίμαχος πυρῶν μεδίμνους τετρακιςμυρίους καὶ κριθῶν τοὺς ἴσους. τηλικαύτης οὖν χορηγίας τοῖς κατὰ τὴν πόλιν γενομένης, ἤδη κάμνοντες ταῖς ψυχαῖς οἱ πολιορκούμενοι πάλιν ἀνεθάῤῥησαν. καὶ κρίναντες συμφέρειν ἐπιθέσθαι ταῖς μηχαναῖς τῶν πολεμίων, πυρφόρων τε πλῆθος παρεσκευάσαντο καὶ τοὺς πετροβόλους καὶ τοὺς ὀξυβελεῖς ἔστησαν ἅπαντας ἐπὶ τοῦ τείχους. νυκτὸς δ' ἐπιγενομένης περὶ δευτέραν φυλακὴν

36. τοὺς λιμένας TY Bas., caeteri τὸν λιμένα  39. πεζὸν om. FW, asterisco notavit Stephanus  43. Κνιδίων T Bas., caeteri καὶ Κνιδίων  46. προςταγμάτων] πραγμάτων F  καὶ om. F  56. κομιζόντων] ἀνακομιζόντων Bas.  61. φερόμενα] φαινόμενα Y Bas.  67. γενομένης] γινομένης F  72. ἐπιγενομένης] γινομένης W  73. περὶ] ἐπὶ FW



476 ἄφνω τοῖς μὲν πυρφόροις συνεχῶς τὴν φυλακὴν ἔβαλλον, τοῖς δ' ἄλλοις βέλεσι παντοίοις χρώμενοι τοὺς ἐκεῖ συντρέχοντας κατετίτρωσκον. οἱ δὲ περὶ τὸν Δημήτριον ἀνελπίστου τῆς ἐπιθέσεως γενομένης ἀγωνιάσαντες περὶ τῶν κατασκευασθέντων ἔργων, συνέτρεχον ἐπὶ τὴν βοήθειαν. ἀσελήνου δὲ τῆς νυκτὸς οὔσης οἱ μὲν πυρφόροι διέλαμπον φερόμενοι βιαίως, οἱ δ' ὀξυβελεῖς καὶ πετροβόλοι τὴν φορὰν ἀπροόρατον ἔχοντες πολλοὺς διέφθειρον τῶν μὴ δυναμένων συνιδεῖν τὴν ἐπιφερομένην πληγήν. ἔτυχον δὲ καὶ τῶν ἀπὸ τῆς μηχανῆς λεπίδων τινὲς ἀποπεσοῦσαι· καταψιλωθέντος δὲ τοῦ τόπου προςέπιπτον οἱ πυρφόροι τῷ ξυλοφανεῖ τοῦ κατασκευάσματος. διόπερ ἀγωνιάσας ὁ Δημήτριος μήποτε τοῦ πυρὸς ἐπινεμηθέντος ἅπασαν συμβῇ τὴν μηχανὴν λυμανθῆναι, κατὰ τάχος ἐβοήθει καὶ τῷ παρασκευασθέντι ὕδατι ἐν ταῖς στέγαις ἐπειρᾶτο σβεννύναι τὴν ἐπιφερομένην φλόγα. τὸ δὲ τελευταῖον ἀθροίσας τῇ σάλπιγγι τοὺς τεταγμένους ἐπὶ τῆς κινήσεως τῶν ἔργων διὰ τούτων ἀπήγαγε τὰς μηχανὰς ἐκτὸς βέλους.

97 Ἔπειτα γενομένης ἡμέρας προςέταξε τοῖς ὑπηρέταις ἀθροῖσαι τὰ βέλη τὰ πεσόντα παρὰ τῶν Ῥοδίων, ἐκ τούτων βουλόμενος συλλογίσασθαι τῶν ἐν τῇ πόλει τὴν παρασκευήν. ὧν ταχὺ τὸ προςταχθὲν ποιησάντων ἠριθμήθησαν πυρφόροι μὲν τοῖς μεγέθεσι παντοῖοι πλείους τῶν ὀκτακοσίων, ὀξυβελεῖς δ' οὐκ ἐλάττους τῶν χιλίων πεντακοσίων. τοσούτων δὲ βελῶν ἐνεχθέντων ἐν βραχεῖ χρόνῳ νυκτός, ἐθαύμαζε τὴν χορηγίαν τῆς πόλεως καὶ τὴν ἐν τούτοις δαψίλειαν. τότε μὲν οὖν ὁ Δημήτριος κατεσκεύασε τὰ πεπονηκότα τῶν ἔργων καὶ περί τε τὴν ταφὴν τῶν τελευτησάντων καὶ τὴν θεραπείαν τῶν τραυματιῶν ἐγίνετο. καθ' ὃν δὴ χρόνον οἱ κατὰ τὴν πόλιν ἄνεσιν λαβόντες τῆς ἀπὸ τῶν μηχανῶν βίας ᾠκοδόμησαν τρίτον τεῖχος μηνοειδές, περιλαμβάνοντες τῇ μὲν περιφερείᾳ πάντα τὸν κινδυνεύοντα τόπον τοῦ τείχους· οὐδὲν δ' ἧττον καὶ τάφρῳ βαθείᾳ περιέλαβον τὸ πεπτω-

πυρφόροις QTY Bas. et γρ. margo F, caeteri πετροβόλοις
476. 74. συνεχῶς] συχνῶς FQ  φυλακὴν] μηχανὴν vel ἑλέπολιν Reiskius  ἔβαλλον ante τὴν ponit F  75. βέλεσι FQTY Bas., caeteri βέλεσι πυρφόροις  76. ἐκεῖ] εἰκῇ FW  82. τῶν μὴ FTW Bas., caeteri τῶν μαχομένων καὶ μὴ  85. καταψιλωθέντος] καθὰ ψιλωθέντος Bas.  δὲ om. Q Bas., γὰρ F  97. βουλόμενος ἐκ τούτων F  99. πυρφόροι μὲν] invertit F  2. ἐνεχθέντων] ἐναχθέντων F  4. κατεσκεύασε] fort. ἐπεσκεύασε: v. ad p. 543. 29.  6. τραυματιῶν] τραυμάτων F  11. περιέλαβον] περιέβαλον Bas.

κὸς τοῦ τείχους, ὅπως μὴ δύνηται ῥᾳδίως ὁ βασιλεὺς ἐξ ἐφόδου μετὰ βάρους εἰςπεσεῖν εἰς τὴν πόλιν. ἐξέπεμψαν δὲ καὶ ναῦς τῶν ἄριστα πλεουσῶν, Ἀμύνταν ἐπιστήσαντες ἡγεμόνα. ὃς ἐκπλεύσας πρὸς τὴν Περαίαν τῆς Ἀσίας ἐπεφάνη παραδόξως πειραταῖς τισιν ἀπεσταλμένοις ὑπὸ Δημητρίου. οὗτοι δ' εἶχον ἄφρακτα τρία, κράτιστοι δοκοῦντες εἶναι τῶν τῷ βασιλεῖ συστρατευόντων. γενομένης δ' ἐπ' ὀλίγον χρόνον ναυμαχίας, οἱ Ῥόδιοι βιασάμενοι τῶν νεῶν αὐτάνδρων ἐκυρίευσαν, ἐν οἷς ἦν καὶ Τιμοκλῆς ὁ ἀρχιπειρατής. ἐπέπλευσαν δὲ καὶ τῶν ἐμπόρων τισί, καὶ παρελόμενοι κέλητας οὐκ ὀλίγους γέμοντας σίτου, τούτους τε καὶ τὰ τῶν πειρατῶν ἄφρακτα κατήγαγον εἰς τὴν Ῥόδον νυκτὸς λαθόντες τοὺς πολεμίους. ὁ δὲ Δημήτριος ἐπισκευάσας τὰ πεπονηκότα τῶν ἔργων προςέβαλε τῷ τείχει τὰς μηχανάς, καὶ πᾶσι τοῖς βέλεσιν ἀφειδῶς χρώμενος τοὺς μὲν ἐπὶ ταῖς ἐπάλξεσιν ἐφεστῶτας ἀνεῖρξε, τοῖς δὲ κριοῖς τύπτων τὸ συνεχὲς τοῦ τόπου δύο μὲν μεσοπύργια κατέβαλε, περὶ δὲ τὸν πύργον τὸν ἀνὰ μέσον τούτων φιλοτιμουμένοις τοῖς 477 ἐκ τῆς πόλεως ἰσχυροὶ καὶ συνεχεῖς ἐκ διαδοχῆς ἀγῶνες ἐγίνοντο, ὥςτε καὶ τὸν στρατηγὸν αὐτῶν Ἀμεινίαν ἐκθύμως ἀγωνισάμενον ἀναιρεθῆναι καὶ συχνοὺς τῶν ἄλλων στρατιωτῶν ἀποθανεῖν.

98 Ἅμα δὲ τούτοις πραττομένοις Πτολεμαῖος μὲν ὁ βασιλεὺς ἀπέστειλε τοῖς Ῥοδίοις σῖτον καὶ τὴν ἄλλην ἀγορὰν οὐκ ἐλάττονα τῆς πρότερον ἐκπεμφθείσης καὶ στρατιώτας χιλίους πεντακοσίους, ὧν ἦν ἡγεμὼν Ἀντίγονος ὁ Μακεδών. καθ' ὃν δὴ χρόνον ἧκον πρὸς τὸν Δημήτριον πρέσβεις παρά τε Ἀθηναίων καὶ τῶν ἄλλων Ἑλληνίδων πόλεων, τὸν ἀριθμὸν μὲν ὄντες ὑπὲρ τοὺς πεντήκοντα, πάντες δὲ ἀξιοῦντες διαλύσασθαι τὸν βασιλέα πρὸς τοὺς Ῥοδίους. γενομένων οὖν ἀνοχῶν, καὶ πολλῶν καὶ παντοδαπῶν λόγων πρός τε τὸν δῆμον καὶ πρὸς τοὺς περὶ τὸν Δημήτριον ῥηθέντων, οὐδαμῶς ἐδυνήθησαν συμφωνῆσαι. διόπερ οἱ πρέσβεις ἀπῆλθον ἄπρακτοι. Δημήτριος δὲ διανοηθεὶς νυκτὸς ἐπιθέσθαι τῇ πόλει κατὰ τὸ πεπτωκὸς τοῦ τείχους, ἐπέλεξε τῶν τε μαχίμων τοὺς κρατίστους καὶ τῶν ἄλλων τοὺς εὐθέτους εἰς χιλίους καὶ πεντακοσίους.

18. κράτιστοι] κράτιστοι δὲ FW   27. προςέβαλε] προςέβαλλε Bas.   27. τὰς μηχανάς] immo ταῖς μηχαναῖς

477. 32. τούτων] τούτοις Y Bas.   34. Ἀμεινίαν FQW, caeteri Ἀνανίαν   40. χιλίους] χιλίους καὶ W   42. τὸν om. Bas.   43. τῶν] παρὰ τῶν FW   48. ῥηθέντων om. T, post παντοδαπῶν ponunt FW



τούτους μὲν οὖν προςέταξεν ἡσυχῇ προςελθεῖν τῷ τείχει περὶ δευτέραν φυλακήν· αὐτὸς δὲ διασκευάσας παρήγγειλε τοῖς ἐφ' ἑκάστῳ μέρει τεταγμένοις, ὅταν σημήνῃ, συναλαλάξαι καὶ προςβολὰς ποιεῖσθαι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. πάντων δὲ τὸ παραγγελθὲν ποιούντων, οἱ μὲν ἐπὶ τὰ πεπτωκότα τῶν τειχῶν ὁρμήσαντες τοὺς προφυλάττοντας ἐπὶ τῆς τάφρου κατασφάξαντες παρειςέπεσον εἰς τὴν πόλιν, καὶ τοὺς περὶ τὸ θέατρον τόπους κατελαμβάνοντο. οἱ δὲ τῶν Ῥοδίων πρυτάνεις πυθόμενοι τὸ συμβεβηκός, καὶ τὴν πόλιν ὁρῶντες ἅπασαν τεθορυβημένην, τοῖς μὲν ἐπὶ τοῦ λιμένος καὶ τῶν τειχῶν παρήγγειλαν μένειν ἐπὶ τῆς ἰδίας τάξεως, καὶ τοὺς ἔξωθεν, ἂν προςβάλωσιν, ἀμύνασθαι, αὐτοὶ δ' ἔχοντες τὸ τῶν ἐπιλέκτων σύστημα καὶ τοὺς ἀπὸ τῆς Ἀλεξανδρείας προςφάτως καταπεπλευκότας στρατιώτας ὥρμησαν ἐπὶ τοὺς ἐντὸς τοῦ τείχους παρειςπεπτωκότας. περικαταλαβούσης δ' ἡμέρας, καὶ τοῦ Δημητρίου τὸ σύσσημον ἄραντος, οἱ μὲν τῷ λιμένι προςβαλόντες καὶ τὸ τεῖχος πάντοθεν περιεστρατοπεδευκότες συνηλάλαξαν, εὐθαρσεῖς ποιοῦντες τοὺς κατειληφότας τὸ μέρος τοῦ περὶ τὸ θέατρον τόπου. ὁ δὲ κατὰ τὴν πόλιν ὄχλος παίδων καὶ γυναικῶν ἐν φόβοις ἦν καὶ δάκρυσιν, ὡς τῆς πατρίδος κατὰ κράτος ἁλισκομένης. οὐ μὴν ἀλλὰ τοῖς παρειςπεσοῦσιν ἐντὸς τοῦ τείχους γενομένης μάχης πρὸς τοὺς Ῥοδίους, καὶ πολλῶν παρ' ἀμφοτέροις πεσόντων, τὸ μὲν πρῶτον οὐδέτεροι τῆς ἰδίας τάξεως ἐξεχώρουν, μετὰ δὲ ταῦτα τῶν μὲν Ῥοδίων ἀεὶ πλειόνων γινομένων καὶ τὸν κίνδυνον ἑτοίμως ὑπομενόντων, ὡς ἂν ὑπὲρ πατρίδος καὶ τῶν μεγίστων ἀγωνιζομένων, τῶν δὲ τοῦ βασιλέως θλιβομένων, Ἄλκιμος μὲν καὶ Μαντίας οἱ τὴν ἡγεμονίαν ἔχοντες πολλοῖς περιπεσόντες τραύμασιν ἐτελεύτησαν· τῶν δ' ἄλλων οἱ πλεῖστοι οἱ μὲν ἐν χειρῶν νόμῳ διεφθάρησαν, οἱ δ' ἥλω-
478 σαν, ὀλίγοι δὲ πρὸς τὸν βασιλέα φυγόντες διεσώθησαν· πολλοὶ δὲ καὶ τῶν Ῥοδίων ἀνῃρέθησαν, ἐν οἷς ἦν καὶ ὁ πρύτανις Δαμοτέλης ἐπ' ἀρετῇ γενόμενος περίβλεπτος.

53. τούτους] τούτοις W   56. σημάνῃ F   57. ποιεῖσθαι κατὰ F   60. προφυλάττοντας F   62. κατελαμβάνοντο FY Bas., caeteri προκατελάβοντο   Ῥοδίων] addidi πρυτάνεις   64. μὲν om. Bas.   66. ἀμύνασθαι] ἀμύνεσθαι FW   68. καταπεπλευκότας] στρατιώτας addit nescio quis Wesselingii   72. περιστρατοπεδευκότες Bas.   74. τὸ μέρος F, caeteri μέρος   τὸ om. Bas.   76. δάκρυσιν] διαταραχῇ F, γρ. δάκρυσι margo F   77. κατὰ κράτος om. FW   86. οἱ πλεῖστοι om. FW

478. 90. πρύτανις ὁ δαμοτελὴς F

Δημήτριος δὲ τὴν τῆς πόλεως ἅλωσιν ὑπολαβὼν ἐκ τῶν χειρῶν αὐτοῦ τὴν τύχην ἀφῃρῆσθαι, πάλιν παρεσκευάζετο πρὸς τὴν πολιορκίαν. εἶτα τοῦ πατρὸς αὐτῷ γράψαντος διαλύσασθαι πρὸς Ῥοδίους ὡς ἄν ποτε δύνηται, τὸν κάλλιστον ἐπετήρει καιρόν, δώσοντα προφάσεις εὐλόγους τῆς συνθέσεως. Πτολεμαίου δὲ γράψαντος τοῖς Ῥοδίοις τὸ μὲν πρῶτον ὅτι πέμψει σίτου πλῆθος αὐτοῖς καὶ στρατιώτας τριςχιλίους, μετὰ δὲ ταῦτα συμβουλεύοντος, ἐὰν ᾖ δυνατόν, μετρίως διαλύσασθαι πρὸς Ἀντίγονον, ἅπαντες ἔῤῥεπον πρὸς τὴν εἰρήνην. καθ' ὃν δὴ χρόνον τοῦ κοινοῦ τῶν Αἰτωλῶν ἀποστείλαντος πρεσβευτὰς περὶ διαλύσεων, οἱ Ῥόδιοι συνέθεντο πρὸς Δημήτριον ἐπὶ τοῖςδε· αὐτόνομον καὶ ἀφρούρητον εἶναι τὴν πόλιν καὶ ἔχειν τὰς ἰδίας προσόδους· συμμαχεῖν δὲ Ῥοδίους Ἀντιγόνῳ, πλὴν ἐὰν ἐπὶ Πτολεμαῖον στρατεύηται, καὶ δοῦναι τῶν πολιτῶν ὁμήρους ἑκατὸν οὓς ἂν ἀπογράψηται Δημήτριος πλὴν τῶν ἀρχὰς ἐχόντων.

100 Οἱ μὲν οὖν Ῥόδιοι πολιορκηθέντες ἐνιαύσιον χρόνον τούτῳ τῷ τρόπῳ κατελύσαντο τὸν πόλεμον. τοὺς δ' ἐν τοῖς κινδύνοις ἄνδρας ἀγαθοὺς γενομένους ἐτίμησαν ταῖς ἀξίαις δωρεαῖς, καὶ τῶν δούλων τοὺς ἀνδραγαθήσαντας ἐλευθερίας καὶ πολιτείας ἠξίωσαν. ἔστησαν δὲ καὶ τῶν βασιλέων εἰκόνας Κασσάνδρου καὶ Λυσιμάχου τῶν δευτερευόντων μὲν ταῖς δόξαις, συμβεβλημένων δὲ μεγάλα πρὸς τὴν τῆς πόλεως σωτηρίαν. τὸν δὲ Πτολεμαῖον ἐν ἀνταποδόσει μείζονος χάριτος ὑπερβάλλεσθαι βουλόμενοι, θεωροὺς ἀπέστειλαν εἰς Λιβύην τοὺς ἐπερωτήσοντας τὸ παρ' Ἄμμωνι μαντεῖον εἰ συμβουλεύει Ῥοδίοις Πτολεμαῖον ὡς θεὸν τιμῆσαι. συγκατατιθεμένου δὲ τοῦ χρηστηρίου, τέμενος ἀνῆκαν ἐν τῇ πόλει τετράγωνον, οἰκοδομήσαντες παρ' ἑκάστην πλευρὰν στοὰν σταδιαίαν, ὃ προςηγόρευσαν Πτολεμαεῖον. ἀνῳκοδόμησαν δὲ καὶ τὸ θέατρον καὶ τὰ πεπτωκότα τῶν τειχῶν καὶ τῶν ἄλλων τόπων τοὺς καθῃρημένους πολλῷ κάλλιον ἢ προϋπῆρχον. Δημήτριος δὲ κατὰ τὰς ἐντολὰς τοῦ πατρὸς διαλυσάμενος πρὸς Ῥοδίους ἐξέπλευσε μετὰ

1. διαλύσασθαι] διαλύσεσθαι W 4. οἱ Ῥ.] τὴν εἰρήνην οἱ Ῥ. W et qui ἦν F 16. Κασσάνδρου TX Bas., caeteri Πτολεμαίου praeponunt, quod asterisco notavit Stephanus 17. τῶν Wesselingius: libri καὶ τῶν 20. ὑπερβάλλεσθαι] ὑπερβαλέσθαι FW 23. συγκατατιθεμένου] συγκαθεμένου W 24. ἐν τῇ πόλει om. F οἰκοδομήσαντες] ᾠκοδομήσαντες Bas. 25. πλευρὰν στοὰν Rhodomannus: libri στοὰν πλευρὰν 26. Πτολεμαεῖον] libri Πτολεμαῖον



πάσης τῆς δυνάμεως, καὶ κομισθεὶς διὰ νήσων κατέπλευσε τῆς Βοιωτίας εἰς Αὐλιν. σπεύδων δ' ἐλευθερῶσαι τοὺς Ἕλληνας, οἱ γὰρ περὶ Κάσσανδρον καὶ Πολυσπέρχοντα τὸν ἔμπροσθεν χρόνον ἄδειαν ἐσχηκότες ἐπόρθουν τὰ πλεῖστα μέρη τῆς Ἑλλάδος, πρῶτον μὲν τὴν Χαλκιδέων πόλιν ἠλευθέρωσε, φρουρουμένην ὑπὸ Βοιω-
479 τῶν, καὶ τοὺς κατὰ τὴν Βοιωτίαν καταπληξάμενος ἠνάγκασεν ἀποστῆναι τῆς Κασσάνδρου φιλίας. μετὰ δὲ ταῦτα πρὸς μὲν Αἰτωλοὺς συμμαχίαν ἐποιήσατο, πρὸς δὲ τοὺς περὶ Πολυσπέρχοντα καὶ Κάσσανδρον διαπολεμεῖν παρεσκευάζετο. ἅμα δὲ τούτοις πραττομένοις Εὔμηλος μὲν ὁ Βοσπόρου βασιλεὺς βασιλεύων ἕκτον ἔτος ἐτελεύτησε, τὴν δὲ βασιλείαν διαδεξάμενος Σπάρτακος ὁ υἱὸς ἦρξεν ἔτη εἴκοσιν.

Ἡμεῖς δὲ τὰ περὶ τὴν Ἑλλάδα καὶ τὴν Ἀσίαν διευ- 101
κρινηκότες μεταβιβάσομεν τὸν λόγον ἐπὶ θάτερα μέρη τῆς οἰκουμένης. κατὰ μὲν γὰρ τὴν Σικελίαν Ἀγαθοκλῆς εἰρήνην ἀγόντων τῶν Λιπαραίων ἐπιπλεύσας αὐτοῖς ἀπροσδοκήτως εἰςεπράξατο τοὺς μηδ' ὁτιοῦν προαδικήσαντας ἀργυρίου τάλαντα πεντήκοντα. ὅτε δὴ πολλοῖς ἔδοξε θεῖον εἶναι τὸ ῥηθησόμενον, τῆς παρανομίας τυχούσης ἐπισημασίας παρὰ τοῦ δαιμονίου. ἀξιούντων γὰρ τῶν Λιπαραίων εἰς τὰ προςελλείποντα τῶν χρημάτων δοῦναι χρόνον, καὶ λεγόντων μηδέποτε τοῖς ἱεροῖς ἀναθήμασι κατακεχρῆσθαι, ὁ Ἀγαθοκλῆς βιασάμενος αὐτοὺς δοῦναι τὰ κατὰ τὸ πρυτανεῖον, ὧν εἶχον ἐπιγραφὴν τὰ μὲν Αἰόλου τὰ δ' Ἡφαίστου, λαβὼν παραχρῆμα ἐξέπλευσε. πνεύματος δ' ἐπιγενομένου τῶν νεῶν ἕνδεκα συνετρίβησαν αἱ τὰ χρήματα κατακομίζουσαι. διόπερ ἔδοξε πολλοῖς ὁ μὲν περὶ τοὺς τόπους ἐκείνους λεγόμενος εἶναι κύριος τῶν ἀνέμων εὐθὺς κατὰ τὸν πρῶτον πλοῦν λαβεῖν παρ' αὐτοῦ τιμωρίαν, ὁ δὲ Ἥφαιστος ἐπὶ τῆς τελευτῆς, οἰκείως τῆς ἀσεβείας κολάσας τὸν τύραννον ἐν τῇ πατρίδι, συνωνύμως ἐπὶ θερμοῖς

31. διὰ νήσων Bas., caeteri διὰ τῶν νήσων 32. Αὐλιν] Αὐδούπολιν QW, αὐδούπλιν F 36. πρῶτον] καὶ πρῶτον FW 37. κατὰ τὴν Βοιωτίαν] κατὰ Βοιωτίας F
479. 41. καὶ Κάσσανδρον om. Bas., asterisco notavit Stephanus 43. βασιλεὺς om. FW 45. εἴκοσιν F, caeteri εἴκοσι 55. τῶν χρημάτων] χρήματα FW 59. ἐξέπλευσε] ἀπέπλευσε FW 61. κατακομίζουσαι] κομίζουσαι F Bas.
62. ὁ μὲν TX, caeteri addunt Αἴολος, asterisco notatum ab Stephano λεγόμενος ante περὶ ponit Bas. 63. εἶναι] ἐστι F εὐθὺς] καὶ παρευθὺς FW 65. τῆς τελευτῆς] τῇ τελευτῇ FW

τοῖς ἄνθραξι κατακαύσας ζῶντα. τῆς γὰρ αὐτῆς προαιρέσεως ἦν καὶ δικαιοσύνης τὸ τῶν περὶ τὴν Αἴτνην σωζόντων τοὺς ἑαυτῶν γονεῖς ἀποσχέσθαι καὶ τὸ τοὺς ἀσεβοῦντας εἰς τὸ θεῖον διὰ τῆς ἰδίας δυνάμεως μετελθεῖν. οὐ μὴν ἀλλ' ὑπὲρ μὲν τῆς καταστροφῆς Ἀγαθοκλέους, ὅταν πρὸς τοὺς οἰκείους χρόνους ἔλθωμεν αὐτοῦ, τὸ γενόμενον βεβαιώσει τὸ νῦν εἰρημένον. ἐφεξῆς δὲ ῥητέον ἡμῖν τὰ πραχθέντα κατὰ τοὺς συνεχεῖς τῆς Ἰταλίας τόπους. Ῥωμαῖοι μὲν καὶ Σαμνῖται διαπρεσβευσάμενοι πρὸς ἀλλήλους εἰρήνην συνέθεντο, πολεμήσαντες ἔτη εἴκοσι δύο καὶ μῆνας ἕξ. τῶν δ' ὑπάτων Πόπλιος Σεμπρώνιος μετὰ δυνάμεως ἐμβαλὼν εἰς τὴν τῶν Αἴκλων χώραν ἐχειρώσατο τετταράκοντα πόλεις ἐν ἡμέραις ταῖς πάσαις πεντήκοντα· ἀναγκάσας δὲ πᾶν τὸ ἔθνος ὑποτάττεσθαι Ῥωμαίοις ἐπανῆλθε, καὶ θρίαμβον κατήγαγεν ἐπαινούμενον. ὁ δὲ δῆμος ὁ Ῥωμαίων πρός τε Μαρσοὺς καὶ Πελιγνοὺς ἔτι δὲ Μαῤῥουκίνους συμμαχίαν ἐποιήσατο.

102 Τοῦ δ' ἐνιαυσίου χρόνου διεληλυθότος Ἀθήνησι μὲν 480 ἦρχε Λεώστρατος, ἐν Ῥώμῃ δ' ὑπῆρχον ὕπατοι Σερούιος Κορνήλιος καὶ Λεύκιος Γενούκιος. ἐπὶ δὲ τούτων Δημήτριος εἶχε πρόθεσιν πρὸς μὲν τοὺς περὶ Κάσσανδρον διαπολεμεῖν, τοὺς δ' Ἕλληνας ἐλευθεροῦν καὶ πρῶτον τὰ κατὰ τὴν Ἑλλάδα διοικεῖν, ἅμα μὲν νομίζων δόξαν οἴσειν αὑτῷ μεγάλην τὴν τῶν Ἑλλήνων αὐτονομίαν, ἅμα δὲ καὶ τοὺς περὶ Πρεπέλαον ἡγεμόνας τοῦ Κασσάνδρου πρότερον συντρῖψαι, καὶ τότε προσάγειν ἐπ' αὐτὴν τὴν ἡγεμονίαν, ἢ ἐπ' αὐτὸν πορεύοιτο τὸν Κάσσανδρον. τῆς δὲ τῶν Σικυωνίων πόλεως φρουρουμένης ὑπὸ τῶν Πτολεμαίου τοῦ βασιλέως στρατιωτῶν, ὧν ἦν ἐπιφανέστατος στρατηγὸς Φίλιππος, νυκτὸς ἐπιθέμενος ἀπροςδοκήτως παρειςέπεσεν ἐντὸς τοῦ τείχους. εἶθ' οἱ μὲν φρουροὶ συνειςέπεσον εἰς τὴν ἀκρόπολιν· ὁ δὲ Δη-

75. *Σαμνῖται*] *σαυνίται* F 78. *ἐμβαλὼν* post *χώραν* ponit F 79. *Αἴκλων*] *Αἰκλῶν* Bas., *Αἰκαλῶν* FQW, ut voluisse videantur *Αἰκανῶν* *τετταράκοντα*] libri *μ* 82. *ἐπαινούμενον*] *ἐπαινούμενος* FW 84. *Πελιγνοὺς*] Rhodomannus in interpretatione, *πεληνοὺς* F, *Παλλινοὺς* Bas., caeteri *Παλληνοὺς* *Μαῤῥουκίνους*] *Μαρουκίους* FQW, caeteri *Μαρυκινοὺς*
480. 88. *Σερούιος Κ.*] *Κ. Φάβιος* FQW, *Σέρυϊος Κ.* Bas. *Γενούκιος*] *Οὐενούκιος* FQ, *Οὐενούλιος* W 93. *περὶ Πρεπέλαον*] *Πρεπέλαον τοὺς* Bas. 94. *τοῦ*] *τοὺς* Bas. 98. *ἐπιφανέστατος* om. FW 100. *εἶθ'* F, caeteri *εἶτα* 1. *συνειςέπεσον*] *συνέπεσον* F



μήτριος τῆς πόλεως κυριεύσας τὸν μεταξὺ τόπον τῶν οἰκιῶν καὶ τῆς ἄκρας κατεῖχε. μέλλοντος δ' αὐτοῦ μηχανὰς προςάγειν, καταπλαγέντες τὴν μὲν ἀκρόπολιν δι' ὁμολογίας παρέδοσαν, αὐτοὶ δ' ἀπέπλευσαν εἰς Αἴγυπτον. ὁ δὲ Δημήτριος τοὺς Σικυωνίους εἰς τὴν ἀκρόπολιν μετοικίσας τὸ μὲν τῷ λιμένι συνάπτον μέρος τῆς πόλεως κατέσκαψεν, ὀχυροῦ παντελῶς ὄντος τοῦ τόπου, τῷ δὲ πολιτικῷ πλήθει συνεπιλαβόμενος τῆς οἰκοδομίας καὶ τὴν ἐλευθερίαν ἀποκαταστήσας τιμῶν ἰσοθέων ἔτυχε παρὰ τοῖς εὖ παθοῦσι. Δημητριάδα μὲν γὰρ τὴν πόλιν ὠνόμασαν, θυσίας δὲ καὶ πανηγύρεις ἔτι δ' ἀγῶνας ἐψηφίσαντο συντελεῖν αὐτῷ κατ' ἐνιαυτὸν καὶ τὰς ἄλλας ἀπονέμειν τιμὰς ὡς κτίστῃ. ἀλλὰ ταῦτα μὲν ὁ χρόνος διαληφθεὶς πραγμάτων μεταβολαῖς ἠκύρωσεν. οἱ δὲ Σικυώνιοι πολλῷ κρείττονα μεταλαβόντες τόπον, διετέλεσαν ἐν αὐτῷ μέχρι τῶν καθ' ἡμᾶς χρόνων ἐνοικοῦντες. ὁ γὰρ τῆς ἀκροπόλεως περίβολος ἐπίπεδος ὢν καὶ μέγας κρημνοῖς δυςπροςίτοις περιέχεται πανταχόθεν, ὥςτε μηδαμῇ δύνασθαι μηχανὰς προςάγειν· ἔχει δὲ καὶ πλῆθος ὑδάτων, ἐξ οὗ κηπείας δαψιλεῖς κατεσκεύασαν· ὥςτε τὴν ἐπίνοιαν τοῦ βασιλέως καὶ πρὸς ἀπόλαυσιν εἰρηνικὴν καὶ πρὸς ἀσφάλειαν πολέμου δόξαι καλῶς προεωρᾶσθαι.

103 Ὁ δὲ Δημήτριος διοικήσας τὰ περὶ τοὺς Σικυωνίους ἀνέζευξε μετὰ πάσης τῆς δυνάμεως ἐπὶ τὴν Κόρινθον, ἣν ἐφρούρει Πρεπέλαος Κασσάνδρου στρατηγός. τὸ μὲν οὖν πρῶτον νυκτὸς ὑπό τινων πολιτῶν εἰςαχθεὶς διά τινος πυλίδος ἐκράτησε τῆς πόλεως καὶ τῶν λιμένων. τῶν δὲ φρουρῶν καταφυγόντων τῶν μὲν εἰς τὸ καλούμενον Σισύφειον τῶν δ' εἰς τὸν Ἀκροκόρινθον, προςαγαγὼν μηχανὰς τοῖς ὀχυρώμασι καὶ πολλὰ κακοπαθήσας εἷλε τὸ Σισύφειον κατὰ κράτος. εἶτα τῶν ἐν ταύτῃ συμφυγόντων πρὸς τοὺς κατειληφότας τὸν Ἀκρο- 481 κόρινθον, καὶ τούτους καταπληξάμενος ἠνάγκασε παραδοῦναι τὴν ἄκραν. σφόδρα γὰρ ἦν ἀνυπόστατος οὗτος ὁ βασιλεὺς ἐν ταῖς προςβολαῖς, εὐμήχανος ὑπάρχων περὶ τὴν κατασκευὴν τῶν πολιορκητικῶν ἔργων. οὐ μὴν

5. *ὁμολογίας*] *ὁμολογίαν* Bas. 6. post *Δημήτριος* om. *πείσας* QTX Bas. 7. *μετοικίσας* QTX Bas., *μετοικίσαι* W, caeteri *μετοικῆσαι* 8. *κατέσκαψεν*] *κατέσκαψαν* F *ὀχυροῦ*] aptius videtur *ἀνωχύρου* 10. *συνεπιλαβόμενος* T, caeteri *συνεπιβαλόμενος* 21. *δυςπροςίτοις*] *δ' ἀπροςίτοις* Bas. 30. *πολιτῶν*] *πολιτικῶν* FW 33. 35. *Σισύφειον*] libri *Σισύφιον* 34. *προςαγαγὼν*] *προςαγὼν* Bas., *παραγαγὼν* W

ἀλλὰ τοὺς Κορινθίους ἐλευθερώσας παρειςήγαγε φυλακὴν εἰς τὸν Ἀκροκόρινθον, βουλομένων τῶν πολιτῶν διὰ τοῦ βασιλέως τηρεῖσθαι τὴν πόλιν μέχρι ἂν ὁ πρὸς Κάσσανδρον καταλυθῇ πόλεμος. καὶ Πρεπέλαος μὲν αἰσχρῶς ἐκπεσὼν ἐκ τῆς Κορίνθου πρὸς Κάσσανδρον ἀπεχώρησε· Δημήτριος δὲ παρελθὼν εἰς τὴν Ἀχαΐαν Βοῦραν μὲν κατὰ κράτος εἷλε, καὶ τοῖς πολίταις ἀπέδωκε τὴν αὐτονομίαν, Σκῦρον δ' ἐν ὀλίγαις ἡμέραις παραλαβὼν ἐξέβαλε τὴν φρουράν. μετὰ δὲ ταῦτ' ἐπ' Ὀρχομενὸν τῆς Ἀρκαδίας στρατεύσας ἐκέλευσε τῷ τῆς φρουρᾶς ἀφηγουμένῳ Στρομβίχῳ παραδοῦναι τὴν πόλιν. οὐ προςέχοντος δ' αὐτοῦ τοῖς λόγοις, ἀλλὰ καὶ πολλὰ λοιδοροῦντος ἀπὸ τοῦ τείχους βλασφήμως, προςαγαγὼν μηχανὰς ὁ βασιλεὺς καὶ καταβαλὼν τὰ τείχη κατὰ κράτος εἷλε τὴν πόλιν. τὸν μὲν οὖν Στρόμβιχον τὸν ὑπὸ Πολυσπέρχοντος καθεσταμένον φρούραρχον καὶ τῶν ἄλλων τῶν ἀλλοτρίως διατεθέντων πρὸς αὐτὸν εἰς ὀγδοήκοντα πρὸ τῆς πόλεως ἀνεσταύρωσε, τῶν δ' ἄλλων μισθοφόρων ἑλὼν εἰς διςχιλίους κατέμιξε τοῖς ἰδίοις στρατιώταις. μετὰ δὲ τὴν ἅλωσιν ταύτης τῆς πόλεως οἱ τὰ σύνεγγυς φρούρια κατέχοντες ὑπολαμβάνοντες ἀδύνατον ὑπάρχειν τὸ διαφυγεῖν τὴν βίαν τοῦ βασιλέως παρέδωκαν αὐτῷ τὰ χωρία· ὁμοίως δὲ τούτοις καὶ οἱ τὰς πόλεις φρουροῦντες, τῶν μὲν περὶ Κάσσανδρον καὶ Πρεπέλαον καὶ Πολυσπέρχοντα μὴ βοηθούντων, τοῦ δὲ Δημητρίου μετὰ μεγάλης δυνάμεως καὶ μηχανῶν ὑπεραγουσῶν προςιόντος, ἑκουσίως ἐξεχώρουν. καὶ τὰ μὲν περὶ τὸν Δημήτριον ἐν τούτοις ἦν.

481. 44. μέχρι] libri μέχρις τ 45. καὶ Πρεπέλαος] προπέλαος F 48. βούραν F, caeteri Βοῦταν καὶ τὴν αὐτονομίαν τοῖς πολίταις ἀπέδωκε F 51. ἐπ' Ὀρχομενὸν τῆς Ἀρκαδίας στρατεύσας ἐκέλευσε τῷ τῆς φρουρᾶς ἀφηγουμένῳ Στρομβίχῳ παραδοῦναι τὴν πόλιν QTXY Bas., caeteri ἐπερχόμενος τῆς Ἀχαΐας (ἀρκαδίας sed, in margine ἀχαΐας, F) ἠλευθέρου τὰς πόλεις· στρατεύσας δὲ ἐπὶ τὸ Αἴγιον περιεκάθισε τὸ τεῖχος καὶ λόγους ἐποίησε (ἐποίει F) πρὸς τὸν ἀφηγούμενον τῆς φρουρᾶς Στρόμβιχον, παραδοῦναι τὴν πόλιν ἀξιῶν 55. τοῖς λόγοις] τοῖς τοῦ βασιλέως λόγοις FW 57. βλασφήμως] βλάσφημα FW 58. καταβαλὼν] καταλαβὼν W 59. τὸν ὑπὸ] ὑπὸ Bas. 60. τῶν ἄλλων] τοὺς ἄλλους F 61. ἀλλοτρίων διατιθέντων F πρὸς αὐτὸν om. TX Bas. 64. τῆς πόλεως ταύτης F 65. τὰ σύνεγγυς Wesselingius: libri σύνεγγυς τὰ 69. καὶ πολυσπέρχοντα καὶ πρεπέλαον F 71. ὑπεραγουσῶν] ὑπερεχουσῶν W 72. τὸν om. F



Κατὰ δὲ τὴν Ἰταλίαν Ταραντῖνοι πόλεμον ἔχοντες 104
πρὸς Λευκανοὺς καὶ Ῥωμαίους ἐξέπεμψαν πρεσβευτὰς εἰς τὴν Σπάρτην, αἰτούμενοι βοήθειαν καὶ στρατηγὸν Κλεώνυμον. τῶν δὲ Λακεδαιμονίων προθύμως ἡγεμόνα δόντων τὸν αἰτούμενον, καὶ τῶν Ταραντίνων χρήματα καὶ ναῦς ἀποστειλάντων, ὁ μὲν Κλεώνυμος ἐπὶ Ταινάρῳ τῆς Λακωνικῆς ξενολογήσας στρατιώτας πεντακιςχιλίους συντόμως κατέπλευσεν εἰς Τάραντα. ἐνταῦθα δὲ μισθοφόρους ἀθροίσας ἄλλους οὐκ ἐλάττους τῶν προτέρων κατέγραφε καὶ τοὺς πολιτικοὺς πεζοὺς μὲν πλείους τῶν διςμυρίων, ἱππεῖς δὲ διςχιλίους. προςελάβετο δὲ τῶν τε κατ' Ἰταλίαν Ἑλλήνων τοὺς πλείστους καὶ τὸ τῶν Μεσσαπίων ἔθνος. ἁδρᾶς οὖν δυνάμεως περὶ αὐτὸν οὔσης, οἱ μὲν Λευκανοὶ καταπλαγέντες φι-
482 λίαν ἐποιήσαντο πρὸς τοὺς Ταραντίνους. τῶν δὲ Μεταποντίνων οὐ προςεχόντων αὐτῷ, τοὺς Λευκανοὺς ἔπεισεν ἐμβαλεῖν εἰς τὴν χώραν, καὶ τῷ καιρῷ συνεπιθέμενος κατεπλήξατο τοὺς Μεταποντίνους. παρελθὼν δ' εἰς τὴν πόλιν ὡς φίλος ἐπράξατο μὲν ἀργυρίου τάλαντα πλείω τῶν ἑξακοσίων, διακοσίας δὲ παρθένους τὰς ἐπιφανεστάτας ἔλαβεν εἰς ὁμηρείαν, οὐχ οὕτω τῆς περὶ τὴν πίστιν ἀσφαλείας χάριν ὡς τῆς ἰδίας ἕνεκεν λαγνείας. ἀποθέμενος γὰρ τὴν Λακωνικὴν ἐσθῆτα διετέλει τρυφῶν καὶ τοὺς πιστεύσαντας αὐτῷ καταδουλούμενος· τηλικαύτας γὰρ ἔχων δυνάμεις καὶ χορηγίας οὐδὲν τῆς Σπάρτης ἄξιον ἔπραξεν. ἐπεβάλετο μὲν γὰρ ἐπὶ τὴν Σικελίαν στρατεύειν, ὡς τὴν τυραννίδα μὲν καταλύσων τὴν Ἀγαθοκλέους, τὴν δ' αὐτονομίαν τοῖς Σικελιώταις ἀποκαταστήσων, ὑπερθέμενος δὲ ἐπὶ τοῦ παρόντος ταύτην τὴν στρατείαν ἔπλευσεν εἰς Κέρκυραν. καὶ κρατήσας τῆς πόλεως χρημάτων τε πλῆθος εἰςεπράξατο καὶ φρουρὰν ἐγκατέστησε, διανοούμενος ὁρμητηρίῳ τούτῳ τῷ τόπῳ χρήσασθαι καὶ τοῖς περὶ τὴν Ἑλλάδα πραγμασιν ἐφεδρεύειν. εὐθὺς δὲ καὶ πρεσβειῶν πρὸς αὐτὸν 105
παραγενομένων παρά τε Δημητρίου τοῦ πολιορκητοῦ καὶ Κασσάνδρου περὶ συμμαχίας, τούτων μὲν οὐδετέρῳ

83. καὶ om. F 84. τῶν διςμ.] διςμ. Bas.
482. 90. ἔπεισαν ἐμβαλεῖν Bas., caeteri ἔπεισε συνεμβαλεῖν 91. κατεπλήξατο] κατέπληξε FW 95. ὁμηρείαν] ὁμηρίαν Bas. οὕτω F, caeteri οὕτως 96. λαγνείας] ἀγενείας QT Bas. 100. ἐπεβάλετο] ἐπεβάλλετο F 1. στρατεύειν] στρατεύσειν Gemistus 4. Κέρκυραν] Κόρκυραν Y Bas. 5. τε] δὲ Bas. 7. τῷ τόπῳ om. T Bas., post χρήσασθαι ponunt FW 9. εὐθὺς] εὐθὺ Bas. 10. πολιορκητοῦ] πολιορκητικοῦ Bas.

προςέθετο, τοὺς δὲ Ταραντίνους καὶ τῶν ἄλλων τινὰς πυθόμενος ἀφεστηκέναι, τῆς μὲν Κερκύρας τὴν ἱκανὴν φυλακὴν ἀπέλιπε, μετὰ δὲ τῆς ἄλλης δυνάμεως ἔπλει κατὰ σπουδὴν ἐπὶ τὴν Ἰταλίαν, ὡς κολάσων τοὺς ἀπειθοῦντας. προσχὼν δὲ τῇ χώρᾳ καθ' ὃν τόπον ἐφύλαττον οἱ βάρβαροι, τὴν μὲν πόλιν ἑλὼν ἐξηνδραποδίσατο, τὴν δὲ χώραν ἐλεηλάτησεν. ὁμοίως δὲ τὸ καλούμενον Τριόπιον ἐκπολιορκήσας εἰς τριςχιλίους ἔλαβεν αἰχμαλώτους. καθ' ὃν δὴ χρόνον οἱ μὲν ἀπὸ τῆς χώρας βάρβαροι συνδραμόντες ἐπέθεντο νυκτὸς τῇ στρατοπεδείᾳ· καὶ μάχης γενομένης ἀνεῖλον τῶν μετὰ Κλεωνύμου πλείους τῶν διακοσίων, ἐζώγρησαν δὲ περὶ χιλίους. ἅμα δὲ τῷ κινδύνῳ τούτῳ χειμὼν ἐπιγενόμενος εἴκοσι τῶν νεῶν διέφθειρε πλησίον ὁρμουσῶν τῆς παρεμβολῆς. ὁ δὲ Κλεώνυμος δυσὶν ἐλαττώμασι τηλικούτοις περιπεσὼν ἀπέπλευσε μετὰ τῆς δυνάμεως εἰς τὴν Κέρκυραν.

106 Τοῦ δ' ἐνιαυσίου χρόνου διεληλυθότος Ἀθήνησι μὲν ἦν ἄρχων Νικοκλῆς, ἐν Ῥώμῃ δὲ τὴν ὕπατον ἀρχὴν διεδέξαντο Μάρκος Λίβιος καὶ Μάρκος Αἰμίλιος. ἐπὶ δὲ τούτων Κάσσανδρος ὁ Μακεδόνων βασιλεὺς ὁρῶν τὴν δύναμιν τῶν Ἑλλήνων αὐξομένην καὶ πάντα τὸν πόλεμον ἐπὶ τὴν Μακεδονίαν συνιστάμενον, περίφοβος ἦν ὑπὲρ τοῦ μέλλοντος. διόπερ ἐξέπεμψε πρεσβευτὰς πρὸς Ἀντίγονον εἰς τὴν Ἀσίαν, ἀξιῶν διαλύσασθαι πρὸς αὐτόν. ἀποκριναμένου δ' ἐκείνου διότι μίαν γινώσκει διάλυσιν, ἐὰν ὁ Κάσσανδρος ἐπιτρέπῃ τὰ καθ' αὑτόν, καταπλαγεὶς Λυσίμαχον ἐκ τῆς Θρᾴκης μετεπέμψατο πρὸς τὴν τῶν ὅλων κοινοπραγίαν. ἀεὶ γὰρ εἰώθει τοῦτον κατὰ τοὺς μεγίστους φόβους εἰς τὴν βοήθειαν προςλαμβάνεσθαι διά τε τὴν τἀνδρὸς ἀρετὴν καὶ διὰ τὸ τὴν 483 βασιλείαν αὐτοῦ ὅμορον εἶναι τῇ Μακεδονίᾳ. συνεδρεύσαντες οὖν οἱ βασιλεῖς οὗτοι περὶ τοῦ κοινοῦ συμφέροντος ἐξέπεμψαν πρεσβευτὰς πρός τε Πτολεμαῖον τὸν Αἰγύπτου βασιλέα καὶ πρὸς Σέλευκον τὸν τῶν ἄνω σατραπειῶν κυριεύοντα, περί τε τῆς ὑπερηφανίας τῆς ἐν ταῖς ἀποκρίσεσιν ἐμφανίζοντες καὶ τὸν ἐκ τοῦ πολέμου

13. Κερκύρας] Κορκύρας Y Bas. 17. ἐφύλαττον] libri ἐφύλασσον: οὐκ addit Sintenis πόλιν] excidit nomen, aut v. 12. Ταραντίνους corruptum est 23. διακοσίων] τετρακοσίων FQW 28. τῆς δυνάμεως] δυνάμεως Bas. Κέρκυραν] Κόρκυραν Y Bas. 29. διεληλυθότος] διελθόντος F 38. διότι — γινώσκει] δεινότερον — γινώσκειν QW et qui in margine γρ. διότι F ὁ om. F 42. τὴν om. F
483. 43. τἀνδρὸς] τοῦ ἀνδρὸς F 44. βασιλείαν αὐτοῦ FW, caeteri βασιλείαν



κίνδυνον κοινὸν εἶναι πάντων διδάσκοντες. τῆς γὰρ Μακεδονίας κρατήσαντα τὸν Ἀντίγονον εὐθὺς ἀφελεῖσθαι καὶ τῶν ἄλλων τὰς βασιλείας· δεδωκέναι γὰρ αὐτὸν πεῖραν πλεονάκις ὅτι πλεονέκτης ἐστὶ καὶ πᾶσαν ἀρχὴν ἀκοινώνητον ποιεῖ. συμφέρειν οὖν ἅπαντας συμφρονῆσαι καὶ κοινῇ πρὸς Ἀντίγονον ἐπανελέσθαι πόλεμον. οἱ μὲν οὖν περὶ Πτολεμαῖον καὶ Σέλευκον δόξαντες ἀληθῆ λέγειν πρὸς ἀλλήλους, προθύμως ὑπήκουσαν, καὶ συνετάξαντο βοηθεῖν ἁδραῖς δυνάμεσι.

107 τοῖς δὲ περὶ Κάσσανδρον ἔδοξε μὴ περιμένειν τὴν τῶν πολεμίων ἔφοδον, ἀλλὰ καὶ αὐτοὺς φθάσαντας ἐπιστρατεύειν καὶ προλαμβάνειν τὸ χρήσιμον. διόπερ ὁ Κάσσανδρος Λυσιμάχῳ μὲν παρέδωκε μέρος τοῦ στρατοπέδου καὶ στρατηγὸν συνεξέπεμψεν, αὐτὸς δὲ ἀνέζευξε μετὰ τῆς λοιπῆς δυνάμεως εἰς Θετταλίαν διαπολεμήσων Δημητρίῳ καὶ τοῖς Ἕλλησι. Λυσίμαχος δὲ μετὰ στρατοπέδου διαβὰς ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν Λαμψακηνοὺς μὲν καὶ Παριανοὺς ἑκουσίως προςθεμένους ἀφῆκεν ἐλευθέρους, Σίγειον δ' ἐκπολιορκήσας φρουρὰν παρειςήγαγε. μετὰ δὲ ταῦτα Πρεπελάῳ μὲν τῷ στρατηγῷ δοὺς πεζοὺς ἑξακιςχιλίους, ἱππεῖς δὲ χιλίους, ἐξέπεμψε προςαξόμενον τὰς πόλεις τάς τε κατὰ τὴν Αἰολίδα καὶ τὴν Ἰωνίαν, αὐτὸς δὲ τὸ μὲν πρῶτον ἐπεχείρησε πολιορκεῖν τὴν Ἄβυδον, καὶ βέλη καὶ μηχανὰς καὶ τἄλλα παρεσκευάζετο. ἐπεὶ δὲ κατὰ θάλατταν ἦλθε τοῖς πολιορκουμένοις στρατιωτῶν πλῆθος παρὰ Δημητρίου τὸ δυνάμενον τὴν ἀσφάλειαν παρέχεσθαι τῇ πόλει, ταύτης μὲν τῆς ἐπιβολῆς ἀπέστη, τὴν δ' ἐφ' Ἑλληςπόντῳ Φρυγίαν προςαγαγόμενος καὶ Σύνναδα πόλιν ἔχουσαν ἀποσκευὰς βασιλικὰς ἐπολιόρκησεν. ὅτε δὴ καὶ Δόκιμον τὸν Ἀντιγόνου στρατηγὸν πείσας κοινοπραγεῖν τά

50. κοινὸν εἶναι πάντων] πάντων εἶναι F 52. ἀφελεῖσθαι] ἀφελέσθαι Y Bas. τὰς] τῆς Bas. 53. πλεονάκις] πλείονα TX, πλείωνα Bas. ὅτι FW, caeteri καὶ ὅτι 55. συμφέρειν οὖν] καὶ συμφέρειν οὖν FW 58. ὑπήκουσαν] ἐπήκουσαν F 60. τοῖς] τοὺς F 62. προλαμβάνειν] προςλαμβάνειν Bas. 65. μετὰ τῆς λοιπῆς δυνάμεως post Θετταλίαν ponit F 66. διαπολεμήσων] διαπολεμήσειν F 67. στρατοπέδου FQTWY, caeteri στρατιωτῶν αὐτοῦ παρεις 69. σίγιον F 70. παρειςήγαγε] προςηγάγετο F 72. ἱππεῖς δὲ χιλίους F in margine supplet 76. ἦλθε post πολιορκουμένοις ponit F 78. τὸ om. FW 80. Ἑλληςπόντῳ] Ἑλλήςποντον FW προςαγαγόμενος] προςαγόμενος Bas. libri bis Σύναδα 81. ἀποσκευὰς FW, caeteri addunt μεγάλας, quod asterisco notavit Stephanus 83. τά] τήν Bas.

τε Σύνναδα παρέλαβε διὰ τούτου καὶ τῶν ὀχυρωμάτων ἔνια τῶν ἐχόντων τὰ βασιλικὰ χρήματα. ὁ δ' ἐπὶ τῆς Αἰολίδος καὶ τῆς Ἰωνίας πεμφθεὶς ὑπὸ Λυσιμάχου στρατηγὸς Πρεπέλαος Ἀδραμυτίου μὲν ἐκυρίευσεν ἐν παρόδῳ, τὴν δ' Ἔφεσον πολιορκήσας καὶ καταπληξάμενος τοὺς ἔνδον παρέλαβε τὴν πόλιν. καὶ τοὺς μὲν ἐγκαταληφθέντας τῶν Ῥοδίων ἑκατὸν ὁμήρους ἀπέστειλεν εἰς τὴν πατρίδα, τοὺς δ' Ἐφεσίους ἀφῆκε· τὰς δὲ ναῦς τὰς ἐν τῷ λιμένι πάσας ἐνέπρησε διὰ τὸ θαλαττοκρατεῖν τοὺς πολεμίους καὶ τὴν ὅλην κρίσιν τοῦ πολέμου ἄδηλον ὑπάρχειν. μετὰ δὲ ταῦτα Τηΐους μὲν καὶ Κολοφωνίους προσηγάγετο, Ἐρυθραίοις δὲ καὶ Κλαζομενίοις ἐλθούσης κατὰ θάλατταν βοηθείας τὰς μὲν πόλεις ἑλεῖν 484 οὐκ ἠδυνήθη, τὴν δὲ χώραν αὐτῶν πορθήσας ἀνέζευξεν ἐπὶ Σάρδεις. ἐνταῦθα δὴ τῶν Ἀντιγόνου στρατηγῶν Φοίνικα καὶ Δόκιμον πείσας ἀποστῆναι τοῦ βασιλέως παρέλαβε τὴν πόλιν πλὴν τῆς ἄκρας· ταύτην γὰρ φυλάττων Φίλιππος εἷς τῶν Ἀντιγόνου φίλων βεβαίαν ἐτήρει τὴν εὔνοιαν τὴν πρὸς τὸν πεπιστευκότα. τὰ μὲν οὖν περὶ Λυσίμαχον ἐν τούτοις ἦν.

**108** Ἀντίγονος δὲ προχειρισάμενος ἀγῶνα μέγαν καὶ πανήγυριν ἐν Ἀντιγονείᾳ συντελεῖν, πάντοθεν ἀθλητάς τε καὶ τεχνίτας τοὺς ἐπιφανεστάτους ἐπὶ μεγάλοις ἄθλοις καὶ μισθοῖς ἠθροίκει. ὡς δ' ἤκουσε τὴν Λυσιμάχου διάβασιν καὶ τῶν στρατηγῶν τὴν ἀπόστασιν, τὸν μὲν ἀγῶνα διέλυσε, τοῖς δ' ἀθληταῖς καὶ τοῖς τεχνίταις ἀπέδωκε μισθοὺς οὐκ ἐλάττους διακοσίων ταλάντων. αὐτὸς δὲ τὴν δύναμιν ἀναλαβών, ὥρμησεν ἐκ τῆς Συρίας σύντονον τὴν πορείαν ποιούμενος ἐπὶ τοὺς πολεμίους. εἰς δὲ Ταρσὸν τῆς Κιλικίας ἀφικόμενος ἐξ ὧν κατεκόμισε χρημάτων ἐκ τῶν Κυΐνδων τὸ στρατόπεδον εἰς τρεῖς μῆνας ἐμισθοδότησε. χωρὶς δὲ τούτων τρισχίλια τάλαντα μετὰ τῆς δυνάμεως ἐκόμιζεν, ὅπως τοιαύτην ἔχῃ τὴν χορηγίαν, ὅταν αὐτῷ χρεία γένηται χρημάτων. ἔπειτα τὸν

84. διὰ τούτου καὶ] καὶ διὰ τούτου F 87. Ἀδραμυτίου Bas., [τ] ἀδραμυτίου F', caeteri Ἀδραμυττίου 92 θαλαττοκρατεῖν F, caeteri θαλασσοκρατεῖν 94. Τηΐους] Τηνίους FW
484. 98. τῶν — στρατηγῶν W, caeteri τὸν — στρατηγόν
2. τὴν πρὸς] πρὸς Bas. 5. προχειρισάμενος] προκεχειρισμένος Y Bas. 6. Ἀντιγονείᾳ] libri Ἀντιγονίᾳ πάντοθεν] καὶ πάντοθεν F 11. διακοσίων] εἰς διακοσίων Bas. 13. σύντονον] libri σύντομον 16 Κυΐνδων] Κοΐνδων Q, caeteri Κουΐνδων 18. τῆς om. Bas. ἐκόμιζεν] ἐκόμισεν F τοιαύτην] malim ταύτην



Ταῦρον ὑπερβαλὼν προῆγεν ἐπὶ Καππαδοκίας, καὶ τοὺς ἀφεστηκότας περὶ τὴν ἄνω Φρυγίαν καὶ Λυκαονίαν ἐπιπορευόμενος πάλιν εἰς τὴν προϋπάρχουσαν συμμαχίαν ἀποκατέστησε. καθ' ὃν δὴ χρόνον οἱ περὶ τὸν Λυσίμαχον πυθόμενοι τὴν τῶν πολεμίων παρουσίαν συνήδρευον βουλευόμενοι πῶς χρηστέον εἴη τοῖς ἐπιφερομένοις κινδύνοις. ἔδοξεν οὖν αὐτοῖς εἰς μὲν μάχην μὴ συγκαταβαίνειν, ἕως ἂν οἱ περὶ Σέλευκον ἐκ τῶν ἄνω σατραπειῶν καταβῶσι, τόπους δὲ ὀχυροὺς καταλαβέσθαι καὶ χάρακι καὶ τάφρῳ τὴν στρατοπεδείαν ἀσφαλισαμένους ὑπομένειν τῶν πολεμίων τὴν ἔφοδον. οὗτοι μὲν οὖν τὸ δοχθὲν αὐτοῖς ἐπετέλουν κατὰ σπουδήν. ὁ δ' Ἀντίγονος ἐπεὶ πλησίον ἐγένετο τῶν πολεμίων, ἐκτάξας τὴν δύναμιν προεκαλεῖτο εἰς μάχην. οὐδενὸς δ' ἐπεξιέναι τολμῶντος αὐτὸς μὲν κατελάβετο τόπους τινάς, δι' ὧν ἀναγκαῖον ἦν τὰς τροφὰς τοῖς ἐναντίοις παρακομίζεσθαι· οἱ δὲ περὶ τὸν Λυσίμαχον φοβηθέντες μήποτε τῆς ἀγορᾶς ἀποκοπείσης ὑποχείριοι γένωνται τοῖς πολεμίοις, νυκτὸς ἀνέζευξαν, καὶ διατείναντες σταδίους τετρακοσίους κατεστρατοπέδευσαν περὶ Δορύλαιον. εἶχε γὰρ τὸ χωρίον σίτου τε καὶ τῆς ἄλλης χορηγίας πλῆθος καὶ ποταμὸν παραῤῥέοντα δυνάμενον ἀσφάλειαν παρέχεσθαι τοῖς παρ' αὐτὸν στρατοπεδεύουσι. βαλόμενοι δὲ στρατοπεδείαν ὠχύρωσαν τὴν παρεμβολὴν βαθείᾳ τάφρῳ καὶ τριπλῷ χάρακι.

**109** 485 Ἀντίγονος δὲ πυθόμενος τὴν τῶν πολεμίων ἀποχώρησιν, εὐθὺς ἐπεδίωκεν αὐτούς, καὶ πλησίον γενόμενος τῆς παρεμβολῆς, ἐπεὶ πρὸς παράταξιν οὐ συγκατέβαινον, ἤρξατο περιταφρεύειν τὴν στρατοπεδείαν, καὶ καταπέλτας καὶ βέλη μετεπέμψατο, βουλόμενος αὐτὴν πολιορκῆσαι. συντελουμένων δ' ἀκροβολισμῶν περὶ τὴν ταφρείαν, καὶ τῶν περὶ τὸν Λυσίμαχον πειρωμένων ἀνείργειν τοῖς βέλεσι τοὺς ἐργαζομένους, ἐν πᾶσιν ἐπροτέρουν οἱ περὶ τὸν Ἀντίγονον. ἔπειτα χρόνου γενομένου, καὶ τῶν ἔργων ἤδη συντέλειαν λαμβανόντων, τῆς δὲ τροφῆς ἀπολιπούσης τοὺς πολιορκουμένους, οἱ περὶ τὸν

22. εἰς] ἐπὶ FW 29. χάρακι] χάρακι μὲν F 36. παρακομίζεσθαι] [παρα] κομίζεσθαι F 38. ἀγορᾶς] εὐπορίας FW
41. τῆς ἄλλης] ἄλλης Bas.
485. 47. ἐπεδίωκεν] κατεδίωκεν W 54. ἐπροτέρουν Wesselingius, προυτέρουν Bas., caeteri προετέρουν 55. γενομένου] γινομένου F 56. ἀπολιπούσης] ὑπολειπούσης FW, caeteri ὑπολιπούσης

Λυσίμαχον τηρήσαντες νύκτα χειμέριον, ἀναζεύξαντες ἐκ τῆς παρεμβολῆς διὰ τῶν ὑπερδεξίων τόπων ἀπεχώρησαν εἰς παραχειμασίαν. ὁ δ' Ἀντίγονος ἡμέρας γενομένης ὡς εἶδε τὴν τῶν πολεμίων ἀπαλλαγήν, ἀντιπαρῆγεν αὐτὸς διὰ τῶν πεδίων. ἐπιγενομένων δὲ ὄμβρων μεγάλων, καὶ τῆς χώρας οὔσης βαθυγείου καὶ πηλώδους, τῶν τε ὑποζυγίων οὐκ ὀλίγα συνέβη καὶ τῶν σωμάτων τινὰ διαφθαρῆναι καὶ τὸ σύνολον ἐπιπόνως ἅπασαν τὴν δύναμιν διατεθῆναι. διόπερ ὁ βασιλεὺς ἅμα μὲν ἀναλαβεῖν βουλόμενος ἐκ τῆς κακοπαθείας τοὺς στρατιώτας, ἅμα δὲ τὴν χειμερινὴν ὥραν ὁρῶν περιλαμβάνουσαν, τοῦ μὲν καταδιώκειν ἀπέστη, πρὸς δὲ τὴν χειμασίαν ἐπιλεξάμενος τοὺς εὐθετωτάτους τόπους διεῖλε κατὰ μέρη τὴν δύναμιν. πυνθανόμενος δὲ Σέλευκον καταβαίνειν ἐκ τῶν ἄνω σατραπειῶν μετὰ μεγάλης δυνάμεως, ἔπεμψέ τινας τῶν φίλων εἰς τὴν Ἑλλάδα πρὸς Δημήτριον, παρακελευόμενος ἥκειν πρὸς αὐτὸν μετὰ τῆς δυνάμεως τὴν ταχίστην. σφόδρα γὰρ εὐλαβεῖτο μὴ πάντων τῶν βασιλέων ἐπ' αὐτὸν συνδραμόντων ἀναγκασθῇ παρατάξει κρῖναι τὸν ὅλον πόλεμον πρὶν ἢ συνελθεῖν εἰς ταὐτὸ τὴν ἐκ τῆς Εὐρώπης δύναμιν. παραπλησίως δὲ καὶ Λυσίμαχος διεῖλε τὴν δύναμιν εἰς χειμασίαν ἐν τῷ καλουμένῳ Σαλωνίας πεδίῳ. ἀγορὰν δὲ πολλὴν ἐξ Ἡρακλείας μετεπέμπετο, ποιησάμενος ἐπιγαμίαν πρὸς τοὺς Ἡρακλεώτας. ἔγημε γὰρ Ἄμηστριν τὴν Ὀξυάρτου μὲν θυγατέρα, Δαρείου δὲ τοῦ βασιλέως ἀδελφιδῆν, Κρατέρου δὲ γυναῖκα γενομένην ὑπ' Ἀλεξάνδρου δοθεῖσαν, τότε δυναστεύουσαν τῆς πόλεως. καὶ τὰ μὲν περὶ τὴν Ἀσίαν ἐν τούτοις ἦν.

110 Κατὰ δὲ τὴν Ἑλλάδα Δημήτριος διατρίβων ἐν ταῖς Ἀθήναις ἔσπευδε μυηθῆναι καὶ καταλαβεῖν τὴν ἐν Ἐλευσῖνι τελετήν. ἀπεχούσης δὲ χρόνον ἱκανὸν τῆς κατὰ νόμους ἡμέρας, καθ' ἣν εἰώθεισαν Ἀθηναῖοι συντελεῖν τὴν τελετήν, ἔπεισε τὸν δῆμον διὰ τὰς εὐεργεσίας κινη-

57. τὸν λυσίμαχον F, caeteri Λυσίμαχον 58. χειμέριον] χειμέρινον W 59. ἀπεχώρησαν TY Bas., caeteri ἐποιήσαντο τὴν ἀποχώρησαν 63. τῶν τε] τῶν W, τῶν δὲ Bas. 64. συνέβη post πηλώδους ponit F 68. περιλαμβάνουσαν] περικαταλαμβάνουσαν Reiskius 73. τινας FW, caeteri τινα 74. παρακελευόμενος] διακελευόμενος FW 75. μετὰ om. Bas. τῆς om. F 78. ταὐτὸ FW, caeteri ταὐτὸν 79. ἐκ τῆς F, τῆς caeteri 81. Σαλωνίας Wesselingius: libri Σαλμωνίας 82. μετεπέμπετο] μετεπέμψατο W ποιησάμενος ante μετεπέμπετο ponunt T Bas. 84. βασιλέως] βασιλεύσαντος F 85. ἀδελφιδῆν] ἀδελφὴν Bas. 86. δοθεῖσαν] δὲ δοθεῖσαν F



486 σαι τὸ πάτριον ἔθος. παραδοὺς οὖν αὐτὸν ἄνοπλον τοῖς ἱερεῦσι, καὶ πρὸ τῆς ὡρισμένης ἡμέρας μυηθείς, ἀνέζευξεν ἐκ τῶν Ἀθηνῶν. καὶ τὸ μὲν πρῶτον εἰς Χαλκίδα τῆς Εὐβοίας ἤθροισε τὸν στόλον καὶ τὴν πεζικὴν δύναμιν· μετὰ δὲ ταῦτα πυθόμενος τοὺς περὶ Κάσσανδρον προκατειλῆφθαι τὰς παρόδους, πεζῇ μὲν ἀπέγνω τὴν εἰς Θετταλίαν ποιεῖσθαι πορείαν, παραπλεύσας δὲ μετὰ τῆς δυνάμεως εἰς τὸν ἐν Λαρίσῃ λιμένα καὶ τὴν δύναμιν ἐκβιβάσας τὴν μὲν πόλιν ἐξ ἐφόδου παρέλαβε, τὴν δ' ἄκραν ἐκπολιορκήσας τοὺς μὲν φρουροὺς δήσας παρέδωκεν εἰς φυλακήν, τοῖς δὲ Λαρισαίοις τὴν αὐτονομίαν ἀποκατέστησε. μετὰ δὲ ταῦτα Πρώνας μὲν καὶ Πτελεὸν προςηγάγετο· Δῖον δὲ καὶ Ὀρχομενὸν μετοικίζοντος εἰς Θήβας Κασσάνδρου διεκώλυσε μετοικισθῆναι τὰς πόλεις. Κάσσανδρος δὲ θεωρῶν τὰ πράγματα τῷ Δημητρίῳ κατὰ νοῦν χωροῦντα, Φερὰς μὲν καὶ Θήβας ἁδροτέραις φρουραῖς παρεφύλαττε, τὴν δὲ δύναμιν πᾶσαν εἰς ἕνα τόπον ἀθροίσας ἀντεστρατοπέδευσε τοῖς περὶ τὸν Δημήτριον. εἶχε δὲ τοὺς σύμπαντας πεζοὺς μὲν εἰς διςμυρίους ἐνακιςχιλίους, ἱππεῖς δὲ διςχιλίους· τῷ δὲ Δημητρίῳ συνηκολούθουν ἱππεῖς μὲν χίλιοι καὶ πεντακόσιοι, πεζοὶ δὲ Μακεδόνες οὐκ ἐλάττους τῶν ὀκτακιςχιλίων, μισθοφόροι δ' εἰς μυρίους καὶ πεντακιςχιλίους, ἐκ δὲ τῶν κατὰ τὴν Ἑλλάδα πόλεων διςμύριοι καὶ πεντακιςχίλιοι, ψιλικὰ δὲ τάγματα καὶ πειρατῶν παντοδαπῶν τῶν συντρεχόντων ἐπὶ τοὺς πολέμους καὶ τὰς ἁρπαγὰς οὐκ ἐλάττους τῶν ὀκτακιςχιλίων, ὥςτ' εἶναι τοὺς ἅπαντας πεζοὺς περὶ τοὺς πεντακιςμυρίους ἑξακιςχιλίους. ἀντικαθημένων δὲ τῶν στρατοπέδων ἀλλήλοις ἐπὶ πολλὰς ἡμέρας ἐκτάξεις μὲν ἐγίνοντο παρ' ἀμφοτέροις, εἰς μάχην δὲ οὐδέτερος συγκατέβαινε, καραδοκοῦντες τὴν ἐπὶ τῆς Ἀσίας ἐσομένην τῶν ὅλων κρίσιν. Δημήτριος δέ, τῶν Φεραίων ἐπικαλεσαμένων αὐτόν, παρειςπεσὼν εἰς τὴν πόλιν μετὰ μέρους τῆς δυνάμεως τὴν μὲν ἄκραν ἐκπολιορκήσας ὑποσπόνδους ἀφῆκε τοὺς παρὰ Κασσάνδρου στρατιώτας, τοῖς δὲ Φεραίοις τὴν ἐλευθερίαν ἀποκατέστησεν.

486. 94. ἄνοπλον] ἄοπλον F 98. προκατειλῆφθαι] κατειλῆφθαι Bas. 1. Λαρίσῃ T Bas., caeteri Λαρίσσῃ: sic et v. 4. 5. Πρώνας] Ἄντρωνα Wesselingius Πτελεὸν] Πρελεὸν Y Bas. 13. libri ἐνναχιςχ. ἱππεῖς δὲ διςχιλίους om. Bas. 14. συνηκολούθουν om. F 17. δὲ FW, caeteri τε 19. παντοδαπῶν τῶν] παντοδαποί· τῶν δὲ F, τῶν om. Bas. 20. πολέμους] libri πολεμίους 21. πεζοὺς] πεζοὺς μὲν F 22. τοὺς om. F 25. καραδοκοῦντες FW, caeteri καραδοκῶν

111 Ἐν τούτοις δ' ὄντων τῶν περὶ Θετταλίαν ἧκον πρὸς τὸν Δημήτριον οἱ πεμφθέντες ὑπ' Ἀντιγόνου, διασαφοῦντες τὰς παρὰ τοῦ πατρὸς ἐντολὰς καὶ παρακελευόμενοι τὴν ταχίστην διαβιβάζειν τὰς δυνάμεις εἰς τὴν Ἀσίαν. διόπερ ἀναγκαῖον ἡγησάμενος ὑπάρχειν ὁ βασιλεὺς τὸ πείθεσθαι τῷ πατρί, πρὸς μὲν Κάσσανδρον διαλύσεις ἐποιήσατο, συνθέμενος εἶναι κυρίας τὰς συνθήκας, ἐὰν ὦσιν εὐάρεστοι τῷ πατρί, ἀκριβῶς μὲν εἰδὼς οὐ προςδεξόμενον αὐτὸν διὰ τὸ κεκρικέναι πάντως διὰ τῶν ὅπλων ἐπιθεῖναι τέλος τῷ συμβάντι πολέμῳ, 487 βουλόμενος δὲ τὴν ἐκ τῆς Ἑλλάδος ἀποχώρησιν εὐσχήμονα ποιήσασθαι καὶ μὴ φυγῇ παραπλησίαν· ἐγέγραπτο γὰρ ἐν ταῖς συνθήκαις πρὸς τοῖς ἄλλοις καὶ τὸ τὰς Ἑλληνίδας πόλεις ἐλευθέρας ὑπάρχειν οὐ τὰς κατὰ τὴν Ἑλλάδα μόνον ἀλλὰ καὶ τὰς κατὰ τὴν Ἀσίαν. μετὰ δὲ ταῦθ' ὁ Δημήτριος παρασκευασάμενος πορεῖα πρὸς τὴν παρακομιδὴν τῶν τε στρατιωτῶν καὶ τῆς ἀποσκευῆς ἀνήχθη παντὶ τῷ στόλῳ, καὶ κομισθεὶς διὰ νήσων κατέπλευσεν εἰς Ἔφεσον. ἐκβιβάσας δὲ τὴν δύναμιν καὶ στρατοπεδεύσας πλησίον τῶν τειχῶν ἠνάγκασε τὴν πόλιν εἰς τὴν προϋπάρχουσαν ἀποκατασταθῆναι τάξιν· καὶ τὴν μὲν ὑπὸ Πρεπελάου τοῦ Λυσιμάχου στρατηγοῦ παρειςαχθεῖσαν φρουρὰν ἀφῆκεν ὑπόσπονδον, ἰδίαν δὲ φυλακὴν εἰς τὴν ἄκραν καταστήσας παρῆλθεν εἰς Ἑλλήςποντον. καὶ Λαμψακηνοὺς μὲν καὶ Παριανοὺς ἔτι δὲ τῶν ἄλλων τῶν μεταβεβλημένων πόλεών τινας ἀνεκτήσατο· ἐπὶ δὲ τὸ στόμα τοῦ Πόντου παραγενόμενος πρὸς τῷ Χαλκηδονίων ἱερῷ στρατοπεδείαν περιεβάλετο καὶ τοὺς φυλάξοντας τὸν τόπον ἀπέλιπε στρατιώτας πεζοὺς μὲν τριςχιλίους, ναῦς δὲ μακρὰς τριάκοντα· τὴν δ' ἄλλην δύναμιν διελόμενος κατὰ πόλεις διέδωκεν εἰς χειμασίαν. περὶ δὲ τούτους τοὺς χρόνους καὶ Μιθριδάτης, ὑπήκοος ὢν Ἀντιγόνῳ καὶ δόξας ἀφίστασθαι πρὸς τοὺς περὶ Κάσσανδρον, ἀνῃρέθη περὶ Κίον τῆς Μυσίας, ἄρξας αὐτῆς καὶ Καρίνης ἔτη τριάκοντα πέντε· τὴν δὲ δυναστείαν διαδεξάμενος Μιθριδάτης ὁ υἱὸς αὐ-

32. libri *Θεσσαλίαν* 36. *ὑπάρχειν* om. F 40. *οὐ προςδεξόμενον αὐτὸν*] *αὐτὸν οὐ προςδεξόμενον* F
487. 45. *καὶ τὸ*] *τὸ καὶ* Bas. 47. *ταῦθ' ὁ* FW, caeteri *τοῦτο* 49. *ἀποσκευῆς*] *παρασκευῆς* F *ἀνήχθη παντὶ*] *ἀνήχθησαν* Bas. 50. *νήσων* T Bas., caeteri *τῶν νήσων*
57. *μὲν* om. Bas. 58. *ἄλλων*] *Ἑλλήνων* TX Bas. 62. *τριάκοντα*] *τεσσαράκοντα* FW 67. *Ἀῤῥίνης*] *Μαρίνης* FQW: correxit Iac. Gronovius 69. *ὁ υἱὸς αὐτοῦ* om. TX Bas., asterisco notavit Stephanus



τοῦ πολλοὺς προςεκτήσατο, τῆς δὲ Καππαδοκίας καὶ Παφλαγονίας ἦρξεν ἔτη τριάκοντα ἕξ.

112 Ἐν δὲ ταῖς αὐταῖς ἡμέραις Κάσσανδρος μετὰ τὴν ἀπαλλαγὴν τὴν Δημητρίου τὰς μὲν κατὰ τὴν Θετταλίαν πόλεις ἀνεκτήσατο, Πλείσταρχον δὲ μετὰ δυνάμεως ἐξέπεμψεν εἰς τὴν Ἀσίαν βοηθήσοντα τοῖς περὶ τὸν Λυσίμαχον. οἱ δὲ συναποσταλέντες ἦσαν πεζοὶ μὲν μύριοι διςχίλιοι, ἱππεῖς δὲ πεντακόσιοι. ὁ δὲ Πλείσταρχος, ἐπειδὴ παραγενόμενος ἐπὶ τὸ στόμα τοῦ Πόντου κατέλαβε τοὺς τόπους προκατεχομένους ὑπὸ τῶν πολεμίων, ἀπογνοὺς τὴν διάβασιν παρῆλθεν εἰς Ὀδησσόν, ἣ κεῖται μεταξὺ μὲν τῆς τε Ἀπολλωνίας καὶ Καλλατίας, καταντικρὺ δὲ τῆς ἐν τῷ πέραν Ἡρακλείας, ἐχούσης τι μέρος τῆς Λυσιμάχου δυνάμεως. οὐκ ἔχων δ' ἱκανὰ πορεῖα πρὸς τὴν τῶν στρατιωτῶν διάβασιν τριχῇ διεμέρισε τὴν 488 δύναμιν. τὴν μὲν οὖν πρώτην ἀποστολὴν συνέβη διασωθῆναι πρὸς τὴν Ἡράκλειαν, τὴν δὲ δευτέραν ὑπὸ τῶν περὶ τὸ στόμα τοῦ Πόντου φυλακίδων νεῶν ἁλῶναι· κατὰ δὲ τὴν τρίτην αὐτοῦ συνδιαβαίνοντος τοῦ Πλειστάρχου χειμὼν ἐπεγενήθη τηλικοῦτος ὥςτε τὰ πλεῖστα τῶν σκαφῶν καὶ τῶν σωμάτων διαφθαρῆναι. καὶ γὰρ ἡ κομίζουσα ναῦς ἑξήρης τὸν στρατηγὸν συνεκλύσθη, καὶ τῶν ἐν αὐτῇ πλεόντων οὐκ ἐλαττόνων ἢ πεντακοσίων τρεῖς πρὸς τοῖς τριάκοντα μόνον διεσώθησαν. ἐν δὲ τούτοις ἦν καὶ ὁ Πλείσταρχος, ναυαγίου μὲν ἐπειλημμένος, εἰς δὲ τὴν γῆν ἡμιθανὴς ἐκβεβρασμένος. οὗτος μὲν οὖν ἀποκομισθεὶς εἰς Ἡράκλειαν, καὶ προςαναλαβὼν ἐκ τῆς ἀτυχίας τὸ σῶμα, πρὸς τὸν Λυσίμαχον εἰς τὴν χειμασίαν ἀνέζευξε, τὸ πλεῖον τῆς δυνάμεως ἀποβεβληκώς.

113 Ἐν δὲ ταῖς αὐταῖς ἡμέραις καὶ Πτολεμαῖος ὁ βασιλεὺς ἀναζεύξας ἐξ Αἰγύπτου μετὰ δυνάμεως ἀξιολόγου τὰς μὲν ἐν τῇ κοίλῃ Συρίᾳ πόλεις ἁπάσας ὑποχειρίους ἐποιήσατο· Σιδῶνα δὲ πολιορκοῦντος αὐτοῦ τινες παρῆσαν ἀπαγγέλλοντες ψευδῶς ὅτι παρατάξεως γενομένης τοῖς βασιλεῦσιν οἱ μὲν περὶ Λυσίμαχον καὶ Σέλευκον

69. *πολλοὺς*] *πολλὰ* Rhodomannus 76. *τὸν* om. T Bas. *συναποσταλέντες*] *ἀποσταλέντες* F, *ὑποσταλέντες* W 78. *ἐπὶ*] *περὶ* W 79. *προκατεχομένους* QTY Bas., caeteri *προκατειλημμένους* 82. *μὲν* om. Bas. libri *Γαλατίας*: correxit Palmerius 83. *τι* om. F 84. *δ'* om. Bas.
488. 88. *περὶ τὸ* F Bas., caeteri *περὶ* 91. *τῶν σωμάτων* FW Bas., caeteri *σωμάτων* 92. *ἑξήρης τὸν στρατηγὸν*] *τὸν στρατηγὸν ἑξήρης* F 99. *πρὸς τὸν*] *πρὸς* Bas.
5. *ἀπαγγέλλοντες*] *ἐπαγγέλλοντες* F

ἡττηθέντες ἀποκεχωρήκασιν εἰς τὴν Ἡράκλειαν, Ἀντίγονος δὲ νενικηκὼς προςάγει μετὰ τῆς δυνάμεως ἐπὶ Συρίας. παραλογισθεὶς οὖν ὑπὸ τούτων καὶ πεισθεὶς ἀληθῆ τὴν προςαγγελίαν εἶναι, πρὸς μὲν τοὺς Σιδωνίους εἰς τέτταρας μῆνας ἀνοχὰς ἐποιήσατο, τὰς δὲ χειρωθείσας πόλεις φρουραῖς ἀσφαλισάμενος ἐπανῆλθε μετὰ τῆς δυνάμεως εἰς Αἴγυπτον. ἅμα δὲ τούτοις πραττομένοις οἱ τῶν παρὰ Λυσιμάχῳ στρατιωτῶν αὐτομολήσαντες ἐκ τῆς χειμασίας παρ' Ἀντίγονον, Αὐταριᾶται μὲν διςχίλιοι, Λύκιοι δὲ καὶ Παμφύλιοι περὶ ὀκτακοσίους. τούτοις μὲν οὖν Ἀντίγονος φιλανθρώπως προςενεχθεὶς τούς τε μισθοὺς ἔδωκεν οὓς ἔφασαν ὀφείλεσθαι παρὰ Λυσιμάχου καὶ δωρεαῖς ἐτίμησε. καθ' ὃν δὴ χρόνον ἦλθε καὶ Σέλευκος ἐκ τῶν ἄνω σατραπειῶν διαβεβηκὼς εἰς Καππαδοκίαν μετὰ πολλῆς δυνάμεως, καὶ κατασκευάσας στεγνὰ τοῖς στρατιώταις παραχειμάζειν. εἶχε δὲ πεζοὺς μὲν εἰς διςμυρίους, ἱππεῖς δὲ σὺν τοῖς ἱπποτοξόταις περὶ μυρίους διςχιλίους, ἐλέφαντας δὲ ὀγδοήκοντα πρὸς τοῖς τετρακοσίοις, ἅρματα δὲ δρεπανηφόρα πλείω τῶν ἑκατόν. αἱ μὲν οὖν τῶν βασιλέων δυνάμεις τοῦτον τὸν τρόπον ἠθροίζοντο, κεκρικότων ἁπάντων κατὰ τὴν ἐπιοῦσαν θερείαν διὰ τῶν ὅπλων κρῖναι τὸν πόλεμον. ἡμεῖς δέ, καθάπερ ἐν ἀρχῇ προεθέμεθα, τὸν γενόμενον τούτοις τοῖς βασιλεῦσι πρὸς ἀλλήλους πόλεμον περὶ τῶν ὅλων πράξεων ἀρχὴν ποιησόμεθα τῆς ἑπομένης βίβλου.

8. προςάγει] προάγει FW 12. ἀνοχὰς post Σιδωνίους ponit F 15. Λυσιμάχῳ FW, caeteri Λυσιμάχου: caeterum ἦλθον vel simile verbum excidisse monuit Rhodomannus 21. διαβεβηκὼς] διαβὰς FW 22. εἰς Καππαδοκίαν] ἐκ Καππαδοκίας W 23. καὶ om. Bas. παραχειμάζειν ] scribendum παρεχείμαζεν 27. οὖν om. Bas. 31. τὸν γενόμενον] τὴν
ὸν ον
γενομένην κρίσιν W, τὴν γενομένην κρίσιν F, et in margine γρ. πόλεμον 32 πόλεμον om. FW 33. τῆς om. Bas.
Διοδώρου Σικελιώτου ἱστοριῶν κ τέλος subscribit Bas.

# DIODORI BIBLIOTHECAE EPITOME.

## LIB. XV.

Prooemio pauca praefatus de iudicandi libertate ad scriben-
dam historiam necessaria, novae periodi terminos constituit:
principium quidem bellum Persarum Cypricum, finem autem Ol.
regni Philippi auspicia [1.]. Belli Persarum in Euagoram ini- 98.3.
tium. apparatus terrestris et navalis ab utraque parte descri-
bitur [2.]. ob commeatus penuriam in Persarum castris seditio
orta. tota classis dimissa in Ciliciam inde frumenti copiam
affert. Euagoras acceptis ex Aegypto pluribus navibus proe-
lium navale committere parat. fit pugna atrocissima, qua tan-
dem Cyprii vincuntur [3.]. quo facto Persae Salaminem oppu-
gnant. Euagoras urbe elapsus in Aegyptum confugit, nova
auxilia petens [4.]. Interea Lacedaemonios pacis poenituit, qua
pristinum Graeciae principatum amiserant. itaque in civitati-
bus seditiones excitant, ruptoque foedere singulas suo imperio
subiiciunt. Mantinenses contra eos Atheniensium implorant
auxilium. quo facto novum in Graecia bellum commovetur
[5.] In Sicilia Dionysius ob pacem ac diuturnum otium po-
etarum studia sectatur. Philoxenus poeta inter familiares in-
primis carus; sed ob iudicia liberiora et facetias asperiores in
latomias damnatus [6.]. simile fatum Plato philosophus habuit,
a Dionysio inter servitia venditus, post philosophorum symbo
lis redemtus. poemata sua Dionysius in panegyri Olympica reci-
tari iubet; sed risu sunt excepta. quo audito primo in aegri-
tudinem, deinde in furorem incidit. furoris exempla afferun-
tur [7.]. Euagoras ex Aegypto redux pacis expetit conditiones. 98.4
iniquissimas proponit Tiribazus. interea Tiribazus falsa crimi-
natione ab Oronte accusatus in vincula coniicitur. iudicium
de eo rex, tum bello Cadusiano occupatus, differt [8.]. Oron-

tes summo imperio praefectus aequioribus conditionibus pacem
concedit, et Cyprico bello finem imponit. Glos Tiribazi gener
audita soceri accusatione ad regem Aegyptiorum deficit, et
hunc atque Lacedaemonios ad bellum contra Artaxerxem sol-
licitat [9.]. Tiribazus causa cognita criminibus absolvitur [10.].
eundem rex iudicibus auditis ad summos honores evehit;
Orontem vero, falsae accusationis reum, omni ignominia affi-
cit [11.]. In Graecia Lacedaemonii Mantineam diuturna ob-
sidione ad deditionem cogunt [12.]. Dionysius tum urbes ma-
ritimas condere, et maris Ionii imperium occupare parat, ex-
peditionem in Epirum atque ad templum Delphicum spolian-
dum mox suscepturus. quamobrem etiam cum Illyriis foedus
iniit, eosque bello contra Molossos adiuvit. Tum Parii dedu-
cta colonia insulam Pharum condiderunt. Navalia, gymnasia,
99. 1. templa Syracusis exstructa [13.]. Illyrii Pharum incursione
devastant, ab indigenis barbaris contra Graecos in auxilium
vocati. hos opprimit classis Lisso missa. Dionysius oram He-
truriae adortus in agro urbis Agyllae templum ditissimum ex-
spoliat. inde opibus auctus, novum in Carthaginienses bellum
99. 2. molitur [14.]. belli causam praebent urbes Siciliae a Cartha-
giniensibus abalienatae, quas Dionysius in societatem recipit,
Carthaginienses vero repetunt. Carthaginienses duobus proeliis
fusi de pace legatos mittunt [15.]. dum induciae fiunt ad pacis
conditiones durissimas expediendas, Carthaginienses novas vires
colligunt, et circa Cronium proelio victoriam reportant [16.].
Dionysii ingens clades describitur. quo facto Poeni victo hosti
multo aequiores se praebent [17.]. Glos, qui bellum contra regem
Persarum moverat, clam occisus; nec multo post Tachos eius
successor mortuus. De Leuca urbe ab hoc exstructa concer-
tant Clazomenii et Cumaei; occupato sacrificio urbe potiuntur
Clazomenii [18.]. Iam itaque Lacedaemonii omnia ad impe-
rium in Graecia contra ius fasque obtinendum convertunt.
Amyntae regi Macedonum ab Illyriis victo in bello contra
Olynthios fiunt socii. de bello ab iisdem in Graecos gerendo
99. 3. dissident duo Lacedaemoniorum reges [19.]. Phoebidas Lace-
daemoniorum dux in Olynthios profectus in ipso itinere per
insidias Cadmeam Thebarum arcem capit. eius fratri Eudami-
dae deinde bellum Olynthiacum committitur [20.]. sed Lace-
daemonii, quamvis novis copiis aucti, pluribus proeliis fusi.
99. 4. ipse regis frater Teleutias cecidit [21.]. Agesipolis rex Lace-
100. daemoniorum bello Olynthiaco praeesse iubetur [22.]. Mortuo
1. Agesipolide Lacedaemonii Polybiadam belli ducem creant, qui
meliore fortuna usus Olynthios subigit. Lacedaemoniorum po-
100. tentia tum maxima [23.]. Carthaginienses Hipponium antiquis
2. incolis restituunt. quamvis pestilentia aliisque malis, internis



etiam bellis oppressi, tamen Africam et insulam Sardiniam re-
cuperant [24.]. Thebani, post Cadmeam a Lacedaemoniis ca- 100.
ptam patria expulsi, collecta manu impetum in hostes faciunt, 3.
et populares ad recuperandam libertatem exhortantur. advo-
cant Atheniensium auxilia. ita *bellum Boeoticum* ortum [25.].
advolat Demophon Atheniensium imperator cum exercitu [26.].
quo facto qui Cadmeam praesidio tenebant inopia coacti arcem
tradunt et incolumes domum redeunt. praesidii praefecti capi-
tis damnati. eo tempore Romani coloniam in Sardoniam de- 100.
duxerunt [27.]. Plurimae civitates Lacedaemoniorum superbia 4.
exacerbatae ab his deficiunt: Chii, Byzantini, Rhodii, Myti-
lenaei in primis erant. communis sociorum senatus Athenis in-
stituitur. nequidquam socios revocant Lacedaemonii [28.]. In-
terea Acoris rex Aegyptiorum bellum infert Persis, eiusque
ducem Chabriam Atheniensem facit. Athenienses, cum id in-
dignari vident Pharnabazum, domum redire iubent Chabriam,
Persis Iphicratem mittunt. facto tum a Lacedaemoniis in ipsum
Piraeeum impetu, ob ruptum foedus bellum publice est de-
cretum. belli duces, copiarum numerus. Thebanos in senatum
cooptant. ut socios concilient, agros bello occupatos reddunt
[29.]. Hestiaea sola Euboeae civitas in Lacedaemoniorum ami-
citia perseverat; aliae civitates 70 Atheniensium partibus et
foederi communi adiunguntur. Chabriae expeditio in Hestiaeos
et Cyclades insulas, Lacedaemoniis addictas [30.]. Lacedaemo-
niorum socii recensentur: summus copiarum dux Agesilaus,
eorum rex [31.]. in Boeotiam movet Agesilaus: obviam facti
Thebani et Atheniensium auxilia duce Chabria, qui novo pu-
gnae genere hostem excepit. vastat Agesilaus agros, sed proe-
lium aversatur [32.]. utriusque ducis singularem prudentiam
historicus explicat, declaratis rei gestae causis. post reditum
Agesilai Thebani Thespias adoriuntur. Phoebidas Lacedaemo-
niorum dux cadit [33.]. facta nova in Boeotiam expeditione
proelium committitur. Agesilaus primo victor mox cedere co-
gitur. inter Naxum et Parum pugna navali decertatur [34.].
reportata victoria Chabrias cum classe redit in Piraeeum. Eo
tempore Romae M. Manlius capitis damnatur [35.]. Accidit 101.
tunc ut Triballi in Abderitarum regionem incursarent et prae- 1.
dam agerent. Abderitis paene oppressis forte auxilio venit
Chabrias Atheniensis, mox tamen dolo peremtus. successit Ti-
motheus, qui novos conciliat socios, et hostes ad Leucadem
proelio fundit [36.]. Thebani Orchomenum a Lacedaemoniis
occupatam oppugnant, ipsosque numero superiores vincunt.
Cum hoc anno Hermeas historiam suam Siciliae finiit [37.]. 101.
Artaxerxes pacem inter Graecos componere studet, ut belli 2.
Aegyptiis inferendi fiant socii. soli Thebani recusant; reliqui

ineunt pacem, qua singulis civitatibus suo iure uti conces-
sum [38.]. tum victoria, aliquot proeliis reportata, tum sin-
gularis imperatorum suorum virtus, Thebanos feroces fecerat
[39.]. pleraeque civitates libertate insolentius abutuntur; unde
novae turbae et seditiones exsistunt, praesertim inter Phialen-
101. ses, Corinthios, Megarenses, Phliasios [40.]. iam itaque bello
3. Persae Aegyptum adoriuntur, Pharnabazo et Iphicrate ducibus.
copiarum naviumque numerus. adiungitur causa cur ducibus
Persarum proprium sit tarde agere [41.]. Nili ostia descri-
buntur, quae ipsa hostium aditum difficilem reddunt. Persae
consulto praetervecti ostium Pelusium ad Mendesium appellunt,
ubi expositis copiis Aegyptios in fugam agunt et castellum oc-
cupant [42.]. ulterius tetendit Iphicrates, praesertim in Mem-
phin; sed impetum cohibuit Pharnabazi ingenium tardum. in-
terea amissa opportunitate Persae infecta re domum redire
coguntur. Iphicrates ob dissidium Pharnabazi iram metuens
clam Athenas aufugit [43.]. Iphicratis ingenium et de re mi-
litari merita describuntur [44.]. In Graecis civitatibus ob mu-
tatam earum formam multae turbae et seditiones oriuntur;
quo ipso bellum renovatur. Zacynthii in partes duas divulsi
[45.]. similiter Corcyraei. Plataea Atheniensibus dum se tutan-
dam tradit, a Thebanis diruitur. Thespiae ab iisdem devastan-
tur [46.]. classes Lacedaemoniorum et Atheniensium de occu-
101. panda Corcyra concertant. In Cypro Euagora rege obtruncato
4. Nicocles regno potitus est [47.]. Ingentes terrae motus et in-
undationes Peloponnesum vastant; praesertim duas urbes, He-
licen et Buram. disputat historicus utrum ad solius naturae
vim an ad numinis iram referri debeant huiusmodi eventus
[48.]. simul historicas rationes affert, unde istae calamitates
explicari possint. primo urbes Helice et Bura in aram Neptuni
102. et legatos sacros ad eam missos impie egerant. deinde Pelo-
1. ponnesus ingentes habet cavernas et subterranea flumina [49.].
fax ingens in coelo visa prodigii instar ad futuras Lacedae-
moniorum clades refertur. sed Chaldaei rationes astronomicas
afferunt. Interea Artaxerxes nova legatione pacem inter Grae-
102. cos firmat. foedere communi Thebani soli excluduntur, quos
2. Lacedaemonii bello persequendos censent [50.]. Thebani a so-
ciis deserti Boeotiae civitates immunes facere, Plataeas autem
et Thespias instaurare iubentur. recusantibus Lacedaemonii bel-
lum inferunt duce Cleombroto [51.]. castra ad Coroneam mo-
vet Cleombrotus. Thebani belli summam Epaminondae per-
mittunt. prodigia Epaminondae, cum iter ingrederetur, obie-
cta. his non deterritus fauces ad Coroneam occupat [52.]. id
animadvertens Cleombrotus exercitum per Phocidem ad Leu-
ctra ducit. sequuntur Boeoti. habita deliberatione an pugna



ineunda sit cum hoste numerosiore Boeotarchae pugnam decer-
nunt. militum animos, auguriorum superstitione impletos, Epa-
minondas fictis rumoribus prudenter regit [53.]. Leandrias
exsul Spartanus antiquum oraculum de Spartanis ad Leuctri
tumulum subigendis proferre iubetur. alia afferunt oraculorum
interpretes. ita milites ad pugnandum inflammantur. Iason
Thessalus per inducias rem dirimere suadet. sed Lacedae-
monii novis copiis aucti, aciem ad proelium instruunt [54.].
pugnae ratio ab utraque parte describitur. inclinatur acies La-
cedaemoniorum, horumque rex Cleombrotus occiditur [55.].
pugnae ad Leuctra exitus Lacedaemoniis exitiosus. Epaminon- 102.
dae et Thebanorum eximia victoria [56.]. post pugnam ad Leu- 3.
ctra Thebani Orchomeniorum urbem oppugnant; ipsos, mox
Phocenses Aetolosque socios accipiunt. Iason Pheraeorum tyran-
nus Locridem petit, Heracleam vastat, Perrhaebiam ingreditur.
Argis seditio et caedes immensa scytalismo facta [57.]. plura
de caede Argivorum ob plebem exacerbatam in optimates [58.].
turbae et caedes inter Arcades excitatae a Lycomede Tegeata
[59.]. Thessali auctore Iasone Pheraeo principatum Graeciae
appetunt. Hic annus fatalis erat tribus regibus, Amyntae regi
Macedoniae, Agesipolidi regi Lacedaemoniorum, Iasoni Pheraeo. 102.
Duris Samius historiae Graecae ab h. an. initium fecit [60.]. 4.
Iasoni succedit Polydorus; huic brevi interemto, Alexander:
quem Aleuadae advocato rege Macedoniae ob crudelitatem Thes-
salorum terra expellunt [61.]. Lacedaemonios apud Orchome-
non Arcades proelio fundunt. Arcades Thebanis iuncti Spar-
tam invadere constituunt [62.]. iam itaque Lacedaemonii attri-
tis opibus et abalienatis sociis Atheniensium auxilium implo-
rant: hi vero pristinarum iniuriarum obliti libenter subveniunt.
Epaminondas in Laconicam impetum facit quadripartito agmine
[63.]. quattuor Thebanorum agmina quibus locis in Laconicam
irruperint describitur. Ischolas tertio agmini oppositus ut alter
Leonidas celebratur [64.]. quamvis fortiter resistentibus Lace-
daemoniis Epaminondas totum exercitum ad oppugnandam
Spartam convertit. nihil proficiens, omissa urbe terram depo-
pulatus cum magna praeda in Arcadiam se recipit. interea
Lacedaemonii contractis novis copiis ad futurum certamen in-
structiores sunt [65.]. Epaminondas vero Messenen diu deso-
latam, nunc expeditioni suae opportunam, summo studio instau-
rat. Digreditur historicus in urbis Messenae vicissitudines, quas
per modum episodii singulatim commemorat [66.]. post Theba-
norum discessum Lacedaemonii et Athenienses de communi
terrae marisque imperio paciscuntur. Arcades duce Lycomede
Pallenen Laconicae expugnant et inde praedam agunt. Boeoti
a Thessalis advocati in Alexandrum Pheraeum duce Pelopida

exercitum mittunt, qui Larissam occupat. idem regem Macedoniae foedere sibi conciliat [67.]. Arcades, Argivi, Elei Boeotos sollicitant, ut novo impetu Peloponnesum occupent. Athenienses re cognita Chabriam contra mittunt, factoque vallo eos arcent. nihilominus Epaminondas et vallum et oppositum Lacedaemoniorum agmen perrumpit [68.]. Troezene et Epidauro relictis Epaminondas Sicyonem et Phliuntem capit, ipsamque Corinthum petit. sed urbem felicissime defendit Chabrias, et hostem repellit [69.]. succurrunt Lacedaemoniis milites Galli et Hispani, a Dionysio missi, Corinthi expositi. nova legatione Artaxerxes Graecos ad pacem adhortatur. ei cuncti obsequuntur, exceptis Thebanis. Hoc tempore Euphron Sicyonios tyran-
103. nide oppressit [70.]. In Macedonia in locum Alexandri Ptole-
1. maeus Alorites rex succedit. In Boeotia post Epaminondam
res gerit Pelopidas, assumto socio Ismenia. uterque Alexandrum Pheraeum conveniens, cum inopinato caperentur, Thebani autem auxilio missi includerentur, Epaminondas, tunc privatus militans, ad imperium revocatus exercitum servavit. Boeotarchis multa irrogata [71.]. causam affert historicus cur Epaminondae imperium abrogatum fuerit. Arcades proelio vincunt Lacedaemonii. tum novos impetus veriti, Megalopolin condiderunt Arcades [72.]. In Sicilia Dionysius bellum in Carthaginienses redintegrat, eorumque agros invadit. sed hi celeriter missa classe eius conatus reprimunt. mox Dionysius moritur: sequitur Dionysius filius [73.]. adiicitur mortis causa. Athenis carmine victor proclamatus, prae gaudio vino nimis
103. indulgens occubuit. oraculo ipsi praedictum erat tum moritu-
2. rum cum se meliores vicisset [74.]. Alexandri Pheraei in Sco-
tussaeos facinus immane. Epaminondae in Peloponneso progressus. Pelopidas liberatur. Chares dux Atheniensium Phlia-
103. sios contra Argivos defendit, duobus proeliis victor [75.]. Oro-
3. pum Themison Eretriae tyrannus capit. Athenienses vindicatam
urbem Thebanis ut depositum tradunt. urbs Cos in singularem tum splendorem evecta. belli inter Lacedaemonios et Boeotos
103. finis. Adiicitur recensus virorum doctrina excellentium [76.].
4. Vix pacata Graecia disceptatio inter Arcades et Eleos de Tri-
phylia diu agitata novum bellum parit. Arcadum socii Athenienses. In Macedonia Perdiccas rex succedit Ptolemaeo Alo-
104. ritae [77.]. De ludis Olympicis Pisatae cum Eleis disceptaverunt.
1. inita pugna Pisatae victores abierunt, a quibus ludi admini-
strati sunt. Epaminondae exhortatio ad Thebanos ut maris imperium capesserent [78.]. Thebani itaque naves exstruunt, socios invitant. Orchomenios, qui cum exsulibus nonnullis seditionem moverant, Thebani gravissimis suppliciis afficiunt, urbemque in ditionem redigunt [79.]. Thessali, bello ab Alexan-



dro Pheraeo pressi, a Thebanis opem et Pelopidam ducem impetrant. defectus solaris prodigii instar erat. Pelopidas, quamvis victoriam consecutus, morte occubuit; Alexander vero, duobus proeliis pulsus, omnia reddere cogitur [80.]. Pelopidae singulares virtutes resque gestae brevi descriptione propositae.
Tunc Clearchus tyrannidem Heracleae occupavit; Timotheus 104.
vero Atheniensium imperator Toronem et Potidaeam cepit [81.]. 2.
Dissidium proximo anno inter Pisaeos et Eleos ortum in bellum Graeciae commune erumpit. principes belli partes habent *Tegeatae*, pro quibus pugnant Boeoti duce Epaminonda; et *Mantinenses*, quorum socii sunt Athenienses et Lacedaemonii. in Arcadiam Lacedaemonii, in urbem Spartam Epaminondas incursionem facit [82.]. Sparta fortiter defensa contra Epaminondae acerrimos impetus [83.]. inde Epaminondas subito impetu Mantineam opprimere parat, sed ecce totam hostium vim obviam habet. recensus copiarum ab utraque parte [84.]. de summa re certamen initur atrocissimum apud Mantineam. instructae acies describuntur. proelium equestre initium facit. Boeoti ac Thessali victores [85.]. sequitur proelium pedestre. victoria dubia. tandem ad dirimendam pugnam Epaminondas ipse invehitur. quo facto Lacedaemoniorum acies inclinatur [86.]. Epaminondae mors nobilissima, morientis verba gravissima [87.]. encomium Epaminondae [88.]. pax convenit inter Graecos, adiuncto societatis foedere, quo soli abstinuerunt Lacedaemonii. Adiecta notitia historicorum, quorum opera hoc anno desinunt [89.]. Bellum post haec gravissimum in Artaxerxem regem oritur, quod movent plures simul, Graeci in Asia, satrapae rebelles, Tachos rex Aegyptiorum, etc. [90.]. qui a rege defecerant, belli summam Orontae committunt. hic acceptis pecuniis eosdem regi prodit. aliud proditionis exemplum Mithrobarzanis in Datamem, qui a rege defecerat, et quomodo eadem a Datame elusa fuerit [91.]. alius proditor Rheomithres nova proditorum proditione cum rege in gratiam redit. interea Tachos rex Aegypti cum ad bellum contra Persas gerendum profectus esset, proditione eius cui regnum administrandum mandaverat regno exuitur. ita deceptus ad Artaxerxem hostem confugit, a quo belli contra Aegyptios gerendi dux constituitur [92.]. sed brevi Artaxerxes moritur, cui Ochus succedit. quo facto Tachos ad Agesilaum rediisse, huiusque virtute et prudentia regnum recuperasse dicitur. Agesilaus acceptis magnis muneribus in reditu in patriam vita defungitur [93.]. inter Arcades ob cives e Megalopoli in antiqua oppida migrantes novi tumultus orti. hos Athenienses misso Pammene cum exercitu composuerunt. Adiicitur notitia Atha-
nae historici Syracusii [94.]. Alexander Pheraeus incursiones 104.
4.

facit in Cyclades insulas, ipsosque Athenienses duce Leosthene in Peparetho insula relictos infestat et damnis afficit. Leosthenes ob rem male gestam capitis damnatur: mittitur pro eo Chares, priore peior. Dionysodorus et Anaxis historici. iam Diodorus transitum parat ad proximum librum [95.].

## LIB. XVI.

In prooemio Diodorus ea laudat opera historica quae res
gestas ab initio usque ad finem plena et continua narratione
proponant. proinde annuntiat se in enarranda Philippi historia
eandem methodum secuturum. vitae huius regis praecipua ca-
105. pita, deinceps uberius explicanda, parva velut tabula indican-
1. tur [1.]. Philippi pueritia Thebis culta, ubi obses tenebatur.
post patris Amyntae fratrumque natu maiorum obitum Philip-
pus custodia elapsus regnum hostibus pressum multisque ae-
mulis appetitum suscipere conatur [2.]. animos Macedonum
trepidos resque afflictas Philippus erigit et firmat cum oratione
tum disciplinae militaris emendatione. ut Atheniensium studia
eluderet, Amphipolin imperio exemit. Paeonum legatos mu-
neribus conciliavit; Pausaniam regni aemulum a proposito de-
105. pulit; Mantiam et Argaeum proelio vicit. tum Crenides per
2. Thasios coloniis auctae. notitia Theopompi Chii [3.]. pace cum
Atheniensibus facta Philippus Paeones bello subegit. iam Illy-
rios etiam adortus recuperatis cunctis Macedoniae urbibus cum
105. rege Bardyli pacem fecit [4.]. In Sicilia Dionysius iunior re-
3. gnum a patre acceptum desidia et inertia disperdit [5.]. Dion
Hipparini filius, Dionysii superioris secundae uxoris frater, ob
multiplices virtutes tyranno invisus et neci destinatus, in Pelo-
ponnesum aufugit, et Corinthi naves militesque comparat, ad
liberandam patriam in Siciliam transmissos [6.]. Res coaevae
commemorantur: Tauromenium in Naxo insula condita; in
Euboea seditio orta, et a duabus factionibus Thebani et Athe-
nienses advocati; Bellum sociale ab Atheniensibus in socios re-
belles gestum [7.]. Philippus devictis Illyriis Amphipolitanos
subegit; mox Pydnam etiam et Potidaeam. Crenidas e nomi-
105. ne suo Philippos appellat, ibique aurifodinas excolit, unde in-
4. gentes opes ad ipsum redeunt [8.]. Bellum Dionis in Diony-
sium Siciliae tyrannum. e Zacyntho ad Minoam urbem adve-
ctum Dionem recipit Paralus, Carthaginiensium praefectus, eius
amicus. ultro ad eum deficiunt Siciliae populi; his se iungunt
Graeci ex Italia [9.]. Dionysius quamvis aciem contra instru-
xisset, tamen Dion, cui populus favebat, urbem Syracusas oc-
cupat [10.]. Syracusani omnes Dionem cum summa congratu-
latione recipiunt. his auditis Dionysius, tum circa Cauloniam



Italiae commoratus, Syracusas redit, legatosque de componen-
dis rebus mittit accipitque [11.]. intra tempus induciarum con-
tra fidem cum Dionysius Syracusanos adortus esset, ventum
est ad proelium atrocissimum, in quo Dionis virtus eminuit,
qua hostem cum magna clade in fugam egit [12.]. Dionysius
honore caesis habito et distributis inter milites praemiis stu-
dium pro se accendit: tunc misit qui de pace agerent. Dion
autem hanc unam proponit, ut principatu abiret. interea res
in mutuis praedationibus substitit [13.] In Graecia Alexander
Pheraeus ab uxore et fratribus occisus, qui ipsi tyrannidem
affectant. Aleuadae auxiliante Philippo libertatem Thessalis vin-
dicant; quo ipso Philippus Thessalorum amicitiam sibi conci-
liavit. adiecta notitia trium historicorum: Demophili, Calli- 106.
sthenis et Diylli [14.]. In Italia novus populus coalescit, Brut- 1.
tii, e colluvie fugitivorum in Lucania collecti [15.]. In Sicilia
Philistus Dionysii imperator Leontinorum urbe expulsus, mox
summus classis praetor creatus cum Heraclide Syracusanorum
navarcho mari conflictatur. proelio victus Philistus morte vo-
luntaria periit. hac re perterritus Dionysius Dioni regnum of-
fert [16.]: mox relictis in arce mercenariis cum thesauris clam
in Italiam aufugit. inde dissidia inter Dionem et Syracusanos,
tumultus simul mercenariorum oriuntur, qui duce Dione Sy-
racusanos proelio fundunt. itaque Syracusani Dionis veniam
implorare coguntur [17.]. postea Dionysius misso Nypsio cum
navibus et commeatu Syracusis relictum praesidium novis au-
xiliis auget. Syracusani proelio navali victoriam consecuti in-
dulgent conviviis et languescunt [18.]. hac usus opportunitate
Nypsius hostem opprimit, urbem capit, et largam praedam
aufert [19.]. consternati Syracusani Dionem advocant, qui sin-
gulari virtute et sollertia hostes ultus rem restituit et apud omnes
praecipuam gratiam meruit [20.]. In Graecia bellum sociale
continuatur. Chareti additi Iphicrates et Timotheus cum nova
classe et aequato imperio. Imbrum et Lemnum aliasque in-
sulas populantur socii rebelles. Atheniensium duces dum ad
Byzantium obviam fiunt hosti, de committendo proelio dissen-
tiunt. quo facto Iphicrates et Timotheus proditionis accusati
imperio privantur [21.] iam Chares Artabazo, qui tum a rege
Persarum defecerat, inconsulte auxilio venit. quamobrem regis
iram veriti Athenienses, extemplo bello sociali abstinent et cum
sociis pacem componunt. In Philippum Macedonem tres reges
simul conspirant: Thracum, Paeonum, Illyriorum. hos subito
nec dum paratos opprimit Philippus [22.]. In Graecia *bellum* 106.
*sacrum* oritur. cum Lacedaemonii Leuctrico bello Cadmeam 2.
occupassent, et Phocenses agrum Cirrhaeum operi rustico
destinassent, utrisque Amphictyones multam grandem imposue-

runt. sed Philomelus Phocensis populares suos oratione permo-
vit ut huic sententiae parere recusarent [23.]. Philomelus a
Phocensibus imperator creatus, Archidamo rege Lacedaemonio-
rum in partes suas tracto, acceptaque ab eo pecunia, bellum
movet, Delphos vi occupat, Locros finitimos proelio fundit,
Amphictyonum decreta delet et abrogat [24.]. Boeoti dum in-
festo exercitu templum recuperare decernunt, Philomelus ter-
ras occupatas munit, copias auget, Locros iterum pugna vin-
cit, eorumque terras vastat. tum Pythiam de exitu belli re-
sponsa dare cogit [25.]. Digressio de oraculi Delphici primis
originibus et institutis [26.]. Pythia contra morem coacta re-
spondet licere quaecunque velit. alio insuper prodigio laetus
legationes ad Athenienses, Lacedaemonios, Thebanos mittit,
nuntiantes templi patrocinium non opes quaeri. hi itaque foe-
106. dere iunguntur; at Boeoti et Locrenses contra pugnant [27.].
3. ut par esset hostibus Philomelus, exactis multis pecuniis cum
militum copiam conduxisset idoneam, Locros ad petras Phae-
driadas novo proelio vicit. tum vero Boeoti omnes concilii
Amphictyonici socios ad bellum commune contra sacrilegos
evocarunt [28.]. utriusque partis socii recensentur. adiiciuntur
causae, quae Lacedaemonios moverunt ut Phocensibus se ad-
iungerent [29.]. hostium multitudo aucta Phocenses adegit ut
sacro thesauro adhibito ampliore stipendio milites ad se alli-
cerent. proelio equestri Phocenses superiores. iidem Thessalos
fundunt [30.] captos Boeoti ut sacrilegos capite plectunt; sed
Philomelus aequa rependens hostium immanitatem coercet. tan-
dem Philomelus ex improviso oppressus et pulsus in locum
praeruptum agitur, unde re desperata se praecipitem dedit.
eius locum Onomarchus occupat. Philippus Methonem et Pa-
gasas expugnat. Leucon rex moritur; succedit Spartacus. Ro-
106. mani in Faliscos bellum gerunt. In Sicilia Dione occiso Cal-
4. lippus imperium suscipit. [31.]. Boeoti victores copias domum
reduxerant. sed Onomarchus Phocenses de novo ad bellum ex-
hortatur, et Philomeli coepta persequitur. [32.]. e somnio laeta
praesagia sumit, quod contraria potius portendebat. ferocior
itaque factus sacra templi dona in arma et pecuniam conver-
tit: donis poenisque socios cogit: Thronium, Amphissas, Or-
chomenum capit. Chaeroneam obsidens a Thebanis domum re-
pellitur [33.]. In Asia Artabazi bellum in regem Persarum
continuatur. Thebani Pammenem cum auxiliis mittunt, feli-
citer pugnantem. Bellum Argivorum cum Lacedaemoniis. Athe-
nienses Sestum expugnant. Cersobleptes a Philippo deficit ad
Athenienses. Philippus Methonem vi capit, teli autem iactu
alterum oculum amittit [34.]. post haec Philippus Thessalis
contra Lycophronem et Onomarchum auxilio venit. Onomar-



chus aliquot proeliis victor ultimo proelio fusus capitur et
cruci affigitur [35.]. Phayllus Onomarchi successor omni vi bel-
lum instaurat. Moritur tum Mausolus rex Cariae, cui Arte-
misia succedit: item Clearchus Heracleae tyrannus. Tusci agrum
Romanum populantur. In Sicilia Hipparinus pulso Callippo 107.
regnum Syracusarum occupat [36.]. Phayllus auctus copiis et 1.
sociorum auxiliis Boeotiam invadit, sed tribus proeliis funditur.
[37.]. Philippus impeditus ab Atheniensibus cum in Phocenses
tenderet, in patrium regnum rediit. Phayllus Locros Epicnemi-
dios invadit: Boeoti Phocensium terras populantur. morbo tan-
dem correptus Phayllus moritur. ei succedit Phalaecus, adiuncto
curatore Mnasea. Mnaseas proelio occisus; Phalaecus ad Chae-
roneam victus [38.]. discordiae et bella in Peloponneso inter
Lacedaemonios et Megalopolitas. Phalaecus Boeotiam, Boeoti 107.
Phocidem vastant [39.]. Thebani ad bellum gerendum pecunias 2.
ab Artaxerxe accipiunt inter Boeotos et Phocenses leves pu-
gnae. renovatur bellum *Persarum in Aegyptios* ob Phoeniciae
defectionem. apparatus belli [40.]. defectionis Phoenicum cau-
sae et prima initia. multum vexati a satrapis regiis societatem
ineunt cum rege Aegyptiorum, bellicos apparatus faciunt, Per-
sas eorumque res infestant [41.]. Belesys Syriae satrapa et Ma-
zaeus primi bellum in Phoenices movent. hos Tennes Sidoniae
rex vicit et terra expulit. interea Cypri reges, Persarum im-
perio subiecti, simul defecerant et bellum paraverant. in hos
Idrieus Cariae dynasta classem mittit ducibus Phocione Athe-
niensi et Euagora. [42.]. Artaxerxes Babylone profectus in
Phoenicen tendit. quo perterritus Tennes per Thessalionem
prodendae Sidonis et Aegypti consilia offert et approbat [43.].
Graecorum civitates copiis Artaxerxem adiuvant, praesertim
Thebani, Argivi etc. interea rex Sidoni castra admovit. appa-
ratus Sidoniorum ad defendendam urbem describitur [44.]. Si-
don Tennae proditione expugnata. in victos immanis regis cru-
delitas. omnes una cum urbe incendio consumti. Artemisia
Cariae regina moritur: succedit Idrieus. Romani cum Praene-
stinis et Samnitibus inducias et foedus fecere. In Sicilia Le-
ptines et Callippus Rhegium in libertatem vindicarunt [45.]. 107.
Cyprus a Phocione et Euagora domita. Euagorae fortuna va- 3.
ria. Artaxerxes recuperata Phoenice pergit in Aegyptum. cum
ingenti clade superat Barathra. pugna atrocissima apud Pelu-
sium [46.]. instructae acies Persarum: item Aegyptiorum cum
reliquo apparatu [47.]. Nectanebus Aegyptiorum rex belli im-
peritus spretis melioribus ducibus imperio fungitur. Nicostra-
tum Persae insciis Aegyptiis, ducibus tamen Aegyptiis, per fos-
sam transmittunt. pugna superantur Aegyptii: quo facto Ne-
ctanebus Memphim se recipit [48.]. Pelusii oppugnatio de-

scribitur. obsessi audita regis fuga Pelusium Persis dedunt.
Mentor Bubastum aliasque urbes capit divulgata fama eos sal-
vos futuros qui ultro se dedant [49.]. iam certant proditione
tradere urbes. inter Bagoam et Mentorem aemulatio ac dein-
ceps summa concordia [50.]. Nectanebus de hostium successibus
certior factus spe regni abiecta in Aethiopiam aufugit. ita
107. Artaxerxes tota Aegypto potitus, relicto Pherendate eius pro-
4. vinciae praeside Babylonem redit [51.]. Mentorem ob merita
in bello Aegyptiaco rex maximis beneficiis ornat. is reliquos
etiam qui a rege defecerant vel reconciliat vel vi et arte
108. subigit. Philippi res in Thracia et Thessalia gestae. Moritur
1. Spartacus rex Ponti: regnum suscipit Parysades [52.]. Philip-
pus pergit urbes ad Hellespontum in ditionem redigere.
Olynthum aliquoties oppugnatam per proditionem capit. in-
de opibus auctus plura loca auro quam armis occupat
[53.]. Athenienses iniquo animo Philippi res gestas intuentes
eius coeptis omni modo adversantur, ad hoc instigati a De-
mosthene [54.]. sed Philippus sollemnibus ludis, festis, convi-
108. viis, munificentia, omnium animos sibi conciliat. humanitatis
2. exemplum erga Satyrum [55.]. Boeotorum et Phocensium mu-
tua certamina. interea Phalaecus sacrilegii reus imperium amit-
tit. succedunt Dinocrates, Callias, Sophanes. ulterior quaestio
de sacrilegis. vasorum et signorum sacrilegio ablatorum cata-
logus [56.]. sacrilegii participes Athenienses, ob id iam olim
a Dionysio literis incusati, nec minus Lacedaemonii [57.]. Boe-
oti a Phocensibus admodum pressi Philippum in auxilium ad-
108. vocant. Phocenses apud Abas pulsi: dum ad templum fugiunt,
3. una cum templo incendio absumuntur [58.]. Phocenses nova
auxilia a Lacedaemoniis accipiunt; Boeoti a Philippo, qui in
Locridem movet. Phalaecus denuo imperator factus diffidens
viribus Philippo sponte se dedit, et impetrata venia in Pelo-
ponnesum discedit. de pace consilia [59.]. pacis conditiones.
ita *bellum sacrum* finitum [60.]. Phocensium duces sacrilegi
singuli ut supplicio divino vindicati: Philomelus. Onomarchus.
Phayllus. Phalaecus, diuturno errore deinde iactatus, in Ita-
liam navigat [61.]. Phalaeci eiusque sociorum in Peloponnesum
reditus. inde stipendio conducti in Cretam transvehuntur et
urbem Lyctum occupant. Lyctiis auxilio veniunt Lacedaemonii
duce Archidamo [62.]. Archidamus in Italiam vectus Tarentinis
opem laturus proelio perit. Phalaecus Lycto eiectus dum Cy-
doniam obsidet, fulminis ictu exstinguitur. militum eius haud
dissimilis sors [63.]. civitates, feminae etiam, impietatis parti-
cipes, poenas luerunt; Philippus contra sacrorum defensor
Graeciae universae imperator evasit [64.]. In Sicilia Syracu-
sani ad compescendos tumultus a Corinthiis Timoleontem im-



peratorem impetrant. virtutis et aequitatis studiosus Timoleon
fratrem tyrannidis appetentem obtruncaverat. res Siciliae Ti- 108.
moleon egregie defendit et restituit [65.]. Timoleontis navium 4.
apparatus, iter in Siciliam faustis ominibus laetum, igne coe-
lesti collustratum. Poenis obviis Timoleon feliciter elapsus
[66.]. Poenorum machinationes, socii tum alii tum Hicetas
Syracusanorum princeps, copiae et in Siciliae urbes expeditio-
nes [67.]. de Syracusis concertant Dionysius et Hicetas. Timo-
leon iterum Poenis elapsus Tauromenium fugit, unde in Hice- 109.
tam et Syracusas ex improviso impetum facit [68.]. Primum 1.
foedus inter Romanos et Carthaginienses ictum. In Caria
Idrieo successit Ada. In Sicilia Syracusae divisae inter Diony-
sium, Hicetam, Timoleontem et Poenos. sed Timoleon, novis so-
ciis et copiis auctus, Syracusis aliisque urbibus potitur. in Mace- 109.
donia Philippus Illyrios domat et Thessalos sibi conciliat [69.]. Dio- 2.
nysius abdicato imperio privatus Corinthum migrat. quo facto
Timoleon Syracusanis statum democraticum reddit, novasque
leges scribit. annui magistratus sunt Iovis Olympii amphipoli,
a quibus anni numerantur [70.]. Philippus Cersoblepte devicto
Thraciam regno Macedonum facit tributariam. Adiecta notitia 109.
Theopompi Chii rerum Sicularum historici [71.]. Mortuo Arym- 3.
ba rege Molossorum in regno succedit Alexander. In Sicilia
Timoleon Leontinos et Hicetam obsidione premit; Leptinem
devictum in Peloponnesum in exsilium mittit [72.]. ad susti-
nendos belli sumtus Timoleon Carthaginiensium agros deprae-
datur, multasque eorum urbes in societatem recipit. exinde 109.
Carthaginienses novas copias in Siciliam mittunt [73.]. Phocion 4.
Clitarchum bello vincit. In Caria Ada regno expellitur a Pi-
xodaro. Philippus Perinthum obsidione et oppugnatione gravis-
sima premit. obsessis Byzantini auxilia mittunt [74.]. iisdem
Persarum rex opem ferri iubet. nihilominus Philippus oppu-
gnandae urbi continuo instat. natura loci et Byzantinorum au-
xilia urbem maxime tutantur. itaque Philippus copiarum par-
tem ad Byzantium simul oppugnandum ablegat. Adiecta noti- 110.
tia historicorum Ephori et Diylli [76.]. Athenienses Graecorum- 1.
que alii ob Byzantium obsessam Philippo bellum inferre de-
cernunt: quod ut declinet, obsidione abstinet. In Siciliam
maxima vis copiarum Carthagine venit. ob eam causam Ti-
moleon cum Hiceta pacem facit [77.]. Timoleon exhortatus suos
bellum in hostico gerere parat. in ipso itinere seditionem ex-
citat Thrasius, Phocensium olim miles [78.]. sedata seditione
et exclusis improbis in hostem movet Timoleon et forte oblato
bono omine recreatus proelium committit hostibus funestum
[79.]. iterato proelio horrida tempestas Poenis maxime infesta
fuit: quo factum ut foedam cladem paterentur et effuse fu-

gerent relicta ingenti praeda [80.]. praeda militibus in prae-
mium permissa. Poeni Lilybaeum se recipiunt. Carthaginien-
ses impetum in ipsam Libyam metuentes legatos de impe-
110. tranda pace mittunt [81.]. Timoleon Syracusas repetens
2. Thrasium et seditiosos socios urbe expellit: Postumium pi-
ratam exstinguit. novi coloni a Corinthiis missi. pax cum
Poenis pacisque conditiones. Hicetam captum Timoleon morte
afficit. ubique residuos tyrannos exstirpat, novos colonos
e Graecia advocat, novasque leges scribit, adhibito Ce-
110. phalo Corinthio [82.]. Sicilia exinde florentissima artis-
3. que operibus ornatissima describitur [83.] Conciliata reli-
quorum Graecorum amicitia Philippus, ut Graeciae impe-
rium consequeretur, Atheniensibus inopinato bellum infert.
Athenienses consternati hortante Demosthene Thebas mittunt
qui Boeotorum auxilium implorent [84.]. Boeoti pro Athenien-
sibus pugnant, quamvis Python eos in Philippi partes trahere
conaretur. acies ab utraque parte in Boeotia instruuntur [85.].
pugna ad Chaeroneam committitur. victores Macedones [86.].
Philippum victoria elatum et insolentem Demades oratione ca-
stigat [87.]. Lysicles Atheniensium imperator ob cladem acce-
ptam capitis damnatus. Lycurgi in eum oratio. pugna eodem
die inter Tarentinos et Lucanos commissa, qua Archidamus
rex occubuit. Timotheus Heracleae Ponticae tyrannus moritur
101. [88.] Philippus, ipsa victoria auctoritate gravior factus, facile
4. persuadet Graecis ut bellum in Persas ob violata olim templa
decernerent, ipsumque summum Graeciae imperatorem crea-
rent [89.]. In Sicilia moritur Timoleon, cuius memoriam Sy-
racusani honoribus singularibus colunt. Ariobarzani succedit
Mithridates. Romae Manlius de Latinis et Campanis triumphat
111. [90.]. Philippus Graecorum imperator factus praemisso in Asiam
1. Attalo et Parmenione ipse Pythiam de bello consulit. oraculo
quamvis ambiguo laetus inter festa Cleopatrae et Alexandri
regis Epirotarum nuptias celebrat. Graeci hospites [91.]. certa-
mina Aegis habita: aureae coronae regi dono oblatae. Neo-
ptolemi tragoedi carmina. pompa deorum, quibus Philippus
decimus tertius accensetur [92.]. rex Graecorum studiis cum
sibi tutissimus videtur, in insidias familiarium incidit. Pausa-
niae duo aemuli. unus contra Pleuriam regem Illyriorum pro
Philippo pugnans perit. alter ab Attalo contumeliis affectus,
cum ius contra illatam iniuriam non obtineret, in ipsum re-
gem ira est incensus [93.]. ab Hermocrate sophista insuper
vana ambitione inflatus Pausanias Philippum regem, cum thea-
trum intraret, obtruncavit [94.]. Philippi regnum et ingenium
brevi descriptione propositum [95.].



## LIB. XVII.

Prooemio annuntiat historicus hinc historiam Alexandri M.
operis fundamentum et novae periodi normam esse futuram,
ita ut rebus gestis Alexandri aliorum populorum res memora-
biles sit annexurus. ipsa periodus 12 annos complectitur [1.]. 111.
Alexander ultus caedem patris et procurato eius funere regni 2.
negotia suscipit. humanus in obvium quemque, civium et ex-
ternorum, praesertim Graecorum, amorem consequitur. unum
Attalum regno insidiantem Hecataei opera usus comprehendere
et tollere iubet [2.]. Athenienses tamen cum Attalo consilia
conferunt de vindicanda libertate: caeteri etiam Graeci aliae-
que gentes defectionem moliuntur. sed Alexandri prudentia in
rebus difficillimis eminet [3.]. Thessalos et Amphictyonum se-
natum comitate, Athenienses vi et terrore, quamvis adversante
Demosthene, Persarum pecuniis conducto, permovit ut ipsum
Graeciae imperatorem crearent et bellum contra Persas decer-
nerent [4.]. Attalo in Asia interemto exercitus in fidem rediit.
Belli Persici historia incipit. regum Persiae historia ab Ocho
repetita. exstincta regia stirpe Darius rex creatus [5.]. cla-
rus erat Darius virtutis specimine in bello contra Cadusios
edito. Hic iam olim a Philippo ad bellum provocatus,
expedit copias in Alexandrum, quem primo contemse-
rat. ante omnia Memnonem mittit cum agmine ad occupan-
dam Cyzicum [6.]. iter supra montem Idam, cuius natura et
memorabilia obiter describuntur. urbs servata, sed ager vasta-
tus. Parmenio Grynium vi capit, Callas in Troade contra
Persas pugnat [7.]. interea Alexander in Thracia, Paeonia, Il-
lyride, gentes quae defecerant domat: tum Thebas obsidet
imperio eius adversantes [8.]. Thebani obstinati oblatas a rege
pacis conditiones respuunt et ultima experiuntur [9.], quamvis
externo auxilio destituti prodigiisque multis territi [10.]. urbs
oppugnata et defensa acerrime [11.]. advocatis denique iis quos
in subsidiis collocaverat Alexander Thebas vi capit [12.]. vi-
ctorum animus invictus pulcherrime depingitur. caedes atro-
cissima [13.]. caesorum captorumque numerus. e communi
Graecorum consilio urbs funditus excisa, captivi autem in
servitutem venditi sunt [14.]. his peractis Alexander ab Athe-
niensibus postulavit ut 10 oratores qui civitatem ab ipso aba-
lienassent dederent. Demadis prudentia rex reconciliatus [15.].
rex in Macedoniam redux posthabitis nuptiis de bello in Per-
sas gerendo consilia capit. sacra et convivia ob instantem pro-
fectionem celebrantur [16.]. Alexander traiicit in Asiam, et 111.
in Troade expositas copias recenset. militum numerus ducum- 3.

que nomina. laeta omina apud templum Minervae [17.]. sacris
Deae factis sumtisque e templo armis rex omnia rata habet.
Persae non audito Memnone, qui bellum in Macedoniam trans-
ferre suaserat, proelium inituri in Phrygiam movent ad Gra-
nicum fluvium [18.]. Alexander ex adverso ponit castra. acies
ab utraque parte instruitur. pugna commissa ad Granicum
[19.]. regis cum Spithrobata certamen singulare [20.]. interfe-
ctis multis nobilissimis Persis rex evadit. proelio victi Persae
fugam capessunt. ultra movens Alexander in Lydiam Sardes
capit [21.]. cum Persae Miletum confugissent, Alexander urbem
gravissima oppugnatione ad deditionem coegit [22.]. classe de-
leta suis omnem fugae spem adimit Alexander. Persae Hali-
carnassum se recipiunt: Memnon uxorem et liberos pignoris
loco ad Darium mittit [23.]. Alexander Graecorum in Asia
amicitia fretus Halicarnassum oppugnat [24.]. atrocissimae inter
obsidentes obsessosque pugnae [25.]. Macedones, facta ex urbe
excursione, aliquoties pulsi [26.]. tandem veterani subeuntes
pugnam una cum fusis hostibus in urbem irruunt. quo facto
Memnon relicta urbe cum suis in insulam Con traiicit; Ale-
xander urbe omnique ad mare Asia potitur [27.]. in Lycia
Marmarenses obstinato animo regi se dedere recusant, incen-
111. 4. saque urbe per media hostium castra aufugiunt [28.]. Darius
Memnoni summam belli committit, qui Chio Lesbique urbibus
potitus Graecorum multos in amicitiam allicit, et bellum in
Europam avertere instituit. sed Memnon morbo correptus mo-
ritur [29.]. occiso etiam Charidemo Atheniensi principe viro,
qui meliora sed regi ingrata consuluerat, Darius ipse belli
gerendi curam suscipit [30.]. novus exercitus Persarum Baby-
lonem convenire iubetur. equitum peditumque numerus. Da-
rius Babylone profectus exercitum in Ciliciam ducit uxore et
liberis comitibus. interea Alexander morbo gravissimo labora-
bat, quo tandem Philippus Acarnan eum liberavit [31.]. in
Alexandrum Lyncesten suspicio orta. his defunctus Alexander
M. Parmenionem iubet regionis portas occupare. incolae ma-
gis in Persas propensi; sed Isso Ciliciae urbe Alexander erat
potitus [32.]. cum Darium in propinquo esse accepisset Ale-
xander, proelio decertare parat. acies instructa et pugna inita
describitur [33.] ducum singularis virtus. circa reges atrocis-
sima pugna. consternatis Darii equis Persarum acies turbatur
et in fugam effunditur [34.]. praeda in castris relicta, prae-
sertim gaza regia. captivarum mulierum summa miseria [35.].
inter alias Darii mater, uxor, liberi calamitate eminebant.
adiicitur caesorum in acie ad Issum numerus [36.]. Darius,
quem Alexander persecutus erat, fuga in tutum pervenit. ma-
trem Darii anxiam et trepidantem Alexander consolatur beni-



gnoque alloquio recreat [37.]. singularis Alexandri humanitas
in Darii matrem, uxorem, liberos, pluribus descripta et cele-
brata [38.]. Darius Babylonem se receperat; unde per literas
aequissimas pacis conditiones Alexandro obtulit. his repudiatis
duplo maiorem exercitum conscribendum curavit [39.]. Alexan- 112. 1.
der factis caesorum funeribus recreatisque militibus bellum
Aegyptiis inferre parat. dum per Phoeniciam iter facit, Tyrii
conatibus eius obstant. inde Tyri oppugnationem Alexander ag-
greditur, antiqua Tyro primum diruta [40.]. aggere exstructo,
dum rex urbi appropinquat, Tyrii territi liberos, uxores, senes
Carthaginem transportandos curant. augent terrorem varii ge-
neris prodigia [41.]. mox navibus, tormentis, telis Tyrii infe-
stant hostem: insuper tempestas aggeris partem aufert. nihilo-
minus Alexander opus urget [42.]. mirae varietatis machinae
describuntur, quibus Tyrii hostium tela excipiunt [43.]. clypei
ahenei arena fervida repleti et in hostes missi. machinae igni-
ferae [44.]. Macedones fessi laboribus de solvenda obsidione
consilia agitant: sed rex obnititur [45.]. novo impetu terra
marique simul facto Alexander ipse in urbis moenia ascendit:
alia parte aries in muro ruinam facit: itaque urbs post septem
menses capitur. captivorum numerus. Apollini philalexandro
et Herculi sacra facit rex: urbi novum regem Ballonymum
praeficit [46.]. memorabilis novi Tyriorum regis, fortuna et
pristina humilitas [47.]. Interea Agis rex Lacedaemoniorum pro
Persis in Cretam expeditionem fecerat: Amyntas in Aegyptum.
Graeci Alexandro, cum Gazam oppugnaret, ob victoriam apud
Issum coronam auream mittunt [48.]. expugnata Gaza Alexan- 112. 2.
der in Aegyptum movêt, quae pertaesa crudelitatem Persarum
ultro in deditionem venit. facta cum Cyrenensibus amicitia rex
usque ad Iovis Ammonis templa penetrat [49.]. Ammoniacae
regionis situs, templa, palatia et memorabilia [50.]. templum
adit Alexander. ad propositas quaestiones quae responsa acce-
perit [51.]. regressus in Aegyptum novam urbem Alexandriam
condere parat. eius exstruendae idea describitur. postea Alexan-
dri successores urbem multum auxerunt. his peractis Alexan-
der in Syriam movit [52.]. Darius ut Alexandrum adventare
audivit, ad pugnam committendam omnia instruit. copiarum
numerus. Babylone profectus versus Ninum iter facit, et prope
Arbela castra ponit [53.]. de novo oblatam pacem et promissas
conditiones amplissimas ut Alexander accipiat, Parmenio suadet.
sed iis omnibus repudiatis rex infesto exercitu Dario obviam venit.
coniux Darii moritur [54.]. Darius instruit aciem, et Mazaeum ad
custodiam fluminis ablegat. Alexandri eiusque exercitus per Ti-
grim transitus perdifficilis [55.]. Alexander, ob hostium multitu-
dinem sollicitus, somno recreatur [56.]. Macedonum acies instructa

describitur [57.]. hinc proelium committitur. currus falcati pri-
mum in Macedones impetum faciunt. sed facto clypeorum
strepitu equi consternati quadrigas plurimas falcatas retro in
suos vertunt. reliquae tamen stragem ediderunt foedam [58.].
sequitur equestris pugna. cedunt Macedones. Cadusii et Scy-
thae in ipsa Macedonum castra penetrant, praedam agunt, ca-
ptivas abducunt. Sisygambris Darii matris eximia constantia
[59.]. Alexander novo impetu in Darium ipsum invectus, auri-
gam profligat. inde vulgato rumore Darium cecidisse, Persae
in fugam convertuntur [60.]. Darius nube pulveris tectus sal-
vus evasit. Persarum fugientium ingens clades secuta. caeso-
112. rum numerus [61.]. Graecae civitates crescentem victoris Ale-
3. xandri potentiam suspectam habent. itaque, Antipatro in Thra-
cia bello contra Memnonem occupato, Lacedaemonii oppor-
tunitate usi pro libertate bellum movent. regem Agidem im-
peratorem creant [62.]. re audita Antipater, composito in
Thracia bello, advolat, proelioque hostes fundit. Agidis mors
memorabilis [63.]. Darius fuga in satrapias superiores, et qui-
dem Ecbatana se recepit, ut novas copias ibi tutius colligeret.
Alexander, Arbelis praeda capta ingenti, Babylonem ducit, ubi
provincias recens occupatas ordinat [64.]. tum profectus in
ipso itinere novas ex Europa copias recipit. inde in Sittacenam
regionem progressus, in re militari nonnulla melius instituit:
deinde in Susianam movet, Susasque ultro in deditionem ac-
cipit [65.]. gaza regia Susis inventa describitur. Darii mensa
Alexandri pedibus subdita eunucho lacrimas movet [66.]. Su-
sis relicta Darii matre cum liberis, Alexander Pasitigrin trans-
it, et superatis per angustam viam rupibus cunctis per Uxia-
nam regionem urbibus potitur [67.]. inde progressus Alexander
versus Persiam usque ad Susiades petras, dum angustias ab
Ariobarzane obsessas perrumpere conatur, cum ingenti clade
repellitur. e captivis unum alia via secutus angustias superat
et Ariobarzanem opprimit [68.]. hinc Persepolin contendens li-
teras a Tiridate accipit, qui urbem tradere pollicetur. Graeci
captivi foede mutilati ad 800 regi obviam facti, eius miseri-
cordiam movent [69.]. Persepolis vi capta et vastata, viri tru-
cidati, opes ingentes direptae, feminae in servitutem redactae
[70.]. arx regia exemta a praeda. magna auri argentique vis
hic custodita in belli usus in alia loca transvecta. arcis ipsius
descriptio [71.]. victoriam Alexander festis et comissationibus
celebrat, inter quas vino inebriatus et Thaidis exhortatione im-
pulsus arcem regiam incendio delet [72.]. Tum urbes Persiae
subigit, et castra in Darium movet, qui Bactra confugerat.
sed Bessus regionis satrapa Darium ante Alexandri adventum
dolo captum obtruncat. Lacedaemonii per Antipatrum victi



missa legatione regis clementiam implorant [73.]. Bessus in 112.
Bactrianam elapsus populo libertatis vindicandae auctor est, et 4.
rex creatur. Alexander suos, qui Dario occiso reditum in pa-
triam parabant, oratione donisque ad novam expeditionem
concitat [74.]. ulterius progressus castra ad urbem Hecatom-
pylon collocat. iter in Hyrcaniam describitur. maris Caspii et
Hyrcaniae memorabilia [75.]. in Hyrcania duces Persarum multi
Alexandrum sectantur: Graeci, qui in Darii exercitu milita-
verant, socii fiunt. his auctus Mardorum regionem vi occupat
et devastat. regius equus ibi furto ablatus, sed restitutus [76.].
Thalestris reginae ad Alexandrum aditus, rogantis ut maximus
regum cum maxima mulierum liberos procrearet. tum primum
rex Asiaticorum more luxuria et voluptate diffluere coepit
[77.]. bellum a Satibarzane et Besso in Macedones motum
Alexander celerrime oppressit. provincia subacta Alexander ex
Hyrcania bellum in Drangenen transfert [78.]. hoc tempore
summum regi periculum imminebat, facta a Dimno aliisque
in eius vitam conspiratione. regi insidias aperit Cebalinus.
Dimnus, habita quaestione, mortem sibi ipse conscivit [79.].
sceleris conscii, inque his Parmenio, supplicio afficiuntur [80.].
inde Alexander castra in Arimaspos movet, postea Euergetas
dictos. his et Gedrosiis Tiridatem praefecit. simul Erigyium et
Stasanorem contra Satibarzanem mittit. ipse Arachosiam sub- 113.
igit [81.]. Alexander ulterius in Paropamisadas progreditur. re- 1.
gionis Paropamisadarum descriptio. totam occupat rex. montis
Caucasi s. Paropamisi memorabilia et prope eum exstructae
urbes. hinc Alexander in Bactrianam digreditur ad opprimen-
dum Bessum. Satibarzanem Erigyius certamine singulari vi-
ctum occidit. Bessum captum Alexander Darii fratri supplicio
afficiendum tradidit [83.]. regina quaedam Alexandro munera
mittit. mercenarium militem, postquam e foedere urbe (Mas-
saca) exierat, Alexander contra datam fidem persecutus in-
genti caede prostravit [84.]. expugnatis pluribus Indiae urbibus
rex rupem inaccessam Aornon oppugnare ausus est. duce sene
quodam indigena montis fastigium assecutus, barbaros qui eo
confugerant depulit, et petram occupavit [85.]. ulterius pro-
gressus obvium habuit Aphricem cum exercitu, mox a suis
occisum: deinde Indo flumine traiecto Mophin Taxilis filium, 113
qui se regnumque Alexandro in fidem tradidit [86.]. hinc Ale- 2.
xander in Porum movit, quocum Embisarus copias iunxerat.
instructa elephantorum acies urbis speciem praebuit [87.]. proe-
lium cum Indis commissum describitur. elephantorum com-
moda et incommoda. Porro vulneribus confecto Indi in fu-
gam aguntur [88.]. caesorum numerus. factis Soli sacris Ale-
xander classem in futuros usus comparat, duasque ibi urbes

condit. Poro ob virtutem regnum restituit [89.]. Obiter commemorantur regionis singularia: simiarum varietas et venatio; arborum novae species; serpentum varia genera [90.] novae expeditiones: in Pori e fratre nepotem; in Adrestas; in Cathaeos; in Sopithae regnum [91.]. canes mirae magnitudinis a Sopithe dono missi [92.]. Phegei regnum Alexander in fidem recipit, et ad Hypanin fl. usque pervenit. inde Praesiorum et Gandaridarum gentes subigere parat [93.]. sed tum alia impedimenta tum militis taedium Alexandrum ab ulteriore expeditione suscipienda deterruerunt [94.]. facto itineris termino, aras exstruit et castra triplo maiora, expeditionis monumentum. his peractis retro movit ad Acesinem fl., ubi naves fabricatas et nova e Graecia auxilia invenit. urbes ad flumen conditas Nicaeam et Bucephalam appellari iubet [95.]. inde progressus ad confluentem Acesinae et Hydaspis divertit ad Sibos. Agalassenses proelio vincit [96.]. ad confluentem Hydaspis et Indi delatus in maximum naufragii periculum incurrit [97.]. transitus per Oxydracas et Mallos, tunc maxime bello interno occupatos. Alexander temerario ausu primus in aliquam eorum urbem irrumpit, et in ipsa moenia ascendens iaculis petitur [98.] regem saltu delapsum in urbem et graviter vulneratum sui subvenientes ex hostium manu aegre eripiunt. Peucestes regis servator. ingens in urbe caedes. coloniae Graecorum in Bactriana et Sogdiana rebelles [99.]. ob servatum regem sacra et epulae celebrantur. inter epulas Coragi et Dioxippi certamen singulare. victor Dioxippus [100.]. sed ob victoriam invidia oppressus Dioxippus sua se manu occidit, scripta ante ad Alexandrum epistola [101.]. his factis rex navigationem continuat, et obvios populos vel in fidem recipit vel vi subigit: Sambestas; Sodras et Massanos; Musicani regnum; Porticani ditionem; Sambi regnum Brachmanumque oppida [102.]. postrema Brachmanum urbs Harmatelia memorabilis facta telis, veneno serpentum tinctis. misera sors militum iis vulneratorum describitur. regi per somnum oblata herba, qua Ptolemaeum multosque alios sanavit [103.]. cum ad Oceanum usque perventum esset, rex retro vehitur ad Tanala oppidum, alteram Spartam. classem Alexander oram legere iubet usque ad Euphratis ostia; ipse pedestri itinere multos peragrat populos: Arbitas et Gedrosios, Oritas, ubi Alexandriam urbem exstruxit [104.]. Oritarum singulares funerum ritus. Gedrosiorum fera et agrestis vita. Carmania deserta, ubi et summa inopia et Oritarum incursio aegre sustinenda erat [105.]. superatis tam incommodis locis, in regione laetiore copias recreat Alexander, duces improbos castigat, mercenarios malae fidei dimittit. Salmunte urbe maritima incidit in eos qui cum classe missi erant re-



nuntiantes quae vidissent [106.]. inde classis repetit Oceanum.
Alexander ad Susianos fines progreditur. Calanus, philosophus
Indus, vitae pertaesus in rogo moritur. Alexandri nuptiae cum
Statira Susis celebratae [107.]. ibidem recepit 30000 iuvenum
Persarum ad artem bellicam exercitatorum. Harpali, qui pro-
vinciae et thesauris Babyloniae praeerat, peculatus, vita volu-
ptuosa, fuga atque mors. Demosthenes eius largitione corru-
ptus [108.]. copia redeundi in patriam exsulibus data (conf.
XVIII, 8.) militiae vacatio aetate provectioribus: in seditiosos 113.
severissime animadversum [109.]. imminutae copiae multis aug- 3.
mentis explentur. Susis profectus rex iter persequitur per
Caras, Sittam, Sambana, Celonas, Bagistanen et vicinam re-
gionem: denique Ecbatana Mediae attingit, ubi diutius subsi-
stit. hic Hephaestio moritur, cuius corpus Babylonem defertur
[110.]. interea in Graecia tumultus orti a dimissis in Persia
mercenariis, ad Taenarum Laconiae congregatis, duce Leo-
sthene. Alexander ipse bello in Cossaeos occupatus, qui eius 113.
imperium respuebant [111.]. subactis Cossaeis rex Babylonem 4.
se recipit, contemtis Chaldaeorum vaticiniis [112.]. Babylone 114.
convenerunt undique legati, quos Alexander in classes divisos 1.
ordine in colloquium admittit [113.]. auditis legatis Hephae-
stionis funus quanto apparatu poterat celebrare instituit. amo-
ris in eum alia argumenta, simul nova mortis prodigia pro-
duntur [114.]. funeris ipsius apparatus describitur [115.]. inde
rex otioso et magnifico vitae generi vacat. sed crebra prodigia
instantis mortis metum iniiciunt [116.]. epulae a Medio ap-
paratae et Herculaneus ille scyphus fatales erant. morbo gra-
vissimo correptus Alexander moritur. moribundi sermones et
instituta [117.]. multi suspicati regem per Antipatri filium ve-
neno esse exstinctum. Sisygambris, Darii mater, ob luctum
inedia moritur [118.].

## LIB. XVIII.

Prooemium veterum doctrinam, animos sub exitum ex hac
vita futura praevidere, Alexandri M. exemplo illustrat, et ver-
ba regis moribundi ad eventum quem habuerunt applicat.
certamina maxima amicorum sunt secuta, quorum historiam
hic liber continet. spatium temporis est 7 annorum [1.]. Prima
de imperio administrando dissidia dirimit phalanx pedestris,
Arrhidaeo Philippi filio rege creato, Perdicca autem regni pro-
curatore constituto [2.]. provinciae singulis ducibus assignatae 114.
recensentur [3.]. Cratero mandata regisque defuncti decreta 2.
alia in commentariis perscripta in deliberationem veniunt.
proposita regis e commentariis singulatim referuntur. placuit

omnia antiquari. milites seditiosi 30 et Meleager in supplicium
rapti. in Graecos, qui in superiore Asia defecerant, Pytho missus
[4.]. sequitur omnium provinciarum descriptio geographica:
Asiae provinciae septemtrionales [5.]. provinciae australes [6.].
Graeci rebelles invito Pythone caesi [7.]. in Europa Athenien-
ses in Antipatrum bellum Lamiacum movent. causa erat edi-
ctum de reditu exsulum, iussu regis in conventu Olympico
promulgatum. Aetoli et Athenienses eo graviter offensi [8.]. hi
audita Alexandri morte adiuti Harpali pecunia duce Leosthene
bello communi libertatem Graeciae contra Macedones tueri
parant [9.]. apparatus belli et legatio ad civitates Graecorum
missa [10.]. recensus sociorum belli. Boeoti Macedonum parti-
bus se adiungunt [11.]. Antipater Alexandri in Europa impe-
rator coactis copiis obnititur; sed proelio victus Lamiam in
Thessalia confugere cogitur [12.]. Leosthenes eum inclusum ob-
sidione tenet; sed facta eruptione commissoque proelio Mace-
dones vincunt, et Leosthenes ipse cadit. tum Demosthenes ex-
silii poenam subiit. in Leosthenis locum successit Antiphilus
[13.]. Ptolemaeus Aegypti satrapa cum Antipatro foedus contra
Perdiccam iungit. Lysimachus in Thracia Seutham regem bello
impugnat. inter haec Leonnatus ex Asia in Europam traiiciens
auxiliis adiuvat Antipatrum [14.]. Graeci soluta Lamiae obsi-
dione Leonnato infesti obviam eunt. proelio equestri Leonna-
tus fusus et occisus. victos colligit Antipater, et in tutum se
recipit. sed maris imperium obtinet classis Macedonica, duce
Clito duplici proelio victrix [15.]. interea Perdiccas bello sub-
igit Ariarathen. Cappadociae satrapia Eumeni Cardiano tradita.
tum Antipater per Craterum e Cilicia venientem novis copiis
auctus [16.]. Graeci interea nimis securi facti in Thessalia
proelio victi pacem petunt. singulae civitates singularem pacem
consequuntur, exceptis Aetolis et Atheniensibus [17.]. tandem
Athenienses quoque vi coacti Demadem de pace impetranda
mittunt. Antipater in fidem recepit Atheniensium civitatem,
eamque in meliorem formam transmutavit, relicto praefecto
cum praesidio. ita finito *bello Lamiaco* Antipater et Craterus
redeunt. Samii in libertatem mox vindicati [18.]. sensim con-
trahitur bellum Cyrenaicum, cuius causas altius repetit histo-
ricus. remotior causa erat Thibro, qui Harpalo interfecto eius
copiis potitus in Cyrenaeorum agrum traiecit, et hos sibi ob-
noxios reddidit [19.]. Mnasicles, ex eius ducibus unus, cum
defecisset ad Cyrenaeos, Thibro multiplici clade affectus est
[20.]. bello varia fortuna continuato diutius, tandem Ptolemaeus
advocatus Thibronem bello vincit, et Cyrenaeos duce Ophella
in potestatem suam redigit [21.]. Pisidiae duas urbes, Laran-
densium et Isaurensium, ob seditionem Perdiccas infesto agmine



oppugnat, et eversas militibus relinquit diripiendas [22.] post
haec Perdiccas duplici matrimonio simul Antipatri amicitiam,
simul regni adipiscendi spem confirmare studet. Antigonus in-
sidiarum gnarus, ne a Perdicca opprimeretur, in Europam
aufugit et cum Antipatro se coniungit [23.]. Antipater et Cra-
terus tum maxime in Aetolos moverant, e bello Lamiaco re-
siduos, vi subigendos [24.]. hos paene victos tenuere, cum An-
tigoni adventu interrumperentur. edocti de Perdiccae dolis cum
Aetolis pacem componunt, et de societate cum Ptolemaeo con-
tra Perdiccam iungenda consilia ineunt. Perdiccas ipse consti- 114.
tuerat Ptolemaeo bellum inferre [25.]. In hoc tempus incidit 3.
funus Alexandri, Arrhidaei cura Babylone in Aegyptum dedu-
cendum. loculus et currus cum ornamentis describitur [26. 27.].
pompa comitum. Ptolemaeus cum exercitu obviam venit. fu-
nus Alexandriae repositum cum exsequiarum magnifico appa-
ratu [28.]. Perdiccae in Aegyptum expeditio. Eumenes cum
Alceta et Neoptolemo ad Hellespontum Antipatro et Cratero
oppositi. sed Neoptolemus ad Antipatrum deficit. Antipater con-
tra Perdiccam, Craterus cum Neoptolemo adversus Eumenem
movet [29.]. proelium in Cappadocia committunt Craterus et
Eumenes. Craterus in dextro cornu decertans occumbit, eius-
que agmen funditur [30.]. in sinistro eius cornu obtruncatur
Neoptolemus [31.]. Eumenes victor occisis duobus ducibus vi-
ctos in fidem recipit, qui tamen ad Antipatrum aufugiunt [32.].
Perdiccae transitus in Aegyptum. apud Pelusium castra meta-
tus multos e suis amittit, qui ad Ptolemaeum deficiunt. inde
ad castellum Camelorum progreditur Perdiccas [33.]. castelli
oppugnatio a Perdicca suscepta acerrima quidem, eadem ta-
men elusa. castra transfert Perdiccas per medium amnem in
insulam Nili [34.]. transeundi per Nilum summa difficultas,
qua Perdiccae agmen in summum vitae discrimen deductum
est [35.]. ideo milites abalienati a Perdicca magno numero ad
Ptolemaeum transeunt: equites autem facta conspiratione Per-
diccam occidunt. summum imperium cum regum tutela Py-
thoni et Arrhidaeo permissum [36.]. post Perdiccae mortem
demum affertur nuntius de Eumenis victoria. hunc cum sociis
Macedones capitis damnant. Attalus, qui Perdiccae classi prae-
erat, Tyrum petit [37.]. Interea Aetoli absente Antipatro in
Thessaliam incursionem fecerunt. Thessali coacti, ut adversus
Antipatrum militarent. sed Aetoliam vicissim invasere Acarna-
nes. dum redeunt Aetoli ad tuendam patriam, Polysperchon
recuperat Thessaliam [38.]. Arrhidaeus et Pytho cum regibus
in Syriam progressi tutela se abdicant. in eorum locum suc-
cessit Antipater. is facta nova provinciarum divisione, Anti-
gono autem exercitus regii imperatore creato, cum regibus in

Macedoniam rediit [39.]. Antigonus cum exercitu in Cappadociam ablegatur ad Eumenem bello opprimendum. conserto proelio Eumenes propter Apollonidis proditionem foedam accipit cladem [40.]. Antigonus Eumenem, qui Noram confugerat relicto praesidio clausum tenet. simul nova consilia in ipsum Antipatrum capit [41.] Eumenis singularis constantia [42.]. Pto-
115. lemaeus, profligato Perdicca tutior, ultra Aegyptum, Syriam et
2.*) Phoenicen in ditionem suam redigit [43.] post Eumenem victum Antigonus Alcetam et Attalum aggredi constituit. primo contra Alcetam in Pisidiam movit. venit ad pugnam equestrem, qua Alcetas accepta magna clade aegre defunctus ad peditum agmen aufugit [44.]. inito novo proelio Attalus capitur; Alcetas autem Termessum confugit, ubi Pisidae eum tuentur [45.]. diu recusantes Pisidae quod Antigonus postulasset, tandem Alcetam, sibi mortem consciscentem, cum caperetur, mortuum Antigono tradunt [46.]. iuventus Termessensium ea re exacerbata in urbe tumultus et in Antigonum excursiones facit. Antigonus in Phrygiam concedit, ubi nuntiatur Antipatrum vita functum esse [47.]. res extremae Antipatri: Demadem Atheniensium ad ipsum legatum ob cognitas insidias supplicio affecit; Polysperchontem summum ducem regumque tutorem, filium autem Cassandrum chiliarchum constituit [48.]. Cassander principatum appetens patris constitutionem reprobat, et cum Ptolemaeo aliisque arma consociare parat. Polysperchon vero imperium ac tutelam adit, et Olympiadem ex Epiro revocat [49.]. Antigoni ad Eumenem legatio, et inita consilia, ut summum in Asia imperium arriperet [50.]. Arrhidaeus Phrygiae satrapes, ut sibi contra Antigonum prospiceret, Cyzicum vi occupare conatur; sed Cyzicenorum dolis circumventus infecta re redire cogitur [51.]. tum Antigonus Cyzicenos in suas partes trahere studens simili modo eluditur: mox in Arrhidaeum copias mittit; ipse Ephesum per proditionem capit, pecuniamque regiam e Cilicia in Macedoniam transvehendam intercipit [52.]. his expositis ad Eumenis res persequendas historicus redit. mirabile hominis ingenium et mirabilis fortuna describitur, qua ex obsidione diuturna liberatus est [53.]. Iam in Europam transit historicus. Cassander, consiliis per speciem venationis diu dissimulatis, tandem clam Macedonia relicta in Asiam transmittit, et belli in Polysperchontem gerendi societatem cum Antigono iungit [54.]. Polysperchontis deliberatio de bello in Cassandrum gerendo. ante omnia constituit Grae-

*) Ante hunc annum aliquot foliorum lacuna biennii res gestae haustae sunt.



cas civitates reddita libertate sibi conciliare [55.] literae regiae per Polysperchontem ad Graecorum civitates datae [56.]. alia Polysperchontis instituta et edicta. in partes regias Eume- 115.
nes quoque singularibus literis vocatur [57.]. pecuniae et co- 3.
piae Eumeni promissae. Olympiadis ad eundem literae. his acceptis Eumenes regiae stirpi fidem addixit [58.]. Eumenes e Cappadocia in Ciliciam profectus ubique singulari studio excipitur. ingens fortunae conversio in eo conspicua [59.]. instabili fortuna cautior factus Eumenes nova fortuna modeste uti coepit, ministerium non principatum affectans. Alexandri manes in regio solio adorare et consulere suadet [60.]. consilia publica ducum ad solium regis velut praesentis habita. dimissi quoque amici fidelissimi ad militem novis stipendiis conducendum [61.]. itaque Ptolemaei et Antigoni invidia in Eumenem exarsit. uterque argyraspides ad defectionem sollicitabant, aliisque insidiis Eumenem, nullo tamen successu, petebant [62.] argyraspides aliosque Macedones, Antigoni literis paene abalienatos, Eumenes sermone reconciliat et confirmat. inde in Phoenicen contendit remque nauticam reparat [63.]. interea Nicanor a Cassandro Munychiae praefectus dolo occupat Piraeeum, et Cassandri partes tuetur [64.]. Olympiadis literis Munychiam et Piraeeum Atheniensibus reddere iussus, rem procrastinat. interim Polysperchon utrumque portum per Phocionis proditionem in suos usus occupat. Athenienses in Phocionem aliosque gravissime animadverterunt [65.]. Phocion et exsules alii ad Macedones confugiunt; sed a Polysperchonte Atheniensibus traduntur. turbulentum de Phocione iudicium [66.]. Phocion sontesque reliqui ad supplicium rapti [67.]. post haec Cassander classe advectus Piraeeo potitur. qua re motus Polysperchon exercitum in Graeciam ducit: in Attica relinquit Alexandrum filium, ipse in Peloponnesum transit ad subigendos Megalopolitas [68.]. interea Cassander Salaminios obsidere coepit, repulsus tamen interventu Polysperchontis. Polysperchon Peloponnesum reliquam cum ad obsequium adegisset, Megalopolin obsidendam statuit [69.]. cuncta civitas ad muniendam urbem conversa. urbs oppugnata acerrime, defensa fortissime [70.]. elephantorum immissorum vis et impetus Damidis singulari sollertia retusus. ita irrita facta obsidione [71.] Polysperchon Clitum cum classe in Hellespontum mittit, qui prohibeat ne copiae ex Asia in Europam transvehantur. eodem Nicanor cum classe a Cassandro missus. committitur proelium, quo Clitus vincit. sed mox succurrit Antigonus, qui Clito ingentem cladem infert [72.]. ita Antigonus animo viribusque auctus, imperium maris et Asiae affectat. ideo Eumenem insequendo urget, qui multo labore in Persiam se recipit [73.].

Polysperchon ob acceptam apud Megalopolin cladem evilescit. Graecae civitates in Cassandri partes transeunt, praesertim Athenienses. pacis cum Cassandro initae conditiones [74.]. Nicanor ab expeditione in Piraeeum reversus a Cassandro e medio tollitur. Cassander in Macedoniam movet; multique ad ipsum deficiunt, Polysperchontis socordiam indignati [75.].

## LIB. XIX.

De causis oppressae libertatis et invectae tyrannidis praefatus Diodorus, transitum parat ad Agathoclis Syracusarum tyranni
115. historiam, vel maxime hoc libro enarrandam. adiicitur chrono-
4. logica ratio [1.]. Agathoclis natales portentosi. Thermis in Sicilia natus a patre Carcino ob somnium exponitur, patreque inscio a matre in domo fratris Heraclidis servatur. septennem recipit pater, et Syracusis figulinam docet. portentum novum eum insignem facit [2.]. Damas nobilis Syracusanus primus Agathoclem fovit, et ad dignitatem militarem evexit. militabat deinde inter Syracusanorum auxilia, Crotoniatis contra Bruttios missa. Agathocli virtutis praemia pugnis parta invidet Sosistratus [3.]. eo offensus Agathocles ad tempus patria abstinet. postea Sosistrato in exsilium misso reversus in patriam rebus in bello strenue gestis magnam consecutus est famam [4.]. ob affectatae tyrannidis suspicionem et instans mortis periculum Agathocles aufugit, et privatus exercitum cogit: mox invitatus in patriam redit et imperator pacisque custos constituitur [5.]. iam vero exercitu potitus aucta factione ususque alia multiplici opportunitate primo senatum 600 virorum per insidias obtruncat, deinde bonis eorum praedae datis vilissimum quemque sibi amicum facit [6.]. tum caedibus totam urbem implet [7. 8.]. denique vi atque dolo civitatis principatum solus obtinet [9.]. Romani cum Samnitibus bellum gerebant, Crotoniatae cum Bruttiis, et cives cum civibus [10.]. Olympias in Macedoniam redux et Philippum et Eurydicen vita privat multosque simul Cassandri amicos [11.]. Res in Asia gestae. Eumenes hiberna apud Caras Babyloniae habuit, ubi Python et Seleucus ei maxime adversabantur. maximis insidiis Eumenes ad Tigrin circumventus [12.]. tandem Tigrin transgressus et in Susianam delatus superiorum provinciarum satrapas in auxilium vocat. [13.]. hi tum maxime exercitus contra Pythonem coactos habebant. summum imperium gerebat Peucestes Persidis satrapa. adduntur copiarum numeri [14.]. cunctae eorum copiae cum in Susiana Eumenianis se iunxissent, fit contentio de summo imperio; quam controversiam Eumenes diremit ita ut consessus ducum habendos proponeret. iunctum satraparum



agmen Antigonum a bello Eumeni inferendo avertit [15.]. hoc tempore Attalus ceterique captivi [conf. XVIII. 45.] e custodia elabi conantur; sed circumventi rursus in custodiam redeunt 116.
[16.]. Antigonus inita societate cum Seleuco et Pythone movet 1.
in Eumenem; hic autem ad Tigrin occurrit, totamque fluminis ripam praesidiis firmat, acceptis e Persia auxiliis. Persarum nuntii celeres in speculis collocati obiter describuntur [17.]. interea Antigonus Susa pervenerat. inde aerumnoso itinere ad Copraten fl. progressus partim navium penuria partim Eumenianorum impetu in summum incurrit discrimen [18.]. his coactus ad urbem Badacam, hinc vero per infestas Cossaeorum terras cum multiplici clade in Mediam iter flectit [19.]. in Media exercitum ab aerumnis recreat, novisque militibus auget Antigonus [20.]. cognito Antigoni in Mediam adventu ortoque inter socios dissidio Eumenes ad tutandas superiores satrapias in Persiam se convertit [21.]. Peucestes Persidis satrapa exercitum sociorum magnificis epulis excipit, Alexandroque et Philippo ut diis sacrum instituit, principatum scilicet affectans [22.]. eius superbiam Eumenes fictis de recuperato ab Olympiade regno rumoribus reprimit [23.]. simul comitate, simul pecuniis mutuum sumtis velut pignore omnium animos obstrictos tenet. interea nuntius advenit Antigonum e Media in Persiam movere. extemplo Eumenes hosti obviam progressus in medio itinere morbo ad aliquot dies retardatur [24.]. postea cum hostem assecutus esset, locorum situs proelium non admisit. Antigonus vero Macedones ab Eumenis partibus avertere studet; vano tamen conatu [25.] Eumenes coniectans hostem spectare Gabienen regionem opulentam, eo clam occupat iter. subsequitur Antigonus. in Paraetacene igitur subsistendum erat [26.]. numerus copiarum Antigoni. instructa acies Eumenis describitur [27. 28.]. acies disposita Antigoni [29.]. sequitur proelium acerrimum [30.]. victoria anceps erat [31.]. defunctus proelio Antigonus exercitum in Mediam abduxit, ut suos largiore victu et quiete reficeret. similiter Eumenes suis quietem concessit [32.]. memorabile duarum ex India matronarum de obeunda in funere mariti morte certamen [33.]. victrix iunior coniugis se flammis superiicit, et cum eo crematur. peracto funere Eumenes agmen in Gabienen ducit. [34.]. In Europa Cassander relicta Peloponneso in Macedoniam contra Olympiadem movet. Olympias Aristonoum cum exercitu ei obviam mittit. [35.]. sed Cassander Olympiadem ipsam Pydnae obsessam tenet. simul ab una parte Aeacidam regem Epirotarum, ab altera Polysperchontem, auxilio venturos, arcet [36.]. In Asia Antigonus suscepto per deserta laborioso itinere Eumenem ex improviso opprimere instituit. sed agrestes adhi-

bitis camelis dromadariis rem praenuntiant [37.]. Eumenis con-
silia ad cogendas copias et retardandum hostem [38.]. Antigo-
nus cum in propinquo esset, in elephantorum agmen inopi-
nato impetum facit, quem eludit Eumenes. iam vero ab utra-
que parte acies instruitur. [39.]. Antigoni acies. Eumenis acies
[40.]. argyraspidum praeco ad phalangem Antigoni praemissus.
plerique sexagenarii et septuagenarii. simul classicum canitur.
[41.]. pugna elephantorum et equestris. Eumeniani funduntur.
[42.]. pugna pedestris argyraspidum insignis virtute. sed Anti-
gonus instat equitatu. tandem Macedones indignantes Peucestae
segnitiam et Eumenis discordiam sponte ad Antigonum defi-
ciunt, ipsumque Eumenem captum hosti tradunt [43.]. cum
alios duces tum Eumenem Antigonus supplicio affecit. his per-
actis in Mediam rediit, castra habens apud Ecbatana et in
eparchia Rhagae terrae motibus clara. [44.]. obiter diluvium
ingens commemoratur, quo Rhodus per id tempus vastata est
[45.]. Pythonem res novas molientem Antigonus ad se vocatum
trucidat. tum sumto Ecbatanis argento in Persiam tendit [46.].
dum in itinere erat, Eumenis et Pythonis socii rebellant; mul-
titudine tamen oppressi partim caesi partim capti sunt [47.].
in Persia Antigonus regio honore cultus satrapias inter amicos
distribuit. praeter opes Susianas ingentem pecuniarum vim reci-
pit [48.]. In Europa interim Pydnae obsidio eo continuata ut
Olympias cum ceteris obsessis inopiae famisque mala omnia to-
leraret [49.]. obsessorum multi ad Cassandrum transfugiunt. in
summa angustia Olympias navi aufugere conata capitur. tum
alias quoque Macedoniae urbes in fidem recepit Cassander
[50.]. Olympias occisa una cum Aristonoo duce copiarum [51.].
post haec Cassander Thessalonicen Philippi filiam matrimonio
sibi iungit: urbem e suo nomine Cassandream appellatam con-
dit: Rhoxanen cum filio Alexandri Amphipoli custodiendam
curat: Eurydicen Philippumque Aegis regali funere effert. hinc
suscepta in Peloponnesum expeditione [52.], dum Boeotiam
transit, Thebas instaurare instituit. Digreditur historicus ad
urbis origines variasque vicissitudines referendas [53.]. Theba-
rum instaurationem adiuverunt civitates Graecae aliaeque. hinc
Cassander Megara declinat, et navigiis in Peloponnesum traii-
116. cit: Argos, Messenen etc. capit [54.]. In Asia Antigonus reli-
2. cto Aspisa Susianae praefecto Babylonem contendit. ibi dissidio
inter ipsum et Seleucum orto Seleucus in Aegyptum ad Pto-
lemaeum aufugit. Chaldaei ob Seleucum e manibus dimissum
Antigono mortem praedicunt; resque postea eventum habuit
[55.]. benigne acceptus in Aegypto Seleucus Ptolemaeum ad
bellum contra Antigonum impellit. interea Antigonus missa
legatione Ptolemaeum, Cassandrum, Lysimachum placare cona-



tur; simul ultra in Ciliciam movet, copiis et pecunia terribi-
lis [56.]. recusata provinciarum et pecuniarum aequa divisione,
Ptolemaeus, Lysimachus et Cassander arma in Antigonum con-
sociant. Antigoni contra hostes apparatus [57.]. Antigonus, in
Phoeniciam progressus Tyrum obsidet, simul in Phoenicia, Ci-
licia et Rhodo naves exstrui iubet. apparet interea Seleucus
cum classe [58.]. in Phoenicia ulteriores Antigoni molitiones.
Circa hoc tempus Crateri ossa per Aristonem Philae ad sepul-
turam tradita, cuius mulieris ingenium animumque praedicat
historicus [59.]. Ducum Antigoni in Peloponneso et Asia expe-
ditiones [60.]. iuncta cum Alexandro Polysperchontis filio so-
cietate, publico decreto Cassandrum Antigonus hostem, Grae-
cos liberos declarat, Alexandrum in Peloponnesum ablegat,
ipse vero Tyrum contendit [61.]. Ptolemaeus simili decreto
Graecos suis legibus esse iubet. deinde recensentur copiae ter-
restres et navales in diversas partes missae [62.]. In Graecia
Apollonides Cassandri dux in Arcadiam, inde in Argivorum
urbem, impetum fecit; Cassander ipse Peloponnesum ingressus
Cenchreas expugnavit, et Orchomeniorum urbem per proditio-
nem cepit [63.]. reliquam pervagatus Peloponnesum Cassander
in Macedoniam rediit; mox Alexandrum eius partes amplexum
Peloponnesi imperatorem constituit. interea Polyclitus Seleuci
legatus Theodotum Antigoni nauarchum et Perilaum insidiis
opprimens, ingentes apud Ptolemaeum gratias meruit [64.].
Agathoclis in Sicilia insidiae et incursiones in Messanam, Car-
thaginiensium auxilio propulsatae. Romanorum cum Samniti- 116.
bus bellum [65.]. Aristodemus Antigoni dux Aetolos ad auxi- 3.
liandum Antigono adigit; tum in Peloponnesum impetu facto
redit in Aetoliam. Dymaei ab Alexandro Polysperchontis domiti
mox libertatem vindicant [66.]. Alexandrum autem Alexion
Sicyonius per insidias occidit; quo facto Cratesipolis eius uxor
suscepto imperio Sicyonios proelio domuit. Cassander vero vi-
dens Aetolos cum Antigono facere, arma iunxit cum Acarna-
nibus eorum hostibus; deinde rem in Illyride prospere gessit
[67.]. In Aetolia tumultus. Cassandri in Cariam expeditio, ut
Antigonum ab Europa arceret, et in Lemnum [68.]. Antigonus
relicto in Syria filio Demetrio admodum iuvene, cum exercitu
et quatuor amicis, qui consilio eum adiuvarent, ipse usque ad
Celaenas Phrygiae progressus erat [69.]. In Sicilia Syracusano-
rum exsules Agrigentinos ad bellum in Agathoclem impulerant.
hi Gelois et Messeniis assumtis sociis a Lacedaemoniis ducem
expetunt, Acrotatumque Cleomenis regis filium accipiunt [70.].
sed Acrotatus ob superbiam cunctis adeo invisus erat ut fu-
gam capessere cogeretur. tunc Agrigentini arbitro Amilcare
cum Agathocle pacem fecerunt [71.]. Agathocles autem otio

usus est ad augendas opes; praesertim Carthaginiensibus minus fidens. In Italia bellum cum Samnitibus vario Marte con-
116. tinuatum [72.]. Callatiani, Istriani et finitimi populi, cum a
4. Lysimacho defecissent, is cum infesto exercitu profectus cunctos perdomuit, et Antigoni copias Callatianis auxilio missas proelio vicit [73.]. post haec Antigonus Telesphorum cum classe in Peloponnesum misit ad civitates in libertatem vindicandas. Philippus vero Cassandri frater in Aetolos et Epirotas bellum gessit, eosque duplici proelio vicit, horumque regem Aeacidam interemit [74.]. In Asia Asander Cariae praefectus bello oppressus in Antigoni partes concessit. mox mutato consilio de novo deficit. quo facto Antigonus terra marique Cariam subigit. Asander vero classe Graeciam petens cum Telesphoro et Medio confligit [75.]. In Italia quae inter Romanos et Samni-
117. tes porro gesta sint commemorantur. Campani rebellantes mox
1. pacem fecerunt [76.]. Antigonus Ptolemaeum ad liberandam Graeciam ablegat. Rhodii navibus eundem adiuvant. Cassander soluta Orei obsidione Chalcidem petit: inde vero de Macedonia sollicitus relicto Chalcide praesidio in Macedoniam recedit [77.]. Corcyraei Apollonia et Epidamno Cassandri praesidia expellunt. Ptolemaeus Antigoni legatus Chalcidem capit; tum in Atticam et Phocidem progressus ubique Cassandri praesidia abigit [78.]. Cyrenaeos, Cyprios aliosque rebelles per legatos subigit Ptolemaeus: ipse in Syriam et Ciliciam expeditiones suscipit [79.]. Interea Demetrius Antigoni filius in Coelesyria Aegyptiorum copiis oppositus stabat. in hunc Ptolemaeus a Seleuco admonitus copias undique contractas convertit [80.]. Demetrio adiuncti amici pugna abstinere suadent. sed animum addunt milites, quos animi mansuetudo et corporis decor ceperat [81.]. Demetrii acies instructa ad proelium [82.]. Ptolemaei et Seleuci disposita acies. simul proelii initi initium [83.]. primo ancipiti Marte pugnatum est. mox elephantes consternati turbant Demetrii aciem. in fugam actum Demetrium Ptolemaeus Gazam usque persequitur, et hanc urbem occupat [84.]. Demetrius primo Azotum contendit ad procurandam mortuorum sepulturam. caesorum numerus. regiam praedam Ptolemaeus ultro reddit. deinde Tripolin Phoenices Demetrius se recipit [85.]. interea Ptolemaeus Sidonem et Tyrum in deditionem redigit [86.]. In Europa Telesphorus ab Antigono deficit: quo facto Ptolemaeus Antigoni dux rem in Peloponneso contra eum gerit [87.]. In Epiro Alcetam novum regem Lyciscus Cassandri dux infestat. duplici proelio confligunt: altero Alcetas, altero Lyciscus vincit [88.]. Cassander suis succurrens facta cum Alceta pace contra Apolloniatas movit; sed proelio pulsus in Macedoniam rediit. Alcetam sui ob eius superbiam



trucidant [89.]. In Asia Seleucus post victum Demetrium Babyloniam repetere parat. eius gravissima ad trepidantes milites exhortatio [90.]. Babyloniam Seleucus recuperat [91.]. Nicanor Mediae dux in Seleucum bellum movens funditur. tum milites Antigoni magno numero ad Seleucum transierunt [92.]. In Demetrium interea in superiore Syria subsidentem Ptolemaeus Cillen cum exercitu misit. sed hunc Demetrius in ipso itinere oppressum vicit et captivum duxit. simul Antigonus eius pater auxilio venit. itaque Ptolemaeus satis putavit in Aegyptum se recipere [93.]. recuperata Syria Antigonus in Arabiam suscipit expeditionem, misso Athenaeo cum exercitu. Arabum mores, instituta, victus describuntur [94.]. Athenaeus Arabes ad Petram opprimit, multamque reportat praedam. sed Arabes vicissim Athenaei castra invadunt, ingentemque ei inferunt cladem [95.]. mutuis literis et Arabes et Antigonus post haec amicitiam simulabant. mox Antigonus filium Demetrium cum exercitu misit, ut Arabes clam opprimeret [96.]. cum Arabes sibi prospexissent, Petram Demetrius nequidquam oppugnabat. quamobrem Arabes ei facile persuadebant ut acceptis donis copias abduceret [97.]. castra movet Demetrius ad lacum Asphaltiten. eius lacus et in eo nati bituminis descriptio [98. 99.]. Redit ad patrem, qui pacem cum Nabataeis indigne ferebat. spes de parandis e bitumine reditibus eum frustrata est. interea nuntio accepto Seleucum Babylonia esse potitum, Antigonus Demetrium in Babyloniam ablegat, qui urbem Babylonem desertam offendit et capit [100.]. In Italia mutua bella inter Romanos et Samnites continuata. Pontia colonia deducta [101.]. res in Sicilia gestae. Messenii Agathocli infesti cum Syracusanorum exsules recepissent, Agathocles eorum urbe per dolum potitus exsules eiecit, omnesque qui potentatui fuerant adversati supplicio mactavit [102.]. Dinocrates exsulum dux et Carthaginienses in auxilium vocat et ipse Nymphodorum ad occupandam urbem Centoripinorum mittit. Agathoclis et Carthaginiensium mutuae crudelitates secutae [103.]. Dinocrates ad Galariam proelio confligens cum Agathocle funditur. Carthagi- 117.
nienses pugnam detrectant [104.] Cassander, Ptolemaeus, Ly- 2.
simachus et Antigonus communi foedere controversias de provinciis dirimunt. mox prout singulis commodum erat, id singuli rumpunt. tandem Cassander Rhoxanen una cum rege clam occidere iubet; quo facto provinciarum praefecti reges evadunt. Adiecta notitia rerum Romanarum [105.]. In Sicilia cum Agathoclis opes in dies crescerent, Poeni misso Amilcare cum classe eas cohibere parant. classis naufragio attrita. sed reparat vires Amilcar [106.]. Agathocles hostem copiis praevalentem metuens Geloorum urbem per insidias occupat et domat [107.].

Poenorum castra in colle Ecnomo prope Himeram fl. descri-
buntur. e regione stabat Agathocles. utrosque a pugna deter-
rebat vetus vaticinium. sed subito conseritur proelium, in quo
primum Agathocles superior [108.]. adhibitis autem funditori-
bus novisque ex Africa subvenientibus copiis pugnae fortuna
inclinat in Poenos. Agathocles accepta clade fugit [109.], et
primo Gelam se recipit; Poeni vero Siculorum multos sibi
conciliant. tum Agathocles Syracusas redit, et bellum in Afri-
cam transferre machinatur [110.].

## LIB. XX.

Praemittitur prooemii loco brevis disputatio de orationi-
bus historiae inserendis. eas reprobat Diodorus, si nimis vel
quaesitae vel longae crebraeve sint [1.]. raro et opportuno loco
117. adhibitas perutiles censet. adiicitur libri argumentum et chro-
3. nologia [2.]. Agathocles proelio ad Himeram fusus bellum in
Africam transferre conatur. consilii et capiendi et dissimulandi
causas explicat historicus [3.]. ad expeditionem incertam mili-
tes instruit; conatibus rerum novarum quae opportuna vide-
bantur opponit; pecunias vi et fraude cogit [4.]. classis Aga-
thoclis profecta inter maxima pericula ubique obvium habet
hostem. solis eclipsis terrorem etiam iniicit [5.]. eluctata ho-
stium insectationem, ad Africae litus pervenit, copiasque ad
lapicidinas exponit [6.]. facto Cereri et Proserpinae sacro Aga-
thocles naves accendit, ne refugium milites haberent [7.] si-
mul milites consternatos per regiones amoenas et fertiles du-
cens Megalopolin et Album Tunetem expugnat et evertit [8.].
Carthaginem maxima capit trepidatio [9.]. Hannonem et Bo-
milcarem praetores creant Carthaginienses. copiae subito coa-
ctae et ad pugnam dispositae describuntur [10.]. copiarum
Agathoclis numerus et dispositio. noctuis, quas in castris alu-
erat, emissis, suis fausta auspicia procurat Agathocles [11.].
proelium commissum. cadit Hanno. Bomilcar male callidus et
in summo rerum discrimine impius. Carthaginienses fugam ca-
pessunt. castra diripiuntur [12.]. occisorum numerus. in castris
Poenorum manicarum magna vis inventa. fortunae insolentiam
demiratur historicus [13.]. Carthaginienses, diis iratis calamita-
tem tribuentes, supplicationem decernunt hostiasque humanas
immolant [14.]. in Siciliam vero mittunt qui auxilia requirant
et rumorem divulgent Agathoclem victum esse. luctus idcirco
Syracusas occupat, quo fretus Amilcar urbe potiri conatur
[15.]. cum Antander et Erymnon de deditione urbis dissenti-
rent, venit victoriae nuntius ab Agathocle; quo accepto cives
incurrentes in obsidentes Amilcarem urbe discedere cogunt



[16.]. interea Agathocles, quamvis multis subactis oppidis, ca-
stris apud Tunetem exuitur. sed strategemate Tunetem obsiden-
tes fefellit et ingentes contra hostes progressus fecit [17.]. Car-
thaginienses de novo Tunetem obsident. haud opinatos oppri-
mit Agathocles iisque novum terrorem iniicit [18.]. In Mace-
donia Cassander Autariatas bello subegerat. ad eum Ptolemaeus
Antigoni in Peloponneso legatus deficit. Antigonum insuper
bello petit Ptolemaeus Aegypti dynasta. sed ubique victor An-
tigonus [19.]. novos motus in Cassandrum excitat Polysperchon,
Pergamo arcessens Herculem Alexandri filium [20.]. Ptolemaeus
subacta Cypro saevit in Nicoclem Paphiorum regem [21.]. Mo-
ritur in Ponto Parysades Bospori rex. de regno oritur bellum
inter relictos tres filios, Satyrum, Eumelum et Prytanim. Ari-
pharnes rex Thracum Eumelum adiuvat [22.]. bello decertantes
Satyrus et Prytanis, quamvis victores, mortem deinceps oppe-
tunt [23.]. quo facto Eumelus regno potitus est [24.], idque
felicissime gessit et maximopere auxit. post 5 annorum impe-
rium curru vectus consternatis equis occubuit [25.]. oracula de
Eumeli et Satyri mortis genere. Adiecta mentio belli a Ro- 117.
manis feliciter contra Samnites gesti [26.]. Ptolemaeus Aegypti 4.
princeps in Asiam profectus urbes et castella plura subigit:
Ptolemaeum Antigoni e fratre nepotem ad se pellectum cum
copiis capit [27.]. Polysperchontem Cassander promissis praemiis
sibi conciliat, impellitque ut Herculem regem destinatum per
insidias exstinguat [28.]. Lysimachia condita. Cleomeni regi La-
cedaemoniorum Areus succedit. In Sicilia Amilcar Syracusas
noctu clam adoriri et expugnare parat. sed cum ingenti clade
repulsus abit Poenorum exercitus: Amilcar captus Syracusas
abducitur [29.]. belli inopinatos eventus historicus admiratur.
Amilcaris trucidati caput ad Agathoclem perferendum curant
Syracusani [30.]. in residuo Poenorum exercitu cum metus et
dissidium omnia turbassent, Agrigentini Siciliae imperium oc-
cupare conantur, misso Xenodico, qui Gelam aliasque urbes
in libertatem vindicat [31.] idem Echetlam, Leontium et Ca-
marinam a Syracusanis defendit. Syracusanorum triremes 20
navibus frumentariis obviam missae a classe Punica agitantur
et premuntur [32.]. accepto nuntio de clade suorum in Sicilia
novo terrore Carthaginienses perculsi, res vero Agathoclis in
dies laetiores factae sunt. sed orta altercatio inter Lyciscum et
Agathoclem secutaque Lycisci caedes per Archagathum Aga-
thoclis filium tantam in castris seditionem excitavit ut paene
de Agathocle actum esset [33.]. reconciliatis militibus eo ipso
tempore cum Poeni eos defecturos sperarent, Agathocles nec-
opinantes invadit, iisque novam plagam infligit [34.]. In Italia
Romani simul in Hetruscos et Samnites bellum gerunt [35.].

Romae Appius Claudius censor novis institutis bene meret:
aqua Appia in urbem deducta, via Appia strata, magistratus
118. cum plebe vulgati [36.]. Ptolemaeus Aegypti princeps Myndo
1. solvens Graeciae urbes in libertatem asserere pergit. Cleopatra
Alexandri M. soror Sardibus iussu Antigoni occisa [37.]. In
Africa Agathocles relicto ad Tunetem filio Poenorum castra insequitur, eosque ad proelium provocatos acri certamine fundit [38.]. interea Numidae Graecorum castra spoliant. captivos Graecos Agathocles contra datam fidem exstinguit [39.]. iam augendis opibus intentus Ophellam Cyrenaicae praefectum in societatem allicit. Ophellas Graecorum etiam auxilia advocat [40.]. Ophellae copiarum numerus et per regiones memoratu dignas iter. episodium de Lamiae antro et fabula [41.]. regiones peragrandae porro describuntur. socium, cum adventasset, impia caede opprimit Agathocles. totoque eius exercitu potitur [42.]. Eodem tempore Bomilcar tyrannidis obtinendae consilia agitavit [43.]; sed oppressus a civibus supplicio occubuit. Agathocles naves spoliis onustas Syracusas mittit. Romanorum bella
118. in Samnites et Etruscos [44.]. Demetrius Antigoni filius a patre
2. iussus Epheso solvit ad Graeciam in libertatem vindicandam.
prima omnium Athenarum urbs vi capta, adhuc Cassandri praesidio occupata. Demetrius Phalereus urbis curator Thebas et inde in Aegyptum aufugit; Dionysius Munychiae praefectus una cum urbe vi captus [45.]. Antigono et Demetrio statuae positae et ara Servatorum dicata. inde liberae Athenae, Megara, Imbrus. senatus e civitatibus sociis constitutus [46.]. Demetrius vero ultra tendens in Cyprum traiecit, ut in Ptolemaei duces bellum gereret. apud Salaminem obviam factus Menelao Ptolemaei legato proelium commisit et Menelaum fudit, captivi ad Antigonum missi, qui tum in Syria Antigoniam novam urbem condebat. Menelaus, in urbem Salaminem pulsus, a Ptolemaeo auxilia requirit [47.]. oppugnatio urbis Salaminis a Demetrio interea suscepta. novae machinae helepolis descriptio. oppugnantium machinas incendio vastat Menelaus [48.]. his intervenit Ptolemaeus cum classe instructissima. copiarum advectarum naviumque numerus. Demetrius classem opponit, et ab urbe classeque oppidana hostem arcet [49.]. hinc ab utraque parte aciem ad conserendam pugnam instruunt [50.]. pugnae navalis descriptio [51.]. Demetrius victor [52.]. accepta hac clade Ptolemaeus, omissa Cypro in Aegyptum rediit. Antigonus victor regis nomen et dignitatem sibi filioque Demetrio imposuit. horum exempla ceteri etiam duces secuti reges se proclamari iusserunt. Res Libyae et Siciliae [53.]. Agathocles ipse quoque regis titulum assumit: simul facinus rege dignum aggredi properans in rebelles Vticenses movet. Vticam oppu-



gnans novo astutiae genere utitur [54.]. urbs tandem vi expugnata: in cives immanissime saevitum. subactis etiam multis aliis populis et urbibus, Agathocles in Siciliam redit, relicto in Libya filio Archagatho [55.]. In Sicilia Xenodocus pro libertate civitatum propugnabat, tum maxime proelio pulsus, cum Agathocles e Libya redux esset. Agathocles Heracleotas et Thermitas subigit, Centoripa clam intrat, Apolloniam expugnat [56.]. interea novus libertatis vindex in eum exsurgit Dinocrates. atque nunc res Agathoclis in deterius mutatae. in Libya quidem Eumachus, Archagathi legatus, plura oppida expugnat [57.]. aggreditur etiam expeditionem in Libyam superiorem ad Pithecussas usque [58.]. sed ecce nova melioraque consilia Carthaginienses capiunt, tripartito exercitu Graecorum copias in diversas partes distrahentes [59.]. tria Graecorum quoque agmina facit Archagathus. unum ducit Aeschrion, quod Hanno opprimit; alterum Eumachus, quod Imilco fundit [60.]. duplici hac clade afflictus Archagathus, a sociis insuper deseritur. Agathocles, de suorum in Libya calamitate certior factus, insula Leptinae permissa, ipse classem ducit, Poenosque proelio navali in fugam agit [61.]. recuperato imperio maris, Leptines Xenodocum terrestri proelio fudit [62.]. duplicem victoriam Agathocles sacris et epulis celebrat. ingenium regis, maxime in epulis proditum [63.]. revectus in Africam Agathocles damna reparare annititur; sed hostium castra adortus, cum magna clade repellitur [64.]. Poeni dum captivos diis immolant, castra universa succendunt, et omnia tumultu implent [65.]. Afros e Graecorum castris transfugas hostes rati, universi in fugam se dant, mutua caede se conficiunt, et ipsam Carthaginem in terrorem convertunt [66.]. similem terrorem transfugae, metu repulsi, Agathoclis castris inferunt. Graeci enim perturbati et in fugam rapti pro hostibus suos caedunt [67.]. hac calamitate afflictus Agathocles, cum in Siciliam clam suis refugere conatur, vi retinetur, et vinctus custodiae traditur [68.]. militum opera vinculis solutus evadit. quo facto milites eius filios occidunt, et cum Carthaginiensibus pacis conditiones ineunt [69.]. hic restat paullisper historicus, admirabiles rerum eventus considerans [70.]. Agathocles, in Siciliam reversus Egestanorum urbem adiit, pecunias exposcens. incolas horrendis cruciatuum generibus confecit, totamque urbem perdidit, ipso eius nomine deleto [71.]. atrocissimam autem civium caedem
eius iussu frater Antander Syracusis fecit [72.]. Antigonus, filio 118.
Demetrio cum copiis Antigoniam accito, bellum in Aegyptum 3.
movet. copiarum numerus, et iter Gazam usque [73.]. classis, cui Demetrius praeerat, ad Rhaphiam tempestatibus iactata et attrita ad Casium progressa Antigonum cum copiis terrestribus

in propinquo habet [74.]. sed cum Ptolemaeus aditus ab omni
parte praesidiis munivisset [75.], navesque ubique ab appulsu
litorum prohibuisset, Antigonus infecta re in Syriam redire
coactus est. ita Ptolemaeus Aegyptum, duplici bello defensam,
suo iure possidere sibi videbatur [76.]. Moritur Dionysius, He-
racleae tyrannus. Agathocles, ob defectionem Pasiphili in de-
sperationem adductus, regnum Dinocrati sub aequis conditioni-
bus offert [77.]. quod tyranni propositum, multis modis mira-
bile et inopinatum, intentius consideratur [78.]. dum vero Di-
nocrates cunctatur, a Syracusanorum democratia accipienda
alienus, gravioresque imponit conditiones, Agathocles, mutato
consilio, exsules in Dinocratem sollicitat, et cum Carthaginien-
118. sibus pacem facit [79.]. Samnium hoc tempore Romani igni
4. ferroque vastant [80.]. Antigonus sollicitus de Rhodiorum civi-
tate tunc opulentissima, quae Ptolemaeo favebat [81.], Rhodiis
naves et auxilia imperat, hisque recusatis, bellum infert [82.].
Demetrius appulsus castra munit, et piratas expedit ad prae-
dandum et populandum [83.]. Rhodii missis ad Ptolemaeum,
Lysimachum et Cassandrum legatis, eorum auxilia requirunt;
apparant etiam, quae ad propugnandam urbem conducere vi-
debantur [84. — 87.]. acerrime obnituntur Rhodii, hostiumque
impetus sustinent. emissae Rhodiorum naves magna clade De-
metrii, classem afficiunt, tempestate praeterea oppressam. si-
mul Cnosii et Ptolemaeus Rhodiis auxilio veniunt [88.]. Aga-
thocles in Sicilia interea bellum in Dinocratem renovat. pu-
gna apud Gorgium (Torgium) commissa, vincit Agathocles,
captos contra datam fidem obtruncat [89.]. Dinocratem inter
119. amicos recipit. Addita commemoratio rerum a Romanis con-
1. tra Samnites feliciter gestarum [90.]. Cum Rhodi oppugnatio a
mari suscepta haud processisset, Demetrius urbem a terra ad-
oriri instituit. machinarum apparatus [91.]. Demetrii singularis
in oppugnandis urbibus sollertia, unde *Poliorcetae* nomen in-
ditum. forma et dignitas corporis, ingenii praestantia, mores
[92.]. Rhodiorum opera hostium conatibus opposita [93. 94.].
novique Demetrii apparatus [95.]. commeatu a Ptolemaeo, Cas-
sandro et Lysimacho adiuvantur Rhodii [96. 97.]. eo recreati,
nova vehementia in hostes impetum faciunt. instantibus Grae-
carum civitatum legatis, pacis conditiones proponuntur, de
quibus tamen non convenit. renovant ab utraque parte bellum
[98.]. tandem adhortante et Antigono et Ptolemaeo pax initur.
pacis conditiones [99.]. Rhodiorum in suos regesque urbis ser-
vatores, praesertim Ptolemaeum, pietas. Demetrius exinde in
Graeciam movit, a Cassandro et Polysperchonte occupatam.
Hoc tempore Eumelus, Bospori rex, mortuus [100.]. In Sicilia
Agathocles nulla lacessitus iniuria Liparaeos iniusto bello op-



pressit. pecunias Aeoli et Vulcani nomine insignes cum ra-
puisset, vindictam divinam non effugit. In Italia inter Ro- 119.
manos et Samnites post 22 annos pax facta [101.]. Demetrii 2.
bellum pro liberanda Graecia continuatum. initium belli De-
metrius ab urbe Sicyoniorum facit, quam vi expugnat, et Pto-
lemaei praesidium expellit. Sicyonii ut servatorem et condito-
rem Demetrium venerantur [102.]. inde Corinthus per fraudem
capta; Prepelaus Cassandri legatus urbe expulsus ad Cassandrum
confugit: Achaiae urbes liberatae. Orchomenum Polysperchon-
tis praesidio firmatum vi expugnavit Demetrius, Strombichum,
praesidii praefectum, in crucem egit [103.]. In Italia Tarentini
cum Lucanis et Romanis bellum habuerunt. Spartani Tarenti-
nis auxilia misere, duce Cleonymo, cuius in Italiam excursio-
nes ibique factae populationes describuntur [104.]. tandem Cleo-
nymus ab eius regionis barbaris oppressus in Corcyram aufugit 119.
[105.]. Cassander ob factos Demetrii progressus regno suo me- 3.
tuens pacem ab Antigono impetrare studet. hac spe deiectus
Lysimachum, Ptolemaeum et Seleucum ad bellum contra Anti-
gonum concitat [106.]. ipse itaque contra Demetrium in Thes-
saliam, Lysimachus in Asiam movet; misso simul Prepelao cum
exercitu in Aeolidis et Ioniae urbes [107.]. Antigonus nuntio de
Lysimachi incursione accepto e Syria hosti obviam procedit et
pugnam offert. sed Lysimachus, eam evitare satius putans, no-
ctu aufugit, et castra ad Dorylaeum ponit [108.]. Antigonus,
hostem persecutus, eius castra obsidere parat; sed cum Lysi-
machus inde evaderet, discessum est in hiberna [109.]. In
Graecia Demetrius Athenis substitit, donec mysteriis Eleusiniis
esset initiatus. tum classe profectus, Larissam et complures
alias urbes recepit. Cassander, ut progressus prohiberet Deme-
trii castris sua opponit [110.]. interea a patre admonitus De-
metrius ut copias in Asiam transmitteret, res cum Cassandro
componit. Hoc tempore Mithridates Ponti rex mortuus filium
Mithridatem successorem habuit [111.]. Cassander post Demetrii
discessum civitates Thessaliae recuperavit, et Plistarchum cum
exercitu in Asiam Lysimacho auxiliatum transmisit. sed magna
navium hominumque pars naufragio periit. aegre emersit Pli-
starchus [112.]. Ex Aegypto etiam Ptolemaeus incursionem in
Syriam fecerat, qui tamen falso deceptus nuntio de Antigoni
victoria, in regnum se recepit. ceterum reges singuli copias
cogebant ad dimicandum proxima aestate de rerum summa
[113.].

## CORRIGENDA.

P. 41. c. 50. initio et p. 43. c. 51. init. v. Niebuhr. Hist. R. vol. II. p. 440. s. 73. 69. *Μαυσωλὸς*] Scribendum *Μαύσωλος* 96. 49. *μεθύοντες*] Non vitio librorum hoc sed negligentiae orationis Diodori tribuendum videtur. 50. omissa est annotatio: *ταῖς ὁρμαῖς*] scribendum *τῆς ὁρμῆς* 97. 84. *προςῆγε*] *προῆγε* Dobraeus. 140. 8. *ἐπί τινος ὑψηλῆς* Reiskius. 270. 52. *πα—ρεμβολῇ* 278. 49. *ἐπετίθετο*] Scribendum *ἐπετέθειτο*. 310. 19. *ἀνακαθάραντος* 371. 19. *Ἀριστοτέλην* 418. 20. *Ἀδρυμητινῶν*] Scribendum *Ἀδρυμητίνων*.

*In annotat.* p. ed. Wess. 7. 8. *κατορθώμασι* 15. 74. *ὑπάρχειν* 20. 97. *τέσσαρα* 55. 69. conf. annotat. ad p. 282. 61. 106. 21. *Σπάρτακος* 112. 35. *δωρεὰν*] *δωρεὰν* om. 188. 57. Exc.] Floril. 59. eadem] Floril. 211. 49. *Τίγριν* 238. 24. *σάρισαν* F] *σάρισαν* 275. 6. *ἐλλειπεῖς* 284. 96. conf. annot. ad p. 378. 63. 460. 68. F Bas. 28. *προπλέων*] *προπλέων* Kaltwasserus: 480. 8. conf. annot. ad p. 370. 76.

DIODORI

# BIBLIOTHECA HISTORICA

EX RECENSIONE

LVDOVICI DINDORFII.

VOL. II. PARS II.

EXCERPTA HOESCHELII, PHOTII, VALESII, VRSINI. FRAGMENTA.

LIPSIAE

SVMPTIBVS C. H. F. HARTMANNI.

MDCCCXXIX.

# PRAEFATIO.

Inter opera litterata, quibus nomen suum nobilitavit Constantinus imperator porphyrogenitus, primo loco numeramus grandem eius eclogarum ex veteribus historicis collectionem, etiam postquam ampli operis pars longe maxima per eandem insecutorum temporum seu inertiam seu infelicitatem, quae instituendi caussa fuerat Constantino, neglecta periit. Ei operi Diodori quoque de viginti quinque perditis libris tantum ad nos propagatum debemus, unde et forma universae eius Bibliothecae accuratius cognosci et historia multum saepe illustrari possit. Quas eius reliquias quattuor viri exstiterunt qui ab interitu vindicarent. Ac primus F. Vrsinus, acceptis ab Ant. Augustino archiepiscopo Tarraconensi Polybii fragmentis περὶ πρεσβειῶν *) quibusdam, quas Ioannem Cpolitanum, dum Rom. antiquitatem in capita et locos communes digereret, collegisse scribit, ea fragmenta Antverpiae edidit a. 1582., caeterorum quos eum ex eodem codice edidisse patet historicorum, Dionysii, Diodori, Appiani, Dionis, ne nominibus quidem neque in praefatione neque in libri inscriptione nisi pagina aversa locum

*) πρεσβειῶν Vrsinum intulisse, quum πρέσβεων in codice invenisset, a Schweighaeusero praef. ad Polyb. vol. II. p. XV. monitum est. Quare et me velim πρέσβεων posuisse p. 162.

concedens. Et Vrsinus quidem nec rationem operis Constantiniani ita videtur perspexisse ut lacunam duodeviginti ferme librorum, qua Diodori excerpta hiant ed. nostrae p. 163., animadverteret, neque in reddendo codice, quem ab infinitis pene mendis vindicasse narrat, satis fideliter versatus esse. Quocirca commodissime accidit quod ipsius huius de Legatis tituli alius liber manuscriptus aetatem tulit, quem olim Augustae nunc Monachii servatum in ed. Bipontinae usum excussit Io. Schweighaeuserus, cuius de eo adeunda est praefatio ad Polybium vol. II. p. XXIV. Quo libro collato et vitia multa emendata lacunaeque suppletae sunt, et quae librorum circiter X.—XXVIII. eclogae desiderantur, has apparuit iam illo ex libro unde Augustanus Vrsinianusque ducti sunt evanuisse, nihilque esse quod ipse Vrsinus omiserit, id quod in aliorum eum scriptorum eclogis fecisse Schweighaeuserus notat l. c. p. XX.

Eiusdem huius de Legatis tituli partem alteram, quae recentiores historicos complectitur, annis uno et viginti post Augustae Vindel. edidit Dav. Hoeschelius. Quae res nihil ad Diodorum pertineret, nisi ille corollarii instar librorum Diodori XXI. — XXVI. eclogas editioni suae adiecisset, quas ab ignoto homine confectas Ric. Thomsonem Anglum ex Lud. Alemanni Florentini libro MS. secum communicasse memorat. Hae eclogae an et ipsae collectionis Constantinianae partem constituerint non liquet: differunt quidem ab ea librorum distinctione auctoremque produnt ipsis hominibus Constantinianis rudiorem: cuius culpam vix multum iri minutum existimo, etiamsi Alemanniano codice, qui longe vitiosissimus est, integrior ullus exstet.



Hoeschelium anno 1634. consequutus est Henr. Valesius edito amplo περὶ ἀρετῆς καὶ κακίας titulo, cuius exemplar manuscriptum ex insula Cypro redemerat Nic. Fabr. Peirescius. Quod ipsum, ut videtur, cum ed. Valesii denuo contulerat Salmasius, cuius annotationes cum Wesselingio communicavit Io. God. Richterus. Finem libri periisse annotavit Valesius: integro inerant eclogae librorum VII.—XL.

Et his quidem tribus viris facili omnibus opera constiterunt quae ab eis in lucem prolatae sunt Constantiniani operis particulae. Quae longe molestior exantlanda fuit indefessae A. Maii industriae, quum Novae collectionis suae volumine secundo editum titulum περὶ γνωμῶν ex disiectis palimpsesti Vaticani foliis erueret. De quo labore ipsoque libro quum ab editore satis sit expositum ed. nostrae p. III.—IX., nos id unum commemoramus, Vaticanum codicem, postquam pristinae formae restitutus est, VII. — XII. et XV. — XL. Diodori librorum eclogas sententiosas exhibere, nisi quod ablato codicis initio septimi fortasse non omnes supersunt. Nam quae in editos libros incidebant sponte omisit Maius, ut Peirescianarum Valesius: cuius exemplum ita eum imitatum vellemus, ut quam ipse ad p. 44, 17. memorat varietatem scripturae apponere non omitteret. Necesse est enim harum eclogarum libros, utpote ex antiquissimis exemplaribus ductos raroque descriptos, ab vitiis quae reliquos Diodori codices invaserunt saepe intactos mansisse.

Ipsorum eclogariorum operam quod attinet, ea plane fuit mercenariorum: qui ex mandato sibi scriptore tantum quantum ad suum quisque pensum pertinere duceret sumentes saepe nec verborum nexum

curarent, adeoque in media quandoque sententia subsisterent, et nominibus omittendis rerum traditarum intellectum turbarent. Quo in genere diligentius versatus est Photius, qui perditorum aliquot post trigesimum librorum particulas in Bibliothecam suam recepit. Quanquam ille dum compendium adhiberet verbaque Diodori suis mutaret, et alia depravavit et illud vereor ut recte tradat, Viriathi res Diodorum totas libro XXXII. comprehendisse. Eas enim si eodem libro coeptas finitasque sumimus, Valesiana Vaticanaque libri XXXII. excerpta tam fiunt ampla quam sequentis rebus annisque paupera. Quae res Maium induxit ut XXXIII. libri initium a Corinthi excidio faceret Carthaginisque et Corinthi eversiones inter duos libros dispertiret. Quod qui probet, debebit quae de Alexandro Bala post Corinthi excidium sunt in Exc. Val. p. 592. 58. ad Diodoti Tryphonis magis quam Balae historiam continuandam narrata credere, siquidem Balae caedem (Ol. 158. 4. Euseb. p. 188. M.) extremo libro XXXII. scriptam testatur Photius. Mihi nec Maii nec Photii distinctio satisfacit, sed tertia inter utramque media veritati propior fore videtur.

Fragmentorum collectionem, quam Wesselingius instituerat, ego multis locis auxi, alienis nonnullis liberavi, omnia ita digessi ut fieri posset ab eo qui Wesselingii ordinem, ne paginarum series penitus turbaretur, non omnino oblitteratum vellet. Quae ratio ineunda non fuisset in maiore quam est fragmentorum numero.

---

# ADDENDA.

P. 491. 72. *αὐτοῦ*] Diodorus haud dubie *τοῦ*, sed *αὐτοῦ* scripserat eclogarius.

P. 496. 82. *ὑπὸ*] Scribendum *ἀπό*.

P. 503. 83. Post *ἀνεῖλε* quae sequuntur cum prioribus non cohaerent. — 16. *Κάμικον*] Scribendum *Καμικόν*.

P. 507. 92. Dele comma post *σύμμαχοι*. — 16. *ἀπέστειλεν Ἀννίβας τριήραρχον*] Atqui Hannibal ipse *τριήραρχος* erat Adherbalis: Polybius I. 44. 1. *Ἀννίβαν, ὃς ἦν Ἀμίλκου μὲν υἱός, τριήραρχος δὲ καὶ φίλος Ἀτάρβου πρῶτος.* Quare scribendum *ἀπέστειλαν Ἀννίβαν τριήραρχον.* Dixit de hoc munere Schweighaeuserus ad Polyb. II. 1. 9.

P. 508. 35. *μακρῶν*] Haud dubie *μικρῶν* corrigendum, quod invenit sed repudiavit Wesselingius.

P. 510. 50. *πρὶν πολέμου*] Scymnus v. 715. *κτίζουσι πρὶν Βυζαντίου.*

P. 511. 70. 89. *Ὀρισσών*] *Ὠρισία* urbs non longe hinc dissita ab Stephano memoratur, sed forma gentilis longe diversa.

P. 513. 59. *ἀνθρώπων*] Nonne *ἀνθρωπίων*?

P. 530. 27. *ἐνεβάλετο χάρακα*] Comparari potest *τάφρον ἐνέβαλε* Plutarchi vita Artaxerxis c. 7.

P. 533. 40. *γυναικείαις θυσίαις προςαυλοῦντα* Lobeckius in Dissert. de Cotyttiis 1828. p. 4.

P. 538. 5. Scribe *Μαρκίου*, ut annotatio docet.

P. 546. 28. *τέτευχεν*] Aptius est *ἔτυχεν*.

P. 550. 88. Hunc locum Suidas v. *Συβαριτικαῖς* cum his varietatibus affert: *γάστριες* — *ὅτι συνέβαινεν αὐτοὺς*] *διότι συνέβαινε ναὐτοῖς* — *ἐν*] *νηὶ* — et quod receptum vellem *ἀναχθῆναι λέγεται* — *τοὺς ἐρέτας ἔχων*. Idem v. 94. omittit *ὢν εἶναι*, tum scribens *ἀντιμνηστεύοντας* et *Κλεισθένους θυγα-τρὸς* pro *γυναικός*.

P. 560. 2. Per hunc locum apud Suidam v. *Τίμαιος* p. 472. hae sunt varietates: *ἐλέγξας*] *ἐξελέγξας* 4. *τἄλλα*]

ἄλλα 9. τελευτήσαντα] τελευτήσαντος 14. μόνον γενομένας] invertit 15. ἐξαμαρτόντα] ἐξαμαρτάνοντα 25. σχεδὸν om. πολλὴν — τε καὶ] καὶ πολλὴν — καὶ 32. φιλαληθὲς] recte φιλάληθες 33. ἕνεκεν] ἕνεκα.

P. 568. 62. annot. dele.

P. 573. 51. ἐγίνετο] Immo ἐγένετο.

P. 589. 99. Verum est ἐπεσήμαινε.

P. 596. 76. οἱ] ἡ Valesiana.

P. 600. 42. ἀναγωγός] Scribe ἀνάγωγος.

P. 602. 43. Γοργὸς — 47. Γοργοῦ] Scribendum Γόργος — Γόργου.

P. 603. 26. Σεξτίου reponendum cum Valesio.

P. 609. 11. annot. dele.

P. 627. 54. Reiskii coniectura locum non habet.

Fragm. I. v. 28. Scr. ἕως. — XXI. 8. *Eordensibus*] *Eordaeis* corrigi iubet Maius in Add. p. 109. — 18. *subdit*] V. idem ad Exc. Vat. p. 4. 3. — XXVI. v. 4. Post κληθῆναί φασιν deesse quaedam videntur. — XXXII. ἐβασίλευεν] Immo ἐβασίλευσεν. — XLVI. De Demetrio Antigoni patre v. Niebuhrius Opusc. I. p. 233.

# ADDENDA
## AD EXCERPTA VATICANA.

P. 2. 1. ἔγωγε] ἐγώ τοι cum Eusebio Theodoretus vol. IV. p. 927. 961. Sch. — 11. Quum ἀρετῆς sit in codice, non Eusebianum ἱερῆς sed rescribendum est ἐρατῆς.

P. 3. 9. γὰρ] Malim γάρ ῥ'. Quod ternum rho sic ponit Homerus Il. δ, 467. νεκρὸν γάρ ῥ' ἐρύοντα. — 13. πρεσβυγενέας Plutarchus vol. IX. p. 155. R. se ipse corrigens in vita Lycurgi.

P. 9. 22. καὶ γενεὰν δώσει τοι· ὁ δὲ πρότερόν γε κελεύει οἰκίσσαι σε Hermannus.

P. 10. 13. ἐμπόρων Συβαριτῶν] εὐπόρων Συβαριτῶν recte corrigit Geelius Biblioth. crit. novae vol. IV. p. 437. — Idem v. 15. εἰληφὼς εἴη ῥῆγμα ex loco Timaei, quem citavi in Add. Ab Timaeo autem omnem de Sybaritarum luxurie narrationem in Vaticanis Valesianisque Excerptis scriptam petiit Diodorus.

P. 11. 10. Post ἀποδημίαν oblitteratum fortasse μίαν.

P. 12. 9. σὺ Hermannus ubi ego τὸ.

P. 13. 3. annotationi praefigendum Ἔντιμε, non Ἔντιμος. — 6. Γέλᾳ συνομώνυμον ἀγνῷ Hermannus. — 11. Verum est δέ σοι vel δέ τοι.

P. 14. 16. Interpunge post Ἀνδρέας.

P. 16. 9. τούτων] Σόλωνα Geelius. V. annot. ad p. 25. 12. Σόλωνα recte fortasse addetur: τούτων non deleverim. — 22. πυθομένους] V. annot. ad Exc. Valesii p. 567. 13.

P. 18. 4. λόγοις suspectum esse possit. — 6. ἐπιβουλῆς] Scribe ἐπιβολῆς, etsi illud est p. 23. 11.

P. 21. 2. In margine adde 19.

P. 26. 3. δικαιότερον] Malim δικαιότατον.

P. 27. 13. ἀπεβάλετο fortasse eclogarii est. Eustathius ad Il. p. 1166. 25. ὅτε καὶ τὸν υἱὸν Ἴκαρον ἀπεβάλετο συμφεύγοντα, qui et συμβουλευσαμένη, de quo dixi p. 57. 7., pro activo ponit p. 1169. 50.

P. 29. 3. Ὅτι Ἅρπαγος — εἰπεῖν] Eodem modo dissoluta structura affuit p. 19. 5., nisi utroque loco reponendus est indicativus. Sed p. 28. 31. scribe ἐπηρώτησε.

P. 30. 9. Hic versus continuandus cum praecedentibus.

P. 31. 3. l. Σερούιος.

P. 32. 16. In Add. ad h. l. γραμμικῆς scribe pro γραμματικῆς.

P. 36. 29. κατεστήσατο] Vereor ne συνεστήσατο dici debeat.

P. 39. 10. Fortasse addendum ὡς.

P. 47. 1. καταχθῆναι] κατασταχθῆναι Geelius.

P. 52. 1. μεταλαβὼν] καταλαβὼν scribendum esse monitum in Annot. ad Exc. Hoesch. p. 497. 91.

P. 60. 2. Οὐοδόστωρ] Βοδόστωρ Exc. Vales. p. 566. 67. 93.

P. 62. annot. v. 13. l. dum.

P. 63. 4. annot. ubi est ἐπιβολάς, ἐπιτηδεύειν voluerat Maius.

P. 71. 20. οὐδὲ] Malim οὐδὲν.

P. 76. 26. μὴ] Fortasse scribendum est μηδέν.

P. 78. 10. πλὴν τῶν coniicit Bernhardy. — 23. πράξειν] Diodorus scripserat πράξων. — annot. 4.] l. 3.

P. 79. 7. In πεντακιςχιλίων cum Polybio consentit Diodorus Exc. Vrsin. p. 621. 68., ubi v. Wesseling.

P. 80. 7. οὕτω] Immo οὕτω τῷ. — 22. Coniungenda haec cum prioribus videntur.

P. 83. 23. ὅπως] Exspectabam ὥςτε. οὕτως coniicit Bernhardy. Idem p. 84. 2. ὅπως in ὁ mutat. Verisimilius est πῶς ὁ.

P. 84. 4. ἐδέξατο] ἠλλάξατο Geelius.

P. 85. 9. ἀντιδοξουμένου] Immo ἀμφιδοξουμένου. — 15. In his fortasse deest aliquid: quanquam structurae eadem fere negligentia est p. 86. 1. seq.

P. 94. 24. τῶν] An πάντων? — 26. τῶν Θεῶν] Immo τῷ Θεῷ vel τὸν Θεόν.

P. 95. 16. ἐπιγενομένων] Corrigendum ἐπιγινομένων.

P. 98. 9. Relinqui eclogario poterat ἄρκων. — 19. εὐαγωδίων παντελῶς μικρῶν] Diodorus vol. I. p. 285. 9. μικροῖς παντελῶς ἀκατίοις. Dio Chrys. vol. I. p. 219. R. ἐν μικρῷ παντελῶς ἀκατίῳ.

P. 105. 1. annot. v. 3. CCXLIV. volebat Maius.

P. 107. 4. ἑκουσίως ἀναδεικνύναι μὴ προαιρεῖσθαι. διεβεβαιοῦτο δὲ Bernhardy.

P. 110. annot. 4. v. 20. cum — DCXIV. delenda. — 5. Quae post Mai. sunt dele.



P. 112. 18. Post γάρ ponendum signum interrogandi.

P. 116. 20. ἐπαυτοματίσαι] Legendum videtur ἀπαυτοματίσαι.

P. 122. 9. ψιλοῖς] φίλοις? ταύτης autem ad ἀνδραγαθίαν referri videtur. — annot. v. 15. l. Carbonis.

P. 126. 24. ταπεινοτέρας δόξης] Comparari potest Exc. Val. p. 607. 95. ταπεινότατος ὢν τῶν πρεσβευτῶν τῇ δόξῃ.

P. 128. 12. Φιλίππου] Immo Italicorum Druso fidem obstringentium, ut contra eclogarium monet Niebuhrius. — 23. annot. dele: nam scribendum ὡς.

P. 134. 7. χωρεῖ] χειραγωγεῖ Geelius.

P. 136. 21. Comma ante εἶτα pone.

P. 137. 6. Γνάϊος divisim scribebatur. Vnde Suidas ponit inter Γναθωνίδης et γναμπτή.

P. 139. 2. ὁ δὲ — αἰῶνος a prioribus separanda sunt et ad Scaevolam referenda coll. Exc. Val. p. 616. 45.

P. 140. 24. ἔτι καὶ] Malim ἔτι δὲ vel ἔτι δὲ καί.

# EXCERPTA HOESCHELIANA.

## *ΒΙΒΛΙΟΝ ΚΑ΄.*

489 Πᾶσαν μὲν. κακίαν φευκτέον ἐστὶ τοῖς νοῦν ἔχουσι, 1
μάλιστα δὲ τὴν πλεονεξίαν. αὕτη γὰρ διὰ τὴν ἐκ τοῦ
συμφέροντος ἐλπίδα προκαλουμένη πολλοὺς πρὸς ἀδικίαν
μεγίστων κακῶν αἰτία γίνεται τοῖς ἀνθρώποις. διὸ καὶ
μητρόπολις οὖσα τῶν ἀδικημάτων πολλὰς καὶ μεγάλας
ἀπεργάζεται συμφορὰς οὐ μόνον τοῖς ἰδιώταις ἀλλὰ καὶ
τοῖς μεγίστοις τῶν βασιλέων. ὁ Ἀντίγονος ὁ βασιλεὺς
Ἀσίας τέσσαρσι βασιλεῦσιν ὁμονοήσασι πολεμήσας, [οἱ]
Πτολεμαίῳ τῷ Λάγου Αἰγυπτίων ὄντι βασιλεῖ, Σελεύκῳ
Βαβυλωνίων, Λυσιμάχῳ Θρᾳκῶν, Κασάνδρῳ τῷ Ἀν-
τιπάτρου Μακεδονίας, καὶ μάχην συνάψας, πολλοῖς βέ-
λεσι τρωθεὶς ἀνῃρέθη, καὶ θάπτεται βασιλικῇ τιμῇ. ὁ
δὲ υἱὸς αὐτοῦ Δημήτριος σὺν τῇ μητρὶ αὐτοῦ Στρα-
τονίκῃ διατριβούσῃ περὶ Κιλικίαν σὺν τοῖς χρήμασι
πᾶσιν ἔπλευσεν εἰς Σαλαμῖνα τῆς Κύπρου διὰ τὸ κατέ-
χεσθαι ὑπὸ Δημητρίου.

490 Ὅτι Κέρκυρα πολιορκουμένη πλοῒ καὶ πεζῇ ὑπὸ 2
Κασάνδρου βασιλέως Μακεδόνων, καὶ ἑτοίμη οὖσα ἁλω-
θῆναι, ὑπὸ Ἀγαθοκλέους βασιλέως Σικελίας ἐῤῥύσθη,
τῶν νηῶν τῶν Μακεδονικῶν ἁπασῶν ἐμπρησθεισῶν.

P. 489. inscr. *Ἀδήλου ἐκ τῶν χρονικῶν Διοδώρου* inscribit H i. e. editio Hoeschelii. Sunt autem Hoescheliana Excerpta ut reliquis multo depravatiora, ita ab homine condita quam maxime rudi, cui relinqui par est quae ipsius ex barbarie profecta sunt. 3. *αὕτη*] *αὐτὴ* H *ἐκ* suspectum est 8. *μόνον* ed. Rhodomanni, *μόνων* H 11. *οἱ* delet Rhodomannus 12. *Βαβυλωνίων* Rhod., *Βαβυλῶνι* H 16. *αὐτοῦ*] *αὑτοῦ* H 21. *πλοῒ* Reiskius ad Constantini Caerimon. p. 66., *πλοὶ* H *πεζῇ* Wesselingius, *πεξὶ* H
490. 25. *ἐμπρησθεισῶν* Rhodomannus, *ἐμπρησθησῶν* H

πολλὰ κενὰ τοῦ πολέμου· ἄγνοια γὰρ καὶ ἀπάτη πολλάκις οὐκ ἔλαττον κατεργάζεται τῆς ἐν τοῖς ὅπλοις ἐνεργείας.

3 Ὅτι παραγενηθεὶς ἐπὶ τὸ καταλειφθὲν στρατόπεδον Ἀγαθοκλῆς μετὰ τὴν ἐκ Κερκύρας ὑποστροφήν, καὶ πυθόμενος τούς τε Λίγυας καὶ τοὺς Τυῤῥηνοὺς ἀπῃτηκέναι τοὺς μισθοὺς τὸν υἱὸν αὐτοῦ Ἀρχάγαθον κατὰ τὴν ἀπουσίαν αὐτοῦ, πάντας ἀπέσφαξεν, οὐκ ἐλάττους τῶν δισχιλίων. τῶν δὲ Βρεττίων ἀλλοτρίως διὰ ταῦτα πρὸς αὐτὸν διατεθέντων, ἐπεχείρησε πολιορκῆσαι πόλιν ὀνομαζομένην Ἤθας. τῶν δὲ βαρβάρων ἀθροισάντων μεγάλην δύναμιν, καὶ νυκτὸς ἀπροσδοκήτως ἐπιθεμένων αὐτῷ, ἀπέβαλε στρατιώτας τετρακισχιλίους, καὶ οὕτως ἐπανῆλθεν εἰς Συρακόσας.

4 Ὅτι Ἀγαθοκλῆς τὰς ναυτικὰς δυνάμεις ἀθροίσας διέπλευσεν εἰς Ἰταλίαν. διανοούμενος ἐπὶ Κρότωνος στρατεύειν, πρὸς Μενέδημον τὸν Κροτωνιάτην τύραννον, ἑαυτοῦ φίλον ὄντα, πέμψας ἀγγελιαφόρον μὴ θορυβεῖσθαι αὐτοὺς ψευδῶς, θέλων αὐτὴν πολιορκῆσαι, Λάνασσαν τὴν θυγατέρα λέγων πέμπειν πρὸς τὴν Ἤπειρον ἐπὶ τὸν γάμον, στόλῳ κεκοσμημένην βασιλικῷ, καὶ οὕτως ἀπατήσας εὗρεν ἀνετοίμους. εἶτα πολιορκήσας ἀπὸ θαλάσσης εἰς θάλασσαν περιέβαλε τείχη, καὶ διὰ πετροβόλου καὶ διορυχῆς τὸν μέγιστον οἶκον καταῤῥάξας, ὡς ἴδον οἱ Κροτωνιᾶται, φόβῳ τὰς πύλας ἀνοίξαντες ἐδέξαντο τὸν Ἀγαθοκλέα καὶ τὸ στράτευμα. εἰσπεσόντες δὲ εἴσω τῆς πόλεως τὰς μὲν οἰκίας διήρπαζον, τοὺς δὲ ἄνδρας κατέσφαξαν. πρὸς δὲ τοὺς ὁμόρους βαρβάρους Ἰάπυγας καὶ Πευκετίους συμμαχίαν ἐποιήσατο, καὶ ναῦς ληστρικὰς χορηγῶν αὐτοῖς τὰ μέρη τῶν λειῶν ἐλάμβανε. καὶ φρουρὰν ἀπολείπων εἰς Κρότωνα εἰς Συράκοσαν ἔπλευσεν.

5 Ὅτι Δίυλλος Ἀθηναῖος συγγραφεὺς τὰς κοινὰς πρά-

27. τῆς — ἐνεργείας Rhod., τὴν — ἐνέργειαν H cum Exc. Vat. p. 48. 2. ed. Lips. 29. καταλειφθὲν Rhod., καταληφθὲν H 31. πυθόμενος τούς τε Λίγυας — Τυῤῥηνοὺς ἀπῃτηκέναι τοὺς μισθοὺς — κατὰ — αὐτοῦ Exc. Vales. p. 559. 39. s., πόθῳ μὲν τοὺς τεμγύας — τυῤῥικοὺς ἀπηντηκέναι αὐτοὺς μισθωτοὺς — καὶ — αὐτῆς H 32. Ἀρχάγαθον] Ἀγάθαρχον rectius, ut videtur, p. 559. 41. 36. πολιορκῆσαι Rhodomannus, πολιορκήσας H 43. Κρότωνος] Κρότωνα Rhod. 44. ἀγγελιαφόρον Rhod., αἰκλίσφορον H 45. αὐτοὺς] αὐτὰς H 50. περιέβαλε τείχη] immo περιέλαβε τείχει 51. οἶκον] πύργον suspicatur Reiskius 55. ὁμόρους Rhod., ὁμόῤῥους H βαρβάρους Rhod., βαρβάρους καὶ H 56. ἐποιήσατο vertendo expressit Rhod., ἐποιήσαντο H 58. λειῶν Rhod., νεῶν H ἀπολείπων] immo ἀπολιπὼν 60. Δίυλλος Wes-



ξεις συντάξας ἔγραψε βιβλία εἴκοσιν ἕξ· Ψάων δὲ ὁ Πλαταιεὺς τὰς ἀπὸ τούτου διαδεξάμενος πράξεις ἔγραψε βιβλία τριάκοντα.

Ὅτι ἐπὶ τοῦ πολέμου τῶν Τυῤῥηνῶν καὶ Γαλατῶν 6
καὶ Σαμνιτῶν καὶ τῶν ἑτέρων συμμάχων ἀνῃρέθησαν ὑπὸ Ῥωμαίων Φαβίου ὑπατεύοντος δέκα μυριάδες, ὥς φησι Δοῦρις.

Ὅτι Ἀντίπατρος διὰ φθόνον τὴν ἰδίαν μητέρα 7
ἀνεῖλε. Ὅτι Ἀλέξανδρος ἀδελφὸς Ἀντιπάτρου προσκαλεσάμενος Δημήτριον βασιλέα εἰς βοήθειαν δολοφονεῖ-
491ται ὑπ’ αὐτοῦ. ὁμοίως καὶ Ἀντίπατρον τὸν μητραλοίαν, ἀδελφὸν αὐτοῦ Ἀλεξάνδρου, καὶ αὐτὸν ἐδολοφόνησεν, οὐ βουλόμενος σύνεδρον ἔχειν τῇ βασιλείᾳ.

Ὅτι Ἀγαθοκλῆς συναθροίσας δυνάμεις εἰς Ἰταλίαν 8
διεπέρασεν ἔχων πεζοὺς τρισμυρίους, ἱππεῖς τρισχιλίους. τὴν δὲ ναυτικὴν δύναμιν Στίλπωνι παραδοὺς λεηλατεῖν ἐπέταξε τὴν Βρεττίων χώραν. οὗτος πορθῶν τὰς παραθαλασσίους κτήσεις χειμῶνι περιπεσὼν τὰς πλείους τῶν νηῶν ἀπέβαλεν. ὁ δὲ Ἀγαθοκλῆς πολιορκήσας τῶν Ἱππωνιατῶν πόλιν καὶ διὰ μηχανῶν πετροβόλων τῆς πόλεως ἐκυρίευσε καὶ ταύτην εἷλε. τῶν δὲ Βρεττίων καταπλαγέντων, πρέσβεις ἀπέστειλαν ὑπὲρ διαλύσεως. καὶ λαβὼν παρ’ αὐτῶν ἑξακοσίους ὁμήρους καὶ φρουρὰν ἀπολιπὼν εἰς Συρακόσας ἐπανῆλθεν. οἱ δὲ Βρέττιοι τοῖς ὅρκοις μὴ ἐμμείναντες, ἀλλὰ πανδημεὶ στρατεύσαντες ἐπὶ τοὺς ἀπολειφθέντας στρατιώτας, τούτους κατέκοψαν· τοὺς δὲ ὁμήρους ἀνασώσαντες ἀπελύθησαν τῆς Ἀγαθοκλέους δυναστείας.

συγγνώμη τιμωρίας αἱρετωτέρα.

Ὅτι οἱ πλεῖστοι τῶν ἀγόντων στρατόπεδα, καθ’ οὓς 9
ἂν καιροὺς ἐν ἀτυχήμασιν ὑπάρχωσι μεγάλοις, ἀκολουθοῦσι ταῖς τῶν πολλῶν ὁρμαῖς, φοβούμενοι τὰς ἐναντιώσεις αὐτῶν.

Ὅτι Δημήτριος ὁ βασιλεὺς τὸ δεύτερον ἀποστατη- 10
σάντων Θηβαίων πολιορκίᾳ τὰ τείχη καθελὼν τὴν πόλιν

selingius, Δίαλλος H 61. εἴκοσιν ἕξ] κς′ H 62. Ψάων] Ψαὼν H Πλαταιεὺς Rhod., Πλατεὺς H 63. τριάκοντα] λ′ H 66. μυριάδες — φησι Δοῦρις Rhod., μυρία δὲ — φασὶ Δουροις H

491. 72. αὐτοῦ] praestat fortasse τοῦ 78. πορθῶν τὰς — κτήσεις Rhod., πορθοῦντας — κτίσεις H 79. ἀπέβαλεν] ἀπέβαλε H 80. τῶν] immo τὴν Ἱππωνιατῶν Rhod., Ἱππονιακῶν H 81. καὶ supervacuum videtur ἐκυρίευσε — εἷλε Rhod., ἐκυρίευσαν — εἷλον H 84. ἑξακοσίους] χ′ H ἐπανῆθεν H 95. ἀποστατησάντων Θηβαίων Rhod., ἀποστατήσαντος Θηβῶν H

κατὰ κράτος εἷλε, δέκα μόνους ἄνδρας ἀνελὼν τοὺς τὴν ἀποστασίαν κατεργαζομένους.

11 Ὅτι Ἀγαθοκλῆς ἀπέστειλεν Ἀγαθοκλῆ τὸν υἱὸν πρὸς Δημήτριον τὸν βασιλέα φιλίαν συνθέσθαι καὶ συμμαχίαν. ὁ δὲ βασιλεὺς ἀσμένως δεξάμενος τὸν νεανίσκον, στολὴν περιτιθεὶς βασιλικὴν καὶ δῶρα δοὺς μεγαλοπρεπῆ συναπέστειλεν Ὀξύθεμιν τῶν φίλων ἕνα, τῷ μὲν δοκεῖν τὰ πιστὰ λαβεῖν τῆς συμμαχίας, τῷ δὲ ἔργῳ κατασκεψόμενον τὴν Σικελίαν.

12 Ὅτι Ἀγαθοκλῆς ὁ βασιλεὺς πολὺν χρόνον εἰρηνεύων πρὸς Καρχηδονίους μεγάλην ἐπεποίητο παρασκεύασιν ναυτικῶν δυνάμεων. διενοεῖτο γὰρ πάλιν εἰς τὴν Λιβύην διαβιβάζειν στρατόπεδα, καὶ ταῖς ναυσὶν εἴργειν τοὺς Φοίνικας τῶν ἀπὸ τῶν Σαρδῶν καὶ Σικελῶν σιτοπομπιῶν. καὶ ἐν τῷ προγεγονότι κατὰ τὴν Λιβύην πολέμῳ θαλαττοκρατοῦντες οἱ Καρχηδόνιοι διέσωσαν ἐκ τῶν κινδύνων τὴν πατρίδα. εἶχε δὲ ναῦς Ἀγαθοκλῆς ὁ βασιλεὺς ἐξηρτυμένας διακοσίας τετρήρεις καὶ ἑξήρεις· ὅμως εἰς πέρας τὴν προαίρεσιν οὐκ ἤνεγκε διὰ τοιαύτας αἰτίας. Μαίνων ἦν Αἰγεσταῖος τὸ γένος· ἐν δὲ τῇ καταλήψει τῆς πατρίδος ἡλωκὼς δοῦλος ἐγένετο διὰ τὴν εὐπρέπειαν τοῦ σώματος τῷ βασιλεῖ. καὶ μέχρι μέν τινος εὐδοκεῖν προςεποιεῖτο, τῶν ἐρωμένων καὶ φίλων εἷς ἀριθμούμενος· διὰ δὲ τὴν τῆς πατρίδος συμφορὰν καὶ τὴν περὶ αὐτὸν ὕβριν ὑπούλως ἔχων πρὸς τὸν δυ- 492
νάστην, καιρὸν ἔλαβε τῆς κατὰ αὐτοῦ τιμωρίας. ὁ γὰρ βασιλεὺς ἤδη γεγηρακὼς τὰς ὑπαίθρους δυνάμεις Ἀρχαγάθῳ παραδεδώκει. οὗτος δὲ ἦν Ἀρχαγάθου μὲν υἱὸς τοῦ κατὰ Λιβύην σφαγέντος, υἱωνὸς δὲ τοῦ βασιλέως Ἀγαθοκλέους, ἀνδρείᾳ δὲ καὶ ψυχῆς εὐτολμίᾳ πολὺ τοῦ κατὰ λόγον ὑπεραίρων. στρατοπεδεύοντος αὐτοῦ περὶ τὴν Αἴτνην, ὁ μὲν βασιλεὺς βουλόμενος προάγειν ἐπὶ τὴν διαδοχὴν τῆς βασιλείας τὸν υἱὸν Ἀγαθοκλῆ, πρῶτον μὲν ἐν ταῖς Συρακούσαις συνέστησε τὸν νεανίσκον, ἀποφαινόμενος διάδοχον ἀπολείψειν τῆς ἀρχῆς· μετὰ δὲ

98. κατεργαζομένους] immo κατεργασαμένους 2. περιτιθεὶς] immo περιθεὶς 3. Ὀξύθεμιν Rhod., Ὀξυθέμην H 4. τῷ Rhod., τὸ H 11. καὶ] καὶ γὰρ Rhod. σιτοπομπιῶν] σιτοπομπίων H: Σαρδῶν καὶ Σικελῶν eclogarii peccata videntur 14. διακοσίας] σ' H 16. Μαίνων] Μένων Wesselingius 17. Αἰγεσταῖος Rhod., Αἰγυπταῖος H 18. ἐγένετο] ἐγίνετο H 20. εὐδοκεῖν Rhod., εὐδοκιμεῖν H προςεποιεῖτο] προςεποιῆτο H 21. εἷς ἀριθμ. Rhod. εἰςαριθμ. H

492. 24. ὑπαίθρους Rhod., ὑπέθρους H 26. μὲν Rhod., μένων H 30. προάγειν Rhod., προςάγειν H 32. ἐν ταῖς Συρακούσαις] τοῖς Συρακουσίοις Reiskius, τοῖς ἐν ταῖς Συρακούσαις Rhod.



ταῦτα ἐξέπεμψεν αὐτὸν ἐπὶ τὸ στρατόπεδον. γράψας ἐπιστολὴν ἐπὶ τὸν Ἀρχάγαθον προςέταξε τούτῳ παραδιδόναι τὰς πεζικὰς καὶ ναυτικὰς δυνάμεις. δι' ἃς ὁ μὲν Ἀρχάγαθος ὁρῶν τὴν βασιλείαν εἰς ἕτερον καταντῶσαν, ἀμφοτέροις ἐπιβουλεῦσαι διέγνω. πρὸς Μαίνωνα τὸν Αἰγεσταῖον διαπεμψάμενος ἔπεισεν ἀνελεῖν τὸν βασιλέα διὰ φαρμάκου, αὐτὸς δὲ ἔν τινι νήσῳ θυσίαν ἐπιτελέσας, καὶ καταπλεύσαντα τὸν νεώτερον Ἀγαθοκλέα παραλαβὼν πρὸς τὴν εὐωχίαν, νυκτὸς καταμεθύσας ἀπέσφαξε. τοῦ δὲ σώματος ῥιφθέντος εἰς τὴν θάλασσαν καὶ πρὸς τὴν γῆν ὑπὸ τοῦ κλύδωνος, ἐπιγνόντες τινὲς ἀπεκόμισαν εἰς Συρακόσας. ὁ δὲ βασιλεὺς εἰωθὼς μετὰ τὸ δεῖπνον ἀεὶ πτερῷ διακαθαίρεσθαι τοὺς οδόντας, ἀπολυθεὶς τοῦ πότου τὸν Μαίνωνα τὸ πτερὸν ᾔτησεν. εἶτα ὁ μὲν φαρμάκῳ σηπτικῷ χρίσας ἀπέδωκεν, ὁ δὲ χρησάμενος αὐτῷ φιλοτιμότερον διὰ τὴν ἄγνοιαν ἥψατο πανταχόθεν τῆς περὶ τοὺς ὀδόντας σαρκός. καὶ πρῶτον μὲν πόνοι συνεχεῖς ἐγένοντο καὶ καθ' ἡμέραν ἐπιτάσεις ἀλγηδόνων, ἔπειτα σηπεδόνες ἀνίατοι πάντῃ τοὺς ὀδόντας περιεῖχον. ἐπὶ δὲ τῆς τελευτῆς γενόμενος ἐκκλησιάσας τὸν λαὸν κατηγόρησε τῆς ἀσεβείας Ἀρχαγάθου, καὶ τὰ μὲν πλήθη παρώξυνε πρὸς τὴν αὐτοῦ τιμωρίαν, τῷ δὲ δήμῳ τὴν δημοκρατίαν ἔφησεν ἀποδιδόναι. μετὰ δὲ ταῦτα τὸν βασιλέα διακείμενον ἐσχάτως ἤδη κατέθηκεν ἐπὶ τῆς πυρᾶς Ὀξύθεμις ὁ πεμφθεὶς ὑπὸ Δημητρίου τοῦ βασιλέως, καὶ κατέκαυσεν ὄντα μὲν ἔμπνουν ἔτι, διὰ δὲ τὴν ἰδιότητα τῆς περὶ τὴν σηπεδόνα συμφορᾶς οὐ δυνάμενον φωνὴν προΐεσθαι. Ἀγαθοκλῆς μὲν πλείστους καὶ ποικιλωτάτους φόνους ἐπιτελεσάμενος κατὰ τὴν δυναστείαν, καὶ τῇ κατὰ τῶν ὁμοφύλων ὠμότητι προςθεὶς καὶ τὴν εἰς θεοὺς ἀσέβειαν, πρέπουσαν παρέσχε τῇ παρανομίᾳ τὴν τοῦ βίου καταστροφήν, δυναστεύσας μὲν ἔτη δύο τῶν τριάκοντα λείποντα, βιώσας δὲ δύο πρὸς τοῖς ἑβδομήκοντα ἔτη, καθὼς Τίμαιος ὁ Συρακόσιος συγγράφει, καὶ Καλλίας καὶ αὐτὸς Συρακούσιος, εἴκοσι δύο βίβλους συγγράψας, καὶ Ἄντανδρος ὁ ἀδελφὸς Ἀγαθοκλέους καὶ αὐτὸς συγγραφεύς. οἱ δὲ Συρακόσιοι τῆς δημοκρατίας τυχόντες τὴν Ἀγαθοκλέους οὐσίαν ἐδήμευ-

36. τούτῳ Rhod., τοῦτον H 37. δι' ἃς] δι' ἃ Wesselingius 38. ἐπιβουλεῦσαι Rhod., ἐπιβουλῆσαι H 39. Αἰγεσταῖον Rhod., Αἰγεταῖον H 41. ἐπιτελέσας Rhod., ἐπιτελεύσας H 49. σηπτικῷ Wessel., στηπτικῷ H 50. φιλοτιμότερον] φιλοτιμώτερον H 57. παρώξυνε] παρόξυνε H αὐτοῦ Rhod., αὐτὴν H 58. δημοκρατίαν] δημοκράτειαν H 65. προΐεσθαι Rhod., προεῖσθαι H 69. δύο] β' H ἑβδ.] ό H 70. Τίμαιος] Τιμαῖος H 71. εἴκοσι δύο] κβ' H 74. δημοκρατίας] δημοκρατείας H

σαν, τὰς δὲ εἰκόνας τὰς ἀνατεθείσας ὑπ' αὐτοῦ κατέσπασαν. Μαίνων δὲ ὁ ἐπιβουλεύσας τῷ βασιλεῖ διέτρι- 493
βεν ἐν τοῖς περὶ Ἀρχάγαθον, πεφευγὼς ἐκ τῶν Συρακουσῶν· πεφρονηματισμένος δὲ ἐπὶ τῷ δοκεῖν καταλελυκέναι τὴν βασιλείαν, τὸν μὲν Ἀρχάγαθον ἐδολοφόνησε, τοῦ δὲ στρατοπέδου κυριεύσας καὶ τὰ πλήθη λόγοις φιλανθρώποις ἰδιοποιησάμενος, διέγνω πολεμεῖν τοῖς Συρακοσίοις καὶ δυναστείας ἀντέχεσθαι.

13 Ὅτι Ἱκέταν στρατηγὸν ἀπέλυσαν Συρακόσιοι μετὰ δυνάμεως πρὸς Μαίνωνα πολεμῆσαι. καὶ μέχρι μέν τινος διεπολέμει, φυγομαχούντων τῶν ἐναντίων καὶ εἰς παράταξιν οὐδαμῶς καταβαινόντων. τῶν δὲ Καρχηδονίων συνεπιλαβομένων τοῖς περὶ Μαίνωνα, πολὺ ταῖς δυνάμεσιν ὑπερεχόντων, ἠναγκάσθησαν οἱ Συρακόσιοι δόντες ὁμήρους τοῖς Φοίνιξι τετρακοσίους διαλύσασθαι τὸν πόλεμον καὶ καταγαγεῖν τοὺς φυγάδας. τῶν δὲ μισθοφόρων ἀτιμαζομένων ἐν ταῖς ἀρχαιρεσίαις συνέβη στάσεως πληρωθῆναι τὴν πόλιν. διαστάντων οὖν ἐν τοῖς ὅπλοις τῶν τε Συρακοσίων καὶ τῶν μισθοφόρων, οἱ πρεσβῦται διαπρεσβευσάμενοι καὶ πολλὰ δεηθέντες ἀμφοτέρων μόγις κατέπαυσαν τὴν ταραχὴν ἐπὶ τῷ τοὺς μισθοφόρους ἐν τακτῷ χρόνῳ τὰς ἑαυτῶν κτήσεις ἀποδομένους ἀπελθεῖν ἐκ Σικελίας. τούτων δὲ κυρωθέντων, οἱ μὲν ξένοι κατὰ τὰς ὁμολογίας ἐκλιπόντες τὰς Συρακόσας καὶ παραγενηθέντες ἐπὶ τὸν πορθμὸν ὑπεδέχθησαν ὑπὸ τῶν Μεσσηνίων ὡς ἂν φίλοι καὶ σύμμαχοι. ὑπὸ γὰρ τῶν πολιτῶν φιλοφρόνως ἀναληφθέντες εἰς τὰς οἰκίας νυκτὸς ἐφόνευσαν τοὺς ὑποδεξαμένους, καὶ τὰς τούτων γυναῖκας γήμαντες κατέσχον τὴν πόλιν. ἐκάλεσαν δὲ ταύτην Μαμερτίνην ἀπὸ τοῦ Ἄρεως, διὰ τὸ τοῦτον κατὰ τὴν ἐκείνων διάλεκτον Μάμερτον καλεῖσθαι.

οἷς γὰρ οὐ μέτεστι τῆς δημαρχίας, τούτους οὐδὲ τῆς ὑπὸ δημάρχου κυρουμένης ψήφου κοινωνεῖν.

14 Ὅτι δεῖ τοῖς μὲν πολεμίοις εἶναι φοβερώτατον, τοῖς δὲ φίλοις διαμένειν βέβαια προσηνέστατον.

15 ἐπειδὴ κατ' ἐκεῖνον τὸν καιρὸν ἀγνοήσαντες τὸ συμφέρον τοῖς πρὸς χάριν λόγοις ἐπηκολουθήσατε, νῦν τοῖς ἔργοις ἑωρακότες τὰ κατὰ τὴν χώραν ἀτυχήματα μεταδιδάχθητε.

75. ἀνατεθείσας Wesselingius, ἀνατιθείσας H 493. 78. πεφευγὼς Rhod., πεφεγὼς H 79. τῷ Rhod., τὸ H 83. ἀντέχεσθαι Wesselingius, ἀνέχεται H 90. τετρακοσίους] υ' H 93. ἀρχαιρεσίαις Rhod., ἀρχιερίαις H 94. διαστάντων Rhod., διαστάντες H 97. τῷ Rhod., τὸ H 98. κτήσεις Rhod., κτίσεις H 10. post κοινωνεῖν quae addit H αἰσχρὸν — Θερσίτην (494. 49.-51.) delevit Rhodom.



τὸ μὲν γὰρ ἀγνοῆσαί ποτε κατὰ τὸν βίον ἐστὶν ἀνθρώπου, τὸ δὲ ἐπὶ τοῖς αὐτοῖς πράγμασι πλεονάκις ἁμαρτάνειν τέλεον ἐξεστηκότος τοῖς λογισμοῖς. ὅσῳ γὰρ πλείοσιν ἐλαττώμασι περιπεπτώκαμεν, τοσούτῳ μείζονος τιμωρίας ἄξιοι τυχεῖν ὑπάρχομεν.

ἐπὶ τοσοῦτον γάρ τινες τῶν πολιτῶν προεληλύθασι πλεονεξίας ὥστε βούλεσθαι τοὺς ἰδίους οἴκους λαμπροὺς κατασκευάζειν ἐκ τῶν τῆς πατρίδος ἀτυχημάτων.

οἱ δὲ περὶ τοὺς βοηθοῦντας τοῖς ἄλλοις ἀνομήσαντες πῶς ἂν χρήσαιντο περὶ αὐτῶν;

494 16 Ὅτι δεῖ τοῖς μὲν ἡμαρτημένοις δοῦναι συγγνώμην, εἰς δὲ τὸν λοιπὸν χρόνον ἔχειν εἰρήνην.

17 Ὅτι οὐ δεῖ τοὺς ἁμαρτήσαντας ἐκ παντὸς τρόπου κολάζειν, ἀλλὰ τοὺς ἐπὶ τοῖς ἡμαρτημένοις μὴ μεταδιδασκομένους.

18 Ὅτι προτερεῖ παρὰ τοῖς ἀνθρώποις ἡ μὲν ἐπιείκεια τῆς ὀργῆς, ἡ δὲ εὐεργεσία τῆς τιμωρίας.

19 Ὅτι καλὸν καὶ εὔθετόν ἐστι λύειν μὲν τὴν ἔχθραν, ἀντεισάγειν δὲ φιλίαν. ὅταν γὰρ εἰς ἀπορίαν ἔλθῃ ὁ ἄνθρωπος, ἐπὶ πρώτην τὴν τῶν φίλων ἁρπαγὴν ὁρμᾶν εἴωθεν.

20 Ὅτι ἔμφυτος οὖσα τοῖς ἀνθρώποις ἡ τοῦ πλείονος ἐπιθυμία τῆς τοιαύτης ὁρμῆς οὐδ' ὅλως ἀφέξεται.

δεῖ γὰρ τὸ τῆς ὑπερηφανίας μέγεθος καὶ τὸ τῆς ἐσθῆτος τυραννικὸν οἴκοι φυλάττειν, εἰς δὲ πόλιν ἐλευθέραν εἰσιόντα τοῖς ἐνθάδε νόμοις πείθεσθαι.

οὐ γάρ τις τὸ γένος καὶ τὴν βασιλείαν κεκληρονόμηκε, τούτου θελήσει καὶ τῆς εὐδοξίας γενέσθαι διάδοχος· αἰσχρὸν γάρ ἐστι τὸ μὲν ὄνομα φέρειν Πύῤῥου τοῦ Ἀχιλλέως, ταῖς δὲ πράξεσι φαίνεσθαι Θερσίτην.

ὅσῳ γάρ τις πλείονος κυριεύει δόξης, τοσούτῳ μείζονα χάριν ἕξει τοῖς αἰτίοις τῶν εὐτυχημάτων. ὥστε ὧν δύναταί τις τυγχάνειν μετὰ δόξης καὶ χάριτος, τούτων οὐκ ἂν ἐπιθυμῆσαι μετὰ ἀδικίας καὶ ὀνείδους κυριεῦσαι.

21 καλὸν οὖν ἐστιν, ὦ ἄνθρωποι, ἐν τοῖς ἀλλοτρίοις ἁμαρτήμασι περὶ τῆς ἰδίας ἀσφαλείας λαμβάνειν τὴν πεῖραν.

Ὅτι οὐ δεῖ προκρίνειν τινὰ τῆς μὲν συγγενείας τὴν ἀλλοτριότητα, τῆς δὲ τῶν συμμάχων εὐνοίας τὸ τῶν πολεμίων μῖσος.

494. 41. ὁρμῆς] πόλεως Exc. Vat. p. 50. 2. 53. μείζονα Rhod., μείζονος H 55. ἀδικίας Rhod., ἀδικίαν H

# *ΒΙΒΛΙΟΝ ΚΒ΄.*

1 Ὅτι πάτριόν ἐστι τοῖς Ἠπειρώταις μὴ μόνον ἐπὶ τῆς ἰδίας πατρίδος ἀγωνίζεσθαι, ἀλλὰ καὶ ὑπὲρ τῶν φίλων καὶ συμμάχων κινδυνεύειν.

2 Ὅτι Δέκιος ὁ Ῥωμαῖος χιλίαρχος φύλαξ γενόμενος Ῥηγίου διὰ Πύῤῥον τὸν βασιλέα κατέσφαξεν αὐτούς, καὶ τὰς κτήσεις καὶ τὰς γυναῖκας ἰδιοποιήσατο. Καμπανοὶ δὲ οὗτοι ἦσαν, καὶ ἐποίησαν κατὰ τὸν ὅμοιον τρόπον Μαμερτίνοις, ὥςπερ ἐκεῖνοι Μεσσηνίους σφάξαντες. εἶτα τὴν διαίρεσιν τῆς κτήσεως τῶν ἠτυχηκότων ἄδικον ποιησάμενος, ἐξέπεσεν ἐκ τοῦ Ῥηγίου φυγαδευθεὶς ὑπὸ τῶν ἰδίων Καμπανῶν. συνήργησαν δὲ καὶ Μαμερτῖνοι, οἳ μετὰ τῶν λειφθέντων χρημάτων στρατηγὸν ἐποίησαν. καὶ δὴ ὀφθαλμίας νόσου αὐτὸν περιεχούσης, τῶν ἰατρῶν τὸν δόκιμον μεταστειλαμένου αὐτοῦ, τὴν ὕβριν τῆς πατρί- 492 δος ἐκδικῶν κανθαρίσιν ὑπήλειψε τὸν Δέκιον, καὶ τῆς ὁράσεως αὐτὸν ἀπεστέρησε, καὶ φεύγει ἐκ Μεσσήνης.

Κατὰ δὲ Σικελίαν ἦσαν τύραννοι Ἱκέτας ἐν Συρακόσῃ, Φιντίας εἰς Ἀκράγαντα, Τυνδαρίων ἐν Ταυρομενίῳ, καὶ ἕτεροι τῶν ἐλαττόνων πόλεων. Φιντίας δὲ καὶ Ἱκέτας πρὸς ἀλλήλους πόλεμον ἐνστησάμενοι παρετάξαντο περὶ τὸν Ὕβλαιον, καὶ τὴν νίκην Ἱκέτας ἀπηνέγκατο. καταδρομὰς δὲ πρὸς ἀλλήλους ποιούμενοι τὰς κτήσεις διήρπασαν, τὴν δὲ χώραν ἀγεώργητον ἐποίησαν. Ἱκέτας δὲ τῇ νίκῃ ἐπαιρόμενος παρετάξατο πρὸς Καρχηδονίους, καὶ λειφθεὶς πολλοὺς στρατιώτας ἀπέβαλε

73. *ἐκεῖνοι Μεσσηνίους* **Rhod.**, *ἐκείνους Μεσηνέους* **H**
77. *οἳ* **addidit Rhod.**
495. 81. *κανθαρίσιν* **Rhod.**, *κανθάρησιν* **H** 82. *ἀπεστέρησε* **Schaeferus ad Schol. Apollon. p. 206.**, *ἐπεστέρησε* **H** 85. *Τυνδαρίων* **Rhod.**, *Τυνδάριος* **H** 92. *λειφθεὶς* **Wesselingius**, *ληφθεὶς* **H**



περὶ τὸν Τηρίαν ποταμόν. κτίζει δὲ Φιντίας πόλιν, ὀνομάσας αὐτὴν Φιντιάδα, Γελῴους ἀναστάτους ὄντας οἰκίσας ἐν αὐτῇ. ἐστὶ δὲ αὕτη παραθαλάσσιος. καθαιρῶν τὰ τείχη καὶ τὰς οἰκίας τοὺς λαοὺς τῆς Γέλας εἰς τὴν Φιντιάδα μετήνεγκε, κτίσας τεῖχος καὶ ἀγορὰν ἀξιόλογον καὶ ναοὺς θεῶν.

ὅθεν μιαιφόνου γεγονότος, ὑπὸ πασῶν τῶν πόλεων ἐμισήθη τῶν οὐσῶν ὑπ' αὐτῷ, καὶ τοὺς πρὸς φρουρὰν ὄντας ἐδίωξαν, ἐν οἷς πρῶτον ἀπέστησαν Ἀγυριναῖοι.

3 Ὅτι ὑπὸ Γαλατῶν Πτολομαῖος ὁ βασιλεὺς ἐσφάγη καὶ πᾶσα ἡ Μακεδονικὴ δύναμις κατεκόπη καὶ διεφθάρη.

4 Ὅτι ἡ Καδμεία νίκη παροιμία ἐστίν. ἐστὶ δὲ οὕτω· τὸ τοὺς νικήσαντας συμφορὰν ἔχειν, τοὺς δὲ ἡττημένους μηδὲν κινδυνεύειν διὰ τὸ μέγεθος τῆς ἡγεμονίας.

5 Ὅτι Φιντίας ὁ Φιντιάδος κτίστωρ, Ἀκράγαντος τύραννος, εἶδεν ὄναρ δηλοῦν τὴν τοῦ βίου καταστροφήν, ὗν ἄγριον κυνηγοῦντος ὁρμῆσαι κατ' αὐτοῦ τὴν ὗν καὶ τὴν πλευρὰν αὐτοῦ τοῖς ὀδοῦσι πατάξαι καὶ διελάσαντα τὴν πληγὴν κτεῖναι.

6 Ὅτι Ἱκέτας ἐννέα ἔτη δυναστεύσας Συρακόσας ὑπὸ Θυνίωνος τοῦ Μαμέως ἐκβάλλεται τῆς τυραννίδος.

7 Ὅτι Θυνίων καὶ Σώστρατος διαδεξάμενοι Ἱκέταν οὕτω πάλιν προκαλοῦνται Πύῤῥον τὸν βασιλέα εἰς Σικελίαν.

8 Ὅτι Μαμερτῖνοι οἱ Μεσσηνίους δολοφονήσαντες συμμαχίαν μετὰ Καρχηδονίων ποιήσαντες ἔκριναν κοινῇ διακωλύειν Πύῤῥου τὴν εἰς Σικελίαν διάβασιν· Τυνδαρίων δὲ ὁ Ταυρομενίας τύραννος ἔκλινε πρὸς αὐτόν, καὶ ἕτοιμος ἦν δέξασθαι τῇ πόλει τὰς μετ' αὐτοῦ δυνάμεις.

9 Ὅτι Καρχηδόνιοι συμμαχίαν ποιήσαντες μετὰ Ῥω- 496 μαίων πεντακοσίους ἄνδρας ἔλαβον εἰς τὰς ἰδίας ναῦς· καὶ εἰς τὸ Ῥήγιον διαβάντες προςβολὰς ποιούμενοι τῆς μὲν πολιορκίας ἀπέστησαν, τὴν δὲ παρεσκευασμένην ὕλην

95. *οἰκίσας* **Rhod.**, *οἰκήσας* **H** 96. *αὕτη*] *αὐτὴ* **H** *παραθαλάσσιος* **Rhod.**, *παραθαλασσίους* **H** 97. *τοὺς* **Rhod.**, *καὶ τοὺς* **H** 8. *τὸ* **Rhod.**, *τῷ* **H** 11. *κτίστωρ* **Rhod.**, *κτήτωρ* **H** 13. *κυνηγοῦντος* **Rhod.**, *κυνηγοῦντα* **H** 16. *ἐννέα*] *θ΄* **H** *Συρακόσας*] *Συρακούσης* **Rhod.** 17. *Μαμέως*] *Μαμέων* **H**, *Μαμμέως* **Rhod.** 20. *προκαλοῦνται*] **immo** *προςκαλοῦνται* 22. *Μεσσηνίους δολοφονήσαντες* **Rhod.**, *Μεσσήνην δολοφονήσαντας* **H** 24. *Πύῤῥου* **Rhod.**, *Πύῤῥον* **H** 26. *δέξασθαι* **Rhod.**, *δέξαι* **H** 29. *πεντακοσίους*] *φ΄* **H**
496. 31. *μὲν* **ante** *ποιούμενοι* **(i. e.** *ποιησάμενοι***)** **ponit H**

εἰς ναυπηγίαν ἐνέπρησαν, καὶ διέμειναν φυλάττοντες τὸν πορθμόν, παρατηροῦντες τὴν διάβασιν Πύῤῥου.

10 Ὅτι Θυνίωνος τῆς Νήσου κυριεύοντος, καὶ Σωστράτου τῆς Συρακόσης τυραννοῦντος, ἔχοντες στρατιώτας μυρίους διεπολέμουν ἀλλήλοις· ἀμφότεροι δὲ κάμνοντες ἐν τῷ πολέμῳ διεπρεσβεύοντο πρὸς Πύῤῥον.

11 Ὅτι Πύῤῥος ἐν Ἰταλίᾳ ἐπολέμησεν ἔτη δύο καὶ μῆνας τέσσαρας. Ὅτι τούτου παρασκευαζομένου πρὸς τὸν ἔκπλουν τὰς Συρακόσας Καρχηδόνιοι ἐπολιόρκουν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ἑκατὸν ναυσὶν ἐφορμοῦντες τῷ μεγάλῳ λιμένι· πεζῇ δὲ πέντε μυριάσι πλησίον τῶν τειχῶν στρατεύοντες τειχήρεις συνεῖχον τοὺς Συρακοσίους, καὶ τὴν χώραν αὐτῶν κατατρέχοντες ἔρημον κατεσκεύασαν. διὸ τῷ πολέμῳ κάμνοντες οἱ Συρακόσιοι τὰς ἐλπίδας εἶχον ἐν τῷ Πύῤῥῳ διὰ Λάνασσαν τὴν γυναῖκα, τὴν θυγατέρα Ἀγαθοκλέους, ἐξ ἧς ἐγέννησεν Ἀλέξανδρον υἱόν. καὶ διὰ τοῦτο καθ' ἡμέραν ἄλλους ἐπ' ἄλλοις πρέσβεις ἔστελλον πρὸς αὐτόν. ἐμβιβάσας δὲ τὸν λαὸν εἰς τὰς ναῦς καὶ τοὺς ἐλέφαντας καὶ τὴν ἄλλην παρασκευὴν ἐξέπλευσεν ἐκ τῆς Τάραντος, καὶ δεκαταῖος εἰς Λοκροὺς κατῆρεν. ἐντεῦθεν καταπλεύσας τὸν πορθμὸν καὶ διάρας Σικελίαν κατῆρεν εἰς τὴν Ταυρομένιον. ἐκεῖθεν προςλαβόμενος εἰς συμμαχίαν Τυνδαρίωνα τὸν δυνάστην Ταυρομενίας, καὶ λαβὼν παρ' αὐτοῦ στρατιώτας, κατέπλευσεν εἰς τὴν Κατάνην. καὶ προςδεχθεὶς ὑπὸ τῶν ἐγχωρίων μεγάλως καὶ χρυσοῖς στεφάνοις στεφθείς, ἀπεβίβασε τὴν πεζὴν δύναμιν. ταύτης δὲ πορευομένης εἰς Συρακόσας καὶ ὁ στόλος συμπαρέπλει κεκοσμημένος πρὸς ναυμαχίαν. ὡς δὲ πλησίον ἐγένοντο Συρακόσης, οἱ μὲν Καρχηδόνιοι προαπεσταλκότες τριάκοντα ναῦς διά τινας χρείας ἀναγκαίας ταῖς καταλελειμμέναις οὐκ ἐτόλμησαν πολεμῆσαι. διόπερ Πύῤῥος ἀκινδύνως διέπλευσεν εἰς Συρακόσας, καὶ παρέλαβε τὴν Νῆσον παρὰ Θυνίωνος, τὴν δὲ ἄλλην πόλιν παρὰ Συρακοσίων καὶ Σωσιστράτου. οὗτος δὲ ἐκυρίευσεν Ἀκράγαντος καὶ πολλῶν ἄλλων πόλεων, ἔχων στρατιώτας ὑπὲρ τοὺς μυρίους. καὶ τὸν μὲν Θυνίωνα καὶ

32. ἐνέπρησαν Rhod., ἐνέπειραν H 37. ἀλλήλοις Rhod., ἀλλήλους H 38. ἐν deleverim 40. τέσσαρας] δ' H 42. ἑκατὸν] ρ' H 43. ἐφορμοῦντες Rhod., ἐφορμῶντες H πεζῇ] πεξὶ H 48. Λάνασσαν Wesselingius, Μάνασσαν H 51. ἔστελλον Rhod., στέλλειν H 55. καταπλεύσας τὸν πορθμὸν καὶ διάρας] ἐκπλεύσας καὶ διάρος τὸν πορθμὸν Reiskius Σικελίαν] τῆς Σικελίας Rhod. 59. μεγάλως vel μεγαλωστὶ Rhod., μεγάλοις H 64. τριάκοντα] λ' H 67. παρέλαβε Rhod., παραλαβὼν H 69. Συρακοσίων Rhod., Συρακοσίοις H 70. ἐκυρίευσεν] immo ἐκυρίευεν



Σωσίστρατον καὶ τοὺς Συρακοσίους κατήλλαξε καὶ εἰς ὁμόνοιαν ἤγαγεν, ὡς μεγάλης ἀποδοχῆς διὰ τὴν εἰρήνην. ὁ δὲ βασιλεὺς παραλαβὼν τά τε βέλη καὶ τὰς μηχανὰς καὶ τὰς ἐν τῇ πόλει παρασκευάς. αἱ δὲ ναῦς ἃς παρέλαβεν ἐν ταῖς Συρακόσαις κατάφρακτοι ἑκατὸν εἴκοσι καὶ ἄφρακτοι εἴκοσι· ἡ μὲν βασιλικὴ ἐννήρης· ὁ δὲ σύμπας στόλος σὺν ταῖς μετ' αὐτοῦ κομισθείσαις πλείους διακοσίων. ἐν τούτῳ δὲ ὄντος αὐτοῦ ἧκον πρέσβεις ἐκ Λεοντίνων ὑπὸ Ἡρακλείδου τοῦ δυνάστου, λέ-
497 γοντες παραδώσειν τῷ βασιλεῖ τὴν πόλιν καὶ τὰ φρούρια καὶ στρατιώτας πεζοὺς τετρακισχιλίους, ἱππεῖς δὲ πεντακοσίους. ἧκον δὲ καὶ ἕτεροι πλεῖστοι εἰς Συράκοσαν, λέγοντες τὰς πόλεις παραδώσειν καὶ συνεργήσειν τῷ Πύῤῥῳ. ὁ δὲ πάντας φιλανθρώπως ἀποδεξάμενος ἀπέλυσεν εἰς τὰς ἰδίας πατρίδας, ἐλπίζων καὶ Λιβύης τυχεῖν.

12 Ὅτι ὁ λιμὴν ὁ Κορινθιακὸς Λέχαιος καλεῖται.

13 Ὅτι Βρέννος ὁ βασιλεὺς Γαλατῶν μετὰ πεντεκαίδεκα μυριάδων θυρεοφόρων καὶ ἱππέων μυρίων καὶ ἑτέρου ἀγοραίου ὄχλου καὶ ἐμπόρων πλείστων καὶ ἁμαξῶν δισχιλίων εἰς Μακεδονίαν ἐλθὼν πόλεμον ἐποίησεν, ἐν ᾧ πολλοὺς στρατιώτας ἀποβαλών, ὡς μὴ ἰσχύσας, ὕστερον εἰς τὴν Ἑλλάδα ἐλθών, καὶ εἰς τὸ ἐν Δελφοῖς μαντεῖον, θέλων ἀποσυλῆσαι αὐτό. καὶ πολλοῦ πολέμου γεγονότος μυριάδας ἐκεῖσε στρατιωτῶν ἀποβαλὼν ἐπλήγη καὶ αὐτὸς Βρέννος τρισὶ πληγαῖς. βαρυνόμενος δὲ καὶ πρὸς θάνατον, συναγαγὼν τὸν λαὸν αὐτοῦ διελάλησε τοῖς Γαλάταις, συμβουλεύσας αὐτοῖς ἑαυτὸν καὶ τοὺς τραυματίας ἅπαντας ἀποκτεῖναι, καὶ τὰς ἁμάξας καύσαντας εὐζώνους εἰς τὰ οἰκεῖα ἐπανελθεῖν· βασιλέα δὲ καταστῆσαι Κιχώριον. Βρέννος δὲ ἄκρατον πολὺν ἐμφορησάμενος ἑαυτὸν ἀπέσφαξε. Κιχώριος δὲ τοῦτον θάψας τοὺς τραυματίας καὶ τοὺς ἀπὸ χειμῶνος καὶ πείνης ταλαιπωρήσαντας ἀνεῖλεν, ὄντας περὶ δισμυρίους· καὶ οὕτως τοῖς λοιποῖς διὰ τῆς αὐτῆς ὁδοῦ πρὸς οἶκον τὴν πορείαν ἐποιεῖτο. κατὰ δὲ τὰς δυςχωρίας οἱ Ἕλληνες ἐπιτιθέμενοι τὰς οὐραγίας ἀπέκοπτον, καὶ τὴν ἀποσκευὴν ἦραν ἅπασαν. πορευόμενοι δὲ πρὸς Θερμοπύλας, καὶ σπανιζούσης αὐτοῦ τροφῆς, ἀπέλιπον ἄλλους δισμυρίους.

74. post εἰρήνην Rhod. τετευχώς, Reiskius ἔτυχε addit, mutato is quidem ὡς in ἐφ' ᾧ: pro quo etiam τετευχὼς Rhod. 75. παραλαβὼν] παρέλαβε Rhod. ἦσαν ante κατάφρακτοι addit Rhod. 79. ἐννήρης] θ' ἥρης H 80. διακοσίων] σ' H: suspectus numerus Wesselingio 82. λέγοντες Rhod., λέγοντος H 497, 83. τετρακισχ. — πεντ.] δ, — φ' H 90. Λέχαιος] Λεχαῖος H πεντεκαίδ.] ιε' H 92. μυριάδων Rhod., μυριάδας H 94. δισχ.] β, H 3. καύσαντας Rhod., καύσαντες H 7. ἀπὸ] malim ὑπὸ 11. οὐραγίας Rhod., ἀργίας H

διὰ δὲ τῶν Δαρδάνων διερχόμενοι ἅπαντες διεφθάρησαν, καὶ οὐδεὶς ὑπελείφθη ἀπελθεῖν οἶκον.

14 Ὁ Πύῤῥος τὰ κατὰ Συρακόσας καὶ Λεοντίνους καταστησάμενος μετὰ δυνάμεως ἐπὶ τὴν Ἀκράγαντα προῆλθεν. ὄντος δὲ αὐτοῦ περὶ τὴν ὁδοιπορίαν ἧκον ἐν ναυσὶ λέγοντες τὴν φρουρὰν τὴν Καρχηδονίων ἐκβεβληκέναι, ἣν εἶχον, ὅπως μὴ Φιντίας δυναστεύσῃ αὐτῶν, λέγοντες τὴν πόλιν παραδώσειν καὶ συμμάχους γενέσθαι. αὐτοῦ δὲ ἀναλαβόντος τὴν στρατιάν, εἰς Ἀκράγαντα παραγενόμενος τὴν μὲν πόλιν ἔλαβε παρὰ Σωσιστράτου καὶ τοὺς στρατιώτας, πεζοὺς μὲν ὀκτακισχιλίους, ἱππεῖς δὲ ὀκτακοσίους, πάντας δὲ ἐπιλέκτους, οὐδὲν ἀπολειπομένους τῶν Ἠπειρωτῶν· παρέλαβε δὲ καὶ τριάκοντα πόλεις ὧν ἦρχε Σωσίστρατος. μετὰ δὲ ταῦτα ἀποστείλας ἐς Συρακόσας ἤγαγεν ὄργανα πολιορκητικὰ καὶ βελῶν πλῆθος. ἐστράτευσεν ἐπὶ τὴν τῶν Καρχηδονίων ἐπικράτειαν, ἔχων πεζοὺς τρισμυρίους. ἱππεῖς δὲ χιλίους πεντακοσίους καὶ ἐλέφαντας. καὶ πρώτην πόλιν Ἡράκλειαν ἠγάγετο, φρουρουμένην ὑπὸ Καρχηδονίων· μετὰ δὲ ταῦτα Ἀξῶνας παρέλαβεν. εἶτα Σελινούντιοι τῷ βασιλεῖ 498 προσεχώρησαν εἶτα Ἁλικυαῖοι καὶ Αἰγεσταῖοι καὶ ἄλλαι πλεῖσται πόλεις. Ἐρυκίνης δὲ ἐχούσης φρουρὰν ἀξιόλογον Καρχηδονίων, καὶ φύσιν ἐχούσης ὀχυρὰν καὶ δυσπολιόρκητον, ἔκρινεν ὁ Πύῤῥος βίᾳ ταύτην ἐξελεῖν διὰ πολιορκίας. διὸ καὶ τοῖς τείχεσι προσαγαγὼν μηχανάς, καὶ πολιορκίας μεγάλης γενομένης καὶ ἰσχυρᾶς ἐπὶ πολὺν χρόνον, βουλόμενος φιλοδοξῆσαι ὁ βασιλεὺς καὶ τὴν Ἡρακλέους τάξιν ἁμιλλώμενος, πρῶτος τοῖς τείχεσιν ἐπέβαλε, καὶ μάχην ἡρωικὴν συστησάμενος τοὺς ἐπιῤῥάξαντας Καρχηδονίους ἀπέκτεινε· συνεπιλαβομένων δὲ καὶ τῶν ἄλλων φίλων κατὰ κράτος εἷλε τὴν πόλιν. φρουρὰν δὲ καταστήσας ἐν αὐτῇ ἀπῆρε πρὸς τὴν Ἰαιτίνων πόλιν, ὀχυρότητι διαφέρουσαν καὶ κατὰ τοῦ Πανόρμου καλῶς κειμένην. τῶν δὲ Ἰαιτίνων ἑκουσίως προσχωρησάντων εὐθὺς ἧκεν ἐπὶ τῶν Πανορμιτῶν πόλιν, ἔχουσαν λιμένα κάλλιστον τῶν κατὰ Σικελίαν, ἀφ' οὗ καὶ τὴν πόλιν

14. τῶν Δαρδάνων Rhod., τοῦ Δαρδάνου H 26. ὀκτακισχ. — ὀκτ.] ,η — ω' H 27. ἀπολειπομένους] ἀπολιπομένους H 31. τὴν] τῆς H 32. χιλ. πεντ.] ,αφ' H 34. ἠγάγετο] ὑπηγάγετο Rhod., προσηγάγετο ego coniicio

498. 36. Ἁλικυαῖοι — Αἰγεσταῖοι Rhod., Ἀλιηναῖοι — Αἰγεταῖοι H 43. τὴν Ἡρακλέους τάξιν ἁμιλλώμενος] fortasse τῇ Ἡ. δόξῃ ἁμιλλώμενος vel διαμιλλώμενος, sive πρὸς τὴν Ἡ. δόξαν, quorum hoc est XI. 84., illud XVII. 85. 49. ἀπῆρε Wesselingius, ἐπῆρε H Ἰαιτίνων] Αἰγίνων H, Ἰετινῶν Cluverius 51. Ἰαιτίνων] Ἰετινῶν H 52. τῶν] immo τὴν 53. τῶν κατὰ Σικελίαν Rhod., τὴν κατὰ Σικελῶν H



συμβέβηκε τετευχέναι ταύτης τῆς προσηγορίας. εἷλε δὲ καὶ ταύτην κατὰ κράτος· καὶ τῶν Ἐρκτῶν κατασχὼν τὸ ὀχύρωμα πάσης τῆς Καρχηδόνος ἐπεκράτησε δυνάμεως καὶ κύριος ἐγένετο πλὴν τοῦ Διλυβαίου· αὕτη γὰρ ἡ πόλις ὑπὸ Καρχηδονίων ἐκτίσθη μετὰ τὴν ἅλωσιν τῆς Καρχηδονίων Μοτύης ὑπὸ Διονυσίου τοῦ τυράννου. τοὺς γὰρ ἐκ ταύτης ὑπολειφθέντας ἀθροίσαντες κατῴκισαν εἰς τὸ Διλύβαιον. τοῦ δὲ Πύῤῥου περὶ τὴν πολιορκίαν ταύτης παρασκευαζομένου διεβίβασαν ἐκ τῆς Διβύης οἱ Καρχηδόνιοι δύναμιν ἀξιόλογον εἰς τὸ Διλύβαιον· πολὺν δὲ σῖτον ἐκόμισαν θαλασσοκρατοῦντες, μηχανὰς δὲ καὶ βέλη πλῆθος ἄπιστον. οὔσης δὲ τῆς πόλεως τὸ πλεῖστον μέρος ἐν θαλάσσῃ, τὰς ἀπὸ τῆς γῆς προσόδους ἐτείχισαν καὶ πύργους πυκνοὺς ἐποίησαν, καὶ τάφρον ὀρύξαντες μέγαν διεπρεσβεύσαντο πρὸς τὸν βασιλέα ὑπὲρ διαλύσεως καὶ εἰρήνης, συνθέσθαι καὶ χρημάτων πλῆθος δοῦναι. τοῦ βασιλέως χρήματα λαβεῖν μὴ προσδεχομένου, πεισθέντος δὲ τὸ Διλύβαιον συγχωρῆσαι τοῖς Καρχηδονίοις, οἱ μετέχοντες τοῦ συνεδρίου φίλοι καὶ οἱ ἀπὸ τῶν πόλεων ἀποκαλοῦντες μηδενὶ τρόπῳ συγχωρεῖν τοῖς βαρβάροις ἐπιβάθραν ἔχειν κατὰ τῆς Σικελίας, ἀλλ' ἐξ ἁπάσης αὐτῆς ἐξελάσαι τοὺς Φοίνικας καὶ διορίσαι τῷ πελάγει τὴν ἐπαρχίαν, εὐθὺς ὁ βασιλεὺς πλησίον τῶν τειχῶν καταστρατοπεδεύσας, τὸ μὲν πρῶτον συνεχεῖς τοῖς τείχεσιν ἐποιεῖτο προσβολὰς ἐκ διαδοχῆς· ἠμύναντο δὲ οἱ Καρχηδόνιοι διὰ τὸ πλῆθος τῶν ἀγωνιζομένων καὶ τὸ μέγεθος τῆς παρασκευῆς. τοσοῦτον γὰρ πλῆθος καταπελτῶν ὀξυβελῶν τε καὶ πετροβόλων ἤθροιστο παρὰ Καρχηδονίων ὥστε τὸ τεῖχος μὴ χωρεῖν τὸ πλῆθος τῆς παρασκευῆς. διὸ καὶ βελῶν παντοδαπῶν 499 ἀχθομένων ἐπὶ τοὺς πολιορκοῦντας, πολλῶν πιπτόντων, πολλῶν δὲ τραυματιζομένων, ἠλαττοῦτο Πύῤῥος. ἐπεβάλετο καὶ αὐτὸς μηχανὰς ὁ βασιλεὺς κατασκευάζειν, τῶν ἐκ Συρακούσης ἀναχθεισῶν αὐτῷ, καὶ διὰ τῆς μεταλλείας ἐπεβάλετο τὰ τείχη σαλεῦσαι. τῶν δὲ Καρχηδονίων ἀντιμαχομένων, διὰ τὸ πετρώδη εἶναι τὸν τόπον, δύο μῆνας πολιορκήσας, καὶ ἀπογνοὺς τὴν ἐκ τῆς βίας ἅλωσιν, ἔλυσε τὴν πολιορκίαν. κρίνας οὖν στόλον μέγαν

61. Διλύβαιον] Διλυβαῖον H 62. περὶ] πρὸς Reiskius 64. Διλύβαιον] Διλυβαῖον H 70. εἰρήνης] εἰρήνης ἕτοιμοι Rhod. 73. τὸ Διλύβαιον] τὸν Διλυβαῖον H 84. ἤθροιστο Rhod., ἤθροιτο H 85. τεῖχος — πλῆθος Reiskius, πλῆθος — τεῖχος H 86. ἀχθομένων] ἀγομένων Rhod., ἀφιεμένων Wesselingius

499. 89. μηχανὰς Rhod., μηχαναῖς H 90. ἀναχθεισῶν] ἐναχθεισῶν H: χωρὶς τῶν Rhod.

οἱ δὲ Καρχηδόνιοι καὶ Ἱέρων, ἀποπεπτωκότες τῆς Μεσσήνης, συνῆλθον εἰς σύλλογον, καὶ συμμαχίανπρὸς ἀλλήλους ποιησάμενοι συνέθεντο κοινῇ πολεμῆσαι Μεσσήνην.

78. *Μεσήνης* H et 69. et 80. *Μεσήνην*

---

# ΒΙΒΛΙΟΝ ΚΓ'.

Ὅτι Σικελία πασῶν τῶν νήσων καλλίστη ὑπάρχει, ὡς μεγάλα δυναμένη συμβάλλεσθαι πρὸς αὔξησιν ἡγεμονίας. 1

Ὅτι Ἄννων ὁ Ἀννίβου εἰς Σικελίαν ἐλθών, καὶ τὰς δυνάμεις ἀθροίσας εἰς τὸ Λιλύβαιον, προῆλθε μέχρι Σολοῦντος, καὶ τὴν πεζὴν στρατιὰν ἀπέλιπε πλησίον 2
501 τῆς πόλεως παρεμβεβληκυῖαν, αὐτὸς δὲ παρελθὼν εἰς τὴν Ἀκράγαντα τὴν ἄκραν ἐτείχισε, πείσας τὸν δῆμον φίλον ὄντα συμμαχῆσαι Καρχηδονίων. ἐπανελθόντος δὲ αὐτοῦ εἰς τὴν ἰδίαν στρατοπεδείαν ἧκον παρὰ Ἱέρωνος πρέσβεις περὶ τοῦ συμφέροντος. ἐποιήσαντο γὰρ κοινῇ συμμαχίαν Ῥωμαίους πολεμῆσαι, ἐὰν μὴ τὴν ταχίστην ἐκ τῆς Σικελίας ἀπαλλάττωνται. ἀμφοτέρων δὲ τὰς δυνάμεις ἀγαγόντων ἐπὶ τὴν Μεσσήνην, Ἱέρων μὲν ἐπὶ τοῦ λόφου τοῦ καλουμένου Χαλκιδικοῦ κατεστρατοπέδευσεν, οἱ δὲ Καρχηδόνιοι τῇ πεζῇ στρατιᾷ παρενέβαλον εἰς τὰς καλουμένας Εὐνεῖς, τῇ δὲ ναυτικῇ κατέσχον τὴν ἄκραν τὴν καλουμένην Πελωριάδα· συνεχῶς δ' ἐπολιόρκουν τὴν Μεσσήνην. ὁ δὲ Ῥωμαίων δῆμος πυθόμενος ἀπέστειλε τὸν ἕτερον ὕπατον καλούμενον Ἄππιον Κλαύδιον μετὰ δυνάμεως ἁδρᾶς, ὃς εὐθὺς ἦλθεν εἰς Ῥήγιον. πρὸς δὲ τὸν Ἱέρωνα καὶ Καρχηδονίους πρέσβεις ἐξέπεμψε περὶ διαλύσεως τῆς πολιορκίας. προσεπηγγέλλετο. δημογορεῖν δὲ πρὸς Ἱέρωνα πόλεμον μὴ ἐπιβήσεσθαι. ὁ δὲ Ἱέρων ἀπεκρίνατο διότι Μαμερτῖνοι Καμάριναν καὶ Γέλαν ἀναστάτους πεποιηκότες, Μεσσήνην δὲ ἀσεβέστατα κατειληφότες, δικαίως πολιορκοῦνται, Ῥωμαῖοι δέ, θρυλλοῦντες τὸ τῆς πίστεως ὄνομα, παντελῶς

88. *Λιλύβαιον*] *Λιλυβαῖον* H
501. 93. *Καρχηδονίων*] *Καρχηδονίοις* Rhod.: alioqui post *ὄντα* ponendum est 95. *κοινῇ* ante *συμφέροντος* ponit Reiskius
98. *Μεσήνην* H hic et 11. *ἐπὶ* Rhod., *ἀπὸ* H 3. *δ' ἐπολιόρκουν τὴν Μεσσήνην* Rhod., *δὲ πολιορκούντων Μεσήνην* H 4. *πυθόμενος* Rhod., *πειθόμενος* H 10. *Καμάριναν*] *Καμερίναν* H
12. *Ῥωμαῖοι* Rhod., *Ῥωμαίοις* H

οὐκ ὀφείλουσι τοὺς μιαιφόνους, μάλιστα πίστεως καταφρονήσαντας, ὑπερασπίζειν· εἰ δὲ ὑπὲρ ἀσεβεστάτων τηλικοῦτον ἐπαναιροῦνται πόλεμον, φανεροὺς ἔσεσθαι πᾶσιν ἀνθρώποις ὅτι τῆς ἰδίας πλεονεξίας πρόφασιν πορίζονται τὸν τῶν κινδυνευόντων ἔλεον, τὸ δὲ ἀληθὲς Σικελίας ἐπιθυμοῦσιν.

3 Ὅτι Ῥωμαῖοι πρῶτον ἀσπίδας τετραγώνους εἶχον εἰς τὸν πόλεμον· ὕστερον ἰδόντες Τυῤῥηνοὺς χαλκᾶς ἀσπίδας ἔχοντας, ποιήσαντες οὕτως ἐνίκησαν αὐτούς.

4 Ὅτι διαπεράσαντος τοῦ ὑπάτου εἰς Μεσσήνην ὁ Ἱέρων νομίζων προδοθῆναι τὴν διάβασιν ὑπὸ Καρχηδονίων, ἔφυγεν εἰς Συρακόσας. Καρχηδονίων δὲ πολεμησάντων καὶ ἡττηθέντων, τὴν Αἴγεσταν ὁ ὕπατος ἐπολιόρκησε, καὶ στρατιώτας πολλοὺς ἀποβαλὼν εἰς Μεσσήνην ἀνέζευξεν.

5 Ὅτι τῶν ὑπάτων ἀμφοτέρων εἰς Σικελίαν ἐλθόντων, καὶ τὴν Ἀδρανιτῶν πόλιν πολιορκησάντων, εἷλον κατὰ κράτος. εἶτα τὴν Κεντοριπίνων πολιορκούντων, καὶ πρὸς ταῖς χαλκαῖς αὐλαῖς καθήμενοι, ἧκον πρέσβεις πρῶτον παρ' Ἀλαισίνων· εἶτα δειλίας πεσούσης καὶ ἐν ταῖς ἄλλαις πόλεσι, καὶ αὐτοὶ πρέσβεις ἀπέστειλαν περὶ εἰρήνης, καὶ ἐπιδώσειν τὰς πόλεις Ῥωμαίοις. ἦσαν δὲ ἐξήκοντα ἑπτά. ὧν παραλαβόντες τὰς δυνάμεις εἰς Συράκοσαν ἦλθον πολιορκήσοντες Ἱέρωνα. ὁρῶν δὲ τοὺς Συρακοσίους ἀγανακτοῦντας, πρέσβεις ἀπέστειλε πρὸς τοὺς ὑπάτους περὶ διαλύσεως. οἱ δὲ σπεύδοντες πρὸς 502 μόνους Καρχηδονίους διαπολεμεῖν, ἀσμένως ὑπήκουσαν, καὶ συνέθεντο εἰρήνην ἔτη πεντεκαίδεκα, λαβόντες δραχμῶν ιε' μυριάδας, καὶ τοὺς αἰχμαλώτους ἀποδόντι κυριεύειν Συρακοσίοις καὶ τῶν ὑπ' αὐτὸν πόλεων, Ἄκρων, Λεοντίνων, Μεγαρέων, Αἰλωρων, Νεαιτίνων, Ταυρομενίων. τούτων πραττομένων κατέπλευσεν Ἀννίβας μετὰ ναυτικῆς δυνάμεως εἰς τὴν Ξιφωνίαν βοηθήσων τῷ βασιλεῖ· μαθὼν δὲ τὰ πεπραγμένα ἀνεχώρησε.

6 Ὅτι Ἀδράνωνα κώμην καὶ Μάκελλαν πολλὰς ἡμέρας πολιορκήσαντες Ῥωμαῖοι ἀπῆλθον ἄπρακτοι.

7 Ὅτι Αἰγεσταῖοι πρῶτον κρατούμενοι ὑπὸ Καρχηδονίων εἰς Ῥωμαίους ἀπέκλιναν. παραπλήσιον δὲ καὶ Ἀλικυαῖοι ἐποίησαν· Ἰλαρὸν δὲ καὶ Τυριττὸν καὶ τὴν Ἄσκελον ἐξεπολιόρκησαν. Τυνδάριοι δὲ ἰδόντες αὐτοὺς ἀπολελειμμένους, φόβῳ συσχεθέντες ἠβουλήθησαν καὶ αὐτοὶ δοῦναι. ὑποπτεύσαντες δὲ Φοίνικες τὴν προαίρεσιν αὐτῶν τοὺς ἐπιφανεστάτους ἔλαβον ὁμήρους εἰς τὸ Λιλύβαιον, καὶ σῖτον, οἶνον, καὶ τὴν ἄλλην παρασκευὴν ἀπεκόμισαν.

Φιλήμων δὲ ὁ κωμικὸς ἔγραψε δράματα ἐνενήκοντα ἑπτά, βιώσας ἔτη ἐνενήκοντα ἐννέα.

Οἱ δὲ πολιορκοῦντες Ἀκράγαντα τὴν πόλιν σὺν τοῖς Ῥωμαίοις καὶ ταφροποιοῦντες καὶ χάρακας βάλλοντες δέκα μυριάδες ὑπῆρχον. πολλὰ δὲ οἱ Φοίνικες ἀντιμαχήσαντες τὴν πόλιν Ἀκράγαντα τοῖς Ῥωμαίοις παρέδωκαν.

Ὅτι Ἄννων ὁ πρεσβύτερος ἐκ τῆς Λιβύης κατὰ τὴν 8 πολιορκίαν Ἀκράγαντος ἐπέρασε μεγάλην δύναμιν ἐν Σικελίᾳ, πεζῶν μυριάδας πέντε, ἱππεῖς δὲ ἑξακισχιλίους, ἐλέφαντας δὲ ἑξήκοντα. Φιλῖνος δὲ ὁ Ἀκραγαντῖνος ἱστορικὸς ἀνεγράψατο. ὁ δὲ οὖν Ἄννων ἀναζεύξας μετὰ πάσης τῆς δυνάμεως ἐκ τοῦ Λιλυβαίου παρῆλθεν εἰς τὴν Ἡράκλειαν, καθ' ὃν καιρὸν ἦλθόν τινες ἀπαγγέλλοντες τὸν Ἔρβησον παραδώσειν. Ἄννων δὲ πολεμήσας ἐν δυσὶ μάχαις ἀπέβαλε στρατιώτας πεζοὺς μὲν τρισχιλίους, ἱππεῖς διακοσίους, ζωγρίας δὲ τετρακισχιλίους· ἐλέφαντας ὀκτὼ θανεῖν, τριάκοντα τρεῖς δὲ κατατραυματισθῆναι.

503 Ὅτι πόλις ἦν καὶ ἡ Ἐντελλῖνα. 9

ὁ δὲ Ἄννων βουλευσάμενος ἐμφρόνως ἑνὶ στρατηγήματι τοὺς ἐχθροὺς ἅμα καὶ τοὺς πολεμίους ἀνεῖλεν. ἓξ δὲ μῆνας παρακαθίσαντες οὕτω παρέλαβον Ἀκράγαντα, δούλους δὲ ἄραντες ἅπαντας πλέον τῶν δισμυρίων καὶ πεντακισχιλίων. ἀπέβαλον δὲ καὶ Ῥωμαῖοι πεζοὺς μὲν τρισμυρίους, ἱππεῖς δὲ ͵μφ'. Ἄννωνα δὲ οἱ Καρχηδόνιοι ἐξημίωσαν χρυσοῖς ἑξακισχιλίοις ἀτιμάσαντες· ἀντὶ δὲ τούτου στρατηγὸν ἀπέστειλαν εἰς Σικελίαν Ἀμίλκαν. Μύστρατον δὲ πολιορκήσαντες Ῥωμαῖοι, καὶ πολλὰς μηχανὰς ποιήσαντες, μετὰ μῆνας ἑπτὰ ἀνεχώρη-

15. ἀσεβεστάτων Rhod., ἀσεβεστάτην H  21. χαλκᾶς] χαλκὰς H  24. 29. Μεσήνην H et Αἴγεστα  29. ἀπέζευξεν H  32. Κεντοριπίνων] Κεντοριππινῶν H, Κεντοριπινῶν Wesselingiana  33. αὐλαῖς] πύλαις Reiskius  34. καθήμενοι] καθημένων Rhod.  παρ' Ἀλαισίνων Cluverius, παρὰ Λαισίνων H  36. ἐπιδώσειν] ἐπιδόσειν H  38. ἐξ. ἑπτά] ξζ' H et 39. πολιορκήσαντες correctum a Wess.  502. 43. πεντεκαίδεκα] ιε' H  44. ιε'] ex praecedenti numero pro alio illatum videtur: v. annotationem  46. Συρακοσίοις] Συρακουσίων vel Συρακούσης Rhod.  αὐτὸν] αὐτῶν H: de urbium quae sequuntur nominibus v. annotationem

57. Ἁλικυαῖοι Rhod., Ἀλιηναῖοι H  58. αὐτοὺς H  60. σφᾶς δ. vel παραδοῦναι vel δοῦναι τὴν πόλιν Rhod.  62. Λιλυβαῖον H  65. ἐνενήκοντα] ϟ bis H et ζ' et θ'  71. ἐκ Rhod., ὁ ἐκ H  κατὰ Wessel., μετὰ H  73. πέντε] ε' H  74. ἑξακισχιλίους] ϛ, H  ἑξήκοντα] ξ' H  75. ὁ δὲ] ὅδε H  80. τρισχιλίους] ͵γ H  διακοσίους] σ' H  81. τετρακισχιλίους] δ, H  ὀκτὼ] η' H  503. 88. πεντακισχιλίων] ε, H  89. ͵μφ'] ͵βφ' Reiskius, aliter alii  90. ἑξακισχιλίοις] ϛ, H  92. Μύστρατον] Μυτίστρατον Wesselingius hic et ubi Μήστρακον H, v. 6.  94. ἑπτὰ] ζ' H

σαν ἄπρακτοι πολλοὺς στρατιώτας ἀποβαλόντες. Ἀμίλκας δὲ τοῖς Ῥωμαίοις συναντήσας εἰς Θέρμας καὶ πολεμήσας, ἐνίκησε καὶ ἀπέκτεινεν ͵ϛ, παρ' ὀλίγον δὲ ὅλην τὴν δύναμιν. ἦν δὲ καὶ τὸ Μάζαριν φρούριον ὑπὸ Ῥωμαίων ἐξηνδραποδισμένον. Ἀμίλκας δὲ ὁ Καρχηδόνιος Καμάριναν ὑπὸ προδοτῶν παρέλαβε δεύτερον· μετ' ὀλίγας δὲ ἡμέρας καὶ τῆς Ἔννης ἐκυρίευσεν ὃν τρόπον καὶ Καμαρίνης. τὸ δὲ Δρέπανον τειχίσας καὶ πόλιν καταστήσας μετῴκισε τοὺς Ἐρυκίνους, καὶ τὸν Ἔρυκα κατέσκαψε πλὴν τοῦ περὶ τὸ ἱερὸν τόπου. τρίτον δὲ πολιορκήσαντες τὴν Μύστρατον Ῥωμαῖοι εἷλον καὶ κατέσκαψαν τὴν πόλιν, καὶ τὰ ὑπολειφθέντα σώματα λαφυροπωλήσαντες. μετὰ ταῦτα δὲ εἰς Καμάριναν ἦλθον, καὶ ταύτῃ παρακαθίσας ἑλεῖν οὐκ ἐδυνήθη· ὕστερον δὲ παρ' Ἱέρωνος πολεμικὰ ὄργανα μεταστειλάμενος τὴν πόλιν εἷλε, καὶ τὰ σώματα τὰ πλείω Καμαριναίων ἐπώλησεν. εὐθὺς δὲ ὑπὸ προδοτῶν καὶ τὴν Ἔνναν εἷλε· καὶ τῶν φρουρῶν οἱ μὲν ἀνῃρέθησαν, οἱ δὲ ἐξέφυγον πρὸς τοὺς συμμάχους. εἶτα ἐπὶ Σιττάναν ἐλθών, κατὰ κράτος ταύτην εἷλεν. εἶτα ὁμοίως ταῖς ἄλλαις πόλεσι φρουρὰν καταστήσας ἐπὶ Κάμικον ἦλθε, φρούριον Ἀκραγαντίνων. εἷλε καὶ αὐτὸ προδοσίᾳ· τὸν δὲ τόπον ἔμφρουρον κατέστησεν. ἐξελείφθη δὲ κατὰ τοῦτον τὸν χρόνον καὶ Ἔρβησσος. ἔτι δὲ ποταμὸς Ἅλυκος καὶ ἄλλαις ἔσχατος.

10 Ὅτι δεῖ τοὺς ἀγαθοὺς ἢ νικᾶν ἢ εἴκειν τοῖς ὑπερέχουσιν.

11 Ὅτι κατὰ τὰς ἀτυχίας πάντες ἄνθρωποι μᾶλλον εἰώ- 504 θασι τοῦ θεοῦ μνημονεύειν, καὶ πολλάκις ἐν ταῖς εὐημερίαις καὶ εὐπραξίαις ὡς μύθων πεπλασμένων τῶν θεῶν καταφρονοῦντες κατὰ τὰς ἐλαττώσεις ἀνατρέχουσιν ἐπὶ τὴν φυσικὴν εὐλάβειαν.

12 Ὅτι ῥᾷόν ἐστί τινα ἐχθροὺς γενέσθαι, ἐὰν μόνον ἀγαθῷ συμβούλῳ χρήσοιτο πειθόμενος. τῇ μὲν τῶν ἡμαρτημένων κατηγορίᾳ διορθοῦσθαι συμβαίνει τοὺς ἐπὶ τὴν ὁμοίαν καταφερομένους ἄγνοιαν, τῇ δὲ ἐπὶ τῶν ἀγαθῶν ἐπιτηδευμάτων εὐφημίᾳ προτρέπεσθαι πολλῶν τὰς

97. ͵ϛ] ἑξακισχιλίους (͵ϛ) Wesselingius 100. *Καμάριναν*] *Καμαρίναν* H hic et 8. 4. Ἐρυκίνους Wesselingius, Ἐρινηνούς H 5. τὸ ἱερὸν Rhod., τοῦ ἱεροῦ H 8. ἦλθον] ἦλθεν ὁ στρατηγὸς Rhod. ταύτῃ Rhod., ταύτας H 11. πλείονα vel πλείω Rhod., πλεῖον H 16. εἶλε H 19. Ἔρβησσος Rhod., Ἔρκησσος H ἔτι] ἔστι? reliqua manca sunt 20. Ἄλυκος H
504. 25. ταῖς Exc. Vat. p. 57. 1., δὲ ταῖς H 26. τῶν θεῶν Exc. Vat., τῷ θεῷ H, τοῦ θεοῦ Rhod. 29. ἐχθρούς] ὑπὲρ τοὺς ἐχθροὺς Rhod. 30. τῇ — 33. εὐφημίᾳ Wesselingius ex Valesii Exc. p. 563. 43., τὴν μὲν τῶν ἡ. κατηγορίαν διορθοῦσθαι. καὶ συμβαίνει τοὺς ἐπὶ τὴν ὁ. κ. ἄγαν δὲ ἐπὶ τῶν ἀ. ἐ. εὐφημίαν H



ψυχὰς πρὸς ἀρετήν. — τὴν γὰρ εὐτυχίαν ὥσπερ βαρὺ φορτίον ἐνεγκεῖν ἐπιδεξίως οὐ δυνηθείς, ἑαυτὸν μὲν ἀπεστέρησε τῆς μεγίστης δόξης, τὴν δὲ πατρίδα μεγάλοις περιέβαλε συμπτώμασι.

Τῶν δὲ Ῥωμαίων ἐν Λιβύῃ διαβάντων μεγάλῃ δυνάμει σὺν Ἀττιλίῳ ὑπάτῳ, τὸ μὲν πρῶτον Καρχηδονίους ἐνίκησαν, καὶ πόλεις καὶ φρούρια εἷλον πολλά, καὶ δυναμιν πολλὴν κατέκοψαν. ὕστερον δὲ Ξανθίππου Σπαρτιάτου στρατηγοῦ μισθοφόρου ἐλθόντος ἀφ' Ἑλλάδος, ἐνίκησαν κατὰ κράτος Καρχηδόνιοι Ῥωμαίους καὶ κατέκοψαν μεγάλην δύναμιν. ἔκτοτε ναυμαχίαι καὶ πολλῶν σκαφῶν καὶ ἀνδρῶν ἀπώλεια Ῥωμαίοις ἐγένοντο, ὡς εἶναι τὸν τῶν ἀπολωλότων ἀριθμὸν δέκα μυριάδας. 13

ἀντὶ μὲν τῆς προϋπαρχούσης αὐτῷ δόξης πολλαπλασίαν τὴν ἀτιμίαν καὶ τὴν αἰσχύνην ἠλλάξατο, τοῖς δὲ ἰδίοις συμπτώμασι τοὺς ἄλλους ἐδίδαξε μετριοφρονεῖν ἐν ταῖς ἐξουσίαις, τὸ δὲ μέγιστον, ὧν ὑπερηφάνησε τὴν ἀτυχίαν, τούτων ἠναγκάσθη τὴν ὕβριν καὶ τὴν ἐξουσίαν φέρειν, προαφῃρημένος ἑαυτοῦ τὴν συγγνώμην καὶ τὸν συγκεχωρημένον τοῖς ἐπταικόσιν ἔλεον.

τοὺς γὰρ πᾶσι κρατοῦντας τοῖς πᾶσιν ἠλάττωσε, τοὺς δὲ διὰ τῆς ἥττης προσδοκῶντας τὴν ἀπώλειαν τῷ μεγέθει τοῦ προτερήματος ἐποίησε καταφρονῆσαι τῶν πολεμίων.

οὐδὲν γὰρ θαυμαστὸν εἰ στρατηγοῦ σύνεσις καὶ πραγμάτων ἐμπειρία τῶν ἀδυνάτων δοκούντων περιεγένοντο. πάντα γὰρ τῇ συνέσει βάσιμα καὶ δυνατὰ γίνεται, τῆς τέχνης ἐν πᾶσι χειρουμένης τὴν βίαν.

καθάπερ γὰρ τὸ σῶμα τῆς ψυχῆς ἐστι δοῦλον, οὕτως αἱ μεγάλαι δυνάμεις τῇ τῶν ἡγεμόνων ὑπείκουσι φρονήσει.

τοῦ πρὸς τὸ συμφέρον βουλευτηρίου πάντα κατισχύοντος.

505 Φίλιστος δὲ ἱστορικὸς ἦν.

Οἱ δὲ Ῥωμαῖοι οἱ εἰς τὴν Λιβύην διαπεράσαντες 14 καὶ τὸν πόλεμον μετὰ τῶν Καρχηδονίων νέων ποιήσαν-

46. ναυμαχίαι Rhod., ναυμαχίαι ἐγένοντο H 49. αὐτῷ Rhod. et Vales. Exc. p. 564. 81., αὐτοῦ H πολλαπλασίαν Exc. Vat., πολλαπλασίας H 55. συγκεχωρημένον Rhod., συγκεχωρισμένων H 58. προσδοκοῦντας] προσδοκῶντας Wesselingius ex p. 564. 92. 63. βάσιμα Rhod., βάδημα H 64. γίνεται Exc. Vat. p. 58. 3., ἄγειν H 69. πάντα Rhod. et Exc. Vat. p. 58. 7., παντὸς H
505. 71. Φίλιστος] Φιλῖνος Wesselingius 72. οἱ delendum videtur 73. νέων delet Reiskius: aegre servari potest ita ut νεῶν scribatur, nisi quis, ut καινοποιεῖν πόλεμον est, νεοποιήσαντες velit

τες, καὶ νικήσαντες καὶ ναῦς κδ' παραλαβόντες Καρχηδονίας, τοὺς ἀπὸ τοῦ πεζικοῦ πολέμου διασωθέντας Ῥωμαίους ἀναλαβόντες καὶ πρὸς Σικελίαν διαπερῶντες ἐξ αὐτῆς Καμαρίνας ἐκινδύνευσαν, καὶ ἀπώλεσαν μακρὰς ναῦς τριακοσίας τεσσαράκοντα, ἱππαγωγοὺς δὲ καὶ πλοῖα ἕτερα τριακόσια. ἀπὸ δὲ Καμαρίνης ἕως Παχύνου τὰ σώματα καὶ τὰ ἄλογα καὶ τὰ ναυάγια ἔκειντο. τοὺς δὲ διασωθέντας Ἱέρων φιλανθρώπως παραλαβών, ἐσθῆτι καὶ τροφῇ καὶ τῇ λοιπῇ χρείᾳ ἀναπαύσας ἕως Μεσσήνης διέσωσε. Καρθάλων μὲν ὁ Καρχηδόνιος μετὰ τὴν ναυαγίαν τῶν Ῥωμαίων πολιορκήσας Ἀκράγαντα, ταύτην εἷλε· καὶ τὴν μὲν πόλιν ἐνέπρησε, τὰ δὲ τείχη καθεῖλεν. οἱ δὲ καταλειφθέντες ἔφυγον εἰς τὸ Ὀλύμπιον. οἱ δὲ Ῥωμαῖοι ἕτερον στόλον μετὰ τὸ ναυάγιον ναυπηγήσαντες, καὶ διακοσίαις πεντήκοντα ναυσὶν εἰς τὸ Κεφαλύδην ἐλθόντες, τοῦτο διὰ προδοσίαν παρέλαβον. ἐπὶ δὲ τὰ Δρέπανα ἐλθόντες καὶ πολιορκήσαντες, τοῦ Καρθάλωνος βοηθοῦντος, ἐξέπεσον, καὶ ἦλθεν εἰς τὴν Πάνορμον. καθορμισθέντες ἐν τῷ λιμένι πλησίον τῶν τειχῶν καὶ τὴν δύναμιν ἐκβιβάσαντες, ἐχαράκουν καὶ ἐτάφρευον τὴν πόλιν· καταδένδρου γὰρ τῆς χώρας μέχρι τῶν πυλῶν οὔσης ἀπὸ θαλάσσης εἰς θάλασσαν τὰ χώματα ἐχαρακώθησαν καὶ ἐταφρεύθησαν. εἶτα Ῥωμαῖοι συνεχεῖς προσβολὰς ποιούμενοι καὶ μηχανὰς κατέβαλον τὸ τεῖχος, καὶ τῆς ἐκτὸς πόλεως κυριεύσαντες πολλοὺς ἀνεῖλον· οἱ δὲ ἄλλοι ἔφυγον εἰς τὴν ἀρχαίαν πόλιν, καὶ πέμψαντες πρέσβεις πρὸς τοὺς ὑπάτους ἠξίουν τοῖς σώμασιν ἀσφάλειαν. τῶν δὲ συμφωνούντων δύο μνᾶς τῷ σώματι διδόντας ἐλευθέρους εἶναι, παρέλαβον τὴν πόλιν οἱ Ῥωμαῖοι, καὶ μύρια τετρακισχίλια σώματα τιμῆς συνεχωρήθη τῷ εὑρεθέντι ἀργυρίῳ καὶ ἀπελύθη. τοὺς δὲ λοιπούς, μυρίους τρισχιλίους ὄντας, καὶ τὴν ἄλλην ἀποσκευὴν ἐλαφυροπώλησαν. Ἰαιτῖνοι δὲ ἐκβαλόντες τὴν τῶν Φοινίκων φρουρὰν τὴν πόλιν Ῥωμαίοις ἔδωκαν. παραπλησίως δὲ τούτοις ἐποίησαν Σολουντῖνοι καὶ Πετρῖνοι καὶ Ἠνατταρῖνοι καὶ Τυνδαρῖται. οἱ δὲ

77. ἐξ αὐτῆς Καμαρίνας] fortasse ἐγγὺς τῆς Καμαρίνης 78. μακρὰς Wesselingius, μικρὰς H τριακοσίας τ.] τμ' H 79. καὶ πλοῖα Rhod., πλοῖα H τριακόσια] τ' H 84. Μεσήνης H 89. διακοσίαις πεντήκοντα] σν' H 90. Κεφαλύδην] barbare pro Κεφαλοίδιον 92. πολιορκήσαντες] nonne ἐκπολιορκήσαντες? Καρθάλωνος] Καρθαλῶνος H 95. ἐκβιβάσαντες Rhod., ἐμβιβάσαντες H 99. καὶ μηχανὰς] ταῖς μηχαναῖς Rhod.

3. σώμασιν] σώμασι H 4. συμφωνούντων Rhod., συμφώνων H 6. — 7. τετρ. — τρισχ.] δ, — γ, H 9. Ἰετῖνοι H ἐκβαλόντες ed. Rhod., ἐκβάλλοντες H 11. Ἠνατταρῖνοι] Ἡμιχαρῖνοι Wesselingius 12. Τυνδαρῖται Rhod., Τυνδαρίδαι H



ὕπατοι φρουρὰν ἐν Πανόρμῳ λιπόντες ἀπῆλθον ἐν Μεσσήνῃ.

τοῦ δὲ ἐπιγενομένου ἔτους πλεύσαντες οἱ Ῥωμαῖοι δεύτερον εἰς Λιβύην, καὶ τῶν Καρχηδονίων μὴ ἐασάντων αὐτοὺς ὁρμῆσαι, ὑποστρέφοντες ἦλθον εἰς Πάνορμον. ἐκεῖθεν ἀπάραντες ἐν Ῥώμῃ δεύτερον ἐναυάγησαν
506 χειμῶνος αὐτοὺς καταλαβόντος, καὶ ἀπώλεσαν ναῦς μακρὰς ἑκατὸν πεντήκοντα καὶ τὴν ἄλλην ἅπασαν τῶν ἱππαγωγῶν καὶ λαφύρων. τοῦ δὲ Θερμῶν πυλωροῦ περὶ τὰ ἔξω γενομένου εἰς ἀναγκαίας χρείας, ὑπὸ τοῦ Ῥωμαίων στρατοῦ συνελήφθη· καὶ ἐπρέσβευσε πρὸς τὸν ἄρχοντα, ὅτι ἐὰν ἀπολύσῃ αὐτόν, ἀνοίξειν αὐτῷ τὴν πύλην τῆς πόλεως νυκτός. τοῦ δὲ ἀπολύσαντος, καὶ συνθεμένου καιρόν, ἀπέστειλεν ὁ ἄρχων χιλίους νυκτός. καὶ φθάσαντες, ὁ μὲν κατὰ τὴν ὡρισμένην ἤνοιξε πύλην· τὴν δὲ οἱ πρώτιστοι καὶ ἐπιφανεῖς εἰσῆλθον, καὶ εἶπον τῷ πυλωρῷ κλεῖσαι καὶ μηδένα ἄλλον ἐᾶσαι εἰσελθεῖν, θέλοντες μόνως τὸν πλοῦτον τῆς πόλεως ἆραι. οὗτοι πάντες κατεκόπησαν, ἄξιον τῆς πλεονεξίας θάνατον ὑπομείναντες.

ἐν ἄλλῳ δὲ καιρῷ τὰς Θέρμας καὶ τὴν Λίπαραν Ῥωμαῖοι παρέλαβον ἄμφω. πολιορκήσαντες δὲ Ῥωμαῖοι καὶ Ἑρκτὴν φρούριον μυριάσι τέσσαρσι καὶ χιλίοις ἱππεῦσιν οὐκ ἴσχυσαν.

Ἀσδρούβας δὲ ὁ στρατηγὸς τῶν Καρχηδονίων βλασφημούμενος ὑπὸ τῶν ἰδίων διὰ τὸ μὴ πολεμεῖν, ἀναζεύξας μετὰ πάσης δυνάμεως διὰ τῆς Σελινουντίας δυσχωρίας ἦλθεν εἰς τὸ Πάνορμον. καὶ διαβιβάσας τὸν ποταμὸν τὸν σύνεγγυς περὶ τὰ τείχη ἐστρατοπέδευσε, μήτε χαράκωμα μήτε τάφρον τάξας διὰ τὸ καταφρονεῖν. πάλιν δὲ καὶ τῶν ἐμπόρων πολὺν οἶνον ἐπιφερομένων, οἱ Κέλται μεθυσθέντες καὶ κραυγῆς καὶ ἀταξίας πληρούμενοι, ἐπιπεσόντος Καικιλίου τοῦ ὑπάτου αὐτοῖς, κατὰ κράτος αὐτοὺς νικήσας, καὶ τῶν ἐλεφάντων ἑξήκοντα κρατήσας, εἰς Ῥώμην ἀπέστειλε. καὶ θαῦμα Ῥωμαῖοι ἔσχον.

13. Μεσσήνῃ] Μεσήνῃ H

506. 20. ἑκατὸν π.] ρν' H ἅπασαν] παρασκευὴν addit Rhod.: deesse etiam μετὰ ante τῶν videtur 22. χρείας Rhod., χεῖρας H 26. χιλίους] α, H 29. ἄλλον ἐᾶσαι Rhod., ἄγγελον ἐᾶσαι καὶ H 33. Λίπαραν] Λιπάραν ed. Rhod.: conf. Schweigh. ad Polybium I. 39. 13.

35. μυριάσι Rhod., qui πεζῶν praeponebat, μυριὰς H 36. Ἀσδρούβας] Ἀνδρούβας H 45. ἐπιπεσόντος Rhod., ὑποπεσόντος H 47. ἑξήκοντα] ξ' H

# ΒΙΒΛΙΟΝ ΚΔʹ.

Τὴν δὲ Σελινουντίων πόλιν Καρχηδόνιοι κατασκάψαντες μετῴκισαν εἰς τὸ Λιλύβαιον. Ῥωμαῖοι δὲ ναυσὶ μακραῖς διακοσίαις τεσσαράκοντα καὶ κερκούροις ἑξήκοντα καὶ πλοίων πλήθει παντοδαπῶν κατέπλευσαν εἰς τὴν Πάνορμον, ἐκεῖθεν εἰς τὸ Λιλύβαιον, ἣν πολιορκεῖν ἤρξαντο. τὴν μὲν γῆν ἀπὸ θαλάσσης εἰς θάλασσαν τάφρῳ ἀπετείχισαν, καταπέλτας δὲ καὶ κριοὺς καὶ χωστρίδας καὶ χελώνας κατεσκεύασαν. τὸ δὲ στόμιον τοῦ λιμένος πεντεκαίδεκα κερκούρους ναῦς λίθων πληρώσαντες κατέχωσαν. ἦν δὲ ὁ λαὸς ὁ τῶν Ῥωμαίων ἕνδεκα μυριάδες, τῶν δὲ πολιορκουμένων πεζοὶ ἑπτακιςχίλιοι, ἱππεῖς δὲ ἑπτακόσιοι. πολιορκουμένων δὲ αὐτῶν, ἦλθεν αὐτοῖς βοήθεια ἀπὸ Καρχηδόνος ἄνδρες τετρακιςχίλιοι καὶ σῖτος μετὰ τοῦ Ἀτάρβου, καὶ ἀνεθάρσησαν. οἱ δὲ Ῥωμαῖοι θεασάμενοι τὴν εἰςβολὴν τῆς δυνάμεως, λίθοις 507 καὶ χώμασιν ἐκ δευτέρου τὸ στόμιον τοῦ λιμένος ἔχωσαν, καὶ ξύλοις μεγίστοις καὶ ἀγκύραις τὰ βάθη ἐσταύρωσαν. πνεύματος δὲ βιαίου πνεύσαντος, καὶ τῆς θαλάσσης ἀγριανθείσης, πάντα κατέλυσεν. ἐποίησαν δὲ Ῥωμαῖοι πετροβόλον ὄργανον. ἔκτισαν δὲ ἔνδοθεν ἄλλο τεῖχος Καρχηδόνιοι. τὴν δὲ τάφρον τῆς πόλεως ἔχωσαν Ῥωμαῖοι, ἔχουσαν τὸ πλάτος ἑξήκοντα πήχεις καὶ τὸ βάθος τεσσαράκοντα. πόλεμον δὲ συνάψαντες εἰς τὸ πρὸς θάλασσαν τεῖχος ἔστησαν κατὰ πρόσωπον ἐνέδρας. καὶ τοῦ λαοῦ εἰς τὸν πρὸς θάλασσαν πόλεμον κενωθέντος

53. 57. Λιλυβαῖον H 54. διακοσίαις τεσ.] σμʹ H 55. ἑξήκοντα] ξʹ H 57. ὃ Rhod. in Add., ἣν idem antea, τὴν H 60. πεντεκαίδεκα] ιεʹ H 61. κερκούρους Rhod., qui in marg. voluerat κερκούροις ναυσί, κερκουρὰς H 62. ἕνδεκα] ιά H 63. πεζοὶ H ἑπτακιςχίλιοι] ζ H ἑπτακόσιοι] ψʹ H 65. τετρακιςχίλιοι] δ H μετὰ τοῦ Ἀτάρβου post σῖτος posuit Wesselingius, post ἀνεθάρσησαν H

507. 67. λίθοις] λίθαις H 72. πετροβόλον Rhod., πετράολον H 74. ἑξήκοντα] ξʹ H et mox μʹ 77. ἐνέδρας Rhod., ἕδρας H



οἱ κατὰ τὰς ἐνέδρας κλίμακας ἑτοίμους ἔχοντες ἀνέβησαν, καὶ τὸ πρῶτον τεῖχος εἷλον. ἀκούσας δὲ ὁ Καρχηδόνιος στρατηγός, ἐπιπεσὼν αὐτοῖς ἐν ἑνὶ τόπῳ ἐφόνευσε μυρίους, καὶ τοὺς ἄλλους ἠνάγκασε φεύγειν. πάντα δὲ πολεμικὰ ὄργανα, χελώνας, πετροβόλους, κριούς, χωστρίδας, πνεύματος μεγάλου ἐπιπνεύσαντος ἐνέπρησαν Ῥωμαίων. ἰδόντες δὲ οἱ Καρχηδόνιοι οὐδὲν ὠφελοῦντας τοὺς ἱππεῖς αὐτῶν ἐν τοῖς στενοῖς τόποις, ἐξαπέστειλαν αὐτοὺς εἰς τὰ Δρέπανα, καὶ πολλὴ βοήθεια Καρχηδονίοις ἐγένετο. ἐξαπορηθέντες δὲ οἱ Ῥωμαῖοι διὰ τὴν καῦσιν τῶν ὀργάνων καὶ διὰ τὴν σπανίαν τῶν τροφῶν καὶ τὴν λοιμικὴν νόσον, κρεωβοροῦντες γὰρ μόνον Ῥωμαῖοι καὶ οἱ σύμμαχοι, εἰς τὴν νόσον ἔπιπτον, ὡς ἐν ὀλίγαις ἡμέραις μυρίους τεθνάναι. ὅθεν καὶ τὴν πολιορκίαν ἠθέλησαν καταλῦσαι· Ἱέρων δὲ ὁ βασιλεὺς Συρακούσης σῖτον πολὺν ἀποστείλας αὐτοῖς ἀνεθάρσυνεν αὐτοὺς πρὸς τὴν πολιορκίαν πάλιν. τῶν δὲ Ῥωμαίων τὸν ὕπατον διαδεξαμένων, τὴν ἀρχὴν παρέδωκαν Κλαυδίῳ ὑπάτῳ τῷ τοῦ Ἀππίου υἱῷ. καὶ παραλαβὼν τὰς δυνάμεις πάλιν τὸν λιμένα ἔχωσεν, ὥςπερ καὶ οἱ πρὸ αὐτοῦ, καὶ πάλιν ἡ θάλασσα κατεσκόρπισε. τοῦ δὲ Κλαυδίου μέγα ἐπαρθέντος, τὰς ἀρίστας ναῦς ἐξήρτυσε διακοσίας δέκα, καὶ εἰς τὰ Δρέπανα πρὸς Καρχηδονίους ἀπῆλθε πολεμήσων αὐτούς. καὶ ἡττήθη ἀπολέσας ναῦς ἑκατὸν ἑπτακαίδεκα καὶ ἄνδρας διςμυρίους. ναυμαχίαν δὲ καρτερὰν καὶ νίκην λαμπροτέραν οὐχὶ Καρχηδονίοις, ἀλλ᾽ οὐδ᾽ ἄλλοις τοιαύτην γεγενημένην ῥᾳδίως περὶ τούτους τοὺς χρόνους, καὶ τὸ παράδοξον, ἐν τηλικούτῳ κινδύνῳ ὄντας Καρχηδονίους καὶ μετὰ νεῶν δέκα, οὐ μόνον ἀνῃρέθη μὲν οὐδείς, ἐτραυματίσθησαν δὲ ὀλίγοι. μετὰ δὲ ταῦτα ἀπέστειλεν Ἀννίβας τριηράρχην εἰς Πάνορμον μετὰ τριάκοντα νεῶν, αἳ τὴν ἀγορὰν τῶν Ῥωμαίων τοῦ σίτου ἔφερον εἰς Δρέπανα. καὶ τῆς λοιπῆς ἀγορᾶς τὴν χρείαν
508 ἐκ τῆς Δρεπάνης λαβόντες εἰς τὸ Λιλύβαιον ἦλθον, καὶ τοὺς πολιορκουμένους ἐνέπλησαν παντοίων ἀγαθῶν. ἔφθασε δὲ καὶ Καρθάλων στρατηγὸς ἐκ Καρχηδόνος μετὰ νεῶν μακρῶν ἑβδομήκοντα καὶ σιτηγῶν ἴσων. ἐπιθεμέ-

79. κατὰ τὰς Rhod., τὰς H 91. κρεωβοροῦντες Rhod., κρεωβροτοῦντες H 100. ἀνεθάρσυνεν Rhod., ἀνεθάρσησεν H
7. ἐξήρτυσε Wesselingius, ἐξήρτησε H διακοσίας δέκα] σί H 9. ἑκατὸν ἑπτακαίδεκα] ριζ H 10. καρτερὰν Rhod., praeposito etiam οὕτω, κρατεὰν H 12. ῥᾳδίως] ῥᾳδίως ἂν εὕροις Rhod. 15. δέκα] ιʹ H οὐ fortasse delendum
17. τριάκοντα] λʹ H αἳ Rhod., καὶ H
508. 20. Λιλύβαιον] Λιλυβαῖον H 23. ἑβδομήκοντα] οʹ H

νων δὲ καὶ αὐτῶν Ῥωμαίοις, τινὰς μὲν ναῦς ἐβύθισε, τῶν δὲ νεῶν τῶν ὁρμουσῶν εἰς γῆν ἀπέσπασε πέντε. ἀκούσας δὲ τὸν στόλον τῶν Ῥωμαίων ἐκ Συρακουσῶν ἀφωρμηκέναι, πείσας τοὺς συνάρχοντας ἀνήχθη ναυσὶν ἑκατὸν εἴκοσι ταῖς ἀρίσταις. τῶν δὲ στόλων εἰς σύνοψιν ἐλθόντων κατὰ τὴν Γελῴαν χώραν, οἱ Ῥωμαῖοι φοβηθέντες κατέπλευσαν εἰς τὴν Φιντιάδα, καὶ τὰ πλοῖα τὰ τὴν ἀγορὰν κομίζοντα καὶ τὰς λοιπὰς ναῦς ἀπέλιπον ὑπὸ τὴν γῆν· τῶν δὲ Καρχηδονίων καταπλευσάντων συνέστη καρτερὸς ἀγών. τέλος δὲ οἱ Καρχηδόνιοι τῶν σκαφῶν τῶν μεγάλων κατέδυσαν πεντήκοντα, τῶν δὲ μακρῶν ἐβύθισαν ἑπτακαίδεκα, συντρίψαντες δὲ τριςκαίδεκα ἀχρήστους ἐποίησαν. μετὰ δὲ ταῦτα οἱ Καρχηδόνιοι ἐπὶ τὸν Ἅλυκον ποταμὸν παραγενόμενοι τοὺς τραυματίας ἀνέπαυσαν. ὁ δὲ ὕπατος Ἰούνιος οὐδὲν τῶν γεγενημένων εἰδὼς ἐκ τῆς Μεσσήνης ἀνήχθη ναυσὶ μακραῖς τριάκοντα ἕξ, φορτηγοῖς οὐκ ὀλίγοις. περιπλεύσας δὲ τὸν Πάχυνον καὶ καθορμισθεὶς πλησίον Φιντιάδος, κατεπλάγη τὸ γεγενημένον. μετὰ δὲ ταῦτα Καρχηδονίων παντὶ στόλῳ πρὸς αὐτοὺς ἐλθόντων, φοβηθεὶς ὁ ὕπατος τὰς μὲν τριςκαίδεκα τὰς ἀχρήστους ἐνέπρησεν, ἐπὶ δὲ Συρακόσας τὸν πλοῦν ἐποιεῖτο, νομίζων Ἱέρωνα παρέξεσθαι τὴν ἀσφάλειαν. κατάληπτος δὲ γενόμενος πρὸς τὴν γῆν τῆς Καμαρίνας εἰς τὴν γῆν κατέφυγε πρὸς τόπους τραχεῖς καὶ ὑφαλώδεις. τοῦ δὲ πνεύματος βιαιότερον ἐπιπνέοντος, οἱ μὲν Καρχηδόνιοι κάμψαντες τὸν Πάχυνον εἰς ὑπεύδιον τόπον καθωρμίσθησαν, οἱ δὲ Ῥωμαῖοι κινδύνου μεγάλου γεγενημένου τὰ μὲν σιτηγὰ πλοῖα ἀπώλεσαν πάντα, τὰς δὲ μακρὰς ναῦς οὔσας ἑκατὸν πέντε ὁμοίως, ὥςτε δύο μόνας σωθῆναι, τὰ δὲ πλείω σώματα ἀπολωλέναι. ὁ δὲ Ἰούνιος τὰς δύο ναῦς ἀπολαβὼν καὶ τοὺς ὑπολειφθέντας ἄνδρας εἰς τὸ στρατόπεδον ἦλθε τὸ Λιλυβαῖον. νυκτὸς δὲ οὗτος ἐπιπεσὼν τὸν Ἔρυκα παρέλαβε· καὶ τὸν Αἰγίθαλλον ἐτείχισεν, ὅνπερ νῦν Ἄκελλον καλοῦσι, καὶ στρατιώτας ὀκτακοσίους εἰς φυλακὴν κατέλιπε. Καρθάλων δὲ πυθόμενος τοὺς περὶ τὸν Ἔρυκα τόπους προκατειλῆφθαι, νυκτὸς ἐν ταῖς ναυσὶ παρεκόμισε δύναμιν· ἐπιπεσὼν δὲ τοῖς φρουροῖς τοῦ Αἰγιθάλλου ἐκυρίευσε τοῦ χωρίου, καὶ περιγενόμε-

24. τῶν δὲ Wesselingius, τῶν H: τῶν δ' ὁρμουσῶν minus cogitate Rhod. 25. πέντε] ε' H 27. ἑκατὸν εἴκοσι] ρκ' H 34. πεντήκοντα] ν' H et mox ιζ' et ιγ' 37. Ἅλυκον et 39. Μεσήνης H 40. τριάκοντα ἕξ] λς' H 45. τριςκαίδεκα] ιγ' H 50. βιαιότερον] βιαιώτερον H 54. ἑκατὸν πέντε] ρε' H 55. ὥςτε vel συνέβη δὲ Rhodom., δὲ H



νος οὓς μὲν ἀπέκτεινεν, οὓς δὲ ἐφυγάδευσεν εἰς τὸν Ἔρυκα· καὶ τὸ μὲν φρούριον τριςχίλιοι στρατιῶται ἐφύλαξαν. ἐν δὲ τῇ πρώτῃ ναυμαχίᾳ Ῥωμαῖοι ἔπεσον τριςμύριοι καὶ πεντακιςχίλιοι, τῶν δὲ ἑαλωκότων οὐκ ἔλαττον τούτων.

εἰς δὲ τὸν Λόγγωνα Κατάνης φρούριον ὑπῆρχε, 2
καλούμενον Ἰτάλιον· ὅπερ πολεμήσας Βάρκας ὁ Καρχηδόνιος

509 τὰ γὰρ τῶν στρατηγῶν βουλεύματα καὶ στρατηγήματα διαδιδόμενα τοῖς φίλοις τοῖς πολεμίοις γνώριμα γίνεται διὰ τῶν αὐτομόλων, καὶ τοῖς στρατιώταις δειλίαν ἐντίκτοντα προςδοκίαν μεγάλου κινδύνου ἐντίθησι.

Βάρκας δὲ νυκτὸς καταπλεύσας καὶ την δύναμιν ἀποβιβάσας, αὐτὸς πρῶτος ἡγησάμενος τῆς ἀναβάσεως τῆς πρὸς Ἔρυκα οὔσης σταδίων τριάκοντα παρέλαβε την πόλιν, καὶ πάντας ἀνεῖλε. μετῴκισε δὲ τοὺς λοιποὺς εἰς τὰ Δρέπανα.

ἐν παντὶ γὰρ καιρῷ καὶ πράγματι συμβαίνει τὴν εὐταξίαν γίνεσθαι μεγάλων ἀγαθῶν αἰτίαν.

Αὐτάτιος δὲ ὁ ὕπατος ναυσὶ μακραῖς τριακοσίαις 3
καὶ πλοίοις καὶ πορείοις ἑπτακοσίοις, ὁμοῦ χιλίοις, εἰς Σικελίαν ἔπλευσε, καὶ εἰς τὸ Ἐρυκίνων ἐμπόριον καθωρμίσθη. Ἄννων δὲ καὶ αὐτὸς ἐκ Καρχηδόνος ναυσὶ διακοσίαις πεντήκοντα μακραῖς καὶ τοῖς φορτηγοῖς εἰς τὴν νῆσον τὴν Ἱέραν ἦλθεν. εἶτα δὲ ἐξ αὐτῆς πρὸς τὸν Ἔρυκα ἐρχόμενος, καὶ τῶν Ῥωμαίων ὑπαντησάντων, παρ' ἀμφοτέρων πόλεμος ἐγένετο μέγας. κατὰ δὲ τοῦτον τὸν πόλεμον ἀπέβαλον Καρχηδόνιοι ναῦς ἑκατὸν ἑπτακαίδεκα, αὐτάνδρους μὲν τούτων εἴκοσι, Ῥωμαῖοι δὲ ὀγδοήκοντα, τριάκοντα μὲν εἰς τέλος, πεντήκοντα δὲ εἰς ἐπιμερισμόν, αἰχμαλώτους δέ, ὡς Φιλῖνος ἀνέγραψε, Καρχηδονίων ἑξακιςχιλίους, ὡς δὲ ἕτεροι, τετρακιςχιλίους τεσσαράκοντα. αἱ δὲ ἄλλαι νῆες πνεύματος ἐπιπνεύσαντος οὐρίου εἰς Καρχηδόνα ἔφυγον.

οὐδὲν γὰρ ὄφελος ἀνδρείας, ὅταν τοῦ σκάφους βυ-

66. τριςχίλιοι] γ, H 68. πεντακιςχίλιοι] ε, H

509. 74. φίλοις Rhod., φιλοῦσι H 76. ἐντίκτοντα Rhod. ἐντίκτονται H 80. τριάκοντα] λ' H 86. Λυτάτιος Wessel., Λιγάτινος H τριακοσίαις] τ' H et mox ψ' 87. πορίοις H 88. Ἐρυκίνων Wesselingius, Ἐρικύνων H 90. διακοσίαις πεντήκοντα] σν' H et mox Ἱερὰν 95. ἑκατὸν ἑπτακαίδεκα] ριζ' H 96. εἴκοσι] κ' H ὀγδοήκοντα] π' H et mox λ' et ν' et ,ς 100. τετρακιςχιλίους τεσσαράκοντα] ,δμ' H 3. ὅταν τοῦ Exc. Vat. p. 61. 2., ὅτ' αὐτοῦ H

θισθέντος τὸ σῶμα τῆς βάσεως ἀποστερηθὲν ὑπὸ τῆς θαλάσσης τοῖς πολεμίοις ἐγχειρίζηται.

εἴκοσι τέσσαρα ἔτη πολεμήσαντες οἱ Ῥωμαῖοι Καρχηδονίους, Λιλύβαιον δὲ δεκαετῆ χρόνον πολιορκήσαντες, πρὸς ἀλλήλους διελύθησαν.

4. ἀποστερηθὲν Exc. Vat. et Rhod., ἀποστερηθέντος H 5. ἐγχειρίζηται Exc. Vat., ἐγχειρίζεται H εἴκοσι τ.] κδ' H 7. Λιλύβαιον] Λιλυβαῖον H

---

## ΒΙΒΛΙΟΝ ΚΕ΄.

Ἐπίκουρος ὁ φιλόσοφος ἐν ταῖς ἐπιγεγραμμέναις ὑπ' αὐτοῦ κυρίαις δόξαις ἀπεφήνατο τὸν μὲν δίκαιον βίον ἀτάραχον ὑπάρχειν, τὸν δὲ ἄδικον πλείστης ταραχῆς γέμειν, βραχεῖ παντελῶς λόγῳ πολὺν ἀληθῆ νοῦν περιλαβὼν καὶ τὸ σύνολον δυνάμενον τὴν κακίαν τῶν ἀνθρώπων διορθοῦσθαι. ἡ γὰρ ἀδικία μητρόπολις οὖσα τῶν κακῶν οὐ μόνον τοῖς ἰδιώταις ἀλλὰ καὶ συλλήβδην ἔθνεσι καὶ δήμοις καὶ βασιλεῦσι τὰς μεγίστας ἀπεργάζεται συμφοράς. 1

ὑπῆρχον γὰρ οἱ μετὰ Καρχηδονίων στρατευσάμενοι Ἴβηρες, Κελτοί, Βαλεαρεῖς, Λίβυες, Φοίνικες, Λιγυστῖνοι καὶ μιξέλληνες δοῦλοι· οἳ καὶ ἐστασίασαν.

510 τότε συνιδεῖν ἔστιν ἐπ' αὐτῆς τῆς πείρας ἡλίκην ὑπεροχὴν ἔχει στρατηγικὴ σύνεσις ἰδιωτικῆς ἀπειρίας καὶ τριβῆς ἀλόγου καὶ στρατιωτικῆς.

οὕτω τῶν κατὰ τὰς ἁμαρτίας ὄντων μεγάλην ἔχει διαφορὰν ἡ μετριότης καὶ μηδὲν ὑπὲρ ἄνθρωπον ἐπιτηδεύειν.

μετὰ δὲ τὴν ἐκ Σικελίας ἀπαναχώρησιν οἱ μισθοφόροι Καρχηδονίων ἐπανέστησαν αὐτοῖς διὰ τοιαύτας αἰτίας. ὑπὲρ τῶν ἵππων τῶν θανόντων ἐν Σικελίᾳ καὶ τῶν σφαγέντων ἀνδρῶν τιμὰς ὑπερβαλλούσας [ἀπῄτουν.] καὶ ἐπολέμησαν ἔτη τέσσαρα καὶ μῆνας τέσσαρας. σφάζονται δὲ ὑπὸ Ἀμίλκα τοῦ Βάρκα στρατηγοῦ, ὃς καὶ ἐν Σικελίᾳ εἰς τοὺς Ῥωμαίους ἀνδρικῶς ἐκρατύνατο.

11. ἐν Exc. Vat. (v. Mai. ad p. 62. 1. ed. Lips.), ἐπὶ H 17. τὴν κακίαν] κακίαν Exc. Vat. 19. συλλήβδην] αὐτοῖς συλλήβδην Exc. Vat. 22. Λίβυες Φοίνικες] Λιβυφοίνικες Wesselingius 23. Λιγυστῖνοι Wesselingius, Λιγυστῆνοι H οἳ — ἐστασίασαν Rhod., οἱ — εὐτασίαν H 510. 31. ἀπαναχώρησιν] malim ἐπαναχώρησιν 35. ἀπῄτουν addidit Wessel. τέσσαρα — τέσσαρας] δ' bis H 36. σφάζονται] σφάξονται errore typ. H 38. ἐκρατύνατο] ἐστρατεύσατο Rhod.

2 Ἀμίλκας δὲ στρατηγήσας κατὰ Καρχηδόνα ταχὺ τὴν πατρίδα ηὔξησε, καὶ εἰς τὰς Ἡρακλείους στήλας καὶ εἰς τὰ Γάδειρα καὶ εἰς τὸν Ὠκεανὸν κατέπλευσεν. ἔστι δὲ τὰ Γάδειρα πόλις ἄποικος Φοινίκων· κεῖται μὲν εἰς τὰ ἔσχατα τῆς οἰκουμένης κατὰ αὐτὸν τὸν Ὠκεανόν, ὅρμον ἔχουσα. πολεμήσας δὲ Ἴβηρας καὶ Ταρτησίους μετὰ Ἰστολατίου στρατηγοῦ τῶν Κελτῶν καὶ τοῦ ἀδελφοῦ αὐτοῦ πάντας κατέκοψεν, ἐν οἷς καὶ τοὺς δύο ἀδελφοὺς σὺν ἄλλοις ἐπιφανεστάτοις ἡγεμόσι· καὶ τριςχιλίους ζῶντας παραλαβὼν ἔταξεν εἰς τὰς ἰδίας στρατιάς. Ἰνδόρτης δὲ πάλιν ἀθροίσας πεντακιςμυρίους, καὶ πρὶν πολέμου τραπεὶς καὶ φυγὼν εἰς λόφον τινά, καὶ πολιορκηθεὶς ὑπ᾽ Ἀμίλκα καὶ νυκτὸς πάλιν φυγών, τὸ πλεῖστον αὐτοῦ κατεκόπη, αὐτὸς δὲ Ἰνδόρτης καὶ ζωγρίας ἐλήφθη. ὃν τυφλώσας Ἀμίλκας καὶ τὸ σῶμα αἰκισάμενος ἀνεσταύρωσε· τοὺς δὲ ἄλλους αἰχμαλώτους, ὄντας μυρίων πλείους, ἀπέλυσε. πολλὰς δὲ πόλεις τῇ πειθοῖ προςηγάγετο, πολλὰς δὲ καὶ καταπολεμήσας. Ἀσδρούβας δὲ ὁ γαμβρὸς Ἀμίλκου, πεμφθεὶς παρὰ τοῦ κηδεστοῦ εἰς Καρχηδόνα εἰς πόλεμον τῶν Νομάδων τῶν ἐπαναστάντων Καρχηδονίοις, κατέκοψεν ὀκτακιςχιλίους, ζωγρίας δὲ ἔλαβε διςχιλίους, οἱ δὲ λοιποὶ ἐδουλώθησαν φόρους τελέσοντες. ὁ δὲ Ἀμίλκας περὶ τὴν Ἰβηρίαν πόλεις πολλὰς ὑποτάξας ἔκτισε πόλιν μεγίστην, καλέσας αὐτὴν ἐκ τῆς τοῦ τόπου θέσεως Ἄκραν Λευκήν. Ἀμίλκας δὲ Ἑλικῇ τῇ πόλει παρακαθήμενος καὶ πολιορκῶν, τὸ πλεῖστον στράτευμα καὶ τοὺς ἐλέφαντας εἰς παραχειμασίας ἐν τῇ 511 ὑπ᾽ αὐτοῦ κτισθείσῃ πόλει Λευκῇ Ἄκρᾳ ἀποστείλας, μετὰ τῶν λοιπῶν παρέμεινε. συνεκβοηθήσαντος δὲ τοῦ Ὀρισσῶν βασιλέως τοῖς πολιορκουμένοις, δόλῳ φιλίαν συνεπιθέμενος καὶ συμμαχήσας ἔτρεψεν Ἀμίλκαν. τούτου δὲ φεύγοντος τοῖς υἱοῖς καὶ τοῖς φίλοις τὴν σωτηρίαν κατεσκεύασε δι᾽ ἄλλης ὁδοῦ ἐκκλίνας· καταδιωκόμενος γὰρ ὑπὸ τοῦ βασιλέως, εἰς ποταμὸν μέγαν σὺν τῷ ἵππῳ ἐμβὰς ὑπὸ τοῦ ῥεύματος διεφθάρη ὑπὸ τοῦ ἵππου. οἱ δὲ περὶ τὸν Ἀννίβαν καὶ Ἀσδρούβαν τοὺς υἱοὺς διεσώθησαν εἰς τὴν Λευκὴν Ἄκραν.

Ἀμίλκας μὲν οὖν, καίπερ πολλοῖς ἔτεσι πρότερον τῆς ἡμετέρας ἡλικίας τετελευτηκώς, ἐχέτω παρὰ τῆς ἱστορίας ὥςπερ ἐπιτάφιον τὸν ἴδιον ἔπαινον.

45. Ταρτεσίους H  τῶν Rhod., καὶ τῶν H  48. τριςχιλίους] ͵γ H  57. πειθοῖ Rhod., πειθῷ H  61. ὀκτακιςχιλίους] ͵η H et mox ͵β  63. τελέσοντες Rhod., τελέσαντας H
511. 71. πολιορκουμένοις ed. Wess., πολιουρκουμένοις H
27. συνεπιθέμενος] scribendum συντιθέμενος vel συνθέμενος
76. ὑπὸ] immo μετὰ



Ἀσδρούβας δὲ ὁ γαμβρὸς Ἀμίλκα μαθὼν τοῦ κηδεστοῦ τὸ ἀκλήρημα, ταχέως ἀναζεύξας πρὸς τὴν Λευκὴν Ἄκραν ἦλθεν, ἔχων θηρία πλέον τῶν ἑκατόν. οὗτος δὲ στρατηγὸς ἀναγορευθεὶς ὑπό τε τοῦ λαοῦ καὶ Καρχηδονίων πεντακιςμυρίους ἐμπείρους πεζοὺς συνέλεξε καὶ ἱππεῖς ἑξακιςχιλίους, ἐλέφαντας δὲ διακοσίους. πολεμήσας δὲ πρῶτον τὸν Ὀρισσῶν βασιλέα κατέσφαγε πάντας τοὺς αἰτίους τῆς Ἀμίλκα φυγῆς. παρέλαβε δὲ τὰς πόλεις αὐτῶν, οὔσας δώδεκα, καὶ πάσας τὰς πόλεις Ἰβηρίας. γήμας δὲ γυναῖκα ἔσχε θυγατέρα βασιλέως Ἰβήρου, ὑπὸ πάντων τῶν Ἰβήρων ἀνηγορεύθη στρατηγὸς αὐτοκράτωρ. ὅθεν ἔκτισε παραθαλασσίαν πόλιν, ἣν προςηγόρευσε Νέαν Καρχηδόνα, καὶ ἑτέραν πόλιν ὕστερον, θέλων τὴν Ἀμίλκα δύναμιν ὑπερβῆναι. καὶ ἐστράτευσεν ἑξακιςμυρίους, ἱππεῖς ὀκτακιςχιλίους, ἐλέφαντας διακοσίους. ὑπὸ δὲ οἰκέτου ἐπιβουλευθεὶς ἐσφάγη, στρατηγήσας ἔτη ἐννέα.

Κελταὶ δὲ μετὰ Γαλατῶν κατὰ Ῥωμαίων πόλεμον ἀθροίσαντες συνῆξαν λαὸν μυριάδας εἴκοσι, καὶ πρῶτον μὲν πόλεμον ἐνίκησαν· καὶ δεύτερον προςβαλόντες ἐνίκησαν, ἀνεῖλον δὲ καὶ τὸν ἕνα Ῥωμαίων ὕπατον. Ῥωμαῖοι δὲ καὶ αὐτοὶ ἔχοντες πεζῶν μυριάδας ἑβδομήκοντα, ἱππέων δὲ ἑπτακιςμυρίους, τῶν δύο πολέμων ἡττημένων Ῥωμαίων, τῷ τρίτῳ πολέμῳ κατὰ κράτος ἐνίκησαν Ῥωμαῖοι, καὶ ἀνεῖλον μυριάδας τέσσαρας, καὶ τοὺς ὑπολοίπους ἐζώγρησαν, ὥςτε καὶ τὸν μέγιστον αὐτῶν βασι-
512 λέα ἑαυτοῦ θερίσαι τὸν τράχηλον, τὸν δὲ δεύτερον αὐτοῦ ζῶντα ποιῆσαι. ἐκ δὲ τούτου τοῦ ἀνδραγαθήματος ἀνθύπατος γενόμενος Αἰμίλιος κατέδραμε τὴν χώραν τῶν Γαλατῶν καὶ Κελτῶν, καὶ πολλὰς πόλεις καὶ φρούρια εἷλε, καὶ ὠφελείας πολλῆς ἐπλήρωσε τὴν Ῥώμην.

Ἱέρων δὲ ὁ βασιλεὺς Συρακόσης εἰς τὸν Κελτικὸν 4
πόλεμον Ῥωμαίοις σῖτον ἀπέστειλε, βοηθῶν Ῥωμαίοις, οὗ καὶ τὴν τιμὴν ἔλαβε μετὰ τὴν τοῦ πολέμου κατάλυσιν.

Μετὰ δὲ τὴν σφαγὴν Ἀσδρούβα τοῦ Καρχηδονίου 5
ἀναρχίας οὔσης, τὸν μείζονα υἱὸν Ἀμίλκα Ἀννίβαν στρα-

84. ἀκλήρημα Rhod., ἀκλήτριμα H  86. ἑκατόν] ρ΄ H
87. πεντακιςμυρίους] εμυρίους H et mox ϛ  90. κατέσφαγε] immo κατέσφαξε, sicut ed. Bipontina  91. Ἀμίλκα φυγῆς Rhod., Ἀμικαγῆς H  92. δώδεκα] ιβ΄ H  πάσας Rhod., πάσαν H
97. ὕστερον] ὑστέρων H  ἑξακιςμ.] ͵ϛμ. H: ante id ἄγων πεζοὺς addit Rhod.  99. ὀκτακιςχιλίους] ͵η H  1. ἐννέα] θ΄ H  2. Κελταὶ] Κελτοὶ ed. Rhod.  3. συνῆξαν] σύνηξαν H  εἴκοσι] κ΄ H  6. ἑβδομήκοντα] ό H: tum ἐν δύο δὲ πολέμοις Rhod.  7. 10. τέσσαρας] δ΄ H
512. 12. αὐτοῦ] ὑπ᾽ αὐτοῦ Rhod.  14. Αἰμίλιος ed. Wess., Αἰμήλιος H

τηγὸν ἐχειροτόνησαν. Ζακανθαίων δὲ ἡ πόλις πολιορκουμένη ὑπὸ Ἀννίβα, συναγαγόντες τὰ ἱερὰ καὶ τὸν χρυσὸν καὶ ἄργυρον τὸν ἐν τοῖς οἴκοις καὶ τὰ τῶν γυναικῶν κόσμια καὶ ἐνώτια καὶ ἀργύρια, χωνεύσαντες ἔμιξαν χαλκὸν καὶ μόλιβδον, καὶ ἄχρηστον ποιήσαντες τὸν χρυσὸν ἐξῆλθον, καὶ ἡρωικῶς ἀγωνισάμενοι πάντες κατεκόπησαν, πολλοὺς δὲ καὶ αὐτοὶ φονεύσαντες. αἱ δὲ γυναῖκες τὰ τέκνα φονεύσασαι ἑαυτὰς δι' ἀγχόνης ἀπέπνιξαν. οὕτως ἀκερδῆ τὴν πόλιν παρέλαβεν Ἀννίβας. τὸν δὲ Ἀννίβαν Ῥωμαῖοι πρὸς δίκην αἰτήσαντες δι' ὧν παρηνόμησε, καὶ μὴ λαβόντες, πόλεμον τὸν Ἀννιβαϊκὸν καλούμενον ἔστησαν.

24. πολιορκουμένη ed. Wess., πολιουρκουμένη H 25. καὶ τὸν] (καὶ) τὸν H 31. δι' ἀγχόνης Hoeschelius, διὰ χόνης H 35. ἔστησαν] ἐνέστησαν Wesselingius

---

## ΒΙΒΛΙΟΝ Κϛ'.

1 Οὔτε ποιητὴς οὔτε συγγραφεὺς οὔτε ἄλλος τεχνίτης οὐδεὶς παραγγελίας τινὸς λογικῆς δύναται πᾶσι τοῖς ἀναγινώσκουσι κατὰ πᾶν εὐαρεστῆσαι· θνητῇ δὲ φύσει, κἂν ὅλως ἐπιτετευγμένη γένηται, οὐ δυνατὸν ἐφικέσθαι τῆς ἀμέμπτου πάντων εὐαρεστήσεως. οὔτε γὰρ Φειδίας, μάλιστα τεθαυμασμένος ἐπὶ τῇ τῶν ἐλεφαντίνων ἀγαλμάτων κατασκευῇ, οὔτε Πραξιτέλης ὁ καταμίξας ἄκρως τοῖς λιθίνοις ἔργοις τὰ τῆς ψυχῆς πάθη, οὔτε Ἀπελλῆς ἢ Παῤῥάσιος οἱ τοῖς ἐμπειρικῶς κεκραμένοις χρώμασι προαγαγόντες εἰς ἀκρότατον τὴν ζωγραφικὴν τέχνην, οὕτως ἐπέτυχον ἐν τοῖς ἔργοις ὥςτε κατὰ πᾶν ἄμεμπτον ἐπιδείξασθαι τὸ τῆς ἐμπειρίας ἀποτέλεσμα. τίς γὰρ ἐπιφανέστερος τῶν μὲν ποιητῶν Ὁμήρου, τῶν δὲ ῥητόρων Δημοσθένους, τῶν δὲ εὖ βεβιωκότων Ἀριστείδου καὶ Σόλωνος; ἀλλ' ὅμως ταῖς τούτων εὐφημίαις καὶ δυνάμεσι προςῆλθεν ὁ μεμφόμενος καὶ τὰς ἀγνοίας ἐλέγχων λόγος. ἄνθρωποι γὰρ ὄντες καὶ ταῖς τῶν ἐγχειρουμένων 513 ὑπεροχαῖς ἐπιτυγχάνοντες, ὅμως διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν διέπιπτον ἐν πολλοῖς. ἔστι γάρ τινα τῶν ἀνθρώπων φιλόφθονα καὶ μικρόσοφα, τὰ παραπέμποντα μὲν τὰ καλῶς ἔχοντα τῶν ἐπιτελεσθέντων, προςπλεκόμενα δὲ τοῖς ἐπιδεχομένοις διαστροφήν τινα καὶ πιθανὴν μέμψιν, ἐξ ὧν φιλοτιμοῦνται διὰ τῆς τῶν ἄλλων κατηγορίας τὴν ἰδίαν αὐξήσειν ἐμπειρίαν, ἀγνοοῦντες ὅτι πᾶσα δύναμις οὐκ ἐκ τῆς ἀλλοπαθείας ἀσθενεῖ, ἀλλ' ἐκ τῆς ἰδίας ἕξεως θεωρεῖται. θαυμάσειε δὲ ἄν τις τῆς τοιαύτης ἀβελτηρίας τὴν εἰς τὰ φαῦλα φιλοπονίαν, δι' ἧς τινες πειρῶνται ταῖς κατὰ τῶν ἄλλων βλασφημίαις ἰδίαν εὐδοξίαν ἀποφέρεσθαι. εἰσὶ γάρ τινες, οἶμαι,

45. τῇ — κατασκευῇ Rhod., τὴν — κατασκευὴν H 49. προαγαγόντες (sic per errorem typothetae, sed felicem, expressum in ed. Wess.) Rhod., προςάγοντες H ἀκρότατον Rhod., ἀκρότατον τὴν ed. Wess., ἀκροτάτην H 56. ἐλέγχων Rhod., ἔλεγχον H
513. 58. ἀνθρωπίνην ed. Wess., ἀνθρωπίνων H 69. ἀποφέρεσθαι Rhod., ἐπιφέρεσθαι H

φύσεις σκαιότητι βλάπτουσαι, καθάπερ ἐκκαίουσαι τὰ καλὰ τῶν γεννημάτων πάχναι καὶ χιόνες. καὶ γὰρ διὰ μὲν τὴν ἀνταύγειαν τῆς κατὰ τὴν χιόνα λευκότητος ἀμαυρουμένη ἡ ὄψις τῆς ἀκριβοῦς θεωρίας ἀποστερεῖται, καὶ προαιρέσεις ἀνθρώπων ἀξιόλογον μὲν ἔργον οὔτε βουλόμεναι δρᾶν οὔτε δυνάμεναι, τὰ δὲ ὑπὸ τῶν ἄλλων πεποιημένα διασύρουσι. διὸ τοὺς εὖ φρονοῦντας τοῖς μὲν διὰ ἐπιμέλειαν κατωρθωκόσιν ἀρετὴν ἀπομερίζειν τὸν ἔπαινον, τοῖς δὲ σπανίως κατορθοῦσι μὴ συκοφαντεῖν ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν. περὶ μὲν οὖν τῶν βασκαίνειν ἐπιτηδευόντων ἱκανὸν ἡμῖν εἰρήσθω.

2 Καθάπερ γὰρ ἀθλητὴς ἀγαθὸς πολὺν χρόνον χειραλειπτήσας ἐπὶ τὸν ἀγῶνα καταντᾷ ἐμπειρίαν μεγάλην καὶ δύναμιν πεποιημένος.

3 Μηνόδοτος δὲ ὁ Περίνθιος τὰς Ἑλληνικὰς πραγματείας ἔγραψεν ἐν βιβλίοις πεντεκαίδεκα, Σώσιλος δὲ ὁ Ἴλιος τὰ περὶ Ἀννίβαν ἔγραψεν ἐν βιβλίοις ἑπτά.

4 Κατὰ δὲ Ῥωμαίους ἡ λεγεὼν πεντακιςχίλιοί εἰσιν.

Φύσει μὲν ἄνθρωποι ταῖς εὐημερίαις προςτρέχουσι,
5 τῇ δὲ τῶν πταισάντων τύχῃ συνεπιτίθενται.

τὴν γὰρ τύχην εὐμετάβολον οὖσαν φύσει ταχὺ τὴν ἐναντίαν εἰςάξειν μεταβολήν.

6 Ῥόδου γὰρ ὑπὸ σεισμοῦ μεγάλου καταπτωθείσης Ἱέρων ὁ Συρακούσιος ἔδωκεν εἰς οἰκοδομὴν τοῦ τείχους ἀργυρίου ς τάλαντα καὶ ἀργυρίους λέβητας ἀξιολόγους χωρὶς τοῦ νομίσματος καὶ ἀτέλειαν τοῖς σιτηγοῖς πλοίοις.

7 Ἡ νῦν δὲ καλουμένη Φιλιππόπολις κατὰ τὴν Θετταλίαν Φθιώτιδες Θῆβαι ἐκαλοῦντο.

8 Τρυφῆς γὰρ συνεχοῦς καὶ μαλακῆς εὐνῆς καὶ μύ- 514
ρων παντοίων καὶ παντοίας τροφῆς πολυτέλεια τὴν μὲν ἀλκὴν καὶ συνήθη τῶν δεινῶν ὑπομονὴν ἐξέλυσε, τὰ δὲ σώματα καὶ ψυχὰς εἰς γυναικώδη καὶ τρυφερὰν διάθεσιν μετέστησεν. ἡ μὲν γὰρ ἀνθρωπίνη φύσις τὴν ἀσυνήθη τῶν πόνων ἄσκησιν καὶ δίαιταν εὐτελῆ δυςχερῶς προςίεται, τὴν δὲ ῥᾳστώνην καὶ τρυφὴν ἑτοίμως διώκει. Ἀννίβας γὰρ κακουχίᾳ πολλῇ καὶ τὰς πόλεις τῆς Ῥώμης Βρεττίας παραλαβὼν ὕστερον καὶ τὴν Κρότωνα εἷλε καὶ τὸ Ῥήγιον πολιορκήσων. ἀπὸ δυσμῶν γὰρ ἀρξάμενος τῶν Ἡρακλειωτικῶν στηλῶν πᾶσαν τῶν Ῥωμαίων χώραν ὑπέταξε πλὴν Ῥώμης καὶ Νεαπόλεως, πολεμήσας ἕως Κροτώνης.

70. φύσεις Rhod., φύσεως H 77. τοῖς — κατωρθωκόσιν Rhod., τοὺς - κατωρθωκότας H 83. χειραλειπτήσας Wesselingius cum Suida, χειμαλειπτήσας H 85. πεποιημένος Wessel. cum Suida, πεποιημένων H 89. πεντεκ. - ἑπτά] ιέ- ζ H 90. πεντακιςχίλιοι] ,ε H 92. μὲν post ταῖς recte ponunt Exc. Vat. p. 66. 8. 93. πταισάντων Rhod., φθασάντων H cum Exc. Vat. συνεπιτίθενται Rhod. cum Exc. Vat., συνεπιτίθεσθαι H 94. τύχην εὐμετάβολον] ψυχὴν ἀμετάβολον H 98. ἀργυρίου ς] ἀργυρίου ς´ Rhod., ἀργυριοὺς H ἀργυρίους] immo ἀργυροῦς

514. 5. τροφῆς Rhod. cum Exc. Vat. p. 568. 68., τρυφῆς H 6. ἀλκὴν Exc. Vales., μαλακὴν H 8. μὲν post τὴν potius ponendum



10. ἑτοίμως Exc. Vat. p. 67. 8., ὁμοίως H 12. Βρεττίας Rhod., βρεττανίας H: scribit autem Rhod. καὶ Βρεττίας et mox καὶ τῶν Ἡρακλειωτικῶν. Ῥώμης fortasse ex v. 12. irrepsit 13. πολιορκήσων] fort. ἐπολιόρκησεν 15. τῶν] immo τὴν

# EXCERPTA PHOTII. 515

## *ΕΚ ΤΟΥ ΛΑ΄.*

1 Ἅμα δὲ τούτοις πραττομένοις εἰς Ῥώμην παρεγένοντο πρεσβευταὶ Ῥοδίων τὰς γεγενημένας διαβολὰς κατ' αὐτῶν ἀπολύσασθαι· ἐδόκουν γὰρ ἐν τῷ πρὸς Περσέα πολέμῳ ταῖς εὐνοίαις ἀποκεκλικέναι πρὸς τὸν βασιλέα καὶ προδεδωκέναι τὴν πρὸς Ῥωμαίους φιλίαν. μηδὲν δὲ ἀνύοντες ὧν ἐπρέσβευον εἰς ἀθυμίαν ἐνέπιπτον, καὶ μετὰ δακρύων ἐποιοῦντο τὰς ἐντεύξεις. εἰςαγαγόντος δὲ αὐτοὺς εἰς τὴν σύγκλητον ἑνὸς τῶν δημάρχων Ἀντωνίου πρῶτος μὲν ἐποιεῖτο τὸν ὑπὲρ τῆς πρεσβείας λόγον Φιλόφρων, μετὰ δὲ τοῦτον Ἀστυμήδης. πολλὰ δὲ πρὸς δέησιν καὶ παραίτησιν εἰπόντες, καὶ τὸ τελευταῖον κατὰ τὴν παροιμίαν τὸ κύκνειον ᾄσαντες, μόλις ἔλαβον ἀποκρίσεις, δι' ὧν τοῦ μὲν ὁλοσχεροῦς φόβου παρελύθησαν, περὶ δὲ τῶν ἐγκλημάτων πικρῶς ὠνειδίσθησαν.

Διόπερ ἰδεῖν ἔστι παρὰ Ῥωμαίοις τοὺς ἐπιφανεστάτους ἄνδρας ὑπὲρ δόξης ἁμιλλωμένους, δι' ὧν ἅπαντα σχεδὸν τὰ μέγιστα τῷ δήμῳ κατορθοῦνται. ἐν μὲν γὰρ τοῖς ἄλλοις πολιτεύμασι ζηλοτυποῦσιν ἀλλήλους, Ῥωμαῖοι δὲ ἐπαινοῦσιν. ἐξ οὗ συμβαίνει μάλιστα τοὺς μὲν πράσσειν τὰ κάλλιστα τῶν ἔργων, ἁμιλλωμένους αὔξειν τὸ κοινῇ συμφέρον, τοὺς δ' ἄλλους ἀδικοδοξοῦντας καὶ τὰς ἀλλήλων ἐπιβολὰς λυμαινομένους βλάπτειν τὴν πατρίδα.

2 Ὅτι Περσέα τὸν τελευταῖον Μακεδονίας βασιλέα, πολλάκις Ῥωμαίοις διὰ φιλίας ἰόντα, πολλάκις δὲ καὶ 516

515. 1. — 519. 90. Photius Bibl. cod. CCXLIV. p. 381. a 41. — 383. b. 9. ed. Bekkeri  13. λόγον Φιλόφρων] λόγον φιλόγον Φιλόφρων Amstelodamense Photii nescio quod exemplar ab Wesselingio inspectum  25. κοινῇ B (i. e. Photii MS. Parisinus regius), κοινὸν caeteri  26. ἀλλήλων B et corr. A (i. e. Photii MS. Venetus Bessarioneus), caeteri ἀλλήλους  ἐπιβολὰς A caeteri ἐπιβουλὰς  βλάπτειν A et Amst., caeteri βλάπτει



στρατιᾷ οὐκ ἀναξιολόγῳ πολεμήσαντα, τέλος Αἰμίλιος καταπολεμήσας εἷλε, καὶ λαμπρὸν θρίαμβον ἐπὶ τῇ νίκῃ κατήγαγε. Περσεὺς δὲ τηλικαύταις περιπεσὼν συμφοραῖς ὥςτε δοκεῖν ὅμοια μύθοις ἀγενήτοις εἶναι τὰ πάθη τὰ περὶ αὐτόν, οὐδ' ἀπολυθῆναι τοῦ ζῆν ἤθελε. πρὶν γὰρ ἢ τὴν σύγκλητον ὑπὲρ αὐτοῦ διαλαβεῖν ὃ χρὴ παθεῖν, τῶν κατὰ πόλιν στρατηγῶν εἷς ἐνέβαλεν αὐτὸν εἰς τὸν ἐν Ἄλβαις κάρκαρον μετὰ τῶν τέκνων. ἔστι δὲ ὁ κάρκαρος ὄρυγμα κατάγειον βαθύ, τὸ μὲν μέγεθος ἔχον οἴκου μάλιστά πως ἐννεακλίνου, σκότου δὲ πλῆρες καὶ δυςοσμίας διὰ τὸ πλῆθος τῶν παραδεδομένων εἰς τοῦτον τὸν τόπον ἀνδρῶν τῶν ἐπὶ θανατικοῖς ἐγκλήμασι καταδικαζομένων, ὧν ἐν ἐκείνοις τοῖς χρόνοις οἱ πλείους ἐνταῦθα καθείργνυντο· ἐν οὕτω γὰρ στενωπῷ συγκεκλεισμένων πολλῶν ἀνδρῶν ἀπεθηριοῦτο τὰ τῶν ἀτυχῶν σώματα, τῶν τε πρὸς τροφὴν καὶ τὴν ἄλλην πᾶσαν χρείαν ἀνηκόντων πάντων ἐν ταὐτῷ πεφυρμένων τοσαύτην προςπίπτειν δυςωδίαν συνέβαινεν ὥςτε μηδένα τῶν προσιόντων ῥᾳδίως δύνασθαι καρτερῆσαι. ἐφ' ἡμέρας μὲν οὖν ἑπτὰ διετέλεσεν ἐνταῦθα κακουχούμενος, ὥςτε καὶ παρὰ τῶν ἐσχάτων καὶ τακτὰ σιτουμένων ἐπικουρίας δεηθῆναι· συμπαθεῖς γὰρ οὗτοι γινόμενοι διὰ τὸ μέγεθος τῶν ἀκληρημάτων, ὧν μετελάμβανον, φιλανθρώπως τούτων ἐκείνῳ μετεδίδοσαν δακρύοντες. ἔῤῥιπτο δ' αὐτῷ καὶ ξίφος πρὸς ἀναίρεσιν καὶ κάλως πρὸς ἀγχόνην, ἐξουσίας διδομένης ὡς βούλοιτο χρήσασθαι. ἀλλ' οὐδὲν οὕτω γλυκὺ φαίνεται τοῖς ἠτυχηκόσιν ὡς τὸ ζῆν, καίπερ αὐτῶν ἄξια θανάτου πασχόντων. καὶ πέρας ἐν ταύταις ἂν ταῖς ἀνάγκαις κατέστρεψε τὸν βίον, εἰ μὴ Μάρκος Αἰμίλιος προκαθήμενος τοῦ βουλευτηρίου, τηρῶν τό τε περὶ αὐτὸν ἀξίωμα καὶ τὸ τῆς πατρίδος ἐπιεικές, παρῄνεσε τῇ συγκλήτῳ σχετλιάζων, εἰ μὴ τὸν ἀνθρώπινον φόβον εὐλα-

516. 37. τῶν — στρατηγῶν] τὸν — στρατηγὸν B  εἷς ἐνέβαλεν A, εἷς εἰςέβαλον B, εἷς ἐνέβαλλεν caeteri  38. κάρκαρον] τὸν νῦν λεγόμενον κάραβον schol. Steph. et Margunii  40. ἔχον B et corr. A, caeteri ἔχων  ἐννεακλίνου corr. A, ἐννεακλιτίου caeteri  41. σκότου] σκότους B  πλῆρες B et corr. A, πλήρης caeteri  45. στενωπῷ] στενῷ τόπῳ Reiskius  52. τακτὰ] τακατα A, τὰ ἔγκατα B  54. γινόμενοι — 55. μετελάμβανον addunt A Amst.  ἀκληρημάτων] ἀκληρωμάτων A  55 φιλανθρώπως] οὗτοι φιλάνων Amst.  56. ἔῤῥιπτο AB, ἐῤῥίπτουν caeteri  58. ὡς A, ὡς ἂν caeteri  59. καίπερ αὐτῶν] καὶ παρ' αὐτῶν A, καὶ παρὰ τῶν B  63. αὐτόν] αὐτὸν Amst.: τὸ τῆς βουλῆς ἀξίωμα Excerpta Valesii p. 582. 46.  65. ἀνθρώπινον] ἐξ ἀνθρώπων Excerptorum liber Valesianus  φόβον] φθόνον Reiskius

βοῦνται, τήν γε τοὺς ὑπερηφάνως ταῖς ἐξουσίαις χρωμένους μετερχομένην νέμεσιν αἰδεῖσθαι. διόπερ εἰς ἐπιεικεστέραν δοθεὶς φυλακήν, καὶ κεναῖς ἐλπίσι προςανέχων, ὁμοίαν τοῖς προητυχημένοις ἔσχε τοῦ βίου τὴν καταστροφήν. διετῆ γὰρ χρόνον φιλοψυχήσας, καὶ προςκόψας τοῖς φυλάττουσι βαρβάροις, κωλυόμενος ὑπ᾽ ἐκείνων ὕπνου τυχεῖν ἐτελεύτησεν.

3 Ὅτι λέγουσιν ἑαυτοὺς οἱ τῆς Καππαδοκίας βασιλεῖς 517
εἰς Κῦρον ἀναφέρειν τὸ γένος τὸν ἐν Πέρσαις, διαβεβαιοῦνται δὲ καὶ τῶν ἑπτὰ Περσῶν τῶν τὸν μάγον ἐπανελομένων ἑνὸς ὑπάρχειν ἀπόγονοι. καὶ τὴν μὲν ἀπὸ Κύρου συγγένειαν οὕτω καταριθμοῦνται. Καμβύσου τοῦ Κύρου πατρὸς ἀδελφὴν ὑπάρξαι γνησίαν Ἄτοσσαν· ταύτης δὲ καὶ Φαρνάκου τοῦ Καππαδοκίας βασιλέως γενέσθαι παῖδα Γάλλον, καὶ τούτου γενέσθαι Σμέρδιν, οὗ Ἀρτάμνην, τοῦ δὲ Ἀναφᾶν, ὃν καὶ διενεγκεῖν μὲν ἀνδρείᾳ καὶ τόλμῃ, γενέσθαι δ᾽ ἕνα τῶν ἑπτὰ Περσῶν. τὴν μὲν οὖν εἰς Κῦρον συγγένειαν οὕτω γενεαλογοῦσι καὶ τὴν εἰς Ἀναφᾶν, ὅν φασι δι᾽ ἀνδρείαν συγχωρηθῆναι τὴν Καππαδοκίας δυναστείαν ὥςτε μὴ τελεῖν φόρους Πέρσαις. οὗ τελευτήσαντος ὁμώνυμος υἱὸς ἄρχει. μετὰ δὲ τὴν τούτου τελευτὴν ἀπολειφθέντων δυεῖν υἱοῖν, Δατάμου καὶ Ἀριμναίου, διαδέξασθαι τὴν ἀρχὴν Δατάμην, ἄνδρα καὶ κατὰ πόλεμον καὶ κατ᾽ ἄλλα μέρη τῆς βασιλείας ἐπαινούμενον, ὃς Πέρσαις διὰ μάχης ἐλθὼν καὶ λαμπρῶς κατὰ τὴν μάχην ἀγωνισάμενος ἐν αὐτῇ τελευτᾷ. διεδέξατο δὲ τὴν βασιλείαν ὁ υἱὸς Ἀριάμνης, οὗ γίνονται παῖδες Ἀριαράθης καὶ Ὀλοφέρνης· οὗτος δὲ ἔτη πεντήκοντα δυναστεύσας καὶ μηδὲν ἔργον ἄξιον μνήμης πράξας τελευτᾷ. τὴν δὲ ἀρχὴν διεδέξατο ὁ πρεσβύτερος τῶν υἱῶν Ἀριαράθης, ὃς φιλοστοργῆσαι διαφερόντως λέγεται τὸν ἀδελφόν, καὶ προάγειν αὐτὸν εἰς τὰς ἐπιφανεστάτας τάξεις· ὃν καὶ Πέρσαις κατ᾽ Αἰγυπτίων ἀποσταλέντα συμμαχῆσαι μετὰ μεγάλων τιμῶν ἐπανελθεῖν, ἃς Ὦχος ὁ Περσῶν βασιλεὺς ὑπὲρ ἀνδρείας ἐδίδου, καὶ τὸν βίον ἐν τῇ πατρίδι λιπεῖν, υἱοὺς ἐγκαταλιπόντα Ἀριαράθην καὶ Ἀρύσην. ὁ δὲ ἀδελφὸς καὶ τῆς Καππα-

68. κεναῖς A Amst., καιναῖς caeteri 71. φυλάττουσι] φυλάσσουσι B

517. 73. λέγουσιν A, λέγουσίν φησιν caeteri 79. ὑπάρξαι A Amst., caeteri ὑπάρξαι γὰρ Ἄτοσσαν AB Amst., caeteri Ἀττόσαν 81. παῖδα Γάλλον] παιδάγαμον Amst. Σμέρδιν] Σμέρδην B 84. Κῦρον A Amst., caeteri Κύρον 90. ἄνδρα καὶ A, caeteri ἄνδρα 1. μετὰ] καὶ μετὰ B



δοκίας ἔχων τὴν ἀρχήν, οὐ γὰρ ἦν αὐτῷ γονὴ γνησία, τὸν πρεσβύτερον τῶν παίδων τἀδελφοῦ Ἀριαράθην υἱοποιεῖται. κατὰ δὲ τούτους τοὺς χρόνους Ἀλέξανδρος ὁ Μακεδὼν καταπολεμεῖ μὲν Πέρσας, εἶτα καὶ τελευτᾷ, καὶ Περδίκκας ὁ τῶν ὅλων τότε ἡγούμενος Εὐμένη πέμπει Καππαδοκίας στρατηγόν. καὶ καταπολεμηθέντος Ἀριαράθου πεσόντος τε ἐν τῇ μάχῃ, αὐτή τε ἡ Καππαδοκία καὶ τὰ πλησιόχωρα αὐτῆς ἔπεσεν ὑπὸ Μακεδόνας. Ἀριαράθης δὲ ὁ τοῦ προβεβασιλευκότος υἱὸς ἀπελπίσας κατὰ τὸ παρὸν ἀποχωρεῖ μετ᾽ ὀλίγων πρὸς τὴν Ἀρμενίαν. μετ᾽ οὐ πολὺν δὲ χρόνον τῶν περὶ τὸν Εὐμένη καὶ Περδίκ-
518 καν τελευτησάντων, Ἀντιγόνου δὲ καὶ Σελεύκου περισπωμένων, λαβὼν δύναμιν παρὰ τοῦ βασιλέως τῶν Ἀρμενίων Ἀρδοάτου τὸν μὲν τῶν Μακεδόνων στρατηγὸν Ἀμύνταν ἀπέκτεινεν, ἐξέβαλε δὲ καὶ Μακεδόνας ταχέως τῆς χώρας, καὶ τὴν οἰκείαν ἀρχὴν ἀνεκτήσατο. τούτῳ δὲ τριῶν παίδων γενομένων παρέλαβε τὴν βασιλείαν ὁ πρεσβύτατος Ἀριάμνης· ὃς ἐπιγαμίαν πρὸς Ἀντίοχον ποιησάμενος τὸν ἐπονομασθέντα θεόν, τὴν τούτου θυγατέρα Στρατονίκην συνῴκισε τῷ πρεσβυτέρῳ τῶν υἱῶν Ἀριαράθῃ. ὑπάρχων δὲ φιλότεκνος διαφερόντως περιέθετο τῷ παιδὶ διάδημα, καὶ συνάρχειν πάντων τῶν τῆς βασιλείας προτερημάτων ἐπ᾽ ἴσης μεταδίδωσι. τοῦ δὲ πατρὸς τελευτήσαντος Ἀριαράθης βασιλεύει καθ᾽ ἑαυτόν, καὶ μεταλλάσσων τὸν βίον κατέλιπε τὴν βασιλείαν Ἀριαράθῃ τῷ υἱῷ, νηπίῳ παντελῶς ὄντι τὴν ἡλικίαν. οὗτος δὲ ἔγημε θυγατέρα τοῦ μεγάλου κληθέντος Ἀντιόχου, ὀνομαζομένην Ἀντιοχίδα, πανοῦργον μάλιστα. ταύτην δὲ μὴ γινομένων τέκνων ὑποβαλέσθαι δύο παῖδας ἀγνοοῦντος τοῦ ἀνδρός, Ἀριαράθην καὶ Ὀλοφέρνην. μετὰ δέ τινα χρόνον τῆς φύσεως ἐπιδεξαμένης ἀνελπίστως τεκεῖν αὐτὴν δύο μὲν θυγατέρας, υἱὸν δὲ ἕνα τὸν ὀνομασθέντα Μιθριδάτην. ἐξ οὗ τοὺς ὑποβολιμαίους ἀναδιδαξαμένην τἀνδρὶ τὸν μὲν πρεσβύτερον μετὰ συμμέτρου χρείας εἰς Ῥώμην ἀποσταλῆναι παρασκευάσαι, τὸν δὲ νεώτερον εἰς

6. γονὴ] γυνὴ B Amst. 9. Περδίκκας] Περδίκας B 12. πεσόντος τε] καὶ πεσόντος B 18. περισπωμένων Amst.: nam περιεσπομένων ed. Rothom.

518. 21. Μακεδόνας AB Amst., caeteri Μακεδόνα 23. τούτῳ] τούτου B 29. τῆς omisit A βασιλείας] βασιλέως B 32. κατέλιπε] κατέλειπε A 35. Ἀντιοχίδα] Ἀντιοχύδα Amst. 36. γινομένων A caeteri γενωμένων 37. ὑποβαλέσθαι Stephanus, caeteri ὑποβάλλεσθαι 41. Μιθριδάτην A Amst., caeteri Μιθριδάτης

τὴν Ἰωνίαν χάριν τοῦ μὴ διαμφισβητεῖν ὑπὲρ τῆς βασιλείας τῷ γνησίῳ. τοῦτον δὲ ἀνδρωθέντα καὶ Ἀριαράθην φασὶ μετονομασθῆναι, παιδείας τε Ἑλληνικῆς μετασχεῖν, καὶ κατὰ τὴν ἄλλην ἐπαινεῖσθαι ἀρετήν. καὶ ὁ μὲν πατὴρ φιλοπάτορι ὄντι τῷ υἱῷ ἔσπευδεν ἀποδοῦναι τὴν τοῦ φιλοτέκνου σπουδήν, καὶ ἐπὶ τοσοῦτον αὐτοῖς προέβη τὰ τῆς πρὸς ἀλλήλους εὐνοίας ὥςτε ὁ μὲν πατὴρ ἐξίστασθαι τῆς ὅλης ἀρχῆς ἠγωνίζετο τῷ παιδί, ὁ δὲ ἀδύνατον ἐδείκνυ δέξασθαι αὐτὸν παρὰ γονέων ἔτι ζώντων τὴν τοιαύτην χάριτα. οὗτος τὸν πατέρα τοῦ πεπρωμένου καταλαβόντος διεδέξατο τὴν βασιλείαν, τήν τε ἄλλην ἀγωγὴν τοῦ βίου ἀξιολογωτάτην ἐνδεικνύμενος καὶ φιλοσοφίᾳ προςανέχων, ἐξ οὗ καὶ ἡ παρὰ τοῖς Ἕλλησιν ἀγνοουμένη πάλαι Καππαδοκία τότε τοῖς πεπαιδευμένοις ἐμβιωτήριον ὑπῆρχεν. ἀνενεώσατο δ' οὗτος καὶ τὴν πρὸς Ῥωμαίους φιλίαν τε καὶ συμμαχίαν. Ἀλλὰ τὰ μὲν περὶ τῆς εἰς Κῦρον ἀναφορᾶς τῶν μέχρι τοῦδε τῆς Καππαδοκίας βασιλευσάντων ἐν τούτοις.

Ὅτι περὶ Λευκίου Αἰμιλίου τοῦ Περσέα καταπολεμήσαντος τῆς ταφῆς διερχόμενος, καὶ λαμπρὰν αὐτὴν ἐς τὰ μάλιστα 4 γενέσθαι λέγων ἐπάγει, Τῶν γὰρ Ῥωμαίων οἱ ταῖς εὐγενείαις καὶ προγόνων δόξῃ διαφέροντες μετὰ τὴν τελευτὴν εἰδωλο- 519 ποιοῦνται κατά τε τὴν τοῦ χαρακτῆρος ὁμοιότητα καὶ κατὰ τὴν ὅλην τοῦ σώματος περιγραφήν, μιμητὰς ἔχοντες ἐκ παντὸς τοῦ βίου παρατετηρηκότας τήν τε πορείαν καὶ τὰς κατὰ μέρος ἰδιότητας τῆς ἐμφάσεως. παραπλησίως δὲ καὶ τῶν προγόνων ἕκαστος προηγεῖται τοιαύτην ἔχων διασκευὴν καὶ κόσμον, ὥςτε τοὺς θεωμένους διὰ τῆς ἐκ τούτων ἐμφάσεως γινώσκειν ἐφ' ὅσον ἕκαστοι τιμῆς προήχθησαν καὶ μετέσχον τῶν ἐν τῇ πολιτείᾳ καλῶν.

Ὅτι τοὺς Ἴβηρας καὶ Λυσιτανοὺς ὀνομάζει. φησὶ γὰρ ὡς Μέμμιος ἐξαπέλεκυς στρατηγὸς εἰς τὴν Ἰβηρίαν ἐξαπέσταλτο μετὰ δυνάμεως, οἱ δὲ Λυσιτανοὶ συστραφέντες πρὸς αὐτόν, καὶ λαβόντες ἀπαράσκευον ἐκ κατάπλου, μάχῃ τε ἐνίκησαν καὶ τὸ πλεῖστον τοῦ στρατοῦ διέφθειραν.

50. τὰ] τὰς Amst. 52. ἠγωνίζετο] ἀγωνίζετο Amst. 53. ἐδείκνυ] ἐδείκνυε B 59. ἐμβιωτήριον Stephanus, libri ἐμβιώτερον 64. τοῦτο καὶ νῦν γίνεται καὶ ἱστοροῦσι τὰς πράξεις τῶν βασιλέων οἱ κατὰ γένος τούτοις προςήκοντες εἰς ἔπαινον αὐτῶν καὶ ζωὴν (ζῆλον?) τῶν ὁρώντων. schol. Margunii

519. 68. παρατ.] τοὺς παρατ. B 78. ἕκαστοι A, ἕκαστος caeteri 81. Μέμμιος] Μέμιος Amst. ἐξαπέλεκυς] ἐξ οὗ πέλεκυς A 84. ἀπαράσκευον Rhodomannus, ἐκ παρασκευῶν A, caeteri ἐκπαράσκευον



περιβοήτου δὲ γενομένης τῆς τῶν Ἰβήρων εὐημερίας, οἱ μὲν Ἀρουακοί, νομίσαντες πολὺ κρείττους εἶναι τῶν Ἰβήρων, κατεφρόνησαν τῶν πολεμίων, καὶ τὸ πλῆθος τὸ κατὰ τὴν ἐκκλησίαν διὰ ταύτην μάλιστα τὴν αἰτίαν εἵλετο τὸν πρὸς Ῥωμαίους πόλεμον.

86. Ἀρουακοὶ] Ἀρουκοὶ Amst.

## ΕΚ ΤΟΥ ΛΒ΄.

Ὅτι πολλοὶ μὲν καὶ ἄλλοι ἱστόρησαν ἀπὸ σχήματος γυναικείου καὶ ὑπολήψεως εἰς ἀνδρὸς καὶ σχῆμα καὶ φύσιν ἀναφανῆναι, ἀτὰρ καὶ Διόδωρος ἐν τῇ λβ΄ τῶν ἱστοριῶν τοιαῦτα περὶ ταύτης τῆς περιπετείας ἱστορεῖ. τὰ περὶ Ἀλέξανδρον τὸν κοίλης Συρίας καὶ Ἀντιοχείας βασιλεύσαντα διεξιών. φησὶ δὲ

1 Ὁ δὲ Ἀλέξανδρος ἀπὸ μὲν τῆς μάχης μετὰ πεντακοσίων τὴν φυγὴν ἐποιήσατο τῆς Ἀραβίας εἰς τὰς καλουμένας Ἄβας πρὸς Διοκλέα τὸν δυνάστην, πρὸς ὃν ἦν καὶ τὸν υἱὸν Ἀντίοχον προεκτεθειμένος ὄντα νήπιον. εἶτα οἱ μὲν περὶ τὸν Ἡλιάδην ἡγεμόνες, οἳ συνῆσαν Ἀλεξάνδρῳ, λάθρᾳ διεπρεσβεύσαντο περὶ τῆς ἰδίας ἡγεμονίας, ἐπαγγελλόμενοι δολοφονήσειν τὸν Ἀλέξανδρον· συγχωρήσαντος δὲ τοῦ Δημητρίου περὶ ὧν ἠξίουν, οὐ μόνον προδόται τοῦ βασιλέως ἀλλὰ καὶ φονεῖς ἐγενήθησαν. οὐκ ἄξιον δὲ παρελθεῖν τὴν γενομένην περιπέτειαν πρὸ τῆς Ἀλεξάνδρου τελευτῆς, διὰ δὲ τὸ παράδοξον ἴσως ἀπιστηθησομένην. Ἀλεξάνδρου γὰρ τοῦ βασιλέως βραχὺ πρὸ τῶν ἐνεστώτων χρόνων χρηστηριαζομένου κατὰ τὴν Κιλικίαν, ἔνθα φασὶν Ἀπόλλωνος Σαρπηδονίου ἱερὸν εἶναι, ἀνελεῖν αὐτῷ λέγεται τὸν θεὸν φυλάξασθαι τὸν τόπον τὸν ἐνεγκόντα τὸν δίμορφον. καὶ τότε μὲν αἰνιγματώδη τὸν χρησμὸν εἶναι δόξαι, ὕστερον μέντοι μετὰ τὴν τελευτὴν τοῦ βασιλέως ἐπιγνωσθῆναι τὸ λόγιον διὰ τοιαύτας τινὰς αἰτίας. τῆς Ἀραβίας ἐν ταῖς καλουμέναις Ἄβαις ᾤκει τις Διόφαντος ὄνομα, τὸ δὲ γένος Μακε-

92. — 522. 57. Photius p. 377. a 34. — 379. a 30. ἱστορεῖ — κοίλης] καὶ τῶν B et correctus A, qui omiserat βασιλεύσαντα] βασιλευσάντων B φησὶ δὲ] φησὶ B 92. πεντακοσίων] πεντακοσίοις Amst. 94. ἦν om. B 97. ἐπαγγελόμενοι Amst. 3. πρὸ] πρὸς B 5. ἐνεστώτων] ἑστώτων Amst. 9. τὸν a pr. manu A, θέαν B, θεὸν Amst., caeteri τὸν θεὸν



520 δών. οὗτος ἐγχώριον Ἀραβίαν γυναῖκα γήμας ἐγέννησεν υἱὸν μὲν ὁμώνυμον ἑαυτῷ, θυγατέρα δὲ τὴν προσαγορευθεῖσαν Ἡραΐδα. τὸν μὲν οὖν υἱὸν πρὸ τῆς ἀκμῆς ἐπεῖδε τελευτήσαντα, τὴν δὲ θυγατέρα γάμου ἔχουσαν ὥραν προικίσας συγκατῴκισέ τινι ὄνομα Σαμιάδῃ. οὗτος μὲν οὖν συμβιώσας τῇ γαμηθείσῃ χρόνον ἐνιαύσιον ἀπεδήμησε μακρὰν ἀποδημίαν. τὴν δ᾽ Ἡραΐδα φασὶν ἀῤῥωστίᾳ περιπεσεῖν παραδόξῳ καὶ παντελῶς ἀπιστουμένῃ. φλεγμονὴν γὰρ ἰσχυρὰν γενέσθαι περὶ τὸ ἦτρον αὐτῆς. ἐπὶ πλέον δὲ οἰδήσαντος τοῦ τόπου, ἔπειτα τῶν πυρετῶν μεγάλων συνεπιγινομένων, καταδοξάσαι τοὺς ἰατροὺς ἕλκωσιν γεγονέναι περὶ τὸν τράχηλον τῆς μήτρας. χρωμένων δὲ αὐτῶν θεραπείαις αἷς ὑπελάμβανον καταστέλλειν τὰς φλεγμονάς, ἑβδομαίας δ᾽ οὔσης, ῥῆξιν ἐπιγενέσθαι τῆς ἐπιφανείας, καὶ προπεσεῖν ἐκ τῶν τῆς Ἡραΐδος γυναικείων αἰδοῖον ἀνδρεῖον ἔχον διδύμους προσκειμένους. τὴν δὲ ῥῆξιν τούτων καὶ τὸ πάθος γενέσθαι μήτε ἰατροῦ μήτ᾽ ἄλλων τῶν ἔξωθεν παρόντων πλὴν μητρὸς καὶ δύο θεραπαινίδων. τότε μὲν οὖν ἀχανεῖς γενομένας διὰ τὸ παράδοξον τὴν ἐνδεχομένην ἐπιμέλειαν ποιήσασθαι τῆς Ἡραΐδος, καὶ κατασιωπῆσαι τὸ γεγονός. τὴν δὲ ἀπολυθεῖσαν τῆς νόσου τὴν ἐσθῆτα φορεῖν γυναικείαν, καὶ τὴν ἄλλην ἀγωγὴν οἰκουρὸν καὶ ὕπανδρον διαφυλάττειν. καταδοξάζεσθαι δὲ ὑπὸ τῶν συνειδότων τὴν περιπέτειαν ἑρμαφρόδιτον εἶναι, καὶ κατὰ τὴν γεγενημένην μετ᾽ ἀνδρὸς συμβίωσιν, τῆς κατὰ φύσιν ἐπιπλοκῆς ἀντιπραττούσης, δοκεῖν αὐτὴν ταῖς ἀῤῥενικαῖς συμπεριφοραῖς καθωμιλῆσθαι. λανθανούσης δὲ τοὺς ἐκτὸς τῆς διαθέσεως ταύτης ἐπανελθεῖν τὸν Σαμιάδην, καὶ καθάπερ ἦν ἐπιβάλλον τὴν γαμηθεῖσαν ἐπιζητεῖν· οὐ τολμώσης δ᾽ ἐκείνης εἰς ὄψιν ἐλθεῖν διὰ τὴν αἰσχύνην, τὸν Σαμιάδην φασὶ βαρέως ἐνεγκεῖν. ἐπικειμένου δὲ συνεχέστερον καὶ ἀπαιτοῦντος τὴν σύμβιον, καὶ τοῦ πατρὸς μὴ συγχωροῦντος μέν, αἰσχυνομένου δὲ τὴν αἰτίαν εἰπεῖν, εἰς μέγα ηὔξετο ἡ διαφορά. ἐπενεγκεῖν τε διὰ τοῦτο

520. 15. υἱὸν μὲν A, caeteri μὲν υἱὸν 19. Σαμιάδῃ Wesselingius, qui de Amst. „*ultima syllaba compendio designatur, videturque* Σαμιάδῃ *fuisse:* Σαμία A. caeteri Σαμιάδης 23. ἦτρον] ἴστρον Amst. 24. τῶν πυρετῶν A, caeteri τῷ πυρετῷ 25. συνεπιγινομένων A, caeteri συνεπιγενομένων 28. δ᾽ om. B 29. προπεσεῖν B, caeteri προσπεσεῖν 32. ἄλλων A, caeteri ἄλλον ἔξωθεν A Amst., caeteri ἔξω 33. μὲν οὖν B, caeteri μὲν 34. γενομένας B, caeteri γινομένας 38. ὕπανδρον διαφυλάττειν] ὑπ᾽ ἄνδρα φυλάττειν A καταδεδοξάσθαι B, κατεδόξαστο A correctus, caeteri κατεδοξάσθαι 47. φασὶ] φησὶ B

δίκην τῷ πατρὶ περὶ τῆς ἰδίας γυναικός, τῆς τύχης ὥςπερ ἐν δράμασι τὸ παράδοξον τῆς περιπετείας ἀγούσης εἰς ἔγκλημα. συνεδρευσάντων δὲ τῶν κριτῶν καὶ λόγων ῥηθέντων συμπαρεῖναι μὲν τῇ κρίσει τὸ ἀμφιςβητούμενον σῶμα, διαπορεῖν δὲ τοὺς δικαστὰς πότερον προςήκει τὸν ἄνδρα τῆς γυναικὸς ἢ τὸν πατέρα τῆς θυγατρὸς κυριεύειν. πέρας τῶν κριτῶν οἰομένων δεῖν ἀκολουθεῖν τἀνδρὶ τὴν γαμηθεῖσαν, τὴν ἀλήθειαν διασαφῆσαι τὸ τῆς φύσεως ἄῤῥεν, καὶ θυμῷ τετολμηκότι τὴν καθυποκρινομένην ἐσθῆτα λύσασαν δεῖξαι πᾶσι, ῥῆξαί τε φωνὴν δεινοπαθοῦσαν, εἴ τινες ἀναγκάζουσι συνοικεῖν ἀνδρὶ τὸν ἄνδρα. πάντων δὲ καταπλαγέντων καὶ φωνῇ θαυμαζούσῃ τὸ παράδοξον ἐπισημαινομένων, τὴν μὲν Ἡραΐδα φασὶν ἀποκαλυφθείσης τῆς αἰσχύνης μεταμφιάσασθαι τὸν γυναικεῖον κόσμον εἰς νεανίσκου διάθεσιν, 521 τοὺς δὲ ἰατρούς, ἐπιδειχθέντων αὐτοῖς τῶν φανέντων, γνῶναι ὅτι κατεκέκρυπτο φύσις ἄῤῥενος ἐν ᾠοειδεῖ τόπῳ φύσεως θηλείας, καὶ δέρματος περιειληφότος παρὰ τὸ σύνηθες τὴν φύσιν σύντρησις ἐγεγένητο, δι᾽ ὧν ἐξωδεύοντο τὰ περιττώματα· διόπερ τὸν προσεσυριγγωμένον τόπον ἑλκώσαντας δεῖν κατουλῶσαι, τὴν δὲ ἀνδρὸς φύσιν εὔκοσμον ποιήσαντας σὺν ἐνδεχομένῃ δόξαι κεχρῆσθαι θεραπείᾳ. τὴν δ᾽ Ἡραΐδα μετονομασθεῖσαν Διόφαντον εἰς τοὺς ἱππεῖς καταλεχθῆναι, καὶ σὺν τῷ βασιλεῖ παραταξάμενον εἰς τὰς Ἄβας συναναχωρῆσαι. διὸ καὶ τὸν πρότερον ἀγνοούμενον χρησμὸν τότε γνωσθῆναι, φανέντος τοῦ βασιλέως ἐν ταῖς Ἄβαις καθ᾽ ὃν τόπον ὁ δίμορφος ἐγεγένητο. τὸν δὲ Σαμιάδην λέγουσιν, ἔρωτι καὶ τῇ προγεγενημένῃ συνηθείᾳ δεδουλωμένον, αἰσχύνῃ τε τοῦ παρὰ φύσιν γάμου συνεχόμενον, τῆς μὲν οὐσίας τὸν Διόφαντον ἀναδεῖξαι διαθήκῃ κληρονόμον, ἑαυτὸν δὲ τοῦ ζῆν μεταστῆσαι, ὥςτε τὴν μὲν γυναῖκα γεγενημένην ἀνδρὸς ἀναλαβεῖν δόξαν καὶ τόλμαν, τὸν δ᾽ ἄνδρα γυναικείας ψυχῆς ἀσθενέστερον γενέσθαι.

*Παραπλησία* δὲ ταύτῃ τῇ διαθέσει συνετελέσθη περιπέτεια τριάκοντα ἔτεσιν ὕστερον ἐν τῇ πόλει τῶν Ἐπιδαυρίων. ἦν γάρ τις Ἐπιδαυρία, κόρη μὲν εἶναι δοκοῦσα, γονέων δὲ ὀρφανή, Καλλὼ δ᾽ ὄνομα. αὕτη τὸν ἐπὶ τῆς φύσεως ἀποδεδειγμένον ταῖς γυναιξὶ πόρον ἄτρητον εἶχε, παρὰ δὲ τὸν καλούμενον [κτένα] συριγγωθέντος ἐκ γενετῆς τὰς περιττώσεις τῶν ὑγρῶν ἐξέκρινεν. εἰς δὲ τὴν ἀκμὴν τῆς ἡλικίας παραγενομένη συνῳκίσθη τινὶ τῶν πολιτῶν. διετῆ μὲν οὖν χρόνον συνεβίωσε τἀνδρί, τὴν μὲν γυναικείαν ἐπιπλοκὴν οὐκ ἐπιδεχομένη, τὴν δὲ παρὰ φύσιν ὁμιλίαν ὑπομένειν ἀναγκαζομένη. μετὰ δὲ ταῦτα φλεγμονῆς αὐτῇ συμβάσης περὶ τὸν κτένα καὶ δεινῶν ἀλγηδόνων ἐπιγενομένων συνεκλήθη πλῆθος ἰατρῶν. καὶ τῶν μὲν ἄλλων οὐδεὶς ὑπισχνεῖτο θεραπεύειν, φαρμακοπώλης δέ τις ἐπαγγελλόμενος ὑγιάσειν ἔτεμε τὸν ἐπηρμένον τόπον, ἐξ οὗπερ ἐξέπεσεν ἀνδρὸς αἰδοῖα, δίδυμοι καὶ καυλὸς ἄτρητος. πάντων δὲ τὸ παράδοξον καταπλαγέντων ὁ φαρμακοπώλης ἐβοήθει τοῖς λειπομένοις μέρεσι τῆς πηρώσεως. τὸ μὲν οὖν πρῶτον τὸ αἰδοῖον ἄκρον ἐπιτεμὼν συνέτρησεν εἰς τὸν οὐρητῆρα, καὶ καθεὶς ἀργυροῦν καυλίσκον ταύτῃ τὰ περιττώματα τῶν ὑγρῶν ἐξεκόμιζε, τὸν δὲ σεσυριγγωμένον τόπον ἑλκώσας ἐνέφυσε. καὶ τοῦτον τὸν τρόπον ὑγιοποιήσας διπλοῦν ἀπῄτει τὸν μισθόν· ἔφη γὰρ αὐτὸν παρειληφέναι γυναῖκα νοσοῦσαν, καθεστακέναι δὲ νεανίσκον ὑγιαίνοντα. ἡ δὲ Καλλὼ τὰς μὲν ἐκ τῶν ἱστῶν κερκίδας καὶ τὴν ἄλλην τῶν γυναικῶν ταλασιουργίαν ἀπέθετο, μεταλαβοῦσα δὲ
522 ἀνδρὸς ἐσθῆτα καὶ τὴν ἄλλην διάθεσιν μετωνομάσθη Κάλλων, ἑνὸς στοιχείου ἐπὶ τῷ τέλει τοῦ ν προςτεθέντος. λέγεται δ᾽ ὑπό τινων ὅτι πρὸ τοῦ μεταλαβεῖν τὴν εἰς ἄνδρα μορφὴν ἱέρεια τῆς Δήμητρος ἐγεγένητο, καὶ τὰ τοῖς ἄῤῥεσιν ἀόρατα ἰδοῦσα κρίσιν ἔσχεν ἀσεβείας.

Ὁμοίως δ᾽ ἐν τῇ Νεαπόλει καὶ κατ᾽ ἄλλους τόπους πλείονας ἱστοροῦνται γεγονέναι τοιαῦται περιπέτειαι, οὐκ ἄῤῥενος καὶ θηλείας φύσεως εἰς δίμορφον τύπον δημιουργηθείσης, ἀδύνατον γὰρ τοῦτο, ἀλλὰ τῆς φύσεως διὰ τῶν τοῦ σώματος μερῶν ψευδογραφούσης εἰς ἔκπληξιν καὶ ἀπάτην τῶν ἀνθρώπων. διόπερ καὶ ἡμεῖς τὰς περιπετείας ταύτας ἀναγραφῆς ἠξιώσαμεν, οὐ ψυ-

52. δράμασι] δράματι B  53. εἰς om. Amst.

521. 68. κατεκέκρυπτο] κατακέκρυπτο B  69. ᾠοειδεῖ Bekkerus ὀειδεῖ Amst., ὁμοειδεῖ A, caeteri ᾠειδεῖ  71. ἐγεγένητο] τις γεγένητο B  74. δόξαι κεχρῆσθαι A, caeteri χρῆσθαι δόξαι  78. διὸ] δι᾽ ὃν Amst.  80. ἐγεγένητο] ἐγεγέννητο B  82. δεδουλωμένον] δεδουλωμένην Amst.  86. δόξαν καὶ τόλμαν] τόλμαν καὶ δόξαν B

91. Καλλώ] Καλὼ B: conf. schol. Luciani in Bachmanni Anecd. vol. II. p. 344.  93. παρὰ AB, caeteri παρ᾽ αὐτὸν  καλούμενον κτένα συριγγωθέντος τόπον Stephanus, καλούμενον συριγγωθέντος A, καλούμενον συριγγωθέντα B, caeteri καλούμενον τόπον συριγγωθέντος  12. ἐνέφυσε] συνέφυσε Reiskius

522. 24. πλείονας] πλείονες B  26. τύπον B, caeteri τόπον  29. διόπερ καὶ B, caeteri διόπερ

χαγωγίας ἀλλ' ὠφελείας ἕνεκα τῶν ἀναγινωσκόντων. πολλοὶ γὰρ τέρατα τὰ τοιαῦτα νομίζοντες εἶναι δεισιδαιμονοῦσιν, οὐκ ἰδιῶται μόνον ἀλλὰ καὶ ἔθνη καὶ πόλεις. κατ' ἀρχὰς γοῦν τοῦ Μαρσικοῦ πολέμου πλησίον τῆς Ῥώμης οἰκοῦντά φασιν Ἰταλικόν, γεγαμηκότα παραπλήσιον τοῖς εἰρημένοις ἀνδρόγυνον, προσαγγεῖλαι τῇ συγκλήτῳ, τὴν δὲ δεισιδαιμονήσασαν καὶ τοῖς ἀπὸ Τυῤῥηνίας ἱεροσκόποις πεισθεῖσαν ζῶντα προστάξαι καῦσαι. τοῦτον μὲν οὖν ὁμοίας κεκοινωνηκότα φύσεως, ἀλλ' οὐ πρὸς ἀλήθειαν τέρας γεγενημένον, φασὶν ἀγνοίᾳ τῆς νόσου παρὰ τὸ προσῆκον ἀπολωλέναι. μετ' ὀλίγον δὲ καὶ παρ' Ἀθηναίοις τοῦ τοιούτου γενομένου διὰ τὴν ἄγνοιαν τοῦ πάθους ζῶντά φασι κατακαῆναι. καὶ γὰρ τὰς λεγομένας ὑαίνας τινὲς μυθολογοῦσιν ἄῤῥενας ἅμα καὶ θηλείας ὑπάρχειν, καὶ παρ' ἐνιαυτὸν ἀλλήλας ὀχεύειν, τῆς ἀληθείας οὐχ οὕτως ἐχούσης. ἑκατέρου γὰρ τοῦ γένους ἁπλῆν ἔχοντος καὶ ἀνεπίμικτον τὴν φύσιν, προσώρισται τὸ ψευδογραφοῦν καὶ παρακρουόμενον τοὺς εἰκῇ θεωροῦντας· τῇ μὲν γὰρ θηλείᾳ πρόσκειταί τι κατὰ τὴν φύσιν παρεμφερὲς ἄῤῥενι μορίῳ, τῷ δὲ ἄῤῥενι κατὰ τὸ ἐναντίον ἔμφασις θηλείας φύσεως. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ πάντων τῶν ζῴων, γενομένων μὲν πρὸς ἀλήθειαν πολλῶν καὶ παντοδαπῶν τεράτων, μὴ τρεφομένων δὲ καὶ εἰς τελείαν αὔξησιν ἐλθεῖν οὐ δυναμένων. ταῦτα μὲν εἰρήσθω πρὸς διόρθωσιν δεισιδαιμονίας. Ὁ μὲν οὖν Διόδωρος πρὸς τῷ τέλει τοῦ λβ' λόγου τῆς ἱστορικῆς αὐτοῦ πραγματείας τοσαῦτα διέξεισι· καὶ ἄλλοι δὲ πλεῖστοι τοιαύτας περιπετείας ἱστορήκασιν.

2 Ὅτι τὸ τεῖχος τῶν Καρχηδονίων τῆς πόλεώς φησιν ὕψος μὲν εἶναι πηχῶν τεσσαράκοντα, πλάτος δὲ εἰκοσιδύο· ὅμως καὶ τοιούτων ὄντων αἱ Ῥωμαίων μηχαναὶ καὶ τὰ κατὰ πόλεμον ἀνδραγαθήματα κρείττους ὤφθησαν τῆς ἐκείνων ἀσφαλείας, καὶ ἑάλω ἡ πόλις καὶ κατηριπώθη.

39. ὁμοίας] ὅμοιος Amst. 43. τοῦ omisit Amst.: τοιοῦτόν τι τέρας ἐφάνη κἀν τοῖς καθ' ἡμᾶς χρόνοις, ὃ καὶ πρὸς ἄμφω τὰ γένη ἐγνώσθη μεθαρμοζόμενον, πάσχον τε καὶ πρᾶττον τὰ φυσικά. πλέον δ', ὡς ἔλεγε, κατεκράτει τούτου ὁ τοῦ ποιεῖν ἔρως, εἰ δέ που καὶ ἔπασχεν, οὐ κατὰ τὸ ἑκούσιον ἀλλ' ἀναγκαζόμενον schol. Margunii 44. φασι A, caeteri φησι καὶ γὰρ A, caeteri καὶ γὰρ καὶ 50. μὲν γὰρ B, caeteri μὲν 52. ἔμφασις A correctus, B, caeteri ἐμφάσεις 53. γενομένων] aut γεννωμένων aut cum Bekkero γινομένων scribendum 58. — 524, 24. Photius p. 383 b 11. — 384 a 30. 60. καὶ] καίτοι A 63. κατηριπώθη] κατεριπώθη A, κατερειπώθη caeteri: κατηρειπιώθη Reiskius



523 3 Ὅτι Μασανάσσης ὁ Λιβύων βεβασιλευκὼς καὶ τὴν πρὸς Ῥωμαίους φιλίαν τετηρηκὼς ἐνενήκοντα μὲν ἐβίω ἔτη ἐν δυνάμει, παῖδας δέκα ἐν τῷ ἀπαλλάττεσθαι καταλιπών, οὓς καὶ Ῥωμαίοις ἐπιτροπεύεσθαι παρεκατέθετο. ἦν δὲ καὶ κατὰ τὴν τοῦ σώματος εὐτονίαν διαφέρων καὶ καρτερίᾳ καὶ πόνοις συνήθης ἐκ παιδός· ὅς γε στὰς ἐν τοῖς ἴχνεσιν ὅλην τὴν ἡμέραν ἀκίνητος ἔμενε, καθεζόμενος δὲ οὐκ ἠγείρετο, μέχρι νυκτὸς ἐνημερεύων ταῖς τῶν πόνων μελέταις, ἐπὶ δὲ τὸν ἵππον ἐπιβαίνων συνεχῶς ἡμέραν καὶ νύκτα καὶ ταῖς ἱππασίαις χρώμενος οὐκ ἐξελύετο. σημεῖον δὲ τῆς περὶ αὐτὸν εὐεξίας τε καὶ δυνάμεως μέγιστον· ἐνενήκοντα γὰρ σχεδὸν ἔχων ἔτη υἱὸν εἶχε τετραετῆ διαφέροντα τῇ τοῦ σώματος ῥώμῃ. ἐν δὲ ταῖς τῶν ἀγρῶν ἐπιμελείαις τοσοῦτον διήνεγκεν ὡς ἑκάστῳ τῶν υἱῶν ἀπολιπεῖν ἀγρὸν μυριόπλεθρον, κεκοσμημένον πάσαις ταῖς κατασκευαῖς. ἐβασίλευσε δ' ἐπιφανῶς ἔτη ἑξήκοντα.

4 Ὅτι Νικομήδης Προυσίαν τὸν ἑαυτοῦ πατέρα καταπολεμήσας, καὶ καταφυγόντα εἰς τὸ τοῦ Διὸς ἱερὸν ἀνελών, παρέλαβε τὴν βασιλείαν τῆς Βιθυνίας, ἀσεβεστάτῳ φόνῳ κτησάμενος τὴν ἀρχήν.

5 Ὅτι Λυσιτανοί, φησί, τὸ μὲν πρῶτον οὐκ ἔχοντες ἀξιόχρεων ἡγεμόνα εὐάλωτοι καθίσταντο Ῥωμαίοις πολεμοῦντες, ὕστερον δὲ Ὑριάτθου κυρήσαντες μεγάλα Ῥωμαίους ἔβλαψαν. ἦν μὲν οὖν οὗτος τῶν παρὰ τὸν Ὠκεανὸν οἰκούντων Λυσιτανῶν, ποιμαίνων δ' ἐκ παιδὸς ὀρείῳ βίῳ κατέστη συνήθης, συνεργὸν ἔχων καὶ τὴν τοῦ σώματος φύσιν· καὶ γὰρ ῥώμῃ καὶ τάχει καὶ τῇ τῶν λοιπῶν μερῶν εὐκινησίᾳ πολὺ διήνεγκε τῶν Ἰβήρων. συνεθίσας δὲ αὐτὸν τροφῇ μὲν ὀλίγῃ γυμνασίοις δὲ πολλοῖς χρῆσθαι, καὶ ὕπνῳ μέχρι μόνου τοῦ ἀναγκαίου, καθόλου δὲ σιδηροφορῶν συνεχῶς καὶ θηρίοις καὶ λῃσταῖς εἰς ἀγῶνας καθιστάμενος, περιβόητος ἐγένετο παρὰ τοῖς πλήθεσι, καὶ ἡγεμὼν αὐτοῖς ᾑρέθη, καὶ ταχὺ σύστημα περὶ ἑαυτὸν λῃστῶν ἤθροισε. καὶ προκόπτων ἐν τοῖς

523. 64. Μασανάσσης] Μανάσσης Amst., Μανασῆς A, Μανασσῆς B 65. ἐνενήκοντα A, caeteri ἐννενήκοντα 68. παρεκατέθετο A, caeteri παρακατέθετο 73. τὸν ἵππον ἐπιβαίνων B, A corr., caeteri τῶν ἵππων ἐπιμένων 75. ἐξελύετο] ἐξελέλυτο A 81. ἐβασίλευσε] ἐβασίλευσαν Amst. 89. εὐάλωτοι A, εὐάλωτον caeteri 93. δ' addidit Reiskius κατέστη om. B 94. ἔχων om. Amst. et a pr. manu A 96. συνεθίσας margo ed. Hoesch., συνειθίσας B, συνήθης A, συνείθισε caeteri δὲ αὐτὸν] αὐτὸν A, δὲ ἑαυτὸν B 98. ὕπνῳ] ὕπνου A 100. ἐγένετο addunt A Amst.

πολέμοις οὐ μόνον ἐθαυμαστώθη δι' ἀλκήν, ἀλλὰ καὶ στρατηγεῖν ἔδοξε διαφερόντως. ἦν δὲ καὶ δίκαιος ἐν ταῖς διανομαῖς τῶν λαφύρων καὶ κατ' ἀξίαν τοὺς ἀνδραγα- 526 θήσαντας ἐξῇρε τοῖς δώροις. προϊὼν δὲ οὐκέτι λῃστὴν ἀλλὰ δυνάστην αὐτὸν ἀναδείξας ἐπολέμησε Ῥωμαίοις, καὶ πολλαῖς ἐκράτησε μάχαις, ὡς καὶ στρατηγὸν Ῥωμαίων Οὐιτέλλιον αὐτῷ καταπολεμῆσαι στρατῷ καὶ αἰχμάλωτον λαβεῖν καὶ ξίφει ἀνελεῖν, καὶ πολλὰ ἕτερα εὐημερῆσαι κατὰ πόλεμον, ἕως Φάβιος στρατηγὸς τοῦ πρὸς αὐτὸν πολέμου κεχειροτόνητο. ἐκεῖθεν δ' ἐλαττοῦσθαι ἤρξατο ἐπ' οὐκ ὀλίγον. εἶτα ἀναλαβὼν καὶ κατευδοκιμήσας Φαβίου, εἰς συνθήκας αὐτὸν ἐλθεῖν ἀναξίους Ῥωμαίων ἠνάγκασεν. ἀλλ' ὅ γε Καιπίων στρατηγεῖν καθ' Ὑριάτθου αἱρεθεὶς τάς τε συνθήκας ἠκύρωσε, καὶ πολλάκις Ὑρίατθον ἐλαττώσας, εἶτα εἰς ἔσχατον ἥττης συνελάσας, ὥστε καὶ πρὸς σπονδὰς ὁρᾶν, διὰ τῶν οἰκείων ἐδολοφόνησε. καὶ τὸν διαδεξάμενον αὐτοῦ τὴν στρατηγίαν Ταύταμον καὶ τοὺς μετ' αὐτοῦ καταπληξάμενος, καὶ σπονδὰς οἵας ἐβούλετο θέσθαι παρασκευασάμενος, ἔδωκε χώραν καὶ πόλιν εἰς κατοίκησιν.

524. 6. τιμῶν post ἀξίαν inserit Wesselingius ex p. 592. 53. ἐξῇρε τοῖς] ἐξαιρέτοις Amst. cum p. 592. 53. 10. Οὐιτέλλιον A, Ἰουτέλλιον Amst., caeteri Οὐιτέλιον 17. Καιπίων Rhodomannus, Σκιπίων Amst., caeteri Σκηπίων καθ' Ὑριάτθον A, κατ' Ὑριάτθον Amst. et Ὑρίατθον ubi vett. editiones Οὐρίατθον, caeteri κατ' Οὐριάτθου 18. πολλάκις] πολλὰ Amst. 24. κατοίκησιν] κατοίκισιν B

---

## ΕΚ ΤΟΥ ΛΔʹ.

1 Ὡς Ἀντίοχος ὁ βασιλεύς, φησίν, ἐπολιόρκει τὰ Ἱεροσόλυμα, οἱ δὲ Ἰουδαῖοι μέχρι μέν τινος ἀντέσχον, ἐξαναλωθέντων δὲ τῶν ἐπιτηδείων ἁπάντων ἠναγκάσθησαν περὶ διαλύσεως διαπρεσβεύσασθαι. οἱ δὲ πλείους αὐτῷ τῶν φίλων συνεβούλευον κατὰ κράτος αἱρήσειν τὴν πόλιν καὶ τὸ γένος ἄρδην ἀνελεῖν τῶν Ἰουδαίων· μόνους γὰρ ἁπάντων ἐθνῶν ἀκοινωνήτους εἶναι τῆς πρὸς ἄλλο ἔθνος ἐπιμιξίας καὶ πολεμίους ὑπολαμβάνειν πάντας. ἀπεδείκνυον δὲ καὶ τοὺς προγόνους αὐτῶν ὡς ἀσεβεῖς καὶ μισουμένους ὑπὸ τῶν θεῶν ἐξ ἁπάσης τῆς Αἰγύπτου πεφυγαδευμένους. τοὺς γὰρ ἀλφοὺς ἢ λέπρας ἔχοντας ἐν τοῖς σώμασι καθαρμοῦ χάριν ὡς ἐναγεῖς συναθροισθέντας ὑπερορίους ἐκβεβλῆσθαι· τοὺς δὲ ἐξορισθέντας καταλαβέσθαι μὲν τοὺς περὶ τὰ Ἱεροσόλυμα τόπους, συστησαμένους δὲ τὸ τῶν Ἰουδαίων ἔθνος παραδόσιμον ποιῆσαι τὸ μῖσος τὸ πρὸς τοὺς ἀνθρώπους· διὰ τοῦτο δὲ καὶ νόμιμα παντελῶς ἐξηλλαγμένα καταδεῖξαι, τὸ μηδενὶ ἄλλῳ ἔθνει τραπέζης κοινωνεῖν μηδ' εὐ-
525 νοεῖν τὸ παράπαν. ὑπέμνησαν δὲ αὐτὸν καὶ περὶ τοῦ προγενομένου μίσους τοῖς προγόνοις πρὸς τοῦτο τὸ ἔθνος. Ἀντίοχος γὰρ ὁ προσαγορευθεὶς Ἐπιφανὴς καταπολεμήσας τοὺς Ἰουδαίους εἰςῆλθεν εἰς τὸν ἄδυτον τοῦ θεοῦ σηκόν, οὗ νόμιμον εἰςιέναι μόνον τὸν ἱερέα· εὑρὼν δὲ ἐν αὐτῷ λίθινον ἄγαλμα ἀνδρὸς βαθυπώγωνος καθήμενον ἐπ' ὄνου μετὰ χεῖρας ἔχον βιβλίον, τοῦτο μὲν ὑπέλαβε Μωϋσέως εἶναι τοῦ κτίσαντος τὰ Ἱεροσό-

25. — 525. 72. Photius p. 379 a 35. — 380 a 4. 25. φησίν om. B 28. διαλύσεως] συλλύσεως Amst. 35. ὑπὸ τῶν A, caeteri παρὰ 41. τὸ μῖσος τὸ πρὸς τοὺς ἀ.] τὸ μῖσος πρὸς τοὺς ἀ. Amst., τὸ πρὸς τοὺς ἀ. μῖσος B 42. δὲ om. B 44. μηδ' εὐνοεῖν τὸ παράπαν A, τὸ παράπαν μηδ' εὐνοεῖν caeteri
525. 45. προγενομένου A, caeteri γενομένου 48. οὗ] ᾗ margo A, οἷ Bekkerus 52. Μωϋσέως A, Μωϋσέος B, caeteri Μωσέως

λυμα καὶ συστησαμένου τὸ ἔθνος, πρὸς δὲ τούτοις νομοθετήσαντος τὰ μισάνθρωπα καὶ παράνομα ἔθη τοῖς Ἰουδαίοις, αὐτὸς δὲ στυγήσας τὴν μισανθρωπίαν πάντων ἐθνῶν ἐφιλοτιμήθη καταλῦσαι τὰ νόμιμα. διὸ τῷ ἀγάλματι τοῦ κτίστου καὶ τῷ ὑπαίθρῳ βωμῷ τοῦ θεοῦ μεγάλην ὗν θύσας τό τε αἷμα προςέχεεν αὐτοῖς καὶ τὰ κρέα σκευάσας προςέταξε τῷ μὲν ἀπὸ τούτων ζωμῷ τὰς ἱερὰς αὐτῶν βίβλους καὶ περιεχούσας τὰ μισόξενα νόμιμα καταῤῥᾶναι, τὸν δὲ ἀθάνατον λεγόμενον παρ' αὐτοῖς λύχνον καὶ καιόμενον ἀδιαλείπτως ἐν τῷ ναῷ κατασβέσαι, τῶν τε κρεῶν ἀναγκάσας προςενέγκασθαι τὸν ἀρχιερέα καὶ τοὺς ἄλλους Ἰουδαίους. ταῦτα δὴ διεξιόντες οἱ φίλοι τὸν Ἀντίοχον παρεκάλουν μάλιστα μὲν ἄρδην ἀνελεῖν τὸ ἔθνος, εἰ δὲ μή, καταλῦσαι τὰ νόμιμα καὶ συναναγκάσαι τὰς ἀγωγὰς μεταθέσθαι. ὁ δὲ βασιλεὺς μεγαλόψυχος ὢν καὶ τὸ ἦθος ἥμερος, λαβὼν ὁμήρους ἀπέλυσε τῶν ἐγκλημάτων τοὺς Ἰουδαίους, φόρους τε τοὺς ὀφειλομένους πραξάμενος καὶ τὰ τείχη περιελὼν τῶν Ἱεροσολύμων. Ταῦτα Διόδωρος περὶ τῶν Μωσαϊκῶν ἐθῶν καὶ νομίμων ἀλλὰ καὶ τοῦ τῶν Ἱεροσολύμων κτίστου καταψευσάμενος καὶ αὐτῆς τῆς ἐξ Αἰγύπτου τῶν Ἰουδαίων ἐξόδου, καὶ πρὸς τὸν ἔλεγχον τοῦ ψεύδους ὥςπερ ἑαυτῷ τὸ μὴ αὐτὸς ἁλῶναι διοικονομούμενος, ἑτέροις περιτίθησι προςώποις τὴν περὶ τῶν διεψευσμένων ἀφήγησιν, τὴν Ἀντιόχου φιλίαν τούτοις προςεπισυνάπτων.

2 Ὅτι μετὰ τὴν Καρχηδονίων κατάλυσιν ἐπὶ ἑξήκοντα ἔτεσι τῶν Σικελῶν εὐροούντων ἐν πᾶσιν, ὁ δουλικὸς αὐτοῖς ἐπανέστη πόλεμος ἐξ αἰτίας τοιαύτης. ἐπὶ πολὺ τοῖς βίοις ἀναδραμόντες καὶ μεγάλους περιποιησάμενοι πλούτους συνηγόραζον οἰκετῶν πλῆθος· οἷς ἐκ τῶν σωματοτροφείων ἀγεληδὸν ἀπαχθεῖσιν εὐθὺς χαρακτῆρα ἐπέβαλλον καὶ στιγμὰς τοῖς σώμασιν. ἐχρῶντο δὲ αὐτῶν τοῖς μὲν νέοις νομεῦσι, τοῖς δ' ἄλλοις ὥς πῃ ἑκάστῳ ἡ χρεία ἐπέβαλλε. βαρέως δ' αὐτοῖς κατά τε τὰς ὑπη- 526 ρεσίας ἐχρῶντο, καὶ ἐπιμελείας παντελῶς ὀλίγης ἠξίουν, ὅσα τε ἐντρέφεσθαι καὶ ὅσα ἐνδύσασθαι. ἐξ ὧν οἱ πλείους ἀπὸ λῃστείας τὸ ζῆν ἐπορίζοντο, καὶ μεστὰ φόνων ἦν ἅπαντα, καθάπερ στρατευμάτων διεσπαρμένων τῶν λῃστῶν. οἱ δὲ στρατηγοὶ κωλύειν μὲν ἐπεχείρουν, κολά-

54. καὶ παράνομα A, caeteri παράνομα 55. στυγήσας Wetstenius: libri συστήσας 60. αὐτῶν] αὐτοῦ A 62. καιόμενον] κάομενον B 64. ἀναγκάσας] ἀναγκάσαι B 73. — 542. 68. Photius p. 384. a 32. — 393. a 31. 74. εὐροούντων] εὐῤῥοούντων B 526. 86. μεστὰ B Amst., caeteri μετὰ



ζειν δὲ οὐ τολμῶντες διὰ τὴν ἰσχὺν καὶ τὸ βάρος τῶν κυρίων οἳ ἐδέσποζον τῶν λῃστῶν ἠναγκάζοντο περιορᾶν λῃστευομένην τὴν ἐπαρχίαν· οἱ πλεῖστοι γὰρ τῶν κτητόρων ἱππεῖς ὄντες τῶν Ῥωμαίων, καὶ κριταὶ τοῖς ἀπὸ τῶν ἐπαρχιῶν κατηγορουμένοις στρατηγοῖς γινόμενοι, φοβεροὶ τοῖς ἄρχουσιν ὑπῆρχον. πιεζόμενοι δὲ οἱ δοῦλοι ταῖς ταλαιπωρίαις, καὶ πληγαῖς τὰ πολλὰ παραλόγως ὑβριζόμενοι, οὐχ ὑπέμενον. συνιόντες οὖν ἀλλήλοις κατὰ τὰς εὐκαιρίας συνελάλουν περὶ ἀποστάσεως, ἕως εἰς ἔργον τὴν βουλὴν ἤγαγον. ἦν δέ τις οἰκέτης Σύρος Ἀντιγένους Ἐνναίου τὸ γένος ἐκ τῆς Ἀπαμείας, ἄνθρωπος μάγος καὶ τερατουργὸς τὸν τρόπον. οὗτος προςεποιεῖτο θεῶν ἐπιτάγμασι καθ' ὕπνον προλέγειν τὰ μέλλοντα, καὶ πολλοὺς διὰ τὴν εἰς τοῦτο τὸ μέρος εὐφυΐαν ἐξηπάτα. ἐντεῦθεν προϊὼν οὐ μόνον ἐξ ὀνείρων ἐμαντεύετο, ἀλλὰ καὶ ἐγρηγορότως θεοὺς ὁρᾶν ὑπεκρίνετο καὶ ἐξ αὐτῶν ἀκούειν τὰ μέλλοντα. πολλῶν δ' ὑπ' αὐτοῦ σχεδιαζομένων ἀπὸ τύχης ἔνια πρὸς ἀλήθειαν ἐξέβαινε· καὶ τῶν μὲν μὴ γινομένων ὑπ' οὐδενὸς ἐλεγχομένων, τῶν δὲ συντελουμένων ἐπισημασίας τυγχανόντων, προκοπὴν ἐλάμβανεν ἡ περὶ αὐτὸν δόξα. τελευταῖον διά τινος μηχανῆς πῦρ μετά τινος ἐνθουσιασμοῦ καὶ φλόγα διὰ τοῦ στόματος ἠφίει, καὶ οὕτω τὰ μέλλοντα ἀπεφοίβαζεν. εἰς γὰρ κάρυον ἤ τι τοιοῦτο τετρημένον ἐξ ἑκατέρου μέρους ἐνετίθει πῦρ καὶ τὴν συνέχειν αὐτὸ δυναμένην ὕλην· εἶτα ἐντιθεὶς τῷ στόματι καὶ προςπνέων ποτὲ μὲν σπινθῆρας ποτὲ δὲ φλόγα ἐξέκαεν. οὗτος πρὸ τῆς ἀποστάσεως ἔλεγε τὴν Συρίαν θεὸν ἐπιφαινομένην αὐτῷ λέγειν ὅτι βασιλεύσει· καὶ τοῦτο οὐ πρὸς ἄλλους μόνον ἀλλὰ καὶ πρὸς αὐτὸν τὸν κύριον αὐτοῦ διετέλει λέγων. εἰς δὲ γέλωτα τρεπομένου τοῦ πράγματος, ὁ μὲν Ἀντιγένης ψυχαγωγούμενος ἐπὶ τῇ τερατείᾳ παρῆγε τὸν Εὔνουν εἰς τὰ σύνδειπνα, τοῦτο γὰρ ὄνομα τῷ τερατίᾳ, καὶ διηρώτα περὶ τῆς βασιλείας καὶ πῶς ἑκάστῳ χρήσεται τῶν παρόντων· τοῦ δὲ ἀτρέπτως πάντα διηγουμένου, καὶ ὡς μετρίως χρήσεται τοῖς κυρίοις, καὶ τὸ σύνολον ποικίλως τερατευομένου, γέλωτες ἐγίνοντο τοῖς παρακεκλη-

90. τῶν λῃστῶν A Amst., caeteri λῃστῶν 93. στρατηγοῖς B, caeteri στρατηγοί 96. παραλόγως A, caeteri παρὰ λόγον 1. οὗτος B, caeteri αὐτός 3. μέρος A, caeteri γένος 5. ἐγρηγορότως] ἐγρηγορότος Amst. 11. αὐτὸν] αὐτῶν A Amst. 12. μετά] διά Amst. 14. κάρυον] κάρανον B τετρημένον] τετρωμένον Amst. 18. πρὸ] πρὸς Amst. 22. μὲν A, caeteri μὲν οὖν 25. τερατίᾳ] τερατεύειν Amst. 27. πάντα A, caeteri ἅπαντα

μένοις, καί τινες αὐτῶν ἀπὸ τῆς τραπέζης ἀξιολόγους μερίδας αἴροντες ἐδωροῦντο, ἐπιλέγοντες ὅπως, ὅταν γένηται βασιλεύς, τῆς χάριτος μνημονεύοι. οὐ μὴν ἀλλ' ἡ τερατεία προῆλθεν εἰς ἀληθινὸν ἀποτέλεσμα βασιλείας, καὶ τὴν ἀνταπόδοσιν τοῖς παρὰ τὰ δεῖπνα δεξιωσαμένοις ἐν γέλωτι οὐ χωρὶς σπουδῆς ἐποιήσατο τῆς χάρι- 527 τος. ἀρχὴ δὲ τῆς ὅλης ἀποστάσεως ἐγένετο τοιαύτη. Δαμόφιλός τις ἦν Ἐνναῖος, τὴν δ' οὐσίαν μεγαλόπλουτος, ὑπερήφανος δὲ τὸν τρόπον. οὗτος κακῶς εἰς ὑπερβολὴν ἐκέχρητο τοῖς δούλοις, καὶ ἡ γυνὴ δὲ Μεγαλλὶς ἀντεφιλονείκει τἀνδρὶ πρὸς τὴν τιμωρίαν καὶ τὴν ἄλλην ἀπανθρωπίαν τὴν περὶ τοὺς δούλους. ἐξ ὧν ἀποθηριωθέντες οἱ προπηλακιζόμενοι συνέθεντο πρὸς ἀλλήλους ὑπὲρ ἀποστάσεως καὶ φόνου τῶν κυρίων. καὶ πρὸς τὸν Εὔνουν ἐλθόντες ἠρώτων εἰ συγχωρεῖται παρὰ τῶν θεῶν αὐτοῖς τὸ βεβουλευμένον. ὁ δὲ μετὰ τερατείας, ὡς εἰώθει, συνθέμενος ὅτι συγχωροῦσι, παραχρῆμα πείθει ἔχεσθαι τῆς ἐγχειρήσεως. εὐθὺς οὖν τετρακοσίους τῶν ὁμοδούλων συνήθροισαν, καὶ ὡς ἂν ὁ καιρὸς ἐδίδου καθοπλισθέντες εἰς τὴν Ἔνναν τὴν πόλιν εἰςπίπτουσιν, ἀφηγουμένου αὐτῶν καὶ τοῦ πυρὸς τὰς φλόγας τερατευομένου τούτοις τοῦ Εὔνου. ταῖς δ' οἰκίαις ἐπειςελθόντες πλεῖστον φόνον εἰργάζοντο, μηδ' αὐτῶν τῶν ὑπομαζίων φειδόμενοι. ἀλλὰ ταῦτα μὲν τῆς θηλῆς ἀποσπῶντες προςήρασσον τῇ γῇ· εἰς δὲ τὰς γυναῖκας οὐδ' ἔστιν εἰπεῖν, καὶ τότε βλεπόντων τῶν ἀνδρῶν, ὅσα ἐνύβριζόν τε καὶ ἐνησέλγαινον, πολλοῦ αὐτοῖς πλήθους τῶν ἀπὸ τῆς πόλεως δούλων προςτεθέντος, οἳ καὶ κατὰ τῶν κυρίων πρότερον τὰ ἔσχατα ἐνδεικνύμενοι οὕτω πρὸς τὸν τῶν ἄλλων φόνον ἐτρέποντο. οἱ δὲ περὶ τὸν Εὔνουν πυθόμενοι τὸν Δαμόφιλον ὅτι κατὰ τὸν πλησίον τῆς πόλεως περίκηπον διατρίβει μετὰ τῆς γυναικός, εἷλκον ἐκεῖθεν διά τινων ἐξ αὐτῶν σταλέντων αὐτόν τε καὶ τὴν γυναῖκα δεδεμένους ἐξαγκωνίσαντες, πολλὰς κατὰ τὴν ὁδὸν ὕβρεις ὑποσχόντας. μόνης δὲ τῆς θυγατρὸς αὐτῶν οἱ δοῦλοι ὤφθησαν εἰς πάντα φεισάμενοι διὰ τὸ φιλάνθρωπον αὐτῆς ἦθος καὶ περὶ τοὺς δούλους συμπαθὲς καὶ βοηθητικὸν κατὰ δύναμιν. ἐξ ὧν ἐδείκνυτο τῶν δούλων οὐχὶ ὠμότης εἶναι φύσεως τὰ γινόμενα εἰς τοὺς ἄλλους, ἀλλὰ τῶν προϋπηργμένων εἰς αὐτοὺς ἀδι-

34. παρὰ A, caeteri περὶ 35. ἐποιήσατο] ἀντεποιήσατο Amst. 527. 38. μεγαλόπλουτος Reiskius coll. p. 530. 99. 531. 78. 534. 89.: libri μεγαλόψυχος 45. ἠρώτων post βεβουλευμένον ponit B 53. ἐπειςελθόντες A Amst., caeteri ὑπειςελθόντες 56. καὶ τότε A, caeteri καίτοι 59. προςτεθέντος] προςτεθέντων B 70. οὐχὶ] οὐκ B



κημάτων ἀνταπόδοσις. τὸν δὲ Δαμόφιλον καὶ τὴν Μεγαλλίδα εἰς τὴν πόλιν οἱ ἀπεσταλμένοι ἑλκύσαντες, ὥςπερ ἔφημεν, εἰς τὸ θέατρον εἰςήγαγον, συνεληλυθότος ἐνταῦθα τοῦ πλήθους τῶν ἀποστατῶν. καὶ τοῦ Δαμοφίλου τεχνάσασθαί τι πρὸς τὴν σωτηρίαν ἐγχειρήσαντος, καὶ πολλοὺς τοῦ πλήθους τοῖς λόγοις ἐπαγομένου, Ἑρμείας καὶ Ζεῦξις πικρῶς πρὸς αὐτὸν διακείμενοι πλάνον τε ἀπεκάλουν καὶ οὐκ ἀναμείναντες τὴν ἀκριβῆ τοῦ δήμου κρίσιν ὁ μὲν διὰ τῶν πλευρῶν τὸ ξίφος ὠθεῖ, ὁ δὲ πελέκει τὸν τράχηλον ἔκοψεν. ἐκεῖθεν αἱρεῖται βασιλεὺς ὁ Εὔνους οὔτε δι' ἀνδρείαν οὔτε διὰ στρατηγίαν, διὰ δὲ μόνην τερατείαν καὶ τὸ τῆς ἀποστάσεως ἄρξαι, ἅμα δὲ καὶ τῆς προςηγορίας οἱονεί τινα καλὸν οἰωνὸν ἐχούσης πρὸς τὴν τῶν ὑποταττομένων εὔνοιαν. τῶν ὅλων
528 δὲ τοῖς ἀποστάταις καταστὰς κύριος, καὶ συναγαγὼν ἐκκλησίαν, ἀνεῖλε μὲν τοὺς ἐξωργημένους τῶν Ἐνναίων, ὅσοις οὐκ ἦν ἡ τέχνη ὅπλα ἐργάζεσθαι, ἐκείνους δὲ δεδεμένους τοῖς ἔργοις ὑπέβαλεν. ἔδωκε δὲ καὶ ταῖς θεραπαίναις τὴν Μεγαλλίδα χρήσασθαι ὡς ἂν βούλοιντο· καὶ αὗται κατεκρήμνισαν αἰκισάμεναι. καὶ αὐτὸς δὲ τοὺς ἰδίους ἀνεῖλε κυρίους Ἀντιγένη καὶ Πύθωνα. περιθέμενος δὲ διάδημα καὶ πάντα τὰ ἄλλα τὰ περὶ αὐτὸν βασιλικῶς διακοσμήσας, τήν τε συμβιοῦσαν αὐτῷ, Σύραν καὶ συμπολῖτιν οὖσαν, βασίλισσαν ἀποδείξας, συνέδρους τε τοὺς συνέσει δοκοῦντας διαφέρειν ποιησάμενος, ὧν ἦν Ἀχαιὸς καὶ τοὔνομα καὶ τὸ γένος, ἀνὴρ καὶ βουλῇ καὶ χειρὶ διαφέρων, καὶ ἐν τρισὶν ἡμέραις πλείους τῶν ἑξακιςχιλίων τὸν δυνατὸν καθοπλίσας τρόπον, καὶ ἑτέρους συνεπαγόμενος ἀξίναις καὶ πελέκεσι χρωμένους ἢ σφενδόναις ἢ δρεπάνοις ἢ ξύλοις πεπυρακτωμένοις ἢ καὶ μαγείρων ὀβελοῖς, ἐπῄει πᾶσαν λεηλατῶν τὴν χώραν, καὶ πλῆθος ἄπειρον οἰκετῶν προςλαμβάνων ἐθάῤῥησε καὶ στρατηγοῖς Ῥωμαίων πολεμῆσαι, καὶ συμπλακεὶς τῷ πλήθει πολλάκις ἐκράτησεν, ἔχων ἤδη στρατιώτας ὑπὲρ τοὺς μυρίους. ἐν τούτῳ δὲ Κλέων τις Κίλιξ ἄλλων δούλων ἀποστάσεως ἦρξε. καὶ πάντων ταῖς ἐλπίσι μετεωρισθέντων ὡς ἀντιπολεμήσει τὰ στασιάσαντα πρὸς ἀλλήλους καὶ αὐτοὶ ἑαυτοὺς οἱ ἀποστάται διαφθείροντες

75. συνεληλυθότος] συνεληλυθότων B 79. αὐτὸν] αὐτὸν αὐτοὶ B 82. ὠθεῖ] ὤθει Amst. 85. καὶ τῆς] καὶ τὸ τῆς A 87. εὔνοιαν] ἔνοιαν Amst.

528. 89. ἀνεῖλε μὲν A, caeteri ἀνεῖλε 90. ἐκείνους δὲ B, caeteri ἐκείνους 91. ὑπέβαλεν Bekkerus: libri ὑπέβαλλεν 94. Πύθωνα] Πύθονα Amst. 99. Ἀχαιός] ἀρχαῖος B

ἐλευθερώσουσι τὴν Σικελίαν τῆς στάσεως, παρὰ δόξαν ἀλλήλοις συνέβησαν, τοῦ Κλέωνος ὑποταγέντος ψιλῷ τοῦ Εὔνου προςτάγματι καὶ τὴν τοῦ στρατηγοῦ οἷα δὴ βασιλεῖ χρείαν ἀποπληροῦντος, ἔχοντος οἰκεῖον πλῆθος στρατιωτῶν πεντακιςχιλίων· ἡμέραι δ' ἐγγὺς ἦσαν ἀπὸ τῆς ἀποστάσεως τριάκοντα. καὶ μετὰ βραχὺ ἐκ Ῥώμης ἥκοντι στρατηγῷ Λευκίῳ Ὑψαίῳ, ἔχοντι στρατιώτας ἐκ Σικελίας ὀκτακιςχιλίους, εἰς πόλεμον καταστάντες οἱ ἀποστάται ἐνίκησαν, πλῆθος ὄντες δισμύριοι. μετ' οὐ πολὺ δὲ ἀθροίζεται τὸ σύστημα αὐτῶν εἰς μυριάδας εἴκοσι, καὶ πολλοῖς τοῖς πρὸς Ῥωμαίους πολέμοις ἐνευδοκιμήσαντες ἔλαττον αὐτοὶ ἔπταιον. οὗ διαβοηθέντος κατά τε Ῥώμην δούλων ἀπόστασις ἑκατὸν πεντήκοντα συνομοσάντων ἀνήπτετο, καὶ κατὰ τὴν Ἀττικὴν ὑπὲρ χιλίων, ἔν τε Δήλῳ καὶ κατ' ἄλλους πολλοὺς τόπους· οὓς τάχει τε τῆς βοηθείας καὶ τῇ σφοδρᾷ κολάσει τῆς τιμωρίας οἱ καθ' ἕκαστον ἐπιμεληταὶ τῶν κοινῶν θᾶττον ἠφάνισαν, σωφρονίσαντες καὶ τὸ ἄλλο ὅσον ἦν ἐπὶ ἀποστάσει μετέωρον. κατὰ δὲ Σικελίαν ηὔξετο τὸ κακόν, καὶ πόλεις ἡλίσκοντο αὔτανδροι καὶ πολλὰ στρατόπεδα ὑπὸ τῶν ἀποστατῶν κατεκόπησαν, ἕως Ῥουπίλιος ὁ Ῥωμαίων στρατηγὸς τὸ Ταυρομένιον ἀνεσώσατο Ῥωμαίοις, καρτερῶς μὲν αὐτὸ πολιορκήσας, καὶ εἰς ἄφατον ἀνάγκην καὶ λιμὸν τοὺς ἀποστάτας συγκλείσας, ὥςτε ἀρξαμένους ἐκ παίδων βορᾶς καὶ διελθόντας διὰ γυναικῶν μηδὲ τῆς 529 αὐτῶν ἀλληλοφαγίας μηδ' ὅλως φείσασθαι· ὅτε καὶ Κομανὸν τὸν ἀδελφὸν Κλέωνος φεύγοντα τῆς πολιορκουμένης πόλεως εἷλε. καὶ τὸ τελευταῖον Σαραπίωνος Σύρου τὴν ἄκραν προδόντος συμπάντων τῶν ἐν τῇ πόλει δραπετῶν ὁ στρατηγὸς ἐκυρίευσεν· οὓς καὶ αἰκισάμενος κατεκρήμνισεν. ἐκεῖθεν ἐπὶ τὴν Ἔνναν ἐλθὼν παραπλησίως ἐπολιόρκει, εἰς ἐσχάτην ἀνάγκην συγκλείων τὰς τῶν ἀποστατῶν ἐλπίδας. καὶ Κλέωνα τὸν στρατηγὸν ἐξελθόντα τῆς πόλεως καὶ ἡρωικῶς ἀγωνισάμενον μετ' ὀλίγων ὑπὸ τῶν τραυμάτων δείξας νεκρόν, εἷλε καὶ ταύτην προδοσίᾳ τὴν πόλιν, ἐπεὶ οὐδ' ἦν ἁλώσιμος διὰ τὴν ὀχυρότητα βίᾳ χειρός. ὁ δὲ Εὔνους ἀναλαβὼν τοὺς

14. στάσεως A, caeteri ἀποστάσεως 16. δὴ A, caeteri δεῖ 26. αὐτοὶ] αὐτὸν Amst. 27. ἑκατὸν πεντήκοντα συνομοσάντων] ἐνσυνωμοσάντων Amst. 30. τάχει τε A, caeteri τάχει 36. Ῥουπίλιος Rhodomannus, Ῥοτίλιος A Amst., Ῥουτίλιος caeteri: scribi poterit Ῥοπίλιος ὁ om. A 37. ἀνεσώσατο Ῥωμαίοις] invertit B

529. 41. ὅτε Amst., caeteri ὅτι 42. Κομανὸν] Κωμανον A 50. ὀλίγων A, caeteri ὀλίγον 52. οὐδ'] μηδ' A 53. ὁ δὲ A Amst., caeteri ὁ



σωματοφύλακας ὄντας χιλίους ἔφυγεν ἀνάνδρως εἴς τινας παρακρήμνους τόπους. ἀλλ' οἱ μὲν σὺν αὐτῷ ἄφυκτον τὸ περὶ αὐτοὺς δεινὸν ἐπιστάμενοι, ἤδη γὰρ καὶ ὁ στρατηγὸς Ῥουπίλιος ἐπ' αὐτοὺς ἤλαυνεν, ἀλλήλους τοῖς ξίφεσιν ἔσφαζον ἀπαυχενίσαντες· ὁ δὲ τερατίας Εὔνους καὶ βασιλεὺς καταφυγὼν διὰ δειλίαν ἔν τισι κοιλάσιν, ἐξειλκύσθη ἅμα τεττάρων, μαγείρου καὶ ἀρτοποιοῦ καὶ τοῦ τρίβοντος αὐτὸν ἐν τῷ λουτρῷ καὶ τετάρτου τοῦ παρὰ τοὺς πότους εἰωθότος ψυχαγωγεῖν αὐτόν. καὶ παραδοθεὶς εἰς φυλακήν, καὶ τοῦ σώματος αὐτοῦ διαλυθέντος εἰς φθειρῶν πλῆθος, οἰκείως τῆς περὶ αὐτὸν ῥᾳδιουργίας κατέστρεψε τὸν βίον ἐν τῇ Μοργαντίνῃ. ἐντεῦθεν Ῥουπίλιος ἐπιτρέχων ὅλην τὴν Σικελίαν ἅμα λογάσιν ὀλίγοις θᾶττον ἤπερ τις ἤλπισε παντὸς αὐτὴν ἠλευθέρωσε λῃστηρίου.

Ὅτι ὁ τῶν ἀποστατῶν βασιλεὺς Εὔνους ἑαυτὸν μὲν Ἀντίοχον, Σύρους δὲ τῶν ἀποστατῶν τὸ πλῆθος ἐπωνόμασεν.

54. χιλίους AB, caeteri ἑξακοσίους ἔφυγεν] ἔφευγεν A 57. Ῥουπίλιος] Ῥοτίλιος Amst., caeteri Ῥουτίλιος 58. ἔσφαζον] ἔφθαζον Amst. et γρ. B ἀπαυχενίσαντες Bekkerus, ἀπαυχενίζοντες Reiskius: libri ἀπαυχενίσαντας 62. λουτρῷ] λοετρῷ B 67. Ῥουπίλιος] libri Ῥουτίλιος

## ΕΚ ΤΟΥ Λϛ΄.

1 Ὅτι ὑπὸ τοὺς αὐτοὺς χρόνους ἐν Ῥώμῃ, καθ᾽ οὓς Μάριος μὲν τοὺς κατὰ Λιβύην βασιλεῖς Βόκχον καὶ Ἰουγούρθαν κατεπολέμησε μεγάλῃ παρατάξει, καὶ πολλὰς μὲν τῶν Λιβύων μυριάδας ἀνεῖλεν, ὕστερον δὲ αὐτὸν Ἰουγούρθαν συλληφθέντα ὑπὸ Βόκχου, ὥςτε τυχεῖν συγγνώμης παρὰ Ῥωμαίων ὑπὲρ ὧν αὐτοῖς κατέστη πρὸς πόλεμον, λαβὼν ἐκεῖθεν αἰχμάλωτον εἶχε, μεγίστοις δὲ πταίσμασι τοῖς κατὰ Γαλατίαν τῶν Κίμβρων πολεμούντων Ῥωμαῖοι περιπεσόντες ἠθύμουν, κατὰ τοὺς αὐτοὺς χρόνους ἧκόν τινες ἀπὸ Σικελίας ἀπόστασιν ἀγγέλλοντες οἰκετῶν εἰς πολλὰς ἀριθμουμένων μυριάδας. οὗ προςαγγελθέντος ἐν πολλῇ περιστάσει τὸ Ῥωμαϊκὸν ἅπαν συνεχόμενον διετέλει, ὡς ἂν στρατιωτῶν ἐπιλέκτων σχεδὸν ἑξακιςμυρίων ἐν τῷ πρὸς Κίμβρους κατὰ Γαλατίαν πολέμῳ διολωλότων, καὶ ἀπόρων ὄντων εἰς ἀποστολὴν στρατιωτῶν λογάδων.

Πρὸ δὲ τῆς κατὰ τὴν Σικελίαν τῶν δούλων ἐπαναστάσεως ἐγένοντο κατὰ τὴν Ἰταλίαν πλείους ἀποστάσεις ὀλιγοχρόνιοι καὶ μικραί, καθάπερ τοῦ δαιμονίου προσημαίνοντος 530 τὸ μέγεθος τῆς ἐσομένης κατὰ τὴν Σικελίαν ἐπαναστάσεως, πρώτη μὲν ἡ περὶ Νουκερίαν, τριάκοντα οἰκετῶν συνωμοσίαν ποιησαμένων καὶ ταχὺ κολασθέντων, δευτέρα ἡ περὶ τὴν Καπύην, διακοσίων οἰκετῶν ἐπαναστάντων καὶ ταχὺ καταλυθέντων. τρίτη δὲ παράδοξος γέγονέ τις. ἦν Τίτος Μενουίτιος, ἱππεὺς μὲν Ῥωμαίων, μεγαλοπλούτου δὲ πατρὸς παῖς. οὗτος ἠράσθη θεραπαινίδος ἀλλοτρίας κάλλει διαφερούσης. συμπλακεὶς δ᾽ αὐτῇ καὶ εἰς ἔρωτα παράδοξον αὐτῆς ἐμπεσὼν ἐξηγόρασεν αὐτήν, οὕτω τοῦ τε μανιώδους ἔρωτος βιαζομένου καὶ

77. δὲ] δὲ καὶ vel καὶ Amst. Ἰουγούρθαν] Ἰουγούργαν Amst., Ἰουργὰν A 89. πρὸ] πρὸς Amst. 90. τὴν Σ. A, caeteri Σ.

530. 92. προσημαίνοντος] προσηβαίνοντος Amst. 93. ἐσομένης] ἐπομένης B 2. καὶ εἰς A, caeteri εἰς 3. τοῦ τε A, caeteri τε



τοῦ κυρίου τῆς κόρης τὴν πρᾶσιν μόλις κατανεύσαντος, ταλάντων Ἀττικῶν ἑπτά, καὶ χρόνον ὥρισε καθ᾽ ὃν ἀποτίσει τὸ χρέος· ἐπιστεύετο δὲ διὰ τὴν πατρῴαν περιουσίαν. ἐνστάντος δὲ τοῦ ὁρισθέντος, καὶ μὴ ἔχων ἀποδοῦναι, πάλιν ἔταξε τριάκοντα ἡμερῶν προθεσμίαν. ὡς δὲ καὶ ταύτης ἐπιστάσης οἱ μὲν ἀπῄτουν, ὁ δὲ οὐδὲν πλέον εἶχεν ἀνύειν, ὁ δ᾽ ἔρως ἤκμαζεν, ἐπεχείρησε πράξει παραλογωτάτῃ. ἐπιβουλεύει μὲν γὰρ τοὺς ἀπαιτοῦντας, ἑαυτῷ δὲ μοναρχικὴν ἐξουσίαν περιέθηκε. συναγοράσας γὰρ πεντακοσίας πανοπλίας, καὶ χρόνον τῆς τιμῆς συντάξας, καὶ πιστευθείς, λάθρᾳ πρὸς ἀγρόν τινα παρακομίσας τοὺς ἰδίους ἀνέσεισε πρὸς ἀπόστασιν οἰκέτας, τετρακοσίους ὄντας. εἶτα ἀναλαβὼν διάδημα καὶ περιβόλαιον πορφυροῦν καὶ ῥαβδούχους καὶ τὰ ἄλλα εὔσημα τῆς ἀρχῆς, καὶ βασιλέα ἑαυτὸν συνεργίᾳ τῶν δούλων ἀναδείξας, τοὺς μὲν ἀπαιτοῦντας τὴν τιμὴν τῆς κόρης ῥαβδίσας ἐπελέκισεν, ἐξοπλίσας δὲ τοὺς οἰκέτας ἐπῄει τὰς σύνεγγυς ἐπαύλεις, καὶ τοὺς μὲν προθύμως συναφισταμένους καθώπλιζε, τοὺς δ᾽ ἀντιπράττοντας ἀνῄρει. ταχὺ δὲ συναγαγὼν στρατιώτας πλείους τῶν ἑπτακοσίων, καὶ τούτους εἰς ἑκατονταρχίας καταλέξας, ἐνεβάλετο χάρακα καὶ τοὺς ἀφισταμένους ὑπεδέχετο. τῆς δ᾽ ἀποστάσεως εἰς Ῥώμην ἀπαγγελθείσης, ἡ σύγκλητος ἐμφρόνως περὶ αὐτῆς ἐβουλεύσατο καὶ κατώρθωσε. τῶν γὰρ κατὰ πόλιν στρατηγῶν ἀπέδειξεν ἕνα πρὸς τὴν τῶν δραπετῶν σύλληψιν, Λεύκιον Λούκουλλον. οὗτος δὲ αὐθημερὸν ἐκ τῆς Ῥώμης ἐπιλέξας στρατιώτας ἑξακοσίους, εἰς τὴν Καπύην ἦλθε συναθροίσας πεζοὺς μὲν τετρακιςχιλίους, ἱππεῖς δὲ τετρακοσίους. ὁ δὲ Οὐέττιος τὴν ὁρμὴν τοῦ Λουκούλλου πυθόμενος κατελάβετο λόφον καρτερόν, ἔχων τοὺς πάντας πλέον τῶν τριςχιλίων καὶ πεντακοσίων. καὶ
531 τὸ μὲν πρῶτον συμβολῆς γενομένης ἐπλεονέκτησαν οἱ δραπέται ἐκ τόπων ὑπερδεξίων μαχόμενοι· μετὰ δὲ ταῦτα τὸν μὲν στρατηγὸν τοῦ Οὐεττίου Ἀπολλώνιον διαφθείρας ὁ Λούκουλλος, καὶ τῇ δημοσίᾳ πίστει τὴν ἄφεσιν τῆς τιμωρίας βεβαιώσας, ἔπεισεν αὐτὸν προδότην γενέσθαι τῶν συναποστατῶν. διὸ καὶ τούτου συνεργοῦντος τοῖς Ῥωμαίοις καὶ τὰς χεῖρας προςφέροντος τῷ Οὐεττίῳ, φοβηθεὶς τὴν ἐκ τῆς ἁλώσεως τιμωρίαν ἑαυτὸν ἀπέσφαξεν, αὐτίκα συναπολωλότων καὶ τῶν τῆς ἀποστάσεως

10. πλέον Amst.: ed. enim πλέων 16. ἀνέσεισε A, caeteri ἀνέστησε 19. ἄλλα] ἄλλα τὰ A 20. ἑαυτὸν] αὐτὸν B 27. ἐνεβάλετο B, ἐνεβάλλετο caeteri. ἐβάλλετο Scaliger

531. 38. συμβολῆς A Amst., caeteri συμβουλῆς

κεκοινωνηκότων πλὴν τοῦ προδόντος Ἀπολλωνίου. καὶ ταῦτα μὲν πρὸ τῆς κατὰ Σικελίαν, ὥςπερ προοιμιαζόμενα ταύτῃ, μεγίστης ἀποστάσεως· ἥτις ἀρχὴν ἔλαβε τοιαύτην.

Κατὰ τὴν ἐπὶ τοὺς Κίμβρους τοῦ Μαρίου στρατείαν ἔδωκεν ἡ σύγκλητος ἐξουσίαν τῷ Μαρίῳ ἐκ τῶν πέραν θαλάττης ἐθνῶν μεταπέμπεσθαι συμμαχίαν. ὁ μὲν οὖν Μάριος ἐξέπεμψε πρὸς Νικομήδην τὸν τῆς Βιθυνίας βασιλέα περὶ βοηθείας· ὁ δὲ ἀπόκρισιν ἔδωκε τοὺς πλείους τῶν Βιθυνῶν ὑπὸ τῶν δημοσιωνῶν διαρπαγέντας δουλεύειν ἐν ταῖς ἐπαρχίαις. τῆς δὲ συγκλήτου ψηφισαμένης ὅπως μηδεὶς σύμμαχος ἐλεύθερος ἐν ἐπαρχίᾳ δουλεύῃ καὶ τῆς τούτων ἐλευθερώσεως οἱ στρατηγοὶ πρόνοιαν ποιῶνται, τότε κατὰ τὴν Σικελίαν ὢν στρατηγὸς Λικίνιος Νερούας ἀκολούθως τῷ δόγματι συχνοὺς τῶν δούλων ἠλευθέρωσε, κρίσεις προθείς, ὡς ἐν ὀλίγαις ἡμέραις πλείους τῶν ὀκτακοσίων τυχεῖν τῆς ἐλευθερίας. καὶ ἦσαν πάντες οἱ κατὰ τὴν νῆσον δουλεύοντες μετέωροι πρὸς τὴν ἐλευθερίαν. οἱ δ᾽ ἐν ἀξιώμασι συνδραμόντες παρεκάλουν τὸν στρατηγὸν ἀποστῆναι ταύτης τῆς ἐπιβολῆς. ὁ δ᾽ εἴτε χρήμασι πεισθεὶς εἴτε χάρισι δουλεύσας, τῆς μὲν τῶν κριτηρίων τούτων σπουδῆς ἀπέστη, καὶ τοὺς προςιόντας ἐπὶ τῷ τυχεῖν τῆς ἐλευθερίας ἐπιπλήττων εἰς τοὺς ἰδίους κυρίους προςέταττεν ἐπαναστρέφειν. οἱ δὲ δοῦλοι συστραφέντες, καὶ τῶν Συρακουσῶν ἀπαλλαγέντες, καὶ καταφυγόντες εἰς τὸ τῶν Παλικῶν τέμενος, διελάλουν πρὸς ἀλλήλους ὑπὲρ ἀποστάσεως. ἐκεῖθεν ἐν πολλοῖς τόποις τῆς τῶν οἰκετῶν τόλμης ἐκδήλου γινομένης πρῶτοι τῆς ἐλευθερίας ἀντεποιήσαντο κατὰ τὴν Ἀγκυλίων χώραν ἀδελφῶν δυεῖν μεγαλοπλούτων οἰκέται τριάκοντα, ὧν ἡγεῖτο Ὀάριος ὄνομα· οἳ πρῶτον μὲν νυκτὸς κοιμωμένους τοὺς ἰδίους δεσπότας ἀπέσφαξαν, εἶτα ἐπὶ τὰς γειτνιώσας ἐπαύλεις παρελθόντες παρεκάλουν ἐπὶ τὴν ἐλευθερίαν τοὺς δούλους· καὶ ἐν αὐτῇ τῇ 532 νυκτὶ συνέδραμον πλείους τῶν ἑκατὸν εἴκοσι. καὶ καταλαβόμενοι χωρίον φύσει ὀχυρὸν τοῦτο μᾶλλον ἐπωχύρωσαν, προςδεξάμενοι καὶ ἑτέρους δούλους ὡπλισμένους ὀγδοήκοντα. ὁ δὲ στρατηγὸς τῆς ἐπαρχίας Λικίνιος Νε-

50. ταύτῃ margo edit. Hoesch., ταυτὶ corr. A, caeteri ταύτην 53. θαλάττης Scaliger et Rhodomannus: libri θαλαττῶν 54. ὁ μὲν οὖν B, ὁ μὲν A, caeteri ὅθεν 57. δημοσιωνῶν A, caeteri δημοσίων 59. δουλούῃ] δουλεύοι A 66. ἐν ἀξιώμασι A, caeteri ἀξιώματι 67. ἐπιβολῆς] ἐπὶ βολῆς Amst. 70. τῷ B, caeteri τὸ 73. Συρακουσῶν] Συκουσῶν Amst. 76. γινομένης A, caeteri γενομένης 77. Ἀγκυλίων] Ἀλικυαίων? 532. 87. Λικίνιος] Λικίννιος A Amst.



ρούας κατὰ τάχος αὐτοῖς ἐπελθὼν καὶ πολιορκῶν ἄπρακτον ἔσχε τὴν σπουδήν. ἐπεὶ δὲ βίᾳ ἀνάλωτον τὸ φρούριον ἑώρα, ἐπὶ τὴν προδοσίαν ὁρᾷ, καὶ σωτηρίας ὑποσχέσεσι Γάϊον Τιτίνιον ἐπικαλούμενον Γαδαῖον ἀναπείσας, ἦν δ᾽ οὗτος πρὸ δυεῖν ἐτῶν καταδικασθεὶς μὲν θανάτῳ, τὴν τιμωρίαν δ᾽ ἐκφυγὼν καὶ πολλοὺς τῶν κατὰ τὴν χώραν ἐλευθέρων κατὰ λῃστείαν ἀναιρῶν, οὐδένα δὲ τῶν οἰκετῶν παραλυπῶν, εἶχεν ὑπηρέτην τοῦ σκοποῦ. οὗτος ἔχων αὐτῷ πιστοὺς οἰκέτας ἱκανοὺς πρόςεισι τῷ φρουρίῳ τῶν ἀποστατῶν, ὡς δὴ συμμεθέξων τοῦ κατὰ Ῥωμαίων πολέμου· εὐμενῶς δὲ καὶ φιλοφρόνως προςδεχθεὶς ᾑρέθη διὰ τὴν ἀνδρείαν καὶ στρατηγός, καὶ προὔδωκε τὸ φρούριον. τῶν δ᾽ ἀποστατῶν οἱ μὲν μαχόμενοι κατεκόπησαν, οἱ δὲ τὴν ἀπὸ τῆς ἁλώσεως δεδιότες τιμωρίαν ἑαυτοὺς κατεκρήμνισαν. ἡ μὲν οὖν πρώτη τῶν δραπετῶν στάσις κατελύθη τὸν εἰρημένον τρόπον.

Τῶν δὲ στρατιωτῶν πρὸς τὰ οἰκεῖα ἤδη ἀπολυθέντων, ἧκόν τινες ἀπαγγέλλοντες ὅτι Πόπλιον Κλόνιον, γενόμενον ἱππέα Ῥωμαίων, ἐπαναστάντες οἱ δοῦλοι κατέσφαξαν ὀγδοήκοντα ὄντες, καὶ ὅτι πλῆθος ἀγείρουσι. καὶ ὁ μὲν στρατηγὸς ἑτέρων βουλαῖς παρακρουσθείς, ἤδη καὶ τῶν πλείστων στρατιωτῶν ἀπολελυμένων, καιρὸν παρεῖχε διὰ τῆς ἀναβολῆς τοῖς ἀποστάταις βέλτιον αὐτοὺς ἀσφαλίσασθαι. προῆγε δὲ μετὰ τῶν ἐνόντων στρατιωτῶν, καὶ διαβὰς τὸν Ἄλβαν ποταμὸν παρῆλθε τοὺς ἀποστάτας διατρίβοντας ἐν ὄρει καλουμένῳ Καπριανῷ, καὶ κατήντησεν εἰς πόλιν Ἡράκλειαν. ἐκ γοῦν τοῦ μὴ προςβαλεῖν αὐτοῖς τὸν στρατηγὸν ἀτολμίαν αὐτοῦ διαφημίσαντες συχνοὺς ἀνέσειον τῶν οἰκετῶν. καὶ πολλῶν συῤῥεόντων καὶ τὸν δυνατὸν τρόπον εἰς μάχην παρασκευαζομένων, ἐν ἑπτὰ ταῖς πρώταις ἡμέραις καθωπλίσθησαν πλείους τῶν ὀκτακοσίων, ἐφεξῆς δ᾽ ἐγένοντο τῶν διςχιλίων οὐκ ἐλάττους. πυθόμενος δ᾽ ἐν Ἡρακλείᾳ τὴν αὔξησιν αὐτῶν ὁ στρατηγὸς ἡγεμόνα προεχειρίσατο Μάρκον Τιτίνιον, δοὺς αὐτῷ στρατιώτας τοὺς ἐκ τῆς Ἔννης φρουροὺς ἑξακοσίους. οὗτος δὲ μάχῃ προςβαλὼν τοῖς ἀποστάταις, ἐπεὶ καὶ τῷ πλήθει καὶ ταῖς δυςχωρίαις ἐπλεονέκτουν ἐκεῖνοι, ἐτράπη σὺν τοῖς περὶ αὐτόν, πολ-

89. τὸ om. A 90. ὑποσχέσεσι] ὑπόσχεσιν Amst. 91. Γαδαῖον] Γαδδαῖον B 96. αὐτῷ] αὐτοῦ B 97. τῶν] καὶ τῶν B ὡς δὴ — 100. ἀποστατῶν omittunt B et a pr. manu A 1. μαχόμενοι A Amst., caeteri μαχούμενοι 10. στρατιωτῶν ἀπολελυμένων om. A 16. γοῦν A, caeteri γὰρ: δ᾽ οὖν Bekkerus 27. δυςχωρίαις A, caeteri δυςχερείαις 28. ἐτράπη Amst., edit. enim ἐτράποι

λῶν μὲν ἀναιρεθέντων, τῶν δὲ λοιπῶν ῥιψάντων τὰ ὅπλα καὶ φυγῇ μόλις διασωθέντων. καὶ οἱ ἀποστάται ὅπλων τε εὐπορήσαντες τοσούτων ἀθρόον καὶ νίκης θρασύτερον εἴχοντο τῶν ἔργων, καὶ πάντες τῶν δούλων ἐμετεωρίζοντο πρὸς ἀπόστασιν. καὶ πολλῶν καθ' ἡμέραν 533 ἀφισταμένων σύντομον καὶ παράδοξον ἐλάμβανον αὔξησιν, ὡς ἐν ὀλίγαις ἡμέραις πλείους γενέσθαι τῶν ἑξακιςχιλίων. ὅτε δὴ καὶ εἰς ἐκκλησίαν συνελθόντες καὶ βουλῆς προτεθείσης πρῶτον μὲν εἵλαντο βασιλέα τὸν ὀνομαζόμενον Σαλούιον, δοκοῦντα τῆς ἱεροσκοπίας ἔμπειρον εἶναι καὶ ταῖς γυναικείαις θέαις αὐλομανοῦντα. οὗτος βασιλεύσας τὰς μὲν πόλεις ἀργίας καὶ τρυφῆς νομίζων ἐξέκλινεν, εἰς τρία δὲ μερίσας τοὺς ἀποστάτας καὶ ἴσους ἡγεμόνας ἐγκαταστήσας ταῖς μερίσι, προςέταξεν ἐπιέναι τὴν χώραν καὶ πρὸς ἕνα τόπον καὶ καιρὸν ἅπαντας ἀπαντᾶν. διὸ πολλῶν ἐκ τῆς ἐπελασίας ἄλλων τε ζῴων καὶ ἵππων εὐπορήσαντες, ἐν ὀλίγῳ χρόνῳ κατεσκευάσθησαν ἱππεῖς μὲν πλείους τῶν διςχιλίων, πεζοὶ δὲ οὐκ ἐλάττους τῶν διςμυρίων, ἤδη καὶ γυμνασίαις πολεμικαῖς ἐνδιαπρέποντες. προςπεσόντες οὖν ἄφνω πόλει ὀχυρᾷ Μοργαντίνῃ προςβολὰς ἐνεργεῖς καὶ συνεχεῖς ἐποιοῦντο. ὁ δὲ στρατηγὸς ὡς βοηθήσων τῇ πόλει ἐπελθών, νυκτοπορίᾳ χρησάμενος, ἔχων μεθ' ἑαυτοῦ Ἰταλιώτας τε καὶ ἐκ Σικελίας σχεδὸν στρατιώτας μυρίους, κατέλαβε τοὺς ἀποστάτας ἀσχολουμένους περὶ τὴν πολιορκίαν, καὶ ἐπιθέμενος αὐτῶν τῇ παρεμβολῇ, καὶ εὑρὼν ὀλίγους μὲν τοὺς φυλάττοντας, πλῆθος δὲ γυναικῶν αἰχμαλώτων καὶ λείας ἄλλης παντοδαποῦς, ῥᾳδίως ἐξεῖλε τὴν στρατοπεδείαν. καὶ ταύτην μὲν διήρπασεν, ἐπὶ δὲ τὴν Μοργαντίνην ἧγεν. οἱ δ' ἀποστάται ἐξαίφνης ἀντεπιθέμενοι, καὶ ὑπερδέξιον τὴν στάσιν ἔχοντες, βιαίως τε ἐπιῤῥάξαντες, εὐθὺς ἐπὶ προτερήματος ἦσαν· οἱ δὲ τοῦ στρατηγοῦ ἐτράπησαν πρὸς φυγήν. τοῦ δὲ βασιλέως τῶν ἀποστατῶν κήρυγμα ποιησαμένου μηδένα κτείνειν τῶν τὰ ὅπλα ῥιπτούντων, οἱ πλεῖστοι ῥιπτοῦντες ἔφευγον. καὶ τούτῳ τῷ τρόπῳ καταστρατηγήσας τοὺς πολεμίους ὁ Σαλούιος

32. εἴχοντο Amst., edit. enim ἔχοντο

533. 38. εἵλαντο A Amst., caeteri εἵλοντο  39. καὶ ταῖς A, caeteri καὶ  40. αὐλομανοῦντα] ὑλομανοῦντα Wesselingius  οὗτος — 41. νομίζων om. Amst.  41. τὰς μὲν addidit A  52. βοηθήσων A, caeteri βοηθῶν  53. νυκτοπορίᾳ] νυκτοπορείᾳ A  55. κατέλαβε om. A  56. πολιορκίαν] πολιορκίαν καταλαβὼν B  59. παντοδαποῦς A, caeteri παντοδαπῆς  62. στάσιν A, caeteri τάξιν  ἐπιῤῥάξαντες] ἐπαῤῥάξαντες B  63. ἐπὶ Scaliger: libri ὑπὸ  66. ῥιπτοῦντες] ῥίπτοντες A



τήν τε παρεμβολὴν ἀνεκτήσατο καὶ περιβόητον νίκην ἀπενεγκάμενος πολλῶν ὅπλων ἐκυρίευσεν. ἀπέθανον δὲ ἐν τῇ μάχῃ τῶν Ἰταλιωτῶν τε καὶ Σικελῶν οὐ πλείους ἑξακοσίων διὰ τὴν τοῦ κηρύγματος φιλανθρωπίαν, ἑάλωσαν δὲ περὶ τετρακιςχιλίους. ὁ δὲ Σαλούιος, πολλῶν πρὸς αὐτὸν ἀπὸ τοῦ κατορθώματος συῤῥεόντων διπλασιάσας τὴν ἰδίαν δύναμιν, ἐκράτει τῶν ὑπαίθρων, καὶ πολιορκεῖν πάλιν ἐπεχείρει τὴν Μοργαντῖναν, κήρυγμα δοὺς τοῖς ἐν αὐτῇ δούλοις τὴν ἐλευθερίαν. τῶν δὲ κυρίων ἀντιπροτεινόντων αὐτοῖς ταύτην, εἰ σφίσι συναγωνίσαιντο, εἵλοντο μᾶλλον τὴν ἀπὸ τῶν κυρίων, καὶ προθύμως ἀγωνισάμενοι ἀπετρίψαντο τὴν πολιορκίαν. ὁ δὲ στρατηγὸς μετὰ ταῦτα τὴν ἐλευθερίαν ἀνατρέψας 534 αὐτομολῆσαι τοὺς πλείστους παρεσκεύασε τοῖς ἀποστάταις.

Περὶ δὲ τὴν Αἰγεσταίων καὶ Λιλυβαϊτῶν χώραν ἔτι δὲ τῶν ἄλλων τῶν πλησιοχώρων, ἐνόσει πρὸς ἀπόστασιν τὰ πλήθη τῶν οἰκετῶν. γίνεται δὲ τούτων ἀρχηγὸς Ἀθηνίων ὄνομα, ἀνὴρ ἀνδρείᾳ διαφέρων, Κίλιξ τὸ γένος. οὗτος οἰκονόμος ὢν δυοῖν ἀδελφῶν μεγαλοπλούτων, καὶ τῆς ἀστρομαντικῆς πολλὴν ἔχων ἐμπειρίαν, ἔπεισε τῶν οἰκετῶν πρῶτον μὲν τοὺς ὑφ' ἑαυτὸν τεταγμένους περὶ διακοσίους ὄντας, ἔπειτα τοὺς γειτνιῶντας, ὥςτε ἐν πέντε ἡμέραις συναχθῆναι πλείους τῶν χιλίων. ὑπὸ δὲ τούτων αἱρεθεὶς βασιλεὺς καὶ διάδημα περιθέμενος ἐναντίαν τοῖς ἄλλοις ἅπασιν ἀποστάταις τὴν διάθεσιν ἐποιεῖτο. οὐ γὰρ προςεδέχετο πάντας τοὺς ἀφισταμένους, ἀλλὰ τοὺς ἀρίστους ποιούμενος στρατιώτας τοὺς ἄλλους ἠνάγκαζε μένοντας ἐπὶ τῶν προγεγενημένων ἐργασιῶν ἐπιμελεῖσθαι τῆς ἰδίας ἕκαστον οἰκονομίας καὶ τάξεως· ἐξ ὧν καὶ τροφὰς ἀφθόνους τῶν στρατιωτῶν ἐχορηγεῖτο. προςεποιεῖτο δὲ τοὺς θεοὺς αὐτῷ διὰ τῶν ἄστρων προσημαίνειν ὡς ἔσοιτο τῆς Σικελίας συμπάσης βασιλεύς· διὸ δεῖν αὐτῆς τε τῆς χώρας καὶ τῶν ἐν αὐτῇ ζῴων τε καὶ καρπῶν ὡς ἰδίων φείδεσθαι. τέλος ἀθροίσας ὑπὲρ τοὺς μυρίους ἐτόλμησε πόλιν ἀπόρθητον τὸ Λιλύβαιον πολιορκεῖν. μηδὲν δὲ ἀνύων μετανίστατο αὐτῆς, εἰπὼν αὐτῷ τοὺς θεοὺς τοῦτο ἐπιτάττειν· ἐπιμένοντας γὰρ τῇ πολιορκίᾳ δυςτυχήματος πειραθῆναι. παρασκευαζομένου

74. τοῦ κατορθώματος] τῶν κατορθωμάτων B  78. ἀντιπροτεινόντων] ἀντιπαρατεινόντων B  83. παρεσκεύασε] παρασκευάσαι Amst.

534. 89. δυοῖν] δυεῖν B  91. περὶ om. B  3. Σικελίας B, correctus A, caeteri βασιλείας  6. πόλιν] πάλιν Amst.  7. Λιλύβαιον] scribebatur Λιλυβαῖον  μετανίστατο] ἀνίστατο B  10. παρασκευαζομένου A Amst., caeteri σκευαζομένου

δὲ αὐτοῦ τὴν ἀπὸ τῆς πόλεως ἀναχώρησιν κατέπλευσάν τινες ἐν ταῖς ναυσὶ κομίζοντες ἐπιλέκτους Μαυρουσίους, οἳ ἐπὶ βοήθειαν ἦσαν ἀπεσταλμένοι τοῖς Λιλυβαΐταις, ἔχοντες ἡγούμενον ὃς ὠνομάζετο Γόμων. οὗτος σὺν τοῖς ὑπ' αὐτῷ κατὰ νύκτα καὶ ἀνελπίστως ἐπιθέμενος τοὺς περὶ Ἀθηνίωνα ὁδοιποροῦντας, πολλοὺς καταβαλόντες, οὐκ ὀλίγους δὲ τραυματίσαντες, εἰς τὴν πόλιν ἐπανῆλθον. διόπερ οἱ ἀποστάται τὴν ἐκ τῆς ἀστρομαντείας πρόῤῥησιν ἐθαύμαζον.

Εἶχε δὲ τὴν Σικελίαν πᾶσαν σύγχυσις καὶ κακῶν Ἰλιάς. οὐ γὰρ οἱ δοῦλοι μόνον ἀλλὰ καὶ τῶν ἐλευθέρων οἱ ἄποροι πᾶσαν ἁρπαγὴν καὶ παρανομίαν ἐργαζόμενοι, καὶ τοὺς περιτυγχάνοντας δούλους τε καὶ ἐλευθέρους, ὅπως μηδεὶς ἀπαγγέλοι τὴν περὶ αὐτοὺς ἀπόνοιαν, ἐφόνευον ἀναιδῶς. διὸ καὶ πάντες οἱ κατὰ τὰς πόλεις ὑπελάμβανον τὰ μὲν ἐντὸς τειχῶν μόλις εἶναι ἴδια, τὰ δ' ἐκτὸς ἀλλότρια καὶ δοῦλα τῆς παρανόμου χειροκρασίας. καὶ ἄλλα δὲ πολλὰ πολλοῖς ἄτοπα κατὰ τὴν Σικελίαν ἐτολμᾶτο.

Ὁ δὲ τὴν Μοργαντίνην πολιορκήσας Σαλούιος, ἐπιδραμὼν τὴν χώραν μέχρι τοῦ Λεοντίνου πεδίου, ἤθροισεν αὐτοῦ τὸ σύμπαν στράτευμα, ἐπιλέκτους ἄνδρας οὐκ ἐλάττους τῶν τρισμυρίων, καὶ θύσας τοῖς Παλικοῖς ἥρωσι τούτοις μὲν ἀνέθηκε μίαν τῶν ἁλουργῶν περι- 535
πορφύρων στολὴν χαριστήρια τῆς νίκης, αὐτὸς δ' ἀναγορεύσας ἑαυτὸν βασιλέα Τρύφων μὲν ὑπὸ τῶν ἀποστατῶν προσηγορεύετο. διανοούμενος δὲ τὰ Τριόκαλα καταλαβέσθαι καὶ κατασκευάσαι βασίλεια, πέμπει καὶ πρὸς Ἀθηνίωνα, μεταπεμπόμενος αὐτὸν ὡς στρατηγὸν βασιλεύς. πάντες μὲν οὖν ὑπελάμβανον τὸν Ἀθηνίωνα τῶν πρωτείων ἀντιποιήσεσθαι, καὶ διὰ τὴν στάσιν τῶν ἀποστατῶν ῥᾳδίως καταλυθήσεσθαι τὸν πόλεμον· ἡ δὲ τύχη καθάπερ ἐπίτηδες αὔξουσα τὰς τῶν δραπετῶν δυνάμεις, ὁμονοῆσαι τοὺς τούτων ἡγεμόνας ἐποίησεν. ἧκε μὲν γὰρ συντόμως μετὰ τῆς δυνάμεως ἐπὶ τὰ Τριόκαλα ὁ Τρύφων, ἧκε δὲ καὶ Ἀθηνίων μετὰ τρισχιλίων, ὑπακούων ὡς στρατηγὸς βασιλεῖ τῷ Τρύφωνι, τὴν ἄλλην

13. τοῖς] τῆς Amst. 15. κατὰ — ἐπιθέμενος om. Amst. 17. ὀλίγους A Amst., caeteri ὀλίγας 19. ἐκ A, caeteri ἀπὸ 20. πᾶσαν Amst., caeteri πᾶσα 24. ἀπαγγέλοι] ἀπαγγέλλοι A 33. τῶν om. Amst. Παλικοῖς Casaubonus: libri Ἰταλικοῖς 535. 36. Τρύφων] Τρύφωνα B Amst., Τρόφωνα A ὑπὸ] μετὰ A 37. προσηγορεύετο] προηγάγετο AB Amst. 38. Τριόκαλα] Τριόκελα A 41. ἀντιποιήσεσθαι] ἀντιποιήσασθαι A 43. πόλεμον] πολέμιον Amst. 46. μετὰ τῆς δυνάμεως om. Amst.



αὐτοῦ δύναμιν κατατρέχειν τὴν χώραν καὶ ἀνασείειν πρὸς ἀπόστασιν τοὺς οἰκέτας ἀπεσταλκώς. μετὰ δὲ ταῦτα ὑπονοήσας ὁ Τρύφων τὸν Ἀθηνίωνα ἐπιθήσεσθαι ἐν καιρῷ παρέδωκεν εἰς φυλακήν. τὸ δὲ φρούριον ὀχυρώτατον ὂν κατεσκεύαζε πολυτελέσι κατασκευαῖς καὶ ἐπὶ μᾶλλον ὠχύρου. Τριόκαλα δὲ αὐτό φασιν ὠνομάσθαι διὰ τὸ τρία καλὰ ἔχειν, πρῶτον μὲν ναματιαίων ὑδάτων πλῆθος διαφόρων τῇ γλυκύτητι, δεύτερον παρακειμένην χώραν ἀμπελόφυτόν τε καὶ ἐλαιόφυτον καὶ γεωργεῖσθαι δυναμένην θαυμαστῶς, τρίτον ὑπερβάλλουσαν ὀχυρότητα, ὡς ἂν οὔσης μεγάλης πέτρας ἀναλώτου· ἣν καὶ περιβόλῳ πόλεως σταδίων ὀκτὼ προσπεριβαλὼν καὶ ταφρεύσας βαθείᾳ τάφρῳ βασιλείοις ἐχρῆτο, πάσῃ ἀφθονίᾳ τῶν κατὰ τὸν βίον ἁπάντων πεπληρωμένην. κατεσκεύασε δὲ καὶ βασιλικὴν οἰκίαν καὶ ἀγορὰν δυναμένην δέξασθαι πλῆθος ἀνθρώπων. ἐξελέξατο δὲ καὶ τῶν φρονήσει διαφερόντων ἀνδρῶν τοὺς ἱκανούς, οὓς ἀποδείξας συμβούλους ἐχρῆτο συνέδροις αὐτοῖς· τήβενναν τε περιπόρφυρον περιεβάλλετο καὶ πλατύσημον ἔδυ χιτῶνα κατὰ τοὺς χρηματισμούς, καὶ ῥαβδούχους εἶχε μετὰ πελέκεων τοὺς προηγουμένους, καὶ τἄλλα πάντα ὅσα ποιοῦσί τε καὶ ἐπικοσμοῦσιν ἐπετήδευε βασιλείαν.

Προχειρίζεται δὲ κατὰ τῶν ἀποστατῶν ἡ σύγκλητος τῶν Ῥωμαίων Λεύκιον Λικίνιον Λούκουλλον, ἔχοντα στρατιώτας μυρίους μὲν καὶ τετρακισχιλίους Ῥωμαίους καὶ Ἰταλούς, Βιθυνοὺς δὲ καὶ Θετταλοὺς καὶ Ἀκαρνᾶνας ὀκτακοσίους, ἐκ δὲ τῆς Λευκανίας ἑξακοσίους, ὧν ἡγεῖτο Κλέπτιος, ἀνὴρ στρατηγικὸς καὶ ἐπ' ἀνδρείᾳ περιβόητος, ἔτι δὲ καὶ ἑτέρους ἑξακοσίους, ὡς γενέσθαι σύμπαντας ἑπτακισχιλίους καὶ μυρίους, οὓς ἔχων κατέλαβε τὴν Σικελίαν. ὁ δὲ Τρύφων ἀπολύσας Ἀθηνίωνα τῆς αἰτίας ἐβουλεύετο περὶ τοῦ πρὸς Ῥωμαίους πολέμου.
536 καὶ τῷ μὲν ἤρεσκεν ἐν τοῖς Τριοκάλοις ἀγωνίζεσθαι, Ἀθηνίων δὲ συνεβούλευε μὴ συγκλείειν ἑαυτοὺς εἰς πολιορκίαν, ἀλλ' ἐν ὑπαίθρῳ διαγωνίζεσθαι. κρατησάσης δὲ ταύτης τῆς βουλῆς κατεστρατοπέδευσαν πλησίον Σκιρθαίας, ὄντες οὐκ ἐλάττους τῶν τετρακισμυρίων· ἀπεῖχε

54. φασιν] φησιν B 56. ναματιαίων] ναβατιαίων Amst. 59. θαυμαστῶς om. B 63. πάσῃ] πᾶσα Amst. ἁπάντων A, ἅπαντα caeteri 65. δέξασθαι A Amst., caeteri δέχεσθαι 68. περιεβάλλετο] περιεβάλετο B 71. ποιοῦσί τε A Amst., caeteri ποιοῦσί γε 74. Λικίνιον] Λικίννιον edd. ante Bekkerum Λούκουλλον A, Λεύκουλλον caeteri 76. Ἀκαρνᾶνας] Καρνᾶνας A 79. ἑπτακισχ.] v. annot. 83. ἤρεσκεν] ἤρεσκον Amst. 536. 86. ταύτης] αὐτῆς A 87. Σκιρθαίας] Σκριθαίας A

δ' αὐτῶν ἡ Ῥωμαίων παρεμβολὴ στάδια δυοκαίδεκα. τὸ μὲν οὖν πρῶτον ἐγίνοντο συνεχεῖς ἀκροβολισμοί· εἶτα παραταξαμένων ἑκατέρων, καὶ τῆς μάχης ὧδε κἀκεῖσε ῥεπούσης, καὶ πολλῶν ἑκατέρωθεν πιπτόντων, ὁ μὲν Ἀθηνίων ἔχων συναγωνιζομένους διακοσίους ἱππεῖς ἐπιλέκτων πάντα τὸν περὶ αὐτὸν τόπον νεκρῶν ἐπλήρωσε, τρωθεὶς δ' εἰς ἀμφότερα τὰ γόνατα καὶ τρίτην λαβὼν ἄχρηστος ἐγένετο πρὸς τὴν μάχην· ἐξ οὗ οἱ δραπέται ταῖς ψυχαῖς πεσόντες πρὸς φυγὴν ἐτράπησαν. ὁ δὲ Ἀθηνίων ὡς νεκρὸς ὢν ἔλαθε, καὶ προσποιηθεὶς τετελευτηκέναι τῆς νυκτὸς ἐπιλαβούσης διεσώθη. ἐπεκράτησαν δὲ λαμπρῶς οἱ Ῥωμαῖοι, φυγόντων καὶ τῶν μετὰ Τρύφωνος καὶ αὐτοῦ ἐκείνου· καὶ πολλῶν κατὰ τὴν φυγὴν κοπέντων τέλος οὐκ ἐλάττους τῶν δισμυρίων ἀνῃρέθησαν. οἱ δὲ λοιποὶ τῆς νυκτὸς συνεργούσης διέφυγον εἰς τὰ Τριόκαλα· καίτοι ῥᾷον ἦν ἐπιδιώξαντι τῷ στρατηγῷ καὶ τούτους ἀνελεῖν. ἐπὶ τοσοῦτον δὲ τεταπείνωτο τὸ οἰκετικὸν ὥστε καὶ ἐβουλεύσαντο ἐπὶ τοὺς κυρίους ἐπαναδραμεῖν καὶ σφᾶς αὐτοῖς ἐγχειρίσαι· πλὴν ἐπεκράτησεν ἡ γνώμη τῶν μέχρι τελευτῆς ὑποθεμένων ἀγωνίσασθαι καὶ μὴ τοῖς ἐχθροῖς ἑαυτοὺς καταπροδοῦναι. μετὰ δ' ἐνάτην ἡμέραν ὁ στρατηγὸς ἧκε πολιορκήσων τὰ Τριόκαλα. καὶ τὰ μὲν ἀναιρῶν τὰ δὲ ἀναιρούμενος, ἔλαττον ἔχων ἀπηλλάγη, καὶ οἱ ἀποστάται αὖθις ἐφρονηματίζοντο. ἤνυε δὲ τῶν δεόντων ὁ στρατηγὸς εἴτε διὰ ῥᾳστώνην εἴτε διὰ δωροδοκίαν οὐδέν· ἀνθ' ὧν καὶ δίκην ὕστερον κριθεὶς Ῥωμαίοις ἔδωκε.

Γάϊος δὲ Σερουίλιος καταπεμφθεὶς στρατηγὸς διάδοχος Λουκούλλου οὐδ' αὐτός τι ἄξιον μνήμης ἔπραξε· διὸ καὶ ὁμοίως Λουκούλλῳ ὕστερον φυγῇ κατεδικάσθη. τελευτήσαντος δὲ Τρύφωνος διάδοχος τῆς ἀρχῆς ὁ Ἀθηνίων καθίσταται, καὶ τοῦτο μὲν πόλεις ἐπολιόρκει, τοῦτο δὲ πᾶσαν τὴν χώραν ἀδεῶς κατέτρεχε καὶ πολλῶν ἐκυρίευσε, τοῦ Σερουιλίου μηδὲν ἀντιπράττοντος.

Τοῦ δ' ἐνιαυσίου χρόνου διελθόντος ὕπατος ἐν Ῥώμῃ Γάϊος Μάριος ᾑρέθη τὸ πέμπτον καὶ Γάϊος Ἀκύλλιος· ὧν ὁ Ἀκύλλιος στρατηγὸς κατὰ τῶν ἀποστατῶν σταλεὶς διὰ τῆς ἰδίας ἀνδρείας ἐπιφανεῖ μάχῃ τοὺς ἀποστάτας ἐνίκησε. καὶ πρὸς αὐτὸν δὲ τὸν βασιλέα τῶν ἀποστατῶν Ἀθηνίωνα συμβαλὼν ἡρωικὸν ἀγῶνα συνε-

93. ἔχων om. A 94. ἐπιλέκτων] ἐπικρατῶν B, corr. A 95. τὰ om. Amst. 11. ἐνάτην] ἕκτην B, ἐννάτην edd. ante Bekkerum 13. δὲ] δὲ καὶ B 14. ἤνυε δὲ] ἦν ὐδὲ Amst. 19. Λουκούλλῳ] Λευκούλλῳ edd. ante Bekkerum 24. μηδὲν A, caeteri δὲ μηδὲν



στήσατο. καὶ τοῦτον μὲν ἀνεῖλεν, αὐτὸς δ' εἰς τὴν κεφαλὴν τρωθεὶς ἐθεραπεύθη. καὶ στρατεύει ἐπὶ τοὺς ὑπολειπομένους τῶν ἀποστατῶν, ὄντας μυρίους. οὐχ ὑπομεινάντων δὲ τὴν ἔφοδον, ἀλλ' εἰς τὰ ὀχυρώματα 537 καταφυγόντων, ὅμως Ἀκύλλιος οὐκ ἐνεδίδου πάντα πράττων, ἕως αὐτοὺς ἐκπολιορκήσας ἐχειρώσατο. ἔτι δ' ὑπολειπομένων χιλίων, καὶ στρατηγὸν ἐχόντων τὸν Σάτυρον, τὸ μὲν πρῶτον ἐπεβάλετο διὰ τῶν ὅπλων αὐτοὺς χειρώσασθαι, μετὰ δὲ ταῦτα διαπρεσβευόντων καὶ παραδόντων ἑαυτοὺς τῆς μὲν παραυτίκα τιμωρίας ἀπέλυσεν, ἀπαγαγὼν δὲ εἰς τὴν Ῥώμην θηριομάχας αὐτοὺς ἐποίησε. τοὺς δέ φασί τινες ἐπιφανεστάτην ποιήσασθαι τοῦ βίου καταστροφήν· τῆς μὲν γὰρ πρὸς τὰ θηρία μάχης ἀποστῆναι, ἀλλήλους δὲ ἐπὶ τῶν δημοσίων βωμῶν κατασφάξαι, καὶ τὸν τελευταῖον αὐτὸν τὸν Σάτυρον ἀνελόντα, τοῦτον δ' ἐπὶ πᾶσιν αὐτοχειρίᾳ ἡρωικῶς καταστρέψαι. ὁ μὲν οὖν κατὰ Σικελίαν τῶν οἰκετῶν πόλεμος, διαμείνας ἔτη σχεδόν που τέτταρα, τραγικὴν ἔσχε τὴν καταστροφήν.

2 Ὅτι Βαττάκης τις ὄνομα ἧκε, φησίν, ἐκ Πισινοῦντος τῆς Φρυγίας, ἱερεὺς ὑπάρχων τῆς μεγάλης τῶν θεῶν μητρός. οὗτος κατὰ πρόσταγμα τῆς θεοῦ παρεῖναι φήσας τοῖς ἄρχουσιν ἐνέτυχε καὶ τῇ συγκλήτῳ, λέγων τὸ ἱερὸν τῆς θεοῦ μεμιάνθαι, καὶ δεῖν αὐτῇ δημοσίᾳ καθαρμοὺς ἐπὶ τῆς Ῥώμης συντελεσθῆναι. ἐφόρει δὲ ἐσθῆτα καὶ τὴν περὶ τὸ σῶμα ἄλλην κατασκευὴν ἐξηλλαγμένην καὶ ὑπὸ τῶν Ῥωμαίων ἐθῶν οὐκ ἐπιχωρουμένην· χρυσοῦν τε γὰρ στέφανον εἶχεν ὑπερμεγέθη καὶ στολὴν ἀνθίνην διάχρυσον, βασιλικὴν ἀξίαν ἐπιφαίνουσαν. ποιησάμενος δὲ λόγους ἐπὶ τῶν ἐμβόλων ἐν τῷ δήμῳ, καὶ τὸ πλῆθος εἰς δεισιδαιμονίαν ἐμβαλών, καταλύματος μὲν δημοσίου καὶ ξενίων ἠξιώθη, τὸν δὲ στέφανον ἐκωλύθη φορεῖν ὑφ' ἑνὸς τῶν δημάρχων Αὔλου Πομπηίου. διά τινος δ' ἑτέρου δημάρχου προαχθεὶς ἐπὶ τὰ ἔμβολα, καὶ περὶ τῆς εἰς τὸ ἱερὸν ἁγνείας ἐπερωτώμενος, ἀποκρίσεις ἐποιεῖτο δεισιδαιμονίαν περιεχούσας. καταστασιασθεὶς δὲ ὑπὸ τοῦ Πομπηίου, καὶ μεθ' ὕβρεως ἀπαλλαγεὶς ἐπὶ τὴν κατάλυσιν, οὐκέτι προεπορεύετο, λέγων μὴ μόνον ἑαυτὸν ἀσεβῶς προπεπηλακίσθαι, ἀλλὰ

537. 38. ἐκπολιορκήσας A, caeteri ἐκπολεμήσας 40. ἐπεβάλετο A, caeteri ἐπεβάλλετο 44. θηριομάχας] θηριομάχους B 45. τῆς μὲν B, caeteri τῆς 54. Πισινοῦντος] Πισσινοῦντος B 58. αὐτῇ Wesselingius: libri αὐτοὺς 61. ἐθῶν Scaliger: libri ἐθνῶν ἐπιχωρουμένην Reiskius: libri ἐπιχωρημένην 69. εἰς om. A Amst. 71. ὑπὸ τοῦ A, caeteri ὑπὸ

καὶ τὴν θεόν. ὁ δὲ Πομπήιος παραχρῆμα μὲν λάβρῳ πυρετῷ συνεσχέθη, μετὰ δὲ ταῦτα ἄφωνος γενόμενος καὶ καταληφθεὶς κυναγχικῷ πάθει τριταῖος κατέστρεψε τὸν βίον, παρὰ τοῖς πολλοῖς ὑποληφθεὶς θείᾳ τινὶ προνοίᾳ ἀνθ' ὧν εἰς τὸν ἱερέα καὶ τὴν θεὸν ἐπλημμέλησε τοῦ ζῆν ἐστερῆσθαι· σφόδρα γὰρ Ῥωμαῖοι δεισιδαιμονοῦσι. διόπερ ὁ Βαττάκης λαβὼν τὴν συγχώρησιν τῆς κατὰ τὴν ἱερὰν στολὴν κατασκευῆς, καὶ τιμηθεὶς ἀξιολόγοις ξενίοις, ὑπὸ πολλῶν ἀνδρῶν τε καὶ γυναικῶν προεπέμφθη τὴν ἐκ τῆς Ῥώμης ἐπάνοδον ποιούμενος.

3 Ὅτι ἔθος ἦν τοῖς Ῥωμαίων στρατιώταις, ἡνίκα ὁ 538 στρατηγὸς αὐτῶν σὺν αὐτοῖς μάχῃ πρός τινας τῶν πολεμίων συμπλακεὶς ὑπὲρ τοὺς ἑξακισχιλίους τῶν ἐχθρῶν ἐφαίνετο ἀνελών, ἰμπεράτορα αὐτὸν ἀναγορεύειν καὶ ἀποκαλεῖν, ὅ ἐστι βασιλέα.

75. λάβρῳ A, caeteri λαύρῳ 76. πυρετῷ] πυριτῷ Amst. 80. ἐπλημμέλησε Amst.: nam edd. vett. ἐπλημέλησε

538. 89. ἰμπεράτορα B, caeteri ἰνπεράτορα 100. βασιλέα omiserat a pr. manu A cum lacuna versuum ternorum et dimidii

---

## ΕΚ ΤΟΥ ΛΖ' ΚΑΙ Η'. ΚΑΙ ΤΩΝ ΕΦΕΞΗΣ.

Ὅτι τὸν Μαρσικὸν ὀνομασθέντα πόλεμον ἐπὶ τῆς 1 αὐτοῦ ἡλικίας Διόδωρος μείζονα πάντων τῶν προγεγονότων ἀποφαίνεται. ὠνομάσθαι δέ φησι Μαρσικὸν ἐκ τῶν ἀρξάντων τῆς ἀποστάσεως, ἐπεὶ σύμπαντές γε Ἰταλοὶ κατὰ Ῥωμαίων τοῦτον ἐξήνεγκαν τὸν πόλεμον. αἰτίαν δὲ πρώτην γενέσθαι τοῦ πολέμου τὸ μεταπεσεῖν τοὺς Ῥωμαίους ἀπὸ τῆς εὐτάκτου καὶ λιτῆς ἀγωγῆς καὶ ἐγκρατοῦς, δι' ἧς ἐπὶ τοσοῦτον ηὐξήθησαν, εἰς ὀλέθριον ζῆλον τρυφῆς καὶ ἀκολασίας. ἐκ γὰρ τῆς διαφθορᾶς ταύτης στασιάσαντος τοῦ δημοτικοῦ πρὸς τὴν σύγκλητον, εἶτα ἐκείνης ἐπικαλεσαμένης τοὺς ἐκ τῆς Ἰταλίας ἐπικουρῆσαι, καὶ ὑποσχομένης τῆς πολυεράστου Ῥωμαϊκῆς πολιτείας μεταδοῦναι καὶ νόμῳ κυρῶσαι, ἐπεὶ οὐδὲν τῶν ὑπεσχημένων τοῖς Ἰταλιώταις ἐγένετο, ὁ ἐξ αὐτῶν πόλεμος πρὸς Ῥωμαίους ἐξεκαύθη, ὑπατευόντων ἐν τῇ Ῥώμῃ Λευκίου Μάρκου Φιλίππου καὶ Σέξτου Ἰουλίου· Ὀλυμπιὰς δ' ἤχθη [δευτέρα] πρὸς ταῖς ἑκατὸν ἑβδομήκοντα. ἐν τούτῳ τῷ πολέμῳ ποικίλα καὶ πολύτροπα πάθη καὶ πόλεων ἁλώσεις ἑκατέρῳ μέρει τῶν διαπολεμησάντων συνέβη, ταλαντευομένης ὥσπερ ἐπίτηδες παρὰ μέρος τῆς νίκης καὶ μηδετέροις ἐν βεβαίῳ διαμενούσης· ὅμως ἀπείρου πλήθους ἑκατέρωθεν πεσόντος ὀψὲ καὶ μόλις Ῥωμαίοις ἐξενίκησε βεβαιωθῆναι τὸ κράτος. ἐπολέμουν δὲ Ῥωμαίοις Σαυνῖται, Ἀσκολανοί, Λευκανοί, Πικεντηνοί, Νωλανοί, καὶ ἕτεραι πόλεις καὶ ἔθνη, ἐν οἷς ἐπισημοτάτη καὶ μεγίστη καὶ κοινὴ πόλις ἄρτι συντετελεσμένη τοῖς Ἰταλιώταις τὸ Κορφίνιον ἦν, ἐν ᾗ τά τε ἄλλα ὅσα μεγάλην πόλιν καὶ ἀρχὴν κρατύνουσι συν-

αὐτοῦ] αὐτῆς A πάντων B, caeteri ἁπάντων 91. φησι A, caeteri φασι 96. ἧς A Amst., caeteri ἧς μὲν 98. διαφθορᾶς A Amst., caeteri διαφορᾶς 5. Μαρκίου Wesselingius post Scaligerum: libri Μάρκου Σέξτου A, caeteri Σέξστου 6. δευτέρα addidit Scaliger 14. Ἀσκολανοί] Ἀσκαλανοὶ A 15. Πικεντηνοὶ B, caeteri Πικεντινοὶ 17. ἐν ᾗ om. Amst. 19. συνεστήσαντο] συνεστήσατο Amst.

εστήσαντο καὶ ἀγορὰν εὐμεγέθη καὶ βουλευτήριον, καὶ
τὰ ἄλλα τὰ πρὸς πόλεμον ἀφθόνως ἅπαντα, καὶ χρη-
μάτων πλῆθος, καὶ τροφῆς δαψιλῆ χορηγίαν. συνεστή-
σαντο δὲ καὶ σύγκλητον κοινὴν πεντακοσίων ἀνδρῶν,
ἐξ ὧν οἵ τε τῆς πατρίδος ἄρχειν ἄξιοι προαχθήσεσθαι
ἔμελλον καὶ οἱ προβουλεύεσθαι δυνάμενοι περὶ τῆς κοι-
νῆς σωτηρίας. καὶ τούτοις ἐπέτρεψαν τὰ κατὰ τὸν πό-
λεμον διοικεῖν, αὐτοκράτορας ποιήσαντες τοὺς συνέ-
δρους. οὗτοι δ' ἐνομοθέτησαν δύο μὲν ὑπάτους κατ' 539
ἐνιαυτὸν αἱρεῖσθαι, δώδεκα δὲ στρατηγούς. καὶ κατεστά-
θησαν ὕπατοι μὲν Κόϊντος Πομπαίδιος Σίλων, Μάρσος
μὲν τὸ γένος, πρωτεύων δὲ τῶν ὁμοεθνῶν, καὶ δεύτε-
ρος ἐκ τοῦ Σαυνιτῶν γένους Γάϊος Ἀπώνιος Μότυλος,
καὶ αὐτὸς δόξῃ καὶ πράξεσι τοῦ ἔθνους προέχων. τὴν δ'
ὅλην Ἰταλίαν εἰς δύο μέρη διελόντες ὑπατικὰς ἐπαρχίας
ταύτας καὶ μερίδας ἀπέδειξαν. καὶ τῷ μὲν Πομπαιδίῳ
προσώρισαν χώραν ἀπὸ τῶν Κερκώλων καλουμένων μέ-
χρι τῆς Ἀδριατικῆς θαλάσσης, τὰ πρὸς δυσμὰς καὶ τὴν
ἄρκτον νεύοντα μέρη, καὶ στρατηγοὺς ἔταξαν αὐτῷ ἕξ·
τὸ δὲ λοιπὸν τῆς Ἰταλίας, τὴν πρὸς ἕω καὶ μεσημβρίαν
νεύουσαν, προσώρισαν Γαΐῳ Μοτύλῳ, στρατηγοὺς ὁμοίως
συζεύξαντες ἕξ. οὕτω πάντα δεξιῶς καὶ κατὰ μίμησιν,
τὸ σύνολον φάναι, τῆς Ῥωμαϊκῆς καὶ ἐκ παλαιοῦ τά-
ξεως τὴν ἑαυτῶν ἀρχὴν διαθέμενοι, κατὰ τὸ σφοδρότε-
ρον λοιπὸν εἴχοντο καὶ τοῦ ἐφεξῆς πολέμου, τὴν κοι-
νὴν πόλιν Ἰταλίαν ἐπονομάσαντες. καὶ διεπολέμησαν
Ῥωμαίοις τὰ πλεῖστα κατὰ τὸ ἐπικρατέστερον, ἕως Γναῖος
Πομπήιος ὕπατος αἱρεθεὶς καὶ στρατηγὸς τοῦ πολέμου,
καὶ Σύλλας στρατηγὸς ὑπὸ τῷ ἑτέρῳ ὑπάτῳ Κάτωνι,
ἐπιφανεστάταις μάχαις τοὺς Ἰταλιώτας οὐχ ἅπαξ ἀλλὰ
καὶ πολλάκις νικήσαντες, τὰ πράγματα αὐτῶν εἰς τὸ
συντρίβεσθαι περιέστησαν. ἐπολέμησαν δ' οὖν καὶ ἔτι·
ἀλλὰ Γαΐου Κοσκονίου σταλέντος εἰς Ἰαπυγίαν στρατη-
γοῦ πολλάκις ἡττήθησαν. εἶτα ἐλαττωθέντες καὶ ἐκ πολ-
λῶν ὀλίγοι καταλειφθέντες κοινῇ γνώμῃ τὴν κοινὴν
ἐκλείπουσι πόλιν, τὸ Κορφίνιον, διὰ τὸ τοὺς Μάρσους
καὶ πάντα τὰ γειτνιῶντα τῶν ἐθνῶν προσκεχωρηκέναι

20. ἄλλα τὰ] ἄλλα Amst. 23. κοινὴν Bekkerus, καὶ μὴν Amst., καινὴν caeteri 25. προβουλεύεσθαι] παραβουλεύεσθαι B 26. ἐπέτρεψαν] ἐπιτρέψαντες A

539. 46. ἐπονομάσαντες A, caeteri ὀνομάσαντες 48. Σύλλας] Σύλας A 50. μάχαις A, caeteri ταῖς μάχαις 53. καὶ ἔτι] οὐκ ἔτι A Γαΐου] Γαῖος Amst. Κοσκονίου A, caeteri Κοσκινίου 55. καὶ A Amst., caeteri εἰ καὶ 56. κοινὴν A Amst., caeteri καινὴν



τοῖς Ῥωμαίοις. εἰς δὲ τὴν ἐν Σαυνίταις Αἰσερνίαν κα-
θιδρύθησαν, πέντε στρατηγοὺς αὐτοῖς ἐπιστήσαντες, ὧν
ἑνὶ μάλιστα Κοΐντῳ Πομπαιδίῳ Σίλωνι τὴν πάντων ἡγε-
μονίαν ἐπίστευσαν διὰ τὴν περὶ αὐτὸν ἐν τῷ στρατη-
γεῖν ἀρετήν τε καὶ δόξαν. οὗτος δὲ μετὰ τῆς κοινῆς τῶν
στρατηγῶν γνώμης κατεσκεύασε μεγάλην δύναμιν, ὡς
τοὺς σύμπαντας μετὰ τῶν προϋπαρχόντων περὶ τρισμυ-
ρίους γενέσθαι. χωρὶς δὲ τούτων τοὺς δούλους ἐλευθε-
ρώσας καὶ ὡς ὁ καιρὸς ἐδίδου καθοπλίσας, συνῆγεν οὐ
πολὺ λείποντας τῶν δισμυρίων, ἱππεῖς δὲ χιλίους. συμ-
βαλὼν δὲ Ῥωμαίοις Μαμέρκου στρατηγοῦντος αὐτῶν,
Ῥωμαίους μὲν ἀναιρεῖ ὀλίγους, τῶν δ' οἰκείων ὑπὲρ
ἑξακισχιλίους ἀποβάλλει. καὶ Μέτελλος κατὰ τὴν Ἀπου-
λίαν τὴν Οὐενουσίαν, πόλιν ἀξιόλογον οὖσαν καὶ στρα-
τιώτας πολλοὺς ἔχουσαν, ἐξεπολιόρκησε κατὰ καιρὸν τὸν
540 αὐτόν, καὶ πλείους τῶν τρισχιλίων αἰχμαλώτους εἷλεν.
ἐπικρατούντων δ' ἐπὶ μᾶλλον καὶ μᾶλλον τῶν Ῥωμαίων,
πέμπουσιν οἱ Ἰταλοὶ πρὸς Μιθριδάτην τὸν βασιλέα
Πόντου, ἀκμάζοντα τότε πολεμικῇ χειρὶ καὶ παρασκευῇ,
ἀξιοῦντες ἐπὶ τὴν Ἰταλίαν κατὰ Ῥωμαίων ἄγειν τὰς δυ-
νάμεις· οὕτω γὰρ ῥαδίως ἂν συναφθέντων τὸ Ῥωμαϊκὸν
καταβληθήσεσθαι κράτος. ὁ δὲ Μιθριδάτης ἀπόκρισιν
δίδωσιν ἄξειν τὰς δυνάμεις εἰς τὴν Ἰταλίαν, ἐπειδὰν
αὐτῷ καταστήσῃ τὴν Ἀσίαν· τοῦτο γὰρ καὶ ἔπραττε.
διὸ παντελῶς οἱ ἀποστάται τεταπεινωμένοι ἀπεγίνωσκον·
λοιποὶ γὰρ ὑπῆρχον Σαυνιτῶν ὀλίγοι καὶ Σάβελλοι δια-
τρίβοντες ἐν τῇ Νώλᾳ, καὶ πρός γε τούτοις οἱ περὶ
Λαμπώνιον καὶ Κλεπίτιον, ἔχοντες λείψανα τῶν Λευκα-
νῶν. διὸ καὶ τοῦ Μαρσικοῦ πολέμου σχεδὸν ἤδη δια-
λυομένου πάλιν αἱ προγεγενημέναι στάσεις ἐμφύλιοι
κατὰ τὴν Ῥώμην κινήσεις ἐλάμβανον, ἀντιποιουμένων
πολλῶν ἐνδόξων τὸ τυχεῖν τῆς κατὰ Μιθριδάτου στρα-
τηγίας διὰ τὸ μέγεθος τῶν ἐπάθλων· Γάϊός τε γὰρ Ἰού-
λιος καὶ Γάϊος Μάριος ὁ ἑξάκις ὑπατεύσας ἀντεφιλονεί-
κουν, καὶ τὸ πλῆθος ἦν ἑκατέροις συμμεριζόμενον ταῖς

59. καθιδρύθησαν B, caeteri καθίδρυσαν 61. μάλιστα om. Amst. 65. προϋπαρχόντων A, caeteri ὑπαρχόντων 68. δισμυρίων] μυρίων A 73. οὖσαν om. A ἔχουσαν A, caeteri ἀνέχουσαν

540. 75. εἷλεν A Amst., caeteri εἷλον 80. ῥαδίως A, caeteri ῥάδιον 82. ἄξειν A Amst., caeteri ἕξειν ἐπειδὰν] ἐπεὶ Amst., qui et αὐτῷ καταστήσει 85. λοιποὶ] λοιπὸν Amst. 89. διὸ καὶ A, caeteri διὸ 90. ἐμφύλιοι] ἐμφόλιοι Amst. 92. Μιθριδάτου] Μιθρειδάτου Amst. 94. τε] τὸ Amst.

γνώμαις. συνέβησαν δὲ καὶ ἕτεραι ταραχαί. ὁ μέντοι Σύλλας ὕπατος ὢν, χωρισθεὶς τῆς Ῥώμης πρὸς τὰς περὶ Νῶλαν ἠθροισμένας παρεγένετο δυνάμεις, καὶ πολλοὺς τῶν πλησιοχώρων καταπληξάμενος ἠνάγκασε παραδοῦναι σφᾶς αὐτοὺς καὶ τὰς πόλεις. τοῦ δὲ Σύλλα στρατεύσαντος μὲν ἐπὶ τὴν Ἀσίαν κατὰ Μιθριδάτου, τῆς δὲ Ῥώμης μεγάλαις ταραχαῖς καὶ φόνοις ἐμφυλίοις περισπωμένης, Μάρκος Ἀπώνιος καὶ Τιβέριος Κλεπίτιος ἔτι δὲ Πομπήιος, οἱ τῶν ὑπολοίπων Ἰταλιωτῶν στρατηγοί, διατρίβοντες ἐν τῇ Βρεττίᾳ, Ἰσίας μὲν πόλιν ὀχυρὰν ἐπὶ πολὺν χρόνον πολιορκήσαντες οὐκ ἴσχυσαν ἑλεῖν, μέρος δ' ἐπὶ τῆς πολιορκίας τοῦ στρατεύματος καταλιπόντες τῇ λοιπῇ τὸ Ῥήγιον ἰσχυρῶς ἐπολιόρκουν, ἐλπίζοντες, εἰ ταύτης κρατήσαιεν, ῥᾳδίως εἰς τὴν Σικελίαν διαβιβάσειν τὰς δυνάμεις καὶ κρατήσειν τῆς εὐδαιμονεστάτης τῶν ὑπὸ τὸν ἥλιον νήσων. ἀλλ' ὁ ταύτης στρατηγὸς Γάϊος Ὀρβανός, πολλῇ δυνάμει καὶ παρασκευῇ καὶ προθυμίᾳ χρησάμενος, καὶ καταπληξάμενος τοὺς Ἰταλιώτας τῷ μεγέθει τῆς παρασκευῆς, ἐξήρπασε τοὺς Ῥηγίνους. εἶτα τῆς περὶ Σύλλαν καὶ Μάριον ἐμφυλίου στάσεως ἀναῤῥιπισθείσης Ῥωμαίοις, οἱ μὲν Σύλλᾳ οἱ δὲ Μαρίῳ συνεμάχησαν. καὶ τὸ μὲν πλέον αὐτῶν ἔπεσε τοῖς πολέμοις, τὸ δ' ὑπόλοιπον ἐπικρατήσαντι Σύλλᾳ 541 προσεχώρησε. καὶ οὕτω τέλεον τῇ ἐμφυλίῳ συναπέσβη στάσει μέγιστος γεγονὼς καὶ ὁ Μαρσικὸς ἐπικληθεὶς πόλεμος.

2 Ὅτι μεγάλη στάσις ἐμφύλιος ἤδη διαλυομένου τοῦ Μαρσικοῦ γέγονε πολέμου, ἧς ἡγοῦντο Σύλλας καὶ Γάϊος Μάριος, νέος ὤν, ὁ Μαρίου τοῦ πολλάκις ὑπατευκότος, ἑπτάκις γὰρ ὑπάτευσε, παῖς. ἐν δὲ τῇ στάσει πολλαὶ μυριάδες ἀνθρώπων ἀνῃρέθησαν. ἐκράτησε δ' ὁ Σύλλας, καὶ δικτάτωρ γεγονώς, ἐπαφρόδιτόν τε ὀνομάσας ἑαυτόν, οὐκ ἐψεύσθη τῆς ἀλαζονείας· κρατῶν γὰρ τοῖς πολέμοις ἰδίῳ ἀπεβίω θανάτῳ. ὁ δὲ Μάριος μάχῃ τῇ πρὸς Σύλλαν γενναίως ἀγωνισάμενος, ὅμως ἡττηθεὶς κατέφυγεν εἰς Πραίνεστον ἅμα μυρίοις πεντακισχιλίοις.

100. πλησιοχώρων] πλησίον χώρων A 2. ἐπὶ] κατὰ Amst. 4. Ἀπώνιος] Λαμπώνιος est monente Wesselingio 5. Κλεπίτιος] Κλέπτιος B Πομπήιος] Πόντιος Wesselingius 7. Ἰσίας A Amst., caeteri Ἀσίας: Τισίας Wesselingius 8. οὐκ — 9. καταλιπόντες addunt A Amst. 11. κρατήσαιεν] κρατήσειε Amst. 14. Ὀρβανὸς] Νορβανὸς Wesselingius 17. Ῥηγίνους A, caeteri Ῥηγίους

541. 22. προσεχώρησε] προσεχώρησε Amst. 25. διαλυομένου] διαλεγομένου Amst.



συγκλεισθεὶς δ' ἐν αὐτῇ καὶ χρόνον οὐκ ὀλίγον πολιορκηθεὶς ἠναγκάσθη, πάντων αὐτὸν ἐγκαταλιπόντων, καὶ μηδεμίαν σωτηρίας ὁδὸν καθορῶν, τὴν ἑνὸς οἰκέτου τῶν πιστῶν χεῖρα εἰς λύσιν τῶν δεινῶν παρακαλέσαι. καὶ ὅ γε πεισθείς, καὶ μιᾷ πληγῇ τοῦ βίου τὸν δεσπότην ἀπαλλάξας, ἑαυτὸν ἐπικατέσφαξε. καὶ παύεται μὲν αὕτη ἡ στάσις, λείψανα μέντοι τοῦ πολέμου ὑπολειφθέντα τῆς Μαρίου μοίρας ἐπὶ χρόνον Σύλλᾳ διεμαχέσαντο, ἕως καὶ αὐτὰ συνδιέφθορε τοῖς ἄλλοις.

[Μετὰ μέντοι τὴν τούτων ἀπαλλαγὴν Πομπηίῳ τῷ ἐπικληθέντι Μάγνῳ διὰ τὰς πράξεις ἃς κατώρθωσε Σύλλᾳ τε πράττων καὶ καθ' ἑαυτὸν Ῥωμαίοις, τούτῳ δὴ καὶ Ἰουλίῳ Καίσαρι ἔρις ἐκκαεῖσα εἰς ἐμφυλίους σφαγὰς τοὺς Ῥωμαίους πάλιν ἠνάγκασε συστραφῆναι. Πομπηίου δὲ λαμπρῶς τοῖς ὅλοις ἡττηθέντος καὶ κατὰ τὴν Ἀλεξάνδρειαν ἀναιρεθέντος, συστέλλεται μὲν ἡ τῶν ὑπάτων ἀρχὴ εἰς μοναρχίαν Καίσαρι τῷ Ἰουλίῳ, παύει δὲ τέλεον καὶ ἡ στάσις. ἐκείνου δὲ ἀνῃρημένου κατὰ Βρούτου καὶ Κασσίου τῶν ἀνελόντων πόλεμος ἐμφύλιος κινεῖται, χειριζομένων Λεπίδου τε καὶ Ἀντωνίου καὶ Ὀκταβιανοῦ τοῦ Αὐγούστου τὴν ὕπατον ἀρχὴν ἐχόντων. οὐ βραδέως δὲ τοῦ πολέμου κρίσιν τοῖς ὅπλοις λαβόντος, καὶ 542 νικηθέντων καὶ ἀναιρεθέντων τῶν περὶ Κάσσιον καὶ Βροῦτον, μετ' οὐ πολὺ ῥήγνυται εἰς τὸ φανερὸν ἡ ἐνδομυχοῦσα Αὐγούστου καὶ Ἀντωνίου ὑπὲρ τῆς φιλοπρωτίας ἅμιλλα. καὶ πολλῶν συγγενῶν αἱμάτων ἑκατέρωθεν ῥυέντων τὸ κράτος Αὐγούστῳ βεβαιοῦται, καὶ τῶν ὅλων ἡ ἐξουσία αὐτῷ παραμένει διὰ βίου, τῆς τῶν ὑπάτων λοιπὸν ἀρχῆς τὴν ἰδίαν τάξιν καὶ δυναστείαν ἀποβεβληκυίας.]

37. ἐγκαταλιπόντων] ἐγκαταλειπόντων A 46. — 542. 68. Photio recte tribuit Wesselingius, plura etiam de Romanorum rep. nectenti 67. ἰδίαν om. Amst.

## ΕΚ ΤΟΥ ΛΗ'

### πρὸς τῇ ἀρχῇ.

Ὅτι οἱ περὶ τὸν Κίνναν καὶ Μάριον συνεδρεύσαντες μετὰ τῶν ἐπιφανεστάτων ἡγεμόνων ἐβουλεύοντο ὅπως βεβαίως καταστήσωσι τὴν εἰρήνην· τέλος ἔδοξεν αὐτοῖς τοὺς ἐπιφανεστάτους τῶν ἐχθρῶν καὶ δυναμένους ἀμφισβητῆσαι πραγμάτων πάντας ἀποκτεῖναι, ὅπως καθαρᾶς γενομένης τῆς ἰδίας αἱρέσεως καὶ μερίδος ἀδεῶς τὸ λοιπὸν καὶ ὡς ἂν βούλωνται μετὰ τῶν φίλων διοικῶσι τὰ κατὰ τὴν ἡγεμονίαν. εὐθὺς οὖν τῶν μὲν γεγενημένων συνθέσεων καὶ πίστεων ἠμέλησαν, σφαγαὶ δὲ τῶν καταψηφισθέντων αὐτοῖς ἄκριτοι καὶ πανταχοῦ ἐγίνοντο. Κόϊντος δὲ Λουτάτιος ὁ Κάτλος, τεθριαμβευκὼς μὲν ἐπισήμως ἀπὸ Κίμβρων, ἀγαπώμενος δὲ ὑπὸ τῶν πολιτῶν περιττότερον, ὑπό τινος δημάρχου κατηγορίας ἐτύγχανεν ἐν τῷ δήμῳ θανάτου. φοβούμενος δὲ τὸν ἐκ τῆς συκοφαντίας κίνδυνον ἧκεν εἰς τὸν Μάριον, δεόμενος τυχεῖν βοηθείας. ὁ δὲ τὸ μὲν ἔμπροσθεν ἐγεγόνει φίλος, τότε δ' ἔκ τινος ὑποψίας ἀλλοτρίως ἔχων πρὸς αὐτὸν τοῦτο μόνον ἀπεκρίθη, Θανεῖν δεῖ. καὶ ὁ Κάτλος ἀπογνοὺς μὲν τὰς τῆς σωτηρίας ἐλπίδας, σπεύδων δὲ χωρὶς ὕβρεως καταστρέψαι τὸν βίον, ἑαυτὸν τοῦ ζῆν μετέστησεν ἰδίῳ τινὶ καὶ παρηλλαγμένῳ τρόπῳ. συγκλείσας ἑαυτὸν εἰς οἶκον νεόχριστον καὶ τὴν ἐκ τῆς κονίας ἀναφορὰν πυρὶ καὶ καπνῷ συναυξήσας, τῇ τῆς ἀναπνοῆς φθορᾷ περιπνιγὴς γενόμενος ἀπήλλαξεν.

542. 68. λη' Rhodomannus: libri μη' 69. — 95. Photius p. 381. a 16. — 40. 73. πραγμάτων A Amst., caeteri περὶ πραγμάτων 76. διοικῶσι A, caeteri διοικοῦσι 81. Κίμβρων] Σκίμβρων Amst. 89. τῆς addunt A Amst. 91. τρόπῳ] τόπῳ Amst. 94. περιπνιγὴς B et correctus A, caeteri περιπνιγεὶς

## ΕΚ ΤΟΥ Μ'.

### περὶ τὸ μέσον.

Ἡμεῖς δὲ μέλλοντες ἀναγράφειν τὸν πρὸς Ἰουδαίους πόλεμον οἰκεῖον εἶναι διαλαμβάνομεν προδιελθεῖν ἐν κεφαλαίοις τήν τε τοῦ ἔθνους τούτου ἐξ ἀρχῆς κτίσιν καὶ τὰ παρ' αὐτοῖς νόμιμα. κατὰ τὴν Αἴγυπτον τὸ παλαιὸν λοιμικῆς περιστάσεως γενομένης ἀνέπεμπον οἱ πολλοὶ τὴν αἰτίαν τῶν κακῶν ἐπὶ τὸ δαιμόνιον· πολλῶν γὰρ καὶ παντοδαπῶν κατοικούντων ξένων καὶ διηλλαγμέ-
543 νοις ἔθεσι χρωμένων περὶ τὸ ἱερὸν καὶ τὰς θυσίας, καταλελύσθαι συνέβαινε παρ' αὐτοῖς τὰς πατρίους τῶν θεῶν τιμάς. ὅπερ οἱ τῆς χώρας ἐγγενεῖς ὑπέλαβον, ἐὰν μὴ τοὺς ἀλλοφύλους μεταστήσωνται, κρίσιν οὐκ ἔσεσθαι τῶν κακῶν. εὐθὺς οὖν ξενηλατουμένων τῶν ἀλλοεθνῶν, οἱ μὲν ἐπιφανέστατοι καὶ δραστικώτατοι συστραφέντες ἐξερρίφησαν, ὥς τινές φασιν, εἰς τὴν Ἑλλάδα καί τινας ἑτέρους τόπους, ἔχοντες ἀξιολόγους ἡγεμόνας, ὧν ἡγοῦντο Δαναὸς καὶ Κάδμος τῶν ἄλλων ἐπιφανέστατοι· ὁ δὲ πολὺς λεὼς ἐξέπεσεν εἰς τὴν νῦν καλουμένην Ἰουδαίαν, οὐ πόρρω μὲν κειμένην τῆς Αἰγύπτου, παντελῶς δὲ ἔρημον οὖσαν κατ' ἐκείνους τοὺς χρόνους. ἡγεῖτο δὲ τῆς ἀποικίας ὁ προσαγορευόμενος Μωσῆς, φρονήσει τε καὶ ἀνδρείᾳ πολὺ διαφέρων. οὗτος δὲ καταλαβόμενος τὴν χώραν ἄλλας τε πόλεις ἔκτισε καὶ τὴν νῦν οὖσαν ἐπιφανεστάτην, ὀνομαζομένην Ἱεροσόλυμα. ἱδρύσατο δὲ καὶ τὸ μάλιστα παρ' αὐτοῖς τιμώμενον ἱερόν, καὶ τὰς τιμὰς καὶ ἁγιστείας τοῦ θείου κατέδειξε, καὶ τὰ κατὰ τὴν πο-

96. — 544. 76. Photius p. 380. a 8. — b 41. 98. τήν τε A, caeteri τὴν

543. 4. καὶ om. Amst. 6. ἐγγενεῖς] εὐγενεῖς A 8. ξενηλατουμ.] ξενηλαττουμ. Amst. 11. ἔχοντες A, caeteri ἔχοντας 17. τε margo ed. Hoesch., libri δὲ: tum πολλὴ omisit A 18. πολὺ A, caeteri πλεῖστον 20. οὖσαν ἐπιφανεστάτην om. B 22. ἁγιστείας A Amst, caeteri ἀγιαστείας

λιτείαν ἐνομοθέτησέ τε καὶ διέταξε. διεῖλε δὲ τὸ πλῆθος εἰς δώδεκα φυλὰς διὰ τὸ τὸν ἀριθμὸν τοῦτον τελειότατον νομίζεσθαι καὶ σύμφωνον εἶναι τῷ πλήθει τῶν μηνῶν τῶν τὸν ἐνιαυτὸν συμπληρούντων. ἄγαλμα δὲ θεῶν τὸ σύνολον οὐ κατεσκεύασε διὰ τὸ μὴ νομίζειν ἀνθρωπόμορφον εἶναι τὸν θεόν, ἀλλὰ τὸν περιέχοντα τὴν γῆν οὐρανὸν μόνον εἶναι θεὸν καὶ τῶν ὅλων κύριον. τὰς δὲ θυσίας ἐξηλλαγμένας συνεστήσατο τῶν παρὰ τοῖς ἄλλοις ἔθνεσι καὶ τὰς κατὰ τὸν βίον ἀγωγάς· διὰ γὰρ τὴν ἰδίαν ξενηλασίαν ἀπάνθρωπόν τινα καὶ μισόξενον βίον εἰσηγήσατο. ἐπιλέξας δὲ τῶν ἀνδρῶν τοὺς χαριεστάτους καὶ μάλιστα δυνησομένους τοῦ σύμπαντος ἔθνους προΐστασθαι, τούτους ἱερεῖς ἀπέδειξε· τὴν δὲ διατριβὴν ἔταξεν αὐτῶν γίνεσθαι περὶ τὸ ἱερὸν καὶ τὰς τοῦ θεοῦ τιμάς τε καὶ θυσίας. τοὺς αὐτοὺς δὲ καὶ δικαστὰς ἀπέδειξε τῶν μεγίστων κρίσεων, καὶ τὴν τῶν νόμων καὶ τῶν ἐθῶν φυλακὴν τούτοις ἐπέτρεψε· διὸ καὶ βασιλέα μὲν μηδέποτε τῶν Ἰουδαίων, τὴν δὲ τοῦ πλήθους προστασίαν δίδοσθαι διὰ παντὸς τῷ δοκοῦντι τῶν ἱερέων φρονήσει καὶ ἀρετῇ προέχειν. τοῦτον δὲ προσαγορεύουσιν ἀρχιερέα, καὶ νομίζουσιν αὐτοῖς ἄγγελον γίνεσθαι τῶν τοῦ θεοῦ προσταγμάτων. τοῦτον δὲ κατὰ τὰς ἐκκλησίας καὶ τὰς ἄλλας συνόδους φησὶν ἐκφέρειν τὰ παραγγελλόμενα, καὶ πρὸς τοῦτο τὸ μέρος οὕτως εὐπιθεῖς γίνεσθαι τοὺς Ἰουδαίους ὥστε παραχρῆμα πίπτοντας ἐπὶ τὴν γῆν προσκυνεῖν τὸν τούτοις ἑρμηνεύοντα ἀρχιερέα. προσγέγραπται δὲ καὶ τοῖς νόμοις ἐπὶ τελευτῆς ὅτι Μωσῆς [544] ἀκούσας τοῦ θεοῦ τάδε λέγει τοῖς Ἰουδαίοις. ἐποιήσατο δ' ὁ νομοθέτης τῶν τε πολεμικῶν ἔργων πολλὴν πρόνοιαν καὶ τοὺς νέους ἠνάγκαζεν ἀσκεῖν ἀνδρείαν τε καὶ καρτερίαν καὶ τὸ σύνολον ὑπομονὴν πάσης κακοπαθείας. ἐποιεῖτο δὲ καὶ στρατείας εἰς τὰ πλησιόχωρα τῶν ἐθνῶν, καὶ πολλὴν κατακτησάμενος χώραν κατεκληρούχησε, τοῖς μὲν ἰδιώταις ἴσους ποιήσας κλήρους, τοῖς δ' ἱερεῦσι μείζονας, ἵνα λαμβάνοντες ἀξιολογωτέρας προσόδους ἀπερίσπαστοι συνεχῶς προσεδρεύωσι ταῖς τοῦ θεοῦ τιμαῖς. οὐκ ἐξῆν δὲ τοῖς ἰδιώταις τοὺς ἰδίους κλή-

25. τελειότατον A, τελεώτατον caeteri 35. σύμπαντος B, caeteri συμπαρόντος 37. διατριβὴν A Amst., caeteri τριβὴν 44. τοῦτον δὲ A, caeteri τοῦτον 48. εὐπιθεῖς A, caeteri εὐπειθεῖς 51. τελευτῆς A, caeteri τῆς τελευτῆς
544. 55. ἀσκεῖν ἀνδρείαν τε καὶ καρτερίαν A, caeteri καρτερίαν (καρτερίας Amst.) τε καὶ ἀνδρείαν ἀσκεῖν 56. τὸ σύνολον om. Amst. ὑπομονὴν πάσης A, caeteri πάσης ὑπομονὴν 62. προσεδρεύωσι B Amst., caeteri προσεδρεύσωσι 63. δὲ om. primitus A



ρους πωλεῖν, ὅπως μή τινες διὰ πλεονεξίαν ἀγοράζοντες τοὺς κλήρους ἐκθλίβωσι τοὺς ἀπορωτέρους καὶ κατασκευάζωσιν ὀλιγανδρίαν. τεκνοτροφεῖν τε ἠνάγκαζε τοὺς ἐπὶ τῆς χώρας· καὶ δι' ὀλίγης δαπάνης ἐκτρεφομένων τῶν βρεφῶν ἀεὶ τὸ γένος τῶν Ἰουδαίων ὑπῆρχε πολυάνθρωπον. καὶ τὰ περὶ τοὺς γάμους δὲ καὶ τὰς τῶν τελευτώντων ταφὰς πολὺ τὸ παρηλλαγμένον ἔχειν ἐποίησε νόμιμα πρὸς τὰ τῶν ἄλλων ἀνθρώπων. κατὰ δὲ τὰς ὕστερον γενομένας ἐπικρατείας ἐκ τῆς τῶν ἀλλοφύλων ἐπιμιξίας ἐπί τε τῆς τῶν Περσῶν ἡγεμονίας καὶ τῶν ταύτην καταλυσάντων Μακεδόνων πολλὰ τῶν πατρίων τοῖς Ἰουδαίοις νομίμων ἐκινήθη.

Οὕτω μὲν κἀνταῦθά φησι περὶ τῶν παρὰ Ἰουδαίοις ἐθῶν τε καὶ νομίμων, καὶ αὐτῶν ἐκείνων τῆς ἐξ Αἰγύπτου ἀπαλλαγῆς καὶ τοῦ θείου Μωϋσέως, ψευδολογῶν τὰ πλεῖστα, καὶ διερχόμενος πρὸς τοὺς ἐλέγχους πάλιν ὧν κατεψεύσατο τῆς ἀληθείας, ἀναχώρησιν ἑαυτῷ μεθοδευσάμενος, εἰς ἕτερον καὶ νῦν ἀναφέρει τῶν εἰρημένων τὴν παριστορίαν· ἐπάγει γάρ. περὶ μὲν τῶν Ἰουδαίων Ἑκαταῖος ὁ Μιλήσιος ταῦτα ἱστόρηκεν.

71. ἔχειν om. A 72. γενομένας] ἐγνωσμένας B 73. ἐπί τε τῆς Bekkerus: libri ἐπὶ τετάρτης 75. Ἰουδαίοις] Ἰουδαίων Amst.

---

## ΕΚ ΤΗΣ ΙΣΤΟΡΙΑΣ 545

# ΔΙΟΔΩΡΟΥ ΣΙΚΕΛΙΩΤΟΥ

## ΕΚΛΟΓΑΙ ΠΕΡΙ ΑΡΕΤΗΣ ΚΑΙ ΚΑΚΙΑΣ.

---

Ὅτι παραδέδονται Κάστωρ καὶ Πολυδεύκης, οἱ καὶ Διόςκουροι, πολὺ τῶν ἄλλων ἀρετῇ διενεγκεῖν, καὶ συστρατεῦσαι τοῖς Ἀργοναύταις ἐπιφανέστατα· πολλοῖς δὲ δεομένοις ἐπικουρίας βεβοηθηκέναι. καθόλου δὲ ἐπ' ἀνδρείᾳ καὶ δικαιοσύνῃ, πρὸς δὲ τούτοις στρατηγίᾳ καὶ εὐσεβείᾳ παρὰ πᾶσι σχεδὸν ἀνθρώποις ἔσχον δόξαν, ἐπιφανεῖς βοηθοὶ τοῖς παρὰ λόγον κινδυνεύουσι γινόμενοι. διὰ δὲ τὴν ὑπερβολὴν τῆς ἀρετῆς Διὸς υἱοὺς νενομίσθαι, καὶ ἐξ ἀνθρώπων μεταστάντας τιμῶν τυχεῖν ἀθανάτων.

Ὅτι Ἐπωπεὺς βασιλεὺς Σικυῶνος τοὺς θεοὺς εἰς μάχην προκαλούμενος τὰ τεμένη καὶ τοὺς βωμοὺς αὐτῶν ἐλυμαίνετο.

Ὅτι φασὶ τὸν Σίσυφον πανουργίᾳ καὶ φιλοτεχνίᾳ διενεγκεῖν τῶν ἄλλων, καὶ διὰ τῆς ἱεροσκοπίας ἅπαντα 546 εὑρίσκειν καὶ προλέγειν τοῖς ἀνθρώποις.

Ὅτι ὁ Σαλμωνεὺς ἀσεβὴς καὶ ὑπερήφανος ἦν, καὶ τὸ θεῖον διέσυρε, τὰς δὲ αὐτοῦ πράξεις ὑπερέχειν τῶν τοῦ Διὸς ἀπεφαίνετο· διὸ καὶ κατασκευάζων διά τινος μηχανῆς ψόφον ἐξαίσιον καὶ μιμούμενον τὰς βροντὰς ἐβρόντα, καὶ οὔτε θυσίας οὔτε πανηγύρεις ἐτέλει.

Ὅτι ὁ αὐτὸς Σαλμωνεὺς ἔσχε θυγατέρα Τυρώ, ἥτις διὰ τὴν λευκότητα καὶ τὴν τοῦ σώματος μαλακότητα ταύτης τῆς προσηγορίας τέτευχεν.

Ὅτι Ἄδμητος ἐπὶ δικαιοσύνῃ καὶ εὐσεβείᾳ διενέγκας προςφιλὴς θεοῖς ἐγένετο. ἐπὶ τοσοῦτο δὲ δι' ἀρετὴν τιμηθῆναι ὥςτε τὸν Ἀπόλλωνα προςκόψαντα Διὶ δοθῆναι

545. 2. οἱ] οἳ V i. e. editio Valesii quatenus codicem reddit
546. 21. αὐτοῦ] αὐτοῦ V  28. τέτευχεν] τέτυχεν V et 26. ἔσχεν



θητεύειν παρὰ τὸν Ἄδμητον. φασὶ δὲ Ἄλκηστιν τὴν Πελίου θυγατέρα, μόνην τῆς κατὰ τὸν πατέρα ἀσεβείας οὐ μετασχοῦσαν, δοθῆναι γυναῖκα δι' εὐσέβειαν Ἀδμήτῳ.

Ὅτι Μελάμπους εὐσεβείᾳ διενεγκὼν φίλος ἐγένετο τοῦ Ἀπόλλωνος.

Ὅτι τῆς Τροίας ἁλούσης Αἰνείας μετά τινων καταλαβόμενος μέρος τῆς πόλεως τοὺς ἐπιόντας ἠμύνετο. τῶν δὲ Ἑλλήνων ὑποσπόνδους τούτους ἀφέντων, καὶ συγχωρησάντων ἑκάστῳ λαβεῖν ὅσα δύναιτο τῶν ἰδίων, οἱ μὲν ἄλλοι πάντες ἄργυρον ἢ χρυσὸν ἤ τινα τῆς ἄλλης πολυτελείας ἔλαβον, Αἰνείας δὲ τὸν πατέρα γεγηρακότα τελείως ἀράμενος ἐπὶ τοὺς ὤμους ἐξήνεγκεν. ἐφ' ᾧ θαυμασθεὶς ὑπὸ τῶν Ἑλλήνων ἔλαβεν ἐξουσίαν πάλιν ὃ βούλοιτο τῶν οἴκοθεν ἐκλέξασθαι. ἀνελομένου δὲ αὐτοῦ τὰ ἱερὰ τὰ πατρῷα, πολὺ μᾶλλον ἐπαινεθῆναι συνέβη τὴν ἀρετήν, καίπερ ὑπὸ πολεμίων ἐπισημασίας τυγχάνουσαν. ἐφαίνετο γὰρ ὁ ἀνὴρ ἐν τοῖς μεγίστοις κινδύνοις πλείστην φροντίδα πεποιημένος τῆς τε πρὸς γονεῖς ὁσιότητος καὶ τῆς πρὸς θεοὺς εὐσεβείας. διόπερ φασὶν αὐτῷ συγχωρηθῆναι μετὰ τῶν ὑπολειφθέντων Τρώων ἐκχωρῆσαι τῆς Τρῳάδος μετὰ πάσης ἀσφαλείας καὶ ὅπου βούλεται.

Ὅτι Ῥωμύλος Σιλούιος παρ' ὅλον τὸν βίον ὑπερήφανος γενόμενος ἡμιλλᾶτο πρὸς τὸν θεόν. βροντῶντος γὰρ αὐτοῦ ἐκέλευε τοὺς στρατιώτας ταῖς σπάθαις τύπτειν τὰς ἀσπίδας ὑφ' ἑνὸς συνθήματος, καὶ λέγειν ὡς ὁ παρ' αὐτῶν γινόμενος ψόφος εἴη μείζων. διὸ ἐκεραυνώθη.

Ὅτι ἐγένετο τύραννος κατὰ τὴν Κύμην τὴν πόλιν
547 ὄνομα Μάλακος, ὃς εὐδοκιμῶν παρὰ τοῖς πλήθεσι καὶ τοὺς δυνατωτάτους ἀεὶ διαβάλλων περιεποιήσατο τὴν δυναστείαν. καὶ τοὺς μὲν εὐπορωτάτους τῶν πολιτῶν ἀπέσφαξε, τὰς δὲ οὐσίας ἀναλαβὼν μισθοφόρους ἔτρεφε καὶ φοβερὸς ἦν τοῖς Κυμαίοις.

Ὅτι τηλικοῦτον περὶ τὸν Λυκοῦργον ἦν τῆς ἀρετῆς τὸ μέγεθος ὥςτε παραγενηθέντος εἰς Δελφοὺς αὐτοῦ τὴν Πυθίαν ἀποφθέγξασθαι ἔπη τάδε. (Ζήτει ἐν τῷ περὶ γνωμῶν.)

Ὅτι οἱ Λακεδαιμόνιοι τοῖς τοῦ Λυκούργου νόμοις ἐκ ταπεινῶν δυνατώτατοι ἐγένοντο τῶν Ἑλλήνων, τὴν δὲ ἡγεμονίαν διεφύλαξαν ἐπὶ ἔτη πλείω τῶν υ'. μετὰ δὲ ταῦτα ἐκ τοῦ κατ' ὀλίγον καταλύοντες ἕκαστον τῶν νο-

55. ὅπου] immo ὅποι  59. ὑφ'] aptius est ἀφ'
547. 74. υ'] φ' Wesselingius

μίμων, καὶ πρὸς τρυφὴν καὶ ῥᾳθυμίαν ἀποκλίνοντες, ἔτι δὲ διαφθαρέντες νομίσματι χρῆσθαι καὶ πλούτους ἀθροίζειν, ἀπέβαλον τὴν ἡγεμονίαν.

Ὅτι τῶν Ἠλείων πολυανδρουμένων καὶ νομίμως πολιτευομένων ὑφορᾶσθαι τοὺς Λακεδαιμονίους τὴν τούτων αὔξησιν, συγκατασκευάσαι τὸν κοινὸν βίον, ἵν᾽ εἰρήνης ἀπολαύοντες μηδεμίαν ἔχωσιν ἐμπειρίαν τῶν κατὰ πόλεμον ἔργων. καὶ καθιέρωσαν αὐτοὺς τῷ θεῷ συγχωρησάντων σχεδὸν ἁπάντων τῶν Ἑλλήνων. καὶ οὔτε ἐπὶ τῆς Ξέρξου στρατείας συνεστράτευσαν, ἀλλὰ ἀφείθησαν διὰ τὸ ἐπιμελεῖσθαι τῆς τοῦ θεοῦ τιμῆς, ἔτι δε καὶ κατ᾽ ἰδίαν ἐν τοῖς τῶν Ἑλλήνων ἐμφυλίοις πολέμοις οὐδεὶς αὐτοὺς παρηνόχλει διὰ τὸ πάντας τὴν χώραν καὶ τὴν πόλιν σπεύδειν ἱερὰν καὶ ἄσυλον φυλάττειν. ὕστερον δὲ πολλαῖς γενεαῖς καὶ στρατεῦσαι τούτους καὶ ἰδίᾳ πολέμους ἐπανελέσθαι.

Ὅτι τούτων ἐκτεθέντων, ἐπειδὴ τοῦ χρόνου προϊόντος ἠνδρώθησαν, πολὺ διέφερον τῶν ἄλλων κάλλει καὶ ῥώμῃ. διὸ καὶ πᾶσι τοῖς ποιμνίοις ἀσφάλειαν παρείχοντο, ῥᾳδίως τοὺς λῃστεύειν εἰωθότας ἀποκρουόμενοι, καὶ πολλοὺς μὲν ἀναιροῦντες τῶν ἐπιτιθεμένων, ἐνίους δὲ καὶ ζῶντας συλλαμβάνοντες. χωρὶς δὲ τῆς ἐν τούτῳ φιλοτιμίας ὑπῆρχον ἅπασι τοῖς πλησίον νομεῦσι προςφιλεῖς, ταῖς τε ὁμιλίαις συνόντες καὶ τὸν ἑαυτῶν τρόπον μέτριον καὶ κοινὸν τοῖς δεομένοις ἀναδεικνύντες. διὸ καὶ τῆς πάντων ἀσφαλείας ἐν τούτοις κειμένης, οἱ πλεῖστοι τούτοις ὑπετάττοντο καὶ τὸ παραγγελλόμενον ἐποίουν συντρέχοντες εἰς οὓς προςτάξαιεν τόπους.

Ὅτι Πολυχάρη Μεσσήνιον πλούτῳ καὶ γένει διαφέροντα συνθέσθαι μεθῶν κοινωνίαν πρὸς Εὔαιφνον 548 Σπαρτιάτην. ὃν εἰς ἐπιμέλειαν καὶ φυλακὴν παραλαβόντα τάς τε ἀγέλας καὶ τοὺς νομεῖς ἐπιχειρῆσαι μὲν πλεονεκτεῖν, καταφανῆ δὲ γενέσθαι. πωλήσαντα γὰρ ἐμπόροις τῶν τε βοῶν καὶ τῶν νομέων τινὰς ἐπ᾽ ἐξαγωγῇ προςποιηθῆναι τὴν ἀπώλειαν αὐτῶν ὑπὸ λῃστῶν γεγονέναι βιαίων. τοὺς δὲ ἐμπόρους εἰς Σικελίαν πλέοντας κομίζεσθαι παρὰ τὴν Πελοπόννησον. γενομένου δὲ χειμῶνος προςορμισθῆναι τῇ γῇ, καὶ τοὺς νομεῖς νυκτὸς ἀποβάντας διαδρᾶναι τῇ τῶν τόπων ἐμπειρίᾳ πιστεύσαντας.

79. ὑφορᾶσθαι] ὑφορωμένους Reiskius 83. Ξέρξου Salmasius, Ξέρξοι V συνεστράτευσαν] συνεστρατεύθησαν V 86. ἔτι Reiskius, ὅτι V 90. στρατεῦσαι] συστρατεῦσαι? 92. τούτων] Ῥῶμος καὶ Ῥέμος apponit margo V

548. 6. μεθῶν] νομῶν? 12. βιαίων] malim βιαίως



παραγενηθέντων δὲ αὐτῶν εἰς Μεσσήνην, καὶ τῷ κυρίῳ πᾶσαν τὴν ἀλήθειαν εἰπόντων, τὸν Πολυχάρη τούτους μὲν κρύψαι, τὸν δὲ κοινωνὸν ἐκ τῆς Σπάρτης μεταπέμψασθαι. διαβεβαιουμένου δὲ αὐτοῦ καὶ λέγοντος τῶν νομέων τοὺς μὲν ὑπὸ λῃστῶν ἀφηρπάσθαι, τοὺς δὲ τετελευτηκέναι, τὸν [δὲ] Πολυχάρη προάγειν τοὺς ἄνδρας. οὓς ἰδόντα τὸν Εὔαιφνον καταπλαγῆναι, καὶ φανερῶς ἐλεγχόμενον τραπῆναι πρὸς δέησιν, καὶ τάς τε βοῦς ἀποκαταστήσειν ἐπαγγελέσθαι καὶ πᾶσαν προέσθαι φωνὴν εἰς τὸ σωθῆναι. τὸν δὲ Πολυχάρη ἐντραπέντα τὴν ξενίαν κρύψαι τὴν πρᾶξιν, καὶ τὸν υἱὸν συναποστεῖλαι τῷ Σπαρτιάτῃ πρὸς τὸ τυχεῖν τῶν δικαίων. Εὔαιφνον δὲ καὶ τῶν ἐπαγγελιῶν ἐπιλαθέσθαι τόν τε εἰς Σπάρτην συνεκπεμφθέντα νεανίσκον ἀνελεῖν. οὗ συντελεσθέντος τὸν Πολυχάρη ὡς ἐπὶ τηλικούτοις ἀνομήμασιν ἀγανακτεῖν καὶ τὸν αἴτιον ἐξαιτεῖν. τοὺς δὲ Λακεδαιμονίους τούτῳ μὴ προςέχειν, τὸν δὲ υἱὸν Εὐαίφνου μετ᾽ ἐπιστολῆς εἰς Μεσσήνην ἀποστεῖλαι δηλοῦντα διότι Πολυχάρης εἰς Σπάρτην κατηγορεῖται περὶ ὧν ἔπαθεν ἐπί τε τῶν ἐφόρων καὶ τῶν βασιλέων. τὸν δὲ Πολυχάρη τυχόντα τῶν ἴσων τόν τε νεανίσκον ἀνελεῖν καὶ τὴν πόλιν ῥυσιάζειν.

Ὅτι Ἀρχίας ὁ Κορίνθιος ἐραστὴς ὢν Ἀκταίωνος τὸ μὲν πρῶτον προςέπεμπέ τινα τῷ παιδί, θαυμαστὰς ἐπαγγελίας ποιούμενος· οὐ δυνάμενος δὲ αὐτὸν ἀναλαβεῖν παρὰ τὴν τοῦ πατρὸς καλοκἀγαθίαν καὶ τὴν αὐτοῦ 549 τοῦ παιδὸς σωφροσύνην, ἤθροισε τῶν συνήθων τοὺς πλείστους, ὡς βιασόμενος τὸν ἐν χάριτι καὶ δεήσει μὴ ὑπακούοντα. τέλος δὲ μεθυσθεὶς μετὰ τῶν συμπαρακληθέντων ἐπὶ τοσοῦτον ἀνοίας προέπεσεν ὑπὸ τοῦ πάθους ὥςτε εἰς τὴν οἰκίαν ἐμπεσὼν τοῦ Μελίσσου τὸν παῖδα βιαίως ἀπήγαγεν. ἀντεχομένου δὲ τοῦ πατρὸς καὶ τῶν ἄλλων τῶν κατὰ τὴν οἰκίαν, παρ᾽ ἀμφοτέροις φιλοτιμίας βιαιοτέρας γενομένης ἔλαθεν ὁ παῖς ἐν ταῖς χερσὶ τῶν ἀντεχομένων ἀφεὶς τὴν ψυχήν· ὥςτε τὸ παράδοξον τῆς πράξεως ἀναλογιζομένους ἐλεεῖν ἅμα τὴν τοῦ παθόντος συμφορὰν καὶ θαυμάζειν τὴν τῆς τύχης περιπέτειαν. ᾧ γὰρ ὁ παῖς τῆς αὐτῆς ἐκείνης ἔτυχε προςηγορίας, τούτῳ τὴν ὁμοίαν τοῦ βίου καταστροφὴν ἔσχεν, ἑκατέρων ὑπὸ τῶν μάλιστα ἂν βοηθησόντων τοῦ ζῆν παραπλησίῳ τρόπῳ στερηθέντων.

22. δὲ delendum 36. κατηγορεῖται] κατηγορείτω Reiskius 37. Πολυχάρη Valesius, Εὔαιφνον V 41. προςέπεμπε Reiskius, προέπεμπε V

549. 48. προέπεσεν] προςέπεσεν V 59. βοηθησόντων] βοηθησάντων Schaeferus Melet. p. 126.

Ὅτι Ἀγαθοκλῆς ἐπιστάτης αἱρεθεὶς τῆς περὶ τὸν νεὼν τῆς Ἀθηνᾶς οἰκοδομίας τοὺς καλλίστους τῶν τεμνομένων λίθων ἐπιλεγόμενος τὴν μὲν δαπάνην ἐκ τῆς ἰδίας οὐσίας ἐποιεῖτο, τοῖς δὲ λίθοις καταχρησάμενος οἰκίαν ᾠκοδόμησε πολυτελῆ. ἐφ' οἷς πᾶσιν ἐπισημῆναι τὸ δαιμόνιον· κεραυνωθέντα γὰρ τὸν Ἀγαθοκλέα μετὰ τῆς οἰκίας καταφλεχθῆναι. οἱ δὲ Γεωμόροι ἔκριναν τὴν οὐσίαν αὐτοῦ δημοσίαν εἶναι, καίπερ τῶν κληρονόμων δεικνυόντων μηδὲν εἰληφότα τῶν ἱερῶν ἢ δημοσίων χρημάτων. τὴν δὲ οἰκίαν καθιερώσαντες ἄβατον τοῖς εἰςιοῦσιν ἐποίησαν· ὡς ἔτι καὶ νῦν ὀνομάζεται Ἐμβρονταῖον.

Ὅτι Πομπήλιος ὁ Ῥωμαίων βασιλεὺς πάντα τὸν τοῦ ζῆν χρόνον ἐν εἰρήνῃ διετέλεσε. λέγουσι δέ τινες ἀκουστὴν γενόμενον Πυθαγόρου παρ' ἐκείνου λαβεῖν τά τε περὶ θεῶν νομοθετήματα, καὶ πολλὰ διδαχθῆναι, δι' ὧν ἐπιφανὴς ἀνὴρ ἐγένετο καὶ βασιλεὺς ᾑρέθη μετάπεμπτος.

Ὅτι Δηιόκης ὁ Μήδων βασιλεὺς πολλῶν ἀνομημάτων γενομένων ἤσκει δικαιοσύνην καὶ ἄλλας ἀρετάς.

Ὅτι οἱ Συβαρῖται γαστρίδουλοί εἰσι καὶ τρυφηταί. τοσοῦτος δὲ ἦν ζῆλος παρ' αὐτοῖς τρυφῆς ὥςτε καὶ τῶν ἔξωθεν ἐθνῶν μάλιστα ἠγάπων Ἴωνας καὶ Τυῤῥηνούς, 550 ὅτι συνέβαινεν αὐτοὺς τοὺς μὲν τῶν Ἑλλήνων τοὺς δὲ τῶν βαρβάρων προέχειν τῇ κατὰ τὸ ζῆν πολυτελείᾳ.

Ὅτι Μινδυρίδης λέγεται περιουσιάσαι τρυφῇ παρὰ Συβαρίταις. οὗτος γάρ, Κλεισθένους τοῦ Σικυωνίων τυράννου νικήσαντος ἅρματι καὶ κηρύξαντος παραγενέσθαι τοὺς προαιρουμένους γαμεῖν τὴν αὐτοῦ θυγατέρα, δοκοῦσαν κάλλει διαφέρειν, ἀναχθῆναί τινα ἐκ Συβάρεως ἐν πεντηκοντόρῳ τοὺς ἐρέτας ἔχοντα ἰδίους οἰκέτας, ὧν εἶναι τοὺς μὲν ἁλιεῖς, τοὺς δὲ ὀρνιθοθήρας. παραγενόμενον δὲ εἰς Σικυῶνα ταῖς κατὰ τὴν οὐσίαν παρασκευαῖς οὐ μόνον τοὺς ἀντιμνηστεύσαντας ἀλλὰ καὶ τὸν τύραννον αὐτὸν ὑπερᾶραι, καίπερ τῆς πόλεως αὐτῷ πάσης συμφιλοτιμουμένης. ἐν δὲ τῷ μετὰ τὴν ἄφιξιν δείπνῳ προςιόντος τινός, ὅπως κατακλιθῇ πρὸς αὐτόν, εἰπεῖν ὅτι κατὰ τὸ κήρυγμα πάρεστιν ἢ μετὰ τῆς γυναικὸς ἢ μόνος κατακλιθησόμενος.

Ὅτι Ἱππομένης ὁ τῶν Ἀθηναίων ἄρχων, τῆς θυγατρὸς αὐτοῦ φθαρείσης ὑπό τινος, τιμωρίαν ἔλαβε παρ'

66. ἐπισημῆναι Wesselingius, ἐπιφανῆναι V 70. ἱερῶν ἢ Reiskius, ἱερῶν V

550. 85. ὅτι] „in ms. id a capite scribitur“ VALES. 89. οὗτος] τοῦτον, deleto τινα v. 93., Reiskius 94. ὧν εἶναι] „Salmasius in schedis ὠνεῖται legi monet“ WESSELING.



αὐτῆς ἀνήκεστον καὶ παρηλλαγμένην· μεθ' ἵππου γὰρ αὐτὴν εἰς οἰκίσκον τινὰ συγκλείσας, καὶ τὴν τροφὴν παρελόμενος ἐπί τινας ἡμέρας, ἠνάγκασε τὸ ζῷον διὰ τὴν ἔνδειαν ἀναλῶσαι τὸ σῶμα τῆς παραβληθείσης.

Ὅτι Ἀρκεσίλαος ὁ τῶν Κυρηναίων βασιλεὺς δεινοπαθήσας ἐπὶ ταῖς συμφοραῖς ἐπηρώτα εἰς Δελφούς. ἔχρησε δὲ ὁ θεὸς ὅτι θεῶν ἐστι μῆνις· τοὺς γὰρ ὕστερον βασιλεῖς οὐχ ὁμοίως ἄρχειν τῷ πρώτῳ Βάττῳ. ἐκεῖνον μὲν γὰρ αὐτῇ τῇ προςηγορίᾳ τοῦ βασιλέως ἀρκούμενον ἐπιεικῶς ἄρξαι καὶ δημοτικῶς, καὶ τὸ μέγιστον τηροῦντα τὰς πρὸς τοὺς θεοὺς τιμάς· τοὺς δὲ ὕστερον ἀεὶ τυραννικώτερον δυναστεύοντας ἐξιδιοποιήσασθαι μὲν τὰς δημοσίας προςόδους, ὀλιγωρῆσαι δὲ τῆς πρὸς τὸ θεῖον εὐσεβείας.

Ὅτι τῆς τῶν Κυρηναίων στάσεως διαιτητὴς ἐγένετο Δημῶναξ Μαντινεύς, συνέσει καὶ δικαιοσύνῃ δοκῶν 551 διαφέρειν. οὗτος οὖν πλεύσας εἰς Κυρήνην, καὶ παρὰ πάντων λαβὼν τὴν ἐπιτροπήν, διέλυσε τὰς πόλεις ἐπὶ τούτοις.

Ὅτι Λεύκιος Ταρκύνιος ὁ τῶν Ῥωμαίων βασιλεὺς σπουδαίας ἔτυχεν ἀγωγῆς, καὶ γενόμενος ζηλωτὴς παιδείας οὐ μετρίως δι' ἀρετὴν ἐθαυμάζετο. ἀνδρωθεὶς γὰρ συνεστάθη τῷ βασιλεῖ τῶν Ῥωμαίων Ἄγκῳ Μαρκίῳ, καὶ φίλος αὐτοῦ μέγιστος ἐγένετο, καὶ πολλὰ τῶν κατὰ τὴν βασιλείαν συνδιῴκει τῷ βασιλεῖ. καὶ μεγαλόπλουτος ὢν πολλοῖς τῶν ἀπόρων ἐβοήθει χρήματα διδούς, καὶ πᾶσι προςφιλῶς ὁμιλῶν ἄμεμπτος ἦν καὶ ἔνδοξος ἐπὶ σοφίᾳ.

Ἦν δὲ πατρὸς μὲν Ἐξηκεστίδου, τὸ γένος ἐκ Σαλαμῖνος τῆς Ἀττικῆς, σοφίᾳ δὲ καὶ παιδείᾳ πάντας τοὺς καθ' ἑαυτὸν ὑπερβεβηκώς. φύσει δὲ πρὸς ἀρετὴν τῶν ἄλλων πολὺ διαφέρων ἐζήλωσεν ἀρετὴν ἐπαινουμένην· πᾶσι γὰρ τοῖς μαθήμασι πολὺν χρόνον ἐνδιατρίψας ἀθλητὴς ἐγένετο πάσης ἀρετῆς. κατὰ μὲν γὰρ τὴν τοῦ παιδὸς ἡλικίαν παιδευταῖς ἐχρήσατο τοῖς ἀρίστοις, ἀνδρωθεὶς δὲ συνδιέτριψε τοῖς μεγίστην ἔχουσι δύναμιν ἐπὶ φιλοσοφίᾳ. διὸ καὶ τούτοις ὁμιλῶν καὶ συνδιατρίβων ὠνομάσθη μὲν εἷς ἑπτὰ σοφῶν, καὶ τὸ πρωτεῖον τῆς συνέσεως οὐ μόνον παρὰ τούτοις τοῖς ἀνδράσιν ἀλλὰ καὶ παρὰ πᾶσι τοῖς θαυμαζομένοις ἀπηνέγκατο.

Ὅτι ὁ αὐτὸς Σόλων, ἐν τῇ νομοθεσίᾳ μεγάλην δόξαν περιποιησάμενος, ἐν ταῖς ἰδιωτικαῖς ὁμιλίαις καὶ

12. ἔχρησεν V 14. 41. τοῦ dele 21. Δημῶναξ] Δημώναξ V

551. 35. δὲ] δὲ καὶ MS. Salmasii: ad marginem Σόλων apponit V 39. ἀρετὴν] ἀγωγὴν? 45. ἑπτὰ] τῶν ἑπτὰ Reiskius

ἀποκρίσεσιν ἔτι δὲ συμβουλίαις θαυμαστὸς ἐτύγχανε διὰ τὴν ἐν παιδείᾳ προκοπήν.

Ὅτι ὁ αὐτὸς Σόλων, τὴν ὅλην ἀγωγὴν τῆς πόλεως ἐχούσης Ἰωνικήν, καὶ διὰ τὴν τρυφὴν καὶ τὴν ῥαστώνην ἐκτεθηλυμένων τῶν Ἀθηναίων, μετέθηκε τῇ συνηθείᾳ πρὸς ἀρετὴν καὶ ζῆλον τῶν ἀνθρωπίνων πράξεων. διὸ τῇ τούτου νομοθεσίᾳ καθοπλισθέντες τὰς ψυχὰς Ἁρμόδιος καὶ Ἀριστογείτων καταλύειν ἐπεχείρησαν τὴν τῶν Πεισιστρατιδῶν ἀρχήν.

Ὅτι Μύσων τις ἦν Μαλιεύς, ὃς ᾤκει ἐν κώμῃ Χηνὰς καλουμένῃ, τὸν ἅπαντα χρόνον ἐν ἀγρῷ διατρίβων 552 καὶ ὑπὸ τῶν πολλῶν ἀγνοούμενος. ὃν ἀντειςῆξαν εἰς τοὺς ἑπτὰ σοφούς, ἐκκρίναντες τὸν Περίανδρον τὸν Κορίνθιον διὰ τὸ τύραννον γεγονέναι πικρόν.

Ὅτι Χίλων τῷ λόγῳ σύμφωνον ἔσχε τὸν βίον, ὅπερ σπανίως εὕροι τις ἂν γινόμενον. τῶν γὰρ καθ' ἡμᾶς φιλοσόφων τοὺς πλείστους ἰδεῖν ἔστι λέγοντας μὲν τὰ κάλλιστα, πράττοντας δὲ τὰ χείριστα, καὶ τὴν ἐν ταῖς ἀπαγγελίαις αὐτῶν σεμνότητα καὶ σύνεσιν διὰ τῆς πείρας ἐλεγχομένην. ὁ δὲ Χίλων χωρὶς τῆς κατὰ τὸν βίον ἐν ἅπασι τοῖς πραττομένοις ἀρετῆς πολλὰ διενοήθη καὶ ἀπεφθέγξατο μνήμης ἄξια.

Ὅτι Πιττακὸς ὁ Μιτυληναῖος οὐ μόνον ἐν σοφίᾳ θαυμαστὸς ἦν, ἀλλὰ καὶ πολίτης ἐγένετο τοιοῦτος οἷον ἕτερον οὐκ ἤνεγκεν ἡ νῆσος, δοκῶ δ' οὐδ' ἂν ὕστερον ἐνέγκαι, μέχρι ἂν τὸν οἶνον φέρῃ πλείω τε καὶ ἡδίω. νομοθέτης τε γὰρ ἀγαθὸς ὑπῆρχε κἀν τοῖς κατὰ μέρος πρὸς τοὺς πολίτας κοινὸς καὶ φιλάνθρωπος, καὶ τὴν πατρίδα τριῶν τῶν μεγίστων συμφορῶν ἀπέλυσε, τυραννίδος, στάσεως, πολέμου.

Ὅτι Πιττακὸς βαθὺς ἦν καὶ ἥμερος καὶ τὴν παραίτησιν ἔχων αὐτὸς ἐν αὑτῷ. διὸ δὴ πᾶσιν ἐδόκει τέλειος ἀνὴρ εἶναι πρὸς πᾶσαν ἀρετὴν ὁμολογουμένως. κατὰ μὲν γὰρ τὴν νομοθεσίαν ἐφαίνετο πολιτικὸς καὶ φρόνιμος, κατὰ δὲ τὴν πίστιν δίκαιος, κατὰ δὲ τὴν ἐν τοῖς ὅπλοις ὑπεροχὴν ἀνδρεῖος, κατὰ δὲ τὴν πρὸς τὸ κέρδος μεγαλοψυχίαν ἀφιλάργυρος.

Ὅτι φασὶν οἱ Πριηνεῖς ὅτι Μεσσηνίας τὸ γένος ἐπισήμους παρθένους λυτρωσάμενος ὁ Βίας παρὰ λῃστῶν

55. ἀνθρωπίνων] sententia postulat ἀῤῥενωπῶν, vel quae Reiskius hariolabatur ἀνδρείων s. ἀνδρωδῶν 59. Χηνὰς] εἰς κώμην Χηνὰς καλουμένην est Exc. Vatic. p. 18. 25., hic uterque casus permiscetur

552. 69. ἀπαγγελίαις Wesselingius, ἐπαγγελίαις V 73. Πίτταχος V 83. αὑτῷ] αὐτῷ V



ἦγεν ὡς ἰδίας θυγατέρας ἐντίμως. μετὰ δέ τινας χρόνους παραγενομένων τῶν συγγενῶν κατὰ ζήτησιν, ἀπέδωκεν αὐτὰς οὔτε τροφεῖα πραξάμενος οὔτε λύτρα, τοὐναντίον δὲ τῶν ἰδίων πολλὰ δωρησάμενος. εἶχον οὖν πρὸς αὐτὸν αἱ κόραι πατρικὴν εὔνοιαν διά τε τὴν συντροφίαν καὶ τὸ μέγεθος τῆς εὐεργεσίας, ὥςτε καὶ χωρισθεῖσαι μετὰ τῶν ἰδίων εἰς τὴν πατρίδα τῆς ὑπερορίου χάριτος οὐκ ἐπελάθοντο.

Ὅτι σαγηνεῖς Μεσσήνιοι κατὰ τὸν βόλον ἕτερον μὲν οὐδὲν ἀνείλκυσαν, χαλκοῦν δὲ τρίποδα μόνον ἐπιγραφὴν ἔχοντα Τῷ σοφωτάτῳ. ἀναχθέντος δὲ τοῦ κατασκευάσματος δοθῆναι τῷ Βίαντι.

Ὅτι Βίας ἦν δεινότατος καὶ τῷ λόγῳ πρωτεύων τῶν καθ' ἑαυτόν. κατεχρήσατο δὲ τῇ τοῦ λέγειν δυνάμει πολλοῖς ἀνάπαλιν· οὐ γὰρ εἰς μισθαρνίαν οὐδὲ εἰς προσόδους ἀλλ' εἰς τὴν τῶν ἀδικουμένων κατετίθετο βοήθειαν. ὅπερ ἂν σπανιώτατον ἄν τις εὕροι.

Ὅτι Κῦρος ὁ Καμβύσου μὲν υἱὸς καὶ Μανδάνης τῆς θυγατρὸς Ἀστυάγους τοῦ Μήδων βασιλέως ἀνδρείᾳ καὶ συνέσει καὶ ταῖς ἄλλαις ἀρεταῖς ἐπρώτευε τῶν καθ' αὑ-553τόν. βασιλικῶς γὰρ αὐτὸν ὁ πατὴρ ἦγε παιδεύων, ζῆλον ἐμποιῶν τῶν κρατίστων. καὶ ἔκδηλος ἦν ἁδρῶν ἁψόμενος πραγμάτων διὰ τὸ τὴν ἀρετὴν προφαίνειν ὑπὲρ τὴν ἡλικίαν.

Ὅτι Ἀστυάγης ὁ τῶν Μήδων βασιλεὺς ἡττηθεὶς καὶ φυγὼν αἰσχρῶς δι' ὀργῆς εἶχε τοὺς στρατιώτας· καὶ τοὺς μὲν ἐφ' ἡγεμονιῶν τεταγμένους ἅπαντας ἀπαλλάξας ἑτέρους ἀντ' ἐκείνων κατέστησε, τοὺς δὲ τῆς φυγῆς αἰτίους ἅπαντας ἐπιλέξας ἀπέσφαξε, νομίζων τῇ τούτων τιμωρίᾳ τοὺς ἄλλους ἀναγκάσειν ἄνδρας ἀγαθοὺς ἐν τοῖς κινδύνοις γενέσθαι· ὠμὸς γὰρ ἦν καὶ φύσει ἀπηνής. οὐ μὴν τὰ πλήθη κατεπλάγη αὐτοῦ τὴν βαρύτητα, ἀλλ' ἕκαστος μισήσας τὸ βίαιον καὶ παράνομον τῆς πράξεως μεταβολῆς ὠρέγετο. διὸ καὶ κατὰ λόγους ἐγίνοντο συνδρομαὶ καὶ λόγοι ταραχώδεις, παρακαλούντων ἀλλήλους τῶν πλείστων πρὸς τὴν κατὰ τούτων τιμωρίαν.

Ὅτι Κῦρος, ὥς φασιν, οὐ μόνον ην κατὰ τὸν πόλεμον ἀνδρεῖος, ἀλλὰ καὶ πρὸς τοὺς ὑποτεταγμένους εὐγνώμων καὶ φιλάνθρωπος. διόπερ αὐτὸν οἱ Πέρσαι προςηγόρευσαν πατέρα.

Ὅτι Ἄδραστός τις Φρὺξ τὸν τοῦ βασιλέως Κροίσου τοῦ Λυδίου υἱὸν πρὸς κυνηγίαν ἀκουσίως, ἐξακοντίσας

552. 97. τῆς ed. Wess., τῆς τῆς V 7. ἂν unum dele

553. 14. ἀδρῶν V 26. λόγους] λόχους vertit Valesius, sed verum videtur κατ' ὀλίγους 28. τούτων] τούτου Reiskius

κατὰ συός, Ἄτυν καλούμενον πλήξας ἀπέκτεινε. καὶ ὁ μὲν καὶ ἀκουσίως ἀνῃρηκὼς οὐκ ἔφησεν ἑαυτὸν ἔτι ζῆν ἄξιον εἶναι. διὸ καὶ παρεκάλει τὸν βασιλέα μὴ φείσασθαι, τὴν ταχίστην δὲ ἐπικατασφάττειν τῷ τοῦ τετελευτηκότος τάφῳ. ὁ δὲ Κροῖσος τὴν μὲν ἀρχὴν ὡς ἂν ἐπὶ φόνῳ τέκνου δι᾽ ὀργῆς εἶχε τὸν Ἄδραστον, ἀπειλῶν ζῶντα κατακαύσειν. ἐπεὶ δὲ αὐτὸν ἑώρα προθυμούμενον καὶ εἰς τὴν τοῦ τετελευτηκότος τιμὴν τὸ ζῆν ἐπιδιδόντα, τὸ τηνικαῦτα λήξας τῆς ὀργῆς ἀπέλυσε τῆς τιμωρίας τὸν ἀνελόντα, τὴν ἰδίαν τύχην ἀλλ᾽ οὐ τὴν ἐκείνου προαίρεσιν αἰτιώμενος. ὁ δὲ Ἄδραστος οὐδὲν ἧττον κατ᾽ ἰδίαν ἐπὶ τὸν Ἄτυος τάφον πορευθεὶς ἑαυτὸν κατέσφαξεν.

Ὅτι Κροῖσος ὁ τῶν Λυδῶν βασιλεὺς προςποιησάμενος εἰς Δελφοὺς πέμπειν ἔπεμπεν εἰς Πελοπόννησον Εὐρύβατον τὸν Ἐφέσιον, δοὺς αὐτῷ χρυσίον, ὅπως ὡς πλείστους ξενολογήσῃ τῶν Ἑλλήνων. ὁ δὲ πεμφθεὶς πρὸς Κῦρον τὸν Πέρσην ἀποχωρήσας τὰ κατὰ μέρος ἐδήλωσε. διὸ καὶ παρὰ τοῖς Ἕλλησιν ἐπισήμου γενομένης τῆς περὶ τὸν Εὐρύβατον πονηρίας, μέχρι τοῦ νῦν, ὅταν τις ὀνειδίσαι τινὶ βούληται μοχθηρίαν, Εὐρύβατον ἀποκαλεῖ.

Ὅτι Κῦρος εὐσεβῆ νομίσας εἶναι τὸν Κροῖσον διὰ τὸ καταῤῥαγῆναι ὄμβρον καὶ σβέσαι τὴν φλόγα, καὶ διὰ μνήμης ἔχων τὴν Σόλωνος ἀπόκρισιν, μεθ᾽ ἑαυτοῦ περιῆγε τὸν Κροῖσον ἐντίμως. μετέδωκε δὲ αὐτῷ καὶ τοῦ συνεδρίου, διαλαμβάνων ὑπάρχειν συνετόν, ὡς ἂν πολλοῖς καὶ πεπαιδευμένοις καὶ σοφοῖς ἀνδράσι συμβεβιωκότα.

Ὅτι Σερούιος Τύλλιος ὁ Ῥωμαίων βασιλεὺς ἐβασίλευσεν ἔτη τετταράκοντα τέτταρα, διὰ τῆς ἰδίας ἀρετῆς κατωρθωκὼς οὐκ ὀλίγα τῶν κοινῶν.

Ὅτι ἐπ᾽ ἄρχοντος Ἀθήνησι Θηρικλέους κατὰ τὴν ἑξη- 554
κοστὴν πρώτην Ὀλυμπιάδα Πυθαγόρας ὁ φιλόσοφος ἐγνωρίζετο, προκεκοφὼς ἤδη ἐν παιδείᾳ. γέγονε γὰρ ἱστορίας ἄξιος, εἰ καί τις ἕτερος τῶν περὶ παιδείαν διατριψάντων. γέγονε δὲ Σάμιος τὸ γένος· οἱ δέ φασιν ὅτι Τυῤῥηνός. τοσαύτη δ᾽ ἦν ἐν τοῖς αὐτοῦ λόγοις πειθὼ καὶ χάρις ὡς καὶ τῆς πόλεως σχεδὸν ὅλης ἐπ᾽ αὐτὸν ἐπιστρεφούσης καθ᾽ ἡμέραν ὡςπερεὶ πρός τινος θεοῦ παρουσίαν ἅπαντας συντρέχειν ἐπὶ τὴν ἀκρόασιν. οὐ μόνον δὲ περὶ τὴν ἐν τῷ λέγειν δύναμιν ἐφαίνετο μέγας, ἀλλὰ καὶ ψυχῆς ἐνέφαινεν ἦθος κατεσταλμένον καὶ πρὸς μίμησιν βίου σώφρονος τοῖς νέοις θαυμαστὸν ἀρχέτυπον, καὶ τοὺς ἐντυγχάνοντας ἀπέτρεπεν ἀπὸ τῆς πολυτελείας καὶ τρυφῆς, ἁπάν-

553. 65. μδ´ V 67. ξα´ V



των διὰ τὴν εὐπορίαν ἐκκεχυμένων εἰς ἄνεσιν καὶ διαφθορὰν ἀγεννῆ τοῦ σώματος καὶ ψυχῆς.

Ὅτι Πυθαγόρας πυθόμενος τὸν Φερεκύδην τὸν ἐπιστάτην αὐτοῦ γεγενημένον ἐν Δήλῳ νοσεῖν καὶ τελέως ἐσχάτως ἔχειν, ἔπλευσεν ἐκ τῆς Ἰταλίας εἰς τὴν Δῆλον. ἐκεῖ δὲ χρόνον ἱκανὸν τὸν ἄνδρα γηροτροφήσας πᾶσαν εἰςηνέγκατο σπουδὴν ὥςτε τὸν πρεσβύτην ἐκ τῆς νόσου διασῶσαι. κατισχυθέντος δὲ τοῦ Φερεκύδου διὰ τὸ γῆρας καὶ διὰ τὸ μέγεθος τῆς νόσου, περιέστειλεν αὐτὸν κηδεμονικῶς, καὶ τῶν νομιζομένων ἀξιώσας ὡςανεί τις υἱὸς πατέρα πάλιν ἐπανῆλθεν εἰς τὴν Ἰταλίαν.

Ὅτι ἐπειδάν τινες τῶν συνήθων ἐκ τῆς οὐσίας ἐκπέσοιεν, διῃροῦντο τὰ χρήματα αὐτῶν ὡς πρὸς ἀδελφούς. οὐ μόνον δὲ πρὸς τοὺς καθ᾽ ἡμέραν συμβιοῦντας τῶν γνωρίμων τοιαύτην εἶχον τὴν διάθεσιν, ἀλλὰ καθόλου πρὸς πάντας τοὺς τῶν πραγμάτων τούτων μετασχόντας.

Ὅτι Κλεινίας, Ταραντῖνος τὸ γένος, εἷς δὲ τῶν ἐκ τοῦ προειρημένου συστήματος ὤν, πυθόμενος Πρῶρον τὸν Κυρηναῖον διά τινα πολιτικὴν περίστασιν ἀπολωλεκότα τὴν οὐσίαν καὶ τελέως ἀπορούμενον, ἐξεδήμησεν ἐκ τῆς Ἰταλίας εἰς Κυρήνην μετὰ χρημάτων ἱκανῶν, καὶ τὴν οὐσίαν ἀπεκατέστησε τῷ προειρημένῳ, οὐδέποτε τοῦτον ἑωρακώς, ἀκούων δὲ μόνον ὅτι Πυθαγόρειος ἦν. καὶ ἄλλοι δὲ πολλοὶ τὸ παραπλήσιον πεποιηκότες διαμνημονεύονται. οὐ μόνον δὲ ἐν τῇ τῶν χρημάτων ἐπιδόσει τοιούτους αὑτοὺς παρείχοντο τοῖς γνωρίμοις, ἀλλὰ καὶ κατὰ τοὺς ἐπισφαλεστάτους καιροὺς συνεκινδύνευον. καὶ γὰρ Διονυσίου τυραννοῦντος Φιντίας τις Πυθαγόρειος ἐπιβεβουλευκὼς τῷ τυράννῳ, μέλλων δὲ τῆς τιμωρίας τυγχάνειν, ᾐτήσατο παρὰ τοῦ Διονυσίου χρόνον εἰς τὸ περὶ τῶν ἰδίων πρότερον ἃ βούλεται διοικῆσαι· δώσειν δ᾽ ἔφησεν ἐγγυητὴν τοῦ θανάτου τῶν φίλων ἕνα. τοῦ δὲ δυνάστου θαυμάσαντος εἰ τοιοῦτός ἐστι φίλος ὃς ἑαυτὸν εἰς τὴν εἱρκτὴν ἀντ᾽ ἐκείνου παραδώσει, προεκαλέσατό τινα τῶν γνωρίμων ὁ Φιντίας,
555 Δάμωνα ὄνομα, Πυθαγόρειον φιλόσοφον, ὃς οὐδὲ διστάσας ἔγγυος εὐθὺς ἐγενήθη θανάτου. τινὲς μὲν οὖν ἐπῄνουν τὴν ὑπερβολὴν τῆς πρὸς τοὺς φίλους εὐνοίας, τινὲς δὲ τοῦ ἐγγύου προπέτειαν καὶ μανίαν κατεγίνωσκον. πρὸς δὲ τὴν τεταγμένην ὥραν ἅπας ὁ δῆμος συνέδραμεν, καραδοκῶν εἰ φυλάξει τὴν πίστιν ὁ καταστή-

554. 88 εἰςενέγκατο V 89. κατισχυθέντος Reiskius, κατισχύσαντος V 95. αὐτῶν V 98. πραγμάτων] προςταγμάτων Wesselingius 100. Κλινίας V 18. εἱρκτὴν] εἰρκτὴν V

σας. ἤδη δὲ τῆς ὥρας συγκλειούσης, πάντες μὲν ἀπεγίγνωσκον, ὁ δὲ Φιντίας ἀνελπίστως ἐπὶ τῆς ἐσχάτης τοῦ χρόνου ῥοπῆς δρομαῖος ἦλθε, τοῦ Δάμωνος ἀπαγομένου πρὸς τὴν ἀνάγκην. θαυμαστῆς δὲ τῆς φιλίας φανείσης ἅπασιν, ἀπέλυσεν ὁ Διονύσιος τῆς τιμωρίας τὸν ἐγκαλούμενον, καὶ παρεκάλεσε τοὺς ἄνδρας τρίτον ἑαυτὸν εἰς τὴν φιλίαν προςλαβέσθαι.

Ὅτι οἱ Πυθαγόρειοι καὶ τῆς μνήμης μεγίστην γυμνασίαν ἐποιοῦντο, τοιοῦτόν τινα τρόπον τῆς μελέτης ὑποστησάμενοι. οὐ πρότερον ἐκ τῆς εὐνῆς ἠγείροντο πρὶν ἂν πρὸς ἑαυτοὺς ἀνθωμολογήσαντο τὰ κατὰ τὴν προτέραν ἡμέραν αὐτοῖς πραχθέντα, τὴν ἀρχὴν ἀπὸ τῆς πρωίας, τὴν δὲ τελευτὴν ἕως ἑσπέρας ποιούμενοι. εἰ δ' ἀναστροφὴν ἔχοιεν καὶ πλείονα σχολὴν ἄγοιεν, καὶ τὰ τρίτῃ καὶ τετάρτῃ καὶ ταῖς ἔτι πρότερον ἡμέραις πραχθέντα προςανελάμβανον. τοῦτο πρὸς ἐπιστήμην καὶ φρόνησιν ἔτι δὲ τῶν πάντων ἐμπειρίαν τε τοῦ δύνασθαι πολλὰ μνημονεύειν.

Ὅτι ἐποιοῦντο καὶ τῆς ἐγκρατείας γυμνασίαν τόνδε τὸν τρόπον. παρασκευασάμενοι πάντα τὰ κατὰ τὰς λαμπροτάτας ἑστιάσεις παρατιθέμενα πολὺν αὐτοῖς ἐνέβλεπον χρόνον· εἶτα διὰ τῆς θέας τὰς τῆς φύσεως ἐπιθυμίας πρὸς τὴν ἀπόλαυσιν ἐκκαλεσάμενοι τὰς τραπέζας ἐκέλευον αἴρειν τοὺς παῖδας, καὶ παραχρῆμα ἄγευστοι τῶν παρατεθέντων ἐχωρίζοντο.

Ὅτι Πυθαγόρας παρήγγελλε τοῖς μανθάνουσι σπανίως μὲν ὀμνύναι, χρησαμένους δὲ τοῖς ὅρκοις πάντως ἐμμένειν.

Ὅτι ὁ αὐτὸς Πυθαγόρας καὶ περὶ τῶν ἀφροδισίων ἐκλογιζόμενος τὸ συμφέρον παρήγγελλε κατὰ μὲν τὸ θέρος μὴ πλησιάζειν γυναιξί, κατὰ δὲ τὸν χειμῶνα προςιέναι τεταμιευμένως. καθόλου γὰρ τὸ γένος τῶν ἀφροδισίων ὑπελάμβανεν εἶναι βλαβερόν, τὴν δὲ συνέχειαν αὐτῶν τελέως ἀσθενείας καὶ ὀλέθρου ποιητικὴν ἐνόμιζε.

Ὅτι ὁ αὐτὸς Πυθαγόρας παρήγγελλε πρὸς τοὺς θεοὺς προςιέναι τοὺς θύοντας μὴ πολυτελεῖς ἀλλὰ λαμπρὰς καὶ καθαρὰς ἔχοντας ἐσθῆτας, ὁμοίως δὲ μὴ μόνον τὸ σῶμα καθαρὸν παρεχομένους πάσης ἀδίκου πράξεως, ἀλλὰ καὶ τὴν ψυχὴν ἁγνεύουσαν.

Ὅτι ὁ αὐτὸς πολλὰ καὶ ἄλλα διαλεγόμενος πρὸς βίου σώφρονος ζῆλον καὶ πρὸς ἀνδρείαν τε καὶ καρτε-

34. Πυθαγόρειοι] Πυθαγόριοι V 41. καὶ τὰ] καὶ V: extrema mutila sunt 64. ἐσθῆτας V



ρίαν ἔτι δὲ τὰς ἄλλας ἀρετάς, ἴσα θεοῖς παρὰ τοῖς Κροτωνιάταις ἐτιμᾶτο.

556 Ὅτι Κροτωνιάτης τις Κύλων ὄνομα, τῇ οὐσίᾳ καὶ δόξῃ πρῶτος τῶν πολιτῶν, ἐπεθύμησε Πυθαγόρειος γενέσθαι. ὢν δὲ χαλεπὸς καὶ βίαιος τὸν τρόπον ἔτι δὲ στασιαστὴς καὶ τυραννικός, ἀπεδοκιμάσθη. παροξυνθεὶς οὖν τῷ συστήματι τῶν Πυθαγορείων ἑταιρείαν μεγάλην συνεστήσατο, καὶ διετέλει πάντα καὶ λέγων καὶ πράττων κατ' αὐτῶν.

Ὅτι Λύσις ὁ Πυθαγόρειος εἰς Θήβας τῆς Βοιωτίας γενόμενος διδάσκαλος Ἐπαμινώνδου, τοῦτον μὲν τέλειον ἄνδρα πρὸς ἀρετὴν κατέστησε, καὶ πατὴρ αὐτοῦ θετὸς ἐγένετο δι' εὔνοιαν. ὁ δὲ Ἐπαμινώνδας τῆς τε καρτερίας καὶ λιτότητος καὶ τῶν ἄλλων ἀρετῶν ἐκ τῆς Πυθαγορείου φιλοσοφίας ἐναύσματα λαβὼν οὐ μόνον Θηβαίων ἀλλὰ καὶ πάντων τῶν κατ' αὐτὸν ἐπρώτευεν.

Ὅτι [δὲ] τῶν προγεγονότων ἀνδρῶν ἡ τῶν βίων ἀναγραφὴ δυςκολίαν μὲν παρέχεται τοῖς γράφουσιν, ὠφελεῖ δ' οὐ μετρίως τὸν κοινὸν βίον. μετὰ παῤῥησίας γὰρ δηλοῦσα τὰ καλῶς πραχθέντα τοὺς μὲν ἀγαθοὺς κοσμεῖ, τοὺς δὲ πονηροὺς ταπεινοῖ, διὰ τῶν οἰκείων ἑκάστους ἐγκωμίων τε καὶ ψόγων. ἔστι δ' ὁ μὲν ἔπαινος, ὡς ἄν τις εἴποι, ἔπαθλον ἀρετῆς ἀδάπανον, ὁ δὲ ψόγος τιμωρία φαυλότητος ἄνευ πληγῆς. καλὸν δὲ τοῖς μεταγενεστέροις ὑποκεῖσθαι διότι βίον οἷον ἄν τις ἕληται ζῶν, τοιαύτης ἀξιωθήσεται μετὰ τὸν θάνατον μνήμης, ἵνα μὴ περὶ τὰς τῶν λιθίνων μνημείων κατασκευὰς σπουδάζωσιν, ἃ καὶ τόπον ἕνα κατέχει καὶ φθορᾶς ὀξείας τυγχάνει, ἀλλὰ περὶ λόγον καὶ τὰς ἄλλας ἀρετάς, αἳ πάντῃ φοιτῶσι διὰ τῆς φήμης. ὁ δὲ χρόνος ὁ πάντα μαραίνων τἄλλα ταύτας ἀθανάτους φυλάττει, καὶ πρεσβύτερος γενόμενος αὐτὰς ταύτας ποιεῖ νεωτέρας. ζῆλος δὲ ἐπὶ τῶν ἀνδρῶν ἐγένετο προειρημένος· πάλαι γὰρ γεγονότες ὥςπερ νῦν ὄντες ὑπὸ πάντων μνημονεύονται.

Ὅτι ὁ Καμβύσης ἦν μὲν φύσει μανικὸς καὶ παρακεκινηκὼς τοῖς λογισμοῖς, πολὺ δὲ μᾶλλον αὐτὸν ὠμὸν καὶ ὑπερήφανον ἐποίει τὸ τῆς βασιλείας μέγεθος.

Ὅτι Καμβύσης ὁ Πέρσης μετὰ τὴν ἅλωσιν Μέμφεως καὶ Πηλουσίου τὴν εὐτυχίαν οὐ φέρων ἀνθρωπίνως τὸν

556. 83. ἐναύσματα Valesius, ἐνάσματα V 86. ὅτι δὲ] ὅτι Reiskius 91. ἑκάστους] ἑκάστοις Reiskius 95. οἷον] „MS. οἷοι“ Vales. „Salmasius οἷον in eo legit“ Wesseling. 3. αὐτὰς] praestat fortasse αὐτὸς 4. προειρημένος] ὁ πρ. Reiskius 10. Μέμφεως] „legebatur Μέμφως, quod ex MS. Salmasius correxit“ Wesseling.

Ἀμάσιος τοῦ πρότερον βεβασιλευκότος τάφον ἀνέσκαψεν. εὑρὼν δὲ ἐν τῇ θήκῃ τὸν νεκρὸν τεταριχευμένον τό τε σῶμα τοῦ τετελευτηκότος ᾐκίσατο καὶ πᾶσαν ὕβριν εἰς τὸν (οὐκ αἰσθανόμενον εἰςενεγκάμενος τελευταῖον προςέταξε κατακαῦσαι τὸν νεκρόν. οὐκ εἰωθότων γὰρ πυρὶ παραδιδόναι τῶν ἐγχωρίων τὰ σώματα τῶν τετελευτηκό- 557 των, ὑπελάμβανε καὶ διὰ τούτου τοῦ τρόπου πλημμελήσειν τὸν πάλαι προτετελευτηκότα.

Ὅτι Καμβύσης μέλλων στρατεύειν ἐπ' Αἰθιοπίαν ἔπεμψε μέρος τῆς δυνάμεως ἐπ' Ἀμμωνίους, προςτάξας τοῖς ἡγεμόσι τὸ μαντεῖον συλήσαντας ἐμπρῆσαι, τούς τε περιοικοῦντας τὸ ἱερὸν ἅπαντας ἐξανδραποδίσασθαι.

Ὅτι Λυδοί τινες φεύγοντες τὴν Ὀροίτου τοῦ σατράπου δυναστείαν κατέπλευσαν εἰς Σάμον μετὰ πολλῶν χρημάτων καὶ τοῦ Πολυκράτους ἱκέται ἐγένοντο. ὁ δὲ τὸ μὲν πρῶτον αὐτοὺς φιλοφρόνως ὑπεδέξατο, μετ' ὀλίγον δὲ πάντας ἀποσφάξας τῶν χρημάτων ἐγκρατὴς ἐγένετο.

Ὅτι Θέτταλος ὁ Πεισιστράτου υἱὸς σοφὸς ὑπάρχων ἀπείπατο τὴν τυραννίδα, καὶ τὴν ἰσότητα ζηλώσας μεγάλης ἀποδοχῆς ἠξιοῦτο παρὰ τοῖς πολίταις· οἱ δὲ ἄλλοι, Ἵππαρχος καὶ Ἱππίας, βίαιοι καὶ χαλεποὶ καθεστῶτες ἐτυράννουν τῆς πόλεως. πολλὰ δὲ παρανομοῦντες εἰς τοὺς Ἀθηναίους, καί τινος μειρακίου διαφόρου τὴν ὄψιν Ἵππαρχος ἐρασθείς, διὰ τοῦτο ἐκινδύνευσεν. ἡ μὲν οὖν ἐπὶ τοὺς τυράννους ἐπίθεσις καὶ ἡ πρὸς τὴν τῆς πατρίδος ἐλευθερίαν σπουδὴ κοινὴ τῶν προειρημένων ὑπῆρξεν ἀνδρῶν· ἡ δὲ ἐν ταῖς βασάνοις παράστασις τῆς ψυχῆς καὶ τὸ καρτερικὸν τῆς τῶν δεινῶν ὑπομονῆς περὶ μόνον ἐγενήθη τὸν Ἀριστογείτονα, ὃς ἐν τοῖς φοβερωτάτοις καιροῖς δύω μέγιστα διετήρησε, τήν τε πρὸς τοὺς φίλους πίστιν καὶ τὴν πρὸς τοὺς ἐχθροὺς τιμωρίαν.

Ὅτι τυραννουμένης τῆς πατρίδος ὑπὸ Νεάρχου σκληρῶς, ἐπιβουλὴν κατὰ τοῦ τυράννου κατεστήσατο. καταφανὴς δὲ γενόμενος, καὶ κατὰ τὰς ἐν ταῖς βασάνοις ἀνάγκας διερωτώμενος ὑπὸ τοῦ Νεάρχου τίνες ἦσαν οἱ συνειδότες, Ὤφελον γάρ, ἔφησεν, ὥςπερ τῆς γλώττης εἰμὶ κύριος, οὕτως ὑπῆρχον καὶ τοῦ σώματος. τοῦ δὲ τυράννου πολὺ μᾶλλον ταῖς βασάνοις προςεπιτείναντος, ὁ Ζήνων μέχρι μέν τινος διεκαρτέρει· μετὰ δὲ ταῦτα σπεύδων ἀπολυθῆναί ποτε τῆς ἀνάγκης καὶ ἅμα τιμωρήσασθαι τὸν Νέαρχον, ἐπενοήσατό τι τοιοῦτον. κατὰ τὴν ἐπιτονωτάτην ἐπίτασιν τῆς βασάνου προςποιηθεὶς

557. 26. Ὀροίτου Wesselingius, Ὀρίτου V    47. περὶ Ζήνωνος ad marginem apponit V    58. ἐπίτασιν Valesius, ἐπίστασιν V



ἐνδιδόναι τὴν ψυχὴν ταῖς ἀλγηδόσιν ἀνέκραγεν Ἄνετε, ἐρῶ γὰρ πᾶσαν ἀλήθειαν. ὡς δ' ἀνῆκεν, ἠξίωσεν αὐτὸν ἀκοῦσαι κατ' ἰδίαν προςελθόντα· πολλὰ γὰρ εἶναι τῶν λέγεσθαι μελλόντων ἃ συνοίσει τηρεῖν ἐν ἀποῤῥήτῳ. τοῦ δὲ τυράννου προςελθόντος ἀσμένως καὶ τὴν ἀκοὴν τῷ
558 στόματι παραβαλόντος, ὁ Ζήνων τοῦ τε δυνάστου περιχανὼν τὸ οὖς ἐνέπρισε τοῖς ὀδοῦσι. τῶν δὲ ὑπηρετῶν ταχὺ προςδραμόντων, καὶ πᾶσαν τῷ βασανιζομένῳ προςφερόντων τιμωρίαν εἰς τὸ χαλάσαι τὸ δῆγμα, πολὺ μᾶλλον προςενεφύετο. τέλος δ' οὐ δυνάμενοι τἀνδρὸς νικῆσαι τὴν εὐψυχίαν παρεκάλεσαν αὐτὸν ἵνα διίῃ τοὺς ὀδόντας. καὶ τοιούτῳ τεχνήματι τῶν ἀλγηδόνων ἀπελύθη καὶ παρὰ τοῦ τυράννου τὴν ἐνδεχομένην ἔλαβε τιμωρίαν.

Ὅτι Λευκίου Ταρκυνίου τοῦ Ῥωμαίων βασιλέως ὁ υἱὸς Σέξτος ἐξεδήμησεν εἰς πόλιν Κολλατίαν καλουμένην, καὶ κατέλυσε πρὸς Λεύκιον Ταρκύνιον ἀνεψιὸν τοῦ βασιλέως, ἔχοντα γυναῖκα Λουκρητίαν, ἥτις ἦν εὐπρεπὴς μὲν τὴν ὄψιν, σώφρων δὲ τὸν τρόπον. ἐπὶ στρατοπέδου γὰρ ὄντος τἀνδρός, ὁ ξένος νυκτὸς ἐγερθεὶς ἐκ τοῦ κοιτῶνος ὥρμησεν ἐπὶ τὴν γυναῖκα κοιμωμένην ἔν τινι θαλάμῳ. ἐπιστὰς δὲ ταῖς θύραις ἄφνω καὶ σπασάμενος τὸ ξίφος παρασκευάσασθαι μὲν ἔφησεν οἰκέτην ἐπιτήδειον εἰς ἀναίρεσιν, συγκατασφάξειν δὲ κἀκείνην, ὡς ἐπὶ μοιχείᾳ κατειλημμένην καὶ τετευχυῖαν τῆς προςηκούσης τιμωρίας ὑπὸ τοῦ συγγενεστάτου τῷ συνοικοῦντι. διόπερ αἱρετώτερον ὑπάρχειν ὑπουργῆσαι ταῖς ἐπιθυμίαις αὐτοῦ σιωπῶσαν· λήψεσθαι δὲ ἔπαθλον τῆς χάριτος δωρεάς τε μεγάλας καὶ τὴν μετ' αὐτοῦ συμβίωσιν καὶ γενέσθαι βασίλισσαν, ἰδιωτικῆς ἑστίας ἐξηλλαγμένην ἡγεμονίαν. ἡ δὲ Λουκρητία διὰ τὸ παράδοξον ἐκπλαγὴς γενομένη, καὶ φοβηθεῖσα μήποτε ταῖς ἀληθείαις δόξῃ διὰ τὴν μοιχείαν ἀνῃρῆσθαι, τότε μὲν ἡσυχίαν ἔσχεν. ἡμέρας δὲ γενομένης ὁ Σέξτος ἐχωρίσθη· ἡ δὲ ἐκάλεσε τοὺς οἰκείους, καὶ ἠξίου μὴ περιιδεῖν ἀτιμώρητον τὸν ἀσεβήσαντα εἰς ξενίαν ἅμα καὶ συγγένειαν. ἑαυτῇ δὲ φήσασα μὴ προςήκειν ἐφορᾶν τὸν ἥλιον τηλικαύτης ὕβρεως πεπειραμένην, ξιφιδίῳ πατάξασα τὸ στῆθος ἑαυτῆς ἐτελεύτησεν.

Ὅτι Ἱπποκράτης ὁ Γελῷος τύραννος τοὺς Συρακουσίους νενικηκὼς κατεστρατοπέδευσεν εἰς τὸ τοῦ Διὸς ἱερόν. κατέλαβε δὲ αὐτὸν τὸν ἱερέα καὶ τῶν Συρακου-

60. ἀνῆκεν] ἀνῆκαν Reiskius

558. 65. τε delendum videtur    77. 91. Λουκριτίαν et Λουκριτία V    90. γενέσθαι] γενήσεσθαι Valesius    3. κατέλαβεν V

σίων τινὰς καθαιροῦντας ἀναθήματα χρυσᾶ, καὶ μάλιστα ἱμάτιον τοῦ Διὸς περιαιρουμένους ἐκ πολλοῦ κατεσκευασμένον χρυσίου. καὶ τούτοις μὲν ἐπιπλήξας ὡς ἱεροσύλοις ἐκέλευσεν ἀπελθεῖν εἰς τὴν πόλιν· αὐτὸς δὲ τῶν ἀναθημάτων ἀπέσχετο, φιλοδοξῆσαι θέλων καὶ νομίζων δεῖν τὸν τηλικοῦτον ἐπαναιρούμενον πόλεμον μηθὲν ἐξαμαρτάνειν εἰς τὸ θεῖον, ἅμα δὲ νομίζων διαβάλλειν τοὺς προεστῶτας τῶν ἐν Συρακούσαις πραγμάτων πρὸς τὰ πλήθη διὰ τὸ δοκεῖν αὐτοὺς πλεονεκτικῶς ἀλλ' οὐ δημοτικῶς οὐδ' ἴσως ἄρχειν.

Ὅτι Θήρων ὁ Ἀκραγαντῖνος γένει καὶ πλούτῳ καὶ τῇ πρὸς τὸ πλῆθος φιλανθρωπίᾳ πολὺ προεῖχεν οὐ μόνον τῶν πολιτῶν ἀλλὰ. καὶ πάντων τῶν Σικελιωτῶν.

Ὅτι τοῦ Μιλτιάδου υἱὸς ὁ Κίμων, τελευτήσαντος 559 τοῦ πατρὸς αὐτοῦ ἐν τῇ δημοσίᾳ φυλακῇ διὰ τὸ μὴ ἰσχῦσαι ἐκτῖσαι τὸ ὄφλημα, ἵνα λάβῃ τὸ σῶμα τοῦ πατρὸς εἰς ταφήν, ἑαυτὸν εἰς τὴν φυλακὴν παρέδωκε καὶ διεδέξατο τὸ ὄφλημα.

Ὅτι ὁ Κίμων φιλότιμος ὢν εἰς τὴν τῶν κοινῶν διοίκησιν, ἐξ ὑστέρου ἀγαθὸς στρατηγὸς ἐγενήθη, καὶ διὰ τῆς ἰδίας ἀρετῆς ἐνδόξους πράξεις κατειργάσατο.

Ὅτι οἱ ἐν Θερμοπύλαις ἀνδρείως ἀγωνισάμενοι ἀπέθανον. ὧν τὰς ἀρετὰς etc. quae sunt l. XI. c. 11.

**558. 17.** *μόνον* **ed. Wess.,** *μόνων* **V**

**559. 28.** *ἀρετὰς*] „*quae deinde sequuntur in Codice manuscr. eo quod in libris Diodori editis extant consulto praetermisimus* **12** *folia.*" **Valesius**

## L. XXI.

Ὅτι Ἀντίγονος ὁ βασιλευς ἐξ ἰδιώτου γενόμενος δυνάστης, καὶ πλεῖστον ἰσχύσας τῶν καθ' αὐτὸν βασιλέων, οὐκ ἠρκέσθη ταῖς παρὰ τῆς τύχης δωρεαῖς, ἀλλ' ἐπιβαλόμενος τὰς τῶν ἄλλων βασιλείας εἰς αὐτὸν ἀδίκως περιστῆσαι τὴν ἰδίαν ἀπέβαλεν ἀρχὴν ἅμα καὶ τοῦ ζῆν ἐστερήθη.

Ὅτι Ἀγαθοκλῆς πυθόμενος τούς τε Λίγυας καὶ Τυῤῥηνοὺς ταραχωδῶς ἀπῃτηκέναι τοὺς μισθοὺς τὸν υἱὸν Ἀγάθαρχον κατὰ τὴν ἀπουσίαν αὐτοῦ, πάντας ἀπέσφαξεν, οὐκ ἐλάττους ὄντας τῶν δισχιλίων.

Ὅτι οἱ Θρᾷκες τὸν τοῦ βασιλέως υἱὸν Ἀγαθοκλέα λαβόντες αἰχμάλωτον ἀπέστειλαν μετὰ δώρων, ἅμα μὲν πρὸς τὰ παράδοξα τῆς τύχης ἑαυτοῖς παρασκευάζοντες καταφυγάς, ἅμα δὲ διὰ τῆς φιλανθρωπίας ταύτης ἐλπίζοντες ἀπολήψεσθαι τὴν ἀφῃρημένην αὐτῶν χώραν ὑπὸ Λυσιμάχου. οὐκέτι γὰρ ἤλπιζον αὐτοὺς δύνασθαι κρατῆσαι τῷ πολέμῳ, συμπεφρονηκότων ἁπάντων σχεδὸν τῶν δυνατωτάτων βασιλέων καὶ συμμαχούντων ἀλλήλοις.

Ὅτι ὁ Δρομιχαίτης ὁ τῶν Θρακῶν βασιλεὺς κατὰ πάντα τὸν Λυσίμαχον τὸν βασιλέα δεξιωσάμενος καὶ φιλήσας, ἔτι δὲ πατέρα προσαγορεύσας, ἀπήγαγε μετὰ τῶν τέκνων εἰς πόλιν τὴν ὀνομαζομένην Ἧλιν.

Ὅτι μετὰ τὴν ἅλωσιν τῆς Λυσιμάχου δυνάμεως συνδραμόντων τῶν Θρᾳκῶν καὶ βοώντων ἄγειν εἰς τὸ μέσον τὸν ἡλωκότα βασιλέα πρὸς τὴν κόλασιν· δεῖν γὰρ τὴν ἐξουσίαν ἔχειν τὸ τῶν κινδύνων μετεσχηκὸς πλῆθος βουλεύσασθαι πῶς χρηστέον ἐστὶ τοῖς ἡλωκόσιν· ὁ μὲν Δρομιχαίτης περὶ τῆς τιμωρίας τοῦ βασιλέως ἀντειπὼν ἐδίδαξε τοὺς στρατιώτας ὅτι συμφέρει σῶσαι τὸν ἄνδρα. ἀναιρεθέντος μὲν γὰρ αὐτοῦ βασιλεῖς ἄλλους καταλήψεσθαι τὴν Λυσιμάχου δυναστείαν, φοβερωτέραν οὖσαν,

**37.** *αὐτὸν* **V et 49.** *αὐτοὺς* **66.** *φοβερωτέραν οὖσαν*] **haec mera est proximae syllabae iteratio pro** *φοβερωτέρους*

ἂν τύχῃ, τοῦ προϋπάρξαντος· διαφυλαχθέντος δὲ χάριν ἕξειν ὀφειλομένην τοῖς Θρᾳξὶ παρὰ τοῦ σωθέντος, καὶ τὰ φρούρια τὰ πρότερον ὑπάρξαντα Θρακῶν ἀπολήψε- 560 σθαι χωρὶς κινδύνων. συγκαταθεμένου δὲ τοῦ πλήθους, ὁ Δρομιχαίτης ἀναζητήσας ἐκ τῶν αἰχμαλώτων τοὺς φίλους τοῦ Λυσιμάχου καὶ τοὺς περὶ τὴν θεραπείαν εἰωθότας διατρίβειν ἐπήγαγε πρὸς τὸν ἡλωκότα βασιλέα. μετὰ δὲ ταῦτα συντελέσας θυσίαν παρέλαβεν ἐπὶ τὴν ἑστίασιν τόν τε Λυσίμαχον μετὰ τῶν αὐτοῦ φίλων καὶ τῶν Θρακῶν τοὺς ἐπιτηδειοτάτους. διττὰς δὲ κλισίας παρασκευάσας, τοῖς μὲν περὶ τὸν Λυσίμαχον ἔστρωσε τὴν ἁλοῦσαν βασιλικὴν στρωμνήν, ἑαυτῷ δὲ καὶ τοῖς φίλοις εὐτελῆ στιβάδα. ὁμοίως δὲ διττῶν ἑτοιμασθέντων δείπνων, ἐκείνοις μὲν παντοδαπῶν πολυτέλειαν βρωμάτων παρέθηκεν ἐπὶ τραπέζης ἀργυρᾶς, τοῖς δὲ Θρᾳξὶ λάχανα καὶ κρέα μετρίως ἐσκευασμένα, ἐπὶ σανίδος εὐτελοῦς ἐπικειμένης αὐτοῖς τῆς τραπέζης. τὸ δὲ τελευταῖον τοῖς μὲν ἐνέχει τὸν οἶνον ἐν ἀργυροῖς καὶ χρυσοῖς ποτηρίοις, τοῖς δὲ μεθ' ἑαυτοῦ κερατίνοις καὶ ξυλίνοις, καθάπερ ἦν ἔθος τοῖς Γέταις. προβαίνοντος δὲ τοῦ πότου πληρώσας τὸ μέγιστον τῶν κεράτων, καὶ προσαγορεύσας πατέρα τὸν Λυσίμαχον ἠρώτησε πότερον αὐτῷ δοκεῖ δεῖπνον βασιλικώτερον, τὸ Μακεδονικὸν ἢ τὸ Θρᾴκιον. τοῦ δὲ Λυσιμάχου τὸ Μακεδονικὸν εἰπόντος (Ζήτει εἰς τὸ περὶ γνωμῶν)

Ὅτι ὁ βασιλεὺς Δημήτριος παραλαβὼν καὶ τὰς ἄλλας πόλεις προσηνέχθη τοῖς Βοιωτοῖς μεγαλοψύχως. πλὴν γὰρ ἀνδρῶν δέκα καὶ τεττάρων τῶν αἰτιωτάτων τῆς ἀποστάσεως ἀπέλυσε τῶν ἐγκλημάτων ἅπαντας.

Ὅτι Ἀγάθαρχος ἀνδρείᾳ καὶ ψυχῆς εὐτολμίᾳ πολὺ τοῦ κατὰ λόγον ὑπεραίρων τῆς ἰδίας ἡλικίας· ἦν γὰρ παντελῶς νέος.

Ὅτι ουτος ἱστορικὸς τὰς ἁμαρτίας τῶν πρὸ ἑαυτοῦ συγγραφέων πικρότατα ἐλέγξας κατὰ μὲν τἄλλα μέρη τῆς γραφῆς πλείστην πρόνοιαν εἶχε τῆς ἀληθείας, ἐν δὲ ταῖς Ἀγαθοκλέους πράξεσι τὰ πολλὰ κατέψευσται τοῦ δυνάστου διὰ τὴν πρὸς αὐτὸν ἔχθραν. φυγαδευθεὶς γὰρ ὑπ' Ἀγαθοκλέους ἐκ τῆς Σικελίας ζῶντα μὲν ἀμύνασθαι τὸν δυνάστην οὐκ ἴσχυσε, τελευτήσαντα δὲ διὰ τῆς ἱστορίας ἐβλασφήμησεν εἰς τὸν αἰῶνα. καθόλου γὰρ ταῖς προϋπαρχούσαις τῷ βασιλεῖ τούτῳ κακίαις ἄλλα πολλὰ

560. 73. πρὸς τὸν Reiskius, πρὸς V 84. ἐπικειμένης] ὑποκειμένης Valesius αὐτοῖς MS. Salmasii, αὐτῆς V 90. δεῖπνον Exc. Vat. p. 48, 19., τὸ δεῖπνον V 1. νέος Reiskius, νέως V 2. ἱστορικὸς] Τίμαιος apponit margo V



παρ' ἑαυτοῦ προσθεὶς ὁ συγγραφεύς, τὰς μὲν εὐημερίας ἀφαιρούμενος αὐτοῦ, τὰς δὲ ἀποτεύξεις, οὐ τὰς δι' αὐτὸν μόνον γενομένας, ἀλλὰ καὶ τὰς διὰ τύχην, μεταφέρων εἰς τὸν μηδὲν ἐξαμαρτόντα. γενομένου δὲ ὁμολο- 561 γουμένως αὐτοῦ στρατηγικοῦ μὲν κατὰ τὴν ἐπίνοιαν, δραστικοῦ δὲ καὶ τεθαῤῥηκότος κατὰ τὴν ἐν τοῖς κινδύνοις εὐτολμίαν, οὐ διαλείπει παρ' ὅλην τὴν ἱστορίαν ἀποκαλῶν αὐτὸν ἄνανδρον καὶ δειλόν. καίτοι γε τίς οὐκ οἶδεν ὅτι τῶν πώποτε δυναστευσάντων οὐδεὶς ἐλάττοσιν ἀφορμαῖς χρησάμενος μείζω βασιλείαν περιεποιήσατο; χειροτέχνης γὰρ ἐκ παίδων γενόμενος δι' ἀπορίαν βίου καὶ πατέρων ἀδοξίαν ἐξ ὑστέρου διὰ τὴν ἰδίαν ἀρετὴν οὐ μόνον Σικελίας σχεδὸν ὅλης ἐκυρίευσεν, ἀλλὰ πολλὴν τῆς Ἰταλίας τε καὶ Λιβύης τοῖς ὅπλοις κατεστρέψατο. θαυμάσαι δ' ἄν τις τοῦ συγγραφέως τὴν εὐχέρειαν· παρ' ὅλην γὰρ τὴν γραφὴν ἐγκωμιάζων τὴν τῶν Συρακουσίων ἀνδρείαν τὸν τούτων κρατήσαντα δειλίᾳ φησὶ διενηνοχέναι τοὺς ἅπαντας ἀνθρώπους. διὰ γὰρ τῶν ἐν ταῖς ἐναντιώσεσιν ἐλέγχων φανερός ἐστι τὸ φιλαληθὲς τῆς ἱστορικῆς παῤῥησίας προδεδωκὼς ἰδίας ἕνεκεν ἔχθρας καὶ φιλονεικίας. διόπερ τὰς ἐσχάτας τῆς συντάξεως πέντε βίβλους τοῦ συγγραφέως τούτου, καθ' ἃς περιείληφε τὰς Ἀγαθοκλέους πράξεις, οὐκ ἄν τις δικαίως ἀποδέξαιτο.

Ὅτι καὶ Καλλίας ὁ Συρακούσιος δικαίως καὶ προσηκόντως κατηγορίας ἀξιωθείη. ἀναληφθεὶς γὰρ ὑπ' Ἀγαθοκλέους καὶ δώρων μεγάλων ἀποδόμενος τὴν προφῆτιν τῆς ἀληθείας ἱστορίαν, οὐκ ἀπολέλοιπεν ἀδίκως ἐγκωμιάζων τὸν μισθοδότην. οὐκ ὀλίγων γὰρ αὐτῷ πεπραγμένων πρὸς ἀσεβείας θεῶν καὶ παρανομίας ἀνθρώπων, φησὶν ὁ συγγραφεὺς αὐτὸν εὐσεβείᾳ καὶ φιλανθρωπίᾳ πολὺ τοὺς ἄλλους ὑπερβεβληκέναι. καθόλου δὲ καθάπερ Ἀγαθοκλῆς ἀφαιρούμενος τὰ τῶν πολιτῶν ἐδωρεῖτο τῷ συγγραφεῖ μηδὲν προσήκοντα παρὰ τὸ δίκαιον, οὕτως ὁ θαυμαστὸς ἱστοριογράφος ἐχαρίζετο διὰ τῆς γραφῆς ἅπαντα τἀγαθὰ τῷ δυνάστῃ. ῥᾴδιον δ' ἦν, οἶμαι, πρὸς ἄμειψιν χάριτος τῷ γραφεῖ τῶν ἐγκωμίων μὴ λειφθῆναι τῆς ἐκ τοῦ βασιλικοῦ γένους δωροδοκίας.

Ὅτι οἱ μισθοφόροι κατὰ τὰς ὁμολογίας ἐκλιπόντες τὰς Συρακούσας προσεδέχθησαν ὑπὸ τῶν Μεσσηνίων, ὡς ἂν φίλοι καὶ σύμμαχοι. ὑπὸ δὲ τῶν πολιτῶν φιλο-

561. 40. οὐκ ἀπολέλοιπεν] οὐ διαλέλοιπεν Suidas 44. ὑπερβεβληκέναι] ὑπερβεβηκέναι Suidas 49. τὰ ἀγαθὰ Suidas 50. γραφεῖ Suidas, γραφείῳ V

φρόνως ἀναληφθέντες εἰς τὰς ἰδιωτικὰς οἰκίας νυκτὸς ἐφόνευσαν τοὺς ὑποδεξαμένους, καὶ τὰς τῶν παρανομηθέντων γυναῖκας γήμαντες κατέσχον τὴν πόλιν.

Ὅτι τοῦ Δημητρίου φυλαττομένου εἰς Πέλλαν Λυσίμαχος πρέσβεις ἀποστείλας ἠξίου τὸν Σέλευκον μηδενὶ τρόπῳ τὸν Δημήτριον ἐκ τῶν χειρῶν ἀφεῖναι, πλεονέκτην ἄνδρα καὶ πᾶσι τοῖς βασιλεῦσιν ἐπιβεβουλευκότα· ἐπηγγέλλετο δὲ αὐτῷ δώσειν ὑπὲρ τῆς ἀναιρέσεως τῆς 562 τούτου τάλαντα δισχίλια. ὁ δὲ βασιλεὺς τοῖς μὲν πρεσβευταῖς ἐπετίμησε παρακαλοῦσιν αὐτὸν μὴ μόνον ἀθετῆσαι πίστιν, ἀλλὰ καὶ συνῳκειωμένον αὐτῷ μύσος ἐκεῖνο ἐπανελέσθαι· πρὸς δὲ τὸν υἱὸν Ἀντίοχον ἐν τῇ Μηδίᾳ διατρίβοντα γράψας συνεβούλευσε πῶς χρηστέον ἐστὶ τῷ Δημητρίῳ. κεκρικὼς γὰρ ἦν αὐτὸν ἀπολύειν καὶ κατάγειν ἐπὶ τὴν βασιλείαν μεγαλοπρεπῶς· ἔσπευδε δὲ καὶ τὴν τοῦ υἱοῦ χάριν συνεπιγράψαι ταῖς εὐεργεσίαις, ὡς ἂν γεγαμηκότος αὐτοῦ Στρατονίκην τὴν Δημητρίου καὶ τέκνα γεγεννηκότος ἐξ αὐτῆς.

562. 67. καὶ] καὶ εἰς Wesselingius  68. μύσος ἐκεῖνο Valesius, μύσσος ἐκεῖνον V  70. συνεβούλευσε] nonne συνεβουλεύσατο?  72. ἔσπευδεν V

---

# L. XXII.

Ὅτι εἰς τὸ Ῥήγιον ἀπεστάλη φρουρὰ ὑπὸ Ῥωμαίων. ὁ δὲ χιλίαρχος Δέκιος, τὸ γένος Καμπανός, πλεονεξίᾳ καὶ τόλμῃ διαφέρων, ἐμιμήσατο τὴν τῶν Μαμερτίνων παρανομίαν. ἐκεῖνοι γὰρ προσδεχθέντες ὑπὸ Μεσσηνίων ὡς φίλοι τὴν μὲν πόλιν κατελάβοντο, τοὺς δὲ Μεσσηνίους ἐπὶ τῆς ἰδίας ἑστίας ἑκάστους σφάξαντες ἔγημαν τὰς τῶν ἰδιοξένων γυναῖκας, καὶ τὰς τῶν σφαγέντων κτήσεις κατέσχον. οἱ δὲ περὶ τὸν Δέκιον Καμπανοί, δοθέντες ὑπὸ Ῥωμαίων φύλακες τῶν Ῥηγίνων, ἐζήλωσαν τὴν τούτων ὠμότητα· τοὺς γὰρ Ῥηγίνους σφάξαντες καὶ τὰς κτήσεις διελόμενοι κατέσχον τὴν πόλιν ὡς δορίκτητον. ὁ δὲ ἐπὶ τῆς φρουρᾶς τεταγμένος Δέκιος ἐξαργυρισάμενος τὰς τῶν ἠτυχηκότων κτήσεις, καὶ τὴν διαίρεσιν τῆς ὠφελείας ἄδικον ποιησάμενος, ἐξέπεσεν ἐκ τοῦ Ῥηγίου, φυγαδευθεὶς ὑπὸ τῶν συνασεβησάντων Καμπανῶν. οὐ μὴν ἐξέφυγον τὴν τιμωρίαν οἱ παρανομήσαντες, ἀλλ' ὁ μὲν Δέκιος εἰς ὀφθαλμίαν χαλεπὴν ἐμπεσὼν μετεπέμψατο τῶν ἰατρῶν τὸν ἄριστον· οὗτος δὲ τὴν ὑπὲρ τῆς πατρίδος τιμωρίαν λαμβάνων ἱκανῶς κανθαρίσιν ὑπήλειψε τὸν Δέκιον, καὶ τῆς ὁράσεως αὐτὸν στερήσας ἔφυγεν ἐκ τῆς Μεσσήνης.

Ὅτι Φιντίας ὁ τῶν πόλεων βιαίως ἄρχων καὶ πολλοὺς τῶν εὐπόρων ἀναιρῶν ὑπὸ τῶν ὑποτεταγμένων διὰ τὴν παρανομίαν ἐμισεῖτο. διόπερ ἁπάντων ὄντων πρὸς ἀπόστασιν, ταχὺ ταπεινωθεὶς μετεβάλετο τὸν τρόπον, καὶ φιλανθρωπότερον ἄρχων διακατέσχε τοὺς ὑπὸ χεῖρα.

Ὅτι Πτολεμαῖος ὁ Μακεδόνων βασιλεύς, τὴν μὲν ἡλικίαν νέος ὢν παντελῶς, πραγμάτων δὲ πολεμικῶν ἄπειρος, φύσει δὲ θρασὺς καὶ προπετής, οὐδὲν τῶν χρησίμων προενοεῖτο· τῶν γὰρ φίλων αὐτῷ συμβουλευόντων ἀναδέξασθαι τοὺς ἀφυστεροῦντας, οὐ προσέσχεν.

79. Μαμερτίνων] Μαμερτινῶν V et mox Ῥηγινῶν  87. δορίκτητον] δορύκτητον V  98. ὁ delendum videtur

Ὅτι Ἀπολλόδωρος ἐπιθέμενος τυραννίδι, καὶ βεβαιῶσαι κρίνας τὴν συνωμοσίαν, μειρακίσκον τινὰ φίλον αὐτοῦ καλέσας ὡς ἐπὶ θυσίαν, καὶ σφαγιάσας τοῖς θεοῖς, τά τε σπλάγχνα τοῖς συνομόσασιν ἔδωκε φαγεῖν καὶ τὸ αἷμα κεράσας οἴνῳ πιεῖν παρεκελεύσατο.

Ὅτι ὁ αὐτὸς Ἀπολλόδωρος Γαλάτας εὑρών, καὶ τούτοις ὅπλα διδοὺς καὶ δωρεαῖς τιμήσας, δορυφόροις ἐχρῆτο πιστοῖς καὶ πρὸς τὰς κολάσεις εὐθέτοις διὰ τὴν ὠμότητα. τὰς δὲ τῶν εὐπόρων οὐσίας δημεύων πλῆθος χρημάτων ἤθροιζεν. ἀναβιβάσας δὲ τοὺς στρατιωτικοὺς μισθούς, καὶ μεταδιδοὺς τοῖς πένησι τῆς εὐπορίας, δύναμιν ἀξιόλογον περιεποιήσατο. ἐκτραπεὶς δὲ εἰς ὠμότητα καὶ πλεονεξίαν εἰςεπράττετο τοὺς πολιτικοὺς χρήματα, καὶ πολλοὺς μὲν ἄνδρας, οὐκ ὀλίγας δὲ γυναῖκας τῇ διὰ τῶν βασάνων τιμωρίᾳ βιαζόμενος, ἠνάγκασε πάντα ἄργυρον καὶ χρυσὸν παραδιδόναι. εἶχε δὲ τυραννίδος εἰςηγητὴν καὶ διδάσκαλον Καλλιφῶντα τὸν Σικελόν, συνδιατετριφότα πολλοῖς τοῖς κατὰ τὴν Σικελίαν τυράννοις.

Ὅτι τὰς Αἰγέας διαρπάσας ὁ Πύῤῥος, ἥτις ἦν ἑστία τῆς Μακεδονικῆς βασιλείας, τοὺς Γαλάτας ἐκεῖσε κατέλιπεν. οἱ δὲ πυθόμενοί τινων ὅτι κατὰ τοὺς βασιλικοὺς τάφους τοῖς τετελευτηκόσι συγκατωρύχθη χρήματα πολλὰ κατά τινα παλαιὰν συνήθειαν, ἅπαντας ἀνέσκαψαν, καὶ τυμβωρυχήσαντες τὰ μὲν χρήματα διείλαντο, τὰ δὲ ὀστᾶ τῶν τετελευτηκότων διέῤῥιψαν. ὁ δὲ Πύῤῥος ἐπὶ τούτοις βλασφημούμενος οὐκ ἐκόλαξε τοὺς βαρβάρους διὰ τὰς ἐν τοῖς πολέμοις χρείας.

## L. XXIII.

Ἡμεῖς δὲ τῆς ἱστορίας οἰκεῖον ὑπολαμβάνομεν εἶναι τὸ μὴ παραλιπεῖν ἀνεπισημάντους τὰς τῶν ἡγεμόνων προαιρέσεις ἐπ' ἀμφότερα. τῇ μὲν γὰρ τῶν ἡμαρτημένων κατηγορίᾳ διορθοῦσθαι συμβαίνει τοὺς ἐπὶ τὴν ὁμοίαν καταφερομένους ἄγνοιαν, τῇ δὲ ἐπὶ τῶν ἀγαθῶν ἐπιτηδευμάτων εὐφημίᾳ προτρέπεσθαι πολλῶν τὰς ψυχὰς πρὸς ἀρετήν. τίς οὖν οὐκ ἂν δικαίως μέμψαιτο τὴν ἀφροσύνην καὶ τὴν ὑπερηφανίαν τὴν Ἀττιλίου; τὴν γὰρ εὐτυχίαν ὥςπερ βαρὺ φορτίον ἐνεγκεῖν ἐπιδεξίως οὐ δυνηθεὶς ἑαυτὸν ἀπεστέρησε τῆς μεγίστης δόξης, τὴν δὲ πατρίδα μεγάλοις περιέβαλε κακοῖς. δυνάμενος γὰρ θέσθαι τὴν εἰρήνην συμφέρουσαν μὲν τῇ Ῥώμῃ, ταπεινὴν δὲ καὶ παντελῶς αἰσχρὰν τῇ Καρχηδόνι, πρὸς δὲ τούτοις ἀπενέγκασθαι παρὰ πᾶσιν ἀνθρώποις αἰώνιον μνήμην ἡμερότητος καὶ φιλανθρωπίας, τούτων μὲν οὐδ' ὀντιναοῦν ἐποιήσατο λόγον, τοῖς δὲ τῶν ἠτυχηκότων πταί- 564 σμασιν ὑπερηφάνως προςενεχθεὶς τηλικαῦτα καὶ τοιαῦτα προςέταττεν ὥςτε τὸ μὲν δαιμόνιον νεμεσῆσαι, τοὺς δὲ ἡττημένους διὰ τὴν ὑπερβολὴν τῆς ἐκείνου βαρύτητος ἐπαναγκάσαι τραπέσθαι πρὸς ἀλκήν. τοιγαροῦν εὐθὺς τηλικαύτη τῶν πραγμάτων ἐγένετο παλίῤῥοια δι' ἐκεῖνον ὥςτε τοὺς μὲν Καρχηδονίους τοὺς διὰ τὴν ἧτταν καὶ τὴν κατάπληξιν ἀπεγνωκότας τὸ πρότερον τὴν σωτηρίαν ἐκ μεταβολῆς τότε θαρσήσαντας κατακόψαι τὴν τῶν πολεμίων δύναμιν, τὸ δὲ σύνολον τηλικαύτῃ πληγῇ καὶ συμφορᾷ περιπεσεῖν τὴν Ῥώμην ὥςτε τοὺς ἐν τῷ πεζομαχεῖν ἁπάντων ἀνθρώπων δοκοῦντας πρωτεύειν μηκέτι τολμᾶν ἐκ τοῦ προχείρου συγκαταβαίνειν εἰς παράταξιν. διὸ καὶ συνέβη τὸν πόλεμον μακρότατον μὲν γενέσθαι τῶν μνημονευομένων, τοὺς δὲ ἀγῶνας μεταπεσεῖν εἰς ναυμαχίας, ἐν αἷς τῶν Ῥωμαίων καὶ τῶν συμμάχων διεφθάρησαν ναῦς παμπληθεῖς, ἄνδρες δ' οὐκ ἐλάττους

563. 46. ἀγαθῶν addidi ex p. 504, 33. 54. Χαρχηδόνι V.

τῶν δέκα μυριάδων σὺν τοῖς ἐν ταῖς ναυαγίαις ἀπολομένοις· χρημάτων δὲ ἐδαπανήθη τοσοῦτος ἀριθμὸς ὅσον εἰκός ἐστιν ἀναλῶσαι τοὺς στόλους μὲν πλέοντας ἐκ τριακοσίων νηῶν συνεστηκότας, διαπολεμήσαντας δὲ ἀπὸ τούτων τῶν χρόνων ἔτη πεντεκαίδεκα. οὐ μὴν ὅ γε τούτων αἴτιος ἐλαχίστην μερίδα τῆς συμφορᾶς ἀπηνέγκατο. τῆς γὰρ προϋπαρχούσης αὐτῷ δόξης πολλαπλασίαν τὴν ἀτιμίαν καὶ τὴν αἰσχύνην ἠλλάξατο, τοῖς δὲ ἰδίοις συμπτώμασι τοὺς ἄλλους ἐδίδαξε μέτρια φρονεῖν ἐν ταῖς ἐξουσίαις, τὸ δὲ μέγιστον, ὧν ὑπερηφάνησε τὴν ἀτυχίαν, τούτων ἠναγκάσθη τὴν ὕβριν καὶ τὴν ἐξουσίαν φέρειν, προαφῃρημένος ἑαυτοῦ τὴν συγγνώμην καὶ τὸν συγκεχωρημένον τοῖς ἐπταικόσιν ἔλεον. Ξάνθιππος δὲ τῇ καθ' ἑαυτὸν ἀρετῇ τοὺς Καρχηδονίους οὐ μόνον ἐξ αὐτῶν τῶν δεινῶν ἐξήρπασεν, ἀλλὰ καὶ τὸν ἅπαντα πόλεμον εἰς τοὐναντίον περιέστησε. τοὺς μὲν γὰρ ἅπασι κρατοῦντας τοῖς ὅλοις ἠλάττωσε, τοὺς δὲ διὰ τῆς ἥττης προσδοκῶντας τὴν ἀπώλειαν τῷ μεγέθει τοῦ προτερήματος ἐποίησε καταφρονῆσαι τῶν πολεμίων. διὸ καὶ τῆς τῶν πραχθέντων ἐπιφανείας εἰς ἅπασαν σχεδὸν τὴν οἰκουμένην διαδοθείσης ἕκαστος ἐθαύμαζε τὴν τἀνδρὸς ἀρετὴν εἰκότως· παράδοξον γὰρ ἐφαίνετο πᾶσιν εἰ προςγενομένου τοῖς Καρχηδονίοις ἑνὸς μόνου ἀνδρὸς τηλικαύτη τῶν ὅλων ἐγένετο μεταβολὴ ὥςτε τοὺς μὲν εἰς πολιορκίαν ἄρτι συγκεκλεισμένους ἐκ μεταβολῆς τοὺς ἐναντίους πολιορκεῖν, τοὺς δὲ πρότερον γῆς καὶ θαλάττης δι' ἀνδρείαν κρατοῦντας ἐν πόλει μικρᾷ συμπεφευγότας προσδέχεσθαι τὴν ἅλωσιν. οὐδὲν δὲ θαυμαστὸν εἰ στρατηγοῦ σύνεσις καὶ πραγμάτων ἐμπειρία τῶν ἀδυνάτων δοκούντων εἶναι περιεγένετο.

Ὅτι Ἀμίλκας ὁ Βάρκας καλούμενος ὁ Καρχηδόνιος
καὶ Ἀννίβας ὁ υἱὸς αὐτοῦ μέγιστοι στρατηγοὶ Καρχη- 565
δονίων οὐ μόνον ὄντες τῶν προτέρων ἀλλὰ καὶ τῶν μεταγενεστέρων ὁμολογουμένως οὗτοι διελήφθησαν, καὶ ἰδίαις πράξεσιν ηὔξησαν μάλιστα τὴν πατρίδα.

564. 75. ναυαγίαις] ναυμαχίαις V   ἀπωλομένοις Valesius, ἀπολυμένοις V   78. πλέοντας] πληροῦντας?   τριακοσίων (τ') Reiskius, τῶν V   79. πεντεκαίδεκα] ιε' V   86. ἑαυτοῦ p. 504. 54., δὲ αὐτοῦ V   96. ἕκαστος Toupius ad Longinum III. 5., ἕκαστος γὰρ V   98. Χαρχηδονίοις V et similiter infra aliquoties

565. 9. οὐ μόνον ὄντες] ὄντες οὐ μόνον Valesius

## L. XXIV.

Ὅτι Κλώδιος παραγενόμενος εἰς τὴν Σικελίαν παρέλαβε τὰς πρὸς τῷ Λιλυβαίῳ δυνάμεις, καὶ τὰ πλήθη συναγαγὼν κατηγόρησε πικρῶς τῶν παραδόντων αὐτῷ τὸ στρατόπεδον ὑπάτων, φάσκων αὐτοὺς ῥᾳθύμως κεχειρικέναι τὸν πόλεμον, μεθυσκομένους καὶ ζῶντας ἐν ἀνέσει καὶ τρυφῇ, καὶ τὸ σύνολον πεπολιορκῆσθαι μᾶλλον ἢ πεπολιορκηκέναι. ὢν δὲ φύσει παράθερμος καὶ τῇ διανοίᾳ παρακεκινηκὼς πολλὰ διῴκει μανίᾳ προςεμφερῶς. πρῶτον μὲν γὰρ ὧν τῆς στρατηγίας κατηγόρησε, τούτων τὴν ἄνοιαν μιμησάμενος παραπλησίως ἐν τῇ θαλάσσῃ τά τε χώσματα καὶ τὰ κλεῖθρα κατεσκεύαζε. τοσοῦτον ἀφροσύνῃ διενέγκας ἐκείνων ὅσῳ μεῖζόν ἐστιν ἁμάρτημα τὸ μηδὲ ἐκ τῆς πείρας δύνασθαι μεταδιδαχθῆναι τοῦ πρώτως ἐπιβαλλόμενον σφαλῆναι. τιμωρητικὸς δὲ ὢν φύσει, τοὺς μὲν πολιτικοὺς τοῖς πατρίοις ἔθεσιν ἐκόλαζεν ἀπαραιτήτως, τοὺς δὲ συμμάχους ῥαβδίοις ἐμαστίγου. καθόλου δὲ διὰ τὴν ὑπεροχὴν τοῦ γένους καὶ τὴν τῆς οἰκίας δόξαν διεφθαρμένος ὑπεροπτικὸς ἦν καὶ κατεφρόνει πάντων.

Ὅτι Ἀμίλκας καὶ πρὸ τῆς στρατηγίας φανερὰν ἔσχε τὴν λαμπρότητα τῆς ψυχῆς, καὶ τὴν ἀρχὴν παρειληφὼς ἄξιος ἐφαίνετο τῆς πατρίδος, ἀντεχόμενος μὲν τῆς δόξης, καταφρονῶν δὲ τῶν κινδύνων.

Ὅτι οὗτος συνέσει διαφέρειν ἐδόκει, καὶ τόλμαν καὶ πρᾶξιν τὴν ἐν τοῖς ὅπλοις ἔχων ὑπὲρ ἅπαντας τοὺς πολίτας ὑπῆρχεν

ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής.

Ὅτι ὁ Ἄννων μεγαλεπίβολος ὢν καὶ δόξης ὀρεγόμενος, καὶ τὸ μέγιστον, ἔχων δύναμιν σχολάζουσαν, ἅμα μὲν ταύτην γυμνάσειν ἤλπιζεν ἐν ταύτῃ τῇ στρατείᾳ, τρέφων ἐκ τῆς πολεμίας καὶ τὴν πόλιν κουφίζων τῶν δαπανημάτων, ἅμα δὲ πολλὰ καταπράξασθαι τῇ πατρίδι καὶ πρὸς δόξαν καὶ πρὸς τὸ συμφέρον.

Ὅτι Ἄννωνος τὴν Ἑκατόμπυλον ἐκπολιορκήσαντος, καὶ τῶν πρεσβυτέρων προςελθόντων μεθ' ἱκετηριῶν καὶ

δεομένων ἀνθρωπίνως ἑαυτοῖς χρήσασθαι, φιλόδοξος ὢν ὁ στρατηγὸς καὶ προκρίνας εὐεργεσίαν τῆς τιμωρίας, τρισχιλίους μὲν ὁμήρους ἔλαβε, τὴν δὲ πόλιν καὶ τὰς κτήσεις ἀκεραίους ἐάσας ἔτυχε στεφάνων καὶ τιμῶν μεγάλων παρὰ τῶν εὖ παθόντων. οἱ δὲ στρατιῶται, τῶν ἐγχωρίων αὐτοὺς ὑποδεχομένων λαμπρῶς μετὰ πάσης προθυ- 566
μίας, εἱστιῶντο πάντων ὄντων δαψιλῶν πρὸς ἀπόλαυσιν.

Ὅτι ἡ μήτηρ τῶν νεανίσκων βαρέως φέρουσα τὴν τἀνδρὸς τελευτήν, καὶ νομίσασα δι' ἀμέλειαν αὐτὸν ἐκλελοιπέναι τὸ ζῆν, ἔπεισε τοὺς υἱοὺς κακουχεῖν τοὺς αἰχμαλώτους. συγκλεισθέντων οὖν αὐτῶν εἰς οἴκημα στενὸν παντελῶς, τὰ σώματα καθάπερ τῶν θηρίων ἠναγκάζετο συνεσπειραμένα καρτερεῖν διὰ τὴν στενοχωρίαν. ἔπειτα τῆς τροφῆς παραιρεθείσης ἐφ' ἡμέρας πέντε, Βοδόστωρ μὲν διὰ τὴν ἀθυμίαν καὶ τὴν ἔνδειαν ἐτελεύτησεν, Ἀμίλκας δέ, διαφέρων εὐψυχίᾳ, διεκαρτέρει καίπερ ἀπεγνωσμένης ἐλπίδος ἀντεχόμενος. πολλάκις δὲ αὐτοῦ δεομένου τῆς γυναικός, καὶ μετὰ δακρύων τὴν ἐπιμέλειαν τὴν εἰς τὸν ἄνδρα διεξιόντος, τοσοῦτον ἀπέσχεν ἐκείνη φιλανθρωπίας καὶ λογισμῶν ἀνθρωπίνων ὥστε τὸν μὲν νεκρὸν αὐτῷ συγκατακλεῖσαι πέντε ἡμέρας, τροφὴν δὲ ὀλίγην χορηγῆσαι, πρὸς αὐτὸ μόνον στοχαζομένην τὸ δύνασθαι τὴν ἀτυχίαν ἐνεγκεῖν. ὁ δὲ Ἀμίλκας ἀπογνοὺς τὸν ἐκ τῆς ἱκεσίας ἔλεον ἀνεβόησεν ἐπιμαρτυρόμενος Δία ξένιον καὶ θεοὺς τοὺς ἐποπτεύοντας τὰ κατ' ἀνθρώπους ὡς ἀντὶ καλῆς χάριτος τῆς ὀφειλομένης ἀπολαμβάνει τιμωρίας ὑπὲρ ἄνθρωπον. οὐ μὴν ἐξέλιπε τὸ ζῆν, εἴτε δαιμονίου τινὸς ἐλεήσαντος εἴτε καὶ ταὐτομάτου παράδοξον ἐνεγκόντος βοήθειαν. ἐσχάτως γὰρ αὐτοῦ διακειμένου διά τε τὴν ἀποφορὰν τὴν ἀπὸ τοῦ νεκροῦ καὶ τὴν ὅλην κακουχίαν, τῶν οἰκετῶν τινες τῶν κατὰ τὴν οἰκίαν διηγήσαντό τισι τὸ γινόμενον. οἱ δὲ μισοπονηρήσαντες τοῖς δημάρχοις προσήγγειλαν. δεινῆς δ' οὖν τῆς ὠμότητος φανείσης, οἱ ἄρχοντες ἀνεκαλέσαντο τοὺς Ἀττιλίους, καὶ παρ' ὀλίγον θανάτου κρίσιν προέθηκαν, ὡς καταισχύνουσι τὴν Ῥώμην· διηπειλήσαντο δὲ τὴν ἁρμόττουσαν παρ' αὐτῶν λήψεσθαι τιμωρίαν, εἰ μὴ πᾶσαν ἐπιμέλειαν ποιήσονται τῶν αἰχμαλώτων. οἱ δὲ τῇ μητρὶ πολλὰ καταμεμψάμενοι τὸν μὲν Βοδόστορα καύσαντες ἀπέστειλαν τὴν τέφραν τοῖς συγγενέσι, τὸν δὲ Ἀμίλκαν ἐκ τῆς κακουχίας ἀνέλαβον.

566. 62. ἔπεισε Valesius, ἐποίησε V 70. ἀντεχόμενος] ἀνεχόμενος V 73. αὐτῷ Valesius, αὐτοῖς V 89. προέθηκαν] προςέθηκαν V καταισχύνουσι] καταισχυνοῦσι V

## L. XXV.

Ὅτι οἱ Καρχηδόνιοι περὶ τῆς Σικελίας μεγάλους ἀγῶνας καὶ κινδύνους ὑπομείναντες, καὶ πρὸς Ῥωμαίους εἴκοσι τέτταρα ἔτη συνεχῶς διαπολεμήσαντες, οὐ τηλικούτων ἐπειράθησαν ἀτυχημάτων ὅσων ὁ πόλεμος αὐ-
567 τοῖς αἴτιος ὑπῆρξεν ὁ πρὸς τοὺς ἀδικηθέντας ὑπ' αὐτῶν μισθοφόρους. ἀποστερήσαντες γὰρ τοὺς ὀφειλομένους μισθοὺς τοῖς ἀλλοεθνέσι παρ' ὀλίγον αὐτῆς τῆς ἡγεμονίας ἅμα καὶ τῆς πατρίδος ἐστερήθησαν. οἱ γὰρ ἀδικηθέντες μισθοφόροι παραχρῆμα ἀποστάντες ταῖς ἐσχάταις συμφοραῖς περιέβαλον τὴν Καρχηδόνα.

Ὅτι οἱ Καρχηδόνιοι ἐξαπέστειλαν πρὸς τοὺς ἀποστάντας κήρυκα, τὴν τῶν νεκρῶν ἀναίρεσιν αἰτούμενοι. οἱ δὲ περὶ τὸν Σπόνδιον ἡγεμόνες ἐπιτείνοντες τὴν ἀποθηρίωσιν οὐ μόνον ἀντεῖπον περὶ τῆς ταφῆς, ἀλλὰ καὶ διηπειλήσαντο μηκέτι πέμπειν μηδένα κήρυκα περὶ μηδενὸς πρὸς αὐτούς, ὡς τῆς αὐτῆς κολάσεως γενομένης τῷ παραγενομένῳ. εἰς δὲ τὸ λοιπὸν ἐνομοθέτησαν τῶν αἰχμαλώτων τοὺς μὲν Καρχηδονίους τῆς αὐτῆς τούτοις ἀξιοῦν τιμωρίας, τοὺς δὲ συμμαχοῦντας τοῖς Φοίνιξι χειροκοπεῖν καὶ πέμπειν ἠκρωτηριασμένους εἰς τὴν Καρχηδόνα. οἱ μὲν οὖν περὶ τὸν Σπόνδιον ἡγεμόνες διὰ τῆς εἰρημένης ἀσεβείας καὶ ὠμότητος ὑπετέμοντο τὴν διὰ τῆς φιλανθρωπίας στρατηγίαν τοῦ Βάρκα. τοῦτον τὸν τρόπον Ἀμίλκας δυςχρηστούμενος τῇ ὠμότητι καὶ αὐτὸς ἠναγκάζετο τῆς φιλανθρωπίας μὲν τῆς εἰς τοὺς αἰχμαλώτους ἀποστῆναι, τὴν δὲ τιμωρίαν παραπλησίαν ἐπιτιθέναι τοῖς ὑποπεσοῦσι. διόπερ τοὺς ἁλισκομένους αἰκιζόμενος παρεῤῥίπτει τοῖς θηρίοις, ὑφ' ὧν καταπατούμενοι πικραῖς τιμωρίαις περιέπιπτον.

566. 98. εἴκοσι τέτταρα] κδ' V
567. 2. ἀλλοεθνέσι V 13. γενομένης] immo γενησομένης, nisi haec aetas participii etiam aoristi pro futuro perinde ut coniunctivi usum tulit: conf. enim Exc. Vat. p. 68. 9. τὴν γενομένην βοήθειαν ψυχαγωγούμενοι, ibid. p. 16. 22. προςπέμψας τοὺς πυθομένους

Ὅτι οἱ Ἱππακρῖνοι καὶ οἱ Ἰτυκαῖοι ἀπέστησαν καὶ τοὺς φυλάσσοντας τὰς πόλεις ἔῤῥιψαν ἀτάφους κατὰ τῶν τειχῶν, καὶ τοῖς παρὰ Καρχηδονίων πρεσβεύσασι περὶ τῆς τῶν νεκρῶν ἀναιρέσεως ἀντέπιπτον περὶ τῆς ταφῆς.

Ὅτι Ἀμίλκας ὁ καὶ Βάρκας πολλὰς καὶ μεγάλας χρείας παρασχόμενος τῇ πατρίδι, κατὰ μὲν τὴν Σικελίαν ἐν τῷ πρὸς Ῥωμαίους πολέμῳ, κατὰ δὲ τὴν Λιβύην, ὅτε τὴν ἀπόστασιν οἱ μισθοφόροι καὶ Λίβυες ποιησάμενοι συνεῖχον ἐν πολιορκίᾳ τὴν Καρχηδόνα. ἐπ' ἀμφοτέροις γὰρ τοῖς πολέμοις τούτοις ἐπιφανεστάτας πράξεις κατεργασάμενος καὶ πολιτευόμενος ἐμφρόνως, δικαίας ἀποδοχῆς ἐτύγχανε παρὰ πᾶσι τοῖς πολίταις. ὕστερον δὲ μετὰ τὴν κατάλυσιν τοῦ κατὰ τὴν Λιβύην πολέμου συστησάμενος ἑταιρείαν τῶν πονηροτάτων ἀνθρώπων, καὶ ἐκ τούτων ἀθροίζων καὶ ἐκ τῶν λαφύρων ὠφελείας, ἔτι δὲ αὐτὸν ὁρῶν ταῖς πράξεσιν αὐξανόμενον, καὶ δοὺς εἰς δημοκοπίαν καὶ πλήθους ἀρέσκειαν, παρεστήσατο τὸν δῆμον ἑαυτῷ παραδοῦναι τὴν στρατηγίαν ὅλης τῆς Λιβύης εἰς χρόνον ὀλίγιστον.

27. Ἱππακρῖνοι] Ἱππακρινοὶ V, οἱ Πυκρινοὶ MS. Salmasii 32. ὁ καὶ Valesius, καὶ ὁ V 42. καὶ ἐκ τῶν] τὰς ἐκ τῶν Reiskius: et certe mendum his subest 47. ὀλίγιστον] sententia requirit, ni fallor, *tempus indefinitum*, i. e. ἀλόγιστον: quod tamen dubitanter propono

568

## L. XXVI.

Ὅτι Ἀννίβας ἦν φύσει μάχιμος, καὶ τῇ τῶν πολεμικῶν ἔργων ἐκ παιδὸς πείρᾳ πεπονημένος καὶ συνεστρατευκὼς ἔτη πλείω μεγάλοις ἡγεμόσι πολλὴν εἶχε τριβὴν τῶν πολεμικῶν ἀγώνων. κεχορηγημένος δὲ ὑπὸ τῆς φύσεως ἀγχινοίᾳ καὶ πεποιημένος στρατηγικὴν ἀρετὴν διὰ τῆς πολυχρονίου περὶ τὸν πόλεμον ἀσκήσεως μεγάλας ἐλπίδας εἶχεν ἐν ἑαυτῷ.

Ὅτι τοῦ Μινυκίου ἡττηθέντος ὑπὸ τοῦ Ἀννίβου ἐκ τῶν ἀποτελεσμάτων ὑπὸ πάντων ἐκρίθη Μινύκιος μὲν ἀφροσύνῃ καὶ ἀπειρίᾳ τοῖς ὅλοις ἐπταικώς, Φάβιος δὲ ἀγχινοίᾳ καὶ ἀρετῇ στρατηγικῇ διὰ παντὸς προνενοημένος τῆς ἀσφαλείας.

Ὅτι Δορίμαχος ὁ τῶν Αἰτωλῶν στρατηγὸς ἀσεβῆ συνετελέσατο πρᾶξιν· τὸ γὰρ περὶ Δωδώνην μαντεῖον συλήσας ἐνέπρησε τὸ ἱερὸν πλὴν τοῦ σηκοῦ.

Ὅτι ἡ τοῦ Ἀννίβου δύναμις πολὺν χρόνον τῆς τῶν Καμπανῶν εὐδαιμονίας ἀπλήστως ἐμπλησθεῖσα μετέβαλε ταῖς ἀγωγαῖς εἰς τοὐναντίον. τρυφῆς γὰρ συνεχοῦς καὶ μαλακῆς εὐνῆς καὶ μύρων παντοίων καὶ παντοίας τροφῆς πολυτέλεια τὴν μὲν ἀλκὴν καὶ συνήθη τῶν δεινῶν ἐξέλυσεν ὑπομονήν, τὰ δὲ σώματα καὶ τὰς ψυχὰς εἰς γυναικώδη καὶ τρυφερὰν διάθεσιν μετέστησεν.

Ὅτι τῶν Ῥωμαίων ὁ Ἀννίβας πολλὰ κατηγορήσας εἰς ὠμότητα καὶ πονηρίαν, μᾶλλον ὑπερηφανείαν, τοὺς τῶν συγκλητικῶν υἱοὺς καὶ συγγενεῖς ἐκλέξας ἀπέσφαξε, ταύτην παρὰ τοῦ συνεδρίου λαμβάνων τιμωρίαν.

Ὅτι ὁ Ἀννίβας ἀλλοτριώτατα διακείμενος πρὸς Ῥωμαίους ἐκ τῶν αἰχμαλώτων ἐπιλέξας τοὺς εὐθέτους εἰς μονομαχίαν συνέζευξεν. ἀδελφοὺς μὲν ἀδελφοῖς, πατέρας δὲ υἱοῖς, συγγενεῖς δὲ συγγενέσι μονομαχεῖν ἠνάγκαζεν.

568. 51. πολεμίων V 53. πεποιημένος Reiskins, πεπονημένος V 61. Δορίμαχος Wesselingius, Δωρίμαχος V 62. συνετελέσατο] immo ἐπετελέσατο 73. μᾶλλον] ἢ μᾶλλον Valesius, μᾶλλον ἢ Salmasius

ἔνθα δὴ δικαίως ἄν τις τοῦ μὲν Φοίνικος ἐμίσησε τὴν ὠμότητα, τῶν δὲ Ῥωμαίων ἐθαύμασε τὴν εὐσέβειαν καὶ τὴν ἐν τοῖς δεινοῖς ὑπομονήν τε καὶ καρτερίαν. πυρὸς γὰρ αὐτοῖς προσαγομένου καὶ κέντρων ἔτι δὲ χαλεπωτάτων πληγῶν οὐδεὶς ὑπήκουσε προσενεγκεῖν τὰς χεῖρας τοῖς ἀναγκαιοτάτοις· πάντες γὰρ εὐγενῆ παραστήματα λαβόντες ἐναπέπνευσαν ταῖς ἀνάγκαις, ἀθίκτους ἑαυτοὺς τηρήσαντες τῆς πρὸς ἀλλήλους μιαιφονίας.

Ὅτι Γέλωνος καὶ Ἱέρωνος τῶν βασιλέων κατὰ τὴν Σικελίαν τετελευτηκότων ἐν Συρακούσαις, Ἱερωνύμου δὲ τὴν ἀρχὴν διαδεδεγμένου καὶ τὴν ἡλικίαν ὄντος ἀντίπαιδος, οὐκ εἶχεν ἡ βασιλεία τὸν προστησόμενον ἀξιόχρεον. διὸ καὶ τὸ μειράκιον ταῖς τῶν κολάκων πρὸς χάριν ὁμιλίαις ἐξετράπη πρὸς τρυφὴν καὶ ἀκολασίαν καὶ 569
τυραννικὴν ὠμότητα. ἐπετελεῖτο γὰρ γυναικῶν ὕβρεις, καὶ τοὺς παῤῥησίᾳ χρωμένους τῶν φίλων ἀπέκτεινε, καὶ πολλῶν ἀκρίτως οὐσίας ἐδήμευσε καὶ τοῖς πρὸς χάριν ὁμιλοῦσιν ἐδωρεῖτο. τὸ μὲν οὖν πρῶτον ἐπηκολούθει ἐκ τῶν ὄχλων μῖσος, εἶτα καὶ ἐπιβουλία καὶ ὁ τοῖς πονηροῖς δυνάσταις εἰωθὼς ἐπακολουθεῖν ὄλεθρος.

Ὅτι μετὰ τὴν Ἱερωνύμου τελευτὴν οἱ Συρακούσιοι ἐλθόντες εἰς ἐκκλησίαν ἐψηφίσαντο τοὺς συγγενεῖς τοῦ τυράννου κολάσαι, καὶ τὰς γυναῖκας ὁμοίως τοῖς ἀνδράσιν ἀνελεῖν, καὶ μηδὲ ῥίζαν ἀπολιπεῖν τυραννικῆς συγγενείας.

Ὅτι τὸ σῶμα τοῦ Σεμπρωνίου Μάγωνος ἀποστείλαντος πρὸς Ἀννίβαν, οἱ μὲν στρατιῶται κείμενον ὁρῶντες ἐβόων κατατέμνειν καὶ κατὰ μέρη διασφενδονῆσαι· ὁ δὲ Ἀννίβας φήσας οὐ προσήκειν τὴν ὀργὴν εἰς ἀναίσθητον σῶμα ἐναποτίθεσθαι, καὶ λαβὼν πρὸ ὀφθαλμῶν τὸ τῆς τύχης ἄδηλον, ἅμα δὲ καὶ θαυμάζων τὴν ἀρετὴν τοῦ ἀνδρός, πολυτελοῦς ταφῆς ἠξίωσε τὸν τετελευτηκότα. ἀναλέξας δὲ τὰ τοῦ σώματος ὀστᾶ καὶ φιλανθρώπως περιστείλας ἀπέστειλεν εἰς τὸ τῶν Ῥωμαίων στρατόπεδον.

Ὅτι τῶν Συρακουσίων μετὰ τὴν ἅλωσιν τῆς πόλεως ἀπαντησάντων Μαρκέλλῳ μεθ' ἱκετηρίας, τῶν μὲν ἐλευθέρων ἔφη σωμάτων φείσασθαι, τὰς δὲ κτήσεις ἁπάσας διαρπάσαι.

Ὅτι Καρχηδόνιοι καταλύσαντες τὸν Λιβυκὸν πόλεμον τὸ τῶν Μικατανῶν Νομάδων ἔθνος σὺν γυναιξὶ καὶ τέκνοις τιμωρησάμενοι πάντας τοὺς συλληφθέντας ἀνεσταύρωσαν. διόπερ οἱ τούτων ἀπόγονοι τῆς εἰς τοὺς

84. πυρὸς Valesius et MS. Salmasii, πρὸς V 89. ἀλλήλους ed. Bipontina, ἀλλήλαις V
569. 99. ἐδήμευσε] immo ἐδήμευε



πατέρας ὠμότητος ἀναμιμνησκόμενοι χαλεπώτατοι τοῖς Καρχηδονίοις πολέμιοι καθεστήκεισαν.

Ὅτι οὐκ εἴασε τὴν τοῦ ἀνδρὸς ἀρετήν, φημὶ δὴ τοῦ Ἀσδρούβου, ἀνεπισήμαντον, ἀλλά φησιν, ἦν γὰρ υἱὸς Ἀμίλκου τοῦ Βάρκα μὲν ἐπικαλουμένου, μεγίστην δὲ δόξαν ἐσχηκότος τῶν καθ' ἑαυτόν. καὶ γὰρ ἐν τῷ Σικελικῷ πολέμῳ μόνος τῶν ἡγεμόνων πολλάκις ἐνίκησε Ῥωμαίους, καὶ τὸν ἐμφύλιον καθελὼν πόλεμον πρῶτος διεβίβασε δύναμιν εἰς Ἰβηρίαν. τοιούτου δ' ὢν πατρὸς οὐκ ἀνάξιον ἑαυτὸν παρείχετο τῆς ἐκείνου δόξης. ὁμολογουμένως γὰρ ἄριστος ἦν στρατηλάτης ἁπάντων Καρχηδονίων μετὰ τὸν ἀδελφὸν Ἀννίβαν· διὸ καὶ τῶν ἐν Ἰβηρίᾳ δυνάμεων Ἀσδρούβαν κατέλιπεν ἡγεμόνα. πολλὰς δὲ μάχας ἀγωνισάμενος κατὰ τὴν Ἰβηρίαν, καὶ διὰ παντὸς ἐκ τῶν ἐλαττωμάτων ἀναλαμβάνων τὰς δυνάμεις, πολλοὺς καὶ παντοίους ὑπέμεινε κινδύνους. καὶ εἰς τὴν μεσόγειον ἀποδιωχθεὶς διὰ τὴν ἰδίαν ἀρετὴν μεγάλην ἤθροισε δύναμιν, καὶ παρεγενήθη παρ' ἐλπίδας εἰς Ἰταλίαν.

570 Ὅτι Νάβις ὁ τύραννος τῶν Λακεδαιμονίων ἀνεῖλε Πέλοπα τὸν Λυκούργου μὲν τοῦ βασιλεύσαντος υἱόν, παῖδα δὲ τὴν ἡλικίαν ὄντα· εὐλαβεῖτο γὰρ μήποτε ὁ παῖς παραγενόμενος εἰς ἡλικίαν ἀποκαταστήσῃ τῇ πατρίδι τὴν ἐλευθερίαν, πεφρονηματισμένος διὰ τὴν εὐγένειαν. αὐτὸς δὲ τοὺς χαριεστάτους τῶν Λακεδαιμονίων ἐπιλεγόμενος ἀνῄρει, καὶ μισθοφόρους πανταχόθεν τοὺς χειρίστους συνήγαγε φύλακας τῆς δυναστείας. διόπερ ἐκ παντὸς τόπου συνέῤῥεον εἰς τὴν Σπάρτην ἱερόσυλοι, φῶρες, λῃσταί, κατάδικοι θανάτου. ἀσεβῶς γὰρ τὴν τυραννίδα περιποιησάμενος ὑπὸ μόνων τούτων ἤλπιζε βεβαιότατα τηρηθήσεσθαι.

Ὅτι Κρῆτες ναυσὶν ἑπτὰ πειρατεύειν ἐπιβαλόμενοι τῶν πλεόντων ἐλῄστευον οὐκ ὀλίγους. διὸ καὶ τῶν ἐμπόρων ἀθυμούντων, Ῥόδιοι πρὸς αὐτοὺς τἀδικήματα νομίσαντες ἥξειν πρὸς τοὺς Κρῆτας πόλεμον ἐξήνεγκαν.

Ὅτι Πλημήνιος ὁ κατασταθεὶς Λοκρῶν ἡγεμὼν παρὰ Σκιπίωνος ἀσεβὴς ὢν τοὺς τῆς Περσεφόνης θησαυροὺς ἀνασπάσας καὶ τὰ χρήματα συλήσας ἀπήνεγκε. τῶν δὲ Λοκρῶν ἀγανακτούντων ἐπὶ τούτοις, καὶ τὴν τῶν Ῥωμαίων ἀνακαλουμένων πίστιν, δύω τῶν χιλιάρχων μισοπονηρεῖν ἐπὶ τοῖς ἀδικήμασι προσεποιήθησαν. τοῦτο δὲ ἔπραττον οὐκ ἐπὶ τοῖς γινομένοις ἀγανακτοῦντες, ἀλλ' ἐπὶ τῷ τὸ μέρος μὴ εἰληφέναι τῶν σεσυλημένων χρημά-

570. 71. γινομένοις] aptius videtur γενομένοις

των ἐγκαλοῦντες τῷ Πλημηνίῳ. ταχὺ δ αὐτοῖς ἅπασιν ἀξίαν τῆς πονηρίας ἐπέθηκε τὸ δαιμόνιον. καὶ γὰρ ἐπιφανέστατον τῶν κατὰ τὴν Ἰταλίαν ἱερῶν τοῦτ᾽ εἶναι λέγεται καὶ διὰ παντὸς ἁγνὸν ὑπὸ τῶν ἐγχωρίων τετηρῆσθαι. καθ᾽ ὃν γὰρ καιρὸν Πύῤῥος ἐκ τῆς Σικελίας διεβίβαζε τὰς δυνάμεις εἰς Λοκρούς, καὶ ὑπὸ τῶν στρατιωτῶν ἀπαιτούμενος τοὺς μισθοὺς ἠναγκάσθη δι᾽ ἀπορίαν ἅψασθαι τῶν χρημάτων, κατὰ τὸν ἔκπλουν ἐπιγενηθῆναι πνεύματά φασιν, ὥςτε στόλῳ παντὶ ναυαγῆσαι τοῦτον. τὸν δὲ Πύῤῥον δεισιδαιμονήσαντα τὴν θεὸν ἐξιλάσασθαι, καὶ μὴ πρότερον ἀπελθεῖν ἕως ἀπεκατέστησε τὰ χρήματα. οἱ δὲ χιλίαρχοι προςποιούμενοι μισοπονηρεῖν προΐσταντο τῶν Λοκρῶν, καὶ τὸν Πλημήνιον κακῶς ἔλεγον καὶ δίκην ἐπιθήσειν ἠπείλουν. τέλος ἐπὶ πλεῖον τῆς λοιδορίας προβαινούσης εἰς χεῖρας ἦλθον. οἱ δὲ χιλίαρχοι τοῦτον δόντες ἐπὶ γῆν τά τε ὦτα περιέτρωγον αὐτοῦ καὶ τὴν ῥῖνα, πρὸς δὲ τούτοις καὶ τὰ χείλη διέσχισαν. ὁ δὲ Πλημήνιος συλλαβὼν τοὺς χιλιάρχους καὶ δειναῖς αἰκίαις περιβαλὼν διέφθειρεν. ἡ δὲ σύγκλητος τῶν Ῥωμαίων διὰ τὴν ἱεροσυλίαν οὐ μετρίως ἐδεισιδαιμόνει· οἱ δὲ ἀντιπολιτευόμενοι τῷ Σκιπίωνι καιρὸν εὑρόντες οἰκεῖον διαβολῆς κατηγόρουν αὐτοῦ λέγοντες ὡς ἀπὸ τῆς ἐκείνου γνώμης ἅπαντα πεπραχέναι Πλημήνιος. ἡ 571 δὲ σύγκλητος ἀπέστειλε πρεσβευτὰς ἀγορανόμον καὶ δύο δημάρχους, εἰ μὲν εὕρωσιν ἀπὸ τῆς Σκιπίωνος γνώμης γεγενημένην τὴν ἱεροσυλίαν, κατὰ τάχος ἀγαγεῖν αὐτὸν εἰς τὴν Ῥώμην· εἰ δὲ μή, ἐᾶν αὐτὸν διαβιβάζειν τὰς δυνάμεις εἰς τὴν Λιβύην. τούτων δὲ κατὰ τὴν ὁδὸν ὄντων ὁ Σκιπίων μεταπεμψάμενος τὸν Πλημήνιον ἔδησεν εἰς ἅλυσιν καὶ περὶ τὴν γυμνασίαν ἦν τῶν δυνάμεων. οἱ δὲ δήμαρχοι ταῦτα θαυμάσαντες ἐπήνεσαν τὸν Σκιπίωνα. εἰς δὲ Ῥώμην ἀπαχθέντος τοῦ Πλημηνίου, τοῦτον ἡ σύγκλητος εἰς φυλακὴν ἀπέθετο, καθ᾽ ἣν αὐτὸν τελευτῆσαι συνέβη· τὴν δὲ οὐσίαν αὐτοῦ καθιέρωσε, καὶ τὰ προςελλείποντα τῶν ἱεροσυληθέντων χρημάτων ἐκ τοῦ δημοσίου προςθεῖσα τῇ θεῷ καθιέρωσεν. ἐψηφίσατο δὲ καὶ τοὺς Λοκροὺς ἐλευθέρους εἶναι, καὶ τῶν στρατιωτῶν τοὺς ἔχοντάς τι τῶν Φέρσεως χρημάτων, ἐὰν μὴ καταθῶσιν, ἐνόχους εἶναι θανάτου.

570. 73. *Πλημηνίῳ* Valesius, *πλημμέλημα* V 74. post *πονηρίας* deest *τιμωρίαν* 77. *Σικελίας* Valesius, *Ἰταλίας* V
571. 97. *πεπραχέναι Πλημήνιος*] *πέπραχε Πλημήνιος* (malim *πέπραχεν ὁ Πλ.*) aut *πεπραχέναι Πλημήνιον* Reiskius 100. *τὴν* om. V 4. *ἅλυσιν* V 13. *Φέρσεως*] *Φερσεφόνης* Wesselingius



Ὅτι ὁ Σκιπίων παραγενηθέντων πρὸς αὐτὸν τῶν περὶ Σύφακα τὸ μὲν πρῶτον ἰδὼν τὸν ἄνδρα δεδεμένον ἐδάκρυσε, λογιζόμενος τὴν πάλαι ποτὲ μακαριζομένην αὐτοῦ βασιλείαν. μετ᾽ ὀλίγον δὲ χρόνον κρίνας ἀνθρώπινα φρονεῖν ἐν τοῖς εὐτυχήμασιν ἐπέταξεν αὐτὸν λῦσαι, καὶ τὴν ἰδίαν σκηνὴν ἀπέδωκε καὶ τὴν ἄλλην ἀκολουθίαν ἔχειν συνεχώρησε· τηρῶν δὲ αὐτὸν ἐν ἐλευθέρᾳ φυλακῇ φιλανθρώπως ὡμίλει, καὶ πολλάκις ἐπὶ δεῖπνα παρελαμβάνετο.

Ὅτι Σοφόνβα ἡ πρότερον μὲν Μασσανάσσῃ, μετὰ δὲ ταῦτα συνοικήσασα Σύφακι, τὸ δὲ τελευταῖον πάλιν εἰς συμβίωσιν ἐλθοῦσα διὰ τὴν αἰχμαλωσίαν τῷ Μασσανάσσῃ, τήν τε ὄψιν ἦν εὐπρεπὴς καὶ τοῖς νόμοις ποικίλη καὶ πᾶν ἐξομηρεύσασθαι δυναμένη. οὖσα δὲ Καρχηδονίων συμμαχὶς προςέκειτο λιπαροῦσα καὶ δεομένη καθ᾽ ἡμέραν τἀνδρὸς ὅπως ἀποστῇ Ῥώμης· ἦν γὰρ ἡ γυνὴ δεινῶς φιλόπατρις. ἃ δὴ γινώσκων ὁ Σύφαξ ἐδήλωσε τῷ Σκιπίωνι περὶ τῆς γυναικὸς καὶ παρεκελεύσατο φυλάττειν. τούτοις δὲ σύμφωνα καὶ Λαιλίου λέγοντος, ὁ Σκιπίων ἐκέλευσεν ἄγειν πρὸς ἑαυτὸν τὴν γυναῖκα. παραιτουμένου δὲ τοῦ Μασσανάσσου, πικρότερον ἐπέπληξεν. ὁ δὲ εὐλαβηθεὶς ἐκέλευσεν ἀποστέλλειν τοὺς παραληψομένους· αὐτὸς δὲ παρελθὼν εἰς τὴν σκηνὴν φάρμακον θανάσιμον τῇ γυναικὶ πιεῖν ἠνάγκασε.

Ὅτι Σκιπίων διὰ τὸν πρὸς τοὺς ἐπταικότας ἔλεον βεβαίαν ἔσχε τὴν Μασσανάσσου συμμαχίαν εἰς ἅπαντα τὸν μετὰ ταῦτα χρόνον.

Ὅτι Ἀννίβας συγκαλεσάμενος τοὺς συμμάχους ἐδήλωσεν αὐτοῖς ὡς ἀναγκαῖόν ἐστιν αὐτὸν διαβῆναι εἰς 572 Λιβύην, καὶ ἔδωκεν ἐξουσίαν αὐτῶν τοῖς βουλομένοις αὐτῷ συστρατεύειν. ἔνιοι μὲν εἵλαντο τὴν μετ᾽ Ἀννίβου διάβασιν, τοῖς δὲ ἡδομένοις τῆς ἐν Ἰταλίᾳ μονῆς περιστήσας τὴν δύναμιν τὸ μὲν πρῶτον τοῖς στρατιώταις ἔδωκεν ἐξουσίαν, εἴ τινα βούλοιντο λαμβάνειν ἐξ αὐτῶν δοῦλον· τοὺς δὲ λοιποὺς κατέσφαξεν, ἄνδρας μὲν περὶ διςμυρίους, ἵππους δὲ περὶ τριςχιλίους, καὶ τῶν ὑποζυγίων ἀναρίθμητον πλῆθος.

22. *ἐν* deest codici Valesii, adest Salmasii *ἐλευθέρᾳ*] *ἐλευθερίᾳ* V 23. *παρελαμβάνετο*] passivo aptius activum *παρελάμβανε* 27. *συμβίωσιν* Valesius, *σύμβασιν* V: conf. Schaefer. ad Gregor. p. 924. 41. *πιεῖν*] *διδοὺς* (immo *δοὺς*) praeponit Salmasius
572. 53. *ἵππους*] *ἱππεῖς* V: conf. Appianus Bello Hannib. c. 59.

Ὅτι αὐτόμολοι ἦλθον πρὸς Ἀννίβαν ἱππεῖς τετρακιςχίλιοι. οὗτοι δὲ τοῦ Σύφακος πταίσαντος πρὸς Μασσανάσσην ἦσαν ἀφεστηκότες. ὁ δὲ ὀργισθεὶς αὐτοῖς περιέστησε τὴν δύναμιν, καὶ πάντας κατακοντίσας διέδωκε τοὺς ἵππους τοῖς μετ' αὐτοῦ στρατιώταις.

Ὅτι Σκιπίων ἀπέστειλε πρὸς Καρχηδονίους πρέσβεις, οἱ δὲ ὄχλοι παρ' ὀλίγον αὐτοὺς ἀνεῖλον. οἱ δὲ συνέσει διαφέροντες τούτους ἐξήρπασαν καὶ μετὰ τριήρων ἐξέπεμψαν. οἱ δὲ δημοκρατοῦντες ἐν Καρχηδόνι τὸν ναύαρχον παρεκελεύσαντο, ὅταν αἱ παραπέμψασαι τριήρεις ἀναστρέψωσιν, ἐπιπλεῦσαι τοῖς πρεσβευταῖς καὶ πάντας κατασφάξαι· ὃ καὶ γέγονεν. οἱ δὲ καταφυγόντες ἐπὶ τὴν γῆν διεσώθησαν πρὸς τὸν Σκιπίωνα. τὸ δὲ θεῖον τοῖς ἀσεβῆσαι βουλομένοις ταχέως ἐνεδείξατο τὴν αὐτοῦ δύναμιν. οἱ γὰρ εἰς Ῥώμην ἀποσταλέντες πρεσβευταὶ τῶν Καρχηδονίων ἀναστρέφοντες ὑπὸ χειμῶνος κατηνέχθησαν εἰς τὸν τῶν Ῥωμαίων ναύσταθμον. ὧν ἀναχθέντων ἐπὶ τὸν Σκιπίωνα, καὶ πάντων βοώντων ἀμύνασθαι τοὺς ἀσεβεῖς, ὁ Σκιπίων οὐκ ἔφη δεῖν πράττειν ἃ τοῖς Καρχηδονίοις ἐγκαλοῦσιν. οὗτοι μὲν οὖν ἀφεθέντες διεσώθησαν εἰς τὴν Καρχηδόνα, θαυμάζοντες τὴν τῶν Ῥωμαίων εὐσέβειαν.

Ὅτι Φίλιππος ὁ τῶν Μακεδόνων βασιλεὺς Δικαίαρχον τὸν Αἰτωλόν, ἄνδρα τολμηρόν, πείσας πειρατεύειν ἔδωκεν αὐτῷ ναῦς εἴκοσι· προςέταξε δὲ τὰς μὲν νήσους φορολογεῖν, τοῖς δὲ Κρησὶ παραβοηθεῖν ἐν τῷ πρὸς Ῥοδίους πολέμῳ. οὗτος δὲ κατὰ τὰς ἐντολὰς τοὺς μὲν ἐμπόρους ἐλῄστευε, τὰς δὲ νήσους λεηλατῶν ἀργύριον εἰςεπράττετο.

Ὅτι Φίλιππος ὁ τῶν Μακεδόνων βασιλεὺς Ἡρακλείδην τινὰ Ταραντῖνον εἶχε μεθ' ἑαυτοῦ, πονηρὸν ἄνθρωπον, ὃς κατ' ἰδίαν αὐτῷ λαλῶν πολλὰς καὶ ψευδεῖς διαβολὰς τῶν ἐν ἀξιώματι κειμένων φίλων ἔλεγε· τέλος δὲ εἰς τοῦτο ἦλθεν ἀσεβείας ὥςτε τοὺς πρώτους τοῦ συνεδρίου πέντε ἄνδρας ἀπέσφαξε. διὸ καὶ τὸ λοιπὸν ἐπὶ τὸ χεῖρον αὐτῷ τὰ πράγματα προήγετο. πολέμους γὰρ οὐκ ἀναγκαίους ἐπαναιρούμενος ἐκινδύνευσεν ἀποβαλεῖν τὴν βασιλείαν ὑπὸ Ῥωμαίων. οὐκέτι γὰρ οὐδεὶς ἐτόλμα τῶν φίλων ἔχειν παῤῥησίαν οὐδὲ ἐπιπλήττειν τῇ τοῦ βασιλέως ἀνοίᾳ, πεφρικὼς αὐτοῦ τὴν προπέτειαν. ἐστράτευσε δὲ ἐπὶ Δαρδανοὺς οὐδὲν ἀδικοῦντας, καὶ τούτους παρατάξει νικήσας ἀνεῖλεν ὑπὲρ μυρίους.

56. Σύφακος] „in MS. Σόφακος et sic semper" VALESIUS 70. αὐτοῦ V 81. προςέταξεν V 83. οὗτος] αὐτὸς V 93. προήγετο] προηγάγετο V 96. ἔχειν] malim ἄγειν



573 Ὅτι Φίλιππος ὁ τῶν Μακεδόνων βασιλεὺς χωρὶς τῆς πλεονεξίας οὕτως ὑπερήφανος ἦν ἐν ταῖς εὐτυχίαις ὥςτε τοὺς μὲν φίλους ἀκρίτως ἀποσφάξαι, τοὺς δὲ τάφους τῶν προτετελευτηκότων καὶ πολλὰ τῶν ἱερῶν κατασκάπτειν. Ἀντίοχος δὲ τὸ κατὰ τὴν Ἐλυμαΐδα τέμενος τοῦ Διὸς συλᾶν ἐπιβαλόμενος πρέπουσαν τὴν καταστροφὴν εὗρε τοῦ βίου, μετὰ πάσης τῆς δυνάμεως ἀπολόμενος. ἀμφότεροι δὲ τὰς αὐτῶν δυνάμεις ἀνυποστάτους εἶναι νομίσαντες μιᾷ παρατάξει συνηναγκάσθησαν ἑτέροις ποιεῖν τὸ προςταττόμενον. διὸ καὶ τῆς μὲν περὶ αὐτοὺς γενομένης ἀτυχίας τὰς ἰδίας ἁμαρτίας ᾐτιῶντο, τῶν δὲ συγχωρηθέντων φιλανθρώπων τὰς χάριτας εἶχον τοῖς ἐν τῷ κρατεῖν ἐπιεικῶς αὐτοῖς χρησαμένοις. τοιγαροῦν ὥςπερ ἀπὸ παραγραφῆς τῶν ἰδίων πράξεων ἐπὶ τὸ χεῖρον ἑώρων τὰς αὐτῶν βασιλείας ὑπὸ τοῦ δαιμονίου προαγομένας. οἱ δὲ Ῥωμαῖοι καὶ τότε καὶ μετὰ ταῦτα δικαίους ἐνιστάμενοι πολέμους, καὶ πλεῖστον ὅρκων καὶ σπονδῶν ποιούμενοι λόγον οὐκ ἀλόγως συμμάχους εἶχον τοὺς θεοὺς ἐν ἁπάσαις ταῖς ἐπιβολαῖς.

Ὅτι Φίλιππος ὁ τῶν Μακεδόνων βασιλεὺς σπανίζων τροφῆς οὐ διέλιπε τὴν ὑπ' Ἄτταλον χώραν λεηλατῶν μέχρι τῆς τῶν Περγαμηνῶν πόλεως. κατέσκαψε δὲ καὶ τὰ περὶ τὸ Πέργαμον ἱερὰ τό τε Νικηφόριον πολυτελῶς κατεσκευασμένον καὶ τἆλλα γλυφὰς ἔχοντα θαυμαζομένας εἰς τέλος παρῴνησε. δι' ὀργῆς γὰρ ἔχων τὸν Ἄτταλον, ἐπεὶ τοῦτον οὐ κατέλαβε περὶ τούτους τοὺς τόπους, τὸν θυμὸν εἰς ταῦτα κατετίθετο.

Ὅτι Φίλιππος ὁ Μακεδὼν ἐπὶ τὰς Ἀθήνας ἐλθὼν κατεστρατοπέδευσεν ἐπὶ τὸ Κυνόςαργες. μετὰ δὲ ταῦτα τὴν Ἀκαδημίαν ἐνέπρησε καὶ τοὺς τάφους κατέσκαψεν, ἔτι δὲ τὰ τεμένη τῶν θεῶν ἐλυμήνατο. χαρισάμενος δὲ τῷ θυμῷ, καθάπερ εἰς Ἀθήνας ἀλλ' οὐκ εἰς τὸ θεῖον ἐξαμαρτάνων, ὑπὸ μὲν τῶν ἀνθρώπων καὶ πάλαι βλασφημούμενος τότε τελέως ἐμισήθη, ὑπὸ δὲ θεῶν ταχὺ τῆς προςηκούσης ἐπιτιμήσεως ἔτυχε, διὰ μὲν τὴν ἰδίαν ἀβουλίαν τοῖς ὅλοις σφαλείς, διὰ δὲ τὴν Ῥωμαίων ἐπιείκειαν τυχὼν συγγνώμης.

Ὅτι Φίλιππος θεωρῶν τῶν Μακεδόνων τοὺς πλείστους ἑαυτῷ χαλεπῶς ἔχοντας ἐπὶ τῷ τὸν Ἡρακλείδην ἔχειν φίλον, παρέδωκεν αὐτὸν εἰς τὴν φυλακήν. ἦν δὲ οὗτος Ταραντῖνος μὲν τὸ γένος, πονηρίᾳ δὲ ὑπερβαλλούσῃ χρώμενος, καὶ τὸν Φίλιππον ἐξ ἐπιεικοῦς βασιλέως πεποιηκὼς πικρὸν καὶ ἀσεβῆ τύραννον. διὸ δὴ καὶ

573. 5. ἐπιβαλόμενος Wesselingius, ἐπιλαβόμενος V 8. 15. αὐτῶν V 26. παρῴνησε Wesselingius, παρῴνισε V

παρὰ πᾶσι τοῖς Μακεδόσι καὶ τοῖς Ἕλλησιν ὑπερβαλλόντως συνέβαινε μισεῖσθαι τὸν Ἡρακλείδην.

Ὅτι Ἀννίβας διὰ μόνης τῆς περὶ αὐτὸν φήμης καθ' ὅλην τὴν οἰκουμένην περίβλεπτος ἐγίνετο, κατὰ πᾶσαν πόλιν ἑκάστου σπεύδοντος θεάσασθαι τὸν ἄνδρα.

Ὅτι ὁ Πτολεμαῖος ὁ τῆς Αἰγύπτου βασιλεὺς μέχρι μέν τινος ἐπῃνεῖτο· Ἀριστομένη δὲ τὸν ἐπίτροπον αὐτοῦ γεγενημένον καὶ πάντα καλῶς διῳκηκότα τὴν μὲν 574 ἀρχὴν ἠγάπα καθαπερεὶ πατέρα, καὶ πάντα ἔπραττεν ἀπὸ τῆς ἐκείνου γνώμης· μετὰ δὲ ταῦτα ὑπὸ τῶν κολακευόντων διαφθαρεὶς τὴν ψυχὴν τόν τε Ἀριστομένη παῤῥησιαζόμενον ἐμίσησε καὶ τέλος συνηνάγκασεν αὐτὸν πιόντα κώνειον τελευτῆσαι. ἀεὶ δὲ μᾶλλον θηριούμενος καὶ τυραννικὴν παρανομίαν ἀλλ' οὐ βασιλικὴν ἐξουσίαν ζηλώσας, ἐμισήθη μὲν ὑπὸ τῶν Αἰγυπτίων, ἐκινδύνευσε δὲ ἀποβαλεῖν τὴν βασιλείαν.

Ὅτι τὸ Δήλιον ἱερὸν ἦν οὐ μακρὰν ἀπέχον τῆς Χαλκίδος. διόπερ ὁ βασιλεὺς ὑπὸ τῶν Ἑλλήνων ἐβλασφημεῖτο, τὴν ἀρχὴν τοῦ πρὸς Ῥωμαίους πολέμου πεποιημένος ἐξ ἀσεβείας. οὗ συνελθόντος Φλαμίνιος περὶ Κόρινθον διατρίβων ἐπεμαρτύρατο πάντας ἀνθρώπους τε καὶ θεοὺς ἐπὶ τῷ προκατῆρχθαι τοῦ πολέμου τὸν βασιλέα.

Ὅτι Ἀντίοχος ἐν Δημητριάδι τὴν παραχειμασίαν ποιούμενος, καὶ πλείω τῶν πεντήκοντα ἐτῶν βεβιωκώς, τῆς μὲν περὶ τὸν πόλεμον παρασκευῆς ἠμέλησε, παρθένου δὲ εὐπρεποῦς ἐρασθεὶς ἐκάθητο τοὺς ταύτης ἐπιτελῶν γάμους καὶ πανηγύρεις λαμπρὰς συνήγαγε. ταῦτα δὲ πράττων οὐ μόνον ἑαυτοῦ τὸ σῶμα καὶ τὴν ψυχὴν διέφθειρεν, ἀλλὰ καὶ τὰς τῶν δυνάμεων ὁρμὰς ἐξέλυσε, καὶ οἱ στρατιῶται τὸν χειμῶνα κατατετριφότες ἐν ἀνέσει καὶ τρυφῇ κακῶς ἀπήλλαττον ἐν ταῖς ἀπορίαις, οὔτε δίψαν οὔτε ἄλλην κακοπάθειαν φέρειν δυνάμενοι. διόπερ αὐτῶν οἱ μὲν εἰς νόσους ἐνέπιπτον, οἱ δὲ ἐν ταῖς ὁδοῖς ὑπολειπόμενοι πολὺ τῶν τάξεων ἀπεσπῶντο.

Ὅτι Ἀντίοχος ὁ βασιλεὺς τὰς ἐν Θετταλίᾳ πόλεις πυνθανόμενος πρὸς Ῥωμαίους μετατεθεῖσθαι, τὰς δὲ ἐκ τῆς Ἀσίας δυνάμεις ὑστερούσας καὶ τοὺς Αἰτωλοὺς καταμελοῦντας καὶ προφάσεις ἀεὶ πορίζομένους, ἐν ἀγωνίᾳ πολλῇ καθειστήκει. διὸ καὶ τοὺς πεποιηκότας αὐτὸν ἀπαράσκευον ὄντα καὶ πείσαντας ἐπὶ τὴν τῶν Αἰτωλῶν

574. 69. συνελθόντος] immo συντελεσθέντος: conf. ad p. 583. 27. 82. ἀπορίαις] an πορείαις? 90. πεποιηκότας] πεπεικότας Reiskius: nec caetera integra sunt



συμμαχίαν τὸν πόλεμον ἐπανελέσθαι δι' ὀργῆς εἶχε· τὸν δὲ Ἀννίβαν τὴν ἐναντίαν γνώμην ἐσχηκότα τότε ἐθαύμαζε καὶ τὰς ἐλπίδας εἶχεν ἐν τούτῳ· τὸν δὲ πρὸ τούτου χρόνον ὑπόπτως πρὸς αὐτὸν διακείμενος τότε πιστότατον αὐτὸν εἶχε φίλον καὶ ἀπὸ τῆς τούτου γνώμης πάντα ἔπραττε.

Ὅτι ὁ Ἀντίοχος διὰ τὴν ἧτταν ταπεινωθεὶς ἔκρινε τῆς μὲν Εὐρώπης ἐξίστασθαι, περὶ δὲ τῆς Ἀσίας διαγωνίζεσθαι. καὶ προςέταξε τοῖς Λυσιμαχεῦσι πανδημεὶ τὴν πόλιν ἐκλιπεῖν, εἰς δὲ τὰς κατὰ τὴν Ἀσίαν πόλεις μετοικῆσαι. καὶ ἔδοξε πᾶσιν ἀφρόνως βεβουλεῦσθαι, καὶ πόλιν ἐπικαιρότατα κειμένην πρὸς τὸ διακωλῦσαι τοὺς πολεμίους ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν περαιοῦν τὰς δυνάμεις ἀκονιτὶ προέσθαι τοῖς πολεμίοις. ἀκολούθως δὲ τῇ διαλήψει ταύτῃ καὶ τὸ τῶν ἀποτελεσμάτων ἔργον 575 ἐπληρώθη. ὁ γὰρ Σκιπίων τὴν πόλιν καταλαβὼν ἔρημον αὐτομάτως εὐημέρησε ταύτην καταλαβών.

Ὅτι Μάρκος Φολούιος στρατηγὸς ὢν παρανομήσας εἰς τοὺς κατὰ τὴν Λιγυστικὴν συμμάχους ἔτυχε τῆς προςηκούσης κολάσεως. παρελθὼν γὰρ εἰς τοὺς ὀνομαζομένους Κενομανοὺς ὡς φίλος παρείλετο τὰ ὅπλα, μηδὲν ἔχων ἔγκλημα. ὁ δὲ ὕπατος πυθόμενος τὸ γεγονός, τούτοις μὲν ἀπέδωκε τὰ ὅπλα, τὸν δὲ Μάρκον ἐζημίωσε χρήμασι.

Ὅτι Ἀντίοχος ἀπορῶν χρημάτων, ἀκούων δὲ κατὰ τὴν Ἐλυμαΐδα τὸ ἱερὸν τὸ τοῦ Βήλου πολὺν ἐκ τῶν ἀναθημάτων ἔχειν ἄργυρόν τε καὶ χρυσόν, ἔγνω τοῦτο συλῆσαι. καὶ ἥκων εἰς τὴν Ἐλυμαΐδα, καὶ καταιτιασάμενος τοὺς ἐγχωρίους πολέμου κατάρχεσθαι, τὸ μὲν ἱερὸν ἐσύλησε, χρημάτων δὲ πλῆθος ἀθροίσας ταχὺ τῆς προςηκούσης ἐκ θεῶν ἔτυχε κολάσεως.

Ὅτι ὁ Φιλοποίμην ὁ τῶν Ἀχαιῶν στρατηγὸς ἀνὴρ ἐγεγόνει φρονήσει καὶ στρατηγίᾳ καὶ ταῖς ἄλλαις ἀρεταῖς διαφέρων, πάντα τὸν τοῦ ζῆν χρόνον πεπολιτευμένος ἀμέμπτως. καὶ πολλάκις μὲν στρατηγίας ἠξιώθη, τεσσαράκοντα ἔτη τοῦ πολιτεύματος ἡγούμενος, μάλιστα δὲ τῶν ἄλλων εἰς κοινὸν ηὐξηκὼς τὴν Ἀχαιῶν συμπολιτείαν, πρός τε τοὺς ἰδιώτας ἡμερώτατα πολιτευόμενος καὶ δι' ἀρετὴν παρὰ Ῥωμαίων ἀποδοχῆς τετευχώς, ἐπὶ δὲ τῆς τοῦ βίου καταστροφῆς ἀγνώμονι τύχῃ συγκεχρημένος. ἀλλ' ὅμως μετὰ τὴν τελευτὴν ὡςπερεί τινι θείᾳ προνοίᾳ τὰς ἰσοθέους τιμὰς ἠλλάξατο τῶν κατὰ τὴν τελευτὴν

95. τὸν δὲ] malim τόν τε
575. 35. ἰσοθέους Valesius, εἰς θεοὺς V

ἀπηντηκότων ἀκληρημάτων. χωρὶς δὲ τῶν κοινῇ τοῖς Ἀχαιοῖς καταψηφισθέντων εἰς τιμὴν τἀνδρὸς ἡ πατρὶς ἱδρύσατο, καὶ τοῦ βουθυτεῖν αὐτῷ κατ' ἐνιαυτὸν καὶ τῆς ἀρετῆς ἐγκώμιά τε καὶ ὕμνους κατέδειξεν ᾄδειν τοὺς νέους.

Ὅτι ὁ Ἀννίβας στρατηγικῇ συνέσει καὶ μεγέθει πράξεων πάντων Καρχηδονίων πεπρωτευκὼς οὐδέποτε στάσιν ἔσχεν ἐν τῷ στρατεύματι, ἀλλὰ τῇ φύσει πλεῖστον διεστῶτα καὶ διαλέκτοις πολυφώνοις διειλημμένα διὰ τῆς ἰδίας προνοίας ἐν ὁμονοίᾳ καὶ συμφωνίᾳ διετήρησεν. ὁμοίως δὲ τῶν ὁμοεθνῶν εἰωθότων διὰ τὰς τυχούσας αἰτίας ἀφίστασθαι πρὸς τοὺς ἐναντίους, οὐδεὶς ἐπ' αὐτοῦ τοῦτο ἐτόλμησε. μεγάλας δὲ δυνάμεις ἀεὶ τρέφων οὐδέποτε χρημάτων οὐδὲ τροφῆς ἠπόρησε, καὶ τὸ πάντων παραδοξότατον, οἱ μετ' αὐτοῦ στρατευόμενοι τῶν ἀλλοεθνῶν τῆς πολιτικῆς εὐνοίας οὐκ ἀπελείφθησαν, ἀλλὰ πολὺ διήνεγκαν. τοιγαροῦν καλῶς ἄρχων τῶν στρατιωτῶν καλὰς καὶ τὰς πράξεις ἐπετελέσατο. πρὸς γὰρ τοὺς δυνατωτάτους πόλεμον ἐξενέγκας ἑπτακαίδεκα ἔτη σχεδὸν τὴν Ἰταλίαν ἐπόρθησεν, ἀήττητος δὲ ἐν πάσαις ταῖς μάχαις ἐγένετο· τηλικαύταις δὲ καὶ τοσαύταις πράξεσι τοὺς τῆς οἰκουμένης ἡγεμόνας ἐνίκησεν ὥςτε διὰ τὸ πλῆθος τῶν κατακοπτομένων ὑπ' αὐτοῦ μηδένα ποτὲ τολμᾶν ἔτι κατὰ στόμα μάχεσθαι πρὸς αὐτόν. πολλὰς μὲν πόλεις δοριαλώτους κατέκαιε, τὰ δὲ κατὰ τὴν Ἰταλίαν ἔθνη πολυανθρωπίᾳ διαφέροντα σπανίζειν ἐποίησεν 576 ἀνδρῶν. καὶ τὰς περιβοήτους πράξεις ἐπετελέσατο πολιτικοῖς μὲν τελέσμασι καὶ δυνάμεσι, μισθοφόροις δὲ καὶ συμμάχοις παμμεγεθέσι, καὶ διὰ τὴν συμφωνίαν δυςυποστάτων περιεγένετο διὰ τῆς ἰδίας ἀγχινοίας καὶ στρατηγικῆς ἀρετῆς, καὶ πᾶσιν ἔδειξεν ὅτι καθάπερ ἐπὶ τοῦ σώματος ὁ νοῦς, οὕτως ἐπὶ στρατεύματος ὁ τὴν ἡγεμονίαν ἔχων ποιεῖ τὰ κατορθώματα.

Ὅτι ὁ Σκιπίων νέος ὢν παντελῶς κατὰ τὴν Ἰβηρίαν ἀνελπίστως ἐχρήσατο, καταπολεμήσας τοὺς Καρχηδονίους, τὴν δὲ πατρίδα κινδυνεύουσαν ἐξείλετο τῶν μεγίστων κινδύνων. τὸν γὰρ ἀήττητον Ἀννίβαν διὰ τῆς ἐπινοίας ἠνάγκασεν ἄνευ μάχης καὶ κινδύνων ἐκ τῆς Ἰταλίας ἐκχωρῆσαι. τὸ δὲ τελευταῖον ἐκ τῆς ἀνδρείας τε καὶ στρατηγίας μεγάλῃ παρατάξει τὸν ἀνίκητον γεγενημένον Ἀννίβαν καταπολεμήσας ἥττησε τὴν Καρχηδόνα.

Ὅτι Λεώκριτος ὁ τοῦ Φαρνάκου στρατηγὸς συνεχεῖς προςβολὰς ποιούμενος ἠνάγκασε τοὺς ἐν τῷ Τίῳ μισθοφόρους τὴν μὲν πόλιν παραδοῦναι, αὐτοὺς δὲ ὑποσπόνδους προπεμφθῆναι μετὰ ἀσφαλείας. τῶν δὲ μισθοφόρων τότε μὲν ἐκ τῆς πόλεως κατὰ τὰς συνθήκας προπεμπομένων, ἐν δὲ τοῖς ἐπάνω χρόνοις ἠδικηκότων τὸν Φαρνάκην, ὁ Λεώκριτος ἐντολὰς ἔχων παρὰ τοῦ Φαρνάκου πάντας ἀνελεῖν, παρεσπόνδησε τοὺς μισθοφόρους· κατὰ δὲ τὴν ἐκ τοῦ Τίου μετάστασιν αὐτοῖς ἐπέθετο κατὰ τὴν ὁδοιπορίαν καὶ πάντας κατηκόντισεν.

Ὅτι ὁ Σέλευκος ἀξιόλογον δύναμιν ἀναλαβὼν προῆγεν ὡς ὑπερβησόμενος τὸν Ταῦρον ἐπὶ τὴν βοήθειαν τοῦ Φαρνάκου· ἔννοιαν δὲ λαβὼν τῶν πρὸς Ῥωμαίους τῷ πατρὶ γενομένων συνθηκῶν, καθ' ἃς οὐκ ἐξῆν

Ὅτι οἱ τὰ δεινὰ τολμήσαντες καὶ τὸν Δημήτριον ἀνελόντες οὐκ ἐξέφυγον τὴν τοῦ δικαίου δαιμονίου τιμωρίαν, ἀλλ' οἱ μὲν ἐκ Ῥώμης τὰς ψευδεῖς διαβολὰς πλασάμενοι μετ' ὀλίγον χρόνον τῷ βασιλεῖ προςκόψαντες ἀνῃρέθησαν, ὁ δὲ Φίλιππος τὸν λοιπὸν τοῦ ζῆν χρόνον ὀνειροπολούμενος καὶ διὰ τὴν συνείδησιν τῆς εἰς τὸν εὐγενέστατον υἱὸν ἀσεβείας ταραττόμενος οὐδὲ διετῆ χρόνον ἐπεβίωσε, τῇ δὲ λύπῃ ἀδιορθώτως συνεχόμενος κατέστρεψε τὸν βίον. ὁ δὲ πάντων τῶν κακῶν ἀρχιτέκτων Περσεὺς ὑπὸ Ῥωμαίων καταπολεμηθείς, καὶ φυγὼν εἰς Σαμοθρᾴκην, ἄκυρον ἔσχε τὴν τῶν ἁγνοτάτων θεῶν ἱκεσίαν διὰ τὴν ὑπερβολὴν τῆς εἰς τὸν ἀδελφὸν τετολμημένης ἀσεβείας.

577 Ὅτι Τιβέριος Γράκχος ἐξαπέλεκυς ὢν στρατηγὸς ἐνεργῶς διῴκει τὰ κατὰ τὸν πόλεμον. οὗτος γὰρ νέος ὢν τὴν ἡλικίαν πάντων ἡλικιωτῶν διέφερεν ἀνδρείᾳ καὶ φρονήσει· θαυμαζόμενος δὲ ἐπ' ἀρετῇ καὶ μεγάλας τοῦ μέλλοντος ὑποφαίνων ἐλπίδας πολὺ τῶν ἡλικιωτῶν προεῖχε δόξῃ.

Ὅτι ὁ Αἰμίλιος ὁ ὕπατος ὁ καὶ πάτρων γεγονὼς ἦν εὐγενής τε καὶ κατὰ τὴν ὄψιν εὐπρεπής, ἔτι δὲ συνέσει πολὺ διαφέρων τῶν ἄλλων. διόπερ ἡ μὲν πατρὶς αὐτὸν ἁπάσαις ταῖς ἐπιδόξοις ἀρχαῖς ἐτίμησεν, αὐτὸς δὲ ἔν τε τῷ ζῆν διετέλεσεν ἐπαινούμενος καὶ τῆς μετὰ θάνατον εὐφημίας προενοήθη μετὰ τοῦ τῆς πατρίδος συμφέροντος.

37. ἀκληρημάτων] ἀκληρωμάτων V     τῶν addidit Salmasius     38. καταψηφισθέντων Valesius, κατεψηφίσθη τῶν V     39. ἱδρύσατο] ad hoc deest ἀνδρίαντα, post τἀνδρὸς fortasse ponendum     τοῦ] τὸ Reiskius, ego deleam     56. ἑπτακαίδεκα] ιε' V     59. πράξεσι] malim παρατάξεσι

576. 67. παμμεγεθέσι καὶ] fortasse scribendum παμμιγέσι τῶν     72. κατὰ] τοῖς κατὰ Reiskius

83. Τίῳ Valesius, Πίῳ V et Πίου 89     89. κατὰ] fort. μετὰ

Ὅτι Ἀντίοχος προσφάτως παρειληφὼς τὴν βασιλείαν ἐνεστήσατο βίον παράλογον καὶ ἀσυνήθη τοῖς ἄλλοις βασιλεῦσι. πρῶτον μὲν γὰρ ἐκ τῶν βασιλείων ὑπάγων λάθρα τῆς θεραπείας περιῄει τὴν πόλιν, ἀλύων ὅπου τύχοι δεύτερος ἢ τρίτος· μετὰ δὲ ταῦτα ἐφιλοτιμεῖτο μετὰ δημοτῶν ἀνθρώπων συγκαταῤῥιπτεῖν οἷ τύχοι καὶ μετὰ τῶν παρεπιδημούντων ξένων εὐτελεστάτων συμπίνειν. καθόλου δ' εἴ τινας τῶν νέων αἴσθοιτο ἀφ' ἡμέρας μετ' ἀλλήλων γενομένους, ἐξαίφνης ἐπὶ κῶμον παρεγένετο μετὰ κερατίου καὶ συμφωνίας, ὥςτε διὰ τὸ παράδοξον τῶν ἰδιωτῶν τοὺς μὲν φεύγειν, τοὺς δὲ διὰ τὸν φόβον σιωπᾶν. τὸ δὲ τελευταῖον τὴν βασιλικὴν ἐσθῆτα καταθέμενος περιεβάλλετο τήβενναν, καθάπερ ἦν ἑωρακὼς ἐν Ῥώμῃ τοὺς μεταπορευομένους τὰς ἀρχάς, ἐνετύγχανέ τε τοῖς ἰδιώταις ἀσπαζόμενος καὶ περιπτύσσων ἕκαστον, καὶ ποτὲ μὲν παρακαλῶν φέρειν ἑαυτῷ τὴν ψῆφον ὡς ἀγορανόμῳ, ποτὲ δὲ ὡς δημάρχῳ· τυχὼν δὲ ἀρχῆς ἐκάθιζεν ἐπὶ δίφρον ἐλεφάντινον, καὶ καθὼς ἐστι Ῥωμαίοις ἔθιμον, διήκουε τῶν πρὸς ἀλλήλους ἀμφιςβητούντων περὶ τῶν ἐν τῷ βίῳ συμβολαίων. καὶ ταῦτ' ἔπραττε μετὰ πολλῆς ἐπιστάσεως καὶ φιλοτιμίας, ὥςτε τοὺς χαριεστάτους ἄνδρας ἀπορεῖν περὶ αὐτοῦ· οἱ μὲν γὰρ ἀφέλειαν, οἱ δὲ ἀλογίαν, τινὲς δὲ μανίαν αὐτοῦ κατεγίνωσκον.

Ὅτι μετὰ τὴν ἐπιβουλὴν τὴν κατὰ Εὐμένους εἰς τὸ Πέργαμον διαδοθείσης φήμης ὅτι τετελεύτηκεν Εὐμένης Ἄτταλος ἐπεπλάκη τῇ βασιλίσσῃ προχειρότερον. οὐ μὴν Εὐμένης γε προςεποιήθη μετὰ ταῦτ' ἀνακάμψας, ἀλλὰ φιλοφρόνως ἀσπασάμενος τὸν ἀδελφὸν διέμεινεν ἐν τῇ πρὸς αὐτὸν εὐνοίᾳ.

Ὅτι ὁ Κότυς ὁ τῶν Θρᾳκῶν βασιλεὺς ἦν ἐν τοῖς πολέμοις ἀνὴρ ἔμπρακτος ἐμφερόμενος καὶ γνώμῃ διαφέρων, ἔν τε τοῖς ἄλλοις σπουδαῖος καὶ φιλίας ἄξιος. 578 ἦν δὲ καὶ νήπτης καὶ σώφρων καθ' ὑπερβολήν, ἔτι δὲ τὸ μέγιστον, πάντων τῶν τοῖς Θρᾳξὶ παρακολουθούντων κακῶν ἀλλοτριώτατος.

Ὅτι τὸ Χάλεστρον τὸ πολισμάτιον πολιορκήσας ὁ Περσεύς, καὶ πάντας ἀποσφάξας, περὶ πεντακοσίους δὲ συμφυγόντων εἴς τινα τόπον ὀχυρὸν μετὰ τῶν ὅπλων καὶ αἰτησαμένων ἀσφάλειαν, ἔδωκεν αὐτοῖς τὴν ἐξουσίαν

577. 27. ὑπάγων Salmasius, ὑπάτων V  30. οἷ τύχοι Wesselingius, εἰ τυχὸν V  36. ἐσθῆτα] ἐσθῆτα V  43. διήκουε Polybius XXVI. 10. 7., διηκούετο V  56. ἔμπρακτος] ἐμπράκτως Valesius

578, 59. τῶν om. V  61. πολιορκήσας] aptius ἐκπολιορκήσας



ἀποθεμένοις τὰ ὅπλα σώζεσθαι. τῶν δὲ ποιησαμένων τὸ συγχωρηθέν, οἱ Μακεδόνες εἴτ' ἀφ' ἑαυτῶν εἴτε καὶ τοῦ βασιλέως προςτάξαντος ἐπηκολούθησαν τοῖς λαβοῦσι τὴν πίστιν καὶ πάντας ἀπέσφαξαν.

Ὅτι κατὰ τὴν Ἤπειρον Χάροψ υἱὸς τοῦ τὴν αὐτὴν ἔχοντος προςηγορίαν κατὰ τὸν πρὸς Φίλιππον πόλεμον ἐξαπεσταλκότος Φλαμενίνῳ τὸν ἡγησόμενον τῆς ἀνελπίστου διὰ τῶν ὀρῶν ἀτραποῦ, δι' ὧν οἱ Ῥωμαῖοι παραδόξως πορευθέντες τῶν στενῶν ἐκράτησαν. τραφεὶς δὲ ἐν Ῥώμῃ διὰ τὴν τοῦ πάππου πρὸς Ῥωμαίους φιλίαν πολλοῖς τῶν ἐπισήμων ἐπεξενώθη. ὢν δὲ τολμηρὸς καὶ πονηρίᾳ διαφέρων, τοὺς ἐνδοξοτάτους τῶν Ἠπειρωτῶν διέβαλλε πρὸς Ῥωμαίους ψευδεῖς ἐπιῤῥίπτων αἰτίας, ὅπως ἅπαντας καταπληξάμενος τοὺς δυναμένους ἀντιπολιτεύεσθαι καθαπερεὶ κύριος ἁπάσης τῆς Ἠπείρου. διόπερ πρὸς Περσέα ἐξαπέστειλαν εἰς Μακεδονίαν, ἐπαγγελλόμενοι παραδώσειν τὴν Ἤπειρον.

Ὅτι οἱ περὶ τὸν Εὐμένη τὴν τῶν Ἀβδηριτῶν πόλιν πολιορκοῦντες, καὶ τὴν ἐκ τῆς βίας ἅλωσιν ἀπογνόντες, διεπέμψαντο λάθρᾳ πρός τινα Πύθωνα τῇ δόξῃ πρωτεύοντα τῶν Ἀβδηριτῶν καὶ τὸ κυριεῦον μέρος διαφυλάττοντα διὰ δούλων ἰδίων καὶ ἀπελευθέρων διακοσίων. ψυχαγωγήσαντες οὖν αὐτὸν ἐπαγγελίαις διὰ τούτου παρειςήχθησαν ἐντὸς τοῦ τείχους καὶ τῆς πόλεως ἐκυρίευσαν. ὁ δὲ τὴν πόλιν προδοὺς Πύθων μετρίας τυχὼν εὐεργεσίας, πρὸ ὀφθαλμῶν λαμβάνων τὴν τῆς πατρίδος κατασκαφήν, ἐν ἀθυμίᾳ καὶ μεταμελείᾳ τὸν καταλειπόμενον ἐβίωσε χρόνον.

Ὅτι ὁ Περσεὺς κάλλιστον εἰληφὼς παρὰ τῆς τύχης καιρὸν εἰς τὸ διαφθεῖραι τὴν δύναμιν ἄρδην τῶν Ῥωμαίων, διέτριβε περὶ Δῖον τῆς Μακεδονίας, ἀπέχων μὲν οὐ πολὺ τῶν τόπων, ῥαθυμῶν δὲ περὶ τὰ μέγιστα τῶν 579 πραγμάτων. κραυγῆς γὰρ μόνον ἦν χρεία καὶ σάλπιγγος εἰς τὸ τὴν στρατιὰν τῶν πολεμίων λαβεῖν αἰχμάλωτον, περικεκλεισμένην ἐν κρημνοῖς καὶ φάραγξι δυςεξιτήταις. διόπερ ἐκείνου περὶ τούτων ἠμεληκότος, καὶ οἱ τὴν παρεμβολὴν ἔχοντες ἐπὶ τὰς ἀκρωρείας Μακεδόνες περὶ τὰς φυλακὰς καὶ τὰς ἐκκοιτίας ἐῤῥαθύμουν.

Ὅτι τελέως ὁ Περσεὺς νομίσας ἐπταικέναι τοῖς ὅλοις, κατὰ πᾶν συντριβεὶς τῇ ψυχῇ Νίκωνα μὲν τὸν θησαυ-

70. υἱὸς] υἱωνὸς Wesselingius, υἱιδοῦς Reiskius  71. κατὰ] καὶ κατὰ Reiskius  79. ad ὅπως deesse verbum monet Wesselingius  82. ἐπαγγελόμενοι V

579. 1. στρατιὰν] στρατείαν V  5. τὰς ἀκρωρείας] ταῖς ἀκρωρείαις Reiskius  6. ἐκκοιτίας] κοιτίας V  ἐραθύμουν V

ροφύλακα ἐξέπεμψε, συντάξας τὴν ἐν τῷ Φάκῳ γάζαν καὶ τὰ χρήματα καταποντίσαι, Ἀνδρόνικον δὲ τὸν σωματοφύλακα εἰς Θεσσαλονίκην, συντάξας ἐμπρῆσαι τὰ νεώρια τὴν ταχίστην. ὃς γενηθεὶς τούτου φρονιμώτερος ἦλθεν εἰς Θεσσαλονίκην, οὐ μὴν ἐποίησε τὸ προσταχθέν, νομίζων φίλιον τοῖς ὅλοις κρατεῖν Ῥωμαίοις.

Ὅτι ὁ αὐτὸς τοὺς χρυσοῦς ἀνδριάντας ἀνασπάσας ἐκ Δίου, πάντας τοὺς ἐκ τῆς πόλεως ἀναλαβὼν μετὰ τέκνων καὶ γυναικῶν ἀνεχώρησεν εἰς Πύδναν. οὐ μεῖζον ἁμάρτημα τῷ Περσεῖ πεπραγμένον οὐκ ἄν τις εὕροι.

Ὅτι οἱ Κυδωνιᾶται ἐπετελέσαντο πρᾶξιν ἔκνομον καὶ τελέως ἀλλοτριωτάτην τῶν Ἑλληνικῶν νομίμων. ἐν εἰρήνῃ γὰρ ὡς φίλοι πιστευόμενοι καταλαβόντες τὴν τῶν Ἀπολλωνιατῶν πόλιν τοὺς μὲν ἄνδρας ἡβηδὸν ἀνεῖλον, τέκνα δὲ καὶ γυναῖκας διανειμάμενοι κατεῖχον τὴν πόλιν.

Ὅτι ὁ Ἀντίοχος δυνάμενος ἐλασσωθέντας τοὺς Αἰγυπτίους ἀποκτεῖναι, παριππεύων ἐβόα μὴ κτείνειν αὐτούς, ἀλλὰ ζῶντας συλλαμβάνειν. ταχὺ δὲ τοὺς καρποὺς ταύτης ἀγχινοίας ἐκομίσατο, καὶ περὶ τὴν τοῦ Πηλουσίου κατάληψιν καὶ μετὰ ταῦτα τὴν κατάκτησιν τῆς Αἰγύπτου ταυτης τῆς φιλανθρωπίας μέγιστα συμβαλομένης.

Ἡμεῖς δὲ τοῦ Πτολεμαίου τὴν οὕτως ἀγεννῆ φύσιν οὐκ ἂν προηγουμένως ἀνεπισήμαντον ἐάσαιμεν. τὸ γὰρ ἐκτὸς γενόμενον τῶν δεινῶν καὶ τοσαῦτα ἀφεστηκότα τῶν πολεμίων αὐτόθεν καθάπερ ἀκονιτὶ παραχωρῆσαι βασιλείας μεγίστης καὶ μακαριωτάτης πῶς οὐκ ἄν τις ἡγήσαιτο ψυχῆς τελείως ἐκτεθηλυμένης εἶναι; ἣν εἰ μὲν συνέβαινε φυσικῶς ὑπάρχειν Πτολεμαίῳ τοιαύτην, ἴσως ἄν τις ἐκείνην καταμέμψαιτο· ὅτε δὲ διὰ τῶν ὕστερον πράξεων ἡ φύσις ἱκανῶς ὑπὲρ αὐτῆς ἀπελογήθη, δείξασα τὸν βασιλέα καὶ στάσιμον ὄντα καὶ δραστικὸν οὐδενὸς ἧττον, ἀναγκαῖόν ἐστι τὰς αἰτίας ἀνατιθέναι τῆς τότε δειλίας καὶ ἀγεννείας εἰς τὸν σπάδωνα καὶ τὴν ἐκείνου 580 συντροφίαν, ὃς ἐκ παιδὸς τὸ μειράκιον ἐν τρυφῇ καὶ γυναικείοις ἐπιτηδεύμασι συνέχων διέφθειρεν αὐτοῦ τὴν ψυχήν.

Ὅτι ὁ Ἀντίοχος ἀνὴρ ἐφάνη πραγματικὸς καὶ τοῦ

14. φίλιον] κάλλιον Reiskius 15. κρατεῖν] πράττειν vertit Valesius Ῥωμαίοις] Ῥωμαίους Salmasius 30. ταύτης] ταύτης τῆς Reiskius περὶ] „leg. πρὸς“ VALES., quibus ut videtur negligentius inspectis Wesselingius „in veteri libro πρὸς erat, quod sperni non debebat.“ 34. ἀγεννῆ] ἀγενῆ V 36. τοσαῦτα] nonne τοσοῦτον?

580. 47. συντροφίαν Wesselingius, συστροφίαν V



προσχήματος τῆς βασιλείας ἄξιος πλὴν τοῦ κατὰ τὸ Πηλούσιον στρατηγήματος.

Ὅτι ὁ Περσεὺς πυθόμενος ἐπιλέκτους Γαλάτας πεπερακέναι τὸν Ἴστρον ἐπὶ συμμαχίᾳ, περιχαρὴς γενόμενος ἀπέστειλεν εἰς τὴν Μαιδικήν, προτρεπόμενος ἥκειν τὴν ταχίστην. ὁ δὲ τῶν Γαλατῶν ἡγούμενος συμφωνήσας μισθὸν ᾔτει τακτόν, τοῦ σύμπαντος χρήματος εἰς πεντακόσια τάλαντα γινομένου. τοῦ δὲ Περσέως ὁμολογήσαντος μὲν δώσειν, οὐ ποιοῦντος δὲ τὸ συμφωνηθὲν διὰ φιλαργυρίαν, ἐπανῆλθον εἰς τὴν οἰκείαν πάλιν οἱ Γαλάται.

Ὅτι Αἰμίλιος ὁ Ῥωμαῖος παραλαβὼν τὰς δυνάμεις καὶ συναγαγὼν εἰς ἐκκλησίαν προετρέψατο τῶν στρατιωτῶν τὰς ψυχὰς εἰς τὸ θαῤῥεῖν. ἦν γὰρ ὁ ἀνὴρ οὗτος περὶ ἑξήκοντα ἔτη καὶ διὰ τὰς προκατεργασθείσας πράξεις μέγιστον ἔχων τότε Ῥωμαίων ἀξίωμα. πολλὰ δὲ καὶ κατὰ τὸν πόλεμον ἐπενοήσατο ξένα καὶ τοῖς ἄλλοις δυςεξεύρετα, καὶ διὰ τῆς ἰδίας ἀγχινοίας καὶ τόλμης κατεπολέμησε τοὺς Μακεδόνας.

Ὅτι ὁ Περσεὺς βουλόμενος κατὰ τὴν φυγὴν προτρέψασθαι πλείους αὐτῷ συνεκπλεῦσαι, τῶν χρημάτων εἰς ἑξήκοντα τάλαντα προθεὶς ἔδωκε τοῖς βουλομένοις διαρπάσαι. ἐκπλεύσας δὲ καὶ κατενεχθεὶς εἰς Γαληψὸν ἔφησε πρὸς τοὺς διαρπάσαντας τὰ χρήματα ζητεῖν τὰ διὰ τῶν ὑπ᾽ Ἀλεξάνδρου καταληφθέντων κατασκευασθέντα. ἐπαγγειλάμενος οὖν ἀντιστησειν τοῖς ἀποδοῦσι τιμὴν ἠξίου ταχέως ἀνενεγκεῖν ταῦτα· πάντων δὲ προθύμως ποιησάντων ἀπολαβὼν τὰ διαρπασθέντα τοὺς δόντας ἀπεστέρησε τῆς ἐπαγγελίας.

Ὅτι ὁ Ἀλέξανδρος οὐχ ὁμοίαν ἔσχε τῷ Περσεῖ τῆς ψυχῆς διάθεσιν, ἀλλ᾽ ὁ μὲν διὰ τὴν μεγαλοψυχίαν ἁρμόζουσαν ταῖς ἰδίαις ἐπιβολαῖς ἐκτήσατο βασιλείαν, ὁ δὲ διὰ τὴν σμικρολογίαν τούς τε Κελτοὺς ἀποτριψάμενος καὶ τἆλλα τούτοις ἀκόλουθα πράξας κατέλυσε πολυχρόνιον καὶ μεγάλην βασιλείαν.

Ὅτι ὁ Αἰμίλιος μετὰ τὴν φυγὴν Περσέως ἐπεζήτει τὸν νεώτερον τῶν υἱῶν Πόπλιον Ἀφρικανόν, ὃς ἦν Αἰμιλίου κατὰ φύσιν υἱός, Σκιπίωνος δὲ τοῦ καταπολεμήσαντος Ἀννίβαν κατὰ θέσιν υἱιδοῦς, κομιδῇ νέος, ὡς ἂν περὶ τὸ ἑπτακαιδέκατον γεγονὼς ἔτος· ὃς ἐκ νέου τη- 581 λικούτοις ἀγῶσι συμπαρὼν καὶ τριβὴν λαμβάνων τῶν

55. Μαιδικὴν vertit Valesius, Μηδικὴν V 58. πεντακόσια] φ' V 73. ἑξήκοντα] ξ' V 86. ἀποτριψάμενος Wesselingius, ἀποτριφάμενος V

κατὰ πόλεμον ἔργων, οὐχ ἧττων ἐγένετο τοῦ πάππου. οὐ μὴν ἀλλὰ τούτου εὑρεθέντος * εἰς τὴν παρεμβολὴν ἀπελύθη τῆς ἀγωνίας ὁ ὕπατος, ἔχων οὐ πατρὸς πρὸς υἱὸν ἀλλὰ καθάπερ ἐρωμανῆ τινα διάθεσιν πρὸς τὸ μειράκιον.

Ὅτι ὁ Αἰμίλιος φιλανθρώπως προσενεχθεὶς τῷ Περσεῖ, καὶ πρὸς τὰ σύνδειπνα παραλαβὼν καὶ τοῦ συνεδρίου μεταδιδούς, πᾶσιν ἐνεδείξατο πρὸς μὲν τοὺς ὑφισταμένους ὄντα βαρὺν ἑαυτόν, πρὸς δὲ τοὺς κρατηθέντας ἐπιεικῆ. τὴν παραπλησίαν δὲ διάθεσιν καὶ τῶν ἄλλων ζηλούντων, τὴν τῆς οἰκουμένης ἡγεμονίαν οὐκ ἐπίφθονον εἶχεν ἡ Ῥώμη τοιούτοις χρωμένη τῶν ὅλων προστάταις.

Ὅτι οἱ Ῥωμαῖοι ἐν τοῖς ἔμπροσθεν χρόνοις τῶν μεγίστων βασιλέων Ἀντιόχου καὶ Φιλίππου πολέμῳ περιγενόμενοι τοσοῦτον ἀπέσχον τοῦ τιμωρίαν λαμβάνειν παρ' αὐτῶν ὥςτε μὴ μόνον συγχωρῆσαι τὰς βασιλείας ἔχειν, ἀλλὰ καὶ φίλους αὐτοὺς ποιήσασθαι. ἐν δὲ τούτοις τοῖς χρόνοις, προδιηγωνισμένοι πολλάκις πρὸς Περσέα καὶ κινδύνους μεγάλους ὑπομεμενηκότες, ἐπειδὴ τῆς Μακεδόνων βασιλείας ἐκράτησαν, ἐλευθέρας ἀφῆκαν τὰς ἁλούσας πόλεις παρὰ τὴν ἁπάντων προςδοκίαν. οὐ γὰρ οἷον τῶν ἄλλων ὑπέλαβεν ἄν τις, ἀλλ' οὐδ' αὐτοὶ Μακεδόνες ἤλπιζον ἀξιωθήσεσθαι τηλικαύτης φιλανθρωπίας, συνειδότες αὐτοῖς πολλὰ καὶ μεγάλα παρανενομηκόσιν εἰς Ῥωμαίους· τετυχηκότες γὰρ ἐπὶ τοῖς πρότερον ἀγνοήμασι συγγνώμης εἰκότως ἂν τοῖς ὕστερον ἁμαρτήμασιν ὑπελάμβανον ἑαυτοὺς μηδένα λόγον δίκαιον εἰς ἔλεον καὶ παραίτησιν ἀπολελεῖφθαι. οὐ μὴν ἡ σύγκλητος ἡ τῶν Ῥωμαίων ἐμνησικάκησεν, ἀλλὰ μεγαλοψύχως καὶ προςηκόντως ἑκάστοις προςηνέχθη. Περσέα μὲν γὰρ ἐκ προγόνων ὀφείλοντα χάριτας, ἐπειδὴ παρὰ τὰς συνθήκας ἄδικον ἐξήνεγκε πόλεμον, λαβόντες αἰχμάλωτον εἰς ἐλευθέραν ἀπέθεντο φυλακήν, ἐλάττονα δὲ τῶν παρανομημάτων λαμβάνοντες τιμωρίαν· τὸ δὲ τῶν Μακεδόνων ἔθνος εἰς δουλείαν δικαίως ἂν ἀγαγόντες, ἠλευθέρωσαν, οὕτως εὐγενῶς καὶ ταχέως προέμενοι τὴν εὐεργεσίαν ὥςτε μηδὲ παρὰ τῶν ἐπταικότων δέησιν ἀναμεῖναι. ὁμοίως καὶ τῶν Ἰλλυριῶν πολέμῳ κρατήσαντες αὐτονόμους ἀφῆκαν, οὐχ οὕτως ἀξίους ἡγούμενοι χάριτος τοὺς βαρβάρους ὡς ἑαυτοῖς προςήκειν νομίζοντες κατάρχειν εὐεργεσίας καὶ μὴ μεγάλα φρονεῖν ἐν ταῖς ἐξουσίαις.

581. 98. πατρὸς Valesius, πατρὸς πρὸς Toupius ad Longinum IX. 7., πρὸς V   ἐρωμανῆ Valesius, ἐρωμένην V   10. ἀπέσχον] ἀπέσχοντο V   23. ἑαυτοὺς] immo ἑαυτοῖς   29. ἐλευθέραν Valesius cum Syncello p. 267. sive p. 643. 72. ed. Wess., ἐλευθέριαν eraso ι V   30. δὲ] γε Valesius   32. ἀγαγόντες Wesselingius, ἔχοντες V   35. ὁμοίως Valesius cum Syncello, ὅμως V



Ὅτι ἔδοξε τῇ συγκλήτῳ τούς τε Μακεδόνας καὶ τοὺς Ἰλλυριοὺς ἐλευθέρους ἀφεῖναι τὰ ἡμίση διδόντας ὧν πρότερον ἐτέλουν τοῖς ἰδίοις βασιλεῦσιν.

## L. XXXI. 582

Ὅτι ὁ Περσεὺς εἰς τὸ κατάγειον ἐμβληθεὶς οἴκημα ἐκεῖ ἂν κατέστρεψε τὸν βίον, εἰ μὴ ὁ Αἰμίλιος προκαθήμενος τοῦ βουλευτηρίου καὶ τηρῶν τὸ τῇ βουλῆς ἀξίωμα etc. quae leguntur p. 516. 63. seq.

Ὅτι ὁ τῶν βαρβάρων Γαλατῶν στρατηγὸς ἀπὸ τοῦ διωγμοῦ γενόμενος καὶ συναθροίσας τοὺς αἰχμαλώτους πρᾶξιν ἐπετελέσατο βαρβαρικὴν καὶ παντελῶς ὑπερήφανον. τούς τε γὰρ τοῖς εἴδεσι καλλίστους καὶ ταῖς ἡλικίαις ἀκμαιοτάτους καταστέψας ἔθυσε τοῖς θεοῖς, εἴ γέ τις τῶν θεῶν δέχεται τὰς τοιαύτας τιμάς· τοὺς δὲ ἄλλους πάντας κατηκόντισε, πολλῶν μὲν ἐν αὐτοῖς γνωριζομένων διὰ τὰς προγεγενημένας ἐπιξενώσεις, οὐδενὸς δὲ διὰ τὴν φιλίαν ἐλεουμένου. καὶ θαυμαστὸν οὐδὲν εἰ βάρβαροι παρ' ἐλπίδας κατορθώσαντες ὑπὲρ ἄνθρωπον ἐχρήσαντο τοῖς εὐτυχήμασιν.

Ὅτι ὁ Εὐμένης ξενολογήσας τά τε ὀψώνια ἅπασιν ἀπέδωκε καὶ δωρεαῖς ἐτίμησε καὶ ἐπαγγελίαις ἐψυχαγώγει πάντας, ἐκκαλούμενος τὴν εὔνοιαν, οὐχ ὁμοίως τῷ Περσεῖ. ἐκεῖνος γὰρ δισμυρίων Γαλατῶν παραγενομένων εἰς τὸν πρὸς Ῥωμαίους πόλεμον, ἀπετρίψατο τὴν τηλικαύτην συμμαχίαν, ἵνα φείσηται τῶν χρημάτων· ὁ δ' Εὐμένης οὐ λίαν εὐπορούμενος ξενολογῶν δωρεαῖς ἐτίμα τοὺς δυναμένους μάλιστα χρείας παρέχεσθαι. τοιγαροῦν ἐκεῖνος μὲν οὐ βασιλικὴν μεγαλοφροσύνην ἀλλ' ἰδιωτικὴν τοῦ τυχόντος ἀναλαβὼν μικροψυχίαν ἅμα τῇ βασιλείᾳ πάσῃ καὶ τὸν τηρηθέντα πλοῦτον ἐπεῖδεν αἰχμάλωτον, οὗτος δὲ τῆς νίκης πάντα δεύτερα τιθέμενος οὐ μόνον ἐκ μεγάλων κινδύνων ἐῤῥύσατο τὴν βασιλείαν, ἀλλὰ καὶ πᾶν τὸ τῶν Γαλατῶν ἔθνος ὑποχείριον ἐποιήσατο.

Ὅτι ἔνιαι τῶν ἐπιβολῶν τοῦ Ἀντιόχου καὶ τῶν πράξεων βασιλικαὶ καὶ θαυμάσιαι τελέως ἦσαν, τινὲς δὲ πάλιν οὕτως εὐτελεῖς καὶ ληρώδεις ὥςθ' ὁλοσχερῶς ὑπὸ πάντων καταφρονεῖσθαι. συντελῶν γὰρ τοὺς ἀγῶνας

582. 52. καταστέψας Valesius, καταστρέψας V



πρῶτον μὲν ἐναντίαν τοῖς ἄλλοις βασιλεῦσιν ἔσχε προαίρεσιν. ἐκεῖνοι γὰρ αὔξοντες τὴν ἰδίαν βασιλείαν καὶ δυνάμεσι καὶ χρημάτων πλήθεσι, καθὸ οἷοί τ' ἦσαν ἐπεκρύπτοντο τὴν διαίρεσιν διὰ τὴν Ῥωμαίων ὑπεροχήν· οὗτος δὲ τὴν ἐναντίαν λαβὼν διάθεσιν συνήγαγε σχεδὸν ἀπὸ πάσης τῆς οἰκουμένης τοὺς ἐπιφανεστάτους ἄνδρας εἰς τὴν πανήγυριν, πάντα τὰ τοῦ βασιλείου μέρη δια-
583 φερόντως ἐκόσμησεν, εἰς ἕνα δὲ τόπον ἀθροίσας καὶ καθάπερ ἐπὶ σκηνὴν ἀναβιβάσας τὴν βασιλείαν ἅπασαν ἐποίησε μηδὲν ἀγνοεῖν τῶν περὶ αὐτόν.

Ὅτι τοὺς πολυτελεῖς ἀγῶνας καὶ τὴν θαυμαστὴν πανήγυριν ἐκτελέσας ὁ Ἀντίοχος πάντας τοὺς πρὶν ὑπερέβαλεν· ὁ δὲ δι' αὐτοῦ χειρισμὸς πολλῆς εὐτελείας καὶ καταφρονήσεως ἦν οἰκεῖος. παρέτρεχε γὰρ παρὰ τὴν πομπὴν ἱππάριον ἔχων εὐτελὲς καὶ τοὺς μὲν προάγειν κελεύων, τοὺς δὲ ἐπέχειν, ἄλλους δὲ ὡς ἔτυχε διατάττων· ὥςτε εἴ τις ἀφεῖλεν αὐτοῦ τὸ διάδημα, μηδένα τῶν ἀγνοούντων πιστεῦσαι τοῦτον εἶναι τὸν βασιλέα τὸν τῶν ὅλων κύριον, ὁρῶντα μηδ' ὑπηρέτου μετρίου φαντασίαν ἔχοντα. ἐν δὲ τοῖς πότοις αὐτὸς ἐφιστάμενος ταῖς εἰςόδοις οὓς μὲν εἰςῆγεν, οὓς δὲ ἀνέκλινε, καὶ τοὺς διακόνους τοὺς τὰς παραθέσεις φέροντας διέταττεν. ἀκολούθως δὲ τούτοις προςιὼν τοῖς εὐωχουμένοις οἷ τύχοι ποτὲ μὲν ἐκάθιζε, ποτὲ δὲ προςανέπιπτε. καὶ ποτὲ μὲν ἀποτιθέμενος τὸν ψωμόν, ποτὲ δὲ νίπτων τὸ ποτήριον, ἀνεπήδα καὶ μετανίστατο, καὶ περιῄει πάντα τὸν πότον, προπόσεις λαμβάνων ὀρθὸς καὶ τοῖς ἀκροάμασι προςπαίζων. καὶ δή ποτε προκοπτούσης ἐπὶ πολὺ τῆς ἑστιάσεως καὶ τῶν πλειόνων ἤδη κεχωρισμένων ἧκεν ὑπὸ τῶν μίμων εἰςφερόμενος περικεκαλυμμένος· τεθεὶς δὲ ἐπὶ τὴν γῆν ὑπὸ τῶν συμπαιζόντων, μετὰ ταῦτα τῆς συμφωνίας προκαλουμένης ἀνεπήδα γυμνός, καὶ τοῖς μίμοις προςπαίζων ὠρχεῖτο τῶν ὀρχήσεων τὰς γέλωτα καὶ χλευασμὸν εἰωθυίας ἐπισπᾶσθαι, ὡς πάντας αἰσχυνθέντας ἐπὶ τοῖς πραττομένοις φεύγειν ἐκ τοῦ πότου, καὶ ἕκαστον τῶν ἀπηντηκότων ἐπὶ τὴν πανήγυριν, ὅτε μὲν εἰς τὴν ὑπερβολὴν τῆς χορηγίας ἐμβλέψαι καὶ τὴν ἐν τοῖς ἀγῶσι καὶ πομπείαις οἰκονομίαν καὶ διάταξιν τῶν ὅλων, κατα-

83. διαίρεσιν] αἵρεσιν Wesselingius 87. πάντα] καὶ πάντα Valesius, πάντα τε Reiskius, male omittens τὰ βασιλείου Salmasius, βασιλέως V et mox ἐκόσμησε

583. 95. πομπὴν Valesius cum Polybio XXXI. 4. 4., σιωπὴν V 2. ἀνέκλινεν V 6. ψωμόν Valesius, ψομόν V 7. νίπτων] ῥίπτων Salmasius 8. πότον Valesius cum Polybio, τόπον V 12. εἰςφερόμενος Polybius, ἐκφερόμενος V

πλήττεσθαι καὶ θαυμάζειν καὶ τὸν βασιλέα καὶ τὴν βασιλείαν, ὅτε δὲ εἰς αὐτὸν ἀτενίσαι καὶ τὸ τῶν ἐπιτηδευμάτων κατεγνωσμένον, ἀπιστεῖν εἰ περὶ μίαν καὶ τὴν αὐτὴν φύσιν τοσαύτην ἀρετὴν καὶ κακίαν ὑπάρξαι δυνατόν ἐστιν.

Ὅτι τούτων συνελθόντων ἧκον οἱ τοῦ Γράκχου πρεσβευταὶ κατασκεψόμενοι τὴν βασιλείαν. οἷς ὁ βασιλεὺς ὡμίλησε φιλοφρόνως, ὥςτε μηδὲν ὑποπτεῦσαι περὶ αὐτοῦ πραγματικὸν ἢ διαφορᾶς ἔμφασιν ἔχον τῆς δοκούσης ὑποικουρεῖν ἐκ τῆς κατὰ τὴν Αἴγυπτον γενομένης προςκοπῆς. οὐκ ἦν δὲ τῇ προαιρέσει τοιοῦτος, ἀλλὰ καὶ τοὐναντίον ἀλλοτριώτατα διέκειτο πρὸς Ῥωμαίους.

Ὅτι τοῦ Πτολεμαίου τοῦ βασιλέως ἐκπεσόντος καὶ 584 πεζῇ ἀπερχομένου εἰς Ῥώμην, ἐγνώρισεν αὐτὸν ὁ Δημήτριος ὁ τοῦ Σελεύκου, καὶ θαυμάσας τὸ παράδοξον ἐποίησέ τι βασιλικὸν καὶ μεγαλοπρεπὲς δεῖγμα τῆς ἑαυτοῦ προαιρέσεως. παραχρῆμα γὰρ προχειρισάμενος βασιλικὴν ἐσθῆτα καὶ διάδημα, πρὸς δὲ τούτοις καὶ ἵππον πολυτελῆ χρυσοφάλαρον, μετὰ τῶν ἰδίων παίδων ἀπήντησε τῷ Πτολεμαίῳ. συμμίξας δὲ αὐτῷ τῆς πόλεως ἀπὸ διακοσίων σταδίων καὶ φιλοφρόνως ἀσπασάμενος, παρεκάλει κοσμηθέντα τοῖς τῆς βασιλείας παρασήμοις ἀξίαν ἑαυτοῦ ποιήσασθαι τὴν εἰς τὴν Ῥώμην εἴςοδον, ἵνα μὴ τελέως εὐκαταφρόνητος εἶναι δόξῃ. ὁ δὲ Πτολεμαῖος τὴν μὲν προθυμίαν ἀπεδέξατο, τοσοῦτον δὲ ἀπέσχε τοῦ δέξασθαί τι τῶν διδομένων ὥςτε καὶ τὸν Δημήτριον ἠξίωσεν ἔν τινι τῶν κατὰ τὴν ὁδὸν πόλεων καταμεῖναι καὶ τοὺς περὶ τὸν Ἀρχίαν μετ' αὐτοῦ.

Ὅτι τοῦ Ἀντιπάτρου ταῖς ἀνάγκαις ἐναποθανόντος Ἀσκληπιάδην τὸν ἐπὶ τῆς πόλεως τεταγμένον ἦγαγον βοῶντα διότι Τιμόθεος τοῦτο τὸ δρᾶμα συντέθεικε καὶ τὸ μειράκιον προκεκλημένος εἴη πρὸς ἄδικον καὶ ἀσεβῆ τιμωρίαν τἀδελφοῦ. τοῦ δὲ πλήθους τῶν ἡγεμόνων ἐκ τοῦ κατ' ὀλίγον ἔννοιαν λαμβάνοντος τῆς ὅλης ῥᾳδιουργίας καὶ τοὺς ἀνήκεστα πάσχοντας ἐλεοῦντος, φοβηθέντες οἱ περὶ Τιμόθεον τοὺς λοιποὺς τῶν καταιτιαθέντων ἀπολύσαντες τῶν βασάνων κατ' ἰδίαν ἐπανείλαντο.

Ὅτι ὁ Φιλοπάτωρ κληθεὶς Ἀριαράθης διαδεξάμενος τὴν πατρῴαν βασιλείαν πρῶτον μὲν τὸν πατέρα μεγαλοπρεπῶς ἔθαψεν· ἔπειτα τῶν τε φίλων καὶ τῶν ἐφ' ἡγε-

23. ἀτενίσαι] ἀτενίσοι V 27. συνελθόντων] συντελεσθέντων Valesius 32. προςκοπῆς Wesselingius, προκοπῆς V

584. 40. ἐσθῆτα V 50. τινι Valesius, τῇ V 55. συντέθεικε Reiskius, συντέθηκε V 57. ἐκ τοῦ] ἐκ τούτου V



μονίας τεταγμένων καὶ τῶν ἄλλων τῶν ὑποτεταγμένων τὴν καθήκουσαν ἐπιμέλειαν ποιησάμενος μεγάλην εὔνοιαν παρὰ τοῖς πλήθεσιν ἀπηνέγκατο.

Ὅτι τὸν Μιθροβουζάνην ἐπὶ τὴν πατρῴαν ἀρχὴν καταγαγόντος Ἀριαράθους Ἀρταξίας ὁ τῆς Ἀρμενίας βασιλεὺς οὐκ ἀφιστάμενος τῆς ἐξ ἀρχῆς πλεονεξίας πρέσβεις ἀπέστειλε πρὸς Ἀριαράθην, παρακαλῶν συμφρονῆσαι, καὶ τῶν νεανίσκων ἑκάτερον τὸν παρ' ἑαυτοῦ διαχειρισάμενον διελέσθαι τὴν Σωφηνήν. ὁ δὲ Ἀριαράθης πολὺ κεχωρισμένος τῆς τοιαύτης ῥᾳδιουργίας τοῖς πρεσβευταῖς ἐπέπληξε, καὶ πρὸς Ἀρταξίαν ἔγραψε παρακαλῶν αὐτὸν ἀπέχεσθαι τῶν τοιούτων ἔργων. Ἀριαράθης μὲν οὖν ἀκολούθως οὕτω γενηθείσης τῆς πράξεως οὐ μετρίως ηὔξησε τὴν περὶ αὐτοῦ δόξαν· ὁ δὲ Μιθροβουζάνης διὰ τὴν θαυμαζομένην τοῦ καταγαγόντος αὐτὸν πίστιν καὶ καλοκἀγαθίαν ἐκράτησε τῆς πατρῴας ἀρχῆς.

Ὅτι ὁ Αἰμίλιος ὁ Περσέα καταπολεμήσας τιμητὴς ὢν καὶ σχεδὸν ἐν πᾶσι τοῖς μέρεσι τῆς ἀρετῆς πρωτεύων 585 τῶν πολιτῶν ἐτελεύτησεν. ὡς δὲ ἡ περὶ αὐτοῦ φήμη τῆς τελευτῆς διεδόθη καὶ συνήγγιζεν ὁ τῆς ἐκφορᾶς καιρός, τοιαύτην συνέβη γενέσθαι πάσης τῆς πόλεως συμπάθειαν ὥςτε μὴ μόνον τοὺς ἐργαστηριακοὺς καὶ τὸν ἄλλον ὄχλον συντρέχειν, ἀλλὰ καὶ τοὺς ἄρχοντας καὶ τὴν σύγκλητον ὑπερθέσθαι τοὺς χρηματισμούς. ἀκολούθως δὲ τούτοις καὶ τῶν περιοικουσῶν τὴν Ῥώμην πόλεων ὅσαις ὁ χρόνος τὴν ἀναστροφὴν ἐδίδου ἐλθεῖν πρὸς τὸν τῆς ἐκφορᾶς καιρόν, καὶ τῶν τὴν εἰς τὴν Ῥώμην τιμὴν σχεδὸν τιμὴν μετὰ προθυμίας, ἅμα θεασόμενοι καὶ τιμήσοντες τὸν μετηλλαχότα.

Ὅτι ὁ αὐτὸς Αἰμίλιος οἷος ἐν τῷ ζῆν ὑπάρχειν τὴν τύχην ἐδοξάζετο, τοιοῦτον ἀπέλιπε τὸν βίον μεταλλάττων. πλεῖστον γὰρ τῶν καθ' αὐτὸν ἐξ Ἰβηρίας χρυσὸν κομίσας εἰς τὴν Ῥώμην, μεγίστων δὲ θησαυρῶν τῶν κατὰ Μακεδονίαν ἐγκρατὴς γενόμενος, πλείστης δὲ περὶ τὰ προειρημένα τετευχὼς ἐξουσίας, τοσοῦτον ἀπέσχε τοῦ σφετερίσασθαί τι τῶν χρημάτων ὥςτε μετὰ τὴν τελευτὴν τοὺς υἱοὺς αὐτοῦ τοὺς δοθέντας εἰς υἱοθεσίαν διαδεξαμένους τὴν κληρονομίαν ἐκ πάντων τῶν ἐπίπλων μὴ δύνασθαι διαλῦσαι τῇ γυναικὶ τὴν φέρνην, εἰ μὴ καὶ τῶν ἐγγείων κτημάτων ἔνια προςαπέδοντο. διὸ καὶ πολ-

74. ἑαυτοῦ] immo ἑαυτῷ 80. αὐτοῦ] malim αὐτὸν

585. 87. αὐτοῦ φήμη τῆς τελευτῆς] nonne τῆς τελευτῆς αὐτοῦ φήμη? 94. καὶ τῶν τὴν εἰς τὴν Ῥώμην τιμὴν σχεδὸν τιμὴν] κατήντων εἰς τὴν Ῥώμην σχεδόν τι πανδημεί? 100. αὐτὸν V 4. ἀπέσχε] ἀπέσχετο V

λοῖς ἔδοξεν ὑπερβεβηκέναι κατὰ τὴν ἀφιλαργυρίαν τοὺς παρὰ τοῖς Ἕλλησι περὶ τοῦτο τὸ μέρος θαυμασθέντας Ἀριστείδην τε καὶ Ἐπαμινώνδαν. ἐκείνους μὲν γὰρ δι- δομένων χρημάτων ἐπὶ τῷ λυσιτελεῖ τῶν διδόντων ἀπέ- χεσθαι τῆς δωρεᾶς, τοῦτον δὲ αὐτὸν ἐξουσίαν ἔχοντα λαβεῖν ὁπόσα βούλοιτο μηδενὸς τῶν τοιούτων ἐπιθυμῆ- σαι. εἰ δὲ ἄπιστόν τισι φαίνεται τὸ λεγόμενον, ἐκεῖνο λογίζεσθαι, ὅτι οὐ χρὴ τὴν τῶν ἀρχαίων ἀφιλαργυρίαν ἐκ τῆς νῦν Ῥωμαίων πλεονεξίας τεκμαίρεσθαι. ἐπὶ γὰρ τοῦ καθ' ἡμᾶς βίου μεγίστην ὁρμὴν τοῦτο τὸ ἔθνος ἐσχηκέναι δοκεῖ πρὸς τὴν τοῦ πλείονος ἐπιθυμίαν. ἐπεὶ δὲ περὶ ἀνδρὸς νῦν ἐμνήσθην ἀγαθοῦ, βούλομαι βραχέα διελθεῖν περὶ τῆς Σκιπίωνος διαγωγῆς τοῦ Νομαντίαν ὕστερον κατασκάψαντος, ὅπως μὴ παράδοξός τισιν ἡ προκοπὴ τούτου δόξῃ γεγονέναι κατὰ τοὺς ὕστερον χρό- νους, ἀγνοουμένης τῆς κατὰ τὴν νεότητα περὶ τὰ κάλ- λιστα τῶν ἐπιτηδευμάτων σπουδῆς. Πόπλιος τοίνυν Σκι- πίων Αἰμιλίου μὲν τοῦ Περσέα θριαμβεύσαντος ἦν κατὰ φύσιν υἱός, καθάπερ ἤδη προείρηται, δοθεὶς δὲ εἰς υἱο- θεσίαν Σκιπίωνι τῷ παιδὶ τοῦ τὸν Ἀννίβαν καὶ Καρ- χηδονίους καταπολεμήσαντος ἔσχε κατὰ θέσιν πάππον Σκιπίωνα τὸν Ἀφρικανὸν προςαγορευθέντα, μέγιστον τῶν πρὸ αὐτοῦ Ῥωμαίων. ἀπὸ δὲ ταύτης τῆς ῥίζης γε- γονὼς καὶ τηλικοῦτο βάρος οἰκίας καὶ γένους διαδεδε- γμένος, ἄξιος ἐφάνη τῆς τῶν προγόνων δόξης. ἐκ παί- δων γὰρ Ἑλληνικῆς παιδείας ἐπὶ πολὺ μεταλαβών, καὶ γεγονὼς κατὰ τοῦτον τὸν ἐνιαυτὸν ὀκτωκαίδεκα ἐτῶν, 586 ἔδωκεν ἑαυτὸν πρὸς τοὺς ἐν φιλοσοφίᾳ λόγους, λαβὼν ἐπιστάτην Πολύβιον τὸν Μεγαλοπολίτην τὸν τὰς ἱστο- ρίας συντεταγμένον. τούτῳ δὲ συμβιώσας, καὶ πάσης ἀρετῆς ζηλωτὴς γενόμενος, οὐχ οἷον τῶν ἡλικιωτῶν ἀλ- λὰ καὶ τῶν πρεσβυτέρων πάντων πολὺ προέσχε σωφρο- σύνῃ καὶ καλοκἀγαθίᾳ καὶ μεγαλοψυχίᾳ καὶ καθόλου πᾶσι τοῖς τῆς ἀρετῆς γένεσι. καίτοι γ' ἐν ἀρχαῖς προ- τοῦ φιλοσοφίας ἅψασθαι διάληψιν ἔσχε παρὰ τοῖς πολ- λοῖς ὡς νωθρὸς ὢν τὴν ψυχὴν καὶ τοῦ βάρους τῆς οἰ- κίας οὐκ ἀξιόχρεως διάδοχος καὶ προστάτης. οὐ μὴν ἀλ- λὰ καὶ τῆς ἡλικίας οἰκείως πρῶτον ἤρξατο περιποιεῖσθαι τὴν ἐπὶ σωφροσύνῃ δόξαν. πολλὴ γάρ τις ὁρμὴ πρὸς τὰς ἀνέδην ἡδονὰς καὶ τὴν ὑπερβολὴν τῆς ἀκολασίας τοῖς τότε νέοις ἐνεπεπτώκει. οἱ μὲν γὰρ εἰς ἐρωμένους, οἱ δὲ εἰς ἑταίρας, οἱ δὲ εἰς ἀκροάματα παντοδαπὰ καὶ πότους καὶ καθόλου τὴν ἐπὶ τούτοις πολυτέλειαν ἐξεκέ-

586. 51. ἀνέδην] ἀναίδην V



χυντο. ἐν γὰρ τῷ Περσικῷ πολέμῳ χρόνον πλείονα διατρίψαντες ταχέως ἐζήλωσαν τῶν Ἑλλήνων τὴν περὶ τοῦτο τὸ μέρος εὐχέρειαν, ἄλλως τε καὶ χρημάτων εὐπορηκότες καὶ χορηγὸν ἀξιόχρεων τὸν πλοῦτον ἔχοντες ταῖς πρὸς τὰς ἡδονὰς δαπάναις.

Ὅτι ὁ Σκιπίων ὁρμήσας ἐπὶ τὴν ἐναντίαν ἀγωγὴν τοῦ βίου, καὶ πάσαις ταῖς τῆς φύσεως ἐπιθυμίαις ὥςπερ τισὶ θηρίοις ἀντιταξάμενος, ἐπ' οὐδ' ὅλοις πέντε ἔτεσι περιεποιήσατο πάνδημον καὶ συγχωρουμένην τὴν ἐπ' εὐταξίᾳ σωφροσύνην. ταύτης δ' αὐτῷ συμφώνως μαρτυρουμένης καὶ παρὰ πᾶσι μεγάλης ἐπισημασίας τυγχανούσης, ὥρμησεν ἐπὶ τὸ μεγαλοψυχίᾳ καὶ τῇ περὶ τὰ χρήματα ἐλευθεριότητι διενεγκεῖν τῶν ἄλλων. πρὸς δὲ τοῦτο τὸ μέρος τῆς ἀρετῆς εἶχε μὲν καὶ τὸ ἦθος τοῦ κατὰ φύσιν πατρὸς Αἰμιλίου πρὸς μίμησιν κάλλιστον ἀρχέτυπον, καὶ καθόλου τὴν μετ' ἐκείνου συμβίωσιν πεποιημένος, προεῖχεν ἤδη τι τῶν προὔργου καὶ προὐτετύπωτο. οὐκ ὀλίγα δὲ αὐτῷ συνήργησε καὶ ταὐτόματον, παρασχόμενον ἀφορμὰς τοῦ ταχὺ περιβόητον αὐτοῦ γενέσθαι τὴν ἀφιλαργυρίαν. Αἰμιλία γάρτοι μεγάλου Σκιπίωνος, ἀδελφὴ δὲ τοῦ Περσέα καταπολεμήσαντος Αἰμιλίου, μετήλλαξε τὸν βίον ἀπολιποῦσα μεγάλην οὐσίαν, ἧς οὗτος ὑπῆρξε κληρονόμος. ἐν τούτοις οὖν πρώτην ἔδωκε πεῖραν τῆς ἰδίας προαιρέσεως ἐκ περιστάσεως τοιαύτης. ἡ γὰρ μήτηρ αὐτοῦ Παπειρία πολὺ πρὸ τῆς τοῦ πατρὸς τελευτῆς ἐτύγχανε κεχωρισμένη μὲν ἀπὸ τἀνδρός· κατ' ἰδίαν δὲ διάγουσα τὴν τοῦ βίου χορηγίαν ἐλλειπεστέραν εἶχε τῆς περὶ αὐτὴν εὐγενείας. ἡ δὲ τοῦ κατὰ θέσιν πατρὸς μήτηρ τὴν κληρονομίαν ἀπολιποῦσα χωρὶς τῆς ἄλλης εὐπορίας μεγάλην ἐσχήκει περικοπὴν κόσμου περὶ αὐτὴν καὶ θεραπαινίδων καὶ τῶν ἄλλων, ὡς ἂν συνηκμακυῖα τῷ τε βίῳ καὶ τῇ τύχῃ τοῦ μεγάλου Σκιπίωνος. ταύτην ἅπασαν τὴν κατασκευὴν πολλῶν οὖσαν ταλάντων φέρων ἐδωρήσατο τῇ μητρί. ἧς κατὰ τὰς ἐπι-
587 σήμους ἐξόδους χρωμένης τῇ δοθείσῃ χορηγίᾳ καὶ λαμπρότητι, τὸ μὲν πρῶτον ἐν ταῖς γυναιξίν, εἶτα ἐν τοῖς

65. σωφροσύνην] καὶ σωφροσύνῃ δόξαν Polybius XXXII. 11. 8. 68. τὸ μεγαλοψυχίᾳ Wesselingius ex Polybio, τὴν μεγαλοψυχίαν V 74. προὐτετύπωτο Schaeferus ad Dionysium p. 28., προϋπετυποῦτο V 76. τὴν ἀφιλαργυρίαν Reiskius, τὴν abest V 77. τοι] ἡ τοῦ Schaeferus ad Bosii Ell. p. 93.: apud Polybium est γυνὴ τοῦ — Σκιπίωνος, ut scribendum videatur ἡ τοῦ μεγάλου μὲν γυνὴ Σ.: γυνὴ μὲν τοῦ — Σ. Reiskius ἀδελφὴ δὲ Reiskius, ἀδελφιδῆ V: ἀδελφὴ recte scriptum apud Polybium 82. Παπειρία Valesius, Πασειρία V 88. περικοπὴν Valesius, προκοπὴν V αὐτὴν] αὐτὴν V

ἀνδράσι καθ' ὅλην τὴν πόλιν περιβόητος ἦν ἡ χρηστότης καὶ μεγαλοψυχία τοῦ νεανίσκου καὶ τὸ σύνολον πρὸς τὴν τεκοῦσαν ὁσιότης. τοῦτο δὲ κατὰ πᾶσαν πόλιν κρίνοιτ' ἂν καλὸν καὶ θαυμαστόν, μάλιστα δὲ παρὰ Ῥωμαίοις, παρ' οἷς οὐδεὶς οὐδενὶ δίδωσι τῶν ὑπαρχόντων εὐχερῶς ἑκὼν οὐδέν. μετὰ δὲ ταῦτα ταῖς Σκιπίωνος τοῦ μεγάλου θυγατράσι προσοφειλομένων εἰς τὴν φέρνην πολλῶν χρημάτων, καὶ τῶν Ῥωμαίων πάντων εἰθισμένων ἐν τρισὶν ἔτεσι κατὰ μέρος ἀποδιδόναι τὰς φέρνας, οὗτος εὐθέως ἁπάσας ἀπέλυσεν. ἑξῆς δὲ μεταλλάξαντος Αἰμιλίου τοῦ κατὰ φύσιν πατρός, καὶ τούτῳ τε καὶ τῷ Φαβίῳ τοῖς δοθεῖσιν εἰς υἱοθεσίαν ἀπολιπόντος τὴν οὐσίαν, ἐποίησεν ὁ Σκιπίων καλόν τι καὶ μνήμης ἄξιον. ὁρῶν γὰρ τὸν ἀδελφὸν ἑαυτοῦ καταδεέστερον ὄντα τοῖς χρήμασιν, ἐπεχορήγησεν αὐτῷ τὴν ἰδίαν μερίδα τῆς κληρονομίας, οὔσης ὑπὲρ ἑξήκοντα τάλαντα τῆς τιμήσεως, καὶ τοῦτον τὸν τρόπον ἐποίησεν ἴσην ἑαυτῷ πρὸς τὸν ἀδελφὸν γενέσθαι τὴν ὅλην ὕπαρξιν. ἀποδοχῆς δὲ τυγχάνων καὶ φήμης παρὰ πᾶσι θαυμασιώτερόν τι διεπράξατο. τοῦ γὰρ ἀδελφοῦ Φαβίου μονομαχίας βουλομένου ποιεῖν ἐπὶ τῷ πατρί, μὴ δυναμένου δὲ ὑποδέξασθαι τὴν δαπάνην διὰ τὸ πλῆθος τῶν ἀναλισκομένων εἰς ταῦτα χρημάτων, τὴν ἡμίσειαν τῶν ἀναλωμάτων ἔδωκεν ἐκ τῆς ἰδίας οὐσίας. ἀποθανούσης δὲ τῆς μητρὸς τοσοῦτον ἀπέσχε τοῦ κομίσασθαί τι τῶν πρότερον δωρηθέντων ὥςτε καὶ ταῦτα καὶ τὴν ἄλλην οὐσίαν συνεχώρησεν ἔχειν ταῖς ἀδελφαῖς, οὐ προσηκούσης αὐταῖς κατὰ νόμον τῆς κληρονομίας. ἀεὶ δὲ καὶ μᾶλλον περίβλεπτος ἐγένετο κατὰ τὴν πόλιν, ἀναντίῤῥητον ἀπολαμβάνων ἔπαινον χρηστότητος καὶ μεγαλοψυχίας, οὐχ οὕτω τῷ πλήθει τῶν χρημάτων τὸ προκείμενον κατεργασάμενος ὡς τῷ καιρῷ τῆς δωρεᾶς καὶ τῷ χειρισμῷ τῆς προθέσεως. τὴν δὲ σωφροσύνην περιεποιήσατο δαπανήσας μὲν οὐδέν, τῶν δὲ ἐπιθυμιῶν ἀποσχόμενος προςωφελήθη τήν τε σωματικὴν ὑγίειαν καὶ τὴν εὐεξίαν, ἥτις αὐτῷ πάντα τὸν βίον συμπαραμείνασα καλὰς ἀμοιβὰς καὶ χάριτας ἀπέδωκε. τοῦ δὲ κατὰ τὴν ἀνδρείαν μέρους, ὅπερ ἐστὶν ἀναγκαιότατον παρὰ πᾶσι μέν, μάλιστα δὲ Ῥωμαίοις, ἐξεπόνησε καὶ τοῦτο περιττῶς, ἀφορμὴν δούσης αὐτῷ μεγάλην τῆς τύχης. τῶν γὰρ κατὰ τὴν Μακεδονίαν βασιλέων πλείστην πεποιημένων σπουδὴν περὶ τὰς κυνηγεσίας, πάντας ὑπερέβαλε.

587. 12. πρὸς Reiskius, τὴν πρὸς V  20. ἀπέσχε] ἀπέσχετο V et Polybius  26. οὕτως V  33. τοῦ δὲ κατὰ τὴν ἀνδρείαν μέρους] λοιποῦ δ' ὄντος τοῦ κατὰ τὴν ἀνδρείαν Polybius



Ὅτι οἱ Ῥωμαῖοι καταπολεμήσαντες τὸν Περσέα τῶν μετασχόντων τοῦ πολέμου τοῖς Μακεδόσι τοὺς μὲν ἐκόλασαν, τοὺς δὲ ἀπήγαγον εἰς τὴν Ῥώμην. τῶν δὲ κατὰ τὴν Ἤπειρον λαβὼν ἐξουσίαν Χάροψ διὰ τὸ δοκεῖν εἶναι φιλορώμαιος τὸ μὲν πρῶτον ὀλίγα καὶ πεφεισμένως εἰς αὐτοὺς ἐξημάρτανεν· ἀεὶ δὲ προβαίνων τῇ παρανομίᾳ εἰς τέλος ἐλυμήνατο τὰ κατὰ τὴν Ἤπειρον. οὐ γὰρ 588 διέλειπεν αἰτίας ψευδεῖς ἐπιφέρων τοῖς εὐπορωτάτοις, καὶ τοὺς μὲν φονεύων, τοὺς δὲ φυγαδεύων καὶ τὰς οὐσίας δημεύων. οὐ μόνον δὲ τοὺς ἄνδρας ἠργυρολόγησεν, ἀλλὰ καὶ τὰς γυναῖκας διὰ τῆς μητρὸς Φιλώτας· πάνυ γὰρ εὐφυὲς ἐγένετο καὶ τοῦτο τὸ πρόςωπον εἰς ὠμότητα καὶ παρανομίαν πλείονα ἢ κατὰ γυναῖκα. καὶ πολλοὺς εἰςήγαγεν εἰς τὸν δῆμον καταιτιασάμενος φρονεῖν ἀλλότρια Ῥωμαίων· καὶ πάντων κατέγνωσαν θάνατον.

Ὅτι Ὀροφέρνης τὸν ἀδελφὸν Ἀριαράθην ἐκβαλὼν τῆς ἀρχῆς τοῦ μὲν νουνεχῶς ἕκαστα διοικεῖν καὶ ταῖς εὐεργεσίαις καὶ φιλανθρωπίαις ἐκκαλεῖσθαι τὰ πλήθη πρὸς εὔνοιαν πλεῖστον ὅσον ἀπέσχεν, ἀργυρολογῶν δὲ καὶ πολλοὺς ἐπαναιρούμενος πεντήκοντα μὲν ταλάντοις ἐστεφάνωσε Τιμόθεον, ἑβδομήκοντα δὲ ταλάντοις Δημήτριον τὸν βασιλέα, καὶ χωρὶς τούτων ἑξακόσια τάλαντα, προςεπαγγειλάμενος καὶ τὰ λοιπὰ τετρακόσια δώσειν ἐν ἑτέρῳ καιρῷ. ὁρῶν δὲ τοὺς Καππάδοκας ἀλλοτρίως διακειμένους, ἐνήρξατο πάντας ἀργυρολογεῖν καὶ τὰς οὐσίας τῶν ἐπιφανεστάτων εἰς τὸ βασιλικὸν ἀναλαμβάνειν. ἀθροίσας δὲ χρημάτων πλῆθος τετρακόσια τάλαντα παρέθετο Πριηνεῦσι πρὸς τὰ τῆς τύχης παράλογα· ἅπερ ὕστερον ἀπέδωκαν.

Ὅτι ὁ πρεσβύτερος Πτολεμαῖος ταχὺ διὰ τὸ μέγεθος τῆς στρατιᾶς συγκλείσας τὸν ἀδελφὸν εἰς πολιορκίαν καὶ πεῖραν πάσης ἀπορίας λαβεῖν ἀναγκάσας, ἐπανελέσθαι μὲν αὐτὸν οὐκ ἐτόλμησεν, ἅμα μὲν διὰ τὴν χρηστότητα καὶ διὰ τὸ τῆς φύσεως συγγενές, ἅμα δὲ καὶ διὰ τὸν ἀπὸ Ῥωμαίων φόβον, συνεχώρησε δὲ αὐτῷ τὴν ἀσφάλειαν, καὶ συνθήκας ἐποιήσατο καθ' ἃς ἔδει Κυρήνην ἔχοντα τὸν νεώτερον εὐδοκεῖν καὶ σίτου πλῆθος τακτὸν λαμβάνειν κατ' ἐνιαυτόν. καὶ τὰ κατὰ τοὺς βασιλεῖς εἰς πολλὴν ἀλλοτριότητα καὶ κινδύνους ἀπηλπισμένους προαχθέντα παραδόξου καὶ φιλανθρώπου συλλύσεως ἔτυχε.

Ὅτι οἱ περὶ τὸν Ὀροφέρνην, ἐπὶ τὸ χεῖρον αὐτοῖς

588. 63. ἑξακόσια] χ' V  73. στρατιᾶς] στρατείας V  82. ἀπηλπισμένους] ἀπελπισμένους V

τῶν πραγμάτων προβαινόντων, ἔσπευδον ἀποδοῦναι τοὺς μισθούς, φοβούμενοι μὴ στασιάζειν ἐπιχειρήσωσιν. ἀπορούμενος δὲ τὸ παρὸν χρημάτων ἠναγκάσθη ἱεροσυλῆσαι τὸ τοῦ Διὸς ἱερόν, ὃ καθίδρυται μὲν ὑπὸ τὸ καλούμενον ὄρος Ἀριάδνης, ἄσυλον δ' ἦν ἐκ παλαιῶν χρόνων. τοῦτο μὲν ἐσύλησε, καὶ τὰ προσοφειλόμενα τῶν ὀψωνίων ἀπέδωκεν.

Ὅτι Προυσίας ὁ Βιθυνῶν βασιλεὺς ἀποτυχὼν τῆς ἐπιβολῆς τῆς περὶ τὸν Ἄτταλον τὸ πρὸ τῆς πόλεως τέμενος τὸ καλούμενον Νικηφόριον διέφθειρε καὶ τὸν νεὼν ἐλυμήνατο. ἐσύλησε δὲ καὶ τοὺς ἀνδριάντας καὶ τὰ τῶν θεῶν ξόανα καὶ τὸ περιβόητον ἄγαλμα τοῦ Ἀσκληπιοῦ, δοκοῦν ἔργον εἶναι Φυρομάχου, περιττῶς κατεσκευασμένον, καὶ τὰ ἱερὰ πάντα ἐσύλα. ἀνθ' ὧν 589 αὐτῷ ταχὺ τὸ δαιμόνιον ἐπεσήμαινε· τῆς γὰρ δυνάμεως δυσεντερίᾳ περιπεσούσης οἱ πλεῖστοι τῶν στρατιωτῶν διεφθάρησαν. παραπλήσιον δέ τι συνέβη καὶ περὶ τὴν ναυτικὴν δύναμιν· τοῦ γὰρ στόλου χειμῶνι παραλόγῳ περιπεσόντος ἐν τῇ Προποντίδι συνέβη τῶν νεῶν πολλὰς μὲν αὐτοῖς τοῖς ἀνδράσιν ὑπὸ τῆς θαλάσσης καταποθῆναι, τινὰς δὲ πρὸς τὴν γῆν ἐκπεσόντας ναυαγῆσαι. καὶ τὰς πρώτας ἀμοιβὰς τῆς εἰς τὸ θεῖον ἀσεβείας τοιαύτας ἐκομίσατο.

Ὅτι οἱ Κρῆτες καταπλεύσαντες εἰς Σίφνον προσέβαλον τῇ πόλει, καὶ τὰ μὲν καταπληξάμενοι τὰ δὲ ἐξαπατήσαντες παρεδέχθησαν ἐντὸς τῶν τειχῶν· δόντες δὲ πίστιν ὥστε μηδὲν ἀδικήσειν, χρώμενοι δὲ τῇ συνήθει τοῖς Κρησὶν ἀθεσίᾳ, τήν τε πόλιν ἐξηνδραποδίσαντο καὶ τοὺς τῶν θεῶν ναοὺς συλήσαντες εἰς Κρήτην, κατάγομοι ταῖς ὠφελείαις ὄντες. ταχὺ δὲ τῆς παρανομίας αὐτοῖς τὸ θεῖον ἐπέθηκε τὴν δίκην, παραδόξως τὴν ἀσέβειαν αὐτῶν ἐπισημηναμένου τοῦ δαιμονίου. συναναγκασθέντες γὰρ ὑπὸ τῶν πολεμίων νυκτὸς ποιήσασθαι τὸν ἔκπλουν διὰ τὸ δεδιέναι τὰ μεγέθη τῶν σκαφῶν, μεγάλου πνεύματος ἐπιῤῥάξαντος οἱ πλεῖστοι μὲν ὑποβρύχιοι κατεπόθησαν ὑπὸ τῆς θαλάσσης, τινὲς δὲ ταῖς πρὸς τῇ γῇ πέτραις προσραχθέντες ἀπώλοντο, παντελῶς δὲ ὀλίγοι διεσώθησαν οἱ τῆς κατὰ τοὺς Σιφνίους ἀθεσίας μὴ μετασχόντες.

97. Ἀσκληπιοῦ] Ἀσκληπίου V
589. 99 ἐπεσήμαινε] malim ἐπεσήμηνε 14. Κρήτην] ἀπῆρσαν addidit Valesius, aptius positurus ἀπῆραν vel ἀπέπλευσαν

## L. XXXII.

Ὅτι Φίλιππος ὁ Ἀμύντου δουλευουσαν Ἰλλυριοῖς τὴν ἡγεμονίαν παραλαβὼν τοῖς ὅπλοις ἅμα καὶ τῇ κατὰ τὴν στρατηγίαν ἀγχινοίᾳ τὴν βασιλείαν ἀνεκτήσατο, ταύτην δὲ μεγίστην τῶν κατὰ τὴν Εὐρώπην δυναστειῶν κατεσκεύασεν, ἐπιεικῶς προσφερόμενος τοῖς κρατηθεῖσιν. Ἀθηναίους γὰρ ἀμφισβητοῦντας τῆς ἡγεμονίας νικήσας ἐπιφανεῖ μάχῃ, τοὺς μὲν τετελευτηκότας τῶν ἡττημένων, ἀτάφους ἀπολελειμμένους, μετὰ πόλλῆς ἐπιμελείας ἐκήδευσε, τοὺς δὲ ἁλόντας ὑπὲρ δισχιλίους ὄντας τὸν ἀριθμὸν ἄνευ λύτρων ἀπέλυσεν εἰς τὴν ἰδίαν πατρίδα. τοιγαροῦν οἱ περὶ τῆς ἡγεμονίας διὰ τῶν ὅπλων ἀγωνισάμενοι διὰ τὴν εἰς αὐτοὺς ἐπιείκειαν ἑκουσίως ἐξεχώρησαν τῆς τῶν Ἑλλήνων ἀρχῆς, ὁ δὲ διὰ πολλῶν ἀγώνων καὶ κινδύνων μὴ δυνάμενος τυχεῖν τῆς ἀρχῆς διὰ μιᾶς φιλανθρωπίας ἔλαβε παρὰ τῶν πολεμίων ἐθελοντὴν τὴν τῆς Ἑλλάδος ἡγεμονίαν, καὶ τὴν τελευταίαν τῆς βασιλείας παραμονὴν τῷ φόβῳ κατέσχε, κατασκάψας πόλιν μυρίανδρον τὴν Ὄλυνθον. ὁμοίως δὲ τούτῳ καὶ ὁ υἱὸς Ἀλέξανδρος Θήβας μὲν ἁρπάσας τῇ ταύτης τῆς πόλεως 590 ἀπωλείᾳ τοὺς πρὸς νεωτερισμὸν ὁρμωμένους Ἀθηναίους τε καὶ Λακεδαιμονίους τῆς ἀποστάσεως ἀπέτρεψεν, ἐν δὲ τοῖς πρὸς τοὺς Πέρσας πολέμοις ἐπιεικέστατα χρώμενος τοῖς αἰχμαλώτοις οὐ μόνον ἀνδρείᾳ ἀλλὰ καὶ ἡμερότητι περιβοήτῳ τοὺς κατὰ τὴν Ἀσίαν οἰκοῦντας ἐπιθυμητὰς ἔσχε τῆς ἰδίας ἀρχῆς. ἐν δὲ τοῖς νεωτέροις χρόνοις Ῥωμαῖοι τῆς τῶν ὅλων ἡγεμονίας ὀρεχθέντες συνεστήσαντο μὲν αὐτὴν διὰ τῆς τῶν ὅπλων ἀνδρείας, πρὸς αὔξησιν δὲ μεγίστην ἤγαγον ἐπιεικέστατα χρώμενοι τοῖς καταπολεμηθεῖσι. τοσοῦτον γὰρ ἀπέσχον τῆς κατὰ τῶν ὑποπεπτωκότων ὠμότητος καὶ τιμωρίας ὥστε δοκεῖν μὴ ὡς πολεμίοις ἀλλ' ὡς εὐεργέταις καὶ φίλοις προσφέρεσθαι. οἱ μὲν γὰρ κρατηθέντες προσεδόκων τῆς ἐσχάτης ἔχεσθαι τιμωρίας, ὡς πολέμιοι γεγονότες, οἱ δὲ κρατοῦν-

590. 58. ἔχεσθαι] τεύξεσθαι Valesius, ut est 603. 5.

τες ὑπερβολὴν ἐπιεικείας ἑτέροις οὐκ ἀπέλειπον. οἷς μὲν γὰρ πολιτείας μετέδοσαν, οἷς δὲ ἐπιγαμίας συνεχώρησαν, τισὶ δὲ τὴν αὐτονομίαν ἀπέδοσαν, οὐδενὶ μνησικακήσαντες πικρότερον τοῦ δέοντος. τοιγαροῦν διὰ τὴν ὑπερβολὴν τῆς ἡμερότητος οἵ τε βασιλεῖς καὶ αἱ πόλεις καὶ συλλήβδην τὰ ἔθνη πρὸς τὴν Ῥωμαίων ἡγεμονίαν ηὐτομόλησαν. οὗτοι δὲ σχεδὸν τὴν ἀρχὴν πάσης τῆς οἰκουμένης ἔχοντες, ταύτην ἠσφαλίσαντο φόβῳ καὶ τῇ τῶν ἐπιφανεστάτων πόλεων ἀπωλείᾳ. Κόρινθον γὰρ] κατέσκαψαν, καὶ τοὺς κατὰ τὴν Μακεδονίαν ἐῤῥιζοτόμησαν, οἷον τὸν Περσέα, καὶ Καρχηδόνα κατέσκαψαν καὶ ἐν Κελτιβηρίᾳ τὴν Νομαντίαν, καὶ πολλοὺς κατεπλήξαντο.

Ὅτι σφόδρα οἱ Ῥωμαῖοι φιλοτιμοῦνται δικαίους ἐνίστασθαι τοὺς πολέμους καὶ μηδὲν εἰκῇ καὶ προπετῶς περὶ τῶν τοιούτων ψηφίζεσθαι.

Ὅτι Σκιπίων ὁ Ἀφρικανὸς κληθεὶς ὕστερον, τότε δὲ χιλίαρχος ὤν, τῶν ἄλλων τοὺς εἰς ὁμολογίαν καὶ ὅρκους καταντήσαντας παρασπονδούντων καὶ τὴν δοθεῖσαν πίστιν ἀθετούντων, οὗτος τοὐναντίον μάλιστα τὰς δοθείσας πίστεις τοῖς πολιορκουμένοις ἐτήρει καὶ τοῖς ἑαυτοὺς ἐγχειρίζουσιν ἐπιεικῶς προσεφέρετο. διὸ καὶ τῆς περὶ αὐτοῦ φήμης δικαίας διαδιδομένης κατὰ τὴν Λιβύην, οὐθεὶς τῶν πολιορκουμένων ἐνεπίστευεν αὑτόν, εἰ μὴ Σκιπίωνι συντίθοιτο τὰς ὁμολογίας.

Ὅτι κατὰ τὴν μάχην τριῶν Ῥωμαίων πεσόντων, καὶ τούτων ἀτάφων γεγονότων, πάντες χαλεπῶς ἔφερον ἐπὶ τῇ τῶν ἀνδρῶν ἀπωλείᾳ τε καὶ στερήσει τῆς ταφῆς. ὁ δὲ Σκιπίων συγχωρήσαντος τοῦ ὑπάτου διὰ γραμμάτων παρεκάλεσε τὸν Ἀσδρούβαν θάψαι τοὺς ἄνδρας. οὗ ποιήσαντος τὸ παρακληθέν, καὶ μετὰ μεγάλης τιμῆς κηδεύσαντος τοὺς ἄνδρας, καὶ τὰ ὀστέα πέμψαντος πρὸς τὸν ὕπατον, ὁ Σκιπίων προέκοπτε τῇ δόξῃ, ὡς ἂν καὶ παρὰ τοῖς πολεμίοις μεγάλης τυγχάνων ἀποδοχῆς.

Ὅτι ὁ Ψευδοφίλιππος περιβοήτῳ μάχῃ νικήσας Ῥωμαίους ἐξετράπη πρὸς ὠμότητα καὶ παρανομίαν τυραννικήν. πολλοὺς μὲν γὰρ τῶν εὐπόρων ἀνεῖλεν ἐπιῤῥίψας αἰτίας διαβολῆς ψευδοῦς, οὐκ ὀλίγους δὲ τῶν φίλων [591] ἐμιαιφόνησεν. ἦν γὰρ φύσει θηριώδης καὶ φονικὸς καὶ κατὰ τὰς ἐντεύξεις ὑπερήφανος, ἔτι δὲ πλεονεξίας καὶ πάσης κακίας ἀνάπλεως.

Ὅτι ὁ δῆμος τηλικαύτην εὔνοιαν ἔσχε πρὸς τὸν Σκιπίωνα ὥςτε μήτε τῆς ἡλικίας συγχωρούσης μήτε τῶν νό-

590. 70. ἐριζοτόμησαν V



μων ἐπιτρεπόντων μεγάλην εἰςφέρεσθαι σπουδὴν εἰς τὸ τὴν ὕπατον ἀρχὴν αὐτῷ περιθεῖναι.

Ὅτι ὁ τῶν Ῥωμαίων ὕπατος Καλπούρνιος δι' ὁμολογίας τινὰς τῶν πόλεων εἰληφὼς κατέσκαψεν, οὐδὲν τῆς πίστεως φροντίσας. διόπερ ἐν ταῖς ἐπιβολαῖς ἀπιστούμενος ἀπετύγχανεν, ὥςπερ δαιμονίου τινὸς ἀντιπράττοντος. εἰς πολλὰς γὰρ ἐπιβολὰς δυςεπιτεύκτους ἔσχε τὰς πράξεις.

Ὅτι ὁ Προυσίας ὁ βασιλεὺς τήν τε ὄψιν ὢν εἰδεχθὴς καὶ τὸ σῶμα διὰ τὴν τρυφὴν ἔχων γυναικεῖον ὑπὸ τῶν Βιθυνῶν ἐμισεῖτο.

Ὅτι ὁ Σκιπίων μετὰ τὴν ἅλωσιν Καρχηδόνος τοῖς ἀπὸ τῆς Σικελίας κατηντηκόσι πρεσβευταῖς ἐπιδείξας ἅπαντα τὰ λάφυρα προςέταξεν ἑκάστους τὰ ἐκ τῶν ἰδίων πατρίδων εἰς Καρχηδόνα πάλαι ποτὲ μετενηνεγμένα ἐπιλεγομένους ἀποκομίζειν εἰς Σικελίαν. καὶ πολλαὶ μὲν εὑρέθησαν ἐπισήμων ἀνδρῶν γραφαί, πολλοὶ δὲ ἀνδριάντες ἐπιφανεῖς ταῖς κατασκευαῖς, οὐκ ὀλίγα δὲ ἀναθήματα διαπρεπῆ θεῶν ἀργυρᾶ τε καὶ χρυσᾶ. ἐν δὲ τούτοις ὑπῆρχε καὶ ὁ περιβόητος ταῦρος ἐξ Ἀκράγαντος, ὃν κατασκευάσας Περίλαος Φαλάριδι τῷ τυράννῳ, καὶ πρῶτος τὴν ἀπόδειξιν τῆς ἰδίας τέχνης ἐν τῇ καθ' αὑτὸν τιμωρίᾳ δικαίως ὑπομείνας, ἀνῃρέθη.

Ὅτι κατὰ τοὺς τῆς παλαιᾶς ἡλικίας καιροὺς διεληλυθότων σχεδὸν ἐτῶν ἑκατὸν θεασάμενος τὴν Κόρινθον Γάϊος Ἰούλιος Καῖσαρ ὁ διὰ τὰς πράξεις ὀνομασθεὶς θεὸς εἰς τοιαύτην ἦλθε συμπάθειαν καὶ φιλοδοξίαν ὥςτε μετὰ πολλῆς σπουδῆς πάλιν αὐτὴν ἀναστῆσαι. διόπερ τὸν ἄνδρα τοῦτον καὶ τὴν ὑπερβολὴν τῆς περὶ αὐτὸν ἐπιεικείας δίκαιόν ἐστι μεγάλης ἀποδοχῆς ἀξιοῦσθαι, καὶ διὰ τῆς ἱστορίας ἀπονέμειν αὐτῷ τὸν αἰώνιον τῆς χρηστότητος ἔπαινον. τῶν γὰρ προγόνων αὐτοῦ σκληρότερον κεχρημένων τῇ πόλει, οὗτος διὰ τῆς ἰδίας ἡμερότητος διωρθώσατο τὰς ἐκείνων ἀποτομίας, προκρίνας τῆς τιμωρίας τὴν συγγνώμην. ὑπερεβάλετο δὲ οὗτος τοὺς πρὸ αὐτοῦ τῷ μεγέθει τῶν κατεργασθέντων, καὶ τὴν ἐπωνυμίαν ἀπὸ τῆς περὶ αὐτὸν ἀρετῆς δικαίως ἐκτήσατο. καθόλου δὲ ὁ ἀνὴρ οὗτος εὐγενείᾳ τε καὶ λόγου δεινότητι καὶ στρατηγήμασι πολεμικοῖς καὶ ἀφιλαργυρίᾳ ἀποδοχῆς ἄξιός ἐστιν ἀξιοῦσθαι, καὶ διὰ τῆς ἱστορίας ἄξιον ἀπονέμειν αὐτῷ τὸν τῆς χρηστότητος ἔπαινον. μεγέθει γὰρ πράξεων ἅπαντας τοὺς πρὸ αὐτοῦ Ῥωμαίους ὑπερέθετο.

591. 47. ἀποδοχῆς — 50. ὑπερέθετο] eadem sententia quae 37. 38. et 42. 43. affuit: qualis fere iteratio est in Exc. Vatic. p. 70. 23., ubi v. Maius

Ὅτι Οὐιρίατθος ὁ λῄσταρχος ὁ Λυσιτανὸς καὶ δίκαιος ἦν ἐν ταῖς διανομαῖς τῶν λαφύρων καὶ κατ᾽ ἀξίαν 592 τιμῶν τοὺς ἀνδραγαθήσαντας ἐξαιρέτοις δώροις, ἔτι δὲ οὐδὲν ἁπλῶς ἐκ τῶν κοινῶν νοσφιζόμενος. διὸ καὶ συνέβαινε τοὺς [Λυσιτανοὺς] προθυμότατα συγκινδυνεύειν αὐτῷ, τιμῶντας οἱονεί τινα κοινὸν εὐεργέτην καὶ σωτῆρα.

Ὅτι ὁ Πλαύτιος ὁ ἐξαπέλεκυς στρατηγὸς τῶν Ῥωμαίων κακὸς προστάτης ἐγένετο ἐν τῇ ἐπαρχίᾳ. ἀνθ᾽ ὧν κατάκριτος ἐν τῇ πατρίδι γενόμενος ἐπὶ τῷ τεταπεινωκέναι τὴν ἀρχήν, ἔφυγεν ἐκ τῆς Ῥώμης.

Ὅτι κατὰ τὴν Συρίαν Ἀλέξανδρος ὁ βασιλεὺς διὰ τὴν ἀσθένειαν τῆς ψυχῆς ἄχρηστος ὢν εἰς προστασίαν βασιλείας τὰ κατὰ τὴν Ἀντιόχειαν ἐπέτρεψεν Ἱέρακι καὶ Διοδότῳ.

Ὅτι Δημήτριος, τεταπεινωμένης τῆς κατ᾽ Αἴγυπτον βασιλείας, καὶ μόνος ἀπολειφθείς, ἀπολελύσθαι διέλαβεν ἑαυτὸν παντὸς κινδύνου. διόπερ τῆς συνήθους τοῖς ὄχλοις ἀρεσκείας καταφρονήσας, καὶ βαρύτερος ἀεὶ μᾶλλον τοῖς προστάγμασι γινόμενος, ἀπέσκηψεν εἰς ὠμότητα τυραννικὴν καὶ ποικίλων ἀνομημάτων ὑπερβολάς. αἰτία δ᾽ ἦν αὐτῷ τῆς διαθέσεως ταύτης οὐ μόνον ἡ φύσις, ἀλλὰ καὶ ὁ τῆς βασιλείας προεστηκώς. οὗτος γὰρ ἀσεβὴς ὢν καὶ ῥᾳδιουργὸς πάντων τῶν κακῶν εἰσηγητὴς ἐγένετο, κολακεύων τὸ μειράκιον καὶ προτρεπόμενος εἰς τὰς αἰσχίστας πράξεις. τὸ μὲν οὖν πρῶτον τοὺς ἐν τῷ πολέμῳ γεγονότας ἀλλοτρίους οὐ μετρίαις ἐπιτιμήσεσιν ἐκόλαζεν, ἀλλὰ τιμωρίαις ἐξηλλαγμέναις περιέβαλλεν. ἔπειτα τῶν Ἀντιοχέων χρωμένων πρὸς αὐτὸν τῇ συνηθείᾳ, ξενικὴν δύναμιν ἀξιόλογον ἐπ᾽ αὐτοὺς συνεστήσατο, καὶ τὰ μὲν ὅπλα παρείλετο, τῶν δὲ μὴ προαιρουμένων παραδοῦναι τοὺς μὲν ἐν χειρῶν νόμῳ διέφθειρε, τοὺς δὲ ἐν ταῖς οἰκίαις μετὰ τέκνων καὶ γυναικῶν κατεκέντησε. μεγάλης δὲ ταραχῆς γενομένης περὶ τὸν παροπλισμόν, τὰ πλεῖστα τῆς πόλεως ἐνέπρησε. πολλοὺς δὲ τῶν καταιτιαθέντων τιμωρησάμενος εἰς τὸ βασιλικὸν ταμεῖον τὰς οὐσίας ἀνέλαβε. διὰ δὲ τὸν φόβον καὶ τὸ μῖσος πολλοὶ τῶν Ἀντιοχέων φυγόντες ἐκ τῆς πατρίδος ἠλῶντο καθ᾽ ὅλην τὴν Συρίαν, τηροῦντες τοὺς κατὰ τοῦ βασιλέως καιρούς. ὁ δὲ Δημήτριος ὑπάρχων αὐτοῖς πολέμιος, οὐ διέλιπε ποιῶν σφαγὰς καὶ φυγὰς καὶ χρημάτων ἀφαιρέσεις, πολὺ καὶ τὴν τοῦ πατρὸς χαλεπότητα καὶ μιαιφονίαν ὑπερβαλόμενος. καὶ γὰρ ἐκεῖνος οὐ βασιλικὴν ἐπι-

592. 55. Λυσιτανοὺς addidit Valesius 82. συνηθείᾳ ex συνήθει .... ᾳ coaluisse videtur: idem censebat Reiskius



είκειαν ἀλλὰ τυραννικὴν παρανομίαν ἐξηλωκὼς ἀνηκέστοις 593 κακοῖς τοὺς ὑποταττομένους περιεβεβλήκει· ὥστε συνέβαινε τοὺς μὲν ἀπὸ ταύτης τῆς οἰκίας βασιλεῖς διὰ τὴν παρανομίαν μισεῖσθαι, τοὺς δὲ ἀπὸ τῆς ἑτέρας διὰ τὴν ἐπιείκειαν ἀγαπᾶσθαι. διὸ καὶ παρ᾽ ἕκαστον ἀγῶνες καὶ πόλεμοι συνεχεῖς ἐγίνοντο κατὰ Συρίαν, ἐφεδρευόντων ἀλλήλοις τῶν δυναστῶν τῶν ἀφ᾽ ἑκάστης οἰκίας. καὶ γὰρ τὰ πλήθη διὰ τὴν τῶν κατιόντων ἀεὶ βασιλέων ἀρέσκειαν εὐθέτως εἶχε πρὸς τὰς μεταβολάς.

Ὅτι οἱ Ἀράδιοι ταῖς ψυχαῖς ἀνηρτημένοι τοὺς πρεσβευτὰς ἠτίμασαν. ἐπιβοωμένων δὲ τῶν ἀτυχούντων τὴν ἱερὰν τῶν ἱκετῶν τιμὴν καὶ τὴν ἄδειαν τῆς τῶν πρεσβευτῶν ἀσυλίας, παροξυνθέντες οἱ τολμηρότατοι τῶν νέων ἐξεκέντησαν τοὺς ἱκέτας. οἱ δὲ ἀνόσιον φόνον ἐπιτελεσάμενοι συνέδραμον ἐπὶ τὴν ἐκκλησίαν, καὶ τοῖς ἑαυτῶν παρανομήμασι συνεπιχειρονομοῦντες ἄλλην κατὰ τῶν Μαραθηνῶν ἐπιβουλὴν ἀσεβῆ συνεστήσαντο. περιελόμενοι γὰρ τῶν σφαγέντων τοὺς δακτυλίους ἔπεμψαν ὡς παρὰ τῶν πρεσβευτῶν ἐπιστολὴν πρὸς τὸν δῆμον τῶν Μαραθηνῶν, ἐν ᾗ ἐδήλουν ἐπαγγελλόμενοι τοὺς Ἀραδίους πέμψαι στρατιώτας τοὺς βοηθήσοντας, ὅπως πιστευσάντων τῶν Μαραθηνῶν ὡς πρὸς ἀλήθειαν ἔχειν συμμάχους ἀποστελλομένους, προσδεχθῶσιν οἱ παρ᾽ αὐτῶν στρατιῶται. οὐ μὴν ἠδυνήθησάν γε τὴν ἄνομον ἐπιβολὴν εἰς πέρας ἀγαγεῖν, ἀνδρὸς εὐσεβοῦς καὶ δικαίου κατελεήσαντος τὴν τύχην τῶν μελλόντων πάσχειν ἀνήκεστα. τῶν γὰρ Ἀραδίων πάντα τὰ πλοῖα παρελομένων, ὅπως μηδεὶς δυνηθῇ δηλῶσαι τοῖς ἐπιβουλευομένοις τὴν κατ᾽ αὐτῶν σκευωρίαν, θαλαττουργός τις πρὸς τοὺς Μαραθηνοὺς οἰκείως διακείμενος, καὶ τὸν αὐλῶνα τὸν περὶ ἐκείνους τοὺς τόπους ἐργαζόμενος, παρῃρημένης αὐτοῦ τῆς ἁλιάδος διενήξατο νυκτὸς τὸν πόρον, καὶ παραβόλως διήνυσε τοὺς ὀκτὼ σταδίους, καὶ ἐδήλωσε τοῖς Μαραθηνοῖς τὴν κατ᾽ αὐτῶν ἐπιβουλήν. οἱ δὲ Ἀράδιοι γνόντες διὰ τῶν κατασκόπων μεμηνυμένην τὴν ἰδίαν ἐπιβολήν, ἀπέστησαν τῆς διὰ τῶν ἐπιστολῶν κακουργίας.

Ὅτι ὁ Πτολεμαῖος ὁ τοῦ Πτολεμαίου τοῦ Φιλομήτορος ἀδελφὸς βασιλεύσας ἐξ ἀνομημάτων ἤρξατο μεγάλων διοικεῖν τὰ κατὰ τὴν βασιλείαν. πολλοὺς μὲν γὰρ ψευδέσιν αἰτίαις περιβάλλων ὡς ἐπιβουλεύοντας αὐτῷ ὠμῶς καὶ παρανόμως ἀνῄρει· ἄλλους δὲ ποικίλαις προφάσεσι συκοφαντῶν ὡς ἀδικοῦντας ἐφυγάδευε, καὶ τὰς

593. 14. ἐπιβουλὴν] ἐπιβολὴν V

τούτων οὐσίας ἀφῃρεῖτο, ἐφ' οἷς δυςχεραινόντων καὶ ἀγανακτούντων, τὴν παρὰ πάντων ὀργὴν ἐπαναιρούμενος ταχὺ τοῖς ὑποτεταγμένοις ἦλθεν εἰς μῖσος. ὅμως [594] ἐβασίλευσεν ἔτη πεντεκαίδεκα.

Ὅτι Οὐρίατθος πολλῶν παρατεθέντων κατὰ τὸν γάμον ἀργυρῶν τε καὶ χρυσῶν ἐκπωμάτων καὶ ποικίλων καὶ παντοδαπῶν ὑφασμάτων, τῇ λόγχῃ προςαιωρησάμενος ἀπεθεώρει τὸ τοιοῦτον πλῆθος, οὐ θαυμάζων οὔτε ἐκπληττόμενος, ἀλλὰ μᾶλλον καταφρονήσεως ἔννοιαν ἐπιφαίνων. καὶ πολλὰ εἰπὼν πραγματικῶς ἀποκρίσει μιᾷ πολλὰς ἐμφάσεις ἀπέλιπεν ἀχαριστίας εἰς τοὺς εὐεργέτας καὶ ἀφροσύνης ἐπὶ τὸ μέγα φρονεῖν ἐπὶ τοῖς ἀστάτοις τῆς τύχης δωρήμασι, τὸ δὲ μέγιστον, ὅτι καὶ αὐτὸς ὁ περιβόητος τοῦ συγκηδεστοῦ πλοῦτος δοῦλος ἦν τοῦ τὴν λόγχην ἔχοντος, πρὸς δὲ τούτοις ὅτι χάριν αὐτῷ μᾶλλον ὀφείλει, δίδωσι δὲ οὐδὲν ἴδιον τῷ κυρίῳ πάντων. ὁ δ' οὖν Οὐρίατθος οὔτε ἐλούσατο λιπαρούντων οὔτε κατεκλίθη· τραπέζης δὲ παρατεθείσης παντοδαπῶν βρωμάτων, ἀφελὼν ἄρτους καὶ κρέα τοῖς μεθ' ἑαυτοῦ πορευθεῖσιν ἔδωκε, καὶ αὐτὸς ἀπὸ χειρῶν βραχέα προςενεγκάμενος ἄγειν ἐκέλευσε τὴν νύμφην. θύσας δὲ τοῖς θεοῖς καὶ τὰ νομιζόμενα παρ' Ἴβηρσι ποιήσας ἐπέθετο τὴν παρθένον ἐπὶ τὴν ἵππον, καὶ παραχρῆμα ἀπήλαυνεν εἰς τὰς ἐν τοῖς ὄρεσι παρασκευάς. ὑπελάμβανε γὰρ τὴν μὲν αὐτάρκειαν μέγιστον ὑπάρχειν πλοῦτον, τὴν δὲ ἐλευθερίαν πατρίδα, τὴν δὲ ἐκ τῆς ἀνδρείας ὑπεροχὴν βεβαιοτάτην κτῆσιν. ἦν δὲ ὁ ἀνὴρ οὗτος καὶ κατὰ τὰς ὁμολογίας εὔστοχος, ὡς ἂν ἐξ αὐτοδιδάκτου καὶ ἀδιαστρόφου φύσεως ἀμωμήτους φέρων τοὺς λόγους.

Ὅτι ὁ Δημήτριος ἐν Λαοδικείᾳ διατρίβων ῥαθύμως διῆγε, πότους τε συνάγων καὶ ταῖς πολυτελεστάταις ἀπολαύσεσιν ἐκκεχυμένως χρώμενος. ὁμοίως δὲ κατὰ τὴν ἀγωγὴν ὁ αὐτὸς διέμεινεν εἰς πολλοὺς εἰκῇ παρανομῶν καὶ μὴ δυνάμενος ὑπὸ τῶν ἐλαττωμάτων διορθωθῆναι.

Ὅτι οἱ Κνώσσιοι τῶν πρωτείων ἀντείχοντο. προῆγε δὲ αὐτοὺς ἐπὶ τὴν τῆς ἡγεμονίας φιλοτιμίαν τὸ παλαιὸν ἀξίωμα τῆς πόλεως καὶ τῶν προγόνων ἡ διαβεβοημένη δόξα κατὰ τοὺς ἡρωικοὺς χρόνους. τόν τε γὰρ Δία παρ' αὐτοῖς τετράφθαι μυθολογοῦσί τινες καὶ Μίνω τὸν θαλαττοκρατήσαντα Κνώσσιον ὄντα παιδευθῆναι ὑπὸ Διός, καὶ πολὺ τῶν ἄλλων ἀρετῇ διενεγκεῖν.

594. 51. οὔτε] immo οὐδὲ 54. ἀπέλιπεν] „*decsse videntur nonnulla*" Vales. 55. ἐπὶ] an ἐστί? 65. καὶ Valesius, κατὰ V, nescio an omisso τὰ 68. παρασκευάς] nonne ἀποσκευάς? 72. ὁμολογίας] ὁμιλίας Wesselingius, ἀπολογίας Exc. Vatic. p. 108, 22.



Ὅτι κατὰ τὴν Αἴγυπτον τὸν Πτολεμαῖον διὰ τὴν πρὸς τοὺς ἀρχομένους ὠμότητα καὶ παρανομίαν οὐ μετρίως ἐμίσει τὸ πλῆθος. παράλληλος γὰρ ὁ τούτου τρόπος [595] πρὸς τὸν τοῦ Φιλομήτορος θεωρούμενος οὐδὲ σύγκρισιν ἐπεδέχετο διὰ τὰς παρ' ἀμφοτέροις ὑπερβολάς, τοῦ μὲν ἐπιεικείας, τοῦ δὲ ὠμότητος καὶ μιαιφονίας. διὸ τὰ πλήθη καὶ πρὸς μεταβολὴν οἰκείως ἔχοντα τὸν τῆς ἀποστάσεως ἐκαραδόκει καιρόν.

Ὅτι Πτολεμαίου κατὰ τὴν Μέμφιν ἐνθρονιζομένου τοῖς βασιλείοις κατὰ τοὺς Αἰγυπτίων νόμους, παῖς ἐγένετο ἐκ τῆς Κλεοπάτρας τῷ βασιλεῖ. ἡσθεὶς δὲ διαφερόντως προςηγόρευσε τὸν παῖδα Μεμφίτην ἀπὸ τῆς πόλεως καθ' ἣν τὰς θυσίας ἐπιτελοῦντος ἐγεννήθη. ἄγων δὲ παιδογόνια, καὶ τῇ συνήθει μιαιφονίᾳ χρώμενος, προςέταξεν ἀποκτεῖναι τῶν Κυρηναίων τοὺς συγκαταγαγόντας μὲν αὐτὸν εἰς τὴν Αἴγυπτον, ἐγκαλουμένους δὲ ἐπί τισι δικαίαις παῤῥησίαις διὰ τὴν παλλακὴν Εἰρήνην.

Ὅτι Διήγυλις ὁ τῶν Θρᾳκῶν βασιλεὺς παραλαβὼν τὴν βασιλείαν, καὶ παραδόξως αὐτῷ τῶν ἀγαθῶν ἐπιῤῥεόντων, οὐκέτι τῶν ὑποτεταγμένων ὡς φίλων καὶ συμμάχων ἦρχεν, ἀλλ' ὡς ἀργυρωνήτων ἀνδραπόδων ἢ πολεμίων αἰχμαλώτων ὠμῶς ἐδέσποζε. πολλοὺς μὲν γὰρ καλοὺς καὶ ἀγαθοὺς ἄνδρας Θρᾳκῶν ἀνεῖλε μετ' αἰκίας, οὐκ ὀλίγους δὲ ὕβριζε καὶ ταῖς ἐσχάταις παροινίαις περιέβαλλεν. οὐ γὰρ ἦν οὐ γυναικός, οὐ παιδὸς αὐτῷ κάλλος ἄθικτον, οὐ κατασκευὴ κτημάτων πολυτελὴς ἀναφαίρετος, ἀλλὰ πᾶσαν τὴν ὑφ' ἑαυτὸν δυναστείαν ἐπλήρου παρανομίας. ἐπόρθει δὲ καὶ τῶν Ἑλληνίδων πόλεων τὰς πλησιοχώρους, καὶ τῶν ἁλισκομένων οὓς μὲν ὕβριζεν, οὓς δὲ δειναῖς καὶ παρηλλαγμέναις αἰκίαις ἐτιμωρεῖτο. κυριεύσας δὲ ὁ αὐτὸς πόλεως Λυσιμαχίας, τεταγμένης ὑπὸ τὸν Ἄτταλον, τὴν μὲν πόλιν ἐνέπρησε, τῶν δ' αἰχμαλώτων ἐπιλέξας τοὺς ἀξιολογωτάτους ἰδίαις καὶ παρηλλαγμέναις κατ' αὐτῶν ἐχρήσατο τιμωρίαις. παίδων μὲν γὰρ ἀποκόπτων χεῖρας καὶ πόδας καὶ κεφαλὰς ἐξῆπτε ταῦτα φέρειν τοῖς τῶν γονέων τραχήλοις, ἀνδρῶν δὲ καὶ γυναικῶν ἑκατέρων διήλλαττεν ἀμφοτέρων τὰ μέλη, καὶ τινὰς μὲν χειροκοπήσας διεμέλιξε τὰ σώματα κατὰ ῥάχιν, ἔστι δ' ὅτε καὶ τὰς διακοπὰς ἐπ' ἄκραις ταῖς λόγχαις φέρειν, ὡς Φάλαριν καὶ τὸν Κασσανδρέων τύ-

595. 94. καὶ commodius post διὸ ponetur 95. ἀποστάσεως] ἀποκαταστάσεως V 7. ζήτει ἐν τῷ περὶ γάμων in margine apponit V 27. ἀνδρῶν δὲ] ἀνδρῶν τε V ἑκατέρων — ἀμφοτέρων iure suspecta Wesselingio 31. φέρειν] deesse

ραννον Ἀπολλόδωρον ὑπερβάλλειν ὠμότητι. παραλιπὼν δ' ἄν τις τὰ λοιπὰ τῆς περὶ αὐτὸν μιαιφονίας ἐξ ἑνὸς τοῦ μέλλοντος λέγεσθαι τεκμήραιτο τὴν ὑπερβολὴν τῆς ὠμότητος. γάμων ἀγομένων τούτῳ κατά τι Θρᾳκικὸν παλαιὸν ἔθος δύο νεανίσκους Ἕλληνας ἐκ τῆς Ἀτταλικῆς βασιλείας καθ' ὁδοιπορίαν συνήρπασεν, ἀδελφοὺς μὲν ὑπάρχοντας, τῇ δὲ εὐπρεπείᾳ διαφόρους, τὸν μὲν 596 ἴουλον κατάγοντα, τὸν δὲ ὑπογραφὴν ἄρτι λαμβάνοντα ταύτης τῆς ἀκμῆς. τούτους ἀμφοτέρους καταστέψας ἱερείου τρόπον εἰςήγαγε, καὶ τὸν μὲν νεώτερον κατατείνας μακρὸν διὰ τῶν ὑπηρετῶν ὡς μέσον διακόψων, ἀνεφώνησεν ὡς οὐχ ὁμοίοις ἱερείοις δεῖ χρῆσθαι τοὺς ἰδιώτας καὶ τοὺς βασιλεῖς. κλαίοντος δὲ τοῦ πρεσβυτέρου καὶ φιλάδελφον πάθος προφαίνοντος, καὶ τιθέντος ἑαυτὸν ὑπὸ τὸν σίδηρον, προςέταξε τοῖς ὑπηρέταις καὶ τοῦτον ὁμοίως τεῖναι μακρόν. διπλασιάζων δὲ τὴν ὠμότητα, καὶ μιᾷ πληγῇ καθ' ἑκατέρου χρησάμενος, ἐν ἀμφοτέροις εὐστόχησε, παιᾶνι τῶν θεωμένων ἐπισημηνάντων τὴν κατόρθωσιν. πολλὰ δὲ καὶ ἄλλα παράνομα ἐποίησεν.

Ὅτι ὁ Ἄτταλος ἀκούων τὸν Διήγυλιν παρὰ τοῖς ὑποτεταγμένοις διαβεβλῆσθαι διά τε τὴν πλεονεξίαν καὶ τὴν ὑπερβολὴν τῆς ὠμότητος, ἐξήλωσε τὴν ἐναντίαν προαίρεσιν. διὸ καὶ τοὺς ἁλισκομένους τῶν Θρᾳκῶν ἀπολύων μετὰ φιλανθρωπίας πολλοὺς ἔσχε κήρυκας τῆς ἰδίας ἐπιεικείας. ἃ δὴ πυνθανόμενος ὁ Διήγυλις, τῶν μὲν ἀποχωρούντων τοὺς ὁμήρους δειναῖς ὕβρεσι καὶ παρανόμοις αἰκίαις περιέβαλλεν, ὧν ἦσάν τινες τῶν ἀσθενεστάτων παίδων ἡλικίᾳ καὶ φύσει. καὶ γὰρ τούτων οἱ μὲν διαμεμελισμένοι τὰ σώματα ποικίλως, οἱ δὲ κεφαλὰς καὶ χεῖρας καὶ πόδας ἀφῃρημένοι· καὶ τούτων οἱ μὲν ἐπὶ σκόλοψιν, οἱ δὲ ἐπὶ δένδρεσιν ἀνήρτηντο. οὐκ ὀλίγας δὲ καὶ τῶν γυναικῶν ἀνεπτυγμένας τὰ σώματα πρὸς ὕβριν τε ἦν ἰδεῖν πρὸς ταῖς τοῦ θανάτου συμφοραῖς προκειμένας, παντοίας διαθέσεις αἰσχύνης ἐξ ὑπερηφανίας βαρβάρων συντετελεσμένας, αἳ τοῖς μὲν πράξασιν ὠμότητος ἀναισχύντου δεῖγμα προέκειντο, τῶν δὲ

hnic ἐκέλευε vel προςέταττε monet Reiskius: nisi ἔφερεν scribendum est

596. 43. ὁμοίοις Valesius, ὁμοίως V  49. ἑκατέρου Valesius, ἑτέρου V  65. ἀνεπτυγμένας Wesselingius, ἀνεπυγμένας V  67. ante παντοίας copulam addit Wesselingius, quam ego προ'κειμέναις παντοίας scribens post ἰδεῖν desidero  69. τοῖς — πραξασιν Wesselingius, ταῖς — πράξεσιν V  70. προέκειντο Valesius, προςέκειντο V



θεωρούντων καὶ τὸν ἥμερον ἐχόντων λογισμὸν πολλοὺς ἐξεκαλοῦντο πρὸς τὸν τῶν ἠτυχηκότων ἔλεον.

Ὅτι τοῦ Πομπηίου ἐλθόντος ἐπὶ πόλιν τὴν καλουμένην Λαγνί, καὶ ταύτην πολιορκοῦντος, οἱ Νουμαντῖνοι βουλόμενοι βοηθῆσαι τοῖς ὁμοεθνέσιν ἔπεμψαν στρατιώτας τετρακοσίους νυκτός. οἱ δὲ τούτους ἀσμένως δεξάμενοι σωτῆρας ἀπεκάλουν καὶ δωρεαῖς ἐτίμων. μετὰ δὲ ἡμέρας ὀλίγας καταπλαγέντες καὶ τὴν πόλιν προδιδόντες τοῖς σώμασιν ᾔτουν ἀσφάλειαν. τοῦ δὲ Πομπηίου δόντος ἀπόκρισιν ὡς οὐκ ἂν ἄλλως ποιήσοιτο πρὸς αὐτοὺς ὁμολογίας, εἰ μὴ πρῶτον ἐκδώσουσι τοὺς συμμάχους, τὸ μὲν πρῶτον ἐντρεπόμενοι τὸ πρὸς τοὺς εὐεργέτας ἀνόμημα διεκαρτέρουν· τοῦ δὲ δεινοῦ πλησίον ὄντος διεπρεσβεύοντο, καὶ τῇ τῶν φίλων ἀπωλείᾳ τὴν σωτηρίαν αὐτοῖς ἐπεχείρουν περιποιῆσαι. οὐ μὴν ἔλαθόν 597 γε τοὺς ἐπιβουλευομένους, ἀλλὰ τοῦτο μαθόντες πρὸς ἀλκὴν ἐτράποντο, καὶ νυκτὸς τοῖς κατὰ τὴν πόλιν ἐπιθέμενοι πολὺν ἐποίουν φόνον. ὁ δὲ Πομπήιος τοῦ θορύβου αἰσθόμενος, καὶ κλίμακας προςερείσας τοῖς τείχεσιν, ἐκυρίευσε τῆς πόλεως. καὶ τοὺς μὲν εὐγενεῖς ἅπαντας ἀπέσφαξε, τοὺς δὲ συμμάχους ὄντας διακοσίους τὸν ἀριθμὸν ἀπέλυσε τῶν κινδύνων, ἅμα μὲν ἐλεήσας κινδυνεύουσαν ἀρετὴν καὶ τὸ περὶ τοὺς ἀκληροῦντας γενόμενον πάθος δι' ἀχαριστίαν, ἅμα δὲ τὴν Νουμαντίνων εὔνοιαν πρὸς Ῥωμαίους πόῤῥωθεν ἐκκαλούμενος ταῖς εὐεργεσίαις· τὴν δὲ πόλιν κατέσκαψεν.

Ὅτι ὁ Ἀρσάκης ὁ βασιλεὺς ἐπιείκειαν καὶ φιλανθρωπίαν ζηλώσας αὐτομάτην ἔσχε τὴν ἐπίῤῥοιαν τῶν ἀγαθῶν καὶ τὴν βασιλείαν ἐπὶ πλεῖον ηὔξησε. μέχρι γὰρ τῆς Ἰνδικῆς διατείνας τῆς ὑπὸ τὸν Πῶρον γενομένης χώρας ἐκυρίευσεν ἀκινδύνως. εἰς τηλικοῦτο δὲ μέγεθος προαχθεὶς βασιλείας οὐκ ἐξήλωσε τρυφὴν οὐδὲ ὑπερηφανίαν, ἅπερ ταῖς πλείσταις δυναστείαις ἀκολουθεῖν εἴωθεν, ἀλλ' ἐπιείκειαν μὲν πρὸς τοὺς ὑποτεταγμένους, ἀνδρείαν δὲ πρὸς τοὺς ἀντιταττομένους· καθόλου δὲ πολλῶν ἐθνῶν ἐγκρατὴς γενόμενος τὰ παρ' ἑκάστοις ἄριστα τῶν νομίμων κατέδειξε τοῖς Πάρθοις.

Ὅτι τὸ σῶμα τοῦ Οὐριάτθου ταφῆς παραδόξου καὶ μεγαλοπρεποῦς ἠξίωσαν, καὶ διακοσίοις ζεύγεσι μονομάχων ἀγῶνα πρὸς τῷ τάφῳ συνετέλεσαν, τιμῶντες αὐτοῦ τὴν διαβεβοημένην ἀνδρείαν. ὁμολογουμένως γὰρ ἦν

81. ποιήσοιτο] Diodorus scripserat ποιήσαιτο  πρῶτον] πρότερον Reiskius

597. 90. εὐγενεῖς] ἐγγενεῖς Reiskius  93. γενόμενον] γινόμενον V  94. Νουμαντίνων ed. Wesselingii, Νουμαντίων V

πολεμικώτατος μὲν ἐν τοῖς κινδύνοις, στρατηγικώτατος δὲ ἐν τῷ προϊδέσθαι τὸ συμφέρον, τὸ δὲ μέγιστον, διετέλεσε πάντα τὸν τῆς στρατηγίας χρόνον ἀγαπώμενος ὑπὸ τῶν στρατιωτῶν ὡς οὐδεὶς ἕτερος. κατὰ μὲν γὰρ τὰς ἐκ τῆς λῃστείας διανομὰς οὐδὲν πλέον ἀπεφέρετο τῆς τοῖς ἰδιώταις ἐπιβαλλούσης μοίρας, ἀπὸ δὲ τῶν αὐτῷ πορισθέντων ἐτίμα τοὺς ἀξίους χάριτος καὶ τοὺς ἀπόρους τῶν στρατιωτῶν ὑπελάμβανεν. ὑπῆρχε δὲ καὶ νήπτης καὶ ἀγρυπνητικὸς καὶ παντὸς πόνου καὶ κινδύνου κατεξανεστηκώς, ἔτι δὲ πάσης ἡδονῆς κρείττων. αἱ δὲ ἀποδείξεις τῆς περὶ αὐτὸν ἀρετῆς ἐμφανεῖς εἰσιν. ἕνδεκα γὰρ ἔτη δυναστεύοντος αὐτοῦ Λυσιτανῶν οὐ μόνον αἱ δυνάμεις ἀστασίαστοι διέμειναν, ἀλλὰ καὶ σχεδὸν ἀνίκητοι. μετὰ δὲ τὴν τούτου τελευτὴν τὸ σύστημα τῶν Λυσιτανῶν διελύθη στερηθὲν τῆς τούτου προστασίας.

Ὅτι Πτολεμαῖος διὰ τὴν ὠμότητα καὶ μιαιφονίαν καὶ διὰ τὰς ἀνέδην τῶν αἰσχίστων ἡδονῶν ἀπολαύσεις καὶ τὸ τοῦ σώματος ἀγεννὲς πάθος, διὸ Φύσκων ἐκαλεῖτο. ὁ δὲ στρατηγὸς Ἱέραξ ἐν τοῖς πολεμικοῖς ἔργοις θαυμαστὸς ὢν καὶ κατὰ τὰς ἐντεύξεις τοῖς ὄχλοις εὐθε-598
τος, ἔτι δὲ μεγαλόψυχος, συνέσχε τὴν τοῦ Πτολεμαίου βασιλείαν. τούτου γὰρ ἀπορουμένου χρημάτων, καὶ τῶν στρατιωτῶν βουλομένων ἀφίστασθαι πρὸς Γαλαίστην διὰ τὸ μὴ κομίζεσθαι τοὺς μισθούς, ἐκ τῆς ἰδίας οὐσίας ὀψωνιάσας τὴν δύναμιν διωρθώσατο τὴν ὅλην μεταβολήν.

Ὅτι τοῦ Πτολεμαίου παντελῶς οἱ Αἰγύπτιοι κατεφρόνησαν, ὁρῶντες ἔν τε ταῖς ὁμιλίαις ὄντα παιδαριώδη καὶ πρὸς τὰς αἰσχίστας ἡδονὰς ἐκκεχυμένον καὶ διὰ τὴν ἀκολασίαν τὸ σῶμα γυναικῶδες περιπεποιημένον.

Ὅτι ὁ Αἰμίλιος ὁ ὕπατος διὰ τὴν βαρύτητα καὶ δυσκινησίαν τοῦ σώματος τῇ διὰ τὸν ὄγκον ὑπεροχῇ καὶ τῷ πλήθει τῶν περικεχυμένων σαρκῶν ἄχρηστος ἦν ἐν ταῖς κατὰ πόλεμον ἐνεργείαις.

**30.** *ἀνέδην*] *ἀναίδην* **V: deesse autem hic** *ἐμισήθη* **aut quid simile monuit Reiskius** **31.** *πάθος*] *πάχος?*

# L. XXXIV.

Ὅτι οὐδέποτε στάσις ἐγένετο τηλικαύτη δούλων ἡλίκη συνέστη ἐν τῇ Σικελίᾳ, δι' ἣν πολλαὶ μὲν πόλεις δειναῖς περιέπεσον συμφοραῖς, ἀναρίθμητοι δὲ ἄνδρες καὶ γυναῖκες μετὰ τέκνων ἐπειράθησαν τῶν μεγίστων ἀτυχημάτων, πᾶσα δὲ ἡ νῆσος ἐκινδύνευσε πεσεῖν εἰς ἐξουσίαν δραπετῶν, ὅρον τῆς ἐξουσίας τιθεμένων τὴν τῶν ἐλευθέρων ὑπερβολὴν τῶν ἀκληρημάτων. καὶ ταῦτα ἀπήντησε τοῖς μὲν πολλοῖς ἀνελπίστως καὶ παραδόξως, τοῖς δὲ πραγματικῶς ἕκαστα δυναμένοις κρίνειν οὐκ ἀλόγως ἔδοξε συμβαίνειν. διὰ γὰρ τὴν ὑπερβολὴν τῆς εὐπορίας τῶν τὴν κρατίστην νῆσον ἐκκαρπουμένων ἅπαντες σχεδὸν οἱ τοῖς πλούτοις προκεκοφότες ἐζήλωσαν τὸ μὲν πρῶτον τρυφήν, εἶθ' ὑπερηφανίαν καὶ ὕβριν. ἐξ ὧν ἁπάντων αὐξανομένης ἐπ' ἴσης τῆς τε κατὰ τῶν οἰκετῶν κακουχίας καὶ τῆς κατὰ τῶν δεσποτῶν ἀλλοτριότητος, ἐῤῥάγη ποτὲ σὺν καιρῷ τὸ μῖσος. ἐξ οὗ χωρὶς παραγγέλματος πολλαὶ μυριάδες συνέδραμον οἰκετῶν ἐπὶ τὴν τῶν δεσποτῶν ἀπώλειαν. τὸ παραπλήσιον δὲ γέγονε καὶ κατὰ τὴν Ἀσίαν κατὰ τοὺς αὐτοὺς καιρούς, Ἀριστονίκου μὲν ἀντιποιησαμένου τῆς μὴ προσηκούσης βασιλείας, τῶν δὲ δούλων διὰ τὰς ἐκ τῶν δεσποτῶν κακουχίας συναπονοησαμένων ἐκείνῳ καὶ μεγάλοις ἀτυχήμασι πολλὰς πόλεις περιβαλόντων.

Ὅτι παραπλησίως καὶ πρὸς τὰς γεωργίας ἕκαστος τῶν πολλὴν χώραν κεκτημένων ὅλα σωματοτροφεῖα συνηγόραζον· τοὺς μὲν πέδαις δεσμεύειν, τοὺς δὲ βαρύτησι τῶν ἔργων καταπονεῖν, πάντας δὲ τοῖς ὑπερηφάνοις χαρακτῆρσι κατέστιζον. διὸ καὶ τοσοῦτο τῶν οἰκετῶν ἐπέ-
599κλυσε πλῆθος ἅπασαν Σικελίαν ὥςτε τοὺς ἀκούοντας τὴν ὑπερβολὴν μὴ πιστεῦσαι. καὶ γὰρ τῶν Σικελιωτῶν

**598. 60.** *ἐκκαρπουμένων* **Wesselingius,** *εὐκαρπουμένων* **V 71.** *ἐκείνῳ* **Valesius,** *ἐκείνων* **V 75.** *τοὺς*] *καὶ τοὺς* **Valesius, quem sequutus Wesselingius** *ἐδέσμευον — κατεπόνουν* **reponit**

οἱ πολλοὺς πλούτους κεκτημένοι διημιλλῶντο πρὸς τὰς τῶν Ἰταλιωτῶν ὑπερηφανίας τε καὶ πλεονεξίας καὶ κακουργίας. εἰς τοιαύτην γὰρ συνήθειαν ῥᾳδιουργίας τοὺς νομεῖς ἤγαγον οἱ πολλοὺς οἰκέτας κεκτημένοι τῶν Ἰταλικῶν ὥςτε τροφὰς μὲν μὴ παρέχειν, ἐπιτρέπειν δὲ λῃστεύειν. τοιαύτης δοθείσης ἐξουσίας ἀνθρώποις διὰ μὲν τὴν ἰσχὺν τῶν σωμάτων δυναμένοις πᾶν τὸ κριθὲν ἐκτελεῖν, διὰ δὲ τὴν ἄνεσιν καὶ σχολὴν εὐκαιροῦσι, διὰ δὲ τὴν τῆς τροφῆς ἔνδειαν ἀναγκαζομένοις ταῖς παραβόλοις ἐγχειρεῖν πράξεσι, συνέβη ταχὺ τὴν παρανομίαν αὐξηθῆναι. τὸ γὰρ πρῶτον ἐν τοῖς ἐπιφανεστάτοις τόποις τοὺς καθ᾽ ἕνα καὶ δύο τὰς ὁδοιπορίας ποιουμένους ἐφόνευον· εἶτα ἐπὶ τὰς τῶν ἀσθενεστέρων ἐπαύλεις νυκτὸς ἀθρόοι συντρέχοντες ἐξῄρουν βίᾳ ταύτας καὶ τὰς κτήσεις διήρπαζον καὶ τοὺς ἀνθισταμένους ἀνῄρουν. ἀεὶ δὲ μᾶλλον τῆς τόλμης προβαινούσης, οὔτε τοῖς ὁδοιπόροις νυκτὸς ἡ Σικελία βάσιμος ἦν οὔτε τοῖς ἐπὶ τῆς χώρας ζῆν εἰωθόσιν ἀσφαλὴς ἐπὶ ταύτης ἡ διατριβή, πάντα δὲ βίας καὶ λῃστείας καὶ παντοδαπῶν φόνων ἦν μεστά. τοῖς δὲ νομεῦσιν ἀγραυλίας γεγενημένης καὶ σκευῆς στρατιωτικῆς, εὐλόγως ἅπαντες ἐνεπιμπλῶντο φρονήματος καὶ θράσους. περιφέροντες γὰρ ῥόπαλα καὶ λόγχας καὶ καλαύροπας ἀξιολόγους καὶ δέρματα λύκων ἢ συάγρων ἐσκεπασμένοι τὰ σώματα καταπληκτικὴν εἶχον τὴν πρόςοψιν καὶ πολεμικῶν ἔργων οὐ πόῤῥω κειμένην. κυνῶν τε ἀλκίμων ἄθροισμα συνεπόμενον ἑκάστῳ καὶ τροφῆς καὶ γάλακτος καὶ κρεῶν παρακειμένων πλῆθος ἐξηγρίου τάς τε ψυχὰς καὶ τὰ σώματα. ἦν οὖν πᾶσα χώρα μεστὴ καθάπερ στρατευμάτων διεσπαρμένων, ὡς ἂν ὑπὸ τῆς τῶν δεσποτῶν ἐπιτροπῆς τοῦ θράσους τῶν δούλων καθωπλισμένου. οἱ δὲ στρατηγοὶ κωλύειν μὲν ἐπεχείρουν τὴν ἀπόνοιαν τῶν οἰκετῶν, κολάζειν δὲ οὐ τολμῶντες διὰ τὴν ἰσχὺν καὶ τὸ βάρος τῶν δεσποτῶν ἠναγκάζοντο περιορᾶν τὴν ἐπαρχίαν λῃστευομένην. οἱ πλεῖστοι γὰρ τῶν κτητόρων ἱππεῖς ὄντες ἐντελεῖς τῶν Ῥωμαίων, καὶ κριταὶ τοῖς ἀπὸ τῶν ἐπαρχιῶν κατηγορουμένοις στρατηγοῖς γινόμενοι, φοβεροὶ ταῖς ἀρχαῖς ὑπῆρχον.

Ὅτι οἱ περὶ τὰς γεωργίας ἀσχολούμενοι τῶν Ἰταλικῶν παμπληθεῖς οἰκέτας ὠνούμενοι καὶ πάντας χαράττοντες τοῖς στίγμασι τροφὰς μὲν οὐχ ἱκανὰς παρείχοντο, τῇ δὲ βαρύτητι τῶν ἔργων κατέξαινον τὴν παρ᾽ αὐτῶν ταλαιπωρίαν.

599. 12. καθωπλισμένου Valesius, καθωπλισμένων V 18. ἀπὸ] praestat fortasse ὑπὸ 19. γινόμενοι Valesius, γινομένοις V



600 Ὅτι Δαμόφιλός τις ἦν τὸ γένος Ἐνναῖος, τὴν οὐσίαν μεγαλόπλουτος, τὸν τρόπον ὑπερήφανος, ὃς πολλὴν χώρας περίοδον γεωργῶν, παμπληθεῖς δὲ βοσκημάτων ἀγέλας κεκτημένος, οὐ μόνον τὴν τρυφὴν τῶν κατὰ Σικελίαν Ἰταλικῶν ἐζήλωσεν, ἀλλὰ καὶ τὸ κατὰ τοὺς οἰκέτας πλῆθος καὶ τὴν εἰς τούτους ἀπανθρωπίαν καὶ βαρύτητα. ἐπὶ μὲν γὰρ τῆς χώρας ἵππους τε πολυτελεῖς καὶ τετρακύκλους ἀπήνας μετ᾽ οἰκετῶν στρατιωτικῶν περιήγετο· πρὸς δὲ τούτοις εὐπρεπῶν παίδων πλῆθος, ἔτι δὲ κολάκων ἀναγωγὸν παραδρομὴν ἔχειν ἐφιλοτιμεῖτο. κατὰ δὲ τὴν πόλιν καὶ τὰς ἐπαύλεις ἀργυρωμάτων ἐκθέσεις τορευτῶν καὶ στρωμάτων θαλαττίων πολυτελείας ἐκπονούμενος παρετίθετο τραπέζας ὑπερηφάνους καὶ βασιλικὰς ταῖς δαψιλείαις, ὑπεραίρων τὴν Περσικὴν τρυφὴν ταῖς δαπάναις καὶ πολυτελείαις. ὑπερέβαλλε δὲ καὶ κατὰ τὴν ὑπερηφανίαν. ἀναγωγὸς γὰρ καὶ ἀπαιδευτότροπος ἐξουσίας ἀνυπευθύνου καὶ οὐσίας μεγαλοπλούτου κυριεύσας τὸ μὲν πρῶτον κόρον ἐγέννησεν, εἶθ᾽ ὕβριν, τὸ δὲ τελευταῖον ὄλεθρον ἑαυτῷ καὶ συμφορὰς μεγάλας τῇ πατρίδι. ἀγοράζων γὰρ οἰκετῶν πλῆθος, ὑβριστικῶς αὐτοῖς προςεφέρετο, στίγμασι σιδήρου χαράττων τὰ σώματα τῶν ἐλευθέρων μὲν ἐν πατρίσι γεγεννημένων, αἰχμαλωσίας δὲ καὶ δουλικῆς τύχης πεπειραμένων. καὶ τούτων τοὺς μὲν πέδαις δεσμεύων εἰς τὰς συνεργασίας ἐνέβαλλε, τοὺς δὲ νομεῖς ἀποδεικνύων οὔτ᾽ ἐσθῆτας οὔτε τροφὰς ἐχορήγει τὰς ἁρμοττούσας.

Ὅτι ὁ αὐτὸς Δαμόφιλος διὰ τὴν αὐθάδειαν καὶ τὴν ὠμότητα τῶν τρόπων οὐκ ἦν ἡμέρα καθ᾽ ἣν οὐκ ᾐκίζετό τινας τῶν οἰκετῶν ἐπ᾽ αἰτίαις οὐ δικαίαις. οὐχ ἧττον δὲ ἡ γυνὴ τούτου Μεγαλλὶς χαίρουσα ταῖς ὑπερηφάνοις τιμωρίαις ὠμῶς προςεφέρετο ταῖς θεραπαινίσι καὶ τῶν οἰκετῶν τοῖς ὑποπεσοῦσι. καὶ διὰ τὴν ἐξ ἀμφοτέρων ὕβριν καὶ τιμωρίαν ἀπεθηριώθησαν οἱ δοῦλοι πρὸς τοὺς κυρίους, καὶ διαλαβόντες μηδὲν ἔτι χεῖρον τῶν παρόντων αὐτοῖς κακῶν ἀπαντήσεσθαι

Ὅτι κατὰ τὴν Σικελίαν ἦν τοῦ Δαμοφίλου θυγάτηρ, παρθένος μὲν τὴν ἡλικίαν, ἁπλότητι δὲ τρόπων καὶ φιλανθρωπίᾳ διαφέρουσα. αὕτη τοὺς μαστιζομένους ὑπὸ τῶν γονέων ἀεὶ φιλοτίμως εἰώθει παρηγορεῖσθαι, καὶ

600. 28. περίοδον Reiskius, πάροδον V 40. δαψιλείαις] δαψιλίαις V 42. ἀπαιδευτότροπος Reiskius, ἀναπαιδευτότροπος V 52. οὔτ᾽ ἐσθῆτας] οὐθ᾽ ἐσθῆτας V 57. Μεγαλλὶς Valesius, Μεταλλὶς V

τοῖς δεδεμένοις τῶν οἰκετῶν ἐπαρκοῦσα διὰ τὴν ἐπιείκειαν θαυμαστῶς ὑπὸ πάντων ἠγαπᾶτο. καὶ τότ' οὖν τῆς προγεγενημένης χάριτος ξενολογησάσης αὐτῇ τὸν παρὰ τῶν εὖ πεπονθότων ἔλεον, οὐ μόνον οὐδεὶς ἐτόλμησε μεθ' ὕβρεως ἐπιβαλεῖν τῇ κόρῃ τὰς χεῖρας, ἀλλὰ πάντες ἄθικτον πάσης ὕβρεως τὴν ἀκμὴν αὐτῆς ἐτήρησαν. προχειρισάμενοι δ' ἐξ αὐτῶν τοὺς εὐθέτους, ὧν ἐκτενέστατος ἦν Ἑρμείας, ἀπήγαγον εἰς Κατάνην πρός τινας οἰκείους.

Ὅτι Εὔνους μετὰ τὸ ἀναγορευθῆναι βασιλέα πάντας ἀνελών, ἐκκλέψας μόνους ἀφῆκε τοὺς ἐν τοῖς ἔμ- 601
προσθεν χρόνοις κατὰ τὰς ἐκ τοῦ κυρίου συμπεριφορὰς ἐν τοῖς συνδείπνοις ἀποδεδεγμένους αὐτὸν ἐν τῇ τε μαντικῇ καὶ κατὰ τὰς τῆς τραπέζης δόσεις φιλανθρώπους· ὥστε θαυμάσαι τήν τε τῆς τύχης περιπέτειαν καὶ τὸ τὴν κατὰ τῶν εὐτελεστάτων εὐεργεσίαν ἀμειφθῆναι σὺν καιρῷ τηλικαύτῃ χάριτι.

Ὅτι καὶ ἄλλη τις ἐγένετο ἀπόστασις δραπετῶν καὶ σύστημα ἀξιόλογον. Κλέων γάρ τις Κίλιξ ἐκ τῶν περὶ τὸν Ταῦρον τόπων, συνήθης ὢν ἐκ παίδων τῷ λῃστρικῷ βίῳ, καὶ κατὰ τὴν Σικελίαν νομεὺς γεγονὼς ἱπποφορβίων, οὐ διέλιπεν ὁδοιδοκῶν καὶ παντοδαποὺς φόνους ἐπιτελούμενος. ὃς πυθόμενος τὴν κατὰ τὸν Εὔνουν προκοπὴν καὶ τὰς τῶν μετ' αὐτοῦ δραπετῶν εὐημερίας, ἀποστάτης ἐγένετο, καί τινας τῶν πλησίων οἰκετῶν πείσας συναπονοήσασθαι κατέτρεχε τὴν πόλιν τῶν Ἀκραγαντίνων καὶ τὴν πλησιόχωρον πᾶσαν.

Ὅτι κατὰ τὴν Ἀσίαν Ἄτταλος ὁ βασιλεὺς προσφάτως διαδεδεγμένος τὴν ἀρχὴν ἀλλοτρίαν ἔσχε διάθεσιν τῶν προβεβασιλευκότων. καὶ γὰρ ἐκεῖνοι χρηστότητι καὶ φιλανθρωπίᾳ χρώμενοι ταῖς βασιλείαις ἐνευδαιμόνησαν· οὗτος δὲ γενόμενος ὠμὸς καὶ μιαιφόνος πολλοὺς τῶν ὑπὸ τὴν βασιλείαν τεταγμένων ἀνηκέστοις συμφοραῖς καὶ σφαγαῖς περιέβαλε. τῶν δὲ πατρῴων φίλων τοὺς δυνατωτάτους ὑποπτεύσας ὥς κατ' αὐτοῦ τι βουλευσαμένους, ἔκρινε δεῖν ἅπαντας ἐκποδὼν ποιήσασθαι. ἐπιλεξάμενος οὖν τῶν βαρβάρων μισθοφόρων τοὺς ἀγριωτάτους εἰς φόνον, ἀπλήστους δὲ εἰς χρημάτων περιουσίαν, τούτους ἔν τισιν οἰκήμασι κατέκρυψεν ἐν τοῖς βασιλείοις, τῶν δὲ φίλων τοὺς ὑποπτευομένους μετεπέμπετο. παραγενομένων δὲ τῶν φίλων, πάντας ἀπέκτεινεν, ἔχων ὑπηρέτας οἰκείους τῆς ἰδίας μιαιφονίας. εὐθὺς δὲ τέκνα καὶ γυναῖκας τούτων προςέταξε τῆς αὐτῆς τιμωρίας ἀξιῶσαι. τῶν δὲ ἄλλων φίλων τοὺς ἐπ' ἐξουσίᾳ στρατιωτῶν ἢ πόλεων τεταγμένους οὓς μὲν ἐδολοφόνησεν, οὓς δὲ συλλαβὼν πανοικίους ἀνεῖλε. διὰ δὲ τὴν ὠμότητα μισηθεὶς οὐ μόνον ὑπὸ τῶν ἀρχομένων ἀλλὰ καὶ τῶν πλησιοχώρων, πάντας τοὺς ὑποτεταγμένους ἐποίησε μετεώρους πρὸς καινοτομίαν.

Ὅτι Τιβέριος ὁ Γράκχος ἦν υἱὸς Τιβερίου δὶς ὑπατευκότος καὶ πολέμους ἐπιφανεῖς καὶ μεγάλους κεχειρικότος, ἔτι δὲ καλῶς πεπολιτευμένου, θυγατριδοῦς δὲ Ποπλίου Σκιπίωνος τοῦ καταπεπολεμηκότος Ἀννίβαν καὶ Καρχηδονίους. ἐξ ἀμφοτέρων δὲ τῶν γονέων ἐπισημοτάτου γένους πεφυκώς, ἰδίᾳ πολὺ προεῖχε τῶν ἡλικιωτῶν συνέσει τε καὶ λόγου δεινότητι καὶ τὸ σύνολον πάσῃ παιδείᾳ, καὶ δυνάμενος παῤῥησίαν ἄγειν πρὸς τὴν ὑπεροχὴν τῶν ἀντιπραττόντων

602 Ὅτι οἱ Σύροι οἱ δραπέται τῶν αἰχμαλώτων τὰς χεῖρας ἀπέκοπτον, οὐκ ἀρκούμενοι ταῖς παρὰ τοὺς καρποὺς τομαῖς, ἀλλὰ σὺν αὐτοῖς τοῖς βραχίοσιν ἀκρωτηριάζοντες.

Ὅτι ἡ σύγκλητος δεισιδαιμονοῦσα ἐξαπέστειλεν εἰς Σικελίαν περὶ τοὺς Σιβύλλης χρησμοὺς κατὰ Σιβυλλιακὸν λόγιον. οἱ δὲ ἐπελθόντες καθ' ὅλην τὴν Σικελίαν τοὺς τῷ Αἰτναίῳ Διὶ καθιδρυμένους βωμοὺς θυσιάσαντες καὶ περιφράγματα ποιήσαντες ἀβάτους ἀπεδείκνυον τοὺς τόπους πλὴν τοῖς ἔχουσι καθ' ἕκαστον πολίτευμα πατρίους θύειν θυσίας.

Ὅτι ἦν τις Γοργὸς Μοργαντῖνος ἐπικαλούμενος Κάμβαλος, πλούτῳ καὶ δόξῃ διαφέρων, ὃς ἐπὶ κυνηγίαν ὁρμήσας, καὶ περιπεσὼν λῃστηρίῳ δραπετῶν, ἔφευγε πεζὸς πρὸς τὴν πόλιν. ἀπαντήσαντος δὲ αὐτῷ Γοργοῦ τοῦ τούτου πατρὸς ἐφ' ἵππου, καὶ καθαλλομένου καὶ παραδιδόντος τὸν ἵππον, ὅπως ἐφαλλόμενος ἀφιππεύσῃ πρὸς τὴν πόλιν, οὔθ' ὁ παῖς τὴν ἰδίαν σωτηρίαν τῆς τοῦ πατρὸς προέκρινεν οὔθ' ὁ πατὴρ προςεδέχετο τῷ τοῦ τέκνου θανάτῳ διαφυγεῖν τὸν κίνδυνον. δεομένων δὲ ἀλλήλων μετὰ δακρύων καὶ διαφιλοτιμουμένων ὑπὲρ εὐσεβείας τε καὶ φιλοστοργίας, σύγκρισίν τε λαμβανον-



75. αὐτῶν] αὐτῶν V  78. Εὔνους] Δαμόφιλος V: correxit Valesius  τὸ addidit ed. Wesselingii

601. 80. ἐκ ante τῆς τρ. ponit Valesius  83. φιλανθρώπους] φιλανθρώπως vertit Valesius  84. τὴν κατὰ Valesius, κατὰ τὴν V

602. 35. βραχίοσιν ἀκρωτηριάζοντες Reiskius, βραχίοσι συνακρωτηριάζοντες  37. aut περὶ τοὺς Σιβύλλης χρησμοὺς aut κατὰ Σιβυλλιακὸν λόγιον delendum est: posterius quum deleret Reiskius, παρὰ pro περὶ scribebat

τος ἤθους φιλοτέκνου πρὸς τρόπον φιλοπάτορα, συνέβη τοὺς ληστὰς ἐπιφανέντας ἀμφοτέρους ἀνελεῖν.

"Οτι ὁ τοῦ Διηγύλιος υἱὸς Ζιβέλμιος, ἐξηλωκὼς τὰς τοῦ πατρὸς μιαιφονίας, μνησικακῶν δὲ ὑπὲρ τῶν τοῖς Θραξὶ πραχθέντων, ἐπὶ τοσοῦτο προῆλθεν ὠμότητος καὶ παρανομίας ὥςτε τοὺς προςκόψαντας πανοικίους τιμω- ρεῖσθαι. ἐπὶ γὰρ ταῖς τυχούσαις αἰτίαις τοὺς μὲν διεμέ- λιζε, τοὺς δὲ ἀνεσταύρου, τοὺς δὲ καὶ ζῶντας ἐνεπύριζε. γονέων δὲ ἐν ὄμμασι καὶ κόλποις ἐγκατέσφαζε τέκνα, καὶ κρεανομῶν τὰ σώματα παρετίθει τοῖς συγγενεστάτοις, ἀνανεούμενος τὰς παλαιὰς ἐκείνας Τηρέως ἢ Θυέστου θοινάς. οἱ δὲ Θρᾶκες συλλαβόντες τὸν Ζισέλμιον, τὸ μὲν καθ' ἓν αὐτὸν ἀντιδιατιθέναι σχεδὸν ἀδύνατον ὑπῆρχε· πῶς γὰρ ἐνδεχόμενον ἦν ἓν σῶμα τὴν εἰς ὅλον ἔθνος παρανομίαν γενομένην ἀναδέξασθαι; ὅμως δ' ἐκ τῶν ἐνδεχομένων ἐφιλοτιμήθησαν πᾶσαν ὕβριν καὶ τιμω- ρίαν προςαγαγεῖν τῷ σώματι.

"Οτι ὁ Πτολεμαῖος ὁ Φύσκων προςαγορευόμενος, πυθόμενος τὴν τῆς Κλεοπάτρας πρὸς αὐτὸν ἀλλοτρίωσιν, καὶ οὐ δυνάμενος ἄλλως αὐτὴν λυπῆσαι, πρᾶξιν ἀνο- σιωτάτην ἐτόλμησεν ἐπιτελέσασθαι. μιμησάμενος γὰρ τὴν τῆς Μηδείας ὠμότητα καὶ μιαιφονίαν τὸν κοινὸν αὐ- τοῦ τε κἀκείνης υἱὸν ἔσφαξεν ἐν τῇ Κύπρῳ, παῖδα μὲν 603 ὄντα τὴν ἡλικίαν, ὀνομαζόμενον δὲ Μεμφίτην. οὐκ ἀρ- κεσθεὶς δὲ τῷ ἀσεβήματι τούτῳ πολλῷ μεῖζον μύσος ἕτερον ἐπετελέσατο. ἀκρωτηριάσας γὰρ τὸ σῶμα τοῦ παι- δὸς καὶ ἐνθεὶς εἴς τινα κίστην προςέταξέ τινι τῶν ὑπη- ρετῶν εἰς τὴν Ἀλεξάνδρειαν διακομίσαι· κατὰ τύχην δὲ σύνεγγυς ὄντων τῇ Κλεοπάτρᾳ τῶν γενεθλίων, τῇ πρὸ τούτων νυκτὶ θεῖναι τὴν κίστην πρὸ τῶν βασιλείων πα- ρεσκευάσατο. οὗ συντελεσθέντος, καὶ τῆς περιστάσεως ἐπιγνωσθείσης, ἡ Κλεοπάτρα πένθος ἤρατο, καὶ τὸ πλῆ- θος παντελῶς ἀπεθηριώθη πρὸς τὸν Πτολεμαῖον.

"Οτι ὁ στρατηγὸς Ἀντιόχου Ἀθήναιος πλεῖστα ἐν ταῖς ἐπισταθμίαις εἰργασμένος κακά, τῆς φυγῆς κατάρξας καὶ τὸν Ἀντίοχον ἐγκαταλιπών, τῆς προςηκούσης κατα- στροφῆς ἔτυχε. διεκπεσόντος γὰρ αὐτοῦ πρός τινας κώ- μας ἠδικημένας ἐν ταῖς ἐπισταθμίαις, οὐδεὶς αὐτὸν ἐδέ- ξατο εἰς οἰκίαν οὐδὲ τροφῆς μετέδωκεν, ἀλλὰ κατὰ τὴν χώραν ἀλώμενος λιμῷ κατέστρεψε τὸν βίον.

"Οτι ἀποσταλεὶς παρὰ Πτολεμαίου τοῦ πρεσβυτέρου Ἡγέλοχος στρατηγὸς ἐπὶ Μαρσύαν τὸν τῶν Ἀλεξανδρέων





στρατηγὸν μετὰ δυνάμεως, αὐτόν τε ἐζώγρησε καὶ τὴν μετ' αὐτοῦ δύναμιν ἄρδην ἀνεῖλεν. ἐπαναχθέντος δὲ τοῦ Μαρσύου πρὸς τὸν βασιλέα, καὶ πάντων προςδοκώντων τιμωρίας αὐτὸν τεύξεσθαι τῆς μεγίστης, ἀπέλυσεν αὐτὸν τῶν ἐγκλημάτων. μετενόει γὰρ ἤδη καὶ ταῖς φιλανθρωπίαις ἔσπευδε διορθώσασθαι τὴν τῶν ὄχλων πρὸς αὐτὸν ἀποθηρίωσιν.

"Οτι Εὐήμερος ὁ τῶν Πάρθων βασιλεύς, Ὑρκάνιος ὢν τὸ γένος, ὠμότητι δὲ ὑπερβάλλων πάντας τοὺς μνημονευομένους τυράννους, οὐκ ἔστιν ὁποῖον τιμωρίας γένος ἀπέλιπε. πολλοὺς δὲ τῶν Βαβυλωνίων καὶ ἐπὶ ταῖς τυχούσαις αἰτίαις πανοικίους ἐξανδραποδισάμενος εἰς τὴν Μηδίαν ἐξέπεμψε, προςτάξας λαφυροπωλῆσαι. καὶ τῆς Βαβυλῶνος τὴν ἀγορὰν καί τινα τῶν ἱερῶν ἐνέπρησε καὶ τὸ κράτιστον τῆς πόλεως διέφθειρε.

"Οτι Ἀλέξανδρος ὁ Ζαβινᾶς ἐπικληθείς, ἀξιολόγων ἡγεμόνων ἀποστάντων Ἀντιπάτρου καὶ Κλονίου καὶ Ἀερόπου, τούτους καταλαβομένους Λαοδίκειαν ἐξεπολιόρκησεν. καὶ χρησάμενος μεγαλοψύχως αὐτοῖς ἀπέλυσε τῶν ἐγκλημάτων. ἦν γὰρ πρᾶος καὶ συγγνωμονικός, ἔτι δὲ ἐν ταῖς ὁμιλίαις καὶ ἐν ταῖς ἐντεύξεσι προςηνής. ὧν χάριν διαφερόντως ὑπὸ τῶν πολλῶν ἠγαπᾶτο.

"Οτι Σέξτου τὴν τῶν Γαλατῶν πόλιν ἑλόντος καὶ
604 τοὺς ἐν αὐτῇ λαφυροπωλοῦντος, Κράτων τις ὄνομα, γεγονὼς φιλορώμαιος, καὶ διὰ τοῦτο πολλὰς ὕβρεις καὶ βασάνους ὑπὸ τῶν ἀποστάντων πολιτῶν ὑπομεμενηκώς, ἤγετο δέσμιος μετὰ τῶν ἄλλων αἰχμαλώτων. ἰδὼν δὲ χρηματίζοντα τὸν ὕπατον, καὶ δηλώσας ὅςτις ἦν καὶ ὅτι πολλοὺς καὶ πολλάκις ὑπὸ τῶν πολιτῶν ὑποστὰς κινδύνους, ὥςπερ ὑπὲρ Ῥωμαίων πολιτευόμενος, οὐ μόνον αὐτὸς μεθ' ὅλης τῆς συγγενείας ἀπολυθεὶς ἀπέλαβε τὴν κτῆσιν, ἀλλὰ καὶ διὰ τὴν εἰς τοὺς Ῥωμαίους εὔνοιαν ἐξουσίαν ἔλαβεν ἐνναχοσίους τῶν πολιτῶν ἐκ τῆς δουλείας ἐξελέσθαι. ὁ γὰρ ὕπατος μεγαλοψυχότερον τῆς ἰδίας ἐλπίδος αὐτῷ προςηνέχθη, πρὸ ὀφθαλμῶν τιθεὶς τοῖς Γαλάταις τὴν εἰς ἑκάτερον μέρος τῶν Ῥωμαίων ὑπερβολὴν φιλανθρωπίας καὶ τιμωρίας.

"Οτι ὁ Ἀλέξανδρος οὐ πιστεύων τοῖς ὄχλοις διά τε τὴν ἀπειρίαν τῶν ἐν τῷ πολέμῳ κινδύνων καὶ τὴν πρὸς τὰς μεταβολὰς ὀξύτητα, παρατάξασθαι μὲν οὐκ ἐτόλμησε, διενοεῖτο δὲ συσκευάσασθαι τὰ βασιλικὰ χρήματα καὶ τὰ τῶν θεῶν ἀναθήματα συλῆσαι, καὶ μετὰ τούτων νυκτὸς ἀπᾶραι εἰς τὴν Ἑλλάδα. συλᾶν δὲ ἐπιβαλόμενος διά τινων βαρβάρων τὸ τοῦ Διὸς ἱερόν, καὶ φωραθείς, ἐκινδύνευσε μὲν μετὰ τῆς δυνάμεως ἐκ χειρὸς τυχεῖν τῆς

ἁρμοττούσης τιμωρίας, φθάσας δὲ καὶ διαδρὰς μετ' ὀλίγων ἐπεβάλετο φεύγειν εἰς Σελεύκειαν. τῆς δὲ φήμης αὐτὸν καταταχούσης, οἱ Σελευκεῖς ἀκούσαντες τὰ περὶ τὴν ἱεροσυλίαν, ἀπέκλεισαν αὐτὸν τῆς πόλεως. ὁ δὲ ἀποπεσὼν καὶ ταύτης τῆς ἐπιβολῆς, ὥρμησε φεύγειν ἐπὶ τὸ Ποσίδειον, ἀντεχόμενος τῶν παραθαλαττίων τόπων.

Ὅτι μετὰ τὸ ἀποθανεῖν τὸν Γράκχον ὑπὸ τοῦ ἰδίου δούλου τῶν γεγονότων αὐτοῦ φίλων Λεύκιος Οὐιτέλλιος πρῶτος ἐπιστὰς τῷ πτώματι αὐτοῦ οὐχ ὅπως ἠχθέσθη τῇ συμφορᾷ τοῦ τετελευτηκότος, ἀλλὰ τὴν κεφαλὴν ἀφελὼν καὶ κομίσας πρὸς ἑαυτὸν εἰς οἶκον ἰδίαν τινὰ πλεονεξίας ἐπίνοιαν καὶ ὠμότητος ὑπερβολὴν ἐπεδείξατο. ὁ γὰρ ὕπατος ἦν ἐπικεκηρυχὼς τῷ τὴν κεφαλὴν ἀπενέγκαντι δώσειν ἰσόσταθμον χρυσίον· ὁ δὲ τὸν τράχηλον διατρήσας καὶ τὸν ἐγκέφαλον ἐκκενώσας ἐνέτηξεν ἀντὶ τούτου μόλυβδον· ἀναδοὺς δὲ τὴν κεφαλὴν ἐκομίσατο μὲν τὸ χρυσίον, κατεγνώσθη δὲ εἰς ἅπαντα τὸν βίον ἐπὶ προδοσίᾳ φιλίας. ὁμοίως δὲ οἱ Φλάκκοι διεχειρίσθησαν.

Ὅτι κατὰ τὴν Λιβύην παραταξαμένων ἀλλήλοις τῶν βασιλέων Ἰογόρθας κρατήσας τῇ μάχῃ πολλοὺς ἀνεῖλε τῶν Νομάδων· ὁ δὲ Ἀτάρβας ὁ ἀδελφὸς αὐτοῦ καταφυγὼν εἰς Κίρταν, καὶ συγκλεισθεὶς εἰς πολιορκίαν, ἐξαπέστειλε 605 πρεσβευτὰς εἰς Ῥώμην μὴ περιιδεῖν βασιλέα φίλον καὶ σύμμαχον κινδυνεύοντα. ἡ δὲ σύγκλητος ἔπεμψε πρέσβεις λύσειν τὴν πολιορκίαν. οὐ προσέχοντος δὲ Ἰογόρθα πάλιν ἑτέρους ἔπεμψαν ἀξίωμα μεῖζον ἔχοντας. ὁμοίως δὲ καὶ τούτων ἀπράκτων ἐπανελθόντων ὁ Ἰογόρθας περιταφρεύσας τὴν πόλιν ἐνδείᾳ κατεπόνησε τοὺς ἐν τῇ πόλει· τὸν δὲ ἀδελφὸν ἐξελθόντα μεθ' ἱκετηρίας, καὶ τῆς μὲν βασιλείας ἐξιστάμενον, τὸ δὲ ζῆν αἰτούμενον, ἀπέσφαξεν, οὐκ ἐντραπεὶς οὔτε συγγένειαν οὔτε τὸν τῆς ἱκεσίας νόμον. ὁμοίως δὲ καὶ τῶν Ἰταλῶν τοὺς συμμαχήσαντας τἀδελφῷ πάντας αἰκισάμενος ἀπέκτεινεν.

Ὅτι Νασικᾶς ὁ ὕπατος ὑπῆρχεν ἀνὴρ καὶ κατ' ἀρετὴν ἀξιόλογος καὶ κατὰ τὴν εὐγένειαν θαυμαζόμενος. ἐξ ἐκείνου γὰρ ἦν τοῦ γένους ἐξ οὗ τοὺς Ἀφρικανοὺς καὶ τοὺς Ἀσιαγενεῖς καὶ τοὺς Ἱσπανοὺς ὀνομάζεσθαι συμβέβηκεν, ὧν ὁ μὲν τὴν Λιβύην, ὁ δὲ τὴν Ἀσίαν, ὁ δὲ τὴν Ἱσπανίαν καταστρεψάμενος, ἔτυχε τῆς ἀπὸ τῶν πράξεων φερωνύμου προσηγορίας. καὶ πρὸς δὲ τῇ κοινῇ τοῦ γένους

604. 56. *Ποσίδειον* Holstenius, *Πισίδιον* V et Exc. Vat. p. 121. 5. 64. ἐπικεκηρυχὼς] ἐπικεκηρυκὼς V
605. 78. λύσειν] immo λύειν 89. *Νασικᾶς*] *Νασίκας* V et *Νασικάς* 11. et *Νασίκα* 23. 92. Ἱσπανοὺς] Ἱσπάνους V



δόξῃ πατέρα καὶ πάππον ἔσχεν ἐπιφανεστάτους Ῥωμαίων. ἄμφω μὲν γὰρ προεκάθισαν τοῦ συνεδρίου καὶ πρώτην ἐπεῖχον γνώμην μέχρι τῆς τελευτῆς, ὁ δὲ πάππος αὐτοῦ καὶ κατὰ δόγμα τῆς συγκλήτου τῶν πλείστων ἄριστος ἐκρίθη. ἐν μὲν γὰρ τοῖς τῆς Σιβύλλης χρησμοῖς εὑρέθη γεγραμμένον ὅτι δεῖ τοὺς Ῥωμαίους ἱδρύσασθαι νεὼν τῆς μεγάλης μητρὸς τῶν θεῶν, καὶ τῶν μὲν ἱερῶν τὴν καταγωγὴν ἐκ Πεσινοῦντος τῆς Ἀσίας ποιήσασθαι, τὴν δὲ ἐκδοχὴν αὐτῶν ἐν τῇ Ῥώμῃ γενέσθαι πανδημεὶ τῆς ἀπαντήσεως γινομένης, καὶ τῶν τε ἀνδρῶν τὸν ἄριστον καὶ γυναικῶν ὁμοίως τὴν ἀγαθήν, καὶ τούτους ἀφηγεῖσθαι τῆς ἀπαντήσεως καὶ δέξασθαι τὰ ἱερὰ τῆς θεᾶς. τῆς δὲ συγκλήτου πάντα συντελούσης κατὰ τὸν χρησμόν, ἐκρίθη τῶν μὲν ἀνδρῶν ἄριστος Πόπλιος Νασικᾶς, τῶν δὲ γυναικῶν Οὐαλερία. οὐ μόνον γὰρ τῇ πρὸς θεοὺς εὐσεβείᾳ διαφέρειν ἔδοξεν, ἀλλὰ καὶ πολιτικὸς ὑπῆρξε καὶ συνετὸς ἐν τῷ τὴν γνώμην ἀποφαίνεσθαι. μετὰ γὰρ τὸν Ἀννιβιακὸν πόλεμον Μάρκος μὲν Κάτων ὁ ἐπικληθεὶς Δημοσθένης εἰώθει λέγειν παρ' ἕκαστον ἐν τῇ συγκλήτῳ κατὰ τὴν ἀπόφασιν τῆς ἰδίας γνώμης Καρχηδόνα μὴ εἶναι. καὶ τοῦτο ἐποίει πολλάκις οὐχ ὑποκειμένης περὶ τούτου βουλῆς, ἀλλ' ἑτέρων τινῶν ἀεὶ ζητουμένων. ὁ δὲ Νασικᾶς ἀεὶ τοὐναντίον ἀπεφαίνετο Καρχηδόνα διὰ παντὸς εἶναι. ἑκατέρα μὲν οὖν ἀπόφασις ἐδόκει τῷ συνεδρίῳ μεγάλην ἔχειν ἀναθεώρησιν· τοῖς δὲ διαφέρουσι τῇ φρονήσει πολὺ προτερεῖν ἡ τοῦ Νασικᾶ διελαμβάνετο. 606 οὐ γὰρ ἐκ τῆς ἄλλων ἀσθενείας ἔκριναν δεῖν θεωρεῖσθαι τὴν τῆς Ῥώμης ἰσχύν, ἀλλ' ἐκ τοῦ φαίνεσθαι τῶν μεγάλων μείζονα. πρὸς δὲ τούτοις σωζομένης μὲν τῆς Καρχηδόνος ὁ ἀπὸ ταύτης φόβος ἠνάγκαζεν ὁμονοεῖν τοὺς Ῥωμαίους καὶ τῶν ὑποτεταγμένων ἐπιεικῶς καὶ ἐνδόξως ἄρχειν· ὧν οὐδὲν κάλλιόν ἐστι πρὸς ἡγεμονίας διαμονήν τε καὶ αὔξησιν· ἀπολομένης δὲ τῆς ἀντιπάλου πόλεως πρόδηλος ἦν ἐν μὲν τοῖς πολίταις ἐμφύλιος πόλεμος ἐσόμενος, ἐκ δὲ τῶν συμμάχων ἁπάντων μῖσος εἰς τὴν ἡγεμονίαν διὰ τὴν εἰς αὐτοὺς ἐκ τῶν ἀρχόντων πλεονεξίαν τε καὶ παρανομίαν. ἅπερ ἅπαντα συνέβη τῇ Ῥώμῃ μετὰ τὴν τῆς Καρχηδόνος κατασκαφήν. καὶ γὰρ ἐπικίνδυνοι δημαγωγίαι καὶ χώρας ἀναδασμοὶ καὶ συμμά-

98. προεκάθισαν] προεκάθησαν V 100. πλείστων] nonne πολιτῶν? 4. ἐκ Πεσινοῦντος Valesius, ἐκπεσεῖν οὕτως V 6. γινομένης] γενομένης V 7. ἀγαθὴν] ἀγαθωτάτην Valesius, cui praeferam ἀρίστην (conf. ad vol. I. p. 63. 55.) καὶ τούτους] τούτους Valesius lacunam male celans 16. κατὰ] μετὰ Schaeferus ad Thes. Steph. c. 9893. 19. ἀεὶ ζητ.] ἀεὶ delendum est

χων ἀποστάσεις μεγάλαι καὶ ἐμφύλιοι πόλεμοι πολυετεῖς καὶ φοβεροὶ καὶ τἄλλα τὰ προαγορευθέντα ὑπὸ τοῦ Σκιπίωνος ἠκολούθησεν. ὁ τούτου δὲ υἱὸς πρεσβύτης ἦν τὴν ἡλικίαν, καὶ Τιβέριον Γράκχον τυραννεῖν ἐπιχειρήσαντα ταῖς ἰδίαις χερσὶν ἀπέκτεινε, προηγούμενος τῆς συγκλήτου. τοῦ δὲ πλήθους ἀγανακτοῦντος καὶ τεθηριωμένου πρὸς τοὺς τὸν φόνον δράσαντας, ἔτι δὲ τῶν δημάρχων καθ᾽ ἕνα τῶν συγκλητικῶν προαγαγόντων ἐπὶ τὰ ἔμβολα καὶ ἐπερωτώντων τίς ἐστιν ὁ ἀνελών, οἱ μὲν ἄλλοι ἅπαντες κατεπτηχότες τὴν τῶν ὄχλων ὁρμὴν καὶ βίαν ἠρνοῦντο καὶ τὰς ἀποκρίσεις ἐξηλλάττοντο, ὁ δὲ Σκιπίων μόνος ὡμολόγησεν ὑφ᾽ ἑαυτοῦ γεγονέναι τὴν ἀναίρεσιν, ἐπειπὼν ὡς τοὺς μὲν ἄλλους ὁ Γράκχος ἐλάνθανεν ἐπιτιθέμενος τυραννίδι, ἑαυτὸν δὲ καὶ τὴν σύγκλητον οὐκ ἔλαθεν. ὁ δὲ ὄχλος, καίπερ ἀγανακτῶν, ἡσύχασεν ἐντραπεὶς τὸ βάρος καὶ τὴν παῤῥησίαν τἀνδρός. ἀλλὰ μὴν καὶ ὁ τούτου υἱός, κατὰ τὸν ὑποκείμενον ἐνιαυτὸν τελευτήσας, ἀδωροδόκητος μὲν ἅπαντα τὸν βίον διετέλεσε, μετασχὼν δὲ τῆς πολιτείας, καὶ τῷ βίῳ πρὸς ἀλήθειαν ἀλλ᾽ οὐ τοῖς λόγοις μόνοις φιλοσοφήσας, ἀκόλουθον ἔσχε τῇ τοῦ γένους διαδοχῇ καὶ τὴν τῆς ἀρετῆς κληρονομίαν.

Ὅτι ὁ Ἀντίοχος ὁ Κυζικηνὸς ἀρτίως παρειληφὼς τὴν βασιλείαν ἐξέπεσεν εἰς μέθας καὶ τρυφὴν ἀγεννῆ καὶ ζηλώματα βασιλείας ἀλλοτριώτατα. ἔχαιρε γὰρ μίμοις καὶ προδείκταις καὶ καθόλου πᾶσι τοῖς θαυματοποιοῖς, καὶ τὰ τούτων ἐπιτηδεύματα μανθάνειν ἐφιλοτιμεῖτο. ἐπετήδευσε δὲ καὶ νευροσπαστεῖν καὶ δι᾽ αὐτοῦ κινεῖν ζῷα 607 πενταπήχη κατάργυρα καὶ κατάχρυσα καὶ ἕτερα πλείονα τοιαῦτα μηχανήματα. οὐκ εἶχε δὲ ἑλεπόλεων οὐδὲ ὀργάνων πολιορκητικῶν κατασκευάς, ἃ καὶ δόξαν μεγάλην καὶ χρείας ἀξιολόγους ἂν παρέσχετο. ἐνεθουσία δὲ καὶ πρὸς κυνηγεσίας ἀκαίρους, καὶ πολλάκις νύκτωρ λάθρᾳ τῶν φίλων μετὰ δυοῖν ἢ τριῶν οἰκετῶν ἐξιὼν ἐπὶ τὴν χώραν ἐκυνήγει λέοντας καὶ παρδάλεις καὶ ὗς ἀγρίους. παραβόλως δὲ συμπλεκόμενος ἀλόγοις θηρίοις πολλάκις ἦλθεν εἰς τοὺς ἐσχάτους κινδύνους.

Ὅτι Μικίψας ὁ Μασσανάσσου υἱὸς τοῦ Νομάδων

606. 44. τοῦ δὲ πλήθους Valesius, τῆς δὲ συγκλήτου V 58. πολιτείας] φιλοσοφίας Valesius, in margine notans MS. πολιτ., i. e. opinor πολιτείας, quod etiam in παιδείας mutari possit 65. προδείκταις Suidas, προδίκταις V 67. νευροσπαστεῖν Valesius, νευροπατεῖν V αὐτοῦ V

607. 68. πενταπήχη] πεντάπηχα V 70. ἑλεπόλεων Valesius, πόλεων V



βασιλέως εἶχε καὶ ἄλλους υἱοὺς πλείους, μάλιστα δὲ προτετιμημένους Ἀτάρβαν τὸν πρεσβύτερον τῶν παίδων καὶ Ἰάμψαμον καὶ Μικίψαν. ὃς ἐπιεικέστατος τῶν κατὰ Λιβύην βασιλέων γενόμενος, καὶ πολλοὺς τῶν πεπαιδευμένων Ἑλλήνων μεταπεμπόμενος, συνεβίου τούτοις. πολλὴν δὲ ἐπιμέλειαν ποιούμενος παιδείας μάλιστα δὲ φιλοσοφίας, ἐνεγήρασε τῇ δυναστείᾳ καὶ τῇ φιλοσοφίᾳ.

Ὅτι Κοντωνιατός τις ὁ βασιλεὺς τῆς Γαλατικῆς πόλεως τῆς οὕτω καλουμένης Ἰοντώρας συνέσει καὶ στρατηγίᾳ διάφορος ἦν, φίλος δὲ καὶ σύμμαχος Ῥωμαίων, ὡς ἂν ἐν τοῖς ἔμπροσθεν χρόνοις διατετριφὼς ἐν Ῥώμῃ, καὶ κεκοινωνηκὼς ἀρετῆ καὶ ἀγωγῆς νομίμου, διὰ Ῥωμαίων δὲ παρειληφὼς τὴν ἐν Γαλατίᾳ βασιλείαν.

Ὅτι ὁ Μάριος εἷς ὢν τῶν συμβούλων καὶ τῶν πρεσβευτῶν ὑπὸ τοῦ στρατηγοῦ παρεθεωρεῖτο, ταπεινότατος ὢν τῶν πρεσβευτῶν τῇ δόξῃ. οἱ μὲν γὰρ ἄλλοι τοῖς ἀξιώμασι καὶ ταῖς εὐγενείαις ὑπερέχοντες μεγάλης ἀποδοχῆς ἐτύγχανον ὑπὸ τοῦ στρατηγοῦ, οὗτος δὲ δοκῶν γεγονέναι δημοσιώνης καὶ τὰς ὑποδεεστέρας ἀρχὰς μόγις εἰληφὼς ἐν ταῖς εἰς δόξαν προαγωγαῖς παρεθεωρεῖτο, καὶ τῶν μὲν ἄλλων ἕκαστος περιφεύγων πᾶσαν ἐν τοῖς πολιτικοῖς ἔργοις κακοπάθειαν ᾑρεῖτο τὴν ῥᾳθυμίαν καὶ ῥᾳστώνην, οὗτος δὲ πρὸς τοὺς ἐν ταῖς μάχαις κινδύνους πολλάκις ἡγεμὼν ἐκπεμπόμενος τὴν μὲν ἐκ τούτων ἀτιμίαν προσεποιεῖτο, ὁμοίως δὲ αὐτὸν εἰς τὰς τοιαύτας λειτουργίας ἐπιδιδοὺς πολλὴν ἐμπειρίαν περιεποιήσατο τῶν πολεμικῶν ἔργων. ὢν δὲ εὐφυὴς πρὸς ἀγῶνας καὶ κινδύνους, καὶ τούτους ὑπομένων προθύ- 608 μως, ταχὺ μεγάλην ἐκτήσατο δύναμιν καὶ δόξαν ἐπ᾽ ἀνδρείᾳ. ἐπιεικῶς δὲ τοῖς στρατιώταις προσφερόμενος, καὶ ταῖς δωρεαῖς καὶ ταῖς ὁμιλίαις καὶ συμπεριφοραῖς κεχαρισμέναις τοῖς ὑποτεταγμένοις χρώμενος, μεγάλην εὔνοιαν ἐν τοῖς στρατιώταις περιεποιήσατο. πάντες γὰρ τῆς εὐεργεσίας χάριν ἀποδιδόντες ἐν ταῖς μετὰ τοῦτο μάχαις φιλοτιμότερον ἠγωνίζοντο, συναύξοντες αὐτοῦ τὴν ἡγεμονίαν· εἰ δὲ τύχοι τις τῶν ἄλλων πρεσβευτῶν ἡγούμενος, ἐθελοκακοῦντες ἀπεδειλίων κατὰ τοὺς ἀναγκαιοτάτους καιρούς. καὶ συνέβαινε κατὰ τὸ πλεῖστον ἐν μὲν ταῖς τῶν ἄλλων ἡγεμονίαις Ῥωμαίους ἡττᾶσθαι, κατὰ δὲ τὰς τοῦ Μαρίου παρουσίας ἀεὶ νικᾶν.

95. τοῦ στρατηγοῦ Wesselingius, τῶν στρατηγῶν V παρεθεωρεῖτο Valesius, παρετηρεῖτο V 6. ἀτιμίαν] τιμὴν Wesselingius: quo recepto sequens ὁμοίως in ἑτοίμως mutandum, uti factum p. 514. 10. ὁμοίως] ὅμως Valesius αὐτὸν V

608. 16. φιλοτιμότερον] φιλοτιμώτερον V 19. ἀναγκαιοτάτους Valesius, ἀναγκαιοτέρους V

# L. XXXVI.

Ὅτι οὐ μόνον τὸ πλῆθος τῶν οἰκετῶν τὸ πρὸς τὴν ἀπόστασιν ὡρμημένον κατέτρεχε, ἀλλὰ καὶ τῶν ἐλευθέρων οἱ τὰς ἐπὶ χώρας κτήσεις οὐκ ἔχοντες ἐτρέποντο πρὸς ἁρπαγὴν καὶ παρανομίαν. οἱ γὰρ ἐλλειπεῖς ταῖς οὐσίαις διὰ τὴν ἀπορίαν ἅμα καὶ παρανομίαν ἐξεχέοντο κατὰ συστροφὰς ἐπὶ τὴν χώραν, καὶ τὰς μὲν ἀγέλας τῶν θρεμμάτων ἀπήλαυνον, τοὺς δ' ἐν τοῖς σταθμοῖς τεθησαυρισμένους καρποὺς διήρπαζον, καὶ τοὺς περιτυγχάνοντας ἀνέδην ἐλευθέρους τε καὶ δούλους ἐφόνευον, ὅπως μηδεὶς ἀπαγγείλῃ τὴν περὶ αὐτοὺς ἀπόνοιάν τε καὶ παρανομίαν. ἀναρχίας δ' οὔσης διὰ τὸ μηδεμίαν Ῥωμαϊκὴν ἀρχὴν δικαιοδοτεῖν, πάντες ἀνυπεύθυνον ἐξουσίαν ἔχοντες πολλὰς καὶ μεγάλας συμφορὰς ἀπειργάζοντο· διὸ καὶ πᾶς τόπος ἔγεμεν ἁρπαγῆς βιαίου ταῖς τῶν εὐπόρων οὐσίαις ἐνεξουσιαζούσης. οἱ δὲ πρότερον ἐν ταῖς πόλεσι πρωτεύοντες ταῖς τε δόξαις καὶ τοῖς πλούτοις τότε διὰ τὴν ἀνέλπιστον τῆς τύχης μεταβολὴν οὐ μόνον ὑπὸ τῶν δραπετῶν ὑβριστικῶς ἀπέβαλλον τὰς εὐπορίας, ἀλλὰ καὶ ὑπὸ τῶν ἐλευθέρων ἐπηρεαζόμενοι καρτερεῖν ἠναγκάζοντο. διὸ καὶ πάντες ὑπελάμβανον τὰ μὲν ἐντὸς τῶν πυλῶν μόγις ὑπάρχειν ἴδια, τὰ δὲ ἐκτὸς τῶν τειχῶν ἀλλότρια καὶ δοῦλα τῆς παρανόμου χειροκρατίας εἶναι. καθόλου δ' ἦν κατὰ πόλεις φυρμὸς καὶ σύγχυσις τῶν κατὰ νόμους δικαίων. οἱ γὰρ ἀποστάται τῶν ὑπαίθρων κρατοῦντες ἀνεπίβατον ἐποιοῦντο τὴν χώραν, μνησικακοῦντες τοῖς δεσπόταις, οὐκ ἐμπιπλάμενοι δὲ τῶν ἀνελπίστων εὐτυχημάτων· οἱ δὲ ἐντὸς τῶν τειχῶν δοῦλοι νοσοῦντες ταῖς ψυχαῖς καὶ μετεωριζόμενοι πρὸς ἀπόστασιν φοβερώτατοι τοῖς κυρίοις ὑπῆρχον.

Ὅτι Σατορνῖνος ὁ δήμαρχος ζηλώσας βίον ἀκόλαστον, καὶ ταμίας ὑπάρχων, εἰς τὴν ἐξ Ὠστίας εἰς τὴν

31. ἀνέδην] ἀναίδην V, quod in ἀναιδῶς mutavit Photius p. 534. 25. 54. δήμαρχος Valesius, ὕπατος V



Ῥώμην τοῦ σίτου παρακομιδὴν ἐτάχθη. διὰ δὲ τὴν ῥαθυμίαν καὶ φαυλότητα τῆς ἀγωγῆς δόξας κακῶς προεστάναι τῆς προειρημένης ἐπιμελείας, ἐπιτιμήσεως ἔτυχε προσηκούσης. ἡ δὲ σύγκλητος παρελομένη τὴν ἐξουσίαν 609 παρέδωκεν ἄλλοις τὴν ἐπιστασίαν ταύτην. διορθωσάμενος δὲ τὴν προϋπάρχουσαν ἀκολασίαν, καὶ τοῦ σώφρονος ἀντεχόμενος βίου, δημαρχίας ὑπὸ τοῦ δήμου κατηξιώθη.

Ὅτι περὶ τῆς τοῦ Μετέλλου φυγῆς ἐπ' ἔτη δύο γινομένων λόγων ἐν ταῖς ἐκκλησίαις, ὁ υἱὸς αὐτοῦ κόμην ὑποτρέφων καὶ πώγωνα καὶ πιναρὰν ἔχων ἐσθῆτα περιῄει κατὰ τὴν ἀγοράν, δεόμενος τῶν πολιτῶν, καὶ μετὰ δακρύων προσπίπτων τοῖς ἑκάστου γόνασιν ᾐτεῖτο τὴν τοῦ πατρὸς κάθοδον. ὁ μὲν οὖν δῆμος, καίπερ οὐ βουλόμενος ἀφορμὴν διδόναι τοῖς φυγάσι τῆς καθόδου παρὰ τοὺς νόμους, ὅμως διὰ τὸν ἔλεον τοῦ νεανίσκου καὶ τὴν ὑπὲρ τοῦ γονέως σπουδὴν κατήγαγε τὸν Μέτελλον, καὶ τὸν υἱὸν αὐτοῦ διὰ τὴν περὶ τὸν γεννήσαντα γεγενημένην φιλοτιμίαν εὐσεβῆ προσηγόρευσεν.

Ὅτι τὸ παλαιὸν οἱ Ῥωμαῖοι νόμοις τε καὶ ἀγωγαῖς ἀρίστοις χρώμενοι κατ' ὀλίγον ηὐξήθησαν ἐπὶ τοσοῦτον ὥστε ἡγεμονίαν ἐπιφανεστάτην καὶ μεγίστην τῶν μνημονευομένων κατακτήσασθαι. ἐν δὲ τοῖς νεωτέροις καιροῖς, καταπεπολεμημένων μὲν τῶν πλείστων ἐθνῶν, πολυχρονίου δὲ εἰρήνης γενομένης, μετέπεσεν ἐν τῇ Ῥώμῃ τὸ τῆς ἀρχαίας ἀγωγῆς εἰς ὀλέθριον ζῆλον. ἐτράπησαν γὰρ οἱ νέοι μετὰ τὴν ἐκ τῶν πολέμων ἄνεσιν εἰς τρυφὴν καὶ ἀκολασίαν, χορηγὸν ἔχοντες τὸν πλοῦτον ταῖς ἐπιθυμίαις. προεκρίνετο γὰρ κατὰ τὴν πόλιν τῆς μὲν λιτότητος ἡ πολυτέλεια, τῆς δὲ τῶν πολεμικῶν ἔργων μελέτης ἡ ῥᾳστώνη· μακάριος δ' ὑπείληπτο τοῖς πολλοῖς οὐχ ὁ ταῖς ἀρεταῖς κεκοσμημένος, ἀλλ' ὁ ταῖς προσηνεστάταις ἡδοναῖς πάντα τὸν τοῦ ζῆν χρόνον ἐπαπολαύων. διὸ καὶ δείπνων πολυδαπάνων παραθέσεις ἐπεπόλασαν καὶ μύρων θαυμαζομένων εὐωδίαι καὶ στρωμνῆς ἀνθινῆς καὶ μεγαλοπλούτου παρασκευαὶ τρικλίνων καὶ ἐλέφαντος καὶ ἀργύρου καὶ τῶν ἄλλων τῶν πολυτελεστάτων ὑλῶν περιττῶς δεδημιουργημένων κατασκευαί. τῶν δὲ οἴνων ὁ μὲν μετρίως τέρπων τὴν γεῦσιν ἀπεδοκιμάζετο, Φαλέρνος δὲ καὶ Χῖος καὶ πᾶς ὁ τούτοις ἐφάμιλλον ἔχων ἡδονήν, ἰχθύων τε καὶ τῶν ἄλλων χρηστῶν τὰ πρωτεύοντα πρὸς ἀπόλαυσιν ἀνέδην ἀνηλίσκοντο. ἀκολούθως δὲ τούτοις

609. 66. ἐσθῆτα V    99. ἀνέδην] ἀναίδην V

οἱ νέοι κατὰ τὴν ἀγορὰν ἐφόρουν ἐσθῆτας διαφόρους μὲν ταῖς μαλακότησι, διαφανεῖς δὲ καὶ κατὰ τὴν λεπτότητα ταῖς γυναικείαις παρεμφερεῖς. καὶ πάντα τὰ πρὸς ἡδονὴν καὶ ἀλαζονείαν ὀλέθριον ἀνήκοντα παρασκευαζόμενα ταχὺ τὰς τούτων τιμὰς εἰς ἄπιστον ὑπερβολὴν ἤγαγεν. τοῦ μὲν γὰρ οἴνου τὸ κεράμιον ἐπωλεῖτο δραχμῶν ἑκατόν, τῶν δὲ Ποντικῶν ταρίχων τὸ κεράμιον δραχμῶν τετρακοσίων, τῶν δὲ μαγείρων οἱ διαφέροντες ὀψαρτυτικαῖς φιλοτεχνίαις ταλάντων τεττάρων, οἱ δὲ ταῖς εὐμορφίαις ἐκ παράκοιτοι πολλῶν ταλάντων. ἀδιορθώτου δ' οὔσης τῆς ἐπὶ τὸ κακὸν ὁρμῆς, ἐπεβάλοντό τινες τῶν τὰς ἀρχὰς λαμβανόντων ἐν ταῖς ἐπαρχίαις μετατίθεσθαι τὸν τῆς προειρημένης ἀγωγῆς ζῆλον, καὶ τὸν 610 ἑαυτῶν βίον περίοπτον ὄντα διὰ τὴν ἐξουσίαν ἀρχέτυπον εἰς μίμησιν τιθέναι τῶν καλῶν ἐπιτηδευμάτων.

Ὅτι Κόϊντος Σκαιουόλας μεγίστην εἰσηνέγκατο σπουδὴν διὰ τῆς ἰδίας ἀρετῆς διορθώσασθαι τὴν φαυλότητα τοῦ ζήλου. ἐκπεμφθεὶς γὰρ εἰς τὴν Ἀσίαν στρατηγός, ἐπιλεξάμενος τὸν ἄριστον τῶν φίλων σύμβουλον Κόϊντον Ῥοτίλιον μετ' αὐτοῦ συνήδρευε βουλευόμενος καὶ πάντα διατάττων καὶ κρίνων τὰ κατὰ τὴν ἐπαρχίαν. καὶ πᾶσαν τὴν δαπάνην ἔκρινεν ἐκ τῆς ἰδίας οὐσίας ποιεῖσθαι τοῖς τε συνεκδήμοις καὶ αὐτῷ. εἶτα λιτότητι καὶ ἀφελείᾳ χρώμενος καὶ ἀκεραίῳ τῇ δικαιοσύνῃ τὴν ἐπαρχίαν ἀνέλαβεν ἐκ τῶν προγεγονότων ἀκληρημάτων. οἱ γὰρ προγεγονότες κατὰ τὴν Ἀσίαν δημοσιῶναι, κοινωνοὺς ἐσχηκότες τοὺς ἐν τῇ Ῥώμῃ τὰς δημοσίας κρίσεις διαδικάζοντας, ἀνομημάτων ἐπεπληρώκεσαν τὴν ἐπαρχίαν.

Ὅτι Λεύκιος ὁ Σκαιουόλας ταῖς μὲν δικαιοδοσίαις ἀδιαφθόροις καὶ ἀκριβέσι χρησάμενος οὐ μόνον πάσης συκοφαντίας ἀπήλλαξε τοὺς κατὰ τὴν ἐπαρχίαν, ἀλλὰ καὶ τὰ τῶν δημοσιωνῶν ἀνομήματα διωρθώσατο. πᾶσι γὰρ τοῖς ἠδικημένοις ἀκριβῆ κριτήρια προστατεύων καταδίκους ἐν ἅπασιν ἐποίει τοὺς δημοσιώνας, καὶ τὰς μὲν ἀργυρικὰς βλάβας τοῖς ἠδικημένοις ἐκτίνειν ἠνάγκαζε, τὰ δὲ θανατικὰ τῶν ἐγκλημάτων ἠξίου κρίσεως θανατικῆς. ὅτε δὴ τὸν κορυφαῖον τούτων οἰκονόμον, διδόντα μὲν ὑπὲρ τῆς ἐλευθερίας πολλὰ χρήματα καὶ συμπεφωνηκότα πρὸς τοὺς κυρίους, φθάσας τὴν ἀπολύτρωσιν καὶ θανάτου καταδικάσας ἀνεσταύρωσεν.

1. ἐσθῆτας V 10. ἐκ] ἐκπρεπεῖς Wesselingius 11. κακὸν] malim κάκιον
610. 17. εἰςενέγκατο V 24. αὐτῷ V 27. ἀκληρημάτων Wesselingius, ἀκληρωμάτων V 28. δημοσιώνας V 29. διαδικάζοντας] καταδικάζοντας V, δικάζοντας Reiskius 31. Λεύκιος] aut Μούκιος legendum aut cum Wesselingio Κόϊντος 36. προστατεύων] hoc vereor ut recte sic dicatur



Ὅτι ὁ αὐτὸς τοὺς δημοσιώνας κατεδίκαζε καὶ τοῖς ἠδικημένοις ἐνεχείριζε. καὶ συνέβαινε τοὺς ὀλίγῳ πρότερον διὰ τὴν καταφρόνησιν καὶ πλεονεξίαν πολλὰ παρανομοῦντας παρ' ἐλπίδας ὑπὸ τῶν ἠδικημένων ἀπάγεσθαι πρὸς τοὺς καταδίκους. καὶ τὰς συνήθεις τοῖς στρατηγοῖς καὶ τοῖς συνεκδήμοις δαπάνας ἐκ τῆς ἰδίας οὐσίας ποιούμενος ταχὺ τὰς εὐνοίας τῶν συμμαχούντων εἰς τὴν Ῥώμην ἀνεκτήσατο.

Ὅτι Λεύκιος Ἀσύλλιος, πατρὸς μὲν ὑπάρχων τεταμιευκότος, ἐκπεμφθεὶς δὲ στρατηγὸς εἰς Σικελίαν, κατέλαβε τὴν ἐπαρχίαν διεφθαρμένην. ἀνεκτήσατο δὲ τὴν νῆσον χρησάμενος τοῖς καλλίστοις ἐπιτηδεύμασι. 611 παραπλησίως γὰρ τῷ Σκαιουόλᾳ προεχειρίσατο τὸν ἄριστον τῶν φίλων πρεσβευτήν τε καὶ σύμβουλον, ὃς ἦν Γάϊος, ἐπικαλούμενος δὲ Λόγγος, ζηλωτὴς τῆς ἀρχαίας καὶ σώφρονος ἀγωγῆς, καὶ Πόπλιον σὺν τούτῳ, πρωτεύοντα τῇ δόξῃ τῶν ἐν Συρακούσαις κατοικούντων ἱππέων. χωρὶς γὰρ τῶν ἐκ τῆς τύχης ἀγαθῶν καὶ ταῖς κατὰ ψυχὴν ἀρεταῖς διέφερε. σημεῖον δὲ τῆς εὐσεβείας αἱ θυσίαι καὶ αἱ ἐν τοῖς ἱεροῖς κατασκευαὶ καὶ τὰ ἀναθήματα, τῆς δὲ σωφροσύνης τὸ τὰς αἰσθήσεις μέχρι τῆς ἐσχάτης τοῦ βίου γραμμῆς ἀσινεῖς ἔχειν, τὸ δὲ τῆς παιδείας τε καὶ φιλανθρωπίας τὸ προτιμᾶσθαι παρ' αὐτῷ περιττότερον τοὺς πεπαιδευμένους· καθόλου δὲ τοὺς ἀπό τινος ἐπαινουμένης μούσης ὁρμωμένους εὐεργέτει, συλλαμβάνων ἐκ τῆς ἰδίας οὐσίας ἀφειδῶς. οἷς δυσὶν ὁ Σύλλιος προσαναπαυόμενος ὁμοτοίχους μὲν οἰκίας εἰς κατάλυσιν παρεσκευάσατο, συνήδρευε δὲ μετὰ τούτων τὰ κατὰ τὴν δικαιοδοσίαν ἐπακριβούμενος καὶ πάντα φιλοτεχνῶν καὶ πρὸς ἐπανόρθωσιν τῆς ἐπαρχίας.

Ὅτι ὁ αὐτὸς κατὰ τὴν δικαιοδοσίαν πρὸς τὰ συμφέροντα φιλοτιμηθεὶς τὴν συκοφαντίαν ἐκ τῆς ἀγορᾶς ἐφυγάδευσε, τῆς δὲ τῶν ἀσθενεστέρων βοηθείας μεγίστην ἐποιήσατο φροντίδα. τῶν γὰρ ἄλλων στρατηγῶν εἰωθότων διδόναι προστάτας τοῖς ὀρφανοῖς καὶ γυναιξὶν ἐρήμοις συγγενῶν, οὗτος ἑαυτὸν τούτων ἀνέδειξε φροντιστήν· διά τε τῆς ἰδίας σκέψεως καὶ φροντίδος διακρίνων τὰς ἐν τούτοις ἀμφισβητήσεις πᾶσιν ἀπένειμε τὴν

48. ἀπάγεσθαι Valesius, ὑπάγεσθαι V
611. 62. διέφερε Wesselingius post Valesium, διέφερον V 66. τὸ δὲ τῆς] aut τῆς δὲ scribendum aut excidit τελευταῖον 74. καὶ πρὸς] legendum πρὸς vel τὰ πρὸς

πρέπουσαν τοῖς καταδυναστευομένοις ἐπικουρίαν. καθόλου δὲ πάντα τὸν τῆς ἀρχῆς χρόνον διατελέσας εἰς ἐπανόρθωσιν τῶν βιωτικῶν καὶ τῶν δημοσίων ἀδικημάτων, ἀπεκατέστησε τὴν νῆσον εἰς τὴν πάλαι ποτὲ μακαριζομένην εὐδαιμονίαν.

Ὅτι Μάρκος Λίβιος Δροῦσος ἀνὴρ νέος μὲν τὴν ἡλικίαν, κεκοσμημένος δὲ πᾶσι τοῖς πρωτείοις. πατρός τε γὰρ ἦν ἐπιφανεστάτου καὶ παρὰ τοῖς πολίταις δι' εὐγένειαν καὶ ἀρετὴν θαυμαστῶς ἀγαπωμένου, αὐτὸς δὲ ὑπῆρχε λόγῳ μὲν δεινότατος τῶν ἡλικιωτῶν, πλούτῳ δὲ πάντας τοὺς πολίτας ὑπερβάλλων, μεγάλην δὲ ἀξιοπιστίαν ἔχων καὶ κατὰ τὰς ὑποσχέσεις ὢν βεβαιότατος, ἔτι δὲ πλήρης εὐγενοῦς φρονήματος. διὸ καὶ μόνος ἔδοξεν ἔσεσθαι προστάτης τῆς συγκλήτου.

89. μὲν] deest ἦν    92. ἀγαπωμένου Valesius, ἀγαπώμενος V

612 L. XXXVII.

Ὅτι ὁ τῶν Μαρσῶν ἡγούμενος Πομπαίδιος ἐπεβάλετο μεγάλῃ καὶ παραβόλῳ πράξει. μυρίους γὰρ ἀναλαβὼν ἐκ τῶν τὰς εὐθύνας φοβουμένων ἔχοντας ὑπὸ τοῖς ἱματίοις ξίφη προῆγεν ἐπὶ τῆς Ῥώμης. διενοεῖτο δὲ περιστῆσαι τῇ συγκλήτῳ τὰ ὅπλα καὶ τὴν πολιτείαν αἰτεῖσθαι, ἢ μὴ πείσας πυρὶ καὶ σιδήρῳ τὴν ἡγεμονίαν διαλυμήνασθαι. ἀπαντήσαντος δὲ αὐτῷ Γαΐου Δομιτίου, καὶ ἐρομένου Ποῖ προάγεις, Πομπαίδιε, μετὰ τοσούτου πλήθους; εἶπεν Εἰς Ῥώμην ἐπὶ τὴν πολιτείαν, κεκλημένος ὑπὸ τῶν δημάρχων. ὁ δὲ Δομίτιος ὑπολαβὼν ἔφησεν ἀκινδυνότερον αὐτὸν καὶ κάλλιον τεύξεσθαι τῆς πολιτείας, ἂν μὴ πολεμικῶς ἐπὶ τὴν σύγκλητον παραγένηται. ταύτην γὰρ βούλεσθαι τὴν χάριν δοῦναι τοῖς συμμάχοις μὴ βιασθεῖσαν ἀλλ' ὑπομνησθεῖσαν. ὁ δὲ ἱεράν τινα τὴν συμβουλὴν τἀνδρὸς θέμενος, καὶ πεισθεὶς τοῖς λόγοις, ἐπανῆλθεν ἐπὶ τὴν οἰκείαν. Δομίτιος μὲν οὖν φρονίμοις λόγοις ἐκ μεγάλων κινδύνων ἐξήρπασε τὴν πατρίδα, πολλῷ κρείττονα τὴν ὁμιλίαν ποιησάμενος τῆς γενομένης Σερουιλίῳ τῷ στρατηγῷ πρὸς Πικεντίνους. ἐκεῖνος γὰρ οὐχ ὡς ἐλευθέροις καὶ συμμάχοις ὁμιλῶν, ἀλλ' ὡς δούλοις ἐνυβρίζων καὶ φόβων μεγάλων ἀπειλαῖς παρώξυνε τοὺς συμμάχους ἐπὶ τὴν καθ' ἑαυτοῦ καὶ τῶν ἄλλων τιμωρίαν. οὗτος δὲ πεφρονηματισμένων ἀποστατῶν ἀλόγους ὁρμὰς ἐπιεικέσι λόγοις εἰς εὔνοιαν προετρέψατο.

Ὅτι ἦν τις ἐν Ἄσκλῳ παραδεδομένος ὑπὸ Ῥωμαίων εἰς φυλακήν, ὄνομα μὲν Ἀγαμέμνων, Κίλιξ δὲ τὸ γένος, διὰ δέ τινα περιπέτειαν καὶ συμμάχων φόνους ἐξωγρημένος· ὃς ὑπὸ τῶν Πικεντίνων ἀπολυθεὶς ἐκ τῆς φυλακῆς διὰ τὴν εὐεργεσίαν προθύμως ἐστρατεύετο. λῃστείας δὲ πολλὴν ἐμπειρίαν ἔχων, τὴν πολεμίαν χώραν κατέτρεχε μετὰ στρατιωτῶν ὁμοίων ταῖς παρανομίαις.

612. 99. Πομπαίδιος Valesius, Πομπαῖος V    7. Πομπαίδιε Valesius, Πομπαῖε V    10. ἀκινδυνότερον] ἀκινδυνώτερον V    27. ὄνομα Valesius, ὁ V

Ὅτι οἱ Πιννῆται δειναῖς συνείχοντο συμφοραῖς. ἀμετάπειστον δ' ἔχοντες τὴν πρὸς Ῥωμαίους συμμαχίαν, ἠναγκάζοντο κατεξανίστασθαι τῶν περὶ ψυχῆς παθῶν καὶ περιορᾶν τὰ τέκνα στερισκόμενα τοῦ ζῆν ἐν ὀφθαλμοῖς τῶν γεγεννηκότων.

Ὅτι ὁ Σύλλας τὰς πράξεις καλῶς ἐχείριζε καὶ ἐνεργῶς, καὶ δόξης καὶ καλῆς φήμης ἐν Ῥώμῃ κατηξιοῦτο, καὶ τὸ πλῆθος ἐδοκίμαζεν αὐτὸν ἄξιον ὑπάρχειν ὕπατον αἱρεῖσθαι, καὶ περιβόητος ἦν ἐπ' ἀνδρείᾳ τε καὶ στρατηγικῇ συνέσει, καὶ καθόλου φανερὸς ὑπῆρχεν εἰς μεῖζον πρόσχημα δόξης προαχθησόμενος.

Ὅτι ὁ Μιθριδάτης τοὺς τῶν Ῥωμαίων ἡγεμόνας κατὰ τὴν Ἀσίαν νικήσας, καὶ πολλοὺς ζωγρήσας, ἅπαντας τιμήσας καὶ ἐσθῆσι καὶ ἐφοδίοις ἀπέλυσεν εἰς τὰς 613 πατρίδας. διαβοηθείσης δὲ τῆς τοῦ Μιθριδάτου φιλανθρωπίας, ἐνέπεσεν εἰς τὰς πόλεις ὁρμὴ προςτίθεσθαι τῷ βασιλεῖ. παρῆν δὲ ὁρᾶν ἀπὸ πασῶν τῶν πόλεων πρεσβευτὰς μετὰ ψηφισμάτων καλούντων αὐτὸν εἰς τὰς ἰδίας πατρίδας καὶ θεὸν καὶ σωτῆρα προςαγορευόντων. ἀκολούθως δὲ τούτοις καὶ κατὰ τὴν παρουσίαν τοῦ βασιλέως ἀπήντων αἱ πόλεις ἐκχεόμεναι πανδημεὶ μετ' ἐσθῆτος λαμπρᾶς καὶ πολλῆς χαρᾶς.

Ὅτι κατὰ τὴν Ἀσίαν ἐπικρατοῦντος Μιθριδάτου καὶ τῶν πόλεων ἀφισταμένων ἀκατασχέτως ἀπὸ Ῥωμαίων, οἱ ἐν τῇ Λέσβῳ διέγνωσαν οὐ μόνον αὐτοὺς ἐγχειρίσαι τῷ βασιλεῖ, ἀλλὰ καὶ τὸν Ἀκίλλιον εἰς Μιτυλήνην συμπεφευγότα καὶ νοσοκομούμενον παραδοῦναι τῷ Μιθριδάτῃ. ἐπιλέξαντες οὖν τῶν νέων τοὺς ἀλκῇ διαφέροντας ἔπεμψαν ἐπὶ τὸ κατάλυμα. οἱ δὲ ἀθρόοι προςπεσόντες τούτῳ καὶ τὸν Ἀκίλλιον ἁρπάσαντες ἔδησαν, ὡς καλλίστην τῷ βασιλεῖ καὶ κεχαρισμένην δωρεὰν ἐκπέμψοντες.

Ὁ δέ, καίπερ νέος ὢν παντελῶς τὴν ἡλικίαν, ἐτόλμησεν ἐπιτελέσασθαι πρᾶξιν ἡρωικήν· φθάσας γὰρ τοὺς μέλλοντας συναρπάζειν αὐτὸν ἀντὶ τῆς ὕβρεως καὶ τῆς αἰσχρᾶς τιμωρίας ἠλλάξατο θάνατον. σφάζων γὰρ ἑαυτόν, καὶ τῇ δεινότητι τῆς πράξεως καταπληξάμενος τοὺς ἐπ' αὐτὸν ὁρμῶντας ἐποίησε μὴ τολμῆσαι πλησίον αὐτοῦ προςελθεῖν· μετὰ πάσης δὲ ἀδείας ἑαυτὸν ἀπαλλάξας τοῦ ζῆν καὶ τῶν ἐπιφερομένων κακῶν περιβόητον ἔσχε τὴν ἐπ' εὐψυχίᾳ δόξαν.

35 ἀμετάπειστον Reiskius, ἀμετάπιστον V  39. ἐχείριζε] ἐνεχείριζε V  46. τοὺς — ἡγεμόνας Valesius, τῆς — ἡγεμονίας V

613. 56. μετ' ἐσθῆτος] μεθ' ἐσθῆτος V et ἐσθῆσι 48.  74. προςελθεῖν] προελθεῖν V



Ὅτι καθόλου κατὰ τὴν ναυμαχίαν παρὰ τοῖς Ῥοδίοις πλὴν τοῦ πλήθους τὰ λοιπὰ πάντα μεγάλας εἶχεν ὑπεροχάς, τέχνη κυβερνητῶν, τάξις τῶν νηῶν, ἐρετῶν ἐμπειρία, δυνάμεις ἡγεμόνων, ἐπιβατῶν ἀρεταί· παρὰ δὲ τοῖς Καππάδοξιν ὑπῆρχον ἀπειρίαι καὶ ἀγυμνασίαι καὶ ἡ πάντων τῶν κακῶν παραίτιος ἀταξία. προθυμίᾳ μὲν γὰρ οὐκ ἐλείποντο τῶν Ῥοδίων, ὡς ἂν ἔχοντες ἐπίσκοπον καὶ θεατὴν τῶν κινδύνων τὸν βασιλέα, καὶ τούτῳ σπεύδοντες ἐνδείκνυσθαι τὴν πρὸς αὐτὸν εὔνοιαν· μόνῳ δὲ ὑπερέχοντες τῷ πλήθει τῶν σκαφῶν, περιεχέοντο τὰς πολεμίας ναῦς καὶ κυκλοῦντες εἰς μέσον αὐτὰς ἀπελάμβανον.

Ὅτι Γάϊος Μάριος τῶν ἀνθρώπων ἐπιφανέστατος γεγονώς, ἐπὶ μὲν τῆς νεότητος ἐζήλωσεν ἀφιλαργυρίαν, τῶν καλῶν ἔργων ὀρεχθείς, καὶ μεγάλας πράξεις ἐπί τε τῆς Λιβύης καὶ τῆς Εὐρώπης κατεργασάμενος περιεποιήσατο τὴν περιβόητον ἐπιφάνειάν τε καὶ δόξαν. ἐπὶ δὲ τοῦ ἐσχάτου γήρως ἐπιθυμήσας τὸν Μιθριδάτου τοῦ βασιλέως πλοῦτον καὶ τὴν ἐν ταῖς κατὰ τὴν Ἀσίαν πόλεσιν εὐπορίαν εἰς τὸν ἴδιον μετενεγκεῖν βίον, τοῖς ὅλοις ἔπταισε, καὶ τοῦ Σύλλα Κορνηλίου τὴν δεδομένην ἐπαρχίαν παραιρούμενος παρανόμως, τῇ προςηκούσῃ περιέπεσε συμφορᾷ. οὐ μόνον δὲ τὸν ἐπιθυμηθέντα πλοῦ-
614 τον οὐκ ἔλαβεν, ἀλλὰ καὶ τὴν ἰδίαν οὐσίαν προςαπέβαλε, δημευθείσης αὐτοῦ τῆς ὑπάρξεως διὰ τὴν τῆς πλεονεξίας ὑπερβολήν. καταγνωσθεὶς δὲ ὑπὸ τῆς πατρίδος θανάτῳ, καὶ διαδρὰς τὴν παραυτίκα τιμωρίαν, ἠλᾶτο κατὰ τὴν χώραν μόνος φεύγων. καὶ τέλος ἐξέπεσε τῆς Λιβύης εἰς τὴν Νομαδίαν ἄδουλος, ἄπορος, ἔρημος σφῶν. ὕστερον δὲ τῆς Ῥώμης ἐμπεσούσης εἰς πολέμους ἐμφυλίους, συνεργήσας τοῖς τῆς πατρίδος πολεμίοις, οὐκ ἠρκέσθη τῇ καθόδῳ, πόλεμον δὲ ἐκκαύσας, καὶ τυχὼν ὑπατείας τὸ ἕβδομον, οὐκ ἐτόλμησεν ἔτι τῆς τύχης λαβεῖν πεῖραν, δεδιδαγμένος περὶ τῆς κατ' αὐτὴν ἀβεβαιότητος μεγάλοις συμπτώμασι. προορώμενος γὰρ τὸν ἀπὸ τοῦ Σύλλα πόλεμον ἐπικρεμάμενον τῇ Ῥώμῃ, μετέστησεν ἑαυτὸν ἐκ τοῦ ζῆν ἑκουσίως. ἀπολιπὼν δὲ ἀρχὰς μεγάλας πολέμων, αἴτιος ἐγένετο τῷ τε υἱῷ καὶ τῇ πατρίδι τῶν ἐσχάτων ἀκληρημάτων. ὁ μὲν γὰρ ἀναγκασθεὶς πολεμεῖν τοῖς κρείττοσι κατέστρεψεν ἀτυχῶς τὸν βίον συμ-

99. παραιρούμενος Wesselingius, παραιτούμενος V

614. 2. αὐτοῦ] δὲ αὐτοῦ V  7. ἄδουλος Reiskius et Ruhnkenius ad Velleium p. 131., δοῦλος V  8. σφῶν] φίλων Valesius  9. πολεμίοις Valesius, πολέμοις V

πεφευγὼς ἐν τῇ διώρυγι· οἱ δὲ ἐν τῇ Ῥώμῃ καὶ κατὰ τὰς ἐν Ἰταλίᾳ πόλεις ἐμπεσόντες εἰς τὸν πάλαι προκείμενον πόλεμον ταῖς προκατεσκευασμέναις περιέπεσον συμφοραῖς. οἱ μὲν γὰρ ἐπιφανέστατοι τῶν Ῥωμαίων, Σκαιουόλαν καὶ Κράσσον φημί, ἐν συγκλήτῳ μιαιφονηθέντες ἀκρίτως προεσήμηναν ταῖς ἰδίαις ἀτυχίαις τὸ μέγεθος τῶν ἐσομένων κατὰ τὴν Ἰταλίαν ἀτυχημάτων. οἱ πλεῖστοι γὰρ τῶν συγκλητικῶν καὶ τῶν ἐπιφανῶν ἀνδρῶν ὑπὸ τῶν περὶ τὸν Σύλλαν ἀνῃρέθησαν· στρατιῶται δὲ ἐν ταῖς στάσεσι καὶ μάχαις κατεκόπησαν οὐκ ἐλάττους τῶν δέκα μυριάδων. καὶ ταῦτα πάντα συνέβη τοῖς ἀνθρώποις διὰ τὸν ἐξ ἀρχῆς ἐπιθυμηθέντα πλοῦτον ὑπὸ Μαρίου.

Ὅτι Μερόλας ὁ αἱρεθεὶς ὕπατος εἰς τὸν τοῦ Κίννα τόπον μετὰ τὸ σύνθεσιν ποιήσασθαι τὸ δήπερ αὐτὸν ὑπατεῦσαι ἔδοξε πρᾶξιν ἀγαθοῦ σφόδρα πολίτου πρᾶξαι. ἔν τε γὰρ τῷ συνεδρίῳ καὶ τῷ δήμῳ διαλεγόμενος περὶ τῶν κοινῇ συμφερόντων ἀρχηγὸς ἐπηγγείλατο γενέσθαι τῆς ὁμονοίας. ἄκων γὰρ ᾑρημένος ὕπατος ἑκουσίως ἔφη παραχωρήσειν τῷ Κίννᾳ τῆς ἀρχῆς, καὶ παραχρῆμα ἰδιώτης ἐγένετο. ἡ δὲ σύγκλητος ἐξέπεμψε πρεσβευτὰς τοὺς ποιησομένους τὰς συνθήκας καὶ τὸν Κίνναν εἰσάξοντας εἰς τὴν πόλιν.

Ὅτι ὁ Σύλλας χρημάτων ἀπορούμενος ἐπέβαλε τὰς χεῖρας τρισὶν ἱεροῖς, ἐν οἷς ἀναθημάτων ἀργυρῶν τε καὶ χρυσῶν πλῆθος ἦν, ἐν μὲν Δελφοῖς τῷ Ἀπόλλωνι καθιερωμένα, ἐν Ἐπιδαύρῳ δὲ τῷ Ἀσκληπιῷ, ἐν Ὀλυμπίᾳ δὲ τῷ Διί. πλεῖστα δὲ ἔλαβεν ἐξ Ὀλυμπίας διὰ τὸ μεμενηκέναι τὸ ἱερὸν τοῦτο ἄσυλον ἐξ αἰῶνος· τῶν γὰρ ἐν Δελφοῖς χρημάτων Φωκεῖς τὰ πλεῖστα διεφόρησαν ἐν τῷ ἱερῷ κληθέντι πολέμῳ. ὁ δὲ Σύλλας πολὺν ἄργυρον καὶ χρυσὸν ἔτι δὲ τὴν ἄλλην πολυτελῆ κατασκευὴν ἀναλαβὼν ἤθροισε χρημάτων πλῆθος πρὸς τοὺς ἐν Ἰταλίᾳ προσδοκωμένους πολέμους. ἀδεισιδαιμόνως δὲ τῇ λήψει τῶν ἱερῶν χρημάτων προσενεχθείς, χώραν ἀντὶ τούτων 615 καθιέρωσε τοῖς θεοῖς εἰς τὰς κατ' ἔτος προσόδους. εὐτραπελευόμενος δὲ ἀπεφαίνετο κρατεῖν τῷ πολέμῳ πάντως διὰ τὸ τοὺς θεοὺς αὐτῷ συνεργεῖν εἰσενηνοχότας χρημάτων πολύ τι πλῆθος αὐτῷ.

Ὅτι Φιμβρίας κατὰ τὴν ὁδοιπορίαν πολὺ προέχων τοῖς διαστήμασι τοῦ Φλάκκου καιρὸν ἔσχε μεγάλοις

24. *Σκαιουόλαν* **Wesselingius**, *Σκευόλαν* **V** 25. *μιαιφονηθέντες* **Wesselingius**, *μιαιφονευθέντες* **V** 35. *τὸ δήπερ*] **an forte** *ὑπὲρ τοῦ?*



ἐπιχειρῆσαι τολμήμασι· καὶ σπεύδων τοὺς στρατιώτας ἰδίους κατασκευάσασθαι ταῖς εὐνοίαις, συνεχώρησεν αὐτοῖς τὴν χώραν τῶν συμμάχων ὡς πολεμίαν διαρπάζειν καὶ τοὺς περιτυχόντας ἐξανδραποδίζεσθαι. ἀσμένως δὲ προσδεξαμένων τῶν στρατιωτῶν τὴν συγχώρησιν, ἐν ὀλίγαις ἡμέραις περιεποιήσαντο χρημάτων πλῆθος. οἱ δὲ διαρπαγέντες ἀπήντησαν τῷ ὑπάτῳ, καὶ περὶ τῶν καθ' αὐτοὺς ἀπωδύροντο. ὁ δὲ περιαλγὴς γενόμενος προσέταξεν ἀκολουθεῖν, ὅπως τὰ ἴδια κομίσωνται. αὐτὸς δὲ τῷ Φιμβρίᾳ διαπειλησάμενος προσέταξε τὰ διαφορηθέντα τοῖς ἀπολωλεκόσιν ἀποκαταστῆσαι. ὁ δὲ τὴν πᾶσαν αἰτίαν ἐπὶ τοὺς στρατιώτας ἀνέπεμπεν, ὡς ἄνευ τῆς αὐτοῦ γνώμης πάντα πεπραχότας· τοῖς δὲ στρατιώταις κατ' ἰδίαν παρήγγειλε μὴ προσέχειν τοῖς προστάγμασιν, ἀλλὰ τὰ διὰ τῶν ὅπλων κτηθέντα τῷ τοῦ πολέμου νόμῳ μὴ προέσθαι. τοῦ δὲ Φλάκκου μετὰ ἀνατάσεως προστάττοντος ἀποδιδόναι τὰ διηρπασμένα, τῶν δὲ στρατιωτῶν οὐ προσεχόντων, ταραχὴ καὶ στάσις κατεῖχε τὸ στράτευμα.

Ὅτι ὁ Φιμβρίας διαβεβηκὼς τὸν Ἑλλήσποντον τοὺς στρατιώτας πρὸς παρανομίαν καὶ ἁρπαγὴν παρορμήσας χρήματα τὰς πόλεις εἰσεπράττετο καὶ τοῖς στρατιώταις ταῦτα διένεμεν. οἱ δὲ εἰς ἀνυπεύθυνον ἐξουσίαν προαχθέντες καὶ διὰ τὴν ἐλπίδα τῆς ὠφελείας μετεωρισθέντες, ὡς κοινὸν εὐεργέτην ἠγάπων. τὰς δὲ μὴ ὑπακουσάσας πόλεις ἐκπολιορκῶν εἰς διαρπαγὴν ἐχαρίζετο τοῖς στρατιώταις. καὶ Νικομήδειαν παρέδωκε τοῖς στρατιώταις εἰς διαρπαγήν.

Ὅτι ὁ αὐτὸς καὶ Κύζικον παρελθὼν ὡς φίλος τοῖς μὲν εὐπορωτάτοις τῶν πολιτῶν ἐμέμφετο θανάτου καταιτιασάμενος· δύω δὲ εἰς κατάπληξιν καὶ φόβον τῶν ἄλλων καταδίκους ποιήσας καὶ ῥαβδίσας ἐπελέκισε. τὰς δὲ οὐσίας αὐτῶν ἀναλαβών, καὶ τοῖς ἄλλοις διὰ τῶν προαπολωλότων μέγαν φόβον ἐπιστήσας, ἠνάγκασε λύτρα τῆς σωτηρίας ὅλας τὰς ὑπάρξεις αὐτῷ προέσθαι.

Ὅτι Γναῖος Πομπήιος στρατιωτικὸν βίον ἑλόμενος ἐνεκαρτέρει ταῖς καθ' ἡμέραν κακοπαθείαις, καὶ ταχὺ τὸ πρωτεῖον ἀπηνέγκατο τῆς ἐν τοῖς πολεμικοῖς ἔργοις ἀσκήσεως. πᾶσαν δὲ ῥαστώνην καὶ σχολὴν ἀποτριψάμενος διετέλει καὶ μεθ' ἡμέραν καὶ νύκτωρ ἀεί τι πράττων τῶν εἰς τὸν πόλεμον χρησίμων. διαίτῃ μὲν γὰρ ἐχρῆτο λιτῇ, λουτρῶν δὲ καὶ συμπεριφορᾶς τρυφὴν ἐχούσης ἀπείχετο. καὶ τὴν μὲν τροφὴν καθήμενος προσεφέρετο, πρὸς δὲ τὸν ὕπνον ἀπεμέριζε χρόνον ἐλάττονα τῆς ἐκ

615. 4. *Γναῖος*] *Γνάϊος* **V**

τῆς φύσεως ἀνάγκης· τὸν δὲ ἐν νυκτὶ πόνον παρεδίδου 616 τὴν μεθ' ἡμέραν ἐπιμέλειαν, ἐπαγρυπνῶν τοῖς τῆς στρατηγίας ἐντεύγμασι. διὰ δὲ τῆς συνήθους τῶν ἀπίστων μελέτης ἀθλητὴς ἐγένετο τῶν κατὰ πόλεμον ἀγώνων. τοιγαροῦν ὅσῳ χρόνῳ τις ἕτοιμον οὐκ ἂν παρέλαβε στράτευμα, πολὺ τάχιον οὗτος συνελέξατο καὶ διατάξας καθώπλισε. προσαγγελθεισῶν δὲ τῶν περὶ αὐτὸν πράξεων εἰς τὴν Ῥώμην, ἅπαντες οὐ τὴν ἀρετὴν ἀλλὰ τὴν ἡλικίαν αὐτοῦ λογιζόμενοι κατ' ἀρχὰς κατεφρόνησαν, ὡς τῶν προσαγγελλόντων κενῶς τὰ περὶ αὐτὸν τραγῳδούντων· ὡς δ' ἡ προσηγγελμένη φήμη διὰ τῶν ἀποτελεσμάτων ἀληθὴς ἐφάνη, ἡ σύγκλητος ἐξέπεμψεν Ἰούνιον, ὃν τρεψάμενος ἐνίκησε.

Ὅτι καταλειφθέντος τοῦ Σκιπίωνος μόνου μετὰ τὸ διαφθαρῆναι χρήμασι καὶ ἀποστῆναι πάντας καὶ ἀπεγνωκότος τὴν σωτηρίαν, ὁ Σύλλας ἱππεῖς ἀπέστειλε πρὸς αὐτὸν τοὺς παραπέμψοντας μετ' ἀσφαλείας ὅποι βούλοιτο. ὁ δὲ Σκιπίων ἐν ἀκαρεῖ χρόνῳ τὸ τῆς ἀρχῆς ἀξίωμα μεθεῖναι συναναγκασθεὶς εἰς ἰδιωτικὸν βίον καὶ ταπεινὸν σχῆμα, διὰ τὴν ἐπιείκειαν ὑπὸ τοῦ Σύλλα παρεπέμφθη ταχέως εἰς ἣν ἐβούλετο πόλιν. εἶτα τὰ τῆς ἀρχῆς ἀνακτησάμενος κόσμια πάλιν δυνάμεως ἱκανῆς ἀφηγεῖτο.

Ὅτι οἱ τῶν Ῥωμαίων περιφανεῖς ἄνδρες ἐμιαιφονήθησαν ἐκ διαβολῆς, καὶ ὁ τὴν μεγίστην ἱερωσύνην ἔχων Σκαιουόλας, μέγιστον ἔχων ἀξίωμα τῶν πολιτῶν, ἀναξίας τῆς ἰδίας ἀρετῆς ἔτυχε τῆς τοῦ βίου καταστροφῆς. οἱ δὲ Ῥωμαῖοι κατ' αὐτό γε τοῦτο μεγάλως εὐτύχησαν ὅτι τοῖς ἁγιωτάτοις σηκοῖς ὁ πάντιμος ἱερεὺς οὐκ ἔφθασε προσπεσεῖν, ἐπείτοι γε χάριν τῆς τῶν διωκόντων ὠμότητος καὶ πρὸς αὐτοῖς τοῖς ἀδύτοις ἐπιβώμιος μιαιφονηθεὶς ἀπέσβεσεν ἂν τῷ αἵματι τὸ ἀκοιμίστῳ δεισιδαιμονίᾳ τηρούμενον πῦρ ἐξ αἰῶνος.

Ὅτι προτεθείσης προγραφῆς εἰς τὴν ἀγορὰν ἀνέδραμε πλῆθος ἀνθρώπων πρὸς τὴν ἀνάγνωσιν. οἱ πλεῖστοι δὲ συνέπασχον τοῖς ὀφείλουσιν ἀναδέχεσθαι τὸν θάνατον. εἷς δὲ τῶν συνεληλυθότων κακίᾳ καὶ ὑπερηφανίᾳ διαφέρων ἐγγελῶν τοῖς κινδυνεύουσι πολλὰ κατ' αὐτῶν ὑβριστικῶς ἐβλασφήμησεν. ἔνθα δὴ δαιμονίου τινὸς νέμεσις τῷ διασύροντι τὴν τῶν ἀκληρούντων τύχην ἐπέ-

616. 14. τὴν — ἐπιμέλειαν] τῇ — ἐπιμελείᾳ Valesius 16. δὲ τῆς Valesius, δὲ V 31. ἀσφαλείας Valesius, φιλίας V 33. ἀρχῆς Valesius, ἀρετῆς V 48. ἀκοιμίστῳ] ἀκοιμήτῳ fortasse rectius Exc. Vat. p. 139. 5., ubi male huius fragmenti pars cum praecedente diversi argumenti coaluit



θηκε τὴν πρέπουσαν τῇ κακίᾳ τιμωρίαν. ἐν γὰρ τοῖς ἐπὶ πᾶσιν ὀνόμασιν εὑρὼν ἑαυτὸν προσγεγραμμένον, εὐθέως ἐπικαλυψάμενος τὴν κεφαλὴν προῆγε διὰ τοῦ πλήθους, ἐλπίζων λήσεσθαι τοὺς περιεστῶτας καὶ διὰ τοῦ δρασμοῦ πορίσεσθαι τὴν σωτηρίαν. γνωσθεὶς δὲ ὑπό τινος τῶν πλησίον ἑστώτων, καὶ φανερᾶς τῆς περὶ αὐτὸν περιστάσεως γενομένης, συνελήφθη καὶ ἔτυχε τῆς τιμωρίας, πάντων ἐπιχαιρόντων τῷ θανάτῳ αὐτοῦ.

Ὅτι πολλῷ χρόνῳ τῆς Σικελίας ἀδικαιοδοτήτου γε-
617 νομένης, ὁ Πομπήιος δοὺς ἑαυτὸν ἐπὶ τὴν δικαιοδοσίαν, καὶ χρηματίζων περὶ τῶν δημοσίων ἀμφισβητημάτων καὶ τῶν ἰδιωτικῶν συμβολαίων, οὕτως εὐστόχως καὶ ἀδωροδοκήτως ἐποιεῖτο τὰς ἀποφάσεις ὥστε ὑπερβολὴν ἑτέρῳ μὴ ἀπολείπειν. εἴκοσι δὲ καὶ δυεῖν ἐτῶν τὴν ἡλικίαν ὑπάρχων, καὶ τῆς νεότητος προκαλουμένης εἰς τὰς ἀλογίστους ἡδονάς, οὕτως αὐστηρῶς καὶ σωφρόνως ἐποιήσατο τὴν ἐπιδημίαν κατὰ τὴν νῆσον ὥστε πάντας τοὺς κατὰ τὴν Σικελίαν καταπλήττεσθαι καὶ θαυμάζειν τὴν ἀρετὴν τοῦ νεανίσκου.

59. προσγεγραμμένον] προγεγραμμένον vertit Valesius 62. πορίσεσθαι Valesius, περιέσεσθαι V

617. 77. „*Deest quaternio, in quo finis Diodori et initium Nicolai Damasceni continebatur.*“ Valesius

## ΕΚ ΤΩΝ 618

# ΔΙΟΔΩΡΟΥ ΤΟΥ ΣΙΚΕΛΙΩΤΟΥ

## ΕΚΛΟΓΑΙ ΠΕΡΙ ΠΡΕΣΒΕΙΩΝ.

1 Ὅτι ἐπὶ Ὀστιλίου Τύλλου τοῦ Ῥωμαίων βασιλέως Ἀλβανοὶ τὴν αὔξησιν τῶν Ῥωμαίων ὑφορώμενοι, καὶ ταπεινῶσαι τούτους βουλόμενοι, προςεποιήσαντο ἐπὶ τῆς ἑαυτῶν χώρας γεγονέναι λῃστὰς Ῥωμαίους, καὶ ἔπεμψαν εἰς Ῥώμην πρεσβευτὰς τοὺς τὸ δίκαιον αἰτήσοντας, εἰ δὲ μὴ προςέχωσι, πόλεμον καταγγέλλοντας. Ὀστίλιος δὲ ὁ τῶν Ῥωμαίων βασιλεὺς πυθόμενος ὡς ζητοῦσι πρόφασιν πολέμου, τοῖς μὲν φίλοις παρήγγειλε τοὺς πρέσβεις ἐκδέξασθαι καὶ παρακαλεῖν ἐπὶ ξενίαν· αὐτὸς δὲ ἐκκλίνας τὴν πρὸς τούτους ἔντευξιν ἔπεμψεν εἰς Ἀλβανοὺς τὸ παραπλήσιον τοῖς ἐκείνων ποιήσοντας. τοῦτο δὲ συνετέλεσεν ἀρχαϊκῷ τινι προαχθεὶς ἔθει, διὰ τὸ τοὺς παλαιοὺς μηδὲν οὕτω σπουδάζειν ὡς τὸ δικαίους ἐνίστασθαι πολέμους. εὐλαβεῖτο γὰρ μὴ τοὺς αἰτίους τῆς λῃστείας οὔθ' εὑρεῖν δυνάμενος οὔτε παραδιδοὺς τοῖς ἐξαιτοῦσι δόξῃ πόλεμον ἄδικον ἐπαναιρεῖσθαι. εὐτυχούντων δὲ πρότερον τῶν εἰς Ἄλβαν πεμφθέντων τὸ μὴ λαμβάνειν τὸ δίκαιον, εἰς ἡμέραν τριακοστὴν πόλεμον κατήγγειλαν. ὃν οἱ μὲν τῶν Ἀλβανῶν πρεσβευταὶ κατὰ τὴν ἐξαίτησιν ἀπόκρισιν ἔλαβον ὅτι πρότερον ἐκείνων οὐ διδόντων τὸ δίκαιον, οἱ Ῥωμαῖοι πόλεμον αὐτοῖς κατηγγελκότες εἴησαν. οἱ δὲ δῆμοι πρὸς ἀλλήλους ἐπιγαμίας 619

618. 1. Ὀστιλίου] Ὀστιλλίου M (i. e. codex Monacensis) 2. Ἀλβανοὶ] Ἀλαβανοὶ M 4. καὶ — βουλόμενοι addit M 6. Ῥωμαίους M, Ῥωμαίων V (i. e. codex Vrsini) 9. Ὀστίλιος] Ὀστίλλιος M 15. ἀρχαϊκῷ M, ἀρχικῷ V 17. ἐνίστασθαι Wesselingius, ἐπίστασθαι M, ἐφίστασθαι ed. Vrsini contra fidem codicis, ut videtur, quum ἐπίστασθαι ipse ponat in annotatione 20. εὐτυχούντων M, ἐντυχόντων V 21. εἰς om. M 23. ὃν] fortasse legendum εἶθ'



ἔχοντες καὶ φιλίαν, ἀπὸ ταύτης τῆς αἰτίας εἰς διαφορὰν κατέστησαν.

Ὅτι Καμβύσου τοῦ Περσῶν βασιλέως κυριεύσαντος 2 πάσης Αἰγύπτου, πρὸς τοῦτον οἱ Λίβυες καὶ Κυρηναῖοι, συνεστρατευκότες τοῖς Αἰγυπτίοις, ἀπέστειλαν δῶρα καὶ τὸ προςταττόμενον ποιήσειν ἐπηγγείλαντο.

*   *
*

Ὅτι οἱ παρὰ Νάβιδος καὶ Φλαμινίου πεμφθέντες 3 εἰς Ῥώμην πρεσβευταὶ περὶ τῶν συνθηκῶν ἐπεὶ διελέχθησαν τῇ συγκλήτῳ περὶ ὧν τὰς ἐντολὰς εἶχον, ἔδοξε τῇ γερουσίᾳ βεβαιοῦν τὰς ὁμολογίας, καὶ τὰς φρουρὰς τὰς ἐκ τῆς Ἑλλάδος καὶ τὰς στρατιὰς ἀπάγειν. ὁ δὲ Φλαμίνιος ἀκούσας τὰ διῳκημένα, πανταχόθεν τοὺς ἀρίστους τῶν Ἑλλήνων μετεπέμψατο, καὶ συναγαγὼν ἐκκλησίαν τὰς τῶν Ῥωμαίων εἰς τοὺς Ἕλληνας εὐεργεσίας ἀνενεώσατο, καὶ περὶ τῶν κατὰ τὸν Νάβιν ἀπελογεῖτο, διότι κατὰ τὸ δυνατὸν πεποιήκασι, καὶ ὅτι κατὰ τὴν τοῦ δήμου προαίρεσιν ἅπαντες οἱ τὴν Ἑλλάδα κατοικοῦντές εἰσιν ἐλεύθεροι καὶ ἀφρούρητοι, καὶ τὸ μέγιστον, τοῖς ἰδίοις νόμοις πολιτευόμενοι. ᾐτήσατο δὲ παρὰ τῶν Ἑλλήνων χάριν ὅπως τοὺς δουλεύοντας παρ' αὐτοῖς Ἰταλιώτας ἀναζητήσαντες ἀποστείλωσιν ἐν ἡμέραις τριάκοντα. ὃ καὶ γέγονεν.

Ὅτι πάλιν ἡ σύγκλητος διήκουσε τῶν ἀπὸ τῆς Ἑλ- 4 λάδος πρεσβειῶν, καὶ ταύταις φιλανθρώπως προςεφώνει, βουλομένη προθύμους αὐτοὺς ἔχειν πρὸς τὸν Ἀντιοχικὸν πόλεμον, ὃν ταχέως προςεδόκα. τοῖς δὲ παρὰ Φιλίππου πρέσβεσιν ἀπεκρίθη διότι φυλάττοντος αὐτοῦ τὴν πίστιν τῶν τε φόρων αὐτὸν ἀπολύσει καὶ Δημήτριον τὸν υἱόν. τοῖς δὲ ἐληλυθόσι παρὰ Ἀντιόχου συνέστησεν ἐκ τῆς βουλῆς ἄνδρας δέκα τοὺς διακουσομένους περὶ ὧν ἔφησαν ἐντολὰς ἔχειν παρὰ τοῦ βασιλέως. ὧν συνεδρευσάντων ὁ τῆς πρεσβείας ἀφηγούμενος Μένιππος ἔλεγεν ἥκειν, ὅπως Ἀντιόχῳ φιλίαν καὶ συμμαχίαν συνάψηται πρὸς Ῥωμαίους. ἔφησε δὲ θαυμάζειν τὸν βασιλέα διὰ τίνα ποίαν τ' αἰτίαν προςτάττουσιν αὐτῷ Ῥωμαῖοι τινὰ μὲν τῶν κατὰ τὴν Εὐρώπην μὴ πολυπραγμονεῖν,

619. 34. τοῦτον] τοῦτο M 41. Φλαμινίου M, Φλαμινίνου V, nisi Vrsinus ipse supposuit: v. Schweigh. ad Appianum vol. III. p. 510. 45. στρατιὰς] στρατείας MV 46. Φλαμίνιος M, Φλαμινῖνος V 53. εἰσὶν Vrsinus, ὦσιν MV 71. ἀφηγούμενος M, ἐφηγούμενος V 73. ποίαν τ'] ποτ' scribi malim quam ποίαν τινὰ 74. τινὰ] τὰ Wesselingius 75. πολυπραγμονεῖν Vrsinus, πολυπραγμονήσειν MV

τινῶν δὲ τῶν πόλεων ἀφίστασθαι καὶ παρ' ἐνίων τοὺς ὀφειλομένους φόρους μὴ λαμβάνειν· ταῦτα γὰρ οὐ τοῖς ἐξ ἴσου τὴν φιλίαν ποιουμένοις ἔθος εἶναι ποιεῖν ἀλλὰ τοῖς πολέμῳ νενικηκόσι· τοὺς δὲ πρὸς αὐτὸν πρεσβεύοντας ἐπὶ Λυσιμαχίαν ἐπιτακτικῶς αὐτῷ διαστέλλειν περὶ τούτων. Ἀντιόχῳ δὲ πρὸς Ῥωμαίους πόλεμον μὲν μηδέποτε γεγονέναι· φιλίαν δ' ἂν συνθέσθαι βούλωνται πρὸς αὐτόν, ἕτοιμον εἶναι. ὁ δὲ Φλαμίνιος ἔφη δυοῖν πραγμάτων ὄντων ἕτερον τῷ βασιλεῖ τὴν σύγκλητον συγχω- 620
ρεῖν, εἰ μὲν βούλεται τῆς Εὐρώπης ἀπέχεσθαι, μηδὲν πολυπραγμονεῖν Ῥωμαίους τῶν κατὰ τὴν Ἀσίαν· εἰ δὲ τοῦτο μὴ προαιρεῖται, γινώσκειν ὅτι Ῥωμαῖοι τοῖς ἑαυτῶν φίλοις καταδουλουμένοις βοηθήσουσι. τῶν δὲ πρεσβευτῶν ἀποκριναμένων ὡς οὐδὲν τοιοῦτο συνθήσονται δι' οὗ ταπεινώσουσι τὴν βασιλέως ἀρχήν, τῇ ἐχομένῃ τοῖς Ἕλλησιν ἡ σύγκλητος εἶπεν ὡς ἐὰν Ἀντίοχος περιεργάζηταί τι τῶν κατὰ τὴν Εὐρώπην, Ῥωμαῖοι μετὰ πολλῆς σπουδῆς τοὺς κατὰ τὴν Ἀσίαν Ἕλληνας ἐλευθερώσουσιν. ἐπισημηναμένων δὲ τῶν ἐκ τῆς Ἑλλάδος πρεσβευτῶν, οἱ παρὰ τοῦ βασιλέως ἠξίουν τε τὴν σύγκλητον ἐνθυμηθῆναι ἡλίκων ἑκατέροις κατάρχεται κινδύνων καὶ μηδὲν ταχέως πράττειν, ἀλλὰ τῷ βασιλεῖ δοῦναι χρόνον εἰς βουλὴν καὶ αὐτὴν ἐπιμελέστερον περὶ τουτων βουλεύεσθαι.

5 Ὅτι τοῖς Αἰτωλοῖς διαπρεσβευσαμένοις περὶ διαλύσεων ἐδογμάτισεν ἡ σύγκλητος ἢ τὰ καθ' ἑαυτοὺς ἐπιτρέπειν Ῥωμαίοις ἢ χίλια τάλαντα ἀργυρίου δοῦναι παραχρῆμα Ῥωμαίοις. οἱ δὲ διὰ τὴν ἀποτομίαν τῆς ἀποκρίσεως οὐ προσδεξάμενοι τὰ προσταττόμενα εἰς φόβους καὶ μεγάλους κινδύνους ἐνέπεσον· συνηγωνισμένοι τῷ βασιλεῖ ἐκτενέστατα, εἰς ἀπορίαν ἐνέπιπτον, οὐδεμίαν ἔκβασιν ἔχοντες τῶν κακῶν.

6 Ὅτι ὁ Ἀντίοχος πυθόμενος τοὺς Ῥωμαίους εἰς τὴν Ἀσίαν διαβεβηκέναι, πρεσβευτὴν ἐξέπεμψε πρὸς τὸν ὕπατον Ἡρακλείδην τὸν Βυζάντιον περὶ διαλύσεων, ἀποδιδοὺς μὲν τὴν ἡμίσειαν τῆς δαπάνης, διδοὺς δὲ Λάμψακον καὶ Σμύρναν καὶ Ἀλεξάνδρειαν, δι' ἃς ὁ πόλεμος ἐδόκει κεκινῆσθαι. αὗται γὰρ αἱ πόλεις πρῶται τῶν κα-

79. δὲ om. M 83. βούλωνται ed. Bipontina, βούλονται MV 84. Φλαμίνιος, ut videtur, M, Φλαμινῖνος V ἕτερον] immo τὸ ἕτερον vel θάτερον

620. 89. καταδουλουμένοις] καταδουλωμένοις MV 90. οὐδὲν τοιοῦτο] οὐδὲ τοιοῦτον M 10. τῷ] δὲ τῷ Reiskius 18. Ἡρακλείδην M, Ἡρακλείδη V 19. τῆς δαπάνης, διδοὺς δὲ] ἀντὶ δὲ τῆς δαπάνης διδοὺς M 20. Ἀλεξάνδρειαν] Ἀλεξάνδραν M



τὰ τὴν Ἀσίαν Ἑλλήνων ἐπεπρεσβεύκεισαν πρὸς τὴν σύγκλητον, παρακαλοῦσαι [περὶ] τῆς ἐλευθερίας αὐτῶν.

7 Ὅτι ὁ Ἀντίοχος Ποπλίῳ Σκιπίωνι τῷ τοῦ συνεδρίου προεστῶτι τὸν υἱὸν προσεπηγγείλατο ἄνευ λύτρων ἀποδώσειν, ὃν ἦν εἰληφὼς ὅταν περὶ Εὔβοιαν διέτριβεν, οὐδὲν δ' ἧττον καὶ χρημάτων πλῆθος, συνεπιλαβομένῳ τῆς εἰρήνης. ὁ δὲ Σκιπίων ὑπὲρ μὲν τῆς κατὰ τὸν υἱὸν ἀποδόσεως ἔφησε χάριν ἕξειν τῷ βασιλεῖ, χρημάτων δὲ πλήθους μὴ προσδεῖσθαι. ἀντὶ δὲ ταύτης τῆς εὐεργεσίας
621 συμβουλεύειν αὐτῷ μὴ παρατάττεσθαι Ῥωμαίοις, πεπειραμένον τῆς ἀρετῆς αὐτῶν. ὁ δὲ δόξας βαρύτερα τοῦ προσήκοντος προστάττειν τούτου οὐ προσεδέξατο τὰς ἀποκρίσεις.

8 Ὅτι ἐν τῇ Ῥώμῃ πρὸ τῆς κατὰ τὸν Ἀντίοχον ἥττης εἰσαχθέντων εἰς τὴν σύγκλητον τῶν ἐξ Αἰτωλίας πρεσβευτῶν, καὶ περὶ μὲν τῶν ἰδίων ἁμαρτημάτων οὐδὲν διαλεχθέντων, αὐτὰ δὲ τὰ τοῖς Αἰτωλοῖς καλῶς πρὸς τοὺς Ῥωμαίους πραχθέντα διεξιόντων, ἀναστάς τις τῶν ἐκ τοῦ συνεδρίου τοὺς πρέσβεις ἠρώτησεν εἰ παραδιδόασιν ἑαυτοὺς Αἰτωλοὶ εἰς τὴν πίστιν τῶν Ῥωμαίων. ἀποσιωπησάντων δὲ τῶν πρέσβεων, ἡ σύγκλητος ὑπολαβοῦσα τοὺς Αἰτωλοὺς ἀντέχειν ταῖς κατὰ τὸν Ἀντίοχον ἐλπίσιν, ἀπράκτους ἀπέστειλεν εἰς τὴν Ἑλλάδα.

9 Ὅτι ὁ Ἀντίοχος ἀπογνοὺς τὸν πόλεμον ἀπέστειλε πρέσβεις πρὸς τὸν ὕπατον, ἀξιῶν αὐτῷ συγγνώμην δοθῆναι περὶ τῶν ἡμαρτημένων καὶ τυχεῖν ἐφ' οἷς δυνατόν ἐστι τῆς εἰρήνης. ὁ δὲ ὕπατος διατηρῶν τὴν πάτριον τῆς Ῥώμης ἐπιείκειαν, καὶ παρακληθεὶς ὑπὸ τοῦ ἀδελφοῦ Ποπλίου, συνεχώρησε τὴν εἰρήνην ἐπὶ τοῖσδε· ἐκχωρῆσαι τὸν βασιλέα τοῖς Ῥωμαίοις τῆς τε Εὐρώπης καὶ τῆς ἐπὶ τάδε τοῦ Ταύρου χώρας καὶ τῶν ἐν αὐτῇ πόλεων καὶ ἐθνῶν· παραχωρῆσαι δὲ τῶν τε ἐλεφάντων καὶ μακρῶν νηῶν, καὶ τὰς δαπάνας τὰς γεγενημένας εἰς τὸν πόλεμον ἀποδοῦναι, ὧν ἦν ἡ διατίμησις ταλάντων Εὐβοϊκῶν μυρίων πεντακισχιλίων· ἐκδότους δὲ παραδοῦναι τόν τε Καρχηδόνιον Ἀννίβαν καὶ τὸν Αἰτωλὸν Θόαντα

22. Ἑλλήνων ἐπεπρεσβεύκεισαν] ἐπρεσβεύκεσαν Ἑλλήνων M 23. περὶ addidit Vrsinus 24. αὐτῶν] αὑτῶν MV 30. ὃν ἦν εἰληφὼς Vrsinus, ὃ νῦν εἰληφὼς MV ὅταν] ὅτε Schaeferus ad Bosii Ell. p. 470. Εὔβοιαν] Εὔοιαν M

621. 36. πεπειραμένων M 38. τούτου] τοῦτον Reiskius 41. — 52. post 72. ponit M 45. δὲ Vrsinus, δὲ καλῶς MV 47. τῶν ἐκ τοῦ σ.] in his aliquid varietatis fuisse in V videtur, quum Vrsinus receptam scripturam ut ex margine petitam proferat in annotatione, cui praefixit τοῦ συνεδρίου 57. αὐτῷ Vrsinus, αὐτὸν MV

καί τινας ἑτέρους, καὶ ὁμήρους εἴκοσιν οὓς ἀπογράψωσι Ῥωμαῖοι. ὁ δὲ πάντα προςδεξάμενος διὰ τὴν τῆς εἰρήνης ἐπιθυμίαν ἀπελύθη τοῦ πολέμου.

10 Ὅτι μετὰ τὴν κατὰ τὸν Ἀντίοχον ἧτταν ἀπὸ πασῶν τῶν κατὰ τὴν Ἀσίαν πόλεων καὶ δυναστῶν καταντησάντων πρέσβεων, τῶν μὲν περὶ τῆς ἐλευθερίας, τῶν δὲ καὶ περὶ εὐχαριστηρίων ἀνθ' ὧν εὐεργετήκασι τὴν Ῥώμην καταγωνισάμενοι κατὰ Ἀντιόχου. οἷς πᾶσιν ἡ σύγκλητος ἀγαθὰς ἐλπίδας ὑπογράφουσα ἔφησε δέκα πρεσβευτὰς ἀποστέλλειν εἰς τὴν Ἀσίαν τοὺς μετὰ τῶν στρατηγῶν ἅπαντα ἕξοντας. ἐπανελθόντων δὲ εἰς τὰς πατρίδας, καὶ τῶν δέκα πρέσβεων μετὰ τῶν περὶ Σκιπίωνα καὶ τὸν Αἰμίλιον συνεδρευσάντων, ἔκριναν οὗτοι καὶ διεσάφησαν τὴν μὲν 622 ἐπὶ τάδε τοῦ Ταύρου χώραν Εὐμένους εἶναι καὶ τοὺς ἐλέφαντας· Ῥοδίοις δὲ προςώρισαν Καρίαν καὶ Λυκίαν· τῶν δὲ πόλεων τὰς μὲν Εὐμένει φόρους δεδωκυίας ὑπο τὸν Εὐμένη τετάχθαι, τὰς δὲ Ἀντιόχῳ φόρον φερούσας ἀπολελύσθαι τῶν φόρων.

11 Ὅτι Γναῖος Μάλλιος ὁ ἀνθύπατος, παραγενομένων πρὸς αὐτὸν πρεσβευτῶν παρὰ Γαλατῶν περὶ συλλύσεως τοῦ πολέμου, τούτοις ἔδωκεν ἀπόκρισιν ὅτι τότε ποιήσεται πρὸς αὐτοὺς τὰς ὑπὲρ τῆς εἰρήνης συνθήκας ὅταν οἱ βασιλεῖς αὐτῶν καταντήσωσι πρὸς αὐτόν.

12 Ὅτι ὁ αὐτὸς παρελθὼν εἰς Λυκαονίαν τὸν προσοφειλόμενον σῖτον ἐκομίσατο παρὰ Ἀντιόχου καὶ τὸν κατὰ τὰς συνθήκας φόρον ἐνιαυτοῦ χίλια τάλαντα.

13 Ὅτι κατὰ τὴν Πελοπόννησον τῆς κοινῆς συνόδου τῶν Ἀχαιῶν συνελθούσης συνήχθησαν οἱ τῶν Ῥωμαίων πρέσβεις. οὗτοι δ' ἔφησαν τὴν σύγκλητον δυςαρεστεῖσθαι τῇ τῶν τειχῶν τῶν ἐν Λακεδαίμονι καθαιρέσει, ἣν ἐποίησε τὸ κοινὸν τῶν Ἀχαιῶν, ὅτε τῆς Σπάρτης ἐκράτησε καὶ τοὺς Λακεδαιμονίους κατέταξεν εἰς τὴν κοινὴν πολιτείαν. μετὰ δὲ τούτους συνήχθησαν οἱ παρ' Εὐμένους πρέσβεις κομίζοντες δωρεὰν ταλάντων εἴκοσιν, ἐξ ὧν ᾤετο δεῖν ὁ βασιλεὺς ὀψωνιάζεσθαι τὴν τῶν Ἀχαιῶν

70. εἴκοσιν] εἴκοσι M 78. περὶ τῆς M, παρὰ τῆς V 79. Ῥώμην M, Ῥώμη V καταγωνισάμενοι] immo συναγωνισάμενοι 83. ἕξοντας] τάξοντας Wetstenius, διατάξοντας Reiskius

622. 90. τὰς δὲ] τὰ δὲ M: fuisse hic aliquid ab Vrsino mutatum annotatio eius ostendit 95. Γναῖος] Γνάϊος MV 97. συλλύσεως] συλλήσεως M 12. 17. συνήχθησαν] nonne εἰςήχθησαν? 14. τῶν ἐν Λ. τειχῶν Suidas 15. ὅτε] ὅτι M 18. εἴκοσιν] ἑκατὸν καὶ εἴκοσιν Polybius XXIII. 7. 3.



σύνοδον. οἱ δὲ Ἀχαιοὶ τὴν δόσιν τῶν χρημάτων ἀποδοκιμάσαντες οὐ προςεδέξαντο τὴν δωρεάν. ἧκον δὲ καὶ παρὰ Σελεύκου πρέσβεις, τὴν προγεγενημένην εἰς τὸν Ἀντίοχον τὸν βασιλέα συμμαχίαν ἀνανεούμενοι. οἱ δὲ τὴν συμμαχίαν ἀνενεώσαντο καὶ τὴν δωρεὰν προςεδέξαντο.

Ὅτι καταντησάντων εἰς Ῥώμην τῶν ἀπὸ τῆς Ἀσίας 14
623 βασιλέων καὶ πρεσβευτῶν ἀποσταλέντων οἱ περὶ τὸν Ἄτταλον βασιλεῖς μεγάλης ἀποδοχῆς ἔτυχον. ἀπάντησις γὰρ αὐτοῖς ἐγένετο μεγαλοπρεπὴς καὶ ξένια καὶ τἄλλα φιλάνθρωπα διαφέροντα. σφόδρα γὰρ οἱ βασιλεῖς οὗτοι φιλορώμαιοι καθεστῶτες, καὶ πάντα τῇ συγκλήτῳ πειθαρχοῦντες, ἔτι δὲ τοὺς παραβάλλοντας Ῥωμαίων εἰς τὴν βασιλίδα ὑποδεχόμενοι φιλανθρωπότατα, μεγίστης ἀποδοχῆς [μεγάλως] ἠξιοῦντο. δι' ὧν καὶ τῶν πρέσβεων ἁπάντων ἡ σύγκλητος ἀκούσασα, καὶ μάλιστα σπεύδουσα τοῖς περὶ τὸν Εὐμένη βασιλεῦσι χαρίζεσθαι, προςηνῆ τούτοις τὴν ἀπόκρισιν ἐποιήσατο. ἀπεφήνατο γὰρ ἀποστελεῖν ἐκ τοῦ συνεδρίου πρέσβεις τοὺς ἐκ παντὸς τρόπου συλλύσοντας τὸν πρὸς Φαρνάκην πόλεμον.

Ὅτι τῆς παρὰ τοῖς Αἰτωλοῖς χρεωκοπίας κατὰ τὴν 15
Θεσσαλίαν ζηλωθείσης, καὶ πάσης πόλεως εἰς στάσεις καὶ ταραχὰς ἐμπιπτούσης, ἡ σύγκλητος ὑπέλαβεν ἐκ τοῦ Περσέως γεγονέναι τὴν σύγχυσιν, καὶ ἀπελογίσατο τοῖς τοῦ Περσέως πρεσβευταῖς περὶ μὲν τῶν ἄλλων ἀπολύσειν αὐτὸν ἐγκλημάτων, περὶ δὲ τῆς Ἀβρουπόλιδος τοῦ Θρᾳκὸς ἐκ τῆς βασιλείας ἐκβολῆς ἐκέλευσε διορθώσασθαι τὸν Περσέα τὸ γεγονός.

Ὅτι τοῦ Ἁρπάλου τοῦ Περσέως πρεσβευτοῦ σιωπή- 16
σαντος, ἡ σύγκλητος τὸν Εὐμένη ἐλεφαντίνῳ τιμήσασα δίφρῳ, καὶ τῆς ἄλλης ἀποδοχῆς ἀξιώσασα φιλοφρόνως, ἐξαπέστειλεν εἰς τὴν Ἀσίαν.

21. ἀποδοκιμάσαντες Vrsinus, ἀποκομίσαντες MV 23. εἰς] immo πρὸς 25. προςεδέξαντο] contrarium ait Polybius XXIII. 9. 13.: quumque omitti non potuerit quale fuerit Seleuci donum, de quo Polybius ibidem et 7. 4., eclogarii culpa haec depravata videntur

623. 30. καὶ addidit Reiskius φιλάνθρωπα Vrsinus, φιλανθρώπια vel φιλανθρωπία MV 34. φιλορώμαιοι] φιλορωμαῖοι MV 37. μεγάλως delet Reiskius 43. συλλύσοντας Reiskius, συλλύοντας V: λύσοντας Polybius XXV. 6. 8. 46. χρεωκοπίας] χρεωκοπείας Suidas 48. εἰς om. M 50. σύγχυσιν Vrsinus, σύγκρισιν MV 51. ἀπελογίσατο] ἀπελογήσατο M 52. ἀπολύσειν αὐτὸν] malim ἀπολύειν αὐτὸν τῶν 53. Ἀβρουπόλιδος] Ἀβρουπόλεως V, illud margo V ἐκ Vrsinus, καὶ MV 61. ἄλλης — 624. 87. προ omisit M ascripto in marg. λείπει

17 Ὅτι ἡ σύγκλητος αὐθημερὸν ἐψηφίσατο τὸν πρὸς Περσέα πόλεμον, καὶ τοῖς πρεσβευταῖς ἐχρημάτισε μέν, ἀπόκρισιν δὲ οὐδεμίαν ἔδωκε. προςέταξε δὲ τοῖς ὑπάτοις ἐν ἐκκλησίαις διαῤῥήδην ἀπαγορεύειν· τοὺς δὲ πρεσβευτὰς καὶ πάντας Μακεδόνας ἐκ μὲν Ῥώμης ἀπελθεῖν αὐθημερόν, ἐκ δὲ τῆς Ἰταλίας ἐν ἡμέραις τριάκοντα.

18 Ὅτι ὁ Πτολεμαῖος ὁ τῆς Αἰγύπτου βασιλεὺς εἰδὼς 624 τοὺς αὐτοῦ προγόνους ἐσχηκότας κοίλην Συρίαν, παρασκευὰς ἐποιεῖτο μεγάλας, ἀμφισβητῶν ταύτης· ἤλπιζέ τε τὴν ἀδίκῳ πολέμῳ πρότερον ἀνειμένην τότε δικαίως τοῖς αὐτοῖς νόμοις ἀνακτήσασθαι. ἃ δὴ πυθόμενος ὁ Ἀντίοχος ἐξαπέστειλεν εἰς Ῥώμην πρέσβεις, ἐντειλάμενος μαρτύρασθαι τὴν σύγκλητον ὅτι πολεμεῖν ἀδίκως ἐπιβάλλεται Πτολεμαῖος. ἐξαπέστειλε δὲ καὶ ὁ προειρημένος τοὺς ἀπολογησομένους καὶ διδάξοντας τὴν σύγκλητον ὅτι παρὰ πάντα τὰ δίκαια κρατεῖ τῆς κοίλης Συρίας Ἀντίοχος ἑαυτοῦ προγονικῆς ὑπαρχούσης. ἐνετείλατο δὲ τά τε φιλάνθρωπα πρὸς Ῥωμαίους ἀνανεώσασθαι καὶ περὶ τῆς πρὸς Περσέα διαλύσεως πειραθῆναι.

19 Ὅτι εἰς Ῥώμην παρεγένοντο πρεσβευταὶ Ῥοδίων πρὸς τὰς γεγενημένας κατ' αὐτῶν διαβολὰς ἀπολογησόμενοι. ἐδόκουν γὰρ ἐν τῷ πρὸς Περσέα πολέμῳ ταῖς εὐνοίαις ἀποκεκλικέναι πρὸς τὸν βασιλέα καὶ προδεδωκέναι τὴν πρὸς Ῥωμαίους φιλίαν. ὁρῶντες δὲ τὴν ἀλλοτριότητα τὴν πρὸς αὐτούς, εἰς ἀθυμίαν ἐνέπιπτον. ὡς δὲ καὶ τῶν στρατηγῶν τις συναγαγὼν ἐκκλησίαν παρεκάλει τὰ πλήθη πρὸς τὸν κατὰ Ῥοδίων πόλεμον, τόθ' ὁλοσχερῶς δείσαντες περὶ τῆς πατρίδος εἰς τοιαύτην ἦλθον κατάπληξιν ὥςτε πένθιμον ἀναλαβεῖν ἐσθῆτα, κατὰ δὲ τὰς ἐντεύξεις τῶν φίλων μηκέτι παρακαλεῖν μηδὲ ἀξιοῦν, ἀλλὰ δεῖσθαι μετὰ δακρύων μηδὲν ἀνήκεστον περὶ αὐτῶν βουλεύεσθαι. εἰςαγαγόντος δὲ αὐτοὺς εἰς τὴν σύγκλητον ἑνὸς τῶν δημάρχων, καὶ τὸν παρακαλοῦντα πρὸς τὸν πόλεμον στρατηγὸν κατασπάσαντος ἀπὸ τῶν ἐμβόλων, ἐποιεῖτο τοὺς λόγους. καὶ πολλὰ πρὸς δέησιν εἰπόντες ἔλαβον ἀποκρίσεις δι' ὧν τοῦ μὲν ὁλοσχεροῦς φόβου παρείθησαν, περὶ δὲ τῶν κατὰ μέρος ἐγκλημάτων πικρῶς ὠνειδίσθησαν.

68. ἔδωκε] δέδωκε V 69. ἀπαγορεύειν Vrsinus, ἀπαγορεύουσιν V, ἀναγορεύειν Wesselingius: tum τούς τε Reiskius

624. 77. αὐτοῦ V, ἑαυτοῦ Suidas κοίλην] τὴν κοίλην Suidas 79. τε] γὰρ Suidas 88. τε] εἶχε M 90. πειραθῆναι M, διὰ πειραθῆναι V 94. εἰς] ἐς M 95. ἀπολογησόμεναι Vrsinus, ἀπολογησομένους MV 97. εὐνοίαις M et Exc. Photii p. 515. 7., ἐννοίαις V ἀποκεκλικέναι] ἀποκεκληκέναι M 5. παρακαλεῖν Vrsinus cum Polybio XXX. 4. 5., παραλιπεῖν MV 8. καὶ τὸν παρακαλοῦντα] καὶ παρακαλοῦντος καὶ τὸν παρακαλοῦντα M 10. ἐποιεῖτο] ἐποιοῦντο Wesselingius recte, nisi exciderunt quae tum Polybius tum Diodorus Photii p. 515. 12. post ἐποιεῖτο τοὺς λόγους addunt πρῶτος vel πρῶτον μὲν Φιλόφρων, μετὰ δὲ τοῦτον Ἀστυμήδης



20 Ὅτι κατὰ τοὺς αὐτοὺς χρόνους ἧκον εἰς Ῥώμην 625 πάντοθεν οἱ πρεσβευταὶ συγχαρησόμενοι τοῖς γεγονόσι κατορθώμασιν. ἡ δὲ σύγκλητος φιλανθρώπως ἅπαντας ἀποδεχομένη καὶ τὰς ἀποκρίσεις ἐπιεικεῖς διδοῦσα συντόμως ἑκάστους ἀπέλυσεν εἰς τὰς πατρίδας.

21 Ὅτι κατὰ τοὺς αὐτοὺς χρόνους πολλῶν παραγεγονότων πρεσβευτῶν πρώτοις τοῖς περὶ Ἄτταλον ἐχρημάτισεν ἡ σύγκλητος· ὑπόπτως γὰρ εἶχον οἱ Ῥωμαῖοι τὰ πρὸς τὸν Εὐμένη ἕνεκεν τῶν γραμμάτων τῶν εὑρημένων, ἐν οἷς συμμαχίαν ἦν συντεθειμένος πρὸς Περσέα κατὰ Ῥωμαίων. κατηγορησάντων δὲ πλειόνων ἀπὸ τῆς Ἀσίας πρεσβευτῶν, καὶ μάλιστα τῶν ἀπεσταλμένων παρὰ Προυσίου βασιλέως καὶ Γαλατῶν, οἱ περὶ τὸν Ἄτταλον ἐνδεχομένως ἀπολογησάμενοι πρὸς ἕκαστον τῶν ἐγκαλουμένων οὐ μόνον ἀπετρίψαντο τὰς διαβολάς, ἀλλὰ καὶ τιμηθέντες ἐπανῆλθον εἰς τὴν οἰκείαν. ἡ δὲ σύγκλητος οὐ κατὰ πᾶν ἔληγε τῆς κατ' Εὐμένους ὑποψίας, προχειρισαμένη δὲ Γάϊον ἐξαπέστειλε κατοπτεύσοντα τὰ κατὰ τὸν Εὐμένη.

22 Ὅτι Προυσίας ἀνάξιος γεγονὼς τοῦ τῆς βασιλείας προσχήματος καὶ διατελέσας πάντα τὸν τοῦ ζῆν χρόνον αἰσχρῶς κολακεύων τοὺς ὑπερέχοντας, καί ποτε Ῥωμαίων πρὸς αὐτὸν παραγενομένων πρεσβευτῶν τὰ μὲν τῆς βασιλείας σύμβολα, τό τε διάδημα καὶ τὴν πορφύραν, ἀπέθετο, μιμησάμενος δὲ τὴν τῶν προςφάτως ἀπελευθερουμένων παρὰ Ῥωμαίοις τάξιν ἀπήντησεν ἐξυρημένος τὴν κεφαλὴν καὶ πίλεον ἔχων λευκόν, ἔτι δὲ φορῶν τήβενναν καὶ κάντιλον· ἀσπασάμενος δὲ τοὺς πρεσβευτάς, ἀπέφαινεν ἑαυτὸν ἀπελεύθερον εἶναι Ῥωμαίων· ἧς ἀγεννεστέραν φωνὴν οὐ ῥᾴδιον εὑρεῖν. πολλὰ δὲ καὶ ἄλλα τού-

16. 17. ὅτι — κατορθώμασιν] in his aliquid se mutasse in annot. ostendit Vrsinus: nihil ab eo dissentit M. idem factum in illis 31. κατηγορησάντων — 32. Προυσίου

625. 37. οἰκείαν] οἰκίαν MV Suidas: Ἀσίαν Polybius XXXI. 9. 5. 38. ἔληγε] ἔλεγε M 39. Γάϊον] Sulpicium Gallum Polybii XXXI. 9. 6., 10. 1. κατοπτεύσοντα] κατοπτεύσαντα MV 40. κατὰ τὸν M, κατὰ V 44. ὅτι — 626. 69. σπεύδουσιν omisit M 50. ἀπελευθερουμένων] ἠλευθερωμένοι aptius Polybius XXX. 16. 3. 52. τήβενναν] τηβένναν V κάντιλον] κάλτιον vel καλίκιον Wesselingius: καλικίους Polybius 54. ἀγεννεστέραν] ἀγενεστέραν V

τοις οἰκεῖα πρότερον διεπράξατο, καὶ τότε δὲ κατὰ τὴν εἴςοδον γενόμενος τὴν εἰς τὴν σύγκλητον κατὰ τὸ θύρετρον ἀντίον στὰς τοῦ συνεδρίου καὶ καθεὶς τὰς χεῖρας ἀμφοτέρας προςεκύνησε τὸν οὐδὸν καὶ τοὺς καθημένους, ἐπιφθεγξάμενος Χαίρετε θεοὶ σωτῆρες, ὑπερβολὴν οὐδεμίαν ἀπολιπὼν κολακείας ἀνάνδρου καὶ γυναικισμοῦ. ἀκολούθως δὲ τούτοις καὶ τὸν λόγον ἐν τῇ συγκλήτῳ ποιησάμενος τοιαῦτα διῆλθεν ὥςτε καὶ γράφειν ἡμῖν ἀπρεπὲς εἶναι. ἡ δὲ σύγκλητος τοῖς πλείστοις τῶν λεγομένων προςκόπτουσα πρεπούσας τῇ κολακείᾳ τὰς 626 ἀποκρίσεις ἐποιήσατο· Ῥωμαῖοι γὰρ καὶ πολεμίους ἐπ' ἀνδρείᾳ μεγαλοφρονοῦντας νικᾶν σπεύδουσιν.

23 Ὅτι ἧκον πρεσβευταὶ εἰς Ῥώμην παρά τε τοῦ νεωτέρου Πτολεμαίου καὶ παρὰ τοῦ πρεσβυτέρου. δοθέντος δὲ αὐτοῖς ἐν τῷ συνεδρίῳ λόγου, διακούσασα ἡ σύγκλητος τὰ κατὰ μέρος ἐδογμάτισε τοὺς μὲν παρὰ τοῦ πρεσβυτέρου Πτολεμαίου πρεσβευτὰς ἐν ἡμέραις πέντε ταῖς πάσαις ἐκ τῆς Ἰταλίας ἀπαλλάττεσθαι, καὶ τὴν συμμαχίαν ἀνελεῖν τὴν πρὸς αὐτόν, πρὸς δὲ τὸν νεώτερον Πτολεμαῖον πέμψαι πρεσβευτὰς τοὺς ἐμφανιοῦντας αὐτῷ τὴν εὔνοιαν τῆς συγκλήτου καὶ τὰ διασεσαφημένα τἀδελφῷ.

24 Ὅτι κατὰ τὴν ἑκατοστὴν πεντηκοστὴν πέμπτην Ὀλυμπιάδα πρέσβεις παρεγένοντο παρὰ Ἀριαράθου στέφανον κομίζοντες ἀπὸ χρυσῶν μυρίων καὶ διασαφοῦντες τὴν εὔνοιαν τοῦ βασιλέως ἣν ἔχει πρὸς Ῥωμαίους, ἔτι δὲ τὴν δι' ἐκείνους γενομένην ἀπόῤῥησιν τοῦ γάμου καὶ φιλίας πρὸς Δημήτριον. συνεπιμαρτυρούντων δὲ καὶ τῶν περὶ τὸν Γράκχον πρεσβευτῶν, ἡ σύγκλητος ἐπαινέσασα τὸν Ἀριαράθη τόν τε στέφανον ἐδέξατο καὶ τὰ μέγιστα τῶν παρ' αὐτοῖς νομιζομένων δώρων ἀπέστειλεν.

25 Ὅτι κατὰ τὸν αὐτὸν χρόνον συνειςήχθησαν καὶ οἱ παρὰ Δημητρίου πρέσβεις οἱ τὸν στέφανον κομίζοντες ἀπὸ μυρίων χρυσῶν καὶ τοὺς αἰτίους τοῦ κατὰ τὸν Ὀκταούιον φόνου δεσμίους ἄγοντες. ἡ δὲ σύγκλητος ἐπὶ πολὺν μὲν χρόνον διηπόρησε πῶς χρηστέον ἦν τοῖς

62. γυναικισμοῦ] γυναικιασμοῦ V, μιαικισμοῦ Polybii Excerptorum codex Monacensis, ubi itidem γυναικιασμοῦ ediderat Vrsinus, sed γυναικισμοῦ scribit in annotatione

626. 72. νεωτέρου M cum Polybio XXXII. 1. 1., νέου V 75. τὰ κατὰ M, κατὰ V 80. εὔνοιαν M, ἔννοιαν V 81. τἀδελφῷ] τὰ δ' ἐλῷ M 85. ἑκατοστὴν πεντηκοστὴν πέμπτην] ρνε' MV 87. εὔνοιαν M cum Polybio XXXI. 14. 2., ἔννοιαν V 92. τόν τε] τὸν M 99. τοὺς αἰτίους M, τὰς αἰτίας V 100. φόνου] φόβου οὐ M ἄγοντες Polybius XXXII. 6. 1., ἀγαγόντες MV 2. χρηστέον] χρυσέων M



πράγμασι. καὶ ἡ σύγκλητος τὸν μὲν στέφανον προςεδέξατο, τοὺς δὲ μετὰ τοῦ στεφάνου παραδιδομένους Ἰσοκράτη καὶ Λεπτίνην οὐκ ἐβουλήθη παραλαβεῖν.

Ὅτι οἱ Κελτίβηρες μετὰ τὴν νίκην οὐκ ἀφρόνως 26 προνοούμενοι τοῦ μέλλοντος πρεσβευτὰς ἐξαπέστειλαν 627 πρὸς τὸν ὕπατον περὶ διαλύσεως. ὁ δὲ ἀναγκαῖον ἡγούμενος τηρεῖν τὸ τῆς πατρίδος μεγαλόψυχον, ἀπεκρίθη τούτοις ἢ διδόναι περὶ πάντων ἐπιτροπὴν Ῥωμαίοις ἢ πράττειν ἐνεργῶς τὰ τοῦ πολέμου.

Ὅτι τῶν Ῥωμαίων στρατευσάντων πρὸς Καρχηδονίους, 27 οἱ Καρχηδόνιοι πυθόμενοι τὸν εἰς τὸ Λιλύβαιον κατάπλουν, καὶ πρὸς τὸν πόλεμον οὐδαμῶς καταβαίνοντες, πρεσβευτὰς ἐξέπεμψαν εἰς Ῥώμην, οἳ ἐνεχείρισαν τοῖς Ῥωμαίοις ἑαυτούς τε καὶ τῆς πατρίδος τὰ πράγματα. ἡ δὲ σύγκλητος δεξαμένη τὴν παράδοσιν τῆς χώρας ἔδωκεν ἀπόκρισιν, ἐπεὶ καλῶς βουλεύονται Καρχηδόνιοι, δίδωσιν αὐτοῖς ἡ σύγκλητος νόμους, χώραν, ἱερά, τάφους, ἐλευθερίαν, ὕπαρξιν, οὐδαμοῦ προςτιθεῖσα πόλιν τὴν Καρχηδόνα, παρακρύπτουσα δὲ τὴν ταύτης ἀναίρεσιν. τεύξεσθαι δὲ τούτων τῶν φιλανθρώπων, ἐὰν ὁμήρους δῶσι τριακοσίους υἱοὺς τῶν συγκλητικῶν καὶ πείθωνται τοῖς ὑπὸ τῶν ὑπάτων παραγγελλομένοις. οἱ δὲ νομίσαντες ἀπολελύσθαι τοῦ πολέμου τοὺς ὁμήρους ἐξέπεμψαν μετὰ πολλῆς οἰμωγῆς. εἶτα ἦλθον εἰς τὴν Ἰτύκην. οἱ δὲ πάλιν πρεσβευτὰς ἐξέπεμψαν τοὺς πευσομένους εἴ τι ἕτερον αὐτοῖς οἱ Ῥωμαῖοι ποιεῖν κελεύουσι. τῶν δὲ ὑπάτων εἰπόντων παραδοῦναι τὰ ὅπλα ἀδόλως καὶ τοὺς καταπέλτας, οἱ δὲ τὸ μὲν πρῶτον διὰ τὸν πρὸς Ἀσδρούβαν πόλεμον βαρέως ἔφερον· παρέλαβον δ' ὅπλων παντοδαπῶν εἴκοσι μυριάδας καὶ καταπέλτας διςχιλίους. εἶτα πάλιν οἱ Ῥωμαῖοι διεπέμψαντο πρὸς Καρχηδονίους, ἀποστεῖλαί τινας ἐκ τῆς γερουσίας κελεύοντες, οἷς τὸ καταλειπόμενον πρόςταγμα διασαφήσουσιν οἱ δὲ τριάκοντα τῶν ἐπιφανεστάτων ἀπέστειλαν. ὁ δὲ πρεσβύτερος τῶν ὑπάτων Μανίλιος εἶπεν ὅτι τῇ συγκλήτῳ δέδοκται ἣν μὲν νῦν οἰκοῦσι πόλιν ἐκλιπεῖν, ἑτέραν δὲ κτίσαι τῆς θαλάσσης ἀπέχουσαν σταδίους ὀγδοήκοντα. τῶν δὲ πρεσβευτῶν εἰς οἶκτον καὶ ἔλεον τραπέντων, καὶ πάντων ῥιψάντων ἑαυτοὺς ἐπὶ τὴν γῆν καὶ πολὺν κλαυθμὸν μετὰ δακρύων προϊεμένων, διατροπὴ μεγάλη τὸ συνέδριον

627. 27. ἱερὰ Vrsinus, ἱεραὶ M, ἱεροὺς V 29. δὲ τὴν ταύτης ἀναίρεσιν. τεύξασθαι addit M τεύξεσθαι] τεύξασθαι M φιλανθρώπων Wesselingius, φιλανθρωπιῶν MV 34. Ἰτύκην] Ἰτύην M 43. οἷς Vrsinus, οἳ MV 46. Μανίλιος Vrsinus, Μαμίλιος V, Καικίλιος M 52. μόγις] μόλις Suidas

ἐπέσχε. μόγις δὲ τῶν Καρχηδονίων ἀπὸ τῆς καταπλήξεως ἀναλεξαμένων, μόνος ὁ Βλάννων καλούμενος οἰκείαν τῆς περιστάσεως φωνὴν προέμενος διελέχθη παραστατικῶς ἅμα καὶ παῤῥησιαζόμενος· εἰς δὲ οἶκτον προαγόμενος τοὺς ἀκούοντας

28 Ὅτι οἱ Ῥωμαῖοι ἀμετάθετοι ταῖς γνώμαις ὄντες πρὸς 628 τὴν κατάλυσιν τῆς Καρχηδόνος προσέταξαν ἀπιέναι ταχέως εἰς τὴν Καρχηδόνα καὶ τὰ δεδογμένα τοῖς πολίταις ἀπαγγέλλειν. τῶν δὲ πρέσβεών τινες [οἱ] μὲν ἀπογνόντες τὴν εἰς τὴν πατρίδα πορείαν ἔφυγον ὁπότ' οὖν ἕκαστος ἐδύνατο, οἱ δὲ λοιποὶ τὴν ἐπάνοδον ἑλόμενοι ἐπανῆλθον τὴν ὀλέθριον πρεσβείαν τετελεκότες. τῶν δὲ ὄχλων ὑπαπαντώντων, τούτοις μὲν οὐδὲν ἐλάλουν, τὰς δὲ ἑαυτῶν κεφαλὰς τύπτοντες καὶ τὰς χεῖρας ἐπανατείνοντες καὶ τοὺς θεοὺς ἐπιβοώμενοι προῆγον εἰς τὴν ἀγοράν, καὶ τῇ γερουσίᾳ ἀπήγγειλαν τὰ προστεταγμένα.

29 Ὅτι οἱ τὴν Ἄραδον οἰκοῦντες ὑπέλαβον καιρὸν εἰληφέναι πρὸς τὴν τῶν Μαραθηνῶν ἀπώλειαν. ἀποστείλαντες [δὲ] οὖν ἐν ἀποῤῥήτοις πρὸς Ἀμμώνιον τὸν προεστηκότα τῆς βασιλείας ἔπεισαν τριακοσίοις ταλάντοις παραδοῦναι τὴν Μάραθον αὐτοῖς. ὁ δὲ Ἰσίδωρον αὐτοῖς ἀπέστειλε λόγῳ μὲν ὡς ἐφ' ἑτέρας χρείας, ἔργῳ δὲ τὴν πόλιν ἐξαιρήσοντα καὶ παραδώσοντα τοῖς Ἀραδίοις. οἱ δὲ Μαραθηνοὶ τὸν κεκυρωμένον καθ' αὐτῶν ὄλεθρον ἀγνοοῦντες, τοὺς δὲ Ἀραδίους ὁρῶντες ἐν προτιμήσει παρὰ τῷ βασιλεῖ φερομένους, ἔγνωσαν τοὺς μὲν παρὰ τοῦ βασιλέως στρατιώτας εἰς τὴν πόλιν μὴ προσδέχεσθαι, τῶν δὲ Ἀραδίων αὐτοὺς ἱκέτας γενέσθαι. εὐθὺς οὖν τῶν πρεσβυτάτων τοὺς ἐπιφανεστάτους παρὰ τούτοις δέκα πρεσβευτὰς ἐξέπεμψαν εἰς τὴν Ἄραδον ἱκετηρίαν κομίζοντας μεθ' ἑαυτῶν καὶ τὰ παλαιότατα τῶν κατὰ τὴν πόλιν ἀφιδρυμάτων· ὑπελάμβανον γὰρ ἐλέῳ συγγενείας καὶ θεῶν εὐσεβείᾳ μεταθήσειν τὴν πᾶσαν ὀργὴν τῶν Ἀραδίων. οἱ δὲ κατὰ τὰς δεδομένας ἐντολὰς ἐκβάντες τῆς νηὸς εἰς ἱκεσίαν καὶ δέησιν ἐτρέποντο τῶν ὄχλων. οἱ δὲ Ἀράδιοι ταῖς ψυχαῖς ἀνηρτημένοι κατεφρόνησαν

53. *ἀναλεξαμένων*] *ἀναψυξαμένων* margo V 54. *Βλάννων*] *Βλάνων* Suidas, *Ἄννων ὁ Γιλλᾶς* Reiskius 55. *παραστατικῶς* Suidas, *περιστατικῶς* V: tum *εἴς τε* Reiskius

628. 65. *τινες οἱ μὲν*] aut *οἱ μέν τινες* aut *τινες μὲν* scribendum est 66. *ὁπότ' οὖν* M et V in annotatione Vrsini, *ὁποσοῦν* editio Vrsini 77. *Μαραθηνῶν* M, *Παραθηνῶν* editio Vrsini 78. *οὖν* M, *δὲ οὖν* V 80. *Ἰσίδωρον* Vrsinus, *Ἰδήδωρον* MV 83. *Ἀραδίοις*] *Ἀρκαδίοις* M *Μαραθηνοὶ* M, *Μαραθηναῖοι* V 84. *αὐτῶν* M Wesselingius, *αὐτὸν* V 92. *τὴν πόλιν*] *πόλιν* Suidas v. *ἀφιδρύματα* in ed. Mediolanensi

93. *συγγενείας* Vrsinus, *συγγενεῖ* MV



μὲν τῶν κοινῶν τῆς ἱκεσίας νόμων, παρ' οὐδὲν δὲ ἡγήσαντο τὴν τῶν συγγενικῶν ἀφιδρυμάτων καὶ θεῶν εὐσέβειαν· διόπερ τὰ μὲν τῶν θεῶν ἀγάλματα συντρίψαντες ὑβριστικῶς κατεπάτησαν, τοὺς δὲ πρεσβευτὰς ἐπεβάλλοντο τοῖς λίθοις καταλεύειν. πρεσβυτέρων δέ τινων ἐπιλαβομένων τῆς ὁρμῆς τῶν ὄχλων, μόγις διὰ τὴν τούτων ἐντροπὴν τοῦ βάλλειν ἀποσχόμενοι προσέταξαν εἰς τὴν φυλακὴν αὐτοὺς ἀπαγαγεῖν.

30 629 Ὅτι Νομαντῖνοι καὶ Τερμήσσιοι περὶ διαλύσεως διαπρεσβευσάμενοι πρὸς Ῥωμαίους, συνεχώρησαν αὐτοῖς τὴν εἰρήνην ἐπὶ τούτοις· δοῦναι τῶν πόλεων ἑκατέραν Ῥωμαίοις ὁμήρους τριακοσίους, σάγους ἐννακισχιλίους, βύρσας τρισχιλίας, ἵππους πολεμιστὰς ὀκτακοσίους, ὅπλα πάντα· καὶ ταῦτα πράξαντας φίλους εἶναι καὶ συμμάχους. ταχθείσης δὲ ἡμέρας ἐν ᾗ ταῦτα συντελεῖν ἔδει τὰς πόλεις, κατὰ τὰς ὁμολογίας πάντα ἐτέλεσαν. ὡς δὲ ἐπὶ τελευτῆς ἔδει τὴν τῶν ὅπλων παράδοσιν ποιήσασθαι, ὀδυρμός τις εὐγενὴς ἦν καὶ παράστασις ψυχῆς πρὸς ἐλευθερίαν. ἐνέπεσε τοῖς πλήθεσι. διὸ πρὸς ἀλλήλους ἐδεινοπάθουν εἰ γυναικῶν τρόπον γυμνώσουσιν ἑαυτοὺς ὅπλων. μεταμελόμενοι δὲ τοῖς ψηφισθεῖσιν ἀλλήλους κατεμέμφοντο, καὶ πατέρες μὲν υἱοῖς ἐνεκάλουν, παῖδες δὲ γονεῦσι, γυναῖκες δὲ ἀνδράσι. καὶ ἐπὶ τὴν ἐξ ἀρχῆς διάθεσιν ἀναδραμόντες, καὶ τῶν ὅπλων οὐ παραχωρήσαντες, ἀνεκαίνισαν τὸν πρὸς Ῥωμαίους πόλεμον.

31 Ὅτι Τρύφων ἐξ ἰδιώτου βασιλεὺς γεγονὼς ἔσπευδε τὴν δυναστείαν αὐτῷ διὰ δόγματος συγκλητικοῦ βεβαιῶσαι. διόπερ κατασκευάσας Νίκην χρυσῆν ἄγουσαν ὁλκὴν χρυσίνων μυρίων ἐξαπέστειλε πρεσβευτὰς εἰς τὴν Ῥώμην τοὺς ταύτην κομιοῦντας τῷ δήμῳ. ὑπελάμβανε γὰρ τοὺς Ῥωμαίους ἅμα μὲν διὰ τὸ λυσιτελές, ἅμα δὲ διὰ τὸ εὐοιώνιστον εἶναι, προσδέξασθαι τὴν Νίκην, καὶ προσαγορευθῆναι βασιλέα. εὗρε δὲ τὴν σύγκλητον πάνυ πανουργοτέραν ἑαυτοῦ καὶ τοὺς ἀπάτῃ παρακρουομένους συνέσει καταμαρτυροῦσαν. τὸ μὲν γὰρ δῶρον ἐδέξατο καὶ τὴν εὐφημίαν μετὰ τοῦ λυσιτελοῦς ἐτήρησεν, ἀντὶ δὲ Τρύφωνος μεταχρηματίσασα τὴν δόσιν εἰς τὸν ὑπ'

99. *καὶ θεῶν*] *θεῶν* Suidas v. *ἀνηρτημένοι* in ed. Mediolanensi

629. 9. *Τερμήσσιοι* M, *Τερμήσιοι* V 18. *ἦν* post *εὐγενὴς* ponit M, post *ὀδυρμὸς* V 21. *γυμνώσουσιν* M, *γυμνάσουσιν* V 23. *υἱοῖς* Vrsinus in annotatione, *υἱοὺς* MV, *υἱέσιν* ed. Vrsini 34. *χρυσίνων*] *χρυσίων* Suidas 37. *εὐοιώνιστον*] *εὐνόϊστον* M 38. *βασιλέα*] exspectabam aut *βασιλεύς* aut *προσαγορεῦσαι* 40. *παρακρουομένους*] *παρακουομένους* M *καταμαρτυροῦσαν*] *καταμαρτυροῦσαι* M, *καθυπερτεροῦσαν* vel *καταπροτεροῦσαν* Reiskius

αὐτοῦ δολοφονηθέντα βασιλέα τὴν ἐπιγραφὴν ἐποιήσατο. διὰ δὲ ταύτης τῆς πράξεως ἀνέδειξεν ἑαυτὴν μισοπονηροῦσαν ἐπὶ τῇ τοῦ παιδὸς ἀναιρέσει καὶ δωρεὰς ἀσεβῶν ἀνδρῶν οὐ προσδεχομένην.

32 Ὅτι ἧκον εἰς Ἀλεξάνδρειαν οἱ περὶ τὸν Σκιπίωνα τὸν Ἀφρικανὸν πρεσβευταὶ κατασκεψόμενοι τὴν ὅλην βασιλείαν. ὁ δὲ Πτολεμαῖος μετὰ μεγάλης ἀπαντήσεως καὶ παρασκευῆς προσδεξάμενος τοὺς ἄνδρας τάς τε ἑστιάσεις πολυτελεῖς ἐποιεῖτο καὶ τὰ βασίλεια περιάγων ἐπεδείκνυτο 630 καὶ τὴν ἄλλην τὴν βασιλικὴν γάζαν. οἱ δὲ τῶν Ῥωμαίων πρέσβεις ἀρετῇ διαφέροντες τοῖς μὲν βρωτοῖς ὀλίγοις καὶ πρὸς ὑγείαν διατείνουσι χρώμενοι κατεφρόνουν τῆς πολυτελείας, ὡς διαφθειρούσης καὶ ψυχὴν καὶ σῶμα. τῶν δὲ ὑπὸ τοῦ βασιλέως θαυμαζομένων ἐν παρέργῳ τὴν θέαν ὡς οὐδενὸς ἀξίων ποιησάμενοι τὰ θέας ἄξια πρὸς ἀλήθειαν ἐπολυπραγμόνησαν ἀκριβῶς, τῆς πόλεως τὴν θέσιν καὶ τὸ βάρος καὶ τὰς περὶ τὸν Φάρον ἰδιότητας, πρὸς δὲ τούτοις ἀναπλεύσαντες εἰς Μέμφιν τὴν ἀρετὴν τῆς χώρας καὶ τὰς κατὰ τὸν Νεῖλον εὐκαιρίας, τό τε πλῆθος τῶν κατ᾽ Αἴγυπτον πόλεων καὶ τὰς ἀναριθμήτους τῶν οἰκητόρων μυριάδας καὶ τὴν ὀχυρότητα τῆς Αἰγύπτου καὶ τὴν ὅλην τῆς χώρας ὑπεροχήν, ὡς εὖ διάκειται πρὸς ἡγεμονίας ἀσφάλειάν τε καὶ μέγεθος. καὶ θαυμάσαντες τὰ πλήθη τῶν κατοικούντων τὴν Αἴγυπτον καὶ τὰ τῶν τόπων ἐπιτεύγματα, διέλαβον μεγίστην ἡγεμονίαν δύνασθαι συσταθῆναι τυχούσης τῆς βασιλείας ταύτης ἀξίων τῶν ἡγεμόνων. οἱ μὲν οὖν πρεσβευταὶ κατασκεψάμενοι τὰ κατὰ τὴν Αἴγυπτον ἐπὶ Κύπρου κἀκεῖθεν ἐπὶ Συρίας τὴν ἀναγωγὴν ἐποιήσαντο. καθόλου δὲ καὶ τὰ πλεῖστα μέρη τῆς οἰκουμένης ἐπῆλθον, καὶ παρὰ πᾶσι σώφρονα καὶ θαυμαστὴν ποιησάμενοι τὴν ἐπιδημίαν μεγάλης ἀποδοχῆς ἔτυχον, καὶ τὰ πλεῖστα μέρη τῆς οἰκουμένης ἐπεληλυθότες μετ᾽ εὐφημίας ὑπὸ πάντων συμφωνουμένης ἐπανῆλθον. τῶν γὰρ ἐχόντων τὰς ἀμφισβητήσεις οὓς μὲν διηλλάχεισαν ἀλλήλοις, οὓς δ᾽ ἐπεπείκεισαν τὰ δίκαια ποιῆσαι τοῖς ἐγκαλοῦσι, τοὺς δὲ ἀναισχυντοῦντας διὰ τῆς ἀνάγκης κατεστάλκεισαν, τοὺς δὲ δυσδια-

46. δωρεὰς M, δωρεὰ V 47. προσδεχομένην Wesselingius, προσδεχομένη V
630. 57. οἱ δὲ M, οἱ V 58. βρωτοῖς M, βρωτοῖς τοῖς V
62. ἀξίων ποιησάμενοι Reiskius, ἀξίαν ποιησαμένων MV
64. βάρος M Suidas, βάθος V 67. Νεῖλον om. M εὐκαιρίας M Suidas, εὐκαιρείας V 72. τὴν addit M 79. ἐπιδημίαν Reiskius, ἀποδημίαν MV 83. διηλλάχεισαν M, διηλλάγησαν V 84. δ᾽ ἐπεπείκεισαν ed. Wessel., δ᾽ ἐπεπείκησαν V, δὲ πεπείκεσαν M



κρίτους ἀναπεπόμφεσαν ἐπὶ τὴν σύγκλητον. ὡμιληκότες δὲ βασιλεῦσι καὶ δήμοις, καὶ τὴν προϋπάρχουσαν αὐτοῖς φιλίαν πρὸς ἅπαντας ἀνανεωσάμενοι, πρὸς εὔνοιαν τὴν ἡγεμονίαν ἐπηύξησαν, καὶ πάντες ταῖς αἱρέσεσιν οἰκείως διατεθέντες ἐξαπέστειλαν πρεσβευτὰς εἰς τὴν Ῥώμην, καὶ τοὺς περὶ Σκιπίωνα πρέσβεις ἐπῄνεσαν, ὅτι τοιούτους ἄνδρας ἐξέπεμψαν.

33 Ὅτι Βόκχος ὁ κατὰ τὴν Λιβύην βασιλεύων πολλὰ καταμεμψάμενος τοῖς πείσασιν αὐτὸν πολεμεῖν τοῖς Ῥωμαίοις πρέσβεις ἔπεμψε πρὸς τὸν Μάριον, περὶ μὲν τῶν ἡμαρτημένων αἰτούμενος συγγνώμην, ἀξιῶν δὲ φιλίαν συνθέσθαι καὶ πολλὰ κατεπαγγελλόμενος χρήσιμος ἔσεσθαι Ῥωμαίοις. τοῦ δὲ Μαρίου κελεύσαντος περὶ τούτων πρεσβεύειν πρὸς τὴν σύγκλητον, ὁ μὲν βασιλεὺς ἐξαπέστειλεν εἰς τὴν Ῥώμην πρεσβευτὰς περὶ τούτων. ἡ δὲ σύγκλητος αὐτοῖς ἀπόκρισιν ἔδωκεν ἁπάντων τεύξεσθαι τῶν φιλανθρώπων τὸν Βόκχον, ἐὰν Μάριον πείσῃ. τοῦ δὲ Μαρίου σπεύδοντος αἰχμάλωτον λαβεῖν Ἰογόρθαν 631 τὸν βασιλέα, ὑπακούσας ὁ Βόκχος καὶ μεταπεμψάμενος τοῦτον, ὡς περί τινων κοινῇ συμφερόντων διαλεξόμενος, συνέλαβε τὸν Ἰογόρθαν, καὶ δήσας παρέδωκε Λευκίῳ Σύλλᾳ τῷ ταμίᾳ τῷ πρὸς τὴν παράπεμψιν ἐκπεμφθέντι. τῇ δὲ τούτου συμφορᾷ τὴν ἰδίαν σωτηρίαν πορισάμενος διελύθη τῆς παρὰ τῶν Ῥωμαίων τιμωρίας.

34 Ὅτι εἰς τὴν Ῥώμην ἧκον πρεσβευταὶ Μιθριδάτου τοῦ βασιλέως κομίζοντες μεθ᾽ αὑτῶν χρημάτων πλῆθος πρὸς τὴν τῆς συγκλήτου δωροδοκίαν. ὁ δὲ Σατορνῖνος δόξας ἀφορμὴν ἔχειν κατὰ τῆς συγκλήτου, μεγάλην ὕβριν τῇ πρεσβείᾳ ἐνεδείξατο. καὶ τῶν συγκλητικῶν παροξυνάντων τοὺς πρεσβευτὰς καὶ συνεργήσειν ἐπαγγελλομένων, οἱ καθυβρισθέντες ἐπήνεγκαν κρίσιν τῷ Σατορνίνῳ περὶ τῆς εἰς αὐτοὺς ὕβρεως. τοῦ δὲ ἀγῶνος ὄντος δημοσίου καὶ μεγάλου διὰ τὴν τῶν πρεσβευτῶν ἀσυλίαν καὶ τὴν συνήθη παρὰ Ῥωμαίοις [πρὸς τὴν] ὑπὲρ τῶν πρεσβειῶν μισοπονηρίαν· ὁ δὲ Σατορνῖνος θανάτου κατηγορούμενος ὑπὸ τῶν συγκλητικῶν, ὡς ἂν ἐκείνων δικαζόντων τὰς τοιαύτας κρίσεις, εἰς τοὺς μεγίστους ἐνέπεσε φόβους τε καὶ κινδύνους, καὶ διὰ τὸ μέγεθος τῶν ὑποκειμένων ἀγώνων πτήξας κατέφυγεν ἐπὶ τὸν

90. ἀπηύξησαν M 1. ἀξιῶν δὲ] ἀξιῶν καὶ M 6. τεύξεσθαι] τεύξασθαι M φιλανθρώπων Wesselingius, φιλανθρωπιῶν MV
631. 19. τοῦ omisit M 20. μεθ᾽ αὑτῶν] μετ᾽ αὐτῶν MV
21. 26. 30. Σατορνῖνος M, Σατουρνῖνος V 27. διὰ τὴν] διὰ Suidas in ed. Mediolanensi 28. Ῥωμαίοις] τῶν Ῥωμαίων Suidas 29. πρὸς τὴν ὑπὲρ] ὑπὲρ Suidas 34. ἐπὶ — ἔλεον] in his mutatum aliquid ab Vrsino fuisse ipse prodere videtur ad v. 40.

κοινὸν τῶν ἀκληρούντων ἔλεον, καὶ τὴν ἐσθῆτα τὴν πο-
λυτελῆ κατέθετο, πιναρὰν δὲ μεταμφιασάμενος καὶ κόμην
καὶ πώγωνα τρέφων περιήει εἰς τοὺς κατὰ τὴν πόλιν
ὄχλους, καὶ τοῖς μὲν πρὸς τὰ γόνατα πίπτων τοῖς δὲ
ταῖς χερσὶν ἐπιφυόμενος ἐδεῖτο καὶ μετὰ δακρύων καθι-
κέτευε βοηθῆσαι τοῖς ἀκληρήμασι· καταστασιάζεσθαι γὰρ
ἑαυτὸν ἀπεφαίνετο παρὰ πᾶν τὸ δίκαιον ὑπὸ τῆς συγ-
κλήτου, καὶ τοῦτο πάσχειν ἑαυτὸν ἀπεδείκνυε διὰ τὴν
εἰς τὸν δῆμον εὔνοιαν, καὶ τοὺς αὐτοὺς ἔχειν ἐχθροὺς
τε καὶ κατηγόρους καὶ κριτάς. τοῦ δὲ δήμου συνεξαιρο-
μένου ταῖς δεήσεσι πολλαὶ μυριάδες συνέδραμον ἐπὶ τὸ
κριτήριον, καὶ παραδόξως ἀπελύθη. καὶ συνεργὸν ἔχων
τὸν δῆμον πάλιν ἀνεῤῥήθη δήμαρχος.

35 Ὅτι Μάρκος Ἀντώνιος συνθέμενος πρὸς Κρῆτας
εἰρήνην, μέχρι μέν τινος ταύτην ἐτήρουν. μετὰ δὲ ταῦτα
συντιθεμένης βουλῆς ὅπως ἂν μάλιστα τῆς ὠφελείας
προνοήσαιντο, οἱ πρεσβύτατοι καὶ φρονήσει διαφέροντες
συνεβούλευον πρέσβεις ἐκπέμπειν εἰς τὴν Ῥώμην καὶ
περὶ τῶν ἐπιφερομένων ἐγκλημάτων ἀπολογεῖσθαι καὶ
πειρᾶσθαι τὴν σύγκλητον εὐγνώμοσι λόγοις καὶ δεήσεσιν
ἐξιλάσκεσθαι. διόπερ ἀπέστειλαν εἰς τὴν Ῥώμην τριά-
κοντα πρεσβευτὰς τοὺς ἐπιφανεστάτους ἄνδρας. οὗτοι
δὲ κατ' ἰδίαν περιπορευόμενοι τὰς οἰκίας τῶν συγκλητι- 632
κῶν καὶ πᾶσαν δεητικὴν προϊέμενοι φωνὴν ἐξεθεράπευον
τοὺς τὸ συνέδριον συνέχοντας. εἰςαχθέντες δὲ εἰς τὴν
σύγκλητον, καὶ περί τε τῶν ἐγκλημάτων ἐμφρόνως ἀπο-
λογησάμενοι τάς τε ἰδίας εὐεργεσίας καὶ συμμαχίας πρὸς
τὴν ἡγεμονίαν ἀκριβῶς διελθόντες, ἠξίουν αὐτοὺς εἰς
τὴν προγεγενημένην εὔνοιάν τε καὶ συμμαχίαν ἀποκατα-
στῆναι. ἡ δὲ σύγκλητος ἀσμένως τοὺς λόγους προςδεξα-
μένη δόγμα ἐπεβάλετο κυροῦν δι' οὗ τῶν ἐγκλημάτων
τοὺς Κρῆτας ἀπολύουσα φίλους καὶ συμμάχους τῆς ἡγε-
μονίας ἀνηγόρευεν· ἄκυρον δὲ τὸ δόγμα ἐποίησε Λέντλος

36. πιναρὰν] πικρὰν M κόμην Toupius Emend. in Suidam vol. II. p. 205. collato simili loco supra p. 609. 65., κοινὴν MV 40. ἀκληρήμασι] aliter in Vrsini libro scriptum fuisse annotatio eius ostendit 41. ἀπεφαίνετο M Suidas, ἐπεφαίνετο V ὑπὸ] ἀπὸ M 44. συνεξαιρομένου] συνεξαιρουμένου MV 51. Μάρκος Vrsinus, Λεύκιος MV 54. συντιθεμένης] nonne προτιθεμένης?

632. 62. δεητικὴν Wesselingius, δεκτικὴν MV 65. ἀπολογησάμενοι Vrsinus, ὁμολογησάμενοι MV 66. πρὸς τὴν ἡγεμονίαν] aliter scriptum fuisse videtur in libro Vrsini 67. αὐτοὺς] αὐτοὺς MV 70. ἐπεβάλετο Schaeferus Mélet. p. 103., ἐξέβαλε τὸ MV 73. Λέντλος M, Λέντουλος V



ὁ ἐπικαλούμενος Σπινθήρ. οἱ δὲ Κρῆτες ἀπηλλάγησαν.
ἡ δὲ σύγκλητος, περὶ τῶν Κρητῶν πολλάκις λόγου γε-
νομένου ὅτι κοινωνοῦσι τῆς λῃστείας τοῖς πειραταῖς,
δόγμα ἔγραψαν ὅπως οἱ Κρῆτες πάντα τὰ πλοῖα ἕως
τετρασκάλμου ἀναπέμψωσιν εἰς Ῥώμην καὶ τριακοσίους
ὁμήρους δῶσι τοὺς ἐπιφανεστάτους, ἐκπέμψωσι δὲ καὶ
Λασθένην καὶ Πανάρην, κοινῇ δὲ πάντες ἐκτίσωσιν ἀρ-
γυρίου τάλαντα τετρακιςχίλια. οἱ δὲ Κρῆτες πυθόμενοι
τὰ δεδογμένα τῇ συγκλήτῳ, περὶ τῶν προςηγγελμένων
ἐβουλεύοντο. καὶ οἱ μὲν φρονήσει διαφέροντες ἔφρασαν
δεῖν πάντα ποιεῖν τὰ προςταττόμενα. οἱ δὲ περὶ τὸν
Λασθένην, τοῖς ἐγκλήμασιν ὄντες ἔνοχοι καὶ φοβούμενοι
μὴ ἀναπεμφθέντες εἰς τὴν Ῥώμην τιμωρίας τύχωσιν,
ἀνέσειον τὰ πλήθη παρακαλοῦντες τὴν ἐξ αἰῶνος παρα-
δεδομένην ἐλευθερίαν διαφυλάττειν.

77. τετρασκάλμου Suidas, τετρασκάλου MV 86. μήτι τιμωρίας τύχωσιν Suidas 88. τὴν om. Suidas in ed. Mediol.

## EXCERPTVM EX TITVLO περὶ διαδοχῆς βασιλέων.

Ὅτι ὁ Φάλαρις ἰδὼν περιστερῶν πλῆθος ὑφ' ἑνὸς ἱέρακος διωκόμενον ἔφη Ὁρᾶτε ὦ ἄνδρες τοσοῦτο πλῆθος ὑφ' ἑνὸς διωκόμενον διὰ δειλίαν; ἐπείτοι γε εἰ τολμήσειαν ἐπιστρέψαι, ῥᾳδίως τοῦ διώκοντος ἂν περιγένοιντο. καὶ ἐκ τούτου τοῦ λόγου ἀπέβαλε τὴν δυναστείαν, ὡς γέγραπται ἐν τῷ περὶ διαδοχῆς βασιλέων.

Exc. Vat. p. 27. 9. Fortasse ex Diodoro sua sumpsit Tzetzes Chil. V. 957.

## EXCERPTVM EX TITVLO περὶ γάμων.

Ad locum de Diegylide inter Exc. de Virt. et Vit. p. 595. 7. scribitur in margine ζήτει ἐν τῷ περὶ γάμων.

# FRAGMENTA.

## L. VI. — X.

### I.

*Τῶν βίβλων ἡμῖν ἓξ μὲν αἱ πρῶται περιέχουσι τὰς πρὸ τῶν Τρωικῶν πράξεις καὶ μυθολογίας, καὶ τούτων αἱ μὲν προηγούμεναι τρεῖς τὰς βαρβαρικάς, αἱ δ' ἑξῆς σχεδὸν τὰς τῶν Ἑλλήνων ἀρχαιολογίας· ἐν δὲ ταῖς μετὰ ταύτας ἕνδεκα τὰς ἀπὸ τῶν Τρωικῶν κοινὰς πράξεις ἀναγεγράφαμεν ἕως τῆς Ἀλεξάνδρου τελευτῆς. ἐν δὲ ταῖς ἑξῆς εἴκοσι καὶ τρισὶ βίβλοις τὰς λοιπὰς ἁπάσας κατετάξαμεν μέχρι τῆς ἀρχῆς τοῦ συστάντος πολέμου Ῥωμαίοις πρὸς Κελτούς, καθ' ὃν ἡγούμενος Γάϊος Ἰούλιος Καῖσαρ* etc.

Diodorus I. 4.

*Ἐν τεσσαράκοντα βίβλοις περιειληφότες τὴν πραγματείαν ἐν μὲν ἓξ ταῖς πρώταις ἀνεγράψαμεν τὰς πρὸ τῶν Τρωικῶν πράξεις τε καὶ μυθολογίας.*

Diodori Exc. Vatic. p. 143.

*Κατὰ μὲν τὰς προειρημένας ἓξ βίβλους* (septimo ad duodecimum) *ἀνεγράψαμεν τὰς ἀπὸ τῶν Τρωικῶν πράξεις ἕως εἰς τὸν ὑπὸ τῶν Ἀθηναίων ψηφισθέντα πόλεμον ἐπὶ Συρακοσίους.*

Diodorus XIII. 1.

*Ἐν μὲν γὰρ* (addiderim *ἑπτὰ*) *ταῖς πρὸ ταύτης βίβλοις ἀνεγράψαμεν τὰς ἀπὸ Τροίας ἁλώσεως πράξεις ὡς ἐπὶ τὴν κατάλυσιν τοῦ τε Πελοποννησιακοῦ πολέμου καὶ τῆς Ἀθηναίων ἡγεμονίας, διελθόντες ἔτη ἑπτακόσια ἑβδομήκοντα καὶ ἐννέα.*

Diodorus XIV. 2.

*Ἐν μὲν οὖν ταῖς προειρημέναις ὀκτωκαίδεκα βίβλοις ἀνεγράψαμεν τὰς ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων πράξεις*

τὰς γεγενημένας ἐν τοῖς γνωριζομένοις μέρεσι τῆς οἰκουμένης ἄχρι πρὸς τὸν ἐνιαυτὸν τὸν πρὸ τῆς Ἀγαθοκλέους τυραννίδος.

Diodorus XIX. 1. conf. XX. 2.

Τὴν ἀρχὴν τοῦ Κελτικοῦ πολέμου, ἣν τελευτὴν πεποιήμεθα τῆς ἱστορίας.

Diodorus I. 5.

His omisi addere locos Euagrii, Photii, Suidae vel Eudociae, inter testimonia (Annotat. vol. II. Append. p. CXXXII.) positos, qui aut repetunt haec aut dicunt quod per se intelligitur.

## II.

Περὶ θεῶν τοίνυν διττὰς οἱ παλαιοὶ τῶν ἀνθρώπων 633 τοῖς μεταγενεστέροις δεδώκασιν ἐννοίας· τοὺς μὲν γὰρ ἀϊδίους καὶ ἀφθάρτους εἶναί φασιν, οἷον ἥλιον καὶ σελήνην καὶ τὰ ἄλλα τὰ κατ' οὐρανὸν ἄστρα, πρὸς δὲ τούτοις ἀνέμους καὶ τοὺς ἄλλους τοὺς τῆς ὁμοίας φύσεως τούτοις τετευχότας· τούτων γὰρ ἕκαστον ἀΐδιον ἔχειν τὴν γένεσιν καὶ τὴν διαμονήν. ἑτέρους δὲ λέγουσιν ἐπιγείους γενέσθαι θεούς, διὰ δὲ τὰς εἰς ἀνθρώπους εὐεργεσίας ἀθανάτου τετυχηκότας τιμῆς καὶ δόξης, οἷον Ἡρακλέα, Διόνυσον, Ἀρισταῖον, καὶ τοὺς ἄλλους τοὺς τοιούτους ὁμοίως. περὶ δὲ τῶν ἐπιγείων θεῶν πολλοὶ καὶ ποικίλοι παραδέδονται λόγοι παρὰ τοῖς ἱστορικοῖς τε καὶ μυθογράφοις· καὶ τῶν μὲν ἱστορικῶν Εὐήμερος ὁ τὴν ἱερὰν ἀναγραφὴν ποιησάμενος ἰδίως ἀνέγραψε, τῶν δὲ μυθολόγων Ὅμηρος καὶ Ἡσίοδος καὶ Ὀρφεὺς καὶ ἕτεροι τοιοῦτοι τερατωδεστέρους μύθους περὶ θεῶν πεπλάκασιν. ἡμεῖς δὲ τὰ παρ' ἀμφοτέροις ἀναγεγραμμένα πειρασόμεθα συντόμως ἐπιδραμεῖν στοχαζόμενοι τῆς συμμετρίας. Εὐήμερος μὲν οὖν, φίλος γεγονὼς Κασσάνδρου βασιλέως καὶ διὰ τοῦτον ἠναγκασμένος τελεῖν βασιλικάς τινας χρείας καὶ μεγάλας ἀποδημίας, φησὶν ἐκτοπισθῆναι κατὰ τὴν μεσημβρίαν εἰς τὸν Ὠκεανόν. ἐκπλεύσαντα δὲ αὐτὸν ἐκ τῆς εὐδαίμονος Ἀραβίας ποιήσασθαι τὸν πλοῦν δι' Ὠκεανοῦ πλείους ἡμέρας, καὶ προσενεχθῆναι νήσοις πελαγίαις, ὧν μίαν ὑπερέχειν τὴν ὀνομαζομένην Πάγχαιαν, ἐν ᾗ τεθεᾶσθαι τοὺς ἐνοικοῦντας Παγχαίους εὐσεβείᾳ διαφέροντας καὶ τοὺς θεοὺς τιμῶντας μεγαλοπρεπεστάταις θυσίαις καὶ ἀναθήμασιν ἀξιολόγοις ἀργυροῖς τε καὶ χρυσοῖς. εἶναι δὲ τὴν νῆσον ἱερὰν θεῶν, καὶ ἕτερα πλείω θαυμαζόμενα κατά τε τὴν ἀρχαιότητα καὶ τὴν τῆς κατασκευῆς πολυτεχνίαν, περὶ ὧν τὰ



κατὰ μέρος ἐν ταῖς πρὸ ταύτης βίβλοις ἀναγεγράφαμεν. εἶναι δ' ἐν αὐτῇ κατά τινα λόφον ὑψηλὸν καθ' ὑπερβολὴν ἱερὸν Διὸς Τριφυλίου, καθιδρυμένον ὑπ' αὐτοῦ καθ' ὃν καιρὸν ἐβασίλευσε τῆς οἰκουμένης ἁπάσης ἔτι κατὰ ἀνθρώπους ὤν. ἐν τούτῳ τῷ ἱερῷ στήλην εἶναι χρυσῆν, ἐν ᾗ τοῖς Παγχαίοις γράμμασιν ὑπάρχειν γεγραμμένας τάς τε Οὐρανοῦ καὶ Κρόνου καὶ Διὸς πράξεις κεφαλαιωδῶς. μετὰ ταῦτά φησι πρῶτον Οὐρανὸν
634 βασιλέα γεγονέναι, ἐπιεικῆ τινα ἄνδρα καὶ εὐεργέτην καὶ τῆς τῶν ἄστρων κινήσεως ἐπιστήμονα, ὃν καὶ πρῶτον θυσίαις τιμῆσαι τοὺς οὐρανίους θεούς· διὸ καὶ Οὐρανὸν προσαγορευθῆναι. υἱοὺς δὲ αὐτῷ γενέσθαι ἀπὸ γυναικὸς Ἑστίας Τιτᾶνα καὶ Κρόνον, θυγατέρας δὲ Ῥέαν καὶ Δήμητραν. Κρόνον δὲ βασιλεῦσαι μετὰ Οὐρανόν, καὶ γήμαντα Ῥέαν γεννῆσαι Δία καὶ Ἥραν καὶ Ποσειδῶνα. τὸν δὲ Δία διαδεξάμενον τὴν βασιλείαν τοῦ Κρόνου γῆμαι Ἥραν καὶ Δήμητραν καὶ Θέμιν. ἐξ ὧν παῖδας ποιήσασθαι Κουρῆτας μὲν ἀπὸ τῆς πρώτης, Περσεφόνην δὲ ἐκ τῆς δευτέρας, Ἀθηνᾶν δὲ ἀπὸ τῆς τρίτης. ἐλθόντα δὲ εἰς Βαβυλῶνα ἐπιξενωθῆναι Βήλῳ· καὶ μετὰ ταῦτα εἰς τὴν Πάγχαιαν νῆσον πρὸς Ὠκεανῷ κειμένην παραγενόμενον Οὐρανοῦ τοῦ ἰδίου προπάτορος βωμὸν ἱδρύσασθαι. κἀκεῖθεν διὰ Συρίας ἐλθεῖν πρὸς τὸν τότε δυνάστην Κάσιον· ἐξ οὗ καὶ τὸ Κάσιον ὄρος. ἐλθόντα δὲ εἰς Κιλικίαν πολέμῳ νικῆσαι Κίλικα τοπάρχην. καὶ ἄλλα δὲ πλεῖστα ἔθνη ἐπελθόντα παρ' ἅπασι τιμηθῆναι καὶ θεὸν ἀναγορευθῆναι.

Ταῦτα καὶ τὰ τούτοις παραπλήσια ὡς περὶ θνητῶν ἀνδρῶν περὶ τῶν θεῶν διελθὼν ἐπιφέρει λέγων, Καὶ περὶ μὲν Εὐημέρου τοῦ συνταξαμένου τὴν ἱερὰν ἀναγραφὴν ἀρκεσθησόμεθα τοῖς ῥηθεῖσι· τὰ δὲ παρὰ τοῖς Ἕλλησι μυθολογούμενα περὶ θεῶν ἀκολούθως Ἡσιόδῳ καὶ Ὁμήρῳ καὶ Ὀρφεῖ πειρασόμεθα συντόμως ἐπιδραμεῖν.

Eusebius Praep. Euang. II. p. 59.

## III.

Περὶ ὧν (θεῶν) ἐν ταῖς συγγραφαῖς αὐτοῦ λέγει καὶ ὁ Διόδωρος ὁ σοφώτατος ταῦτα, ὅτι ἄνθρωποι γεγόνασιν οἱ θεοί, οὕστινας οἱ ἄνθρωποι ὡς νομίζοντες δι' εὐεργεσίαν ἀθανάτους προσηγόρευον. τινὰς δὲ

**633. 37.** *Τριφυλίου* **et 49.** *Τιτᾶνα* **et 59. bis** *Κάσιον* **Wesselingius: libri** *Τριφυλαίου* **et** *Πᾶνα* **et** *Κάσσιον*

καὶ ὀνομάτων προςηγορίας ἐσχηκέναι καὶ κρατήσαντας χώρας.

Io. Malala Chronogr. p. 64.

IV.

*Διόδωρος δὲ λέγει κατὰ μυθικὴν ἱστορίαν Ξάνθον καὶ Βαλίον Τιτᾶνας εἶναι πρότερον, βοηθῆσαι δὲ τῷ Διΐ, Ξάνθον μὲν Ποσειδῶνος ἑταῖρον ὄντα, Βαλίον δὲ Διός. καὶ ἐν τῇ μάχῃ ἀξιῶσαι μεταθέσθαι τὴν μορφήν, οἷα αἰδουμένους ὁρᾶσθαι ὑπὸ τῶν ὁμογενῶν Τιτάνων, καὶ γενέσθαι τὴν αὐτῶν ἀξίωσιν· καὶ εἶναι τούτους τοὺς τῷ Πηλεῖ δοθέντας. διό φησι καὶ Ξάνθος μαντεύεται τῷ Ἀχιλλεῖ τὸν θάνατον.*

Eustathius ad Il. *T.* p. 1190.

V.

*Saturnum Pherecydes ante omnes refert corona-* 635
*tum, Iovem Diodorus post devictos Titanas hoc munere a caeteris honoratum: dat et Priapo taenias idem et Ariadnae sertum ex auro et Indicis gemmis Vulcani opus, Liberi munus ac postea sidus.*

Tertullianus de Corona vol. IV. p. 347. ed. Seml. Admirandum vero, si Diodori haec sunt, nil eis simile reperiri III. 61. IV. 6. 61. V. 51.

VI.

*Κατέσχεν οὖν ἡ βασιλεία ἤτοι τοπαρχία τῶν Ἀργείων ἔτη φμθʹ, καθὼς καὶ Διόδωρος ὁ σοφώτατος συνεγράψατο.*

Io. Malala Chron. p. 83.

VII.

*Τὸ τελευταῖον πολλαῖς γενεαῖς ὕστερον ἐκ τῆς Ἰταλίας τὸ τῶν Σικελῶν ἔθνος πανδημεὶ περαιωθὲν εἰς τὴν Σικελίαν τὴν ὑπὸ τῶν Σικανῶν ἐκλειφθεῖσαν χώραν κατῴκησαν. ἀεὶ δὲ τῇ πλεονεξίᾳ προβαινόντων τῶν Σικελῶν, καὶ τὴν ὅμορον πορθούντων, ἐγένοντο πόλεμοι πλεονάκις αὐτοῖς πρὸς τοὺς Σικανούς, ἕως συνθήκας ποιησάμενοι συμφώνους ὅρους ἔθεντο τῆς χώρας· περὶ ὧν τὰ κατὰ μέρος ἐν τοῖς οἰκείοις χρόνοις ἀναγράψομεν.*



Diodorus V. 6. Cuius verba in confinio librorum sexti et septimi posui, quod nescirem quamnam Diodorus sententiam sequutus esset in temporibus Siculorum in Siciliam transitus definiendis: quem teste Dionysio I. 22. Hellanicus tertia ante bellum Troianum aetate, Philistus octoginta ante illud bellum annis ponebat, Thucydides autem VI. 2. tribus tantum saeculis Graecorum in Siciliam adventu priorem perhibet.

VIII.

*Καὶ ὁ Ὀρφεὺς ἰσόχρονος τῷ Ἡρακλεῖ ὑπῆρχε,*
*πρὸ χρόνων ὄντες ἑκατὸν τοῦ Τρωικοῦ πολέμου.*
*ὡς δὲ Ὀρφεὺς ἐν Λιθικοῖς περὶ αὐτοῦ μοι λέγει,*
*Ἑλένου τι βραχύτερον ὕστερον εἶναι λέγει,*
*τούτου μιᾷ δὲ γενεᾷ Ὅμηρος ὑστερίζει,*
*ὁ κατὰ Διονύσιον ἄνδρα τὸν κυκλογράφον*
*ἐπὶ τῶν δύο στρατειῶν λεγόμενος ὑπάρχειν,*
*Θηβαϊκῆς Ἑλλήνων τε τῆς διὰ τὴν Ἑλένην.*
*Διόδωρός τε σύντροχα λέγει Διονυσίῳ,*
*καὶ ἕτεροι μυρίοι δέ.*

Tzetzes Chil. XII. 179. Qui Dionysii hanc sententiam memorat etiam ad Hesiodi O. p. 15. ed. Gaisf., ex Proculo sumens p. 6. extr., τὸν παλαιὸν δὲ Ὅμηρον Διονύσιος ὁ κυκλογράφος φησὶν ἐπ᾽ ἀμφοτέρων ὑπάρχειν τῶν Θηβαϊκῶν στρατειῶν καὶ τῆς Ἰλίου ἁλώσεως.

IX.

*Τρίτην δ᾽ εἷλε* (Eumachus) *Μεσχέλαν μεγίστην οὖσαν, ᾠκισμένην δὲ τὸ παλαιὸν ὑπὸ τῶν ἐκ Τροίας ἀνακομιζομένων Ἑλλήνων, περὶ ὧν ἐν τῇ τρίτῃ βίβλῳ προειρήκαμεν.*

Diodorus XX. 57. Vbi pro τρίτῃ numero absurdo rescribendum videtur ἑβδόμῃ.

X.

*Οἱ Ἡρακλεῖδαι κατὰ τὰς ὁμολογίας ἀπέστησαν τῆς καθόδου καὶ τὴν εἰς Τρικόρυθον ἐπάνοδον ἐποιήσαντο. μετὰ δέ τινας χρόνους Λικύμνιος μὲν μετὰ τῶν παίδων καὶ Τληπολέμου τοῦ Ἡρακλέους, ἑκουσίως τῶν Ἀργείων αὐτοὺς προςδεξαμένων, ἐν Ἄργει κατῴκησαν. οἱ δ᾽ ἄλλοι πάντες ἐν Τρικορύθῳ κατοικήσαντες, ὡς ὁ πεντηκονταέτης χρόνος διῆλθε, κατῆλθον εἰς Πελοπόννησον· ὧν τὰς*

*πράξεις ἀναγράψομεν, ὅταν εἰς ἐκείνους τοὺς χρόνους παραγενηθῶμεν.*

Diodorus IV. 58.

## XI.

*Φασὶ Θετταλὸν μετὰ ταῦτα ἐπανελθεῖν εἰς Ἰωλκόν, ἐν ᾗ καταλαβόντα προσφάτως Ἄκαστον τὸν Πελίου τετελευτηκότα παραλαβεῖν κατὰ γένος προσήκουσαν τὴν βασιλείαν, καὶ τοὺς ὑφ' ἑαυτὸν τεταγμένους ἀφ' ἑαυτοῦ προσαγορεῦσαι Θετταλούς. οὐκ ἀγνοῶ δὲ διότι περὶ τῆς τῶν Θετταλῶν προσηγορίας οὐ ταύτην μόνην τὴν ἱστορίαν ἀλλὰ καὶ διαφώνους ἑτέρας παραδεδόσθαι συμβέβηκε· περὶ ὧν ἐν οἰκειοτέροις μνησθησόμεθα καιροῖς.*

Diodorus IV. 55.

## XII.

*Τούτων ἡμῖν διευκρινημένων λείπεται περὶ τῆς Κορινθίας καὶ Σικυωνίας εἰπεῖν ὃν τρόπον ὑπὸ Δωριέων κατῳκίσθησαν. τὰ γὰρ κατὰ τὴν Πελοπόννησον ἔθνη σχεδὸν πάντα πλὴν Ἀρκάδων ἀνάστατα συνέβη γενέσθαι κατὰ τὴν κάθοδον τῶν Ἡρακλειδῶν. οἱ τοίνυν Ἡρακλεῖδαι κατὰ τὴν διαίρεσιν ἐξαίρετον ποιησάμενοι τὴν Κορινθίαν καὶ τὴν ταύτης πλησιόχωρον διεπέμψαντο πρὸς τὸν Ἀλήτην, παραδιδόντες αὐτῷ τὴν προειρημένην χώραν. ἐπιφανὴς δὲ ἀνὴρ γενόμενος καὶ τὴν Κόρινθον αὐξήσας ἐβασίλευσεν ἔτη λή. μετὰ δὲ τὴν τούτου τελευτὴν ὁ πρεσβύτατος ἀεὶ τῶν ἐκγόνων ἐβασίλευσεν μέχρι τῆς Κυψέλου τυραννίδος, ἥτις τῆς καθόδου τῶν Ἡρακλειδῶν ὑστερεῖ ἔτεσι υμζ'. καὶ πρῶτος μὲν παρ' αὐτοῖς διεδέξατο τὴν βασιλείαν Ἰξίων ἔτη λή· μεθ' ὃν ἦρξεν Ἀγέλας ἔτη λζ', μετὰ δὲ τούτους Προῦμνις ἔτη λέ, καὶ Βάκχις ὁμοίως τὸν ἴσον χρόνον, γενόμενος ἐπιφανέστατος τῶν πρὸ αὐτοῦ· διὸ καὶ συνέβη τοὺς μετὰ ταῦτα βασιλεύσαντας οὐκέτι Ἡρακλείδας ἀλλὰ Βακχίδας προσαγορεύεσθαι. μετὰ τοῦτον Ἀγέλας μὲν ἔτη λ', Εὔδαμος δὲ ἔτη κέ, Ἀριστομήδης ε' καὶ λ'. οὗτος δὲ τελευτήσας ἀπέλιπεν υἱὸν Τελέστην παῖδα τὴν ἡλικίαν, οὗ τὴν κατὰ γένος βασιλείαν ἀφείλατο θεῖος ὢν καὶ ἐπίτροπος Ἀγήμων, ὃς ἦρξεν ἔτη ις'. μετὰ τοῦτον κατέσχεν Ἀλέξανδρος ἔτη κέ. τοῦτον ἀνελὼν Τελέστης ὁ στερηθεὶς τῆς πατρῴας ἀρχῆς ἦρξεν ἔτη ιβ'. τούτου δ' ὑπὸ τῶν συγγενῶν ἀναιρεθέντος Αὐτομένης μὲν ἦρξεν ἐνιαυτόν, οἱ δ' ἀπὸ Ἡρακλέους Βακχίδαι πλείους ὄντες διακοσίων κατέσχον τὴν ἀρχήν, καὶ κοινῇ μὲν προειστήκεισαν τῆς πόλεως ἅπαντες, ἐξ αὐτῶν δὲ ἕνα κατ' ἐνιαυτὸν ᾑροῦντο πρύτανιν, ὃς τὴν τοῦ βασιλέως εἶχε τάξιν, ἐπὶ ἔτη Ϟ'*
636*μέχρι τῆς Κυψέλου τυραννίδος, ὑφ' ἧς κατελύθησαν.*

G. Syncellus Chron. p. 179. et Eusebius p. 163. s.

635. 22. *λή*] XXXV computatio quae apud Eusebium subsequitur  25. *λή*] XXXVI eadem  26. *Προῦμνις* Wesselingius, libri *Πρύμνης*: iidem *Βάκχης* ab eodem correctum  32. *Εὔδαμος*] *Eudemus* Eusebius



## XIII.

*Ἐκλήθη Μουνύχιον, ὥς φησιν ὁ Διόδωρος παραφέρων τὰ Ἑλλανίκου, λέγων ὡς ὅτι Θρᾷκές ποτε στρατεύσαντες κατὰ τῶν οἰκούντων Ὀρχομενὸν τὸν Μινύειον τῆς Βοιωτίας ἐξέβαλλον* (l. *ἐξέβαλον*) *αὐτοὺς ἐκεῖθεν· οἱ δὲ ἐξαναστάντες ἦλθον εἰς Ἀθήνας ἐπὶ Μουνύχου βασιλέως. ὁ δὲ ἐπέτρεψεν αὐτοῖς οἰκῆσαι τὸν τόπον τὸν περὶ τὴν Μουνυχίαν, ὅςτις ἐπωνομάσθη παρ' αὐτῶν εἰς τιμὴν τοῦ βασιλέως.*

Vlpianus ad Demosth. pro cor. p. 73. C.

## XIV.

[*Lacedaemoniorum reges e Diodori libris.*] *Quoniam a rebus Troianis usque ad primam Olympiadem difficilis temporum notatio est, propterea quod eo intervallo neque Athenis neque aliis in urbibus annui magistratus fuerunt, idcirco nos ad eam rem utemur Lacedaemoniorum regibus. a Troiae exitio ad primam Olympiadem lapsi sunt, uti Atheniensis Apollodorus ait, anni octo et quadringenti: quorum octoginta numerantur usque ad Heraclidarum descensum, reliqui occupantur a Lacedaemoniorum regibus, Procle, Eurystheo, horumque posteris. nos vero singulos ex his familiis* reges *percenseamus usque ad primam Olympiadem. Eurystheus regnum exorsus est anno*

1. — 4. Haec ex Diodori potius I. 4. descripsisse Eusebium, quam de suo posuisse nihil erat cur sumeret Maius  8. *octo et quadringenti*] Codex arm. CCCVIII, mendosa scriptura propter notarum similitudinem. Superius tamen cap. XXXI scribuntur CCCCVII. MAI.  11. *Eurystheo*] Ita scribit Eusebius bis etiam in posteriore libro. Sed *Eurysthenes* dicitur a Pausania III. 1, apud quem geminorum fratrum Proclis et Eurysthenis historia legenda est. MAI.

*post res Troianas octogesimo, tenuitque annis duobus supra quadraginta. post eum Agis anno uno, Echestratus annis triginta et uno: quem excepit Labotas annis septem cum triginta, tum Dorysthus annis undetriginta: his successit Agesilaus annis quatuor cum quadraginta, Archelaus annis sexaginta, Teleclus annis quadraginta, Alcamenes denique annis octo cum triginta. in huius imperantis anno decimo prima Olympias comperitur, qua vicit stadium Coroebus Eleus. ex altera pariter domo regnaverunt Procles primo annis quinquaginta uno minus: tum Prytanis annis quinquaginta uno minus: deinde Eunomius annis quinque cum quadraginta: deinde Chariclus annis sexaginta: postea Nicander annis duobus de quadraginta: Theopompus annis septem et quadraginta. in huius item decimo anno prima Olympias comperitur. summa temporis a Troia capta usque ad descensum Heraclidarum anni sunt octoginta.*

Eusebius p. 166. s.

## XV.

[*Ex Diodori libris breviter de temporibus maria imperio tenentium.*] *Maris imperium post Troianum bellum tenuerunt*

I. *Lydi* qui *et Maeones annis XCII.* (Syncellus p. 172. B.)
II. *Pelasgi annis LXXXV.* (Idem p. 180. D.)
III. *Thraces annis LXXIX.* (Idem p. 181. B.)
IV. *Rhodii annis XXIII.* (Idem ibidem.)
V. *Phryges annis XXV.* (Idem ibidem.)
VI. *Cyprii annis XXXIII.*

16. *triginta et uno*] Eusebius ter inferius XXXVII. MAI. XXXV ponit computatio singulorum regum: cui numero respondet annorum quos universi regnasse ibidem dicuntur summa CCCXXV. 17. *Dorysthus*] Pausanias *Doryssus.* MAI. 19. *Archelaus*] *Archesilaus* ed. Maii: sed *Archelaus* scriptum in computatione et libro posteriore p. 254. 20. *octo cum triginta*] Eusebius ter inferius XXXVII. MAI. XXXVII computatio 21. *decimo*] Eusebius tamen in posteriore libro ad annum MCCXL primam olympiadem collocat in anno Alcamenis XXXVII. MAI. 24. *quinquaginta uno minus*] Eusebius inferius LI. MAI. Numerum LI in computatione Procli tributum confirmat posita deinde annorum quibus Proclidae universi regnarunt summa CCXC. 25. *Eunomius*] Pausanias scribit *Eunomum.* MAI. 26. *Chariclus*] Pausanias scribit *Charillum.* MAI. *Charicles* computatio

VI. Hieronymus ad annum MCL scribit annos XXXII Cypriorum maria tenentium. MAI.



VII. *Phoenices annis XLV.*
VIII. *Aegyptii annis* . .
IX. *Milesii annis* XVIII.
X. Cares *annis* LXI.
XI. *Lesbii annis* LXVIII.
XII. *Phocenses annis XLIV.* (Syncellus p. 239. B., ubi codices Parisini duo Φωκιεῖς i. e. Φωκαεῖς, quod idem reddendum Eusebio hic et libro posteriori p. 331.)
XIII. *Samii annis* . .
XIV. *Lacedaemonii annis II.* (Sync. p. 238. C.)
XV. *Naxii annis X.* (Sync. p. 247. B.)
XVI. *Eretrienses annis XV.* (Sync. ibidem.)
XVII. *Aeginetae annis X. usque ad Xerxis transmissionem.* (Sync. ibidem.)

Eusebius p. 168. s.

## XVI.

*Τὸ τελευταῖον μετὰ τὴν κάθοδον τῶν Ἡρακλειδῶν Ἀργεῖοι καὶ Λακεδαιμόνιοι πέμποντες ἀποικίας ἄλλας τέ τινας νήσους ἔκτισαν καὶ ταύτης τῆς νήσου* (Cretae) *κατακτησάμενοι πόλεις τινὰς ᾤκησαν ἐν αὐταῖς· περὶ ὧν τὰ κατὰ μέρος ἐν τοῖς ἰδίοις χρόνοις ἀναγράψομεν.*

Diodorus V. 80. Respicit librum septimum. Tempora harum coloniarum scribunt Ephorus apud Strabonem X. p. 737. C., Conon Narratione 47.

VII. Ita et Hieronymus ad annum MCLXXIV. MAI.

VIII. Ne apud Hieronymum quidem ad annum MCCXXXII scribitur quot annis Aegyptii mari potiti sint. MAI.

IX. Notam numeralem XVIII, qua caret codex arm. supplemus heic ex Hieronymo ad annum MCCLXVIII. MAI.

X. Lacuna est in codice hoc loco, nec quicquam superfuit praeter vocabulum *annis*. Supplementa sumpsimus e posteriore libro ad annum MCCLXXXVI. MAI.

XI. Nota numerali caret codex arm. quam supplemus ex Hieronymo ad annum MCCCXLIV. MAI.

XIII. Ne in posteriore quidem libro ad annum MCCCCLXXXVI. scribitur numerus annorum, quibus Samii maria tenuerunt. MAI.

XIV. Ita etiam in posteriore libro ad annum MDIII. Verum Syncellus scribit *annos XII.* MAI.

XVI. Sic etiam in posteriore libro ad annum MDXIV. At Syncellus scribit *annos VII.* MAI.

XVII. *Decem anni* scribuntur etiam in posteriore libro ad annum MDXXXI, et a Syncello. Textus tamen Hieronymi editus habet *annos XX.* MAI. *Xerxes*] Codex arm. heic *Alexandri*; sed idem in posteriore libro *Xerxis*, quae vera lectio est. MAI.

## XVII.

*Μετὰ δὲ τὴν Τροίας ἅλωσιν Κᾶρες αὐξηθέντες ἐπὶ πλεῖον ἐθαλαττοκράτησαν, καὶ τῶν Κυκλάδων νήσων κρατήσαντες τινὰς μὲν ἰδίᾳ κατέσχον καὶ τοὺς ἐν αὐταῖς κατοικοῦντας Κρῆτας ἐξέβαλον, τινὰς δὲ κοινῇ μετὰ τῶν προενοικούντων Κρητῶν κατῴκησαν. ὕστερον δὲ τῶν Ἑλλήνων αὐξηθέντων συνέβη τὰς πλείους τῶν Κυκλάδων νήσων οἰκισθῆναι καὶ τοὺς βαρβάρους Κᾶρας ἐξ αὐτῶν ἐκπεσεῖν· περὶ ὧν* (adde *τὰ*) *κατὰ μέρος ἐν τοῖς οἰκείοις χρόνοις ἀναγράψομεν.*

Diodorus V. 84.

## XVIII.

*Περὶ Ῥωμύλου καὶ Ῥέμου Διονύσιος ὁ Ἁλικαρνασεὺς ἱστορεῖ, Δίων τε καὶ Διόδωρος.*

Tzetzes schol. ad Exeges. Iliad. p. 141. 21.

## XIX.

*Ἔνιοι μὲν οὖν τῶν συγγραφέων πλανηθέντες ὑπέλαβον τοὺς περὶ τὸν Ῥωμύλον ἐκ τῆς Αἰνείου θυγατρὸς γεννηθέντα κεκτικέναι τὴν Ῥώμην· τὸ δ' ἀληθὲς οὐχ οὕτως ἔχει, πολλῶν μὲν ἐν τῷ μεταξὺ χρόνῳ τοῦ τε Αἰνείου καὶ Ῥωμύλου γεγονότων βασιλέων, ἐκτισμένης δὲ τῆς πόλεως κατὰ τὸ δεύτερον ἔτος τῆς ζ' Ὀλυμπιάδος. αὕτη γὰρ ἡ κτίσις ὑστερεῖ τῶν Τρωικῶν ἔτεσι τρισὶ πλείω τῶν υ' καὶ λ'. Αἰνείας γὰρ μετὰ τὴν ἅλωσιν τῆς Τροίας ἐτῶν τριῶν παρελθόντων παρέλαβεν τὴν τῶν Λατίνων βασιλείαν, καὶ κατασχὼν τριετῆ χρόνον ἐξ ἀνθρώπων ἠφανίσθη καὶ τιμῶν ἔτυχεν ἀθανάτων. τὴν δ' ἀρχὴν διαδεξάμενος Ἀσκάνιος υἱὸς ἔκτισεν Ἄλβαν τὴν νῦν κα- λουμένην Λόγγαν, ἣν ὠνόμασεν ἀπὸ τοῦ ποταμοῦ τοῦ τότε μὲν Ἀλβᾶ καλουμένου, νῦν δὲ Τιβέρεως ὀνομαζο- μένου. περὶ δὲ τῆς προσηγορίας ταύτης Φάβιος ὁ τὰς Ῥωμαίων πράξεις ἀναγράψας ἄλλως μεμυθολόγηκεν. φησὶ γὰρ Αἰνείᾳ γενέσθαι λόγιον τετράπουν αὐτῷ καθηγήσα- σθαι πρὸς κτίσιν πόλεως· μέλλοντος δ' αὐτοῦ θύειν ὗν ἔγκυον τῷ χρώματι λευκήν, ἐκφυγεῖν ἐκ τῶν χειρῶν,* 637 *καὶ καταδιωχθῆναι πρός τινα λόφον, πρὸς ὃν κομισθεῖ-*

636. 69. *πολλῶν — βασιλέων*] *longum enim est inter Aeneam et Romulum reges intervallum.* Ita interpres arm. a graeco, uti nunc legitur, abludit textu. MAI. 72. *τρισὶ* accessit ex MS. 1764. et Eusebio Armenio



*σαν τεκεῖν λ' χοίρους. τὸν δὲ Αἰνείαν τό τε παράδοξον θαυμάσαντα καὶ τὸ λόγιον ἀνανεούμενον ἐπιχειρῆσαι μὲν οἰκίσαι τὸν τόπον, ἰδόντα δὲ κατὰ τὸν ὕπνον ὄψιν ἐναργῶς διακωλύουσαν καὶ συμβουλεύουσαν μετὰ λ' ἔτη κτίζειν, ὅσοσπερ ὁ τῶν τεχθέντων ἀριθμὸς ἦν, ἀποστῆναι τῆς προθέσεως.*

*Aenea vitae erepto, ab Ascanio filio eius regnante collem aedificiis post annos triginta occupatum, eamque structuram appellatam de colore suis Albam (Latini enim proprio idiomate τὸ λευκὸν album dicunt). praeterea superadditam appellationem Longam nempe μακράν idcirco quia parum in latum patens in longum magnopere deduceretur.*

*His subdit ab Ascanio factam esse regni sui sedem Albam, multaque circum habitacula subversa: fuisse* hunc *conspicuum virum et trigesimo octavo regni anno naturae concessisse. post huius obitum populum dissensio tenuit ob duos de sceptro certantes. nam et Iulius Ascanii filius ad se regnum pertinere dicebat et Silvius Ascanii frater, Aenea genitus et Silvia, quae olim fuerat Latini uxor, pari iure se uti putabat. huic post Aeneae obitum insidias Ascanius struxerat, ideoque puer nutritus fuerat ab armentariis in monte, unde et nomen ei factum Silvius de nomine montis Latinorum, cui Silva nomen erat. in hoc partium conflictu tandem suffragiorum numero praepotens regiam dignitatem Silvius occupat; Iulius autem dominatu exclusus summum pontificatum adeptus est, qui erat honor a regali secundus. ex hoc aiunt gentem Iuliam ad hunc usque diem Romae propagatam. Silvius autem quum in principatu suo nihil commemoratione dignum egisset, post regni annum quadragesimum nonum obiit. successit in imperium Aeneas filius, cui Silvio cognomentum erat, isque annis plus triginta regnavit. exin potestatem adeptus est Latinus, cognomento item Silvius, annis quinquaginta. hic rebus gestis domi bellique inclaruit.*

8. *subdit*] Diodorus *sedem*] Interpres arm. *urbem.* MAI. 9. *habitacula*] Interpres arm. *habitatores*, sed idem mox utitur verbo eiusmodi *subvertendi*, quod nonnisi de materialibus aedificiis heic adhiberi videtur. MAI. 15. *uxor*] Ita codex arm., non *filia.* MAI. 19. Ita prorsus arm. interpres, quum tamen dicendum esse videatur: *nutritus fuerat in saltu ab armentariis, unde et nomen ei factum Silvius, quia saltum Latini silvam vocitant.* MAI. 26. *quadragesimum nonum*] in computatione annorum, quam huic fragmento subiicit Eusebius, XXVIII. scribitur 28. *plus triginta*] XXXI computatio

*idem adiacentia oppida sustulit; tum veteres illas urbes, quae Latinorum olim dicebantur, exstruxit octodecim, Tibur videlicet, Praeneste, Gabios, Tusculum, Coram, Pometiam, Lanuvium, Labicum, Scaptiam, Satricum, Ariciam, Tellenas, Crustumerium, Caeninam, Fregellas, Cameriam, Medulliam, Boilum, quam nonnulli Bolam dicunt. Latino mortuo rex creatus est filius eius Alba Silvius, qui annis octo et triginta potestatem retinuit. postea imperavit Epitus Silvius annis viginti sex. quo defuncto regnum delapsum est ad Capyn, idque ei mansit annis duodetriginta. postea Calpetus filius eius annis tredecim dominatus est. mox Tiberius Silvius annis octo. is adversus Etruscos expeditione suscepta, dum Albam fluvium cum exercitu transmitteret, gurgite eius mersus obiit: ex quo nomen fluvii deinceps fuit Tiberis. eo vitae erepto imperavit Latinis Agrippa quadraginta annis et uno. hunc consecutus est Amulius Silvius annis undeviginti. hic traditur in omni vita superbe se gessisse, et cum ipso Iove de potentia aemulanter certasse. quare et interdum fructuum tempore, quum frequentia et vehementia tonitrua exaudirentur, is exercitum suum iubebat signo edito clypeos unanimiter gladiis percutere, atque ita putabat se graviorem tonitru fragorem excitare. quare et superbi in deos animi poenas luit fulminibus enectus cumque domo universa sub lacum Albanum mersus. etiamnum Romani lacus illius accolae vestigia quaedam demonstrant, columnas nimirum aqua eminentes, cuius in fundo regia domus sita erat. exin lectus est Aventius, qui annis septem supra triginta regnavit. is proelio finitimorum magnopere pressus in Aventium collem fuga se subduxit, qui ex eo nomen contraxit Aventii. hoc obeunte dominationem excepit filius eius dem Procas Silvius tenuitque annis tribus supra viginti. quo item naturae satisfaciente filius natu minor Amulius tyrannidem usurpavit, quia Numitor maior natu frater, regni heres, longinqua in regione versabatur. regnavit Amulius annis paulo plus quadraginta tribus, donec a Remo et Romulo Romae conditoribus interfectus est.*

Syncellus p. 194. et Eusebius p. 210. s.

32. *Tusculum*] Codex arm. *Tiscalum.* MAI. 33. *Pometiam*] Codex arm. Cometiam, unde faceres etiam *Collatiam.* MAI. 34. *Crustumerium*] Codex arm. *Ocostomeriam.* MAI. 35. *Fregellas*] Codex arm. *Flegenam.* MAI. *Medulliam*] Codex arm. *Mediplium.* MAI. 37. *octo et triginta*] XXXIX computatio C. MAI. 39. *Capyn*] Codex arm. heic *Apin*, sed infra praeponitur C. MAI. 42. *Tiberius*] Ita etiam infra pro *Tiberinus.* MAI. 47. Ita *Amulius* codex arm. quicum consentit Zonaras Annal. VII. 1. Graece heic [Excerpt. de Virt. et Vit. p. 546. 56.] *Romulus.* Ab Eusebio posteriore libro in regum tabulis scribitur *Aremulus.* MAI 60. *Aventium*] Ita codex arm. cui suffragatur etiam Dionysii Halic. varia saltem lectio Antiq. I. 84. Quin et vetus interpres orationis Tullianae *de aere alieno Milonis* ed. poster. V. 3. scribit *Advento* pro *Aventino.* MAI.



## XX.

*Γενεαλογοῦσι δ' αὐτὸν* (Caranum) *οὕτως, ὥς φησιν ὁ Διόδωρος, οἱ πολλοὶ τῶν συγγραφέων, ὧν εἷς καὶ Θεόπομπος. Κάρανος Φείδωνος τοῦ Ἀριστοδαμίδα τοῦ Μέροπος τοῦ Θεστίου τοῦ Κισσίου τοῦ Τημένου τοῦ Ἀριστομάχου τοῦ Κλεοδαίου τοῦ Ὕλλου τοῦ Ἡρακλέους. ἔνιοι δὲ ἄλλως, φησί, γενεαλογοῦσι, φάσκοντες εἶναι Κάρανον Ποίαντος τοῦ Κροίσου τοῦ Κλεοδαίου τοῦ Εὐρυβιάδα τοῦ Δεβάλλου τοῦ Λαχάρους τοῦ Τημένου, ὃς καὶ κατῆλθεν εἰς Πελοπόννησον.*

Syncellus p. 262.

## XXI.

[*Macedonum reges.*] *Postquam Assyriorum opes corruerunt exstincto Sardanapallo rege ultimo Assyriae, Macedonum se tempora sistunt. ante primam Olympiadem Caranus rei acquirendae cupidus copias ex Argivis aliisque partibus Peloponnesi contraxit, atque in Macedonum fines expeditionem suscepit. eadem tempestate bellum gerens Orestarum rex cum finitimis suis, nomine Eordensibus, Carani opem imploravit ea conditione ut ei mediam regni sui partem concederet, rebus Orestarum compositis. iam vero quum rex promissa fecisset, regionem illam Caranus obtinuit, ibique annis triginta dominatus est. huic grandi aetate confecto successit filius nomine Coenus,*

63. *Procas*] Codex arm. *Porcas.* MAI. 67. *paulo — tribus*] computatio ponit XLII rotundos. Eadem ab Aenea ad Romulum annos computat 448, a Troia capta 431: quumque ab Romulo ad Tarquinium Superbum 244 numerasset, pergit: porro ab Ilio capto ad Romulum anni sunt 441. summa igitur est annorum 675. Quae omnia ita inter se pugnant ut modo hic modo illic peccatum in numeris appareat.

8. *Eordensibus*] Ita codex arm. MAI.

*regnavitque annis duobus de triginta. deinde Tyrimmas annis tribus cum quadraginta.* postea *Perdicas annis quadraginta duobus. hic proferendi regni cupidus legationem Delphos misit. Tum paucis verbis interpositis subdit regnavisse Perdicam annis octo et quadraginta, ab eoque dignitatem ad Argaeum devenisse: quem regno annis triginta unoque perfunctum excepit Philippus, cuius regnantis habentur anni triginta tres. huic successit Aeropas annis viginti. mox Alcetas annis octodecim sceptro potitus est. postea Amyntas annis novem cum quadraginta. exin Alexander annis quatuor et quadraginta. hinc regnavit Perdicas annis viginti duobus.*

Eusebius p. 169. cuius tabulam regum Macedoniae, quos se cum Corinthi et Spartae regibus marisque dominis e Diodoro petisse dixit p. 163., posui quatenus in superstites libros non incidebat, id est ad Perdiccam usque, cuius primi inter Macedoniae reges mentionem fecit quasi praeteriens XII. 34.

## XXII.

[*Περὶ δύο ἀνδρῶν ἀριστευσάντων ἐν πολέμῳ καὶ ἀγωνιζομένων περὶ πρωτείων.*] Μετὰ ταῦθ᾽ ὁ μὲν βασιλεὺς ἀναλαβὼν ἑαυτὸν ἐκ τῶν τραυμάτων προέθηκε κρίσιν ἀριστείου. κατέβησαν μὲν οὖν ἐπὶ τὸν ἀγῶνα δύο, Κλέοννίς τε καὶ Ἀριστομένης, ὧν ἑκάτερος εἶχεν ἴδιόν τι πρὸς δόξαν. ὁ γὰρ Κλέοννις ὑπερασπίσας τὸν βασιλέα πεπτωκότα τῶν ἐπιφερομένων Σπαρτιατῶν ὀκτὼ νεκροὺς ἐπεποιήκει· καὶ τούτων ἦσαν δύο ἡγεμόνες ἐπιφανεῖς· πάντων δὲ τῶν ἀναιρεθέντων ὑπ᾽ αὐτοῦ τὰς πανοπλίας ἐσκυλευκὼς ἐδεδώκει τοῖς ὑπασπισταῖς, ἵνα ἔχῃ σημεῖα τῆς ἰδίας ἀρετῆς πρὸς τὴν κρίσιν. πολλοῖς δὲ περιπεσὼν τραύμασιν ἅπαντ᾽ ἔσχεν ἐναντία, μέγιστον παρεχόμενος τεκμήριον τοῦ μηδενὶ τῶν πολεμίων εἶξαι. ὁ δ᾽ Ἀριστομένης ἐν τῷ περὶ τοῦ βασιλέως ἀγῶνι πέντε μὲν ἀνῃρήκει τῶν Λακεδαιμονίων, 638 καὶ τὰς πανοπλίας ἐσκυλεύκει τῶν πολεμίων ἐπικειμένων. καὶ τὸ μὲν ἑαυτοῦ σῶμα διεφύλαξεν ἄτρωτον, ἐκ δὲ τῆς

14. *Tyrimmas*] Codex arm. heic *Tyrimmus*, sed inferius *Tyrimmas*. MAI. 16. *duobus*] Mox XLVIII. MAI. Sic et subiecta annorum quibus singuli reges imperarunt computatio 18. *subdit*] Scilicet fortasse Diodorus aut Dexippus. MAI. 20. *triginta unoque*] XXXVIII computatio 24. *novem*] II computatio 26. *duobus*] III computatio



μάχης ἀπερχόμενος εἰς τὴν πόλιν ἔργον ἐπαινούμενον ἔπραξεν. ὁ μὲν γὰρ Κλέοννις ἀσθενῶς ἐκ τῶν τραυμάτων διακείμενος οὔτε βαδίζειν καθ᾽ αὑτὸν οὔτε χειραγωγεῖσθαι δυνατὸς ἦν· ὁ δ᾽ Ἀριστομένης ἀράμενος αὐτὸν ἐπὶ τοῦ σώματος ἀπήνεγκεν εἰς τὴν πόλιν, οὐδὲν δὲ ἧττον κομίζων τὴν ἰδίαν πανοπλίαν, καὶ ταῦτα τοῦ Κλεόννιδος προέχοντος τῶν ἄλλων μεγέθει τε καὶ ῥώμῃ σώματος. τοιαύτας δ᾽ ἐχόντων ἀφορμὰς εἰς τὴν ὑπὲρ τῶν ἀριστείων κρίσιν, ὁ βασιλεὺς ἐκάθισε μετὰ τῶν ταξιαρχῶν κατὰ τὸν νόμον. προλαβὼν οὖν τὸν λόγον ὁ Κλέοννις τοιούτοις ἐχρήσατο λόγοις.

Βραχὺς μέν ἐστιν ὁ περὶ τῶν ἀριστείων λόγος· κριταὶ γάρ εἰσιν οἱ τεθεαμένοι τὰς ἑκάστων ἀρετάς· ὑπομνῆσαι δὲ δεῖ με διότι πρὸς τοὺς αὐτοὺς ἄνδρας ἑκατέρων διαγωνισαμένων ὑφ᾽ ἕνα καιρὸν καὶ τόπον ἐγὼ πλείους ἀπέκτεινα. δῆλον οὖν ὡς κατὰ τὴν αὐτὴν περίστασιν ὁπότερος ἐν ἀριθμῷ τῶν ἀναιρεθέντων προτερεῖ καὶ τοῖς εἰς τὸ πρωτεῖον δικαίοις. ἀλλὰ μὴν καὶ τὰ σώματα ἑκατέρων ἐμφανεστάτας ἀποδείξεις ἔχει τῆς ὑπεροχῆς· ὁ μὲν γὰρ πλήρης ὢν τραυμάτων ἐναντίων ἀπελύετο τῆς μάχης, ὁ δ᾽ ὥςπερ ἐκ πανηγύρεως ἀλλ᾽ οὐ τηλικαύτης παρατάξεως ἐξιὼν οὐκ ἐπειράθη τί δύναται πολεμίων σίδηρος. εὐτυχέστερος μὲν οὖν ἴσως Ἀριστομένης, ἀγαθώτερος δ᾽ ἡμῶν οὐκ ἂν δικαίως κριθείη. πρόδηλος γὰρ ὁ ὑπομείνας τοσαύτας διαιρέσεις τοῦ σώματος ὡς ἀφειδῶς ἑαυτὸν ἐπέδωκεν ὑπὲρ τῆς πατρίδος· ὁ δ᾽ ἐν πολεμίων συμπλοκῇ καὶ τοιούτων κινδύνων τηρήσας ἑαυτὸν ἄτρωτον εὐλαβείᾳ τοῦ παθεῖν τι τοῦτ᾽ ἐνήργησεν. ἄτοπον οὖν εἰ παρὰ τοῖς ἑωρακόσι τὴν μάχην ὁ τῶν πολεμίων μὲν ἐλάττους ἀνελών, τῷ δ᾽ ἰδίῳ σώματι κινδυνεύσας ἧττον, προκριθήσεται τοῦ πρωτεύοντος ἐν ἀμφοτέροις. ἀλλὰ μὴν καὶ τὸ μηδενὸς ἔτι κινδύνου ὑπάρχοντος βαστάσαι τὸ σῶμα καταπεπονημένον ὑπὸ τῶν τραυμάτων ἀνδρείαν μὲν οὐδεμίαν ἔχει, σώματος δ᾽ ἴσως ἰσχὺν ἐπιδείκνυται. ἱκανά μοι ταῦτα εἴρηται πρὸς ὑμᾶς. πρόκειται γὰρ ἀγὼν οὐ λόγων ἀλλ᾽ ἔργων.

*Παραλαβὼν* δ᾽ ἐν μέρει τὸν λόγον Ἀριστομένης Θαυμάζω, φησίν, εἰ μέλλει περὶ ἀριστείων ἀμφισβητεῖν ὁ σωθεὶς τῷ σώσαντι. ἀναγκαῖον γὰρ ἢ τῶν δικαζόντων αὐτὸν ἄνοιαν καταγινώσκειν ἢ τὴν κρίσιν δοκεῖν ἐκ τῶν νῦν λεγομένων ἀλλ᾽ οὐκ ἐκ τῶν τότε πεπραγμένων ἔσεσθαι. οὐ μόνον δὲ Κλέοννις δειχθήσεται κατ᾽ ἀρετὴν λειπόμενος, ἀλλὰ καὶ τελέως ἀχάριστος. ἀφεὶς γὰρ τὸ τὰ

638. 45. προτερεῖ] fortasse προτερεῖ προτερεῖ scribendum

συντελεσθέντα ὑπ' αὐτοῦ καλῶς διαπορεύεσθαι διέσυρε 639 τὰς ἐμὰς πράξεις, φιλοτιμότερος ὢν ἢ δίκαιον· ᾧ γὰρ καὶ ἰδίας σωτηρίας τὰς μεγίστας ὀφείλει χάριτας, τούτου τὸν ἐπὶ τοῖς καλῶς πραχθεῖσιν ἔπαινον διὰ φθόνον ἀφήρηται. ἐγὼ δὲ ὁμολογῶ μὲν ἐν τοῖς τότε γεγενημένοις κινδύνοις εὐτυχὴς ὑπάρξαι, φημὶ δὲ πρότερον ἀγαθὸς γενέσθαι. εἰ μὲν γὰρ ἐκκλίνας τὴν τῶν πολεμίων ἐπιφορὰν ἄτρωτος ἐγενόμην, οὐκ εὐτυχῆ με προσῆκεν ὀνομάζειν ἀλλὰ δειλόν, οὐδ' ὑπὲρ ἀριστείων λέγειν κρίσιν, ἀλλὰ ταῖς ἐκ τῶν νόμων τιμωρίαις περιπεπτωκέναι· ἐπεὶ δ' ἐν πρώτοις μαχόμενος καὶ τοὺς ὑφισταμένους ἀναιρῶν οὐκ ἔπαθον ἅπερ ἔπραξα, ῥητέον οὐκ εὐτυχῆ με μόνον ἀλλὰ καὶ ἀγαθόν. εἴτε γὰρ οἱ πολέμιοι καταπλαγέντες τὴν ἀρετὴν οὐκ ἐτόλμησαν ἀμύνασθαι, μεγάλων ἐπαίνων ἄξιος ὃν ἐφοβήθησαν, εἴτ' ἐκείνων ἀγωνιζομένων εὐθύμως ἐγὼ φονεύων τοὺς ἀνθεστηκότας καὶ τοῦ σώματος ἐποιούμην πρόνοιαν, ἀνδρεῖος ἅμα καὶ συνετός. ὁ γὰρ ἐν αὐτῷ τῷ θυμομαχεῖν ἐμφρόνως ὑπομένων τὸ δεινὸν ἑκατέρας ἔχει τὰς ἀρετάς, σώματός τε καὶ ψυχῆς. καίτοι γε ταῦτα τὰ δίκαια πρὸς ἑτέρους ἦν μοι ῥητέον ἀμείνους τούτου. ὅτε γὰρ Κλέοννιν παραλελυμένον ἐκ τῆς μάχης εἰς τὴν πόλιν ἀπήνεγκα τἀμαυτοῦ σώζων ὅπλα, καὶ ὑπ' αὐτοῦ κεκρίσθαι νομίζω τὸ δίκαιον. καίτοι γε παροραθεὶς τόθ' ὑφ' ἡμῶν ἴσως οὐκ ἂν ἤριζε νῦν ὑπὲρ ἀριστείων, οὐδὲ διασύρων τηλικοῦτον μέγεθος εὐεργεσίας ἔλεγε μηδὲν εἶναι μέγα τὸ πραχθὲν διὰ τὸ κατ' ἐκεῖνον τὸν καιρὸν ἀποχωρεῖν ἐκ τῆς μάχης τοὺς πολεμίους. τίς γὰρ οὐκ οἶδεν ὅτι πολλάκις οἱ διαλυθέντες ἐκ τῆς μάχης ἐξ ὑποστροφῆς εἰώθασιν ἐπιτίθεσθαι καὶ στρατηγίᾳ ταύτῃ χρησάμενοι τυγχάνειν τῆς νίκης; ἱκανά μοι τὰ ῥηθέντα· λόγων γὰρ πλειόνων οὐκ οἶμαι ὑμᾶς προσδεῖσθαι.

*Τούτων ῥηθέντων οἱ δικάζοντες ὁμογνώμονες γενόμενοι προέκριναν τὸν Ἀριστομένην.*

## XXIII.

*Κιθαρῳδὸς ὁ Τέρπανδρος τῷ γένει Μηθυμναῖος.*
*στασιασάντων δέ ποτε τῶν Λακεδαιμονίων*
*χρησμὸς αὐτοῖς ἐξέπεσε πάλιν φιλιωθῆναι,*
*ἂν ἐκ Μηθύμνης Τέρπανδρος ἐκείνοις κιθαρίσῃ.*
*καὶ δή τι μέλος Τέρπανδρος ἐντέχνως καθαρίσας*
*αὐτοὺς πάλιν συνήρμοσε, Διόδωρος ὡς γράφει,*

639. 95. τῷ addidi cum Wesselingio et 98. τὰ     3. ἡμῶν
Wesselingius: ὑμῶν ed. Stephani     5. μηδὲν] μηθὲν ed. Steph.



*τῆς ἁρμονίας τῇ ᾠδῇ. καὶ γὰρ μετατραπέντες*
*ἀλλήλους περιέβαλλον, ἠσπάζοντο δακρύοις.*

Tzetzes Chil. I. hist. 16.

## XXIV.

640 *Ἰστέον ὅτι ὁ μὲν Σόλων ἐγένετο ἐπὶ τῶν χρόνων τῶν τυράννων ἐν ταῖς Ἀθήναις πρὸ τῶν Περσικῶν χρόνων, ὁ δὲ Δράκων πρὸ αὐτοῦ ἑπτὰ καὶ τεσσαράκοντα ἔτεσιν, ὥς φησιν ὁ Διόδωρος.*

Vlpianus ad Demosth. c. Timocr. p. 243. B.

## XXV.

*Καὶ Διόδωρος ἄκραν τινὰ τῶν Ἄλπεων, κορυφὴν τοῦ σύμπαντος ὄρους δοκοῦσαν, οὐρανοῦ ῥάχιν ἱστορεῖ παρὰ τῶν ἐγχωρίων καλεῖσθαι.*

Eustathius ad Od. *Δ.* p. 1390.

## XXVI.

*Καὶ τὸ Παλλάδιον δὲ τῆς Ἀθηνᾶς τοιοῦτον ἦν, τρίπηχυ, ξύλινον, ἐξ οὐρανοῦ καταπεσόν, ὥς φασιν, ἐν Πεσινοῦντι τῆς Φρυγίας, ὅθεν ὁ Διόδωρος καὶ Δίων τὸν τόπον κληθῆναί φασιν ἀπὸ τοῦ πολλοὺς ἐκεῖ πεσεῖν ἐν τῇ συμβολῇ τοῦ πολέμου, ὁπότε διὰ τὴν ἁρπαγὴν Γανυμήδους ἐμάχοντο Τάνταλος ὁ ἐραστὴς Γανυμήδους καὶ Ἴλιος (Ἶλος) ὁ ἀδελφὸς αὐτοῦ.*

Eudocia p. 322. et Tzetzes ad Lycophr. v. 355.

## XXVII.

*Διόδωρος δὲ ὁ Σικελὸς καὶ ὁ Ὀππιανὸς τὴν Νεάπολιν ὑφ' Ἡρακλέους κτισθῆναί φασι.*

Tzetzes ad Lycophr. v. 717.

## XXVIII.

*Διόδωρος μέντοι διαφορὰν τούτων οἶδεν ἐν οἷς λέγει Σικανῶν καὶ Σικελῶν.*

Eustathius ad Od. *Υ.* p. 1896.

*Διόδωρος δέ που τῶν δεκάτων βιβλίων εἰπὼν περί τε Σικελῶν καὶ Σικανῶν διαφορὰν οἶδεν, ὡς καὶ προερρέθη Σικελοῦ καὶ Σικανοῦ.*

Idem ad Od. *Ω.* p. 1962.

## XXIX.

*Ὁ Πολυδάμας οὗτος ἦν ἐκ πόλεως Σκοτούσης,*

γυμναῖς χερσὶ μὲν λέοντας ὡς ἄρνας διαφθείρων,
πτεροῖς ποσὶ δ᾽ ὑπερνικῶν ἅρματα ταχυδρόμα,
τῇ δὲ χειρί τι σπήλαιον ἀντήρεισε συμπῖπτον.
τὴν ἱστορίαν. 641
ὁ Σικελὸς Διόδωρος γράφει τὴν ἱστορίαν.

Tzetzes Chil. II. hist. 38. Polydamantis, qui nothi Darii aequalis fuit, in Milonis historia mentionem fecisse Diodorum ostendunt Exc. Vat. p. 22. 7.

## XXX.

Ὃς Φάλαρις Περίλαον τὸν χαλκουργὸν ἐκεῖνον
τὸν Ἀττικὸν κατέκαυσεν ἐν ταύρῳ τῷ χαλκέῳ.
οὗτος γὰρ τὸ μηχάνημα τοῦ ταύρου χαλκουργήσας
τοῖς μυξωτῆρσι τοῦ βοὸς ἐτέκτηνεν αὐλίσκους,
ἀνέπτυξε καὶ θύραν δὲ πρὸς τῷ πλευρῷ τοῦ ταύρου·
καὶ δῶρον τῷ Φαλάριδι τοῦτον τὸν ταῦρον ἄγει.
Φάλαρις δὲ τὸν ἄνθρωπον ἐν δώροις δεξιοῦται,
τὸ δὲ μηχάνημα θεοῖς καθιεροῦν κελεύει.
ὡς δ᾽ ἀναπτύξας τὸ πλευρὸν ὁ χαλκουργὸς ἐκεῖνος
δόλον τὸν κακομήχανον ἐξεῖπεν ἀπανθρώπως,
Εἴ τινα βούλει, Φάλαρι, κολάζειν τῶν ἀνθρώπων,
ἔνδον τοῦ ταύρου κατειργνὺς πῦρ ὑποστρώννυ κάτω·
δόξει δ᾽ ὁ ταῦρος στεναγμοῖς μυκᾶσθαι τοῖς ἐκείνου,
σὺ δ᾽ ἡδονὴν τοῖς στεναγμοῖς ἕξεις αὐλοῖς μυκτήρων.
τοῦτο μαθὼν ὁ Φάλαρις καὶ μυσαχθεὶς ἐκεῖνον,
Ἄγε, φησί, Περίλαε, σὺ πρῶτος δεῖξον τοῦτο,
καὶ τοὺς αὐλοῦντας μίμησαι, τράνωσόν σου τὴν τέχνην.
ὡς δὲ παρέδυ μιμητὴς δῆθεν τῶν αὐλημάτων,
κλείει τὸν ταῦρον Φάλαρις καὶ πῦρ ἐπισωρεύει.
ὅπως δὲ τὸ χαλκούργημα θανὼν μὴ ἐμμιάνῃ,
κατὰ πετρῶν ἐκρήμνισεν ἐξάξας ἡμιθνῆτα.
Γράφει περὶ τοῦ ταύρου δὲ Λουκιανὸς ὁ Σύρος,
Διόδωρος καὶ Πίνδαρος, σὺν τούτοις τε μυρίοι.

Tzetzes Chil. I. 646. s. Conf. Exc. Vat. p. 22. 17.

## XXXI.

Ἡρόδοτος κατὰ Ξέρξην γεγονὼς τοῖς χρόνοις φησὶν Ἀσσυρίους ἔτη πεντακόσια πρότερον τῆς Ἀσίας ἄρξαντας ὑπὸ Μήδων καταλυθῆναι. ἔπειτα βασιλέα μὲν μηδένα γενέσθαι τὸν ἀμφισβητήσοντα τῶν ὅλων ἐπὶ πολλὰς γενεάς, τὰς δὲ πόλεις καθ᾽ ἑαυτὰς ταττομένας διοικεῖσθαι δημοκρατικῶς· τὸ δὲ τελευταῖον πολλῶν ἐτῶν διελθόντων αἱρεθῆναι βασιλέα παρὰ τοῖς Μήδοις ἄνδρα δικαιοσύνῃ διάφορον, ὄνομα Κυαξάρην. τοῦτον δὲ πρῶτον



ἐπιχειρῆσαι προσάγεσθαι τοὺς πλησιοχώρους, καὶ τοῖς Μήδοις ἀρχηγὸν γενέσθαι τῆς τῶν ὅλων ἡγεμονίας. ἔπειτα τοὺς ἐγγόνους ἀεὶ προσκατακτωμένους πολλὴν τῆς ὁμόρου χώρας αὐξῆσαι τὴν βασιλείαν μέχρι Ἀστυάγους τοῦ καταπολεμηθέντος ὑπὸ Κύρου καὶ Περσῶν· περὶ ὧν νῦν ἡμεῖς τὰ κεφάλαια προειρηκότες τὰ κατὰ μέρος ὕστερον ἀκριβῶς ἀναγράψομεν, ἐπειδὰν ἐπὶ τοὺς οἰκείους χρόνους ἐπιβάλωμεν.

Diodorus II. 32.

Ἀστιβάρα δὲ τοῦ βασιλέως τῶν Μήδων γήρᾳ τελευτήσαντος ἐν Ἐκβατάνοις τὴν ἀρχὴν Ἀσπάδαν τὸν υἱὸν διαδέξασθαι τὸν ὑπὸ τὸν Ἑλλήνων Ἀστυάγην καλούμενον· τούτου δ᾽ ὑπὸ Κύρου τοῦ Πέρσου καταπολεμηθέντος μεταπεσεῖν τὴν βασιλείαν εἰς Πέρσας· περὶ ὧν ἡμεῖς τὰ κατὰ μέρος ἐν τοῖς ἰδίοις χρόνοις ἀκριβῶς ἀναγράψομεν.

Diodorus II. 34. Conf. Exc. de Virt. et Vit. p. 553.

## XXXII.

Κῦρος Περσῶν ἐβασίλευεν ᾧ ἔτει Ὀλυμπιὰς ἤχθη νε', ὡς ἐκ τῶν Βιβλιοθηκῶν Διοδώρου — ἔστιν εὑρεῖν.

Africanus in Euseb. Praep. Euang. X. p. 488.

## XXXIII.

Πολλαῖς ὕστερον γενεαῖς Δωριεὺς ὁ Λακεδαιμόνιος καταντήσας εἰς Σικελίαν καὶ τὴν χώραν ἀπολαβὼν ἔκτισε πόλιν Ἡράκλειαν. ταχὺ δ᾽ αὐτῆς αὐξομένης, οἱ Καρχηδόνιοι φθονήσαντες ἅμα καὶ φοβηθέντες μήποτε πλεῖον ἰσχύσασα τῆς Καρχηδόνος ἀφέληται τῶν Φοινίκων τὴν ἡγεμονίαν, στρατεύσαντες ἐπ᾽ αὐτὴν μεγάλαις δυνάμεσι καὶ κατὰ κράτος ἑλόντες κατέσκαψαν. ἀλλὰ περὶ μὲν τούτων τὰ κατὰ μέρος ἐν τοῖς οἰκείοις χρόνοις ἀναγράψομεν.

Diodorus IV. 23.

## XXXIV.

Γέλωνα Συρακούσιον καθ᾽ ὕπνους δὲ βοῶντα,
κεραυνοβλὴς γὰρ ἔδοξεν ὀνείροις γεγονέναι,
ὁ κύων θορυβούμενον ἀμέτρως γνοὺς ἐκεῖνον,
καθυλακτῶν οὐκ ἔληξεν, ἕως ἐγείρει τοῦτον.
τοῦτον ἐξέσωσέ ποτε καὶ λύκος ἐκ θανάτου.
σχολῇ προσκαθημένου γὰρ ἔτι παιδίου ὄντος
λύκος ἐλθὼν ἀφήρπαξε τὴν δέλτον τὴν ἐκείνου.
τοῦ δὲ δραμόντος πρὸς αὐτὸν τὸν λύκον καὶ τὴν δέλτον,

κατασεισθεῖσα ἡ σχολὴ βαθρόθεν καταπίπτει,
καὶ σύμπαντας ἀπέκτεινε παῖδας σὺν διδασκάλῳ.
τῶν παίδων δὲ τὸν ἀριθμὸν οἱ συγγραφεῖς βοῶσι,
Τίμαιοι, Διονύσιοι, Διόδωροι καὶ Δίων,
πλείω τελοῦντα ἑκατόν. τὸ δ' ἀκριβὲς οὐκ οἶδα.

Tzetzes Chil. IV. 266. s.

### XXXV.

Κίμων υἱὸς κατά τινας ὑπῆρχε Μιλτιάδου,
κατὰ δ' ἑτέρους ἦν πατρὸς τὴν κλῆσιν Στησαγόρου.
ἐξ Ἰσοδίκης τούτῳ παῖς ὑπῆρχεν ὁ Καλλίας.
ὁ Κίμων οὗτος ἀδελφὴν ἰδίαν Ἐλπινίκην
εἶχεν, ὡς Πτολεμαῖος μὲν ὕστερον Βερενίκην,
καὶ Ζεὺς τὴν Ἥραν πρὸ αὐτῶν, καὶ νῦν Περσῶν τὸ γένος.
Καλλίας δὲ πεντήκοντα τάλαντα ζημιοῦται,
ὅπως ὁ Κίμων ὁ πατὴρ μηδὲν δεινόν τι πάθῃ
ἕνεκα γάμων τῶν αἰσχρῶν, τῆς ἀδελφομιξίας.
τὸ δ' ὅσοι ταῦτα γράφουσι μακρόν ἐστί μοι λέγειν·
ἔστι γὰρ πλῆθος ἄπειρον τῶν ταῦτα γεγραφότων,
οἱ κωμικοὶ καὶ ῥήτορες, Διόδωρος καὶ ἄλλοι.

Tzetzes Chil. I. hist. 22.

### XXXVI.

Ἡ μὲν οὖν πρὸ ταύτης βίβλος, τῆς ὅλης συντάξεως οὖσα δεκάτη, τὸ τέλος ἔσχε τῶν πράξεων εἰς τὸν προηγούμενον ἐνιαυτὸν τῆς Ξέρξου διαβάσεως εἰς τὴν Εὐρώπην καὶ εἰς τὰς γενομένας δημηγορίας ἐν τῇ κοινῇ συνόδῳ τῶν Ἑλλήνων ἐν Κορίνθῳ περὶ τῆς Γέλωνος συμμαχίας τοῖς Ἕλλησιν.

Diodorus XI. 1. Orationum harum particulas vide in Exc. Vat. p. 43. 7. — 44. *)

*) Ante fragmentum quod nobis est XLII. Wesselingius posuerat Clementis Stromat. I. p. 365. verba haec: Φασὶ δὲ καὶ τοὺς κατὰ διατριβὴν λόγους καὶ τὰ ῥητορικὰ ἰδιώματα εὑρεῖν καὶ μισθοῦ συνηγορῆσαι πρῶτον δικανικὸν λόγον εἰς ἔκδοσιν γραψάμενον Ἀντιφῶντα Φύλου (Σωφίλου) Ῥαμνούσιον, ὥς φησι Διόδωρος. Quae nemo monitus dubitabit non ad Siculum referri Diodorum, sed ad Valerium Pollionis filium, cuius ἐξήγησις τῶν ζητουμένων παρὰ τοῖς δέκα ῥήτορσιν ab Suida, lexicon in eosdem decem rhetores a Photio cod. 150. memorantur. Is Diodorus Hadriani aequalis fuit. Ruhnkenius ubi Clementis verba tangit p. 800. R., quemnam Diodorum intelligeret non dixit.



## L. XXI. — XL.

### XXXVII.

Αἱ μὲν οὖν τῶν βασιλέων (Ptolemaei, Seleuci, Lysimachi adversus Antigonum coniunctorum) δυνάμεις τοῦτον τὸν τρόπον ἠθροίζοντο, κεκρικότων ἁπάντων κατὰ τὴν ἐπιοῦσαν θερείαν διὰ τῶν ὅπλων κρῖναι τὸν πόλεμον. ἡμεῖς δέ, καθάπερ ἐν ἀρχῇ προεθέμεθα, τὸν γενόμενον τούτοις τοῖς βασιλεῦσι πρὸς ἀλλήλους πόλεμον περὶ τῶν ὅλων πράξεων ἀρχὴν ποιησόμεθα τῆς ἑπομένης βίβλου.

Diodorus XX. 113. Vid. Exc. Hoesch. p. 489. de Virt. et Vit. p. 559. Vat. p. 46.

### XXXVIII.

Μετὰ δὲ ταῦτα προσελθόντων αὐτῷ (Antigono) τῶν Χαλδαίων, καὶ προλεγόντων ὡς εἰ τὸν Σέλευκον ἐκ τῶν χειρῶν ἀφήσει, συμβήσεται τήν τ' Ἀσίαν πᾶσαν ὑποχείριον γενέσθαι καὶ αὐτὸν Ἀντίγονον ἐν τῇ πρὸς ἐκεῖνον παρατάξει καταστρέψειν τὸν βίον, — οὐ μετρίως ἐκινήθη —, καταπλαγεὶς τὸ ἀξίωμα τῶν ἀνδρῶν. — δοκοῦσι δὲ καὶ Ἀλεξάνδρῳ προειπεῖν ὅτι παρελθὼν εἰς Βαβυλῶνα τελευτήσει. ὁμοίως δὲ τῇ περὶ Ἀλεξάνδρου προῤῥήσει συνέβη καὶ τὴν (interceptum videtur περὶ) Σελεύκου τελεσθῆναι κατὰ τὰς τῶν ἀνδρῶν τούτων ἀποφάσεις· περὶ ἧς τὰ κατὰ μέρος ἐροῦμεν, ὅταν ἐπὶ τοὺς οἰκείους χρόνους ἐπιβαλώμεθα (legendum ἐπιβάλωμεν).

Diodorus XIX. 55. Conf. II. 31.

### XXXIX.

Οὐ μὴν πολύν γε χρόνον συνέβη μεῖναι τὴν πόλιν (Antigoniam ad Oronten), Σελεύκου καθελόντος αὐτὴν καὶ μεταγαγόντος ἐπὶ τὴν κτισθεῖσαν μὲν ὑπ' αὐτοῦ, ἀπ' ἐκείνου δὲ κληθεῖσαν Σελεύκειαν (sententiam requirere eiusmodi scripturam ut ἀπὸ δὲ τοῦ ἐκείνου πατρὸς κληθεῖσαν Ἀντιόχειαν vidit Wesselingius). ἀλλὰ περὶ μὲν τούτων ἀκριβῶς ἕκαστα δηλώσομεν ἐπὶ τοὺς οἰκείους χρόνους παραγενηθέντες.

Diodorus XX. 47.

### XL.

Γράφει δὲ τοιοῦτόν τι (quale Codrus facinus ediderat) Δοῦρις, Διόδωρος, καὶ Δίων, ὅτι Σαυνιτῶν,

*Τυῤῥηνῶν, καὶ ἑτέρων ἐθνῶν πολεμούντων Ῥωμαίοις ὁ Δέκιος ὕπατος Ῥωμαίων συστρατηγὸς ὢν Τορκουάτου οὕτως ἔδωκεν ἑαυτὸν εἰς σφαγήν, καὶ ἀνῃρέθησαν τῶν ἐναντίων ἑκατὸν χιλιάδες αὐθημερόν.*

Tzetzes ad Lycophr. v. 1378. Quae miror sine nota dimisisse Reimarum ad fragmenta Dionis p. 6. 68. Huius enim Decii qui bello Samnitico se devovit non Manlius collega fuit, sed Q. Fabius Maximus: Manlii vero et Decii patris consulatum libro XVI. 90. scribit Diodorus. Iam Duridis de proelio hoc narrationis particula est etiam in Exc. Hoesch. p. 490. 64. de hostium caesorum numero adamussim cum Tzetza conveniens: unde intelligitur locum hunc esse libri XXI.

## XLI.

*Οὐ μὴν ἀλλ᾽ ὑπὲρ μὲν τῆς καταστροφῆς Ἀγαθοκλέους, ὅταν πρὸς τοὺς οἰκείους χρόνους ἔλθωμεν αὐτοῦ, τὸ γενόμενον βεβαιώσει τὸ νῦν εἰρημένον.*

Diodorus XX. 101. Conf. Exc. Hoesch. p. 492.

## XLII.

*Οὗτος ὁ Ξερμοδίγεστος, Διόδωρος ὡς γράφει,*
*οἶμαι τοῦ Αὐδολέοντος Παιόνων βασιλέως*
*φίλος τελῶν πιστότατος, τοὺς θησαυροὺς μηνύει*
*ἢ Λυσιμάχῳ ἤ τινι τῆς Θρᾴκης βασιλέων·*
*ἀργαλέον δέ μοί ἐστι θεὸν ὣς πάντ᾽ ἀγορεύειν*
*ἀβίβλῃ πεφυκότι μοι· οἴδατε οἷςπερ λέγω·*
*τοὺς θησαυροὺς ἐμήνυσε τῷ Θρᾴκης στεφηφόρῳ*
*τοῦ Σαργεντίου ποταμοῦ κάτωθεν κεκρυμμένους,*
*τοὺς οὓς αὐτὸς κατέκρυπτε σὺν αἰχμαλώτοις μόνοις,*
*τρέπων τὴν κοίτην ποταμοῦ καὶ κατορύττων κάτω.*
*εἶτα τὸν ῥοῦν ἐπαφιείς, τοὺς δ᾽ αἰχμαλώτους σφάττων.*

Tzetzes Chil. VI. hist. 53.

## XLIII.

*Μηνύσει δ᾽ ἀκριβέστερον τὸ τῆς γυναικὸς* (Philae) *ἦθος προϊὼν ὁ λόγος καὶ τὰ πράγματα λαμβάνοντα μεταβολὴν καὶ κρίσιν ἐσχάτην τῆς περὶ Δημήτριον βασιλείας.*

Diodorus XIX. 59.



## XLIV.

*Καὶ ὁ μὲν Σικελιώτης Διόδωρος τὸν Ζωΐλον τοῦτον* (Homeromastigem) *οὐδὲν ἕτερον ἔτι γεγραφέναι φησὶν ἢ τὴν καθ᾽ Ὁμήρου ἣν εἴπομεν σύνταξιν.*

Tzetzes schol. ad Exegesin Iliadis p. 126. 4. Praesidio igitur Diodorus quadantenus est Vitruvio, qui Praef. L. VII. 8. 9. philadelphi Ptolemaei aequalem Zoilum fecit propugnante Perizonio ad Aeliani V. H. XI. 10.

## XLV.

*Ὧν εἷς καὶ Μελέαγρος ἀδελφὸς Πτολεμαίου τοῦ Λάγου, πρὸς ὀλίγας ἡμέρας δυναστεύσας καὶ ἐκπεσών· ὡσαύτως δὲ καὶ Ἀντίπατρος ἡμέρας τεσσαράκοντα πέντε· μεθ᾽ οὓς Σωσθένης, ἔτι δὲ Πτολεμαῖος, πρὸς δὲ τούτοις Ἀλέξανδρος καὶ Πύῤῥος ὁ Ἠπειρώτης· οἱ πάντες ἔτη τρία κατὰ Διόδωρον.*

Syncellus Chronogr. p. 266.

## XLVI.

***Τούτου*** **(Philippi)** ***ἐπίτροπος Ἀντίγονος κατασταθεὶς***

### XLVI. b.

*Καππαδόκων βασιλεῖς ἑπτά, χρόνους ρξ´ διαρκέσαντες, κατὰ τούτους ἤρξαντο τοὺς χρόνους, ὡς Διόδωρος γράφει.*

**Syncellus p. 275.**

### XLVI. c.

642 *Ἀσδρούβας βασιλεὺς Σικελίαν καταλαβόμενος πόλεμον Ῥωμαίοις κατήγγειλε. Μέτελλος δὲ ὑπὸ τῆς συγκλήτου στρατηγὸς χειροτονηθεὶς ἐγκρατὴς ἐγένετο τῆς νίκης ταύτης, ἐν ᾗ Λεύκιος Γλαύκων εὐγενὴς ἀνὴρ τὴν Ἀσδρούβα κατέχων ναῦν ἀμφοτέρας ἀπέβαλε τὰς χεῖρας, καθάπερ ἱστορεῖ Ἀριστείδης Μιλήσιος ἐν πρώτῃ Σικελικῶν· παρ᾽ οὗ τὴν ὑπόθεσιν ἔμαθε Διονύσιος* (l. *Διόδωρος*) *ὁ Σικελιώτης.*

**Pseudoplutarchus Paral. Min. c. 1. p. 305.**

### XLVI. d.

*Τὸ πρότερον τὸ γένος μὲν Ῥωμαίων τῶν Λατίνων*
*οὐχὶ συνῆπτε πόλεμον ἀκηρυκτεὶ πρὸς ἔθνος,*
*ἀλλὰ τῇ χώρᾳ πρότερον ἔθνους τοῦ πολεμίου*
*δόρυ σημεῖον ἔῤῥιπτεν, ἔχθρας ἀρχὴν σημαῖνον.*
*ἔπειτα δὲ κατήρχετο πολέμου πρὸς τὸ ἔθνος·*
*τοῦτό φησι Διόδωρος.*

**Tzetzes Chil. V. hist. 15.**

**Trium horum fragmentorum, quae hoc loco posuit Wesselingius, primum ex libro XXXI. potius sumptum nec vacuum errore esse docet p. 517.; alterum Xylandri coniectura, quae insanabilem sanat, Diodoro ascribitur; tertium qua in regione ponendum sit non liquet.**

(ὁ Δημητρίου addunt MSS. Parisini) κρατεῖ Μακεδόνων ἔτη ιβ', κατὰ δὲ τὸν Διόδωρον ἔτη θ'.

Syncellus p. 267.

## XLVII.

Ῥηγούλῳ τῷ Ῥωμαίῳ δὲ Μάρκῳ τῷ στρατηλάτῃ
κατασχεθέντι Σικελοῖς μάθε τὸ τέλος οἷον.
τὰ βλέφαρα τῶν ὀφθαλμῶν μαχαίρᾳ συντεμόντες
ἠνεῳγμένους εἴασαν τοὺς ὀφθαλμοὺς ἐκείνου.
μικρᾷ δὲ τοῦτον εἵρξαντες καλύβῃ στενωτάτῃ,
ἄγριον ἐξοιστρήσαντες ἐλέφαντα θηρίον,
ἐκίνουν τοῦτον καθ' αὐτοῦ συγκατασπᾶν καὶ ξέειν.
οὕτω ποινηλατούμενος ὁ στρατηγὸς ὁ μέγας
τὸν βίον ἐξαπέπνευσεν ἠθλιωμένῳ τέλει.
Τοῖς Σικελοῖς καὶ Ξάνθιππος ὁ Σπαρτιάτης θνήσκει.
περὶ γὰρ τὸ Λιλύβαιον τῶν Σικελῶν τὴν πόλιν
Ῥωμαίοις τε καὶ Σικελοῖς πόλεμος ἐκροτεῖτο,
πρὸς εἴκοσι καὶ τέσσαρας τοὺς χρόνους ἐξαρκέσας.
οἱ Σικελοὶ ταῖς μάχαις δὲ πολλάκις ἡττημένοι
Ῥωμαίοις ἐνεχείριζον τὴν πόλιν εἰς δουλείαν.
τῶν δὲ Ῥωμαίων μηδαμῶς μηδ' οὕτω πειθομένων,
ἀλλὰ γυμνοὺς τοὺς Σικελοὺς λεγόντων ἐξιέναι,
ὁ Σπαρτιάτης Ξάνθιππος ἐλθὼν ἀπὸ τῆς Σπάρτης
σὺν στρατιώταις ἑκατόν, ἢ μόνος καθ' ἑτέρους,
κατ' ἄλλους δὲ πεντήκοντα τοὺς στρατιώτας ἔχων,
καὶ προσβαλὼν τοῖς Σικελοῖς, οὖσιν ἐγκεκλεισμένοις,
δι' ἑρμηνέως τε αὐτοῖς πολλὰ συνομιλήσας,
τέλος θαῤῥύνει κατ' ἐχθρῶν· καὶ συναράξας μάχῃ
ἅπαν Ῥωμαίων στράτευμα σὺν τούτοις κατακόπτει.
τοῖς εὐηργετημένοις δὲ τὴν ἀμοιβὴν λαμβάνει
ἀξίαν καὶ κατάλληλον τῆς τούτων δυστροπίας.
πλοίῳ σαθρῷ τὸν ἄνδρα γὰρ οἱ μιαροὶ βαλόντες
ὑπὸ στροφαῖς βυθίζουσι πελάγει τοῦ Ἀδρίου
βασκήναντες τὸν ἥρωα καὶ τοῦτον τὸ γενναῖον.
τῆς ἱστορίας μέμνηται τῆσδε καὶ τῆς Ῥηγούλου
ὁ Σικελὸς Διόδωρος.

Tzetzes Chil. III. 356. s. Conf. Exc. Hoesch. p. 504. de Virt. et Vit. p. 563. Vat. p. 56. 57.

## XLVIII.

Ἐπὶ τοσοῦτον ἡ νῆσος (Sardinia) διωνομάσθη τῇ τῶν καρπῶν ἀφθονίᾳ ὥστε Καρχηδονίους ὕστερον αὐξηθέντας ἐπιθυμῆσαι τῆς νήσου, καὶ πολλοὺς ἀγῶνας καὶ κινδύνους ὑπὲρ αὐτῆς ἀναδέξασθαι. ἀλλὰ περὶ μὲν τούτων ἐν τοῖς οἰκείοις χρόνοις ἀναγράψομεν.

Diodorus IV. 29.



## XLIX.

Ἀννίβας, ὡς Διόδωρος γράφει καὶ Δίων ἅμα,
σὺν τούτοις Διονύσιος ὁ Ἀλικαρνασσόθεν,
ἦν στρατηγὸς τῶν Σικελῶν, υἱὸς δὲ τοῦ Ἀμίλκα.
ὅστις Ἀμίλκας σύμπασαν εἷλε τὴν Ἰβηρίαν,
δόλοις ἐπιθεμένων δὲ κτείνεται τῶν Ἰβήρων.
τὸν πάντα τούτου γὰρ στρατὸν φεύγειν κελεύσας τότε
καὶ προςπλακέντας τοὺς υἱοὺς καὶ συνθανεῖν ποθοῦντας
μάστιξι παρωσάμενος συμφεύγειν τοῖς ἑτέροις,
Ἀννίβαν πεντεκαίδεκα τῶν χρόνων ὑπηργμένον,
Ἀσδρούβαν δὲ δυώδεκα, τὸν λόφον, τὴν κυνέαν
ἄρας αὐτοῦ τῆς κεφαλῆς, τοῖς Ἴβηρσιν ἐγνώσθη.
πάντων δ' Ἰβήρων ἐπ' αὐτὸν ὡς εἶχον ὁρμησάντων,
οἱ φεύγοντες ἐσώζοντο τυγχάνοντες ἀδείας.
ὡς δὲ σωθέντα τὸν στρατὸν εἶδε, στραφεὶς ὀπίσω
λοιπὸν σπουδάζει μηδ' αὐτὸς Ἴβηρσι κρατηθῆναι.
ἐπικειμένων δὲ σφοδρῶς κυκλόθεν τῶν Ἰβήρων
τὸν ἵππον ἀκρατέστερον ἐλάσας τὸν οἰκεῖον
τοῦ ποταμοῦ τοῦ Ἴβηρος τοῖς ῥεύμασιν ἐμπίπτει.
βάλλεται δὲ παρά τινος ὁρμῶν ἐν ἀκοντίῳ·
πλὴν καὶ πνιγεὶς οὐδὲ νεκρὸς τοῖς Ἴβηρσιν εὑρέθη.
ὃ τούτῳ πόθος ἦν· σύρεται γὰρ τοῖς ῥείθροις.
τούτου τοῦ ἥρωος ἀνδρὸς ὢν γόνος ὁ Ἀννίβας
ὑπὸ γαμβρῷ ἐτάττετο, σὺν ᾧ τὴν Ἰβηρίαν
πᾶσαν ἐληλάτησε ποινὴν πατρῴου φόνου.
ὡς δ' ἐν τοῖς μεταξὺ χρόνοις οἱ Αὔσονες Ῥωμαῖοι
τοὺς Σικελοὺς ἐνίκησαν πολλάκις νικηθέντες,
κέλευσμά τε βαρύτατον ἐκέλευσαν ἐκείνοις
ὡς μηδὲ ξίφος ἀπ' αὐτῶν ποτέ τινα κατέχειν,
Ἀννίβας, χρόνων εἴκοσι γενόμενος καὶ πέντε,
χωρὶς συγκλήτου τῆς βουλῆς καὶ τῶν ὑπερεχόντων
τοὺς θερμοτέρους συλλαβὼν καὶ τοὺς ὀξεῖς τῶν νέων
ὡς ἑκατὸν καὶ πλείονας, λῃστεύων Ἰβηρίαν
ἔζη, καὶ προσεπηύξανεν ἀεὶ στρατὸν τῶν νέων.
ὡς δ' ἡ πληθὺς ἐνίκα μὲν ἑκατοντάδας ἤδη,
εἰς χιλιάδας δ' ἔτρεχεν, εἶτα καὶ μυριάδας
καὶ μέγας γέγονε στρατὸς καὶ τῶν ἀξιομάχων,
ἄνευ μισθοῦ καὶ δωρεῶν οὕτω συνηθροισμένος,
εὐθὺ τοῦτο κατάδηλον ἐγένετο Ῥωμαίοις.
καὶ συνταχθέντες σύμπαντες στρατῷ πεζῷ καὶ στόλῳ,
ἑπτὰ καὶ ἑβδομήκοντα πληθύος μυριάδες
πίτυος δίκην ἔσπευδον τοὺς Σικελοὺς ἐκτρῖψαι.
οἱ Σικελοὶ δ' ἱκέτευον παύσασθαι τὸν Ἀννίβαν
μὴ παντελῶς τὰ Σικελῶν ἄρδην ἀποφθαρείη.
ὁ δὲ παρεὶς τοὺς θέλοντας καὶ λέγειν καὶ λαβράζειν

*οὐκ ἀναμείνας τὴν ὁρμὴν ἐκείνων τῶν Ῥωμαίων*
*μόνος ἐκ πάντων Σικελῶν χωρεῖ πρὸς Ἰταλίαν,*
*ἄνωθεν πορευόμενος Ἀλπιανῶν ὀρέων,*
*καὶ τούτων τὰ δυςείςβολα καὶ πέτρας κατατέμνων*
*ἐν ἓξ μησὶν ἐμπέπτωκε τάγμασι τῶν Ῥωμαίων*
*ἐν διαφόροις μάχαις δὲ τούτων πολλοὺς ἀνεῖλεν.*
*Ἀσδρούβαν δὲ τὸν ἀδελφὸν ἐκαραδόκει μένων,*
*ὃς διαβὰς τὰ ὄρεα ταῦτα τὰ τῶν Ἀλπίων*
*ἡμέραις πεντεκαίδεκα προςήγγιζεν Ἀννίβᾳ*
*ἄγων καὶ πλῆθος στρατιᾶς. ὃ γνόντες οἱ Ῥωμαῖοι,*
*λαθραίως ἐπιθέμενοι τοῦτον μὲν ἀναιροῦσι,*
*τὴν κεφαλὴν δ' ἐνέγκαντες ἐπέῤῥιψαν Ἀννίβᾳ.*
*ὁ δὲ θρηνήσας, ὡς ἐχρῆν, τὸν ἀδελφὸν τὸν φίλον,*
*ὕστερον ἀντετάξατο Ῥωμαίοις ἐν ταῖς Κάνναις,*
*Ῥωμαίων ὄντων στρατηγῶν Παύλου καὶ Τερεντίου.*
*αἱ Κάνναι πεδιάδες δέ εἰσι τῆς Ἀργυρίππας,*
*οὗ Διομήδης ἔκτισε τὴν πόλιν Ἀργυρίππαν,*
*τουτέστιν Ἄργος Ἵππειον τῇ γλώσσῃ τῇ Ἑλλήνων.*
*αἱ πεδιάδες αὗται δὲ τυγχάνουσι Δαυνίων*
*τῶν Ἰαπύγων ὕστερον, ἔπειτα Σαλαντίων,*
*τὰ νῦν δὲ πᾶσι Καλαυρῶν τὴν κλῆσιν λεγομένων,*
*τῶν Καλαυρῶν μεσόριον αὗτε καὶ Λογγιβάρδων,*
*οὗπερ ὁ μέγας πόλεμος ἐκείνοις ἀνεῤῥάγη.*
*τούτου ῥαγέντος τότε δὲ πολέμου τοῦ φρικώδους*
*σεισμὸς ἐγένετο δεινός, ὡς ὄρη διαστῆναι,*
*ἐξ οὐρανοῦ δ' ἐχύθησαν ὄμβροι μεγάλων λίθων·*
*οἱ δὲ θερμῶς μαχόμενοι τούτων οὐδὲν ἐπέγνων.*
*τέλος τοσοῦτο πέπτωκε πλῆθος ἀνδρῶν Ῥωμαίων*
*ὡς τὸν Ἀννίβαν στρατηγὸν πέμψαι τῇ Σικελίᾳ*
*τοὺς δακτυλίους στρατηγῶν καὶ τῶν λοιπῶν ἐνδόξων*
*μεδίμνοις τε καὶ χοίνιξι πολλοῖς ἐμμετρηθέντας·*
*τὰς εὐγενεῖς καὶ πρώτας δὲ γυναῖκας τῶν Ῥωμαίων*
*ὀδυρομένας προςδραμεῖν ναοῖς τοῖς ἐν τῇ Ῥώμῃ*
*καὶ ταῖς θριξὶν ταῖς ἑαυτῶν καθαίρειν ἕδη τούτων,*
*ὕστερον καὶ μιγῆναι δὲ καὶ δούλοις καὶ βαρβάροις,*
*λειψανδρησάσης παντελῶς τῆς Ῥωμαΐδος χώρας,*
*ὅπως μὴ πρόῤῥιζον αὐτῶν ἐκθαμνισθῇ τὸ γένος.*
*τότε δ' ἡ Ῥώμη, παντελῶς πάντων ἀνῃρημένων,*
*ἄκλειστος ἵστατο πολλοῖς ἡμεροδρόμοις κύκλοις.*
*οἱ γέροντες δ' ἑζόμενοι τοῖς ταύτης προπυλαίοις*
*τὴν συμφορὰν ὠδύροντο τὴν ὑπερπαθεστάτην,*
*τοὺς παριόντας δ' ἤροντο μή πού τις ζῶν ἐλείφθη.*
*τοιαύτης τότε συμφορᾶς τὴν Ῥώμην κατασχούσης*
*Ἀννίβας κατημέλησε ταύτην ἐγκατασκάψαι*
*νίκαις καὶ πότοις καὶ τρυφαῖς φανεὶς ἀμβλὺς πρὸς τοῦτο,*



*ἔςτ' ἂν συνήχθη στράτευμα Ῥωμαίων τοῖς Ῥωμαίοις.*
*τότε τριττῶς ἀπείρχθη δὲ πρὸς Ῥώμην ἐξορμήσας·*
*αἴφνης ἐκ τῆς αἰθρίας γὰρ χάλαζα σφοδροτάτη*
*καὶ γνόφος ἐγγινόμενος εἶργε πορείας τοῦτον.*
*ὕστερον δὲ φθονούμενος τοῖς Σικελοῖς Ἀννίβας,*
*ἐν σίτου χρείᾳ γεγονώς, καὶ μὴ στελλόντων τούτων,*
*ὁ πρὶν γενναῖος νικητὴς λιμῷ νενικημένος*
*φυγὰς ὑπὸ Σκηπίωνος γίνεται τοῦ Ῥωμαίου*
*καὶ Σικελοῖς παραίτιος δεινῆς πανωλεθρίας.*
*αὐτὸς δὲ φάρμακον πιὼν θνήσκει πρὸς Βιθυνίαν,*
*πρός τι χωρίον Λίβυσσαν καλούμενον τῇ κλήσει,*
*δοκῶν θανεῖν εἰς Λίβυσσαν πατρίδα τὴν οἰκείαν*
*ἦν γὰρ Ἀννίβᾳ τις χρησμὸς οὕτω που γεγραμμένος·*
*Λίβυσσα κρύψει βῶλος Ἀννίβᾳ δέμας.*

Tzetzes Chil. I. hist. 27. Quem locum totum huc transtuli, quod etsi solum iam initium reperitur Exc. Hoesch. p. 511., tamen pleraque quae sequuntur, quum praeterire Diodorus nequiverit, fieri potuit ut ab eo sumeret Tzetzes.

## L.

*Θαυμάσαι δ' ἄν τις εἰκότως τοῦ τεχνίτου τὴν ἐπίνοιαν οὐ μόνον ἐν τούτοις ἀλλὰ καὶ ἐν ἄλλοις πολλοῖς καὶ μείζοσι διαβεβοημένοις κατὰ πᾶσαν τὴν οἰκουμένην, περὶ ὧν τὰ κατὰ μέρος ὅταν ἐπὶ τὴν Ἀρχιμήδους ἡλικίαν ἔλθωμεν ἀκριβῶς διέξιμεν.*

Diodorus V. 37. Vnde integrum apponere malui locum Tzetzis Chil. II. hist. 35. cuius nonnisi postremos undeviginti versus dederat Wesselingius:

*Ὁ Ἀρχιμήδης ὁ σοφὸς μηχανητὴς ἐκεῖνος*
*τῷ γένει Συρακούσιος, ἦν γέρων γεωμέτρης,*
*χρόνους τε ἑβδομήκοντα καὶ πέντε παρελαύνων.*
*ὅςτις εἰργάσατο πολλὰς μηχανικὰς δυνάμεις*
*καὶ τῇ τρισπάτῳ μηχανῇ χειρὶ λαιᾷ καὶ μόνῃ*
*πεντεμυριομέδιμνον καθείλκυσεν ὁλκάδα.*
*καὶ τοῦ Μαρκέλλου στρατηγοῦ ποτὲ δὲ τῶν Ῥωμαίων*
*τῇ Συρακούσῃ κατὰ γῆν προςβάλλοντος καὶ πόντον,*
*τινὰς μὲν πρῶτον μηχαναῖς ἀνείλκυσεν ὁλκάδας,*
*καὶ πρὸς τὸ Συρακούσιον τεῖχος μετεωρίσας*
*αὐτάνδρους πάλιν τῷ βυθῷ κατέπεμπεν ἀθρόως.*

14. *πεντεμυριομέδιμνον*] *ἑπταπενταμυρ.* liber unus, alter suprascribit *ἑπτα.*

Μαρκέλλου δ' ἀποστήσαντος μικρόν τι τὰς ὁλκάδας
ὁ γέρων πάλιν ἅπαντας ποιεῖ Συρακουσίους
μετεωρίζειν δύνασθαι λίθους ἁμαξιαίους,
καὶ τὸν καθένα πέμποντα βυθίζειν τὰς ὁλκάδας.
ὡς Μάρκελλος δ' ἀπέστησε βολὴν ἐκείνας τόξου,
ἑξάγωνόν τι κάτοπτρον ἐτέκτηνεν ὁ γέρων·
ἀπὸ δὲ διαστήματος συμμέτρου τοῦ κατόπτρου
μικρὰ τοιαῦτα κάτοπτρα θεὶς τετραπλᾶ γωνίαις,
κινούμενα λεπίσι τε καί τισι γιγγλυμίοις,
μέσον ἐκεῖνο τέθεικεν ἀκτίνων τῶν ἡλίου
μεσημβρινῆς καὶ θερινῆς καὶ χειμεριωτάτης.
ἀνακλωμένων δὲ λοιπὸν εἰς τοῦτο τῶν ἀκτίνων
ἔξαψις ἤρθη φοβερὰ πυρώδης ταῖς ὁλκάσι,
καὶ ταύτας ἀπετέφρωσεν ἐκ μήκους τοξοβόλου.
οὕτω νικᾷ τὸν Μάρκελλον ταῖς μηχαναῖς ὁ γέρων.
ἔλεγε δὲ καὶ Δωριστὶ φωνῇ Συρακουσίᾳ,
Πᾶ βῶ καὶ χαριστίωνι τὰν γᾶν κινήσω πᾶσαν;
οὗτος κατὰ Διόδωρον τῆς Συρακούσης ταύτης
προδότου πρὸς τὸν Μάρκελλον ἀθρόως γενομένης,
εἴτε κατὰ τὸν Δίωνα Ῥωμαίοις πορθηθείσης,
Ἀρτέμιδι τῶν πολιτῶν τότε παννυχιζόντων,
τοιουτοτρόπως τέθνηκεν ὑπό τινος Ῥωμαίου.
ἦν κεκυφὼς διάγραμμα μηχανικόν τι γράφων·
τὶς δὲ Ῥωμαῖος ἐπιστὰς εἷλκεν αἰχμαλωτίζων.
ὁ δὲ τοῦ διαγράμματος ὅλος ὑπάρχων τότε,
τίς ὁ καθέλκων οὐκ εἰδὼς ἔλεγε πρὸς ἐκεῖνον,
Ἀπόστηθι, ὦ ἄνθρωπε, τοῦ διαγράμματός μου.
ὡς δ' εἷλκε τοῦτον, συστραφεὶς καὶ γνοὺς Ῥωμαῖον εἶναι,
ἐβόα Τὶ μηχάνημά τις τῶν ἐμῶν μοι δότω.
ὁ δὲ Ῥωμαῖος πτοηθεὶς εὐθὺς ἐκεῖνον κτείνει,
ἄνδρα σαθρὸν καὶ γέροντα, δαιμόνιον τοῖς ἔργοις.
ἐθρήνησε δὲ Μάρκελλος τοῦτο μαθὼν εὐθέως,
λαμπρῶς τε τοῦτον ἔκρυψεν ἐν τάφοις τοῖς πατρῴοις
σὺν τοῖς ἀρίστοις πολιτῶν καὶ τοῖς Ῥωμαίοις πᾶσι.
τὸν δὲ φονέα τοῦ ἀνδρός, οἶμαι, πελέκει κτείνει.
ὁ Δίων καὶ Διόδωρος γράφει τὴν ἱστορίαν.

## LI.

Αἰμίλιος Μάρκος Ῥωμαίων ὕπατος καὶ ἄριστος 643 στρατηγός, Περσέα λαβὼν αἰχμάλωτον, τοῦτον μὲν ἄδικον πρὸς Ῥωμαίους ἐξαγαγόντα παρὰ τὰς συνθήκας πόλεμον εἰς ἐλευθέραν ἀπέθετο φυλακήν· τὰς δὲ πόλεις



Μακεδόνων καὶ Ἰλλυριῶν ἁλούσας παρ' ἐλπίδα πάσας ἐλευθέρας ἀφῆκεν, καίτοι μεγάλους κινδύνους ὑπομεινάντων Ῥωμαίων πολλάκις ἐν τοῖς πρὸς Περσέα πολέμοις, καὶ πρό γε τούτου κρατήσαντες πολέμῳ Φιλίππου τοῦ πατρὸς αὐτοῦ καὶ Ἀντιόχου τοῦ μεγάλου, καὶ τοσοῦτον ἐπ' αὐτοῖς φιλανθρωπευθέντων ὡς μὴ μόνον τὰς βασιλείας αὐτῶν ἔχειν, ἀλλὰ καὶ φίλους αὐτοὺς εἶναι συγχωρῆσαι· ἐφ' οἷς ἑαυτοὺς Μακεδόνες ἀγνωμονήσαντες ἀναξίους ἐδόκουν ἔσεσθαι παντὸς ἐλέους χειρωθέντες Ῥωμαίοις σὺν τῷ Περσεῖ. ἀλλ' ἡ σύγκλητος ἀμνησικάκως καὶ μεγαλοψύχως αὐτοῖς προσηνέχθη, τὴν ἐλευθερίαν ἀντὶ δουλείας χαρισαμένη ὁμοίως δὲ καὶ τοῖς Ἰλλυριοῖς· καὶ τούτων γὰρ τὸν βασιλέα Γετίωνα αἰχμάλωτον ἔλαβον σὺν τῷ Περσεῖ. εὐγενῶς οὖν δυνατοῖς Ῥωμαῖοι τὴν ἐλευθερίαν χαρισάμενοι τὰ ἡμίση δίδειν τῶν τελῶν προσέταξαν ὧν πρότερον ἐτέλουν τοῖς ἰδίοις βασιλεῦσιν. ἐξέπεμψάν τε δέκα μὲν πρεσβευτὰς ἐκ τοῦ συνεδρίου εἰς Μακεδονίαν, πέντε δὲ εἰς Ἰλλυριοὺς. οἳ καὶ πρὸς Αἰμίλιον Μάρκον ἐλθόντες συνεῖδον τὰ τείχη Δημητριάδος πόλεως Μακεδόνων πρώτης καθελεῖν, Ἀμφιλόχους δὲ τῶν Αἰτωλῶν ἀποζεῦξαι, καὶ τοὺς ἐπιφανεῖς ἄνδρας τῶν Μακεδόνων εἰς ἓν συναγαγεῖν· ἔνθα ἐλευθέρους καὶ ἀφρουρήτους αὐτοὺς ἀφῆκαν. κατέλυσαν δὲ καὶ τὰς ἐκ τῶν μετάλλων ἀργύρου καὶ χρυσοῦ προσόδους διά τε τὸ τῶν ἐνοικούντων ἀνεπηρέαστον καὶ ὅπως μή τινες μετὰ ταῦτα νεωτερίζοιεν διὰ τῶν χρημάτων ἀνακτώμενοι τὴν Μακεδόνων ἀρχήν. τὴν δὲ χώραν ὅλην διεῖλον εἰς τέσσαρα μέρη, ὧν πρῶτον τὸ μεταξὺ Νέστου ποταμοῦ καὶ Στρυμῶνος καὶ τὰ πρὸς ἀνατολὴν τοῦ Νέστου ἐρύματα καὶ τὰ πρὸς Ἄβδηραν καὶ Μαρώνειαν καὶ Αἶνον πόλεις, πρὸς δυσμὰς δὲ τοῦ Στρυμῶνος Βισαλτία πᾶσα μετὰ τῆς ἐν τῇ Σιντικῇ Ἡρακλείας· δεύτερον μέρος, ὅπερ ἀπὸ μὲν ἀνατολῆς ὁρίζει ὁ Στρυμὼν ποταμός, ἀπὸ δὲ δυσμῶν ὁ καλούμενος Ἄξιος ποταμὸς καὶ οἱ παρακείμενοι αὐτῷ τόποι· τρίτον, ὃ περιέχει κατὰ δυσμὰς μὲν ὁ Πηνειὸς
644 ποταμός, κατὰ δὲ ἄρκτον τὸ λεγόμενον Βέρνον ὄρος, προστεθέντων καί τινων τόπων τῆς Παιονίας, ἐν οἷς καὶ πόλεις ἀξιόλογοι Ἔδεσσα καὶ Βέροια· τέταρτον καὶ τελευταῖον, ὅπερ ὑπὲρ τὸ Βέρνον ὄρος συνάπτει τῇ Ἠπείρῳ καὶ τοῖς κατὰ τὴν Ἰλλυρίδα τόποις. ἡγοῦντο δὲ καὶ πόλεις τέσσαρες τῶν αὐτῶν τεσσάρων μερῶν, τοῦ

77. κρατήσαντες] Immo κρατησάντων 81. συγχωρῆσαι Scaliger: libri συγχωρησάντων 87. Γετίωνα] Γαιτιῶνα alter MS. 88. δυνατοῖς] αὐτοῖς? τὰ ἡμίση Goarus: τὰ ἥμισυ libri

μὲν πρώτου Ἀμφίπολις, τοῦ δευτέρου Θεσσαλονίκη, τοῦ τρίτου Πέλλα, καὶ τοῦ τετάρτου Πελαγονία. ἐν ταύταις ἀρχηγοὶ τέσσαρες κατεστάθησαν καὶ οἱ φόροι ἠθροίζοντο. ἐν δὲ τοῖς ἐσχάτοις τῆς Μακεδονίας τόποις διὰ τὰς τῶν παρακειμένων ἐθνῶν ἐπιβουλὰς κατέστησαν στρατιώτας. ἐπὶ τούτοις ὁ Αἰμίλιος ἀγῶνας καὶ ποτοὺς μεγαλοπρεπεῖς τῷ πλήθει συντάξας τὰ εὑρεθέντα χρήματα εἰς τὴν Ῥώμην ἀπέστειλεν· καταλαβὼν δὲ καὶ αὐτὸς θρίαμβον καταγαγεῖν ἅμα τοῖς σὺν αὐτῷ στρατηγοῖς κελεύεται παρὰ τῆς συγκλήτου. καὶ πρῶτος μὲν Ἀνίκιος καὶ Ὀκταούιος ὁ τῆς ναυτικῆς δυνάμεως ἡγησάμενος ἀνὰ μίαν ἡμέραν ἑκάτερος ἐθριάμβευσεν, ὁ δὲ σοφώτατος Αἰμίλιος ἐπὶ τρεῖς. καὶ τῇ μὲν πρώτῃ ἅμαξαι χίλιαι διακόσιαι προῆλθον φέρουσαι λευκὰς καὶ τραχίας ἀσπίδας, καὶ ἄλλαι χίλιαι διακόσιαι ἅμαξαι πλήρεις ἀσπίδων χαλκῶν, καὶ ἕτεραι τριακόσιαι λόγχας καὶ σαρίσσας καὶ τόξα καὶ ἀκόντια γέμουσαι· προηγοῦντο δὲ αὐτῶν ὡς ἐν πολέμῳ σαλπιγκταί. ἦσαν δὲ καὶ ἄλλαι πολλαὶ ποικίλα εἴδη φέρουσαι ὅπλων, κάμακες ὀκτακόσιαι καθωπλισμέναι. τῇ δὲ δευτέρᾳ προεκομίσθη νομισμάτων τάλαντα χίλια, ἀργύρου τάλαντα δισχίλια διακόσια, ἐκπωμάτων πλῆθος, ἀγαλμάτων καὶ ἀνδριάντων ποικίλων ἅμαξαι πεντακόσιαι, ἀσπίδες τε χρυσαῖ καὶ πίνακες ἀναθεματικοὶ πάμπολλοι. τῇ τρίτῃ προηγοῦντο λευκαὶ βόες εὐπρεπεῖς ἑκατὸν εἴκοσι, χρυσοῦ τάλαντα ἐν φορήμασι διακοσίοις εἴκοσι, φιάλη δέκα ταλάντων χρυσοῦ διάλιθος, χρυσωμάτων παντοῖαι κατασκευαὶ ταλάντων δέκα, ἐλεφάντων ὀδόντες δισχίλιοι τριπήχεις, ἅρμα ἐλεφάντινον ἐκ χρυσοῦ καὶ λίθων, ἵππος φαλάροις διαλίθοις καὶ τῇ λοιπῇ κατασκευῇ διαχρύσῳ πολεμικῶς κεκοσμημένος, κλίνη χρυσῆ στρωμναῖς πολυανθέσι κατεστρωμένη, φορεῖον χρυσοῦν περιπεπετασμένον πορφύραν, ἐφ' οἷς Περσεὺς ὁ δυστυχὴς βασιλεὺς Μακεδόνων ἅμα δυσὶν υἱοῖς καὶ θυγατρὶ μιᾷ καὶ τοῖς ἡγεμόσι διακοσίοις πεντήκοντα. στέφανοι τετρακόσιοι δοθέντες ἐκ τῶν πόλεων καὶ τῶν βασιλέων, καὶ ἐπὶ πᾶσιν 645 Αἰμίλιος ἐφ' ἅρματος ἐλεφαντίνου καταπλήκτου.

Syncellus p. 267. s.

## LII.

Τῷ κατὰ τὴν Καρχηδόνα λιμένι, προσαγορευομένῳ δὲ Κώθωνι· περὶ οὗ τὰς κατὰ μέρος εὐχρηστίας ἐν τοῖς οἰκείοις χρόνοις πειρασόμεθα διελθεῖν.

31. τραχίας] τραχείας alter MS.: Θρᾳκίας Salmasius et Scaliger



Diodorus III. 44. Librum haud dubie dicit XXXII. ubi suprema Carthaginis fata scribit.

## LIII.

*Πλούταρχος, Διονύσιος, Διόδωρος καὶ Δίων τὰ τῶν Κατώνων γράφουσι καὶ τὰ τῶν Σκηπιώνων.*

Tzetzes Chil. III. 154.

## LIV.

Διόδωρος δέ φησιν ὅτι ιέ (ἔτη) ὁ νεώτερος Πτολεμαῖος ἐβασίλευσεν μετὰ τὸν πρεσβύτερον ἀδελφόν, πολλάς τε παρανομίας διεπράξατο τήν τε ἰδίαν ἀδελφὴν Κλεοπάτραν γήμας καὶ πολλοὺς διαβάλλων ψευδῶς ὡς ἐπιβουλεύοντας αὐτῷ, καὶ τοὺς μὲν ἀναιρῶν, τοὺς δὲ συκοφαντίαις φυγαδεύων καὶ τὰς οὐσίας αὐτῶν ἀφαιρούμενος.

Syncellus p. 284.

## LV.

Ὅτι μέλλοντος ἐν Ῥώμῃ τοῦ ἐμφυλίου ἐγείρεσθαι πολέμου ἄλλα τε πολλὰ Λίβιος καὶ Διόδωρος ἱστόρησαν καὶ (ὅτι ἐπὶ τοῦ Σύλλα τοῦ ὑπάτου ὁ ἐμφύλιος Ῥωμαίων ἀνήφθη πόλεμος. ἐπισημῆναι δὲ τὴν τῶν μελλόντων κακῶν φορὰν Λίβιός φησι καὶ Διόδωρος Suidas) ἐξ ἀνεφέλου τοῦ ἀέρος καὶ αἰθρίας πολλῆς ἦχον ἀκουσθῆναι σάλπιγγος, ὀξὺν ἀποτεινούσης καὶ θρηνώδη τὸν (om. Suidas et Plutarchus) φθόγγον. καὶ τοὺς μὲν ἀκούσαντας ἅπαντας ἔκφρονας ὑπὸ τοῦ (om. Suidas) δέους γενέσθαι, τοὺς δὲ Τυῤῥηνῶν μάντεις μεταβολὴν τοῦ (ἑτέρου Plutarchus) γένους καὶ μετακόσμησιν ἀποφήνασθαι σημαίνειν τὸ τέρας. εἶναι μὲν γὰρ ἀνθρώπων ὀκτὼ γένη διαφερόντων (διαφέροντα τοῖς βίοις καὶ Suidas et Plutarchus) τοῖς ἤθεσιν ἀλλήλων· ἑκάστῳ δὲ ἀφωρίσθαι χρόνον (χρόνων ἀριθμὸν Plutarchus) ὑπὸ τοῦ θεοῦ συμπεραινόμενον ἐνιαυτοῦ μεγάλου περιόδῳ. τῆς δ' οὖν (γοῦν Suidas) προτέρας περιόδου τελευτώσης καὶ ἑτέρας ἀνισταμένης (ἐνισταμένης Suidas et Plutarchus) κινεῖσθαί τι σημεῖον ἐκ γῆς ἢ οὐρανοῦ θαυμάσιον· ᾗ (ὃ Suidas, ὡς Plutarchus: leg. ᾗ vel ᾧ) δῆλον εὐθὺς τοῖς

645. 64. διαβάλλων Scaliger: libri περιβάλλων: conf. annot. ad vol. I. p. 15. 35.

τὰ αὐτὰ (τὰ τοιαῦτα Plutarchus et Suidas) σοφοῖς γίνεσθαι ὅτι καὶ τρόποις ἄλλοις καὶ βίοις ἄνθρωποι γεγόνασι χρώμενοι (χρ. γεγόνασι Plutarchus et Suidas) καὶ θεοῖς ἧττον (ἢ μᾶλλον addit Plutarchus) τῶν προτέρων μέλλοντες (μέλοντες Plut., μέλονται. ταῦτα μὲν οὖν εἴτε οὕτως εἴτε ἄλλως πως ἔχει σκοπεῖν παρίημι Suidas).

M. Planudis ex Dione Cassio excerpta in Maii script. vet. nova collectione vol. II. p. 548. et Suidas v. *Σύλλας*. Ex eodem quo Diodorus fonte sua repetiit Plutarchus Sull. c. 7. unde varietatem quatenus referebat apposui.

## LVI.

*Μέμνηται μὲν Βιργίλιος ταύτης τῆς Κλεοπάτρας,*
*Λουκιανὸς καὶ Γαληνὸς καὶ Πλούταρχος σὺν τούτοις,*
*Διόδωρος, Γεώργιος ὁ χρονικὸς σὺν ἄλλοις.*

Tzetzes Chil. II. 31. Si fides ei habenda.

## LVII.

*Ἀντικατέστησαν, ἠναντιώθησαν. Διόδωρος, Οἱ δὲ ὑπολειφθέντες ἀντικατέστησαν ἀλλήλοις.*

Suidas.

## LVIII.

*Ἐντείνας ἑαυτόν. Διόδωρος, Ἐς τὸν στρατιωτικὸν καὶ εὐτελῆ βίον ἐντείνας. ἀντὶ τοῦ ἐπιδούς.*

Suidas.

## LIX.

*Ἐξακριβωθέντες, ἐρευνηθέντες. Διόδωρος, Ἄνδρες ἐξακριβωθέντες ὑπὸ βασιλέως εἰς μέγεθός τε καὶ ὕψος σωμάτων καὶ τόλμης ὀξύτητα καὶ ἀγερωχίαν.*

Suidas.

## LX.

*Κλίμακες, ξύλα ὀρθά. Διόδωρος, Ἑξῆς δ' ἐκομίζοντο κλίμακες ὡ, παντευχίας πολυτελεῖς ἔχουσαι.*

Suidas.

## LXI.

*Στεγανόν, πυκνόν, σφιγκτόν. καὶ Διόδωρος, Οἱ δὲ Ῥωμαῖοι στεγανὰ ποιήσαντες παρεχείμαζον.* 646

Suidas.



## LXII.

*Συνεῖχεν. ἐξήσκει, ἐγύμναζε. Διόδωρος, Ὁ δὲ συνεῖχεν αὐτοὺς εἶναι στρατιώτας, παράδειγμα ὑποθεὶς ἑαυτόν.*

Suidas. Vbi fortasse legendum *ἐν στρατείαις*.

## LXIII.

*Διόδωρος, Ἐπαγγελλόμενοι καὶ αὐτοὶ πρὸς τὴν ὑπόστασιν ταύτην συμβαλεῖσθαι.*

Suidas v. *ὑποστάς* p. 561.

## LXIV.

*Διόδωρος, Τοῦ δὲ βασιλέως χαλῶντος καὶ παραλυομένου πρὸς τὰ λεγόμενα, ἐπιτρέπει αὐτῷ πράττειν ὃ βούλεται.*

Suidas v. *χαλάσω*.

## LXV.

*Διόδωρος, Ὁ δὲ βάρβαρος μαστιζόμενος ὄμμα ἔχων ἄτρεπτον καὶ χρῶμα καθάπερ θηρίον ἐκαρτέρει.*

Suidas v. *χρῶμα*.

## LXVI.

*Κρείσσων σοφὸς ἰσχυροῦ.*

Antonius Melissa p. 12. Georgidius MS. Vatic. apud Maium ad Diodori Exc. Vat. p. 144. ed. Lips. Diodorum autem hunc Melissa quidem Siculum non vocat. Apud illum similes sententiae Exc. Vat. p. 22. 9. XVII. 101.

## LXVII.

*Ὁ Δουκέτιος τὴν Παλικὴν κτίσας καὶ περιλαβὼν αὐτὴν ἀξιολόγῳ τείχει κατεκληρούχησε τὴν ὅμορον χώραν. συνέβη δὲ τὴν πόλιν ταύτην διὰ τὴν τῆς χώρας ἀρετὴν καὶ διὰ τὸ πλῆθος τῶν οἰκητόρων ταχεῖαν λαβεῖν αὔξησιν. οὐ πολὺν δὲ χρόνον εὐδαιμονήσασα κατεσκάφη καὶ διέμεινεν ἀοίκητος μέχρι τῶν καθ' ἡμᾶς χρόνων· περὶ ὧν τὰ κατὰ μέρος ἀναγράψομεν ἐν τοῖς οἰκείοις χρόνοις.*

Diodorus XI. 90. Quod fragmentum ante finem quam alibi arbitrario loco ponere malui.

## LXVIII.

*Τοῦτο τὸ μέρος τῆς οἰκουμένης καὶ τὸ περὶ τὰς Βρεττανικὰς νήσους καὶ τὴν ἄρκτον ἥκιστα πέπτωκεν*

*ὑπὸ τὴν κοινὴν ἀνθρώπων ἐπίγνωσιν. ἀλλὰ περὶ μὲν τῶν πρὸς ἄρκτον κεκλιμένων μερῶν τῆς οἰκουμένης τῶν συναπτόντων τῇ διὰ ψῦχος ἀοικήτῳ διέξιμεν ὅταν τὰς Γαΐου Καίσαρος ἀναγράφωμεν πράξεις. οὗτος γὰρ τὴν Ῥωμαίων ἡγεμονίαν εἰς ἐκεῖνα τὰ μέρη πορρωτάτω προβιβάσας πάντα τὸν πρότερον ἀγνοούμενον τόπον ἐποίησε πεσεῖν εἰς σύνταξιν ἱστορίας.*

Diodorus III. 38.

*Καθ' ἡμᾶς δὲ Γάϊος Καῖσαρ ὁ διὰ τὰς πράξεις ἐπονομασθεὶς θεὸς πρῶτος τῶν μνημονευομένων ἐχειρώσατο τὴν νῆσον, καὶ τοὺς Βρεττανοὺς καταπολεμήσας ἠνάγκασε τελεῖν ὡρισμένους φόρους. ἀλλὰ περὶ μὲν τούτων τὰς κατὰ μέρος πράξεις ἐν τοῖς οἰκείοις χρόνοις ἀναγράψομεν.*

V. 21.

*Ἀλλὰ περὶ μὲν τῶν κατ' αὐτὴν* (Britanniam) *νομίμων καὶ τῶν ἄλλων ἰδιωμάτων τὰ κατὰ μέρος ἀναγράψομεν ὅταν ἐπὶ τὴν Καίσαρος γενομένην στρατείαν εἰς Βρεττανίαν παραγενηθῶμεν.*

V. 22.

Caesaris in Britanniam expeditio quum fines quos operi suo ponit Diodorus I. 4. excedat, aut hic aut illic sui eum oportet oblitum esse. Quod idem accidit ei quum ibidem historiam libris sex prioribus non infra Troiana tempora deductam pollicitus Aegyptiorum aliarumque gentium barbararum res multo longius produxit.

---

# DIODORI BIBLIOTHECAE EPITOME.

## LIB. VI. — X.

| | Excerpta Valesii | Excerpta Vrsini | Excerpta Vaticana | Fragmenta |
|---|---|---|---|---|
| De diis opiniones veterum | | | | II. III. |
| Xanthus et Balius Titanes | | | | IV. |
| Iovis, Ariadnae, Priapi coronae et taeniae | | | | V. |
| Argivorum regnum quamdiu steterit | | | | VI. |
| Siculi in Siciliam adveniunt | | | | VII. |
| Homeri aetas | | | | VIII. |
| Castor et Pollux propter virtutem divinos post mortem honores consequuti | p. 545. 1. | | | |
| Epopei regis Sicyonis impietas | 545. 14. | | | |
| Sisyphus astutus et fatidicus | 545. 17. | | | |
| Salmonei impietas | 546. 20. | | | |
| Salmonei filia Tyro | 546. 26. | | | |
| Admeti et Alcestidis pietas | 546. 29. | | | |
| Melampodis pietas | 546. 36. | | | |
| Aeneae fuga et pietas | 546. 38. | | | |
| Meschelam condunt Graeci Troia redeuntes | | | | IX. |

| Fragmenta | Excerpta Vaticana | Excerpta Vrsini | Excerpta Valesii | |
|---|---|---|---|---|
| X. | | | | Heraclidarum reditus in Peloponnesum |
| XII. | | | | Corinthi et Sicyonis regna |
| XIII. | | | | Munychium conditum |
| | | | 546. 56. | Romulus Silvius |
| | | | 546. 62. | Aristodemus Malacus Cumarum tyrannus (historia anticipata, fortasse occasione conditae urbis) |
| XIV. | | | | Lacedaemoniorum reges |
| | p. 1. 1.—4. 2. | | 547. 68.— 77. | Lycurgus |
| XV. | | | | Maris domini populi |
| XVI. | | | | Lacedaemoniorum et Argivorum in Creta coloniae |
| XVII. | | | | Cyclades ab Caribus occupatae et relictae |
| XX. XXI. | | | | Caranus et caeteri Macedonum reges |
| | 4. 3. | | | Perdiccas |
| | 5. 1. | | 547. 78. | Elei sacrosancti |
| XVIII. XIX. | 5.10.—6.20. | | 547. 92. | Romulus et Remus |
| | | | 547. 5. | Messenii belli origo |
| XXII. | 6. 21. 7. 17. — 8. 9. | | | Messeniaca |
| | | | 548. 40. | Archias (Syracusarum conditor) |
| | | | 549. 61. | Agathoclis in aede Minervae exstruenda fraus |
| | 9. 18. — 10. 12. | | | Myscellus Crotonis conditor |
| | | | | Numa Pompilius Py- |



| | Excerpta Valesii | Excerpta Vrsini | Excerpta Vaticana | Fragmenta |
|---|---|---|---|---|
| thagorae discipulus | 549. 73. | | | |
| Deioces | 549. 79. | | | |
| Sybaris | 549. 82. — 550. 2. | | 10. 13. — 11. 11. | |
| Hippomenes Atheniensium tyrannus | 550. 3. | | | |
| TulloHostilio regnante ruptum Romanorum cum Albanis foedus | | p. 618. 1. | | |
| Epeunactae Tarentum condunt | | | 11. 12. — 12. 15. | |
| Antiphemus et EntimusGelam condunt | | | 13. 1. | |
| Chalcidenses Rhegium condunt | | | 13. 7. | |
| Locrensium severa iustitiae cura | | | 14. 7. | |
| Sicyoniis datum de statu eorum per centum annos oraculum | | | 14. 11. | |
| Tyrtaeus Spartanorum bello Messeniaco dux | | | 14. 18. — 27. | |
| Terpander | | | | XXIII. |
| Batto Aristoteli Cyrenen condituro datum oraculum | | | 15. 1. | |
| Arcesilai et Demonactis Mantinensis res ad continuandam Cyrenes historiam anticipatae | 550. 10. — 551. 24. | | | |
| Locrensium de auxilio adversus Crotoniatas Spartam missa legatio | | | 15. 13. | |
| Tarquinius Priscus | 551. 25. | | | |

| Fragmenta | Excerpta Vaticana | Excerpta Vrsini | Excerpta Valesii | |
|---|---|---|---|---|
| XXIV. | | | | Solonis et Draconis aetas |
| | 16. 4. | | | Croesi cum Solone colloquium |
| | 16. 28. | | | Solonis de athletis sententia |
| | 17.4.—18.2. | | (cf. 552. 99.) | Tripodis septem sapientibus oblati historia |
| | | | 551.35.—58. | Solonis indoles, mores et leges |
| | 18. 3. | | | Solonis adversus Pisistratum consilia |
| | 18. 18. | | | [Periandri indigna philosopho tyrannis?] |
| | 18. 20. | | | Anacharsidis et Mysonis de sapientiae principatu certamen |
| | 19. 1. | | 551. 59. | Mysonis domicilium |
| | 19. 6. — 21. 10. | | 552. 65. | Chilonis mores et apophthegmata tria templo Delphico inscripta |
| | 21. 11.—26. | | 552. 73. | Pittaci mores |
| | 21. 27. | | | Eius abstinentia, erga Alcaeum poetam lenitas |
| | 22. 3. | | 552.89.—8. | Biantis generosum factum. ei datus tripos. eloquentissimus fuit |
| XXIX. | 22. 7. | | | Milo Crotoniata: similis ei Polydamas Scotussaeus |
| | 22. 10. | | | Cirrhaeorum obsidio |
| XXX. | 22. 17. | | | Phalaridis taurus Perilao perniciosus |
| | 23. 4. — 24. 17. | | | Solon Pisistrati adversarius |



| | Excerpta Valesii | Excerpta Vrsini | Excerpta Vaticana | Fragmenta |
|---|---|---|---|---|
| Croesus meditatam adversus insulas expeditionem omittit | | | 24. 18. | |
| Croesi cum sapientibus Graeciae colloquia | | | 25.9.—27.2. | |
| Aesopi effatum | | | 27. 3. | |
| Phalaridis interitus | | | 27. 9. | |
| Cyri indoles | 552. 9. | | | |
| Astyages Medis invisus | 552. 16. | | | |
| Medi a Cyro subacti | | | | XXXI. |
| Cyri virtus | 552. 29. | | | |
| Cyrus quando Persarum rex | | | | XXXII. |
| Croesi filius Atys ab Adrasto occisus | 552. 33. | | | |
| Croesi percontationes oraculi Delphici | | | 27.15.—28. 2. | |
| Croesus ab Eurybato Cyro proditus | 553. 48. | | 28. 14.? | |
| Cyri victoria de Croeso reportata | | | 28.3.—29.2 | |
| Croesus a Cyro clementer habitus | 553. 57. | | | |
| Harpagus Cyri dux insulas in servitutem redigit | | | 29. 3. | |
| Lacedaemonii Cyrum Graecis in Asia civitatibus abstinere iubent | | | 29. 20. | |
| Lacedaemoniis Arcadiam occupaturis datum oraculi responsum | | | 29. 27. | |
| Lacedaemoniis de Orestae ossibus percontatis datum oraculum | | | 30. 1. — 12. | |
| Pisistrati de osculo | | | | |

| Fragmenta | Excerpta Vaticana | Excerpta Vrsini | Excerpta Valesii | |
|---|---|---|---|---|
| | 30. 15. | | | filiae in sollemni pompa dato scomma |
| | 30. 23. | | | Pisistrati cum Attico mercenario colloquium natumque inde proverbium |
| | 31. 3. | | | Servii Tullii cum Tarquinio rixa et caedes |
| | | | 553. 64. | quamdiu regnarit |
| | | | 554. 67. | Pythagoras Ol. 61. clarus |
| | | | 554. 84. | Pythagorae in Pherecyden praeceptorem pietas |
| | | | 554. 94. | Pythagoreorum sectae regula quaedam |
| | | | 554. 100. | Cliniae Tarentini ei obtemperantis exemplum |
| | | | 554. 11. | Alterum Phintiae et Damonis |
| | 31. 14. — 35. 24. | | 555. 34.—70. | Pythagorae doctrinae capita nonnulla |
| | 33. 11. | | | Archytae Pythagorei irae temperantis exemplum |
| | 35. 25. | | 556. 71. | Pythagoreorum sectae interitus per Cylonis in eam odium |
| | | | 556. 78. | Lysidis Pythagorei, Epaminondae magistri, virtus. |
| | | | 556. 86. | Historiae, severae hominum iudicis, utilitas (epiphonema, ut videtur, narrationis de Pythagoreis) |



| | Excerpta Valesii | Excerpta Vrsini | Excerpta Vaticana | Fragmenta |
|---|---|---|---|---|
| Cyrus orbis terrarum imperium affectat | | | 36. 3. | |
| Cambysae indoles | 556. 7. | | | |
| Eiusdem in Amasis cadaver nequitia. | 556. 10. | | | |
| adversus templum Ammonis expeditio | 557. 21. | | | |
| Libyum et Cyrenaeorum ad Cambysen Aegypti dominum legatio | | 619. 33. | | |
| Polycratis latrocinia maritima | | | 36. 11. — 20.? | |
| in Lydos fugitivos perfidia | 557. 26. | | | |
| Pisistrati filii | 557. 32. | | | |
| Aristogiton | 557. 44. | | 36. 25. | |
| Zeno Nearchum tyrannum ulciscitur (Aristogitonis occasione eius mentionem fecisse videtur Diodorus, quem Zenoni comparat etiam Diogenes L. IX. 26., vel occasione Leaenae meretricis, quae ne socios Harmodii et Aristogitonis proderet, linguam, sicut Zeno, sibi momordit.) | 557. 47. | | 36. 28. | |
| Dorieus Heracleam in Sicilia condit | | | | XXXIII. |
| Megabyzus Zopyrus Babylonem dolo capit | | | 37. 7. — 17. | |
| Darius expeditionem in Europam parat | | | 37. 20. | |
| Tyrrheni Lemnum linquunt | | | 38. 6. | |
| Lucretiae mors | 558. 74. | | 38. 12. | |

| Fragmenta | Excerpta Vaticana | Excerpta Vrsini | Excerpta Valesii | |
|---|---|---|---|---|
| | 39. 24. | | | L. Tarquinii scelera et Bruti calliditas |
| | 40. 1. | | | Sybaritae a Crotoniatis funduntur |
| | 40. 7. | | | Herodoti mirabilia narrandi mos |
| | 40. 13. | | | Athenienses Boeotis et Chalcidensibus fugatis Chalcidem occupant |
| | 40. 22. | | | Persae Graecorum templa incendunt |
| | 40. 24. | | | Caribus de auxilio a Milesiis contra Persas petendo percontantibus oraculum quid responderit |
| | 41. 1. | | | [Graecorum in Asia contra Persas foedus?] |
| | 41. 4. | | | Hecataeus Milesius ad Artaphernem legatus missus |
| | 41. 18. | | | Datis legationem Athenas, ut Persis se dederent, mittit |
| | | | 558. 1. | Hippocrates Gelensium tyrannus Syracusas occupat |
| | | | 558. 15. | Thero Agrigentinus |
| XXXIV. | | | | Gelo Syracusanus, puer quum esset, mirabiliter servatus |
| | | | 559. 19. | Cimon cum Elpinice sorore consuescit |
| XXXV. | | | | Cimon Miltiadis multam in se recipit |
| | 42. 16. | | | Themistocles Cimonem divite uxore conciliata vinculis liberat |
| XXXVI. | 42.25. — 44. 17. | | | Graecorum ad Gelonem legatio de auxilio contra Persas |



## L I B. XXI. — XL.

| | Excerpta Valesii | Excerpta Hoeschelii | Excerpta Vaticana | Fragmenta |
|---|---|---|---|---|
| Antigoni adversus reges quattuor bellantis interitus, et fuga Demetrii | 559. 33. | 489. 1. — 20. | 46. 1. — 8. | XXXVII. XXXVIII. |
| Antigoniae cives Antiochiam transfert Seleucus | | | | XXXIX. |
| Seleuci et Ptolemaei de Syria contentio | | | 46. 9. — 47. 9. | |
| Corcyrae a Cassandro obsessae opem fert Agathocles | | 489. 21. | 47. 10. — 48. 3. | |
| Agathocles ex Corcyra redux mercenariis rebellibus deletis in Bruttios movet, unde Syracusas abigitur | 559. 39. | 490. 29. | | |
| Agathocles specie prosequendae Lanassae Crotonem occupat | | 490. 41. | | |
| Diyllus et Psaon historici | | 490. 60. | | |
| Romanorum duce Fabio in bello Samnitico res gestae ex Duride | | 490. 64. | | XL. |
| Antipater matrem occidit, post ipse cum fratre Alexandro a Demetrio necatus | | 490. 68. | | |
| Agathoclis cum Bruttiis bellum | | 491. 74. | | |
| Demetrii lenitas | | | 48. 4. | |
| Lysimachi cum Thracibus bella | 559. 43. — 560. 93. | | 48. 9. — 49. 14. | |
| Demetrii post expu- | | | | |

| Fragmenta | Excerpta Vaticana | Excerpta Hoeschelii | Excerpta Valesii | |
|---|---|---|---|---|
| | | | 491. 95. | gnatas Thebas clementia |
| | | 491. 99. | | Agathoclis cum Demetrio inita societas |
| XLI. | | 491. 6. | | Agathocles expeditionem in Africam parans occiditur a Maenone, qui Syracusis potiri studet |
| XLII. | | | | Xermodigestus Audoleontis Paeonum regis opes Lysimacho prodit |
| | | | 560. 99. | Agatharchi indoles |
| | | | 560.2.—561. 52. | Timaeus et Callias historici |
| | | 493. 84. | 561. 53. | Hicetas ab Syracusanis contra Maenonem, quem Poeni adiuvabant, missus infeliciter rem gerit. Bello finito Syracusanorum milites mercenarii (Mamertini) Messenen occupant |
| XLIII. | | | | Philae Demetrii uxoris extremis Demetrii temporibus fortitudo |
| | | | 561. 60. | Lysimachi et Seleuci de capto Demetrio lis |
| XLIV. | | | | Zoilus |
| XLV. | | | | Macedoniae quinque intra tres annos reges |
| | 49. 19. — 50. | 494.40.—67. | | Pyrrhus in Italia |



| | Excerpta Valesii | Excerpta Hoeschelii | Excerpta Vaticana | Fragmenta |
|---|---|---|---|---|
| Philippi tutor Antigonus | | | | XLVI. |
| Decius Rhegium occupat: unde Messenen et mox hinc quoque fugit | 562. 76. | 494. 69. | | |
| Hicetas, Phintias, Tyndario tyranni Siculi. Phintiae et Hicetae bellum. urbs Phintias traductis in eam Gelensibus a Phintia condita | 562. 98. | 495. 84. | | |
| Agyrinaei deficiunt | | 495. 100. | | |
| Ptolemaeus a Gallis internecione caesus | 562. 4. | 495. 4. | | |
| Apollodorus Cassandrensium tyrannus | 562.10.—30. | | | |
| Pyrrhi Cadmea victoria | | 495. 7. | 51. 1. | |
| Cineas Romam missus a Pyrrho | | | 51. 11. | |
| PhintiaeAgrigenti tyranni visum mortem praenuntians | | 495. 11. | | |
| Hicetas Syracusanorum tyrannus a Thynione pulsus | | 495. 16. | | |
| Thynio et Sostratus occupato Syracusarum regno Pyrrhum in Siciliam provocant | | 495. 19. | | |
| MamertiniPyrrho infesti, amicus ei Tyndario Tauromenii tyrannus | | 495. 22. | | |
| Carthaginiensium cum Romanis foedus obsessumque ab utrisque Rhegium | | 495. 28. | | |

| Fragmenta | Excerpta Vaticana | Excerpta Hoeschelii | Excerpta Valesii | |
|---|---|---|---|---|
| | | 496. 35. | | Thynionis et Sostrati bellum Syracusis gestum et missae ab utrisque adPyrrhum legationes |
| | | 496. 39. | | Pyrrhi in Italia res gestae |
| | | 496. 39. | | Pyrrhi in Sicilia res gestae. foedera inter Thynionem, Sosistratum et Syracusanos. foedus Pyrrhi et Heraclidae Leontinorum tyranni |
| | 51. 19. — 52. 15. | 497. 91. | | Brenni et Gallorum in Graeciam excursio et clades |
| | | 497. 17. | | Pyrrhi in Carthaginiensium in Sicilia ditionem expeditio |
| | 52. 16. | | | Pyrrhi de Gallis victoria |
| | | | 563. 31. | Pyrrhus Aegeas diripit |
| | | 499. 98. | | Mamertinorum cum Hierone bellum. Hieronis cum Carthaginiensibus foedus. Messene ab utrisque obsidetur |
| | | 500. 87. | | Hannonis inSicilia res gestae. cum Hierone contraRomanos foedus. Rom. cos. Appius Claudius in Siciliam missus |
| | 54. | 501. 20. | | Carthaginiensium ad Romanos post proelium navale legatio |



| | Excerpta Valesii | Excerpta Hoeschelii | Excerpta Vaticana | Fragmenta |
|---|---|---|---|---|
| Appii Claudii in Siciliam adventus et anceps fortuna | | 501. 24. | | |
| Coss. in Sicilia cum urbibus plurimis ipsoque Hierone foedera | | 501. 30. | | |
| Obsidio vicorum in Sicilia quorundam ab Romanis frustra instituta | | 502. 51. | | |
| Sicularum urbium a Carthaginiensibus ad Romanos defectiones | | 502. 55. | | |
| Philemonis fabularum et annorum, quos vixit, numerus | | 502. 64. | | |
| Agrigentum Romanis traditum | | 502. 66. | | |
| Hannonis in Sicilia clades | | 502. 71. | | |
| Hannibal cladis navalis poenam effugit | | | 55. 4. | |
| Hannonis strategema. Agrigentum ab Romanis captum. Hannonis poena. Hamilcar eius successor. Mytistratus frustra ab Romanis obsessus. Hamilcaris et Romanorum in Sicilia res gestae. | | 502. 84. — 20. | | |
| Carthaginienses proelio victi | | | 55. 21. | |
| Reguli superbia erga Carthaginienses | | 503. 21. | 56. 9. | XLVII. |

| Fragmenta | Excerpta Vaticana | Excerpta Hoeschelii | Excerpta Valesii | |
|---|---|---|---|---|
| | 56. 30. | 504. 23. | | Carthaginiensium superstitio |
| XLVII. | 57.7.—58.7. | 504.29.—70. | 563. 42. | Romanorum in Africa res gestae. Xanthippus dux Poenorum. Reguli clades |
| | | 505. 71. | | Philistus (f. Philinus) historicus |
| | | 505.72.—13. | | Romanorum post felicia cum Carthaginiensibus proelia foedum naufragium. Agrigentum a Carthalone captum. Panormus aliaeque urbes Romanis deduntur |
| | | 505. 14. | | Romanorum insequuto anno naufragium. Thermae frustra tentatae |
| | | 506. 33. | | Thermae aliaque oppida ab Romanis capta |
| | | 506. 37. | | Caecilii de Hasdrubale victoria |
| | 59. 1. | | | Lilybaeum obsidione a Romanis cingitur. Adherbal obsessis auxiliatur. |
| | | | 565. 14. | Hiero rex Syrac. Romanos commeatu adiuvat. Appius Claudius cos. imperium suscipit. |
| | | 506. 52. | | Carthalonis et Iunii res gestae |
| | 59.11.—60. 21. | 508. 70. — 509. 85. | 564. 7. 565. 34. — 42. | Hamilcaris Barcae res gestae. Vodostor. Fundanius |



| | Excerpta Valesii | Excerpta Hoeschelii | Excerpta Vaticana | Fragmenta |
|---|---|---|---|---|
| Hannonis indoles. Hecatompylum expugnat | 565. 43. — 566. 59. | | | |
| Lutatii et Hannonis proelium navale | | 509. 86. — 2. | 60. 22. | |
| Hamilcaris et Bodostoris apud Attilii Reguli viduam miseriae | 566. 60. | | | |
| Sardinia a Carthaginiensibus summis viribus ad partes suas tracta | | | | XLVIII. |
| Pax inter Poenos et Romanos tandem composita | | 509. 6. | 61. 5 | |
| Carthaginiensibus militantium mercenariorum seditio | 566. 96. — 567. 26. | 509. 12. — 510. 38. | 62.1.—63.3. | |
| Hamilcaris Barcae in Hispania res gestae. | 567. 27. | | 63. 4. — 16. | |
| Eius mors et laus | 567. 32. | 510. 39. — 511. 82. | | |
| Hasdrubal Numidas rebelles subigit | | 510. 58. | 63. 17. | |
| Hasdrubalis in Hispania res gestae. condita ab eo Nova Carthago | | 511. 84. | | |
| Gallicum et Celticum bellum | | 511. 2. | | |
| Hieronis in eo opera | | 512. 17. | | |
| Bellum Punicum secundum | | | 64. 3. | XLIX. |
| Victomela (?) urbs excisa | | | 64. 13. | |
| Hannibalis indoles. Belli Punici se- | 568. 48. | | | |

| Fragmenta | Excerpta Vaticana | Excerpta Hoeschelii | Excerpta Valesii | |
|---|---|---|---|---|
| | | 512. 21. | | cundi dux. Sagunti excidium |
| | | | 568. 56. | Minucii temeritas |
| | 66. 1. | 513. 83. | 568. 59. | Fabii dictatoris indoles |
| | | 513. 86. | | Menodotus Perinthius et Sosilus Iliensis historici |
| | | | 568. 61. | Dorimachus Dodonem diripit |
| | | 513. 97. | | Rhodo terrae motu eversae ab Hierone latum auxilium |
| | 66.10. — 68. 11. | 514. 4. | 568. 64. | Capua Hannibalis partibus accedit, sed luxuria copias eius perdit |
| | | 514. 11. | 568.72.—89. | Hannibalis in Italia res gestae |
| | | | 568. 90.<br>569. 3. | Syracusis regnum capessit Hieronymus. moritur |
| | | | 569. 9. | Sempronius ab Hannibale sepultus |
| L. | | | | Archimedis ingeniam et defendendarum Syracusarum machinae |
| | 68. 12. | | 569. 18. | Syracusae captae a Marcello |
| | 68. 19. — 69. 2. | | | Scipionis in Hispania res gestae |
| | | | 569. 22. | Carthaginienses Numidas Micatanos ulciscuntur |
| | 69. 3. | | 569. 28. | Hasdrubal in Italiam venit. Eius virtus. |
| | | | | Nabis saevissimus tyrannus Pelopem Lycurgi f. cum |



| | Excerpta Valesii | Excerpta Vrsini | Excerpta Vaticana | Fragmenta |
|---|---|---|---|---|
| aliis viris nobilibus necat | 570. 46. | | 69. 10. | |
| Nabidis cum Romanis foedus. Graeci liberi suis legibus vivere iussi | | 619. 41. | | |
| Rhodiorum cum Cretensibus bellum | 570. 59. | | | |
| Pleminii sacrilegium Locricum | 570. 64. | | 69. 17. | |
| Scipio Syphacem captum clementer habet | 571. 15. | | 70. 3. | |
| Masinissae uxor Romanis adversans | 571. 25. | | | |
| Masinissa fidelissimus Romanis | 571. 42. | | | |
| Hannibal Italiam relinquit | 571. 45. | | | |
| Hannibal quater mille transfugas Masinissae necat | 572. 55. | | | |
| Carthaginienses dum foedus cum Romanis quaerunt, iniuriam iis faciunt | | | 70. 18. | |
| Scipionis legati Carthaginem missi vix rabiem populi effugerant: sed tamen Scipio legatos Carthaginiensium incolumes praestat | 572. 61.<br>572. 71. | | 71. 2. | |
| De Carthagine delenda deliberationes Romanorum | | | 71.7.—74.25. | |
| Philippi Macedonis res | 572. 79. — 573. 49. | | 75.1.—76.15. | |
| Hannibalis celebritas | 573. 50. | | | |
| Ptolemaei regis Aegypti adversus Ari- | | | | |

| Fragmenta | Excerpta Vaticana | Excerpta Vrsini | Excerpta Valesii | |
|---|---|---|---|---|
| | | | 573. 54. | stomenem tutorem aliosque crudelitas |
| | 76. 16. — 77. 25. | 619. 61. | 574. 66. — 575. 10. | Bellum cum Antiocho |
| | | 620. 4. | | Aetolorum legatis datum ab senatu responsum |
| | | 620. 15. | | Antiochus per Heraclidem pacis conditiones offert Romanis |
| | 78. 1. | 620. 28. | | Antiochus Scipioni filium reddit |
| | | 621. 42. | | Aetolorum nova legatio ad Romanos |
| | | 621. 56. | | Pax cum Antiocho |
| | | 621. 76. | | Asiae res ab Romanis Antiocho debellato constitutae |
| | | 622. 95. | | Cn. Manlii ad legatos Gallorum responsum |
| | | 622. 4. | | Cn. Manlius imperatum Antiocho frumentum tributumque exigit |
| | | | 575. 11. | M. Fulvii (Furii) adversus Caenomanos fraus |
| | | | 575. 18. | Antiochus Beli templum spoliat |
| | 78. 4. | | | Philippus Thessalis Romanorum sociis minatur |
| | | 622. 11. | | In concilio Achaeorum orationes Romanorum, Eumenis et Seleuci legatorum |
| | | | | Philopoemenis, Han- |



| | Excerpta Valesii | Excerpta Vrsini | Excerpta Vaticana | Fragmenta |
|---|---|---|---|---|
| nibalis et Scipionis laudes | 575. 25. — 576. 80. | | 78. 12. — 79. 12. | |
| Attalus et Eumenes summa comitate ab senatu excepti | | 622. 26. | | |
| Pharnacis res | 576. 81. — 96. | 622. 43. | | |
| Demetrius Philippi f. caesus, pater moerore consumptus | 576. 98. | | | |
| Ti. Gracchi ingenium | 576. 11. | | | |
| Aemilii ingenium | 577. 17. | | | |
| Fulvius urbem quandam (Ligurum) castigat | | | 79. 13. | |
| Ptolemaei de Coelesyria occupanda consilia | | | 79. 22. | |
| Antiochi vita et mores | 577. 24. | | | |
| Persei subdola ad Romanos legatio | | 623. 46. — 59. | 80 1. | |
| Eumeni ab senatu habiti honores | | 623. 60. | | |
| Thoas Romanis ab Antiocho deditus | | | 80. 7. | |
| Attali praepropera de morte Eumenis credulitas | 577. 49. | | | |
| Cotys Thrax quali ingenio | 577. 55. | | | |
| Perseus dolo circumventus ab Romanis | | | 80. 12. | |
| Chalestrum a Perseo captum | 578. 61. | | | |
| Epirus Macedonibus accedit | 578. 70. | | | |
| Abdera Eumeni produntur | 578. 84. | | | |
| Andronicus filii Seleuci interfector ipse perit | | | 80. 18. | |

| Fragmenta | Excerpta Vaticana | Excerpta Vrsini | Excerpta Valesii | |
|---|---|---|---|---|
| | | 623. 66. | | Persei legati Roma et Italia excedere iussi |
| | | 624. 76. | | Ptolemaei et Antiochi de Coelesyria Romam missi legati |
| | 80. 24. | | | Senatus Romani instante Persico bello erga Graecos comitas |
| | 81. 22.—83. 9. | | | Perseus Gentii Illyrii societatem per avaritiam perdit |
| | | | 578. 96. | Perseus desidia tempora opportunissima dimittit |
| | 83. 10.—19. | | 579. 7.—20. | Eius infortunia |
| | | | 579. 21. | Cydoniatae Apolloniatas excidunt |
| | | | 579. 27. | Antiochi in Aegyptios humanitas |
| | 83. 20.—85. 8. | | 579. 34. | Ptolemaei tutores homines vilissimi, eorum culpa proditus rex |
| | 85. 9. | | 580. 50. | Antiochus Pelusium occupat |
| | | | 580. 53. | Perseus Gallorum auxilia per avaritiam perdit |
| | | | 580. 62. | Aemilii virtus |
| | 85. 22. | | 580. 71. | Perseus proposita ad diripiendum LX talenta rursus eripit diripientibus. |
| | 86. 8. | | 580. 82. | Diversum Alexandri M. ingenium |
| | | | 580. 89. | Aemilii filius natu minor patri dilectissimus |



| | Excerpta Valesii | Excerpta Photii | Excerpta Vrsini | Excerpta Vaticana | Fragmenta |
|---|---|---|---|---|---|
| Aemilii Perseo capto oratio, erga eum lenitas | 581. 100. | | | 86. 13. | |
| Macedoniae et Illyrico ab Romanis impositae pacis leges | 581. 8.—42. | | | | LI. |
| Rhodiorum Romam missa ad dirimendum bellum Persicum legatio | | | | 88. 1. | |
| Gallograecorum cum Eumene bellum | 582. 48.—75. | | | | |
| Antiochi ingenium et cum Graccho et Popillio colloquia | 582. 76.—583. 34. | | | 88. 4.—89. 22. | |
| De Rhodiorum rebus deliberatio Romanorum | | 515. 1. | 624. 94. | 89. 23.—92. 4. | |
| Aemilii Paulli ingenium | | | | 92. 5. | |
| Perseus captus in carcerem ab Romanis coniectus | 582. 43. | 515. 28. | | 92. 10. | |
| Demetrii Phalerei de Macedonum imperio vox fatidica | | | | 92. 14. | |
| Aemilii Paulli in luctu domestico fortitudo animi | | | | 94. | |
| Bello Persico confecto Romam undique confluentes gratulantium legationes | | | 624. 16. | | |
| Inter hos Eumenis Persicae societatis crimine se purgantis | | | 625. 26. | | |
| *Eumenis* regnum Perseo debellato in | | | | | |

| Fragmenta | Excerpta Vaticana | Excerpta Vrsini | Excerpta Photii | Excerpta Valesii | |
|---|---|---|---|---|---|
| | 95. 4. | | | | maiora etiam pericula incidit |
| | 95. 12. | 625. 44. | | | Prusiae Bithyniae regis Romanis gratulantis humiles mores |
| XLVI. b. | | | 517. | | Cappadociae regum stemma |
| | | 626. 72. | | | Ptolemaeorum Romam missae legationes |
| | 96. 1. | | | 583. 35. | Ptolemaeus rex Aegypti Romam profugit |
| | 96. 19. | | | | Catonis de luxuria Romanorum querelae |
| | | | | 584. 52. | Antipater fraude Timothei Ophernis amici perit |
| | | | | 584. 62. | Ariarathes Cappadociae rex |
| | | | | 584. 69. | Mithrobuzanem in regnum Sophenes restituit |
| | | 626. 85. | | | Legati eius Romam veniunt |
| | 97. 7. | 626. 96. | | | Demetrii in Syriam clam elapsi ad Romanos legatio |
| | | | 518. 64. | 584. 84. — 585. 21. | Aemilii Paulli Romae mortui funus. Eius laus. |
| | | | | 585. 22. — 587. 39. | P. Scipio Aemilii filius |
| | | | | 587. 40. | Charops in Epiro Romanorum amicitia potens |
| | | | | 588. 57. | Orofernis Cappadociae potiti prava consilia |
| | | | | | Ptolemaeus maior cum fratre pacem |



| | Excerpta Valesii | Excerpta Photii | Excerpta Vrsini | Excerpta Vaticana | Fragmenta |
|---|---|---|---|---|---|
| facit Cyrenen ei concedens | 588. 72. | | | | |
| Orofernes pecuniae indigens templum Iovis expilat | 588. 84. | | | | |
| Prusias sacrilegii poenas diis dat | 588. 92. | | | | |
| Rhodiorum prudentia in conciliando sibi principum favore | | | | 97. 11. | |
| Aristocrates Rhodius | | | | 98. 5. | |
| Rhodiorum cum Cretensibus bellum | | | | 98. 8. | |
| Celtiberorum cum Romanis bellum | | | 626. 9. | 98.22 — 99. 21. | |
| Rhodiorum prava consilia | | | | 99. 22. — 100. 10. | |
| Cretensium in bello cum Rhodiis adversus Siphnios perfidia | 589. 8. | | | | |
| Memmio ab Iberis victo ferocientes Araevaci bellum Romanis faciunt | | 519. 81. | | | |
| Carthaginienses bello Masinissae illato violatum cum Romanis foedus restituere student | | | | 100. 11. 23. | |
| Bellum Punicum tertium | 589. 25. — 590. 75. | | | 100. 16. | |
| Carthaginiensium Romanis se dedentium legatio | | | 627. 19. — 628. 72. | | |
| Scipionis in fide servanda religio | 590. 76. | | | | |
| Eiusdem apud ipsos Poenos claritudo | 590. 86. | | | | |

| Fragmenta | Excerpta Vaticana | Excerpta Vrsini | Excerpta Photii | Excerpta Valesii | |
|---|---|---|---|---|---|
| | | | | 590. 96. | Pseudophilippi post victos Romanos saevitia |
| | | | 519. 91. — 522. 57. | | Alexandri Balae fuga et consecuta per proditionem caedes. Narratio de androgynis duobus occasione oraculi Alexandro dati |
| | 101. 7. | | | | Carthaginis obsidio |
| | 101. 12. | | | 591. 4. | Catonis de Scipione iudicium et populi R. erga Scipionem favor |
| | 102. 1. | | | | Belli Punici anceps fortuna |
| | | | | 591. 8. | Calpurnii Pisonis mala fides ipsi perniciosa |
| | | | | 591. 14. | Prusias civibus suis invisus |
| | 102. 3. | | | | Romanorum ad bellum Nicomedis et Prusiae componendum legatio |
| | 102. 14. | | | | Hasdrubalis in colloquio cum Gulussa vanitas |
| LII. | | | | | Carthaginis portus Cothon |
| | | | 522. 58. | | Carthaginis muri |
| | 103. 15. | | | | Carthagine capta Hasdrubalis humilis animus |
| | 103. 25. | | | | Carthagine flagrante Scipionis de Roma vaticinium |
| | | | 523. 64. | | Masinissae in summa senectute vigor |
| | | | | | Nicomedes Prusia in- |



| | Excerpta Valesii | Excerpta Photii | Excerpta Vrsini | Excerpta Vaticana | Fragmenta |
|---|---|---|---|---|---|
| terfecto Bithyniae regnum capessit | | 523. 83. | | | |
| Scipio capta Carthagine legatis Siculis inter alia Phalaridis taurum reddit | 591. 17. | | | | |
| Achaeorum ducum bellum concitantium imprudentia | | | | 105. 1. | |
| Corinthus eversa, a Caesare restituta | 591. 30. | | | 107. 15. | |
| Viriathi mores | 591. 51. | 523. 88. | | 108. 12. | |
| Plautii in bello adversus Viriathum ignavia | 592. 58. | | | | |
| Alexandri Balae in regno administrando segnities | 592. 63. | | | | |
| Demetrii in Antiochenses saevitia | 592. 67. | | | | |
| Aradiorum cum Marathenis rixae | 593. 7. | | 623. 76. | | |
| Ptolemaeus Physco civibus saevitia invisus | 593. 36. | | | | |
| Viriathi in nuptiis celebrandis temperantia | 594. 47. | | | 108. 12. | |
| Demetrii Laodiceae morantis ignavia, luxuries, et flagitia | 594. 74. | | | | |
| Cnosiorum de principatu contentio | 594. 80. | | | | |
| Pergami in Creta clades | | | | 109. 25. | |
| Ptolemaeus civibus odiosus | 594. 88. | | | | |
| Ptolemaei in Cyrenenses perfidia | 595. 97. | | | | |
| Diegylidis regis Thra- | | | | | |

| Fragmenta | Excerpta Vaticana | Excerpta Vrsini | Excerpta Photii | Excerpta Valesii | |
|---|---|---|---|---|---|
| | | | | 595. 7. — 596. 72. | cum immanis crudelitas |
| | | 629. 9. | | | Numantini et Temesii arma tradere pacti, subita poenitentia capti bellum continuant |
| | | 629. 31. | | | Trypho rex senatus benevolentiam frustra captat |
| | | | | 596. 73. | Pompeius urbem Hispaniae Lagni (?) diripiens socios eorum Numantinos ex urbe dimisit |
| | | | | 597. 97. | Arsaces Parthorum rex domi forisque optimus |
| | 110. 1. | | | | Popillius cum Viriatho paciscitur |
| | | | | 597. 9. | Viriathi funus splendidissimum. Eius elogium |
| | | | | 597. 29. — 598. 44. | Ptolemaeus corpore animoque teterrimus |
| | 110. 5. | | | | Contubris urbis minae a cos. Romano contemptae |
| | 111. 8. | | | | Iunii Bruti ad milites oratio |
| | | | | 598. 45. | Aemilii cos. ob saginam ignavia |
| | | 629. 51. | | | Scipionis in Aegyptum ad Ptolemaeum legatio |
| | | | 524. 25. | | Antiochus Hierosolyma obsidet et in fidem accipit |
| | 112. 1. — 114. 22. | | 525. 73. — 529. 72. | 598. 49. — 601. 97. | Bellum in Sicilia servile |





| | Excerpta Valesii | Excerpta Photii | Excerpta Vrsini | Excerpta Vaticana | Fragmenta |
|---|---|---|---|---|---|
| Attali in cives saevientis crudelitas | 601. 98. | | | | |
| Captivorum (Numantinorum?) dum ex patria abducerentur, miseranda sors | | | | 114. 23. — 115. 12. | |
| Tiberii Gracchi genus | 601. 22. | | | | |
| Plebs ab eo in magnam spem erecta | | | | 115. 13. — 27. | |
| Octavius quid in re Gracchana fecerit | | | | 115. 28. | |
| Gracchus interfectus a Scipione | | | | 116. 3. — 11. | |
| Syrorum fugitivorum in captivos crudelitas | 602. 31. | | | | |
| Legati Romanorum ad restituendam Iovis Aetnaei religionem Siciliam obeuntes | 602. 36. | | | | |
| Fontis Arethusae pisces sacri | | | | 116. 12. | |
| Gorgus Morgantinus una cum filio ab latronibus caesus | 602. 43. | | | | |
| Zibelmii Diegylidis f. regis Thraciae saevitia | 602. 58. | | | | |
| Attalo primo datum de tempore per quod regnum staturum sit oraculum | | | | 116. 19. | |
| Ptolemaeus Physco filii communis caede Cleopatram ultus | 602. 74. | | | | |

| Fragmenta | Excerpta Vaticana | Excerpta Vrsini | Excerpta Photii | Excerpta Valesii | |
|---|---|---|---|---|---|
| | 117. 1. — 118. 6. | | | 603. 92. | Arsacis cum Antiocho bellum Antiochique caedes |
| | 118. 7. | | | | Arsacis Antiocho devicto infortunia |
| | | | | 603. 9. | Euhemeri Parthi in Babylonios saevitia |
| | 118. 19. | | | | Arsacis responsum ad legatos Seleucensium |
| | | | | 603. 18. | AlexandriZabinae erga Laodicenses clementia |
| | | | | 603. 26. | Sexti (Sextii) erga Gallum Cratonem Romanorum amicum munificentia |
| | 119. 7. | | | | C.Gracchum e Sardinia reducem summus populi favor excepit |
| | 119. 12. — 120. 18. | | | | Gracchi conciones et potentia, qua pro Octavio et contra Popillium usus est |
| | 120. 19. | | | | Ti. Gracchi lex de Octavio |
| | 121. 4. — 26. | | | 604. 42. | AlexandriZabinae sacrilegia et fuga in qua capitur |
| | | | | 604. 58. | Gracchi caput plumbo repletum ad consulem retulit Vitellius |
| | 122. 1. | | | 604. 70. | Flacci necati |
| | 122. 2. | | | | Scordisci |
| | | | | | Adherbal abIugurtha obsessus Romanorum opem implo- |



| | Excerpta Valesii | Excerpta Photii | Excerpta Vrsini | Excerpta Vaticana | Fragmenta |
|---|---|---|---|---|---|
| rat, quorum duplex legatio quum frustra fuisset, Adherbal ab Iugurtha captus caeditur | 604. 72. | | | | |
| Iugurtha Romanorum fortitudinem admiratur | | | | 122. 6. | |
| Carbonis et Silani a Cimbris accepta ingens clades | | [529. 80.] | | 122. 11. | |
| Scipionis Nasicae, qui cos. mortuus est, elogium | 605. 89. | | | | |
| Antiochus Cyzicenus rex Syriae homo stultus | 606. 62. | | | | |
| Micipsae filii, inter hos Micipsa | 607. 78. | | | | |
| Contoniatus regulus Galliae Romanor. amicitia potens | 607. 87. | | | | |
| Marius legatus Metelli virtute excellit | 607. 94. | | | | |
| Bocchus Iugurtham Romanis tradit | | | 630. 96. | | |
| Bellum servile in Sicilia alterum | 608. 23. | 529. 73. — 537. 52. | | 123. 9. | |
| Saturnini ignavia et postea virtus | 608. 54. | | | | |
| Battacis magnae Matris sacerdotis, qui Romam Pesinunte venerat praestigiae et A. Pompeii subita mors | | 537. 53. | | | [XXVI.?] |
| Saturninus a Mithridatis legatis reus delatus favore populi absolutus | | | 631. 19. | | |

| Fragmenta | Excerpta Vaticana | Excerpta Vrsini | Excerpta Photii | Excerpta Valesii | |
|---|---|---|---|---|---|
| | | | | 609. 64. | Metellus exsul in patriam revocatur |
| | | | | 609. 76. | Romanorum augescens luxuria |
| | | | | 610. 17. — 51. | Q. Mucius Scaevola Asiam summa cum laude administrat, consiliis adiutus Q. Rutilii |
| | | | | 610. 52. — 611. 88. | L. Asyllio (nomen corruptum) in Sicilia administranda probitas |
| | | | | 611. 89. | M. Livius Drusus iuvenis genere indoleque praeclarus |
| | 124. 1. — 126. 5. | | 538. 91. | 612. 99. | Bellum Marsicum oritur |
| | 127. 4. | | | | [C. Gracchi lex et mors] |
| | 127. 11. — 128. 11. | | | | Drusorum potentia. filii in senatu vox |
| | 128. 12. | | | | Italicorum Druso iurantium iusiurandum |
| | 129. 1. | | | | Picentinorum in theatro adversus Romanos histriones furor |
| | 129. 30. | | | | Praeda [bello Marsico] militibus divisa |
| | 130. 3. | | | | Marius et Pompaedius exercitus suos ad concordiam revocant |
| | | | | | Cretensis hominis |



| | Excerpta Valesii | Excerpta Photii | Excerpta Vrsini | Excerpta Vaticana | Fragmenta |
|---|---|---|---|---|---|
| cum Iulio cos. colloquium | | | | 131. 5. | |
| Aeserni servos urbe eiiciunt fame pressi | | | | 132.4.—14. | |
| Agamemnonis Cilicis opera Italicis navata contra Romanos | 612. 26. | | | | |
| Pinnenses pro Romanis extrema patiuntur | 612. 34. | | | 132. 15. — 133. 11. | |
| Italicorum Romanorumque summa utrorumque contentio | | | | 133. 12. | |
| Lamponii et Crassi singulare certamen | | | | 133. 18. | |
| Romanorum Italicorumque de frugibus pugnantium proelia | | | | 133. 22. | |
| Sub belli Marsici finem Italicos iam Siciliam invasuros C. Norbanus Rhegio excludit | | 540. 89. | | | |
| Sullae virtus | 612. 39. | | | | |
| Mithridates victis Romanorum in Asia ducibus urbium studia in se convertit | 612. 46. — 613. 76. | | | | |
| Rhodiorum cum Mithridate pugna navalis | 613. 77. | | | | |
| Marii divitiarum cupiditas ipsi, patriae et filio exitiosa | 613. 90. | | | 133. 32. — 135. 24. | |

| Fragmenta | Excerpta Vaticana | Excerpta Vrsini | Excerpta Photii | Excerpta Valesii | |
|---|---|---|---|---|---|
| | 135. 25. | | | | Legati Romanorum ad Cinnam missi |
| | 135. 29. | | | | Metellus exercitus imperium tradit Cinnae. Octavii pervicacia |
| | | | | 614. 34. | Merula Cinnae consulatu cedit |
| | | | 542. 69. | | Cinnae et Marii scelera: in his Q. Lutatii Catuli caedes |
| LV. | | | | | Portentum initio civilis inter Marium et Sullam belli |
| | 136. 16. | | | | Sulla Mario superior |
| | | | | 614. 45. | Sullae sacrilegia |
| | 136. 31. | | | 615. 63. — 3. | Fimbriae flagitia |
| | 137. 6. | | | 615. 4. | Cn. Pompeius virtutis ergo ab Sulla collaudatus |
| | 138. 1. | | | | Hadrianus ab Vticensibus vivus combustus |
| | 138. 5. | | | | Mario exercitum conscribenti multi etiam eorum qui stipendia emeruerant nomina dederunt |
| | 138. 12. | | | | Sullanae et Marianae factionis alternatione iactatae civitates |
| | | | 541. 25. | | Marius Praeneste inclusus se ipse interficit |
| | 138. 21. | | | | Perperna Marium Praeneste eripere tentat |
| | | | | 616. 28. | Scipioni veniam dat Sulla |



| | Excerpta Valesii | Excerpta Photii | Excerpta Vrsini | Excerpta Vaticana | Fragmenta |
|---|---|---|---|---|---|
| Scaevola pontif. max. caesus | 616. 39. | | | 139. 2. | |
| Proscriptio Sullana | 616. 50. | | | | |
| Pompeius in Sicilia summa cum laude iudicia exercet | 616. 66. | | | | |
| Spartacus | | | 631. 52. | 139. 12. | |
| M. Antonii pax cum Cretensibus | | | | | |
| Pompeii bellum Iudaicum | | 542. 96. | | | |
| Pompeii rerum in Asia gestarum tabula | | | | 140. 18. | |
| Catilina a Cicerone urbe emissus | | | | 141. 13. | |
| [Cleopatra | | | | | LVI. |
| Caesaris in Britanniam expeditio] | | | | | LXVIII. |
| Epilogus | | | | 142. 18. | |

# A D D E N D A.

P. ed. Wess. 489. 8. *τὴν ἐκ τοῦ συμφέροντος ἐλπίδα*] Conferri possunt haec vol. II. p. 177. 55. *τὰς ἐκ τοῦ φεύγειν ἐλπίδας.*

P. 515. 13. De Photii exemplo Amstelodamensi v. Schweighaeuseri Praef. ad Appianum vol. I. p. XXIX.

P. 568. 89. Codicis scripturam *πρὸς ἀλλήλαις* fortasse praestabat in *προςαλλήλου* mutari.

P. 592. 82. Reiskii coniectura non admodum opus est.

P. 594. 68. Emendationem meam certissimam reddit frequens utriusque vocabuli permutatio. Vide annot. ad vol. I. p. 645. 1. II. 389. 30.

P. 624. 12. Verba *δι' ὧν — ὠνειδίσθησαν* Suidam hinc petivisse v. *παρεθέντος* non fugit Toupium vol. II. p. 27.

P. 629. 43. *μεταχρηματίσασα*] Coniectura sua *μετασχηματίσασα* abstinere debebat Clintonus Fast. vol. II. p. 328.

P. 633. 5. Huc respexit Theodoretus vol. IV. p. 766. *ἀλλ' ἐπανέλθωμεν ἐπ' ἐκεῖνα ἃ τούςδε ἡμῖν τοὺς λόγους γεγέννηκεν, ὅτι πρώτους θεοὺς ἐνόμισαν καὶ Αἰγύπτιοι καὶ Φοίνικες καὶ μέντοι καὶ Ἕλληνες ἥλιον καὶ σελήνην καὶ οὐρανὸν καὶ γῆν καὶ τἄλλα στοιχεῖα. τοῦτο γὰρ δὴ καὶ ὁ Πλάτων καὶ ὁ Σικελιώτης Διόδωρος καὶ ὁ Χαιρωνεὺς ἐδίδαξε Πλούταρχος.*

P. 634. 80. *καὶ κρατήσαντας*] *καὶ* delet Wurmius ad interpretationem Germanicam.

P. 637. 82. Scribe *καθηγήσασθαι.* 86. Scribe *διωχθῆναι.*

P. 638. 45. *προτερεῖ*] Vide annot. ad Xenoph. Hist. gr. II. 3. 19.

P. 643. 88. *δυνατοῖς*] Scribendum esse, ut dixi, *αὐτοῖς* confirmat alibi reperta eorundem verborum commutatio. Isocratis Panathen. p. 248. *τῆς δόξης ἧς προςῆκε τυχεῖν αὐτόν.* Liber Vrbinas *δυνατόν.* Xenoph. Instit. Cyri VIII. 6. 10. libri variant inter *ὅσα ἑαυτὸν ἑώρων ποιοῦντα* et *δυνατὸν ἑώρων ποιοῦντα ἑαυτὸν* vel *αὐτὸν* et *ἑώρων ποιοῦντα ἑαυτὸν πάντα μιμεῖσθαι,* unde *αὐτὸν ἑώρων ποιοῦντα* nuper restitui.

Fragmentorum collectioni haec accedant.



I. Ioannes Laurentius de magistr. Rom. p. 82. *Διόδωρος γοῦν ἐν δευτέρᾳ Βιβλιοθηκῶν φησι Σόλωνα ἐν Αἰγύπτῳ μαθόντα νόμον Ἀθηναίοις γράψαι τοιοῦτον ὥςτε εἰς τρεῖς μοίρας τὴν πολιτείαν διατάττεσθαι, εἰς εὐπατρίδας, οἳ περὶ σοφίαν καὶ λόγους ἐσχόλαζον, δευτέραν δὲ τὴν γεωργικὴν ἅμα καὶ πρόμαχον, τρίτην τὴν βάναυσον καὶ τεχνουργόν, τὴν δὲ μετὰ ταύτας ἄτιμον, ἐξ ἧς οἱ δῆθεν χρειωδέστεροι ἐν τοῖς γεωργικοῖς ἅμα καὶ μαχίμοις προςήδρευον δουλεύοντες αὐτοῖς καὶ τὸ πολεμεῖν καὶ γεωργεῖν διδασκόμενοι.* Quae ille, nisi plane somniavit, ex libro eo quo de Solone agebat Diodorus, sumpserit necesse est. Nam secundo ne mentio quidem fit Solonis: primo autem quae de eius imitatione institutorum Aegypti dicuntur ita diffinxisse Laurentium non licet contendi quamdiu Solonis historia qualem suo loco scripsit Diodorus non inventa est.

II. Scholia in Strabonis cod. Paris. 1397. ed. Falcon. vol. I. p. 390. *Διόδωρος ὁ ἱστορικὸς τετράπολίν φησι Συρακούσας ἐν οἷς ἀφομοιοῖ Ἀντιόχεια αὐτὴν* (l. *Ἀντιόχειαν τὴν*) *πρὸς τῷ Ὀρέντῃ ταῖς Συρακούσαις.* Quae pertinere videntur ad narrationem obsidionis Marcelli. De forma novitia *Ὀρέντης* pro *Ὀρόντης* dixi annotatione ad Ioannem Malalam p. 266. et 798.

III. Diodori fragmentum putabat Wesselingius ad vol. I. p. 404. 58. quae Suidas v. *μεσολαβηθεὶς* ponit: *τὸν δὲ υἱὸν ἔπεισεν, εἰ τύχοι μεσολαβηθεὶς αὐτὸς ὑπὸ τῆς πεπρωμένης, ἐξενεγκεῖν τὸν κατὰ Ῥωμαίων πόλεμον.*

Praef. p. III. v. 7. sursum *quas*] l. *quae.* — P. IV. Ad Excerpta Legationum Niebuhrius Proleg. ad Scriptorum Historiae Byzant. vol. I. p. XXXV. monuit eclogas in codice Monacensi omissas non temere ei excidisse, sed esse huius libri hanc rationem ut solas legationes ad Romanos missas teneat, omittat missas a Romanis. Sed tamen Excerpta e Diodoro ut in utroque codice habent legationes neque a Romanis neque ad Romanos missas, velut ecl. II. XIII. XXIX., ita Monacensi, quamvis carenti nonnullis a Romanis missis, insunt tamen narrationes de Cn. Manlii ad Antiochum ecl. XII., de Romanorum ad Achaeos ecl. XIII. et ad Ptolemaeum legationibus ecl. XXXII. — Eclogas Hoeschelianas iam mihi persuasum est nihil cum opere Constantiniano commune habuisse, sed comparandas esse Polybianis apud Schweighaeuserum praef. vol. II. p. IV. — XIV. — p. VI. v. 20. Iis quae diximus addi potest quod ipse locus quem Alexandri rebus assignat Photius incredibile facit eundem librum XXXII. tot annis longius productum esse quot poscunt extrema Viriathi.

# E R R A T A.

Tres huius partis plagulae priores opificem nactae socordem mendis non ut oportuit purgari potuerunt. Tollendus primo illatus ab eo imis paginis 1. 17. 33. numerus II. Tum p. 9. — 16. inscribendae L. XXII. Porro p. 8. 80. in margine scribe 495. — P. 10. annot. 55. *διάρας* — P. 12. paginae numerum corrige. — P. 22. 93. *ἦλθεν*] l. *ἦλθον* — P. 25. summa adde numerum 80. — P. 34. annot. 514. 5. Vat.] l. Val. — P. 35. annot. 12. v. 12.] l. v. 16. — P. 48. 6. in margine scribe 524. — P. 58. annot. 59. *δουλούῃ*] l. *δουλεύῃ* — P. 90. 17. post *ἀλλὰ* dele punctum. — P. 96. 12. in margine adde 563. — P. 101. annot. 2. l. *ἀλλοεθνέσιν* — P. 112. annot. 56. *ιέ*] l. *ιζ* — P. 114. annot. 35. in fine adde V. — P. 122. 57. *ἐκ τοῦ*] l. *ἐκ τοῦ* Schaeferus ad Dionysium p. 119. — P. 149. summa l. XXXV. — P. 162. annot. 1. *Ὀστιλίου*] l. *Ὁστιλίου* — P. 167. annot. 43. V] l. MV. — P. 169. 53. dele comma — P. 172. annot. 55. V] l. MV. — P. 177. annot. 86. l. Suidas. — P. 180. 24. *χείας*] l. *χρείας* — P. 182. fr. IV. dele *τῷ* ante *Ἀχιλλεῖ* — P. 195. fr. XXIV. *χρόνον*] l. *χρόνων* — P. 205. 98. *Ἀννίβα*] l. *Ἀννίβα* — P. 206. 35. *Συρακουσίᾳ*] l. *Συρακουσίῳ* — P. 215. extr. Priscus] l. Superbus. — P. 223. et — fugit] l. fugit a medico mox excaecatus — P. 237. v. 14. dele numerum 108. 12.

---